Lib. III. *Alexii contra Chrysum Blachum bellica expeditio, et irrita Prosaci munitissimi castelli oppugnatio. Chrysus ex hoste fit Alexii affinis* (1). *Scytharum incursio in Macedoniam. nuptiae filiarum Alexii. Ibanci defectio, et in eum expeditio, protostratori Manueli Camyzi infausta* (2). *Controversiae inter Graecos de eucharistia, et theologorum variae sententiae* (3). *Ibancus Alexii periurio deceptus capitur. Euphrosyne imperatrix oppresso Contostephano res futuras profana curiositate investigat. Caichosroen sultanum Rucratinus frater Iconio pellit* (4). *Comani a Rossis et Calyza principe Christiano repressi. Calomodii divitis negotiatoris comoedia. Iohannis Lagi tragoedia* (5). *Iohannis Comnenii Crassi seditio Alexii spoliatio navium et perfidia in Rucratinum. Michaelis defectio. periculum Alexii a naufragio et ruina* (6). *Eudocia Alexii filia a Stephano Triballo repudiata. Mysi Constantiam et Varnam expugnant. protostrator ad Chrysum deficit. Spyridonacae defectio. Alexius tandem seditiosos coercet* (7). *Ad cladis Brytanniae descriptionem accedens Nicetas Alexii imprudentiam proponit qui de Isaacio fratre securus est. Comneniorum fratrum rapacitas et profusiones* (8). *Veneti multis iniuriis ab Alexio et Comneniis fratribus affecti, Henrici Danduli ducis sui consilio bellum contra Byzantinos parant. Alexius Angelus Isaacii filius cum Veneta classe se coniungit. imperator classem hostilem contemnit, quae in Graeciam vela dat* (9). *Byzantii obsidio. velitationes Graecorum et Latinorum. incendium Byzantii. Alexius frustra tentatis armis Debeltum profugit, imperio spoliatus. eiusdem elogia* (10).

DE ISAACIO ANGELO ITERUM IMPERATORE.

Alexio fugato Isaacius excaecatus iterum imperator salutatur, qui fratris fugam Alexio filio et Latini exercitus ducibus denuntiat. Latinis sacra et profana vix sufficiunt (1). *Synagogae Sarranorum direptio causa incensae urbis. huius incendii luctuosissimi*

descriptio (2). *Alexius Comnenus relictum imperium frustra repetit. Isaacii et Alexii filii dissidium turpitudo vecordia monachorum assentationibus fovetur. Minervae statuam aeream plebs comminuit* (3). *Latini rapinis incendiis ferro grassantur in Byzantinos. Alexius Ducas Murzuflus Latinis resistit. seditio contra Isaacium et Alexium Angelos* (4). *Nicolaus Canabus adolescens a plebe invitus imperator inauguratur. Isaacio animam agente Alexius filius sibi consulit. Murzuflus astute deiicit, et Canabo oppresso vita spoliat* (5).

DE ALEXIO DUCA MURZUFLO.

Alexii Ducae Murzufli ingenium. locupletibus multatis bello se parum feliciter parat. a Latinis fugatur (1). *Pacificationis conatus irriti. urbis oppugnatio expugnatio et incendium. eques unus Latinus Graecos in fugam vertit* (2). *Murzufli fuga. Theodorus Ducas et Lascaris frustra de imperio contendunt. urbis direptio et sacrilegiorum deploratio* (3). *Latinorum in urbe depraedationes et alia flagitia. eorundem insectatio. Sarraceni Latinis humaniores* (4). *Deploratio urbis prolixe descripta per Nicetam* (5). *Confessio et invocatio. multiplex item consolatio et ad poenitentiam adhortatio* (6).

DE REBUS POST CAPTAM URBEM GESTIS.

Nicetas rationem reddit cur post expugnatam a Latinis Cpolim Solonis exemplum non sit imitatus(1). *Graecorum cladem nulla prodigia praecesserunt. captae urbis miserrimus status. Nicetae peculiaris condicio* (2). *Miris modis conservatur Nicetas, qui nobilem virginem a raptoris manu prudenter vindicat* (3). *Cum moenibus urbis Nicetae expostulatio et urbis allocutio inaniaque vota* (4). *Nicetae et aliorum exsulum fortuna, populi item et militum licentia describitur* (5). *Inter Duces Latinos sortitio provinciarum nondum subactarum. in comitiis regiis sortitionis ritus. Balduinus Flandriae comes Danduli opera creatur imperator. eiusdem elogium* (6). *Balduinus imperium stabilire studet. ad eum Bonifacius marchio deficit, et reconciliatus Graeciam occupat* (7). *Henricus Balduini frater et Petrus Plancius Asianas urbes occupant. Prusae irrita obsidio. Theodorus Philadelphiensis ab Henrico profligatus. marchionis in Graecia grassationes. Leonis Scurii Nauplii tyrannis Michael Choniates Leonem placat* (8). *Scurus Alexii imperatoris filiam Eudociam ducit. Murzufli miserabilis interitus. marchio Graecia potitur Scurus Acrocorinthum confugit. Alexius imperii insignibus exuitur* (9). *Graeci milites a Latinis repudiati Blachorum ope urbes ad defectionem impellunt. Latini Occidentales urbes recuperare satagunt. Graecorum clades ad Arcadiopolim. Adrianopolis obsidio. Latini a Scythis in insidias pellecti a Blachis capiuntur et occiduntur. Dandulus effugit* (10). *Graeci a Scythis et a Latinis vexantur. Mysorum et Latinorum pugna ad Serras. marchio Thessalonicensium defectionem ulciscitur. Alexii relegatio. marchionici denuo a Scythis vincuntur et urbes amittunt. Latini in Thracia grassantur* (11). *Henricus Balduini frater Aprum vi expugnat, Orestiadem frustra oppugnat. Petri Plancii casus. lues et fames obsidionem solvunt. Didymotichum Euri exundatione defensum. Graeciae miserrimus status* (12). *Mauzoromes Lascaris et Comnenus in Oriente de imperio contendunt. Philippopolim Blachi, Thraciam Scythae vastant. Latini ad Rusium caesi a Scythis* (13). *Multarum*

...tium Graecarum excidia. Athyrae et aliarum calamitas Iohannes ...Ischomotichum frustra oppugnat (14). Latini Adrianopolitanis et ...Ischomotichinis opem ferunt. Thraciae vastitas a Scythis et Bla... facta. augurium corvorum et cornicum. Graecia in tyrannides distracta Nicolai archiepiscopi Corinthii interitus (15). Orientis ... Aldobrandinus Pergami tyrannus. Cretam Genuenses occu... Attaliam Caichosroes frustra oppugnat. David Comnenus ...inorum fretus auxilio Lascari resistit (16). Petrus Plancius ...as occupat. Henricus Balduini frater imperator designatur. ...corum militum perfidia. Balduini miserabilis interitus Constantini Tornicis mors cruenta. Fatalia urbis simulacra confringuntur (17). Latinorum diligentia et Romanorum ignavia Henricus Blachos profligat. adversus iniqua hominum de se iudicia querela Choniatae, qui finem historiae suae imponit (18).

---

1. *Αἱ ἱστορίαι δὲ ἄρα κοινωφελές τι χρῆμα τῷ βίῳ ἐφεύρηνται, εἴπερ ἐκ τούτων οὐκ ὀλίγα ἔστι ξυλλέγειν τὰ βελτίω τοῖς ᾑρημένοις. εἰδυῖαι γὰρ τὰ ἀρχαῖα καὶ ἔθη αὗται διατρανοῦσιν ἀνθρώπεια καὶ πολυπειρίαν ὑποτιθέασιν, ὁπόσοι τῶν ἀνδρώπων μεγαλογνώμονες καὶ τοῦ καλοῦ αὐτόφυτον τρέφοντες ἔρωτα· καὶ κακία δὲ παρ' αὐταῖς κωμῳδουμένη καὶ ἀγαθοπραξία ἐξαιρομένη μετρίους ὡς τὰ πολλὰ καὶ ἐπιδιδόντας τοὺς παρ' ἑκάτερα τιθέασι ῥέποντας, ὅσοι τέως οὐχ ὑπ' αἰσχίστης συνηθείας καὶ φαυλοτάτης ἕξεως ἀνεπιστρόφως ἔχουσι τοῦ πολυεράστου χρήματος ἀρετῆς, ἐπεὶ καὶ ἀθανάτοις ἐοίκασι δήπουθεν θνητοὶ καὶ ἐπίκηροι γεγονότες καὶ πάλαι τὸ ζῆν ἐκτοξεύσαντες, ὅσους παρειλήφει τὸ ἱστορεῖν. ὀρθῶς γὰρ ἢ τοὐναντίον φαύλως βεβιωκότες εὖ τε καὶ αἰσχρῶς ἀκούουσιν. καὶ τοῦ μὲν ἐς ᾅδου βέβηκεν ἡ ψυχή, πρὸς δὲ τὰ ἐξ ὧν ἡρμόσθη τὸ σῶμα ἐπαλινδρόμησε· τὰ δὲ παρ' αὐ-*

4. πολυπειρίας W. 7. ἐξαιρουμένη W. 8. τιθέασι om A. 11. δήπου A.

1. Utiliter inventae sunt historiae, neque parvas iis qui rebus melioribus student commoditates suppeditant, tum vetustatis memoria repetenda, tum ingeniis hominum explicandis, tum variis eorum conatibus ob oculos ponendis, quibus animorum magnitudo et honestatis amor ab ipsa natura fuit insitus. iam quia vitia perstringunt et praeclaras actiones celebrant, moderatiores plerumque reddunt et meliores homines, tam ad vitia quam ad virtutem propensos, iis exceptis, qui turpissima educatione corrupti ac mala consuetudine depravati nullam virtutis rationem habent, qua nihil est humanis praeclarius aut magis expetendum. ad haec ii quos historiarum complectuntur, quamvis mortales et obnoxii

τοῦ βεβιωμένα, κἂν ὅσια εἴη κἂν δίκαια, κἂν ἀθέμιτα κἂν ἐφύβριστα, κἂν ἐβίω εὐδαιμόνως κἂν κακοπραγῶν ἀνεχρέμψατο τὴν ψυχήν, ἡ ἱστορία διαπρυσίως βοᾷ. ὥστε καθ' ἕτερόν τινα τρόπον καὶ λόγον καὶ βίβλος ζώντων ἡ ἱστορία λεχθήσεται, καὶ σάλπιγξ περίτρανος τὰ γραφόμενα, τοὺς πάλαι τεθνεῶτας οἷον τῶν σημάτων ἐξανιστῶσα καὶ ὑπ' ὄψιν τιθεῖσα τοῖς βουλομένοις. ἀλλὰ τοιάδε μὲν ἡ ἱστορία, ὡς C
ἐπιτρέχοντά με εἰπεῖν, αὐτοῖς δὲ τοῖς ἐπιοῦσιν οὐμενοῦν οὐδαμῶς χαρίεσσα. μὴ οὕτω μανείη τις ὡς ἥδιον ἡγεῖσθαί τι ἕτερον ἱστορίας· ἃ γὰρ οἱ πολυετεῖς τῶν ἀνθρώπων καὶ Τιθωνοῦ παλαίτεροι καὶ τρικόρωνοι, εἰ τῷ βίῳ ἔτι περιῆσαν, ᾔδεσαν ἂν καὶ ἐξηγοῦντο τοῖς φιλακροάμοσι, τὰ τῆς μνήμης ἐμπυρεύοντες καὶ τὰς τῶν πράξεων ῥυσσὰς ἀνασκάλλοντες, ταῦτα δήπου προθείη καὶ ὁ φιλίστωρ, κἂν οὐδέπω παρηλλάχει τὸν μείρακα. διὰ ταῦτ' οὖν καὶ αὐτὸς τὰ τοῖς κατ' ἐμὲ χρόνοις γεγενημένα καὶ ἀνόπιν ἔτι βραχύ, μνήμης καὶ διηγήσεως ἄξια ὄντα καὶ τοσαῦτα τὸ πλῆθος καὶ τοιαῦτα τὸ μέγεθος, οὐκ ἔγνων δεῖν σιγῇ παρελθεῖν. οὐκοῦν καὶ διὰ P. 3
τῆσδέ μου τῆς ξυγγραφῆς δῆλα ταῦτα τοῖς ἔπειτα καθιστῶ. ἐπειδὴ δέ, ὡς καὶ ἄλλοι τε ξυμβαλεῖν ἔχουσι καὶ αὐτὸς δὲ συνορῶν οὐχ ἥκιστά εἰμι, τὰ τοῦ ἱστορεῖν τὸ τῆς διηγήσεως ἀσαφὲς καὶ περιβολαῖς καὶ περιόδοις ἐπεστραμμένον ὡς μὴ συνᾷδον αὐτοῖς οὐ προσίενται, φιλοῦσι δὲ τὸ σαφὲς ὡς οὐ

6. non οἷον A. sed post σημάτων, οἷς an οἷα? 16. ἐπὶ A.

fatis iam olim vitae quasi pensum absolverint immortalitatis quodammodo fiunt compotes. nam prout turpiter aut honeste vixerunt, ita male aut bene audiunt; ac animus quidem in locum suum abit, et corpus in primordia e quibus compositum fuit resolvitur: actae autem vitae ratio, sive sancta et iusta, sive nefaria et iniuria, obitusque sive felix sive calamitosus, clara historiae voce praedicatur. quamobrem haud ab re liber viventium appellabitur historia, rerumque gestarum descriptio tubae clangor, quo iam olim mortui velut e sepulcris excitati in medium producuntur. atque haec de historiarum utilitate breviter percurrere volui. neque vero quisquam adeo vaecors est, quin eam lectoribus aeque iucundam ac fructuosam esse iudicet. nam quae decrepiti senes, atque ii qui, si adhuc in vivis essent, Tithonum multis aetatibus vincerent, in coetu auditorum ex memoriae thesauro deprompta in medium afferrent, eadem vel adolescens eruditus referre queat. his igitur de causis ego etiam ea quae mea aetate et paulo supra meam aetatem memoratu digna gesta sunt, quae quidem plurima et maxima fuere, non praetereunda silentio esse ratus ad posterorum memoriam propagare studui. cum autem eorum iudiciis assentiar qui obscuritatem et perplexarum periodorum prolixitatem

μόνον κατα τον εἰπόντα σοφὸν ἀλλὰ καὶ συμβαῖνόν σφισι μάλιστα, οὐδὲ τούτου πάμπαν ἔξωθεν τοῦ καλοῦ πίπτοντ' ἂν εὕρῃ τις τὰ γραφόμενα, οἷα καὶ ἡμῶν μὴ τὸ κομπηρὸν καὶ δυσφραδὲς καὶ κορυμβώδεσιν ἀποδιειλημμένον λέξεσιν ὡς ἐπίπαν ἀσπασαμένων, εἰ καὶ χαίροντές εἰσιν εἰς τοῦτο πολλοί εἴτ' οὖν ἀληθέστερον εἰπεῖν ἐκλείποντες τὰ τῶν πάλαι καὶ σή-
B μερον καὶ ὅσα τι καὶ ἐπιτήδευμα προυργιαίτατον ἐξησκηκότες διὰ μακροῦ, ἐκ τοῦ πλείονος δὲ κἂν τούτῳ δρᾶν τῇ ἱστορίᾳ προθεμένων τὰ πρόσφορα, μηδ' ὑπερβάθμιον πόδα τείνειν
V. 3 ἠγαπηκότων ἢ ὅλως τοὺς ἄξονας αὐτῆς ὑπεράλλεσθαι. ὑπὲρ γὰρ ἅπαν ἕτερον τὸ μὴ τὴν φράσιν ἁπλοῦν, ὡς ἔχω εἰπών, καὶ πρόχειρον εἰς κατάληψιν αὐτῇ διαβέβληται, καὶ ἠγαπήθη σφόδρα τὸ ἄκομψον καὶ ὡς ἔχον φύσεως διηγούμενον, καὶ δαιμονίως τὸ εὔληπτον περιπτύσσεται. τέλος γὰρ σκοπιμώτατον τὴν ἀλήθειαν ἔχουσα, καὶ τῆς τε ῥητορικῆς δεινότητος καὶ τῆς ποιητικῆς λογοποιίας ἀφεστῶσα κατὰ διάμετρον, καὶ τὰ τούτων διωθεῖται χαρακτηριστικά. καὶ ἄλλως δὲ κἂν οὐ
C βραχὺ τὸ σεμνὸν ἡ ἱστορία καὶ τὸ αἰδέσιμον ἐπισύρηται, ἐρῶσα δ' ὅμως προκεῖσθαι σκαπανεῦσί τε καὶ σιδηρεῦσι καὶ πολλῆς γέμουσι τῆς ἀσβόλης καὶ συνήθης εἶναι τοῖς πρὸς ὅπλα καὶ Ἄρεα βλέπουσι, μηδὲ γυναιξὶ χερνήτισι δυσκολαίνουσα διαξαινούσαις τὰ κατ' αὐτήν, ταῖς χαριεστέραις χαίρει τῶν φράσεων, καὶ τὸ φᾶρος τῶν λέξεων εἰλικρινὲς καὶ ἀπέριττον περικεῖσθαι φιλεῖ, οὐ μὴν κεκομψευμένον καὶ ἔξαλλον· καὶ ἡ μὲν ἱστορία, ὡς ἔνι μάλιστα, μετὰ τοῦ

3. πομπηρὸν vulgo, correctum ex A.

historiae alienam esse censent et perspicuitatem maxime gratam et aptam, equidem huic quoque virtuti operam dedi, evitatis verbis affectatis obscuris confragosis, etsi vulgus iis avide inhiare non ignoro, relictaque et superioris et nostrae aetatis consuetudine summo studio in iis elaborare. nos vero longo tempore in id operam dedimus, ut dictione huic scriptionum generi conveniente adhibita non extra limites evagaremur. quicquid enim, ut dixi, non apertum est atque in promptu positum, historia abominatur: quicquid simplex et naturale est et intelligentiae obvium, libenter admittit. nam cum ad veritatem tanquam unicum scopum collimet, atque ab oratoria calliditate et poeticis fabulis quam remotissima sit, etiam a forma dicendi iis facultatibus propria abhorret. quamvis autem multum gravitatis et reverentiae historiam comitetur, tamen quia vel opificibus, militibus et mulierculis etiam, nota esse cupit, formulis elegantioribus delectatur, vestemque amat non sane luxuriosam et exoticam, sed simplicem et mundam; nec perspicuitate et brevitate quicquam habet antiquius. quibus de causis veniam a lectoribus impetratam

σαφοῦς καὶ εἰς ἐπίτομον ἐπιτροχασθήσεται· ὁ δὲ λόγος εὐγνωμονῶν συγγνώμην αἰτεῖται παρ' οἷς εἰς χεῖρας πεσεῖται, εἰ μὴ φιλοτίμως, δι' ἃ εἴρηται, καὶ ἀβρῶς ἐκπεπόνηται, D ἐπεὶ καὶ ἄλλως νῦν πρώτως ἡμεῖς τῆς ὑποθέσεως ἐπιβαίνομεν τῆσδε, οἷά τινα ἐρήμην καὶ ἀστιβῆ διιέναι ἐγχειροῦντες ὁδόν, ὃ καὶ δύσεργόν ἐστι καὶ πολλῷ ὑπερκείμενον τοῦ ἴχνεσιν ἑτέρων προωδευκότων ἐφομαρτεῖν, ἢ γοῦν ὡς διὰ λείας καὶ βασιλικῆς βαδίζειν ὁδοῦ, λέγω δὴ τῆς ἑτέρων ἱστορίας, εὐθυπόρως τε καὶ ἀπλανῶς. ἀρχὴ δέ μοι τοῦ λέγειν ὅσα μετὰ τὸ πέρας εὐθὺς τῆς ζωῆς ἅμα καὶ τῆς ἀρχῆς τοῦ ἐκ Κομνηνῶν ἄρξαντος πρώτως Ἀλεξίου συμβέβηκεν, ἐπεὶ καὶ ἐς τόνδε τὸν ἄνακτα τὸ λέγειν συνεπεράναντο ὁπόσοι τῶν πρὸ ἡμῶν τῇ συγγραφῇ προδήλως ἐπέβαλον, ἵν' εἶεν τὰ ῥηθησόμενα παρ' ἡμῶν συναφῆ πως τοῖς ὑπ' ἐκείνων λεχθεῖσι, καὶ ὁ λόγος οὕτω διαπλεκόμενος τρόπον τινὰ ὁλκῷ εἰκάζοιτο ῥεύματος ἐκ μιᾶς πηγῆς ἐκδιδόντι, ἢ γοῦν τὸ τῶν κρίκων ἀλληλένδετον ὑποκρίνοιτο, τῇ τῶν ἀεὶ προσεχῶν ἐφάψει προϊόντων ἐς ἄπειρον. ἐν κεφαλαιώδεσι δ' ἐπιτομαῖς τὰ κατὰ τὸν αὐτοκράτορα Ἰωάννην τὸ ἱστορεῖν διηγήσεται, ὃς Ἀλεξίῳ διάδοχος γεγένηται τῆς ἀρχῆς, οὐδ' ἐμβραδυνεῖ ταῖς κατ' αὐτὸν ἀφηγήσεσιν, ὥσπερ ἐν τοῖς ἐφεξῆς ἐργάσεται λόγοις, οἷα καὶ P. 4 ἡμῶν μὴ τὰ τοῖς ὀφθαλμοῖς ἐπὶ τῷδε παρειλημμένα συγγραφομένων, κἀντεῦθεν μηδ' ἀποτάδην ἐχόντων ταῦτα διεξιέναι, ἀλλ' ἅπερ εἰς ἀκοὴν ὠτίου εἰλήφαμεν ἐκ τῶν ὅσοι τῶν καθ' ἡμᾶς τὸν βασιλέα τουτονὶ ἐθεάσαντο καὶ συνωμάρτουν ἐκείνῳ πρὸς ἐναντίους χωροῦντι καὶ τὰς μάχας συνετολύπευον. ἄμεινον δ' ἐντεῦθεν ἄρξασθαι.

3. ἀκριβῶς PW. 23. ἐπιτάδην AW.

cupimus, si in opere nostro ornatus desiderabitur, praesertim cum argumentum hoc nunc primum a nobis tractetur. quod perinde est ac si viam desertam ac minime tritam ingrederemur; et longe difficilius quam aliorum vestigia persequi et via regia incedere. auspicabor autem ab iis rebus quae post Alexii primi ex Comnenia familia imperatoris obitum acciderunt, ultra quae superioris aetatis historici non sunt progressi, ut ea quae a nobis dicentur, cum illorum dictis cohaereant instar fontis unius in plures canales distributi aut anulorum longa serie inter sese cohaerentium. ac Iohannis imperatoris vitam, qui successit Alexio, breviter perstringemus; neque earum rerum commemorationi diutius immorabimur quas ipsi non vidimus, sed ab iis accepimus qui eum viderunt et in expeditiones comitati sunt. in ceteris autem uberius tractabimus omnia. sed iam ad rem ipsam accedamus, hinc sumpto exordio.

μονὴν τῶν Μαγγάνων λαμπροτάτοις οἰκοδομήμασιν, ὁ δὲ παῖς Ἰωάννης τὸν πατέρα ὁρῶν τῇ τελευτῇ πλησιάζοντα, καὶ τὴν μητέρα εἰδὼς ἀποστέργουσαν καὶ τῇ ἀδελφῇ τὴν βασιλείαν μνωμένην, κοινοῦται τὸ ποιητέον τοῖς ἐκ τῆς συγγενείας ἐκείνῳ φίλα φρονοῦσιν, ὧν τὰ κράτιστα ἦν ὁ ἀδελφὸς Ἰσαάκιος. καὶ δὴ λαθὼν τὴν μητέρα εἴσεισι τὸν κοιτῶνα τὸν πατρικόν, καὶ προσπεσὼν ὡς δῆθεν θρηνήσων ὑφαιρεῖται λάθρα τῆς ἐκείνου χειρὸς τὸν σφραγιστῆρα δακτύλιον. εἰσὶ
C δ' οἳ κατὰ γνώμην τοῦ πατρὸς αὐτόν φασι τόδε πεποιηκέναι, ὡς δίδωσιν ἐννοεῖν τὰ μετὰ βραχὺ ῥηθησόμενα. αὐτίκα τοίνυν ὁ Ἰωάννης τοὺς συνίστορας ἠθροικὼς καὶ τὸ πραχθὲν ἠγγελκὼς ἐπὶ κέλητος μεθ' ὅπλων πρὸς τὸ μέγιστον ἀρχεῖον ἐξώρμησε, κατ' αὐτὴν τὴν τῶν Μαγγάνων μονὴν καὶ τὰς ἀγυιὰς ὁμοίως τῆς πόλεως ὑπὸ πλήθους τοῦ σύμφρονος καὶ τῶν κατὰ φήμην τῶν δρωμένων συναλιζομένων ἀστυπόλων βασιλεὺς αὐτοκράτωρ ἀνευφημούμενος. ἡ βασιλὶς δὲ Εἰρήνη καὶ μήτηρ τοῦ Ἰωάννου πρὸς τῶν οὕτω γινομένων ἐκθαμβηθεῖσα στείλασα μετεπέμπετο τὸν υἱόν, καὶ παρῄνει τῶν ἐν χερσὶν ἀποσχέσθαι. ὡς δ' ἦν ὅλος τῶν δρωμένων ὁ Ἰωάννης καὶ κατ' οὐδένα τρόπον τῆς μητρὸς ἐπεστρέφετο, τὸν
D Βρυέννιον ἐπιρρώννυσιν ἐπιθέσθαι τῇ βασιλείᾳ συναρηγούσης αὐτῆς. ὡς δ' οὐδ' οὕτω τὰ κατὰ σκέψιν ἑώρα προβαίνοντα, πρόσεισι τῷ ἀνδρὶ ἐπὶ κλίνης ἐρριμμένῳ καὶ βραχείαις ἀναπνοαῖς τὸν ζῶντα ὑποσημαίνοντι, καὶ βαλοῦσα ἑαυτὴν τῷ

9. τόδε πεποιηκέναι] τὴν τῆς χειρὸς ὑφελέσθαι σφενδόνην A.

eturus esset, prae se ferret. instante autem obitu cum in splendidissimis Manganiae regiae substructionibus decumberet, Iohannes et eius rei et materni odii guarus, quae imperium in sororem conferre niteretur, negotium cum cognatis sui studiosis communicat, quorum princeps erat frater Isaacius; et clam matre paternum cubiculum ingressus, et tanquam morbum eius deplorare vellet, prostratus anulum de manu eius surripit. sunt tamen qui id eum de sententia patris fecisse affirment; idque ex iis quae mox sequentur fit probabile. cum autem in coetu suorum rem gestam exposuisset, eques ad maximam regiam properavit, armis stipatus, atque in ipso Manganio monasterio et urbis regionibus a multitudine sui studiosa, et iis qui fama rei exciti in urbe versabantur, imperator salutatus est. quibus rebus Irene territa filium monuit ut coeptis desisteret. sed cum is summo studio rem urgeret neque verbis matris quidquam moveretur, Bryennium hortatur ut se adiutrice regnum affectet. ut vero ne sic quidem res procedebat, ad maritum accedit in lecto decumbentem et tenui spiritu vitam adhuc prae se ferentem, et corpori eius incumbens clare vociferatur, lacrimis instar fontis exuberantibus, fili-

σώματι καταβοῦται λαμπρῶς τοῦ υἱέος, ὡς κρήνη μελάνυ-
δρος τὰ δάκρυα χέουσα, ὅπως αὐτοῦ τοῖς ζῶσιν ἔτι συντατ- V.5
τομένου τὴν βασιλείαν οὗτος κλωπεύει, εἰς ἔργα βλέψας νεώ-
τερα. ὁ δὲ οὐδέν τι πρὸς τὰ λεγόμενα ἀπεκρίνατο, ἄλλοις
καιριωτέροις, οἷα εἰκός, τὸ τῆς ζωῆς βραβεύων λειπόμενον,
τῆς τε μετ' οὐ πολὺ ἐκδημίας φροντίζων καὶ τοῖς ψυχαγωγοῖς
ἀγγέλοις ῥέπων τὰ ὄμματα. ἐγκειμένης δὲ λιπαρεστέρως τῆς
βασιλίδος καὶ μὴ ἐνεγκεῖν ὅλως ἐχούσης τὰ παρὰ τοῦ παιδὸς
γινόμενα, βραχύ τι παρεμφήνας καὶ βεβιασμένον μειδίαμα ὁ
Ἀλέξιος τὰς χεῖρας ἀνέσχεν εἰς οὐρανόν, ἴσως μὲν ἐπὶ τοῖς P.6
ἀφηγηθεῖσι διαχυθεὶς καὶ θύων ὑπὲρ τούτων θεῷ χαριστή-
ρια, εἰπεῖν δὲ καὶ κέρτομον καὶ σεσηρὸς τῇ γυναικὶ ἐπιδοὺς
ὡς λόγους ἀνακινούσῃ περὶ ἀρχῆς ὅτε ψυχῆς ἐφειστήκει διά-
στασις ἐκ τοῦ σώματος, ἢ καὶ τὸ θεῖον ἐξιλεούμενος ἐφ' οἷς
που καὶ παρεσφάλη τοῦ δέοντος. ἡ γυνὴ δ' οὖν ἐκ τοῦ ἀναμ-
φιλέκτου χαίρειν οἰηθεῖσα τὸν ἄνδρα δι' ὅσα παρ' αὐτῆς
ἠνώτιστο, ὡς ἤδη τῶν προτέρων ἐλπίδων διεψευσμένη παν-
τάπασι καὶ διασφαλεῖσα τῶν ὑποσχέσεων, βύθιον στενάξασα
εἴρηκεν „ὦ ἄνερ, καὶ ζῶν παντοίαις μεθοδείαις ἐκέκασο,
ἀντίφθογγον τὴν γλῶτταν πλουτῶν τοῖς νοήμασι, καὶ νῦν δὲ
ὡσαύτως τοῦ βίου ἀπαλλαττόμενος ἀμεταπτώτως ἔχεις οἷς καὶ B
πρώην προσέκεισο." καὶ ταῦτα μὲν ἐφέρετο τῇδε, ὁ δέ γε
Ἰωάννης κατὰ τὸ μέγα ἀρχεῖον γενόμενος οὐχ εὕρισκε ῥᾳδί-
αν τὴν εἴσοδον, οἷα τῶν φυλάκων μὴ πρὸς μόνην ὑπενδιδόν-
των τὴν τοῦ δακτυλίου ὑπόδειξιν, ἀλλὰ προσεπιζητούντων
καὶ ἄλλο τι τεκμήριον τοῦ κατὰ κέλευσιν πατρικὴν ἐκεῖσε

um ipso adhuc superstite res novas molientem regnum affectare. ille vero gravioribus rebus occupatus, scilicet in vitae exitu, et peregrinationi iamiam instanti intentus, oculis ad angelos animorum duces conversis, nihil ad ea respondit. illa vero acrius urgente et filii facta aegerrime ferente, cum exiguo coactoque risu, manibus in caelum sublatis, sive eo nuntio delectatus et deo gratias agens sive delictorum veniam a deo flagitans, vultu parum blando eam castigavit quod imperii contentionem in discessu animi a corpore moveret. mulier itaque haud dubie maritum iis quae audisset delectatum esse rata, ut iam omni frustrata spe deiectaque prioribus consiliis, cum magno gemitu dixit „o marite, et vivens omnibus dolis instructus fuisti, aliud dicere aliud sentire solitus; et nunc a vita discedens a consuetudine ista non discedis." interea Iohannes ad magnum palatium progressus non facilem aditum habuit, custodibus non statim anulo ostenso acquiescentibus, sed aliud quoque evidentius argumentum requirentibus quo se patris iussu adesse comprobaret. porta

παραγένεσθαι. αἱ πύλαι τοίνυν τοῦ παλατίου χαλκείαις ῥάβδοις πλατείαις θάτερα τῶν ἄκρων μετεωρισθεῖσαι βραχύ τι κατὰ γῆς βάλλονται, κἀντεῦθεν αὐτός τε μετὰ ῥᾳστώνης εἰσεληλύθει καὶ συνεισῄει τὸ ὁπλοφόρον καὶ συγγενές· οὐ βραχεῖς δὲ καὶ τῶν ἐκ τοῦ ξύγκλυδος ὄχλου συνομαρτούντων ἔνδον εἰσήρρησαν, οἳ καὶ διαρπάζειν τὸ προσ- C τυχὸν ἐπεβάλοντο. τῶν δὲ πυλῶν αὖθις ἐπικλεισθεισῶν οἵ τ' ἐκτὸς τοῦ ἐπεισρέειν ἐπαύσαντο, καὶ τὸ εἰσεφρηκὸς ἐξιέναι μὴ συγχωρούμενον ἐφ' ἡμέρας συχνὰς ἐκεῖσε τῷ βασιλεῖ συνδιέτριβεν. ἦγε μὲν οὖν τότε πέμπτην καὶ δεκάτην ὁ Αὔγουστος μήν· νυκτὸς δ' ἐπιούσης ὁ βασιλεὺς Ἀλέξιος τοῦ ζῆν ἀπενήνεκται, ἄρξας ἐνιαυτοὺς ἑπτὰ καὶ τριάκοντα, καὶ ἥμισυ μηνὸς σὺν τοῖς τέσσαρσι. κατὰ δὲ τὴν ἕω εὐθὺς μεταστέλλεται ἡ μήτηρ τὸν Ἰωάννην εἰς τὴν τοῦ πατρικοῦ σκήνους ἐξιέναι πομπαίαν πρόοδον, αὐτίκα μάλα ἀρθησομένου τε καὶ ἀχθησομένου εἰς ἣν ἐκεῖνος ἐδείματο Χριστῷ τῷ φι- D λανθρώπῳ μονήν. οὐκ εἶχε δ' αὐτῇ καὶ πειθόμενον, ἀλλ' ἦν πρὸς τὴν μετάκλησιν ἀνανεύων, οὐ θέσμια μητρὸς παρορῶν ἢ τὴν πατρικὴν τιμὴν ἀπωθούμενος, ἀλλ' ὅτι τὸ νεοπαγὲς ὑπεβλέπετο τῆς ἀρχῆς καὶ τοὺς ἀντιζήλους ἐδεδίει θερμὸν ἔτι ἐγκυμονοῦντας τῆς βασιλείας τὸν ἔρωτα. ὅθεν αὐτὸς μὲν ὡς οἱ πολύποδες τῶν πετρῶν ἐξείχετο τῶν ἀρχείων, τὸ δὲ πλεῖστον τῆς μεθ' ἑαυτοῦ συγγενείας διαφῆκεν εἰς τὴν πρόοδον τοῦ πατρός.

3. Ἡμερῶν δὲ συχνῶν διαγενομένων τὴν εἰς τὰ ἀρχεῖα

8. εἰσεφρονηκὸς A. 23. πλῆθος A.

vero palatii aperta, quae ita parata erat ut cum ex altera parte in summo latis aereis laminis paululum attollebatur, cardine emota humi caderet, facilem ingressum habuit, comitantibus satellitibus et cognatis. una irrupit etiam promiscua turba; qua obvia quaeque diripere aggressa, foribus clausis, et qui extra erant, introitu prohibiti sunt, et qui irruperant, compluribus diebus inclusi cum imperatore vixerunt. agebatur tum mensis Augusti dies quindecimus, cum imperator Alexius sub noctem vita functus est, anno imperii trigesimo septimo, mense IV cum dimidio. postridie mane statim mater Iohannem ad paternas exequias vocat, quod corpus eius mox in monasterium, quod ipse Christo propitio construxisset, efferendum esset. sed eum dicto audientem non habuit, non quod matris auctoritatem aspernaretur aut patris honorem negligeret, sed quod regno [illegible]um firmato adversarios imperii cupiditate adhuc flagrantes me[illegible]t. proinde ut polypodes saxis, ita ipse palatio inhaerebat, ma[illegible] tamen parte cognatorum ad funus patris ornandum ablegata.

[illegible]. Diebus compluribus elapsis aditum et exitum palatii cuivis

πάροδόν τε καὶ ἔξοδον ἀνῆκε τῷ βουλομένῳ παντί, τῶν τε κοινῶν πραγμάτων ἐφήπτετο καθάπερ ἡρεῖτο, ὡς ἤδη ἐν τῷ ἀσφαλεῖ καθεστώς. ἀλλὰ καὶ τοῖς ἐκ γένους καὶ οἰκειώσεως αὐτῷ προσεγγίζουσι κατὰ τὸ ἀνάλογον αὐτοῖς προσφερόμενος ἁρμοδίους ἑκάστῳ ἀπένεμε τιμάς, τῷ γε μὴν Ἰσαακίῳ τῷ κασιγνήτῳ προστετηκὼς συμφυὴς καὶ ὁμόπνους ἐδείκνυτο, καὶ ὡς φιλοῦντι μὲν ὑπὲρ ἅπαντας, μάλιστα δ' ὡς τὰ πάντα ἢ τὰ πλείω εἰσενέγκαντι πρὸς τὴν ἐπίβασιν τῆς ἀρχῆς· P. 7 τούτου γὰρ καθισταμένης ἔτι τῆς βασιλείας καθέδρας τε καὶ τραπέζης ἐξ ἴσου κοινωνὸν παρελάμβανε, καὶ μετεδίδου τῆς ἀναρρήσεως, ὁποία ἐπιπρεπὴς τῷ τοῦ σεβαστοκράτορος ἀξιώματι, ᾧ πρὸς τοῦ πατρὸς Ἀλεξίου τετίμητο Ἰσαάκιος. καὶ φροντιστὰς δὲ τῶν δημοσίων πραγμάτων προυβάλλετο ἐκ τοῦ V. 6 καθ' αἷμά οἱ προσεγγιζόντων τὸν Κομνηνὸν Ἰωάννην, ὃν καὶ τῷ τοῦ παρακοιμωμένου τετίμηκεν ἀξιώματι, καὶ τὸν Ταρωνίτην Γρηγόριον ὄντα πρωτοβεστιάριον. ἀλλ' ὁ μὲν ὅτι μὴ τῷ δακτύλῳ τὸ πᾶν διεπέττευε, σοβαρὰν προφαίνων ὀφρὺν καὶ φρονηματώδης ὡς οὔ τις ἄλλος δεικνύμενος, τὸν φροντι- B στὴν τῶν κοινῶν ἀπεφορτίσατο τάχιον· ὁ δὲ Γρηγόριος τῆς προκειμένης ἐχόμενος, μηδὲ μακρὰ βιβὰς ἢ γοῦν ἐκτείνων πόδας ὑπερβαθμίους, μονιμωτέρας ἰσχύος μετείληχε. παρεζεύχθη δ' ἐς ὕστερον τουτῳῒ καί τις Γρηγόριος ἕτερος, ᾧ Καματηρὸς ἡ ἐπίκλησις. ὁ δ' ἀνὴρ οὗτος ἐλλόγιμος μέν, τὸ δὲ γένος οὐκ εὐπρεπὴς οὐδ' ἐπίπαν εὐπάρυφος, τῷ βασιλεῖ δὲ προσληφθεὶς Ἀλεξίῳ καὶ τοῖς ὑπογραμματευομένοις κατα-

5. τὰς τιμὰς A. 8. εἰσενεγκόντι A.

liberum fecit, et rem publicam suo arbitratu administrare coepit ut rebus iam in tuto collocatis. cognatis et familiaribus pro dignitate cuiusque honorem habuit, Isaacium fratrem tanto amore prosequens, ut a latere eius nunquam discedere eodemque spiritu uti videretur, tum quod ab eo summopere diligebatur, tum quod eius unius, aut certe praecipuo studio, regnum occuparat. cuius initio statim pari sella eademque mensa, et ea proclamatione eum dignatus est qualis sebastocratoris honorem decebat, quem a patre Alexio Isaacius acceperat. rei publicae curam cognatis mandabat, Iohanni Comneno, quem accubitorem legit, et Gregorio Taronitae protovestiario. verum alter, quod intolerabile supercilio attollebat, nisi digito verteret omnia, et insigni arrogantia praeditus erat, cito a rei publicae gubernaculis est amotus: Gregorius vero negotiis gerendis intentus, et intra muneris sui limites modeste se continens, potestate diuturniore usus est. huic postea collega datus est alter Gregorius, Camaterus cognomento, vir egregius ille quidem, sed obscuro atque ignobili

λεγεὶς τὰς ἐπαρχίας ἀμφεπολεῖτο, κἀκ τοῦ τάσσειν φόρους ταύταις πλοῦτον τιθασβώσσων βαθὺν ἠράσθη κατὰ κῆδος βασιλεῖ συναφθῆναι. οὐκοῦν καὶ προσπλακεὶς μιᾷ τῶν ἐκείνου συγγενῶν λογοθέτης τῶν σεκρέτων προυβέβλητο. ἴσχυε δ' ὑπὲρ πάντας παρὰ τῷδε τῷ βασιλεῖ καὶ τὰς πρώτας ἐκαρποῦτο τιμὰς ὁ Ἀξοῦχος Ἰωάννης. ἦν δ' οὗτος Πέρσης τὸ C γένος, τῆς δὲ Βιθυνῶν προκαθημένης πόλεως Νικαίας τῆς τῶν Περσῶν δυναστείας ἀπαλλαγείσης, ὅτε Βαϊμοῦνδος τῆς ἐς Παλαιστίνην πορείας εἴχετο, συνέχεται καὶ αὐτὸς καὶ τῷ βασιλεῖ Ἀλεξίῳ δῶρον παρέχεται. ἧλιξ δ' ὢν Ἰωάννῃ τῷ βασιλεῖ συμπαίστωρ αὐτῷ προσείληπτο, καὶ τῶν οἰκιδίων καὶ προκοίτων ὁ προσφιλέστατος κρίνεται. ἐπεὶ δ' ἐπέβη τῆς βασιλείας, πᾶσαν ὑπερανέβη πρεσβυτέραν παραδυνάστευσιν, μέγας τιμηθεὶς δομέστικος, ὡς καὶ πολλοὺς τῶν ἐρετίμων κατὰ γένος βασίλειον ἀποβαίνειν τοῦ ἵππου καὶ τούτῳ ἀπονέμειν προσκύνησιν κατὰ συγκυρίαν ὑπαντιάζοντας. ἦσαν δὲ τῷ ἀνδρὶ τούτῳ οὐ μόνον χεῖρες δεδιδαγμέναι πρὸς D πόλεμον, ἀλλὰ καὶ πρὸς εὐποιίαν τῶν δεομένων ὀξεῖαί τινες καὶ εὐκίνητοι. ἀτὰρ τὸ εὐγενὲς τῆς γνώμης καὶ ἐλευθέριον τὸ μὴ ἔχον οὕτω τοῦ γένους τὰ πολλὰ συνεσκίαζε, καὶ ποθεινὸν παρὰ πᾶσι τὸν Ἀξοῦχον ἀπειργάζετο.

Ἀλλ' οὔπω ἐνιαυτὸς ἀκριβῶς τῷ βασιλεῖ διεγένετο, καὶ κατινύεται τούτῳ παρὰ τῶν ἐκ γένους ἐπιβουλή, καθ' ὃν οὐκ

1. τὰς — συγγενων] καὶ κατὰ κῆδος αὐτῷ συναφθεὶς ὡς μιᾷ τῶν ἐκείνου συγγενῶν προσπλακεὶς P. 7. τῆς Νικαίας ὑπὸ τῶν ἑσπερίων ἁλούσης ταγμάτων, ἡνίκα τῆς ἐς Παλαιστίνην πορείας εἴχοντο PW.

genere ortus. is ab Alexio in scribarum numerum allectus provincias peragrabat, et ex ordinatione tributorum magnas opes adeptus imperatoris affinitatem expetivit, ductaque cognata quadam eius Logotheta secretorum designatus est. caeterum Iohannes Axuchus, natione Persa, omnes apud hunc imperatorem auctoritate anteibat; qui principe urbe Bithyniae Nicaea Persico dominatu liberata, cum Baimundus in Palaestinam contenderet, capitur et ipse, et Alexio dono datus, cum Iohanni aequalis esset, in collusorem eius ascitus fuit et inter domesticos et cubicularios carissimus habitus. eo vero rerum potito omne dignitatis fastigium supergressus, magnique domestici honore ornatus, eo processit ut multi honoratissimi viri ex regia stirpe, cum obviam facti, equis descenderent eique honorem haberent. erant autem ei viro manus non ad bellum duntaxat eruditae, sed et ad beneficentiam expeditae et promptae. unde factum ut generis obscuritatem generosa indoles et liberalitas fere obtegerent, atque Axuchum carum redderent omnibus.

Ceterum anno nondum exacto ex invidia et indignatione cogna-

ἔχει τις τρόπον εἰπεῖν, κατ' αὐτοῦ βαρυμηνιώντων καὶ ὄμμα οἱ ἐπιρριπτούντων βάσκανον. ἀμέλει τοι καὶ σύστρεμμα τεκτήναντες πονηρὸν καὶ πίστεις δόντες ἀλλήλοις τῷ Βρυεννίῳ πάντες προστίθενται, καὶ παραχωροῦσι τούτῳ τῆς βασιλείας ὡς λογικῶν μετόχῳ παιδεύσεων καὶ εἶδος τυραννικὸν προφαίνοντι καὶ κατὰ κῆδος προφερεστέρῳ βασιλικόν· ὡς γὰρ φθάσαντες εἴπομεν, τῇ τοῦ βασιλέως ἀδελφῇ τῇ Καισαρίσσῃ Ἄννῃ συνέζευκτο, ἥτις δὴ τῆς τῶν ἐπιστημῶν πασῶν ἐπόχου φιλοσοφίας ἐδείκνυτο μέλημα καὶ πρὸς πᾶσαν ἐρρύθμιστο μάθησιν. τάχα δ' ἂν καὶ νυκτὸς ἐπέθεντο μεθ' P. 8 ὅπλων τῶν φονουργῶν αὐλιζομένῳ τῷ βασιλεῖ κατὰ τὸ μικρὸν ἄποθεν τῶν χερσαίων πυλῶν ἱππήλατον Φιλοπάτιον, δώροις προδιαφθείραντες ἁδροῖς τὸν ἐπὶ τῶν εἰσόδων τῆς πόλεως, εἰ μὴ τὸ εἰωθὸς ὑπόνωθρον καὶ χαλαρὸν πρὸς βασιλείας ἐπίθεσιν τῆς ἐγχειρήσεως ἔπαυσε τὸν Βρυέννιον, αὐτόν τε μένειν κατὰ χώραν παραβιάσαν τῶν ξυνθηκῶν λαθόμενον, καὶ κατασβέσαν τὸ θερμὸν τῶν συνελθόντων φρόνημα, ὅτε καὶ λέγεται τὴν Καισάρισσαν Ἄνναν πρὸς τὸ χαῦνον τοῦ ταύτης ἀνδρὸς δυσχεναίρουσαν ὡς πάσχουσαν δεινὰ διαπρίεσθαι καὶ τὴν φύσιν τὰ πολλὰ ἐπιμέμφεσθαι, ὑπ' αἰτίαν τιθεῖσαν οὐχὶ μικρὰν ὡς αὐτῇ μὲν ἐνδιασχοῦσαν τὸ B ἄρθρον καὶ ἐγκοιλάνασαν, τῷ δὲ Βρυεννίῳ τὸ μόριον ἀποτείνασαν καὶ σφαιρώσασαν. φωραθέντων δ' ἡμέρας τῶν ὁμοτῶν οὐδένες μὲν αὐτῶν ἐς τὸ σῶμα διελωβήθησαν ἢ καθυπεβλήθησαν μάστιξι, τῶν δὲ οὐσιῶν ἐστέρηνται ἀπαξά-

21. διασχοῦσαν A. 22. ὑποτείνασαν A.

torum imperatori insidiae comparatae sunt, quarum ratio ignoratur. illud constat, eos improba conspiratione inita et fide invicem data ad Bryennium omnes defecisse, eique regnum detulisse ut et liberalibus disciplinis erudito et regia forma conspicuo et ob imperatoris affinitatem praeferendo. nam, ut supra diximus, Annam Caesarissam, sororem imperatoris, in matrimonio habebat, omnium disciplinarum parenti philosophiae deditam et omnibus artibus eruditam. ac imperatorem in equestri circo Philopatio, qui parum a terrestri porta distat, armis noctu oppressissent, iam ante largitionibus portae custode corrupto: nisi Bryennii innata socordia, et remissior animus, quam regni affectatio postulet, irritum eum conatum fecisset, tum ipso quiescente, oblitoque foederis, tum coniuratorum ardore extincto. quo tempore Anna Caesarissa mariti ignaviam pertaesa, iraque percita, inique secum agi dixisse, et naturam multum accusasse fertur, idque verbis obscoenioribus: quod se mulierem, Bryennium virum fecisset. mane coniuratis deprehensis, nemo eorum mutilatus aut flagris caesus est, sed omnes mulctati bonis: quae tamen ali-

πάντες. μετὰ δέ τινα καιρὸν καὶ αὗται τοῖς πλείοσιν αὐτῶν
ἀπεδόθησαν, ἐξ αὐτῆς τῆς πρωτεργάτιδος τῆς ἐπιβουλῆς Ἄν-
νης τῆς Καισαρίσσης τοῦ βασιλέως ἀρξαμένου φιλανθρωπεύ-
εσθαι. ἀρχὴν δ' ἔσχε τοιάνδε τὸ οὑτωσὶ γεγονός. τὴν ἐν
V. 7 χρυσῷ καὶ ἀργύρῳ καὶ πλούτῳ παντοδαπῷ καὶ ποικίλοις ἐσθή-
μασιν οὐσίαν τῆς Καισαρίσσης καθ' ἕνα δόμον συνειλεγμέ-
νην ὁ βασιλεὺς Ἰωάννης ἐπιστὰς ἐθεᾶτο, καὶ μὴν καὶ εἰπὼν
C ὡς „ἡ τάξις ἐπ' ἐμοί πως ἀντέστραπται· τὸ μὲν γὰρ συγ-
γενὲς πολέμιον εὕρηται, τὸ δ' ἀλλότριον φίλιον· καὶ διὰ
τοῦτο χρεὼν καὶ τὰ τοῦ πλούτου πρὸς τοὺς φιλοῦντας με-
ταρρυῆναι" πάντα εἰληφέναι τὸν μέγαν προσετετάχει δομέ-
στικον. ὁ δὲ εὐχαριστήσας ἐπὶ τούτοις τῷ βασιλεῖ φιλοδω-
ρίαν μεγίστην μεταδιώκοντι, ᾔτησεν ἐνδοθῆναί οἱ τὰ εἰκότα
διαλεχθῆναι. ὡς οὖν ἔλαβε τὸ ἐνδόσιμον, „εἰ καὶ βιαίων"
ἔφη „πραγμάτων καὶ πολλῆς ἀδικίας γεμόντων ἦρξεν ὦ βα-
σιλεῦ ἡ σὴ ἀδελφὴ καὶ ἔργοις αὐτοῖς τὸ συγγενὲς ἀπωμόσα-
το, ἀλλ' οὐχὶ καὶ τὴν ἐκ τῆς φύσεως κλῆσιν καθάπερ καὶ
τὴν σχέσιν ἀπεβάλετο. ἀγαθοῦ τοίνυν βασιλέως εἰσέτι κασί-
D γνητος μένουσα ἐκ μετανοίας τὸ φίλτρον αὖθις ἀνακαλέσεται,
ὃ νῦν ἐκ παρανοίας ἀπώλεσε, τῇ φύσει χρησαμένῃ συλλή-
πτορι. φεῖσαι οὖν ὦ δέσποτα τῆς τῷ σῷ κράτει προσκεκρου-
κυίας ὁμογενοῦς, καὶ κόλασον τῷ φιλανθρώπῳ λαμπρῶς ἤδη
τῆς σῆς ἀρετῆς ἡττᾶσθαι ὁμολογοῦσαν· δὸς δὲ αὐτῇ καὶ τὰ
κατ' ὄψιν προκείμενα, οὐχ ὡς ὄφλημα δίκαιον ἀλλ' ὡς δόμα

15. εἶπε A.

quanto post plerique receperunt, imperatore humanitatem ab ipsa coniurationis principe Anna Caesarissa auspicato. cuius rei haec fuit occasio. imperator cum omnis generis opes, auri, argenti, et variarum vestium in una domo congestas spectaret, naturae ordinem inversum esse questus, quod cognatos hostes, alienos amicos habuisset: etiam opes ad amicos transire oportere dixit, et omnia magnum domesticum accipere iussit. is vero summae imperatoris munificentiae gratiis actis, et dicendi quae vellet potestate petita atque accepta: „etsi tua soror (inquit) imperator, violentum et iniquissimum facinus ausa, re ipsa cognationem abiuravit: tamen non ut affectum ita, etiam appellationem naturalem amisit. cum igitur adhuc boni imperatoris soror maneat, caritatem, quam nunc dementia perdidit, naturae adiuta suffragio, poenitentia recuperabit. parce igitur sorori, domine, quae tuam maiestatem violavit: eamque humanitate castigato, quae illustri bonitate sua se victam fatetur. dato ei etiam quae in medio posita sunt: non ut iustum debitum, sed ut donum voluntarium, quae quidem, ut patrimonium suum, et in familiam reditura, iustius quam ego possidebit." hac oratione imperator, ac

ἑκούσιον, ἐπεὶ καὶ δικαιότερον ταῦτα ἐμοῦ κτήσαιτο, κλῆρον ὄντα πατρῷον κἀκεὶ τὸ γένος αὖθις διαβησόμενα." τούτοις ὁ βασιλεὺς πεισθείς, ἢ ἀληθέστερον εἰπεῖν αἰδεσθείς, σὺν προθυμίᾳ περατοῖ τὴν παραίφασιν, φάμενος ὡς „εἴην ἀνάξιος τοῦ ἄρχειν, εἰ σὺ περὶ τὸ γένος τοὐμὸν κριθείης φιλανθρωπότερος καὶ κέρδους περιττοῦ καὶ προχείρου ἀνώτερος." ἀμέλει τοι καὶ δίδωσι πάντα τῇ Καισαρίσσῃ καὶ σπένδεται. Εἰρήνη δὲ ἡ μήτηρ καὶ βασιλὶς κατ' οὐδένα τρόπον ἐλήλεγκται τῆς ἐπιβουλῆς μετέχουσα κατὰ τοῦ υἱοῦ· μᾶλλον μὲν οὖν ὡσέπειτα καὶ σοφόν τι λόγιον γνωματεῦσαι λέγεται, μαθοῦσα P. 9 τὰ μελετώμενα, ὡς δεῖ βασιλέα μὲν οὐχ ὑπόντα ζητεῖν, παρόντα δὲ μὴ μετακινεῖν, καὶ ὡς „οἵας μοι τὰς ὀδύνας οἱ σφαγεῖς ἐχάλκευον τοῦ υἱοῦ, δριμυτέρας δήπουθεν ὧν ἐν τῷ τίκτειν ὠδίνων πεπείραμαι, ὅτι καὶ πρὸς φῶς αἱ μὲν κατήπειγον τὸ κυοφορούμενον, αἱ δ' ἐξ ᾅδου κευθμώνων διὰ μέσων μου τῶν σπλάγχνων χωροῦσαι λυπεῖν ἀθάνατα ἤμελλον."

4. Ὁ δὲ βασιλεὺς τοὺς Πέρσας ὁρῶν παρ' οὐδὲν θεμένους τὰς πρὸς τὸν ἑαυτοῦ πατέρα ξυνθήκας, καὶ παμπληθεὶ τῶν πόλεων καταθέοντας ὁπόσαι περὶ Φρυγίαν καὶ ποταμὸν τὸν Μαίανδρον ἵδρυνται, ἔαρος ἐπιστάντος ἔξεισι κατ' αὐτῶν, καὶ συμβαλὼν μάχαις πολλάκις ἐκράτησε, τήν τε Λαο- B δίκειαν χειρωσάμενος τείχεσι περιέβαλε, καὶ τὸν Ἀλπιχαρὰν μετανάστην ἔθετο, ὃς τὴν ταύτης φρουρὰν ἐπεπίστευτο. καὶ τὰ λοιπὰ πρὸς τὸ δέον καταστησάμενος νόστου ἐμνήσατο, καὶ

2. αὐτῇ A. 9. κατὰ om. A. 12. ὠδῖνας A.

potius verecundia, impulsus, alacriter Axuchi monitis obtemperat: se regno indignum fore professus, si ille cum tanti tamque parati emolumenti contemtu erga familiam suam humanior iudicaretur. ac reconciliata gratia, Caesarissae omnia restituit. Irene vero mater imperatoris, nullo modo conscientiae insidiarum convicta, sed potius memorabilem sententiam elocuta esse fertur, nec imperatorem qui abeit quaerendum, nec qui adsit pellendum esse. atque illud etiam dixisse: „heu, quantos cruciatus filii percussores mihi sunt moliti, acerbiores utique iis doloribus quos in pariendo toleravi. nam ii fetum ad lucem urgebant: isti vero ex infernorum barathro per media viscera mea penetrantes immortalem mihi luctum attulissent."

4. Post haec imperator cum Persas, foedus cum patre suo initum nihili facientes, urbes Phrygiae, ad Maeandrum fluvium sitas magnis copiis incursare cerneret, primo vere egreditur; multisque proeliis victor Laodiceam capit et moenibus cingit, eiecto Alpicharo, qui urbi cum praesidio praeerat; ceterisque rebus ordinatis do-

μικρόν τι τῷ Βυζαντίῳ ἐνδιατρίψας σκηνίτης γίνεται πάλιν, τῶν ἀρχείων ἀπαναστάς. ἦν γὰρ τὰς τῶν βαρβάρων ἐπιδρομὰς φυλαττόμενος, καὶ ὡς ἔχον λυμαίνεσθαι τὸ ἀνέτοιμον ὑφορώμενος. ὅθεν χρονίζειν ᾑρεῖτο μᾶλλον τῇ θυραυλίᾳ, δύο τὰ κάλλιστα κατορθοῦν ἐντεῦθεν οἰόμενος, τήν τε φυλακὴν τῶν οἰκείων χωρῶν, ἣν ὡς τὰ πολλὰ βραβεύει τὸ ὕπαιθρον, καὶ τὴν ἐς τὰ πολέμια ἔργα τριβήν τε καὶ ἄσκησιν
C τῶν ταγμάτων ἀφισταμένων τοῦ οἰκουρεῖν, καὶ ὡς βαφῇ σίδηρος, τοῖς ἐκ τῆς καυστηρᾶς δρόσου ἱδρῶσι παγιουμένων. χειρωσόμενος τοίνυν ἀπῄει τὴν κατὰ Παμφυλίαν Σωζόπολιν. ὡς δὲ δυσάλωτος ἐδόκει τις εἶναι διά τε τὸ ἐγκαθήμενον ἔνδον ὁπλιτικὸν καὶ τὸ δυσέμβολον τῆς θέσεως καὶ περίκρημνον, τοιόνδε τι μηχάνημα κατὰ θεῖον σκοπὸν μέτεισι. δύναμιν ἱππικὴν Πακτιαρίῳ τινὶ παραδοὺς ἐντέλλεταί οἱ συνεχῶς τῇ Σωζοπόλει ἐνιππάζεσθαι κἀπὶ τοῖς τείχεσιν ἀφιέναι βέλεμνα, εἰ δ' ἐπεξέλθοιεν οἱ πολέμιοι, φεύγειν ἀμεταστρεπτὶ μηδ' ἐφεστάναι πρὸς πόλεμον, παριέναι δ' οὕτω καὶ τὰς μικρὸν
V.8 ἄποθεν τῆς πόλεως συνεπτυγμένας καὶ λοχμώδεις ἀτραπούς. ὁ μὲν οὖν κατὰ τὴν βασιλικὴν παραίφασιν ἔπραττεν· ὡς δὲ ἡ ἐπιδίωξις ἐπὶ πολὺ καὶ πολλάκις πρὸς τῶν Περσῶν ἐγίνετο ἐκχεομένων τῆς Σωζοπόλεως, κατασοφίζεται τὸ ἀντίπαλον ὁ Πακτιάριος, ὑποκαθίσας λόχον ἐν τοῖς στενοῖς. ἐν μιᾷ
D γοῦν τῶν καταδρομῶν οἱ μὲν Τοῦρκοι μὴ προσκεψάμενοι τὸ

4. post θυραυλίᾳ A τοῖς ἔξωθεν. 13. σκοπὸν om. A. 23. οὖν A.

mum rediit. nec diu Byzantii commoratus, denuo relicta regia in tabernacula se confert ad barbarorum incursiones praecavendas. nam quia facile detrimenta capi ab imparatis videbat, expeditionibus immorari maluit, unde duos fructus pulcherrimos caperet, alterum suarum provinciarum incolumitatem, quae militibus in aciem eductis potissimum defenditur, alterum exercitationem legionum et moram in re bellica, qua, relicta umbra, praeliis ut tinctura ferrum roborarentur. abiit igitur ad Sozopolim, Pamphyliae urbem, subigendam; quae cum et ob militum praesidium et ob loci naturam, praeruptis et inaccessis saxis muniti, expugnatu difficilis putaretur, divinitus huiusmodi consilium capit. Pactiario cuidam copiis equestribus traditis, mandat ut subinde ad Sozopolis moenia adequitet et sagittas in ea coniiciat. quodsi hostes egrediantur, terga det nec eis pugnae copiam faciat, sed silvosas semitas et impeditas, quae parum ab urbe distent, praetereat. ille imperatoris monitis obtemperans, cum Persae urbe effusi multum et saepe persequerentur, hostem decipit insidiis in angustiis collocatis. cum igitur Turci in una excursione, insidiis non praevisis, instantius et longius, etiam insidias temere

ἐνέδρευμα συντονώτερον ὁμοῦ καὶ πορρωτέρω ὀπίσω τῶν Ῥωμαίων ἐδίωκον, ὡς καὶ τὰς δυσχωρίας ἀπερισκέπτως παραδραμεῖν· οἱ δ' ἐλλοχῶντες Ῥωμαῖοι ἐπεὶ εἶδον ἀπεριμερίμνως τοὺς Πέρσας ὀπίσω τῶν ἐκ τῆς συμμορίας σφῶν ἐπιόντας ἀνέτῳ παντὶ ῥυτῆρι καὶ πρὸς οὐδὲν ἕτερον ἀφορῶντας ἢ τὸ καταλήψεσθαι τοὺς ἐκδιδράσκοντας, αὐτίκα δὴ μάλα αὐτοὶ ἀναστάντες εὐθὺ τῆς Σωζοπόλεως ἵενται. μετὰ βραχὺ δὲ καὶ τῶν φευγόντων ἐπιστραφέντων ἐν μέσῳ συλληφθέντες οἱ Τοῦρκοι, καὶ μήτε τῇ πόλει προσεπεγγίσαι δυνάμενοι διὰ P. 10 τοὺς ἐκ τῶν λόχων προδραμόντας Ῥωμαίους πρὸς τὴν τῶν εἰσόδων κατάληψιν, μήτε διαδρᾶναι τοὺς ὄπισθεν ἐπιφανέντας ἰσχύοντες, οἱ μὲν σαγηνεύονται, οἱ δὲ καὶ ξίφους γίνονται πάρεργον, οὐ πολλοὶ δὲ καὶ τῇ τῶν ἵππων ἀρετῇ διασώζονται. καὶ οὕτως ἥλω πρὸς Ῥωμαίων Σωζόπολις ἑνὶ βουλεύματι τοῦ βασιλέως σοφῷ. ἐκ δὲ τοῦδε τὸ φρούριον παρεστήσατο ὃ Ἱερακοκορυφῖτις ὠνόμασται, καὶ πλεῖστα ἕτερα πολίχνια καὶ ἐρύματα ὑπηγάγετο, πάλαι μὲν Ῥωμαίοις ὑπόφορα, τοῖς δὲ Πέρσαις τότε σπενδόμενα.

Περὶ δὲ τὸ πέμπτον ἔτος τῆς αὐτοῦ βασιλείας Σκυθῶν διαβάντων τὸν Ἴστρον καὶ τὰ Θρᾳκῷα μέρη ληϊζομένων καὶ τὰ ἐν ποσὶν ἀφανιζόντων τοῦ τῶν ἀκρίδων ἀκριβέστερον ἔθ- B νος, ἔξεισι κατ' αὐτῶν τὰς Ῥωμαϊκὰς ἀθροίσας δυνάμεις καὶ ὡς ἐνῆν ὁπλισάμενος γενναιότερον, οὐ διὰ τὸ πλῆθος μόνον τῶν πολεμίων μηδ' ὑποπῖπτον σχεδὸν ἀριθμῷ, ἀλλὰ καὶ διὰ

1. τὸ τοῦ πακτιαρίου στρατήγημα A. 2. παριέναι A. 4. κατὰ νώτου A. σφῶν] αὐτῶν A. 16. ἱερακοφίτης ὠνόμασται A, vulgo Ἱερακοκορυφή τις ὠνομ.

praetervecti, persequerentur, Romani qui in insidiis erant, cum Persas securos toto impetu instare suis viderent, nec spectare quidquam aliud nisi ut hostem comprehenderent, subito consurgunt ac Sozopolim petunt. paulo post iis etiam qui fugiebant conversis, Turci in medio circumventi, cum nec ad urbem ob Romanos ex insidiis, ad occupandos aditus progressos accedere, neque a tergo instantes effugere possent, partim capiuntur, partim occiduntur, pauci equorum celeritate evadunt. sic uno imperatoris prudenti consilio capitur Sozopolis. deinde castellum, quod Cacumen accipitris vocatur, in deditionem accepit; et plurima alia oppida et munitiones, olim Romanis tributaria, tum vero Persis coniuncta, subegit.

Quinto imperii eius anno, cum Scythae Istrum transgressi Thraciam popularentur et obvia quaeque locustarum instar vastarent, Romanas copias undique convocatas et quam accuratissime armatas contra eos educit, non ob multitudinem duntaxat pene innumerabilem,

τὸ χρᾶσθαι μεγαλαυχίᾳ καὶ σὺν κόμπῳ τραχύτερον ἐπιέναι τὸ βάρβαρον, εἰς μνήμην ἄγων, ὡς ἔοικε, τὰ πονηθέντα οἱ πρότερον, ἡνίκα τὰ Ῥωμαίων σκῆπτρα διεῖπεν ὁ Κομνηνὸς Ἀλέξιος, ὅτε εἴχετο Θρᾴκη καὶ τὰ πλεῖστα τῆς Μακεδονίας ἠρήμωτο. τὰ μὲν οὖν πρῶτα στρατηγικῇ μεθόδῳ χρώμενος ὁ βασιλεὺς δι' ἀποστολῆς ὁμογλώττων τοῦ τῶν Σκυθῶν ἀπο- C πειρᾶται στρατεύματος, εἴ πως ἐς ὁμολογίας ξυμβαῖεν καὶ τοῦ διὰ μάχης χωρεῖν ἀποσταῖεν πάντες ἢ γοῦν ἔνιοι, εἰς πλείους διῃρημένοι φυλὰς καὶ διακριδὸν στρατήγια βάλλοντες. ἐφελκυσάμενος οὖν τόνδε τὸν τρόπον τινὰς τῶν παρ' αὐτοῖς τὰ πρῶτα φερόντων, πᾶσαν φιλοφροσύνην ἐπ' αὐτοῖς ἐπιδείκνυται, οὐ μόνον περιττὰς ἑστιάσεις αὐτοῖς παραθέμενος, ἀλλὰ καὶ σηρικοῖς καταγοητεύσας ἱματισμοῖς καὶ κυπέλλοις καὶ λέβησιν ἀργυρέοις ὑπαγαγόμενος. καὶ τοῖς δελέασι τούτοις τὰ τῶν Σκυθῶν ὑποχαυνώσας φρονήματα, ἔγνω μὴ καιρὸν εἶναι μελλήσεως, ἀλλ' ἐπάγειν αὐτοῖς τὰς δυνάμεις κἀκ τοῦ αὐτίκα συντάξασθαι, ἕως ἔτι τὰς γνώμας ἔχοντές εἰσιν ἀμ- D φιβόλους καὶ ῥέπουσι πρὸς ἀμφότερα, καὶ Ῥωμαίοις μὲν διανοούμενοι σπείσασθαι διὰ τὰ σφισιν ἐπαγγελλόμενα, θαρροῦντες δὲ καὶ τὸν πόλεμον ὡς τοῦ νικᾶν ἐθάδες πάλαι γενόμενοι. ἄρας τοίνυν ἐκ τῶν τῆς Βερόης μερῶν (ἐκεῖσε γὰρ ἐστρατοπεδεύετο) κνεφαῖος τοῖς Σκύθαις συρρήγνυται. γίνεται τοίνυν φρικαλέα τις συμβολή, καὶ καταπληκτικωτέρα τῶν πώποτε μάχη συνίσταται· οἵ τε γὰρ Σκύθαι γενναίως ἐδέξαντο τὸ ἡμέτερον στράτευμα τῇ τῶν ἵππων ἐπελάσει καὶ τῇ

1. χρῆσθαι A. 8. πρὸς πλ. A.

sed etiam ob insolentiam et confidentiam barbarorum. repetebat enim memoria labores suos, quos Alexio Comneno imperante coeperat, cum Thracia occupata et Macedonia maxima ex parte desolata esset. ac principio missis ad Scythas legatis, eorum linguae peritis, periculum facit an ut ad pactiones descendant persuadere possit et a belli consiliis omnes avocare aut saltem plerosque. nam in plures tribus erant distributi, nec uni duci parebant. hoc igitur pacto quosdam ex principibus eorum omni genere comitatis sibi conciliat, non modo luxuriosis conviviis instruendis, sed et sericis vestibus et poculis et lebetibus argenteis donandis. quibus illecebris cum fucum fecisset Scythis eosque vana spe inflasset, non cunctandum esse ratus copias in aciem eduxit, dum adhuc ambiguis essent animis et suspensis, ac pacem ob pollicitationes illas cum Romanis facere cogitarent, nec tamen a pugna, ut olim vincere assueti, abhorrerent. educto igitur Beroe exercitu (nam ibi castra habebat) crepusculo Scythas aggreditur. fit horribilis concursus, et atrocissima pugna committitur. nam et Scythae nostrum

τῶν τοξευμάτων ἐπαφέσει καὶ ταῖς βοαῖς ἐν ταῖς ἐμβολαῖς δυσαντίβλεπτοι δεικνύμενοι, καὶ Ῥωμαῖοι καθάπαξ ἐν τῷ ἀγῶνι γενόμενοι ὡς ἡττήσοντες ἢ θανούμενοι προύθεντο μάχεσθαι. καὶ αὐτὸς δὲ βασιλεὺς τοὺς ἑταίρους ἔχων μεθ' ἑαυτοῦ, καὶ ὅσον περὶ τὴν τοῦ σώματος φυλακὴν ἀποτέτακτο, ἀεί πως ἐπεβοήθει τοῖς κάμνουσι μέρεσιν. αὐτὸ μέντοι τὸ Σκυθικὸν κατὰ τόνδε τὸν πόλεμον τοιοῦτόν τι ἐκακοτέχνησεν ἐκ προσκέψεως, ποριζούσης αὐτῷ τῆς ἀνάγκης τὰ δέοντα. συν- P. 11 αγαγὸν δὴ πᾶσαν ἅμαξαν εἰς σχῆμα περιφερὲς αὐτὰς δια- V. 9 τίθησι, καὶ τούτων ἄνωθεν στήσαντες μοῖραν οὐκ ὀλίγην ἐκ τοῦ σφῶν στρατεύματος ὅσα καὶ χαρακώματι ἀπεχρῶντο τῷ μηχανήματι, καὶ πολλὰς δι' αὐτῶν ἐγκαρσίους παρόδους ῥυμοτομήσαντες, βιαζόμενοι μὲν ὑπὸ Ῥωμαίων καὶ τὰ νῶτα πρὸς τὴν τάξιν τῶν προσώπων μετατιθέντες ὥσπερ τεῖχος ἐχυρὸν τὰς ἁμάξας εἰσέτρεχον καὶ διετίθουν οὕτω τὴν φυγὴν πρὸς τὸ εὖ, εἶτ' αὖθις ἐκεῖθεν μετ' ἀνοχὴν ὡσεὶ διὰ πυλῶν ἀνακλινομένων ἐκπίπτοντες ἔργα χειρὸς ἀνδρείας ἐδείκνυον. καὶ ἦν τὸ γινόμενον τοῦτο τειχομαχία τις ἀκριβὴς ἐν μέσῃ πεδιάδι σχεδιασθεῖσα παρὰ Σκυθῶν, ὡς συμβαίνειν ἐκ τοῦ- B δε τὰ Ῥωμαίων ἐπ' ἀτελέστοις μογεῖν. ἦν οὖν τηνικαῦτα τὸν Ἰωάννην ὁρᾶν σοφόν τι χρῆμα τοῖς ὑπ' αὐτὸν καθιστάμενον· οὐ γὰρ ἀγαθὸς μόνον καὶ ποικίλος τὸ ἦθος ἐδείκνυτο σύμβουλος, ἀλλὰ καὶ πρῶτος παρεῖχε πέρατι ὁπόσα στρατηγοῖς καὶ τάγμασιν ὑπετίθετο. τὸ δὲ δὴ καινὸν καὶ πολλὴν

13. μὲν om. A. 20. τὰ τῶν A.

exercitum incursione equorum et emissione sagittarum et clamore in congressu immani sublato fortiter exceperunt. Romani vero semel tentata Martis alea ita pugnare instituerunt ut aut hostes profligaturi aut morituri. sed et imperator amicorum et satellitum praesidio septus laboranti subinde parti opem ferebat. verum Scythae in hoc conflictu, ipsa necessitate artium magistra edocti, rem huiusmodi sunt commenti. omnes currus in orbem coniunxerunt, iisque non exigua suarum copiarum parte imposita pro vallo sunt usi; ac multos obliquos aditus, platearum instar, in iis reliquerunt. cum igitur a Romanis urgebantur, tergis obversis intra currus tanquam munitam arcem nullo fugae incommodo se recipiebant. inde recuperatis viribus, tanquam portis erumpentes fortia facinora edebant. neque ea res aliud erat quam moenium oppugnatio, quae in media planitie Scythae ex tempore struxerant. unde fiebat ut Romani labore irrito fatigarentur. tum vero Iohannes prudentiae suae specimen edebat: neque enim consilio duntaxat et ingenii solertia valebat: sed primus etiam ea quae ducibus et legionibus mandabat exequebatur. illud autem insignem etiam pietatem eius testatur. nam cum Romanae

ἔποχον λέοντι, καὶ τοῦτον ἐκ τῶν ὤτων ἡνιοχεῖν μηδενος ἑτέρου ὑπόντος ἐπιτηδείου πρὸς διεξαγωγὴν τοῦ θηρός. ἦν δὲ ἡ σύγκρισις τοῦ ἰνδάλματος, ὡς μέχρι καὶ προσρήματος ψιλοῦ καὶ γυμνῆς πραγμάτων ἀνακηρύξεως ἐπιτεύξεῖται τῆς βασιλείας ὁ παῖς, τῆς δὲ μείζονος ἀποπεσεῖται κυριαρχήσεως, ὃ καὶ μικρῷ συμβέβηκεν ὕστερον· θανάτῳ γὰρ τὴν ἐξ ἀνθρώπων ἐστείλατο.

Περὶ δὲ θέρειον ὥραν τὸν Ἴστρον διαβάντες οἱ Οὖννοι
C τήν τε Βρανίτζοβαν ἐξεπόρθησαν, κατερείψαντες τὰ τείχη καὶ τοὺς λίθους μετενεγκάμενοι εἰς τὸ Ζεύγμινον, καὶ τὴν Σαρδικὴν ἐληΐσαντο, τὰς ἐπὶ φιλίᾳ τῇ πρότερον ὁμολογίας ἀποσεισάμενοί τε καὶ διαξάναντες. ἦν δὲ ἡ μὲν ἐνδόμυχος αἰτία ταυτησὶ τῆς διαφορᾶς τὸ τὸν Ἀλμούζην παρὰ βασιλέα ἐλθεῖν καὶ προσδεχθῆναι παρ' αὐτοῦ ἀσμενέστατα, κασίγνητον ὄντα Στεφάνου τοῦ τῶν Οὔννων κατάρχοντος, ἡ δ' εὐπρόσωπός τε ἅμα καὶ πρόδηλος ἀφορμὴ τὸ τοὺς οἰκήτορας Βρανιτζόβης λῃστρικῶς ἐπιτίθεσθαι τοῖς παραβάλλουσιν ἐκεῖθι Οὔννοις κατ' ἐμπορίαν καὶ δρᾶν ἐπ' αὐτοῖς τὰ χείριστα. ἅτε δ' ἀπροόπτως τοῦ κακοῦ τοῦδε ξυνενεχθέντος, τότε μὲν
D τῇ κατὰ τὴν Φιλιππούπολιν ἐνδημίᾳ τὰ τῆς προμηθείας βασιλεὺς ἐπεμέτρησεν, Οὔννους ἐκεῖθεν μετανάστας θέμενος· τῷ δ' ἐπιόντι καιρῷ πρὸς παρασκευὴν τῶν οἰκείων καὶ ἄμυναν τῶν πολεμίων χρησάμενος τὰς δυνάμεις συνήθροισε καὶ νῆας ταχυναυτούσας ἡτοίμασε, καὶ ταύτας ἐς τὸν Ἴστρον διὰ τοῦ Πόντου κατακολπίσας ὑδραῖος ὁμοῦ καὶ χερσαῖος τοῖς

10. μετήνεγκαν A.

vice moderaretur, cum alioqui nihil haberet ad domandam belluam accommodatum. cuius visi haec significatio erat, puerum imperio titulo tenus et nomine absque re potiturum, regia vero potestate orbatum iri; id quod paulo post accidit, eo morte sublato.

Sub aestatem Hunni superato Istro et Branizobam vastarunt, et moenibus dirutis saxa Zeugminum transtulerunt, et Sardicam spoliarunt, spreto et rupto foedere. huius controversiae occulta et vera causa fuit, quod Almuzen Stephani Hunnorum principis fratrem ad se profugum imperator libentissime susceperat. id vero praetexebatur et palam obiiciebatur, quod Branisobani Hunnorum mercatores spoliarent et pessime tractarent. quod malum cum praeter expectationem ingruisset, imperator prudenti consilio Philippopoli se tenuit, Hunnis inde pulsis. succedenti vero tempore ad instructionem suorum et ultionem hostium usus copias coegit et naves expeditas comparavit; iisque per Pontum in Istrum traiectis, et aqua adversarios est adortus. fluvio triremi imperatoria traie-

ἀντιπάλοις ἐφίσταται. διελθὼν δὲ τὸν ποταμὸν μετὰ τῆς στρατηγίδος τριήρους, καὶ τὸν στρατὸν καταστησάμενος ἐς τὸ πέραν, ἱππομαχίᾳ καὶ δοράτων ἀγχοινήσει τὸ συνελθὸν Οὐννικὸν διεσκέδασε. χρονίσας δ' ἐν τῇ πολεμίᾳ καὶ καρτερικώτατος φανεὶς ἑαυτοῦ τοῦ τε Φραγγοχωρίου ἐκράτησεν, ὅπερ ἐστὶ τῆς τῶν Οὔννων γῆς τὸ πιότατον, ἐς πεδία ὑπτιάζον ἱππήλατα, μεταξὺ τῶν ποταμῶν Σαούβου καὶ Ἴστρου ἀναπεπταμένον, καὶ τὸ Ζεύγμινον παρεστήσατο, καὶ κατ' αὐτὸν ἐλάσας τὸν Χράμον λείαν πλείστην περιεβάλετο. ἔπειτα καὶ τούτῳ P. 13 *τῷ γένει μεθ' ἑτέρας συμπλοκὰς σπεισάμενος, τά τε πρὸς εἰρήνην εὖ διαθέμενος, καὶ τὸ λοιπὸν βαρβαρικόν, ὁπόσον καθ' ἑσπέραν Ῥωμαίοις ἄγχουρον, εἰς φιλίαν ἄκον ὑπαγαγόμενος ἐν οἷς πολλάκις εὐρόησε κατὰ τὸν πόλεμον, δεῖν ᾠήθη καὶ τὰ ὑπερόρια φῦλα, καθ' ὃν ἂν καὶ δύναιτο τρόπον, ὑποποιήσασθαι, καὶ τούτων μάλιστα ὁπόσα τῇ ἐμπορίᾳ καὶ ἀγυρτείᾳ προσκείμενα μετὰ πλοίων ἐς τὴν Κωνσταντίνου καταίρουσιν. οὐκοῦν καὶ εἶχεν οἰκειωσάμενος τὴν παράλιον Ἰταλίαν, ὅλα λαίφη διαπετῶσαν ἐς τὴν βασιλίδα τῶν πόλεων. ἠρεμησάντων δ' οὕτω τῶν καθ' ἑσπέραν γενῶν, ἐς τὴν ἕω διαβιβάσας τὸ στράτευμα τοῖς τὴν Κασταμόνα κατέχουσι Περσαρμενίοις ἐπιθέσθαι* B *ἔγνωκεν, ὅθεν διὰ τῆς τῶν Βιθυνῶν καὶ Παφλαγόνων ἐπαρχίας ἐλάσας ἐκεῖσέ τε παραγίνεται, καὶ κλίμαξιν ὅτι πλείσταις χρησάμενος καὶ κυκλῷ περιστήσας τὰς ἑλεπόλεις αὐτῆς τε τῆς Κασταμόνος κρατεῖ, καὶ τὸν ταύτης σατραπεύοντα Περσαρμένιον ἀπειπόντα περὶ τῶν ὅλων φυγάδα δεί-*

4. *ἐν* om. A. 12. *ἐς* A. 13. *τὸν* om. A.

ἀναγκαίων καὶ φθορᾷ τῶν ὀχημάτων ἐν τῇ ὁδοιπορίᾳ χρονίσαντες, ἠναγκάζοντο μὴ τῶν πατρίδων βαίνειν εὐθύ, ἀλλ' ἔνθα κατασκηνοῖ βασιλεὺς μεταβαίνειν ὑπὸ τῶν ἐπιμελῶς τὰς ὁδοὺς τηρούντων καὶ τὰς θαλαττίους περαιώσεις ἐπισκοπούντων. ὁ δὲ μὴ ἀγνοεῖν ἔχων τὸ τοῦ γογγυσμοῦ αἴτιον, τὸν D οὐκ εἰδότα πλαττόμενος, ἵνα μὴ λέγοιμι τὸν μηδαμῶς ἐμπαζόμενον ὑποκρινόμενος, ἐκείνους μὲν εἴα κενοφωνεῖν, αὐτὸς δὲ τῆς προθέσεως εἴχετο, βούλεσθαι λέγων ἔχειν τοὺς στρατιώτας συσπουδαστὰς καὶ μηδαμῶς ταῖς συνεχέσιν ἐκδημίαις ἀπαυδοῦντας καὶ ἀποκναίοντας. προθέμενος δὲ μετελθεῖν τοὺς κατὰ τὸ θέμα τῶν Ἀρμενιακῶν παρεισφθαρέντας βαρβάρους, ἅμα δὲ καὶ Κωνσταντῖνον τὸν Γαβρᾶν κατασχεῖν χρόνον ἤδη συχνὸν τὴν Τραπεζοῦντα ὑποποιησάμενον καὶ ἤθεσι τυραννικοῖς αὐτὴν διεξάγοντα, διὰ τῆς τῶν Παφλαγόνων συναγκείας τὴν πορείαν τίθησιν ἀεὶ τῶν τοῦ Πόντου παραλίων τόπων βαδίζειν ἐχόμενα, δυοῖν ἕκεκα, τοῦ τ' ἐκ τῆς οἰκείας χώρας τὴν στρατιὰν οἱ πορίζεσθαι τὰ βιώσιμα, καὶ εἰ δεήσει συρρῆξαι πόλεμον, κατὰ μίαν μοῖραν ἔχειν αὐτὸν ἐπικείμενον, ἀλλ' οὐκ ἐξ ἑκατέρων μερῶν περικείμενον κἀντεῦθεν πρὸς περικύκλωσιν ἐπιτήδειον. ἦν γὰρ ὁ τῆς Και- P. 23 σαρείας τότε κρατῶν Μουχούμετ, περὶ οὗ εἰπεῖν ἔφθημεν, πλείστην ὅτι περιβεβλημένος ἰσχύν, μέρος τε τῆς Ἰβηρίας ὑπαγαγόμενος καὶ ἔνια τῆς τῶν ποταμῶν μέσης παραστησά-

1. ἐν om. A. 19. περικείμενον] προσφάμενον A. 23. ἔνια τῆς] τὰς χώρας τὰς ἐν μεσοποταμίᾳ βασιλικὰς Wolf. cod.

visa, sed ex morbo corporis et penuria commeatus et iactura equorum in itinere morati, deflectere a patria et ad imperatorem ire, ab iis qui vias diligenter obsidebant et portus observabant, cogebantur. verum ipse cum indignationis causam ignorare non posset, ignorationem, ne contemptum dicam, simulans, et illos inania verba fundere sinens, institutum suum urgebat. dicebat enim se milites habere velle, qui idem quod ipse vellent, et continentibus expeditionibus non fatigarentur aut frangerentur. cum autem barbaros, qui in Armeniacorum provinciam irruperant, ulcisci, et Constantinum Gabram, longo iam tempore Trapezunte potientem ac pro tyranno se gerentem, capere statuisset, per Paphlagonum convallem iter intendit, ut continenter per maritima Ponti loca proficisceretur. idque duabus de causis, ut et exercitus e suis provinciis commeatum peteret; et si pugna committenda esset, ea ab una duntaxat parte immineret nec a circumventione quicquam periculi esset. nam Muchumetus, qui tum Caesarea potiebatur, de quo supra diximus, maximis opibus pollebat et Iberiae partem subegerat ac nonnulla Mesopotamiae loca

μενος, τὸ μὲν ἄνωθεν γένος ἐς τοὺς Ἀρσακίδας συναλειφόμενος, τὸ δὲ προσεχὲς ἐκ Τανισμανίων καταγόμενος· ἦσαν δ' οὗτοι τολμητίαι καὶ ἀνδρισταὶ καὶ τῶν χειρωσαμένων τὰς ἑῴας πόλεις Ῥωμαίων οἱ μάλιστα κράτιστοί τε καὶ ἀναιδέστατοι. ἔαρος μὲν οὖν ὑπολήγειν ἀρξαμένου, τοῦ Λοπαδίου βασιλεὺς ἀπανίσταται, τὴν δὲ θέρειον πᾶσαν ὥραν καὶ τοῦ μετοπώρου τὸ εὔκραὲς ἐν τῇ ὁδοιπορίᾳ τῇδε κατατριψάμενος περὶ τρο- B πὰς ἐνηυλίσατο χειμερίους πόλει Ποντικῇ τῇ Κιντῇ. τῇ πολεμίᾳ δ' ἐκ τοῦδε προσβαλὼν ἐν πολλοῖς ἐδυσπράγησεν. ἔστι μὲν γὰρ καὶ ἄλλως ἡ Καππαδοκῶν χώρα κρυμώδης πᾶσα, καὶ τὸ κλίμα τοῦτο ψυχεινὸν καὶ δριμύτατον· τότε δὲ καὶ χειμῶνος ἐπιγενομένου ἀήθους πολυτρόποις κακοῖς προσεπάλαισε. τά τε γὰρ πρὸς δίαιταν ἐπιτήδεια σχεδὸν εἰς τέλος ἐξέλιπον, καὶ τῶν ζώων ὁπόσα σκευοφόρα τε καὶ πολεμιστήρια, διεφθάρη παντάπασι. κἀκ τοῦδε τὸ ἀλλόθρουν πλειόνως ἀναθαρρῆσαν, ἐπεὶ καὶ ἄφθεγκτόν ἐστι τῇ φήμῃ μηδὲν ἀνεξερεύνητόν τε καὶ ἀνεξέλεγκτον, ἐφόδοις ἀκηρύκτοις ἐχρῆτο συχναῖς, καὶ λῃστρικοῖς ἐπιτιθέμενον κλέμμασιν, ἐνιαχοῦ C δὲ καὶ προδήλως διαμιλλώμενον κατὰ μάχην ἐνώπιον, ἀεὶ τὰς τῶν Ῥωμαίων ἐλυμαίνετο φάλαγγας· κατὰ γὰρ νέφος συνεχὲς τὴν σύστασιν ἐφιστάμενον ἐκ τοῦ αὐτίκα, τῇ ποδωκείᾳ πεποιθὸς τῶν ἵππων, τῆς ὁμαιχμίας ἀφίστατο ὡς εἴπερ ἀνέμων πνοαῖς ἐξῄρετο. βασιλεὺς δὲ τὸ τῶν ἵππων μεθοδεύων ἀτύχημα, περιιὼν τὸ στράτευμα τὰ εὐγενῆ τῶν ὀχημά-

6. ἐπανίσταται APW. 8. πόλει τοῦ πόντου τινὶ κιντικῇ λεγομένῃ B. 9. ἔκτοτε A. 23. ἐξήρητο A.

in deditionem acceperat. is ad vetustam Arsacidarum et Tanismaniorum recentem stirpem genus referebat, qui Tanismanii homines audaces et bellicosi erant, et eorum qui Orientales Romanorum urbes ceperant potentissimi et impudentissimi. vere igitur iam exeunte imperator Lopadio discedit; et omni aestivo tempore autumnique parte temperatissima in eo itinere consumptis, sub hibernum solstitium in urbe Pontica Quinta hiemavit. inde hostilem agrum aggressus multa incommoda pertulit: nam et commeatu pene omni destitutus est, et iumenta tam bellicosa quam sarcinis gerendis apta funditus perierunt. unde hostes fiducia resumpta (nam fama nihil impervestigatum aut occultum sinit) multis inexpectatis impressionibus latronum more irruebant; aliquando etiam aperto Marte Romanos aggredientes phalanges eorum crebris detrimentis afficiebant. instar enim nsae nubis subito irruentes, equorum velocitate freti, e medio edebant perinde ac si ventorum flatu attollerentur. imperator veut cladem resarciret, passim in exercitu generosos equos conquiat; iisque inter Romanos, qui contos ferre norant, ac Latinos

των συνέλεγε, καὶ ταῦτα διαδιδοὺς καὶ Ῥωμαίοις μέν, ὁπόσοι κοντοφορεῖν ᾔδεσαν, τοῖς δ' ἐκ τῶν Λατίνων μάλιστα δεξιοστροφεῖν ἐπισταμένοις δοράτια, ἀνθίστα τούτους τοῖς πολεμίοις καὶ παρεῖχε γενναίως ἀντιμαχεῖν. οἱ δὲ τὰς μετὰ V. 19 ξυστῶν ἐπελάσεις τούτων ἐνεγκεῖν οὐκ ἔχοντες πρὸς φυγὴν μεθηρμόζοντο. ἱκανῶς μὲν οὖν διὰ τῶν τοιούτων μεθόδων καὶ τοῦ πλείστους ὅτι μάλιστα τῶν πεζῶν σημαίας ἀνέχειν D εἰς ἔμφασιν ἱππικοῦ πλείονος τὰς Περσικὰς ἀναστείλας ἴλας, ἐπὶ Νεοκαισαρείας ἵετο. πολλαὶ δὲ καὶ περὶ αὐτὴν μεταξὺ Περσῶν καὶ Ῥωμαίων ἐτολυπεύθησαν συμπλοκαί. καὶ τῶν τοῦ βασιλέως υἱῶν ὁ νεώτερος (Μανουὴλ ὄνομα τούτῳ) δόρυ διαβαστάσας καὶ ἱκανῶς προελθών, τοῦ πατρὸς εἰδότος μηδέν, τοῖς πολεμίοις ἐνέβαλε, καὶ τὸ ἔργον τοῦτο τοῦ μείρακος παρωρμήκει σχεδὸν ἅπαν τὸ στράτευμα καὶ ὑπὲρ ἰσχὺν ἀγωνίσασθαι, τινῶν μὲν ἐς τὸν ὅμοιον ζῆλον διαναστάντων, τῶν δ' ἄλλων ἁπάντων δεισάντων περὶ τῷ παιδί, καὶ βασιλεῖ χαριεῖσθαι τὰ μέγιστα οἰηθέντων εἰ συναραμένων αὐτῶν οὐδαμῶς τι πρὸς τῶν πολεμίων ἐσεῖται πεπονθὼς ἀηδές. ἀλλὰ τότε μὲν ὁ πατὴρ ἐπαίνοις τὸν παῖδα προδήλως ἠμείψατο· ὕστερον δὲ τὴν σκηνὴν εἰσιὼν πρηνῆ ταθέντα δι' ὀλί- P. 24 γου ἔτυψεν ὡς θρασύτερον μᾶλλον ἢ εὐτολμότερον, μηδ' ἐπιτρέψαντος αὐτοῦ συμπλακέντα τοῖς ἐναντίοις.

10. Ἴσως δ' ἂν καὶ τῆς Νεοκαισαρέων ἐκράτησε βασι-

2. ἐκ τῶν] ἐπιπλέον τοῖς φράγγοις B. 6. τοιῶνδε A. 7. τοῦ πλείστους] τὸ διδοῦναι φλάμουλα τοῖς πεζοῖς ὡς καβαλλαρίους φαίνεσθαι B. 8. ἴλας] φορὰς A. 11. δόρυ] κοντάριον, ut solet B. 20. τὴν σκηνὴν] εἰς τὴν τένταν αὐτοῦ εἰσελθὼν ἁπλώσας τοῦτον ἐπὶ γῆς μετὰ ῥάβδου ἔτυψε B.

potissimum in circumagendis hastis dextros, distributis, aciem robustam hostibus opponebat. qui cum hastarum impetum ferre non possent, in fugam vertebantur. his igitur artibus, et quia plurimi pedites vexilla sustinebant ad maiorem equitatus speciem praebendam, repulsis Persicis turmis Neocaesariam perrexit, iuxta quam etiam inter Persas et Romanos crebro est dimicatum, et imperatoris iunior filius Manuel, hastam gestans et patre inscio longe progressus, impressionem in hostes fecit; idque adolescentis facinus fere totum exercitum ad dimicandum etiam supra vires impulit, aliis aemulatione incitatis, ceteris vero omnibus adolescenti metuentibus, et ab imperatore se maximam gratiam iniituros ratis, si sua opera ab omni hostium insultu defenderetur. ac tum pater filium palam laudibus prosecutus est. deinde vero tabernaculum ingressus pronum iacentem paulisper verberavit, ut audacius quam fortius iniussu suo hostes adortum.

10. Forsitan autem Neocaesarea potitus esset imperator, nisi

λεύς, εἰ μὴ κατὰ συγκυρίαν ἀπρόοπτον αὐτῷ προσέστη τῦ-
φος ἄλογος αὐτοθελὴς καὶ θυμὸς παντάπασιν ἀκυβέρνητος
τοῦ ἀδελφιδοῦ Ἰωάννου, ὃν ὁ σεβαστοκράτωρ ἐγείνατο Ἰσαά-
κιος. μάχης γὰρ ἐνισταμένης μετὰ Περσῶν ἱππότην ἐπίση-
μον ἐξ Ἰταλίας ὁρμώμενον ἄνιππον ὁ βασιλεὺς θεασάμενος
ἐκέλευσε παρεστῶτι τῷ ἀνεψιῷ Ἰωάννῃ ἀποβῆναι τοῦ Ἀρα-
βίου ἵππου ᾧ ἦν ἔποχος καὶ δοῦναι τοῦτον τῷ Ἰταλῷ, μὴ χα-
B τίζοντα ἵππων τὸν ἀνεψιὸν ἐπιστάμενος. ὁ δὲ φρονηματίας
ὢν καὶ γαῦρος πλέον τοῦ δέοντος τῷ τοῦ βασιλέως ἀντέστη
κελεύσματι, ἐμβριθεστέραν, ἵνα μὴ λέγοιμι ἀναιδεστέραν,
τὴν ἀντίρρησιν ποιησάμενος· καὶ τὸν Λατῖνον ἐξουθενῶν
προυκαλεῖτο εἰς ἀντιμάχησιν, ὡς τὸν ἵππον, εἰ περιγένοιτο,
δικαίως ἀποληψόμενον. μὴ ἐπὶ πολὺ δ' ἔχων ἀνθίστασθαι
τῷ θείῳ καὶ βασιλεῖ (ἑώρα γὰρ πρὸς ὀργὴν ἐπιφρίσσοντα)
τὸν ἵππον δίδωσιν ἄκων. μετακελητίσας δ' εἰς ἕτερον ὄχημα
ἀθυμίας πλήρης καὶ βράττων ἄντικρυς θυμῷ, τὸ δόρυ ἀγ-
κοινισάμενος κατὰ τῆς τῶν πολεμίων παρατάξεως φέρεται.
μικρὸν δέ τι προβὰς τὸν λογχήρη κοντὸν εἰς τοὐπίσω ἀντέ-
C στρεψε, καὶ τῷ νώτῳ ἐπαναθέμενος πρὸς Πέρσας αὐτόμολος
γίνεται, τὸ κράνος τῆς κεφαλῆς ἀφελόμενος. ἀμέλει καὶ Ἰω-
άννης μὲν ἡδέως τοῖς βαρβάροις ὁρᾶται καὶ ἀσμένως προσ-
δέχεται, καὶ ὡς πάλαι μὲν συνήθης αὐτοῖς καθιστάμενος,
ἡνίκα τῷ πατρὶ συνεπλάζετο, καὶ ὡς τότε δὴ τῇ παρουσίᾳ
τὰ κατ' αὐτοὺς ἀναρρώσων πράγματα. ὁ δ' αὐτὸς μικρῷ

4. ἱππότην ἐπίσημον] φράγγον ἐπίσημον ἀνδρεῖον B. 5. εὔιππον W, ἔφιππον B. 15. μετακελητίσας] καὶ καβαλλικεύσας ἕτερον αὐτοῦ ἄλογον B.

casu quodam improviso inconsulta et contumax superbia et iracundia prorsus effrenis Iohannis nepotis ex fratre Isaacio sebastocratore illi obstitisset. nam cum acie cum Persis decernendum esset, viso insigni equite Italico, Iohannem fratris filium, quippe cui equos non deesse sciret, Arabico equo descendere eumque Italo dare iussit. at is homo elati animi, et iactantior quam decebat, imperatoris dicto non audiens, audacius, ne dicam impudentius, refragatus est, Latinumque per contemptum ad pugnam provocavit, iure accepturum equum, si vicisset. sed cum patruo imperatori, cui bilem effervescere cerneret, diutius resistere non posset, equum dat invitus; alioque conscenso animo aeger et iracundia aestuans, hasta directa in hostilem aciem tendit, ac paulo longius progressus, ea reflexa et humeris imposita galeaque capiti detracta, ad Persas transfugit. a quibus cupide et amanter suscipitur, tum quod eis, dum cum patre exulabat, innotuerat, tum quod praesentia sua ipsorum res firmaturus esse putabatur. neque multo post Christiana religione abiurata Iconiensis Per-

ὕστερον καὶ τὰ Χριστιανῶν ἐξομοσάμενος ὄργια τὴν τοῦ Ἰκονιέως Πέρσου θυγατέρα ἐγήματο. ὁ δὲ βασιλεὺς ἐπὶ τοῖς συμβεβηκόσι τούτοις ἔκθαμβος γεγονὼς οὐκ ἀγαθαῖς ἐλπίσι διεστροβοῦτο· ᾔδει γὰρ ὡς οὐδὲν ἄφθεγκτον ἐσεῖται παραλελοιπὼς ὁ ἀνεψιὸς τῶν τὴν Ῥωμαϊκὴν περικλονούντων στρατιάν, ἀλλ' ἀχαλινώτῳ καὶ εὐδρόμῳ γλώσσῃ ἀναγγελεῖ τῶν D ἵππων τὸν σπανισμόν, τὴν τῶν βιωσίμων στέρησιν καὶ πᾶν ἕτερον καχέκτημα τῆς παρεμβολῆς. ὑποκλέπτων τοίνυν τὴν ἐπανάλυσιν κατὰ βραχύ πως ἐκεῖθεν μεθίστατο. πλὴν οὐδ' οὕτω δρῶν εἶχε λεληθέναι ὁλοσχερῶς τὸ πολέμιον· τοῖς γὰρ τελευταίοις ἐπικείμενον τοῦ στρατεύματος μέχρι πλείστου παρηκολούθει, καὶ διενοχλοῦν τὴν οὐραγίαν ἐνέλιπεν οὐδαμῶς. διὰ ταῦτα τοίνυν τῆς παραλίας λαβόμενος ἐν τῷ ἀσφαλεῖ καθειστήκει, καὶ τὸ βάρβαρον μηκέτι ἐπιέναι ἔχον παλίσσυτον γίνεται.

Εἶδοι μὲν οὖν Ἰανουάριοι τὸν βασιλέα ἔβλεψαν Ἰωάννην ἐκ τῶν Περσικῶν καμάτων τὴν πόλιν ἐπεισιόντα· αἱ δὲ τοῦ ἦρος περιτροπαὶ τὸ ξίφος εἶχον αὖθις περιζωσάμενον καὶ πρὸς τὸ περὶ τὸν Ῥυνδακὸν ποταμὸν ἀφιγμένον πόλι- V. 20 σμα. ἐπεὶ δὲ ἡ μὲν θέρειος ὥρα παρεληλύθει, ὁ δὲ χειμὼν ἤδη παρεισιὼν τοῖς αἰθριάζουσιν ἐδυσκόλαινεν, ἀνέμων βόμβοις παραφοβῶν καὶ ἀμβλύτερα πρὸς ἀντιπάλαισιν ψύχους τιθεὶς τὰ σώματα, ἐπάνεισιν εἰς τὸ Βυζάντιον, τῷ ψυχεινῷ P. 25 τοῦ καιροῦ ὑπενδοὺς ὡσεὶ καὶ χερμάδια τὰς νιφάδας καὶ δοράτια τὰς πηγυλίδας προβαλλομένῳ. ὑπομειδιᾶν δ' ἀρχομένου τοῦ ἔαρος τῶν ἀνακτόρων ἀπανίσταται. τῷ τοι καὶ τὰς ἐξ ὀσφύ-

23. τὸ om A.

sae filiam uxorem duxit. imperator vero eo casu consternatus spem parum bonam fovebat, haud ignarus nepotem, quibus malis Romani conflictarentur, intemperanti et volubili lingua accurate expositurum, ut commeatus penuriam, ut equorum interitum, ut cetera castrorum detrimenta. quamvis autem ad dissimulandum discessum paulatim inde movebat, tamen ne sic quidem hostes omnino latere potuit, quo minus extremum agmen longissime insectarentur ac perpetuo infestarent. qua de causa ad oram maritimam conversus in tuta se recepit; quo barbari cum accedere non possent, retro abierunt.

Imperator idibus Ianuarii Byzantium a Persicis aerumnis ingressus, sub finem veris gladio resumpto ad Rhyndacenum oppidum proficiscitur. exacta vero aestate, cum hiberna tempestas ventorum procellis et frigore saeviens sub dio agere probiberet, Byzantium revertitur, victus gelu nivibus tanquam lapidibus et glacie veluti hastis armato. vere autem adventante, salutatis filiabus Heliadum in-

ος αὐτοῦ προσειπών, ὅσα καὶ Ἡλιάδας ἐπ' αὐτῷ ἀφιείσας ἠλεκτρῶδες δάκρυον, τὴν Φρυγίαν παρελθών, τὴν δ' Ἀττάλου λαμπροτάτην πόλιν καταλαβών, χρονοτριβεῖν ἐκεῖσε προέθετο, ὅπως τὰς πέριξ ταύτης πόλεις καὶ χώρας μᾶλλόν τι πρὸς τὸ εὖ μεταθοῖτο. ἤδη γὰρ καὶ τούτων ἔνιαι τοῖς Τούρκοις ὑπέκυψαν, ἐν αἷς ἦν καὶ ἡ τοῦ Πουσγούσῃ καλουμένη λίμνη. αὕτη γὰρ εἰς ἀχανῆ καὶ μικροῦ θαλασσίαν χύσιν ἐκτεινομένη ἐν πολλοῖς νησῖδας ἀνίσχει περιβεβλημένας τείχεσιν
B ἰσχυροῖς. ᾤκουν μὲν οὖν ταύτας τηνικάδε καιροῦ Χριστιανῶν ἑσμοί, οἳ καὶ διὰ λέμβων καὶ ἀκατίων τοῖς Ἰκονιεῦσι Τούρκοις ἐπιμιγνύμενοι οὐ μόνον τὴν πρὸς ἀλλήλους φιλίαν ἐντεῦθεν ἐκράτυναν, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν αὐτῶν ἐν πλείοσι προσεσχήκασιν. ἀμέλει καὶ ὡς ὁμοροῦσιν αὐτοῖς προστιθέμενοι Ῥωμαίους ὡς ἐχθροὺς ὑπεβλέποντο· οὕτω χρόνῳ κρατυνθὲν ἔθος γένους καὶ θρησκείας ἐστὶν ἰσχυρότερον. ὅθεν καὶ οἱ μὲν ὡς ἀντίπαλον τὸν βασιλέα κακῶς ἔφασκον, μηδ' ὑποκύψαι ὅλως τοῖς αὐτοῦ θεσμοῖς ἀπηυθαδιάζοντο, τῷ ὑγρῷ φυσῶντες ζωστῆρι τῆς λίμνης, καὶ ἃ οὐκ ἂν ᾠήθησαν φρονοῦντες, ταῦθ' ὡς παραφρονοῦντες διαπραττόμενοι. ὁ δὲ μεθίστασθαι παρῄνει τῆς λίμνης ὡς παλαιοῦ Ῥωμαίων κτή-
C ματος, καὶ καθαρῶς προσχωρεῖν τοῖς Πέρσαις, εἰ τοῦτο βούλοιντο· εἰ δὲ μὴ οὕτω δρῷεν, οὐκ ἂν ἀνασχέσθαι ὅλως διισχυρίζετο αὐτός τε καὶ τὴν λίμνην ἀπεξενῶσθαι Ῥωμαί-

2. τὴν δ' Ἀττάλου] εἰς Ἀττάλειαν καταντήσας B. 5. μεταθοῖτο] διάθοιτο A. 9. ἰσχυροῖς] ἐρυμνοῖς A. 11. οὐ μόνον στερεὰν εἶχον φιλίαν ἀλλὰ καὶ τὰ χρειώδη αὐτῶν πάντα παρ' αὐτοῖς ἐπορίζοντο B. 17. τῷ ὑγρῷ] τῷ τῆς λίμνης ἐγκαυχώμενοι στερεώματι B.

star flentibus, Phrygiam praetervectus ad clarissimam Attali urbem commorari statuit, ut finitima oppida et provincias rectius constitueret; quarum nonnullae iam a Turcis subactae erant. in quo numero etiam Pusgusa palus fuit; quae cum instar maris latissime pateat, multis in locis parvas habet insulas, firmis munitas moenibus, quas eo tempore Christiani plurimi tenebant; qui cum lembis et naviculis Iconienses Turcas adirent, non modo amicitiam cum eis firmarant, sed et institutis eorum plerisque utebantur, et cum eis tanquam finitimis coniuncti Romanos ut hostes aversabantur. ita consuetudo tempore confirmata plus et ratione et religione valet. igitur alii imperatori ut hosti maledicebant, et eius edicta contumaciter respuebant, paludis ambitu freti; et quae sana mente nunquam cogitassent, ea per vecordiam animis agitabant. cum vero palude eos cedere ut Romanorum veteri possessione, et plane ad Persas transire, si vellent, iuberet (alioqui et ipsorum et paludis a Romanis alie-

ων ἐπὶ μακρόν. μὴ προχωρούντων δὲ τῶν ῥημάτων ἔργων πολεμίων ἥπτετο· ὅθεν ἁλιάδας καὶ ἀκάτια σχεδιάσας καὶ ζεῦγμα διὰ τούτων ἐργασάμενος τὰς ἑλεπόλεις ἐπέστησεν ἄνωθεν, καὶ προσεπῆγεν οὕτω τοῖς ἐπὶ τῆς λίμνης ἐρύμασιν. αὐτὰ μὲν οὖν ἐξελέσθαι ἴσχυσε, πλὴν οὐχὶ καὶ Ῥωμαῖοι κακῶν ἀπείρατοι διεξέπλευσαν τὸν τότε πόλεμον, ἀλλ' ἐνίοτε τὴν λίμνην ἀνέμου διακυκήσαντος καὶ εἰς φλοῖσβον αὐτὴν ἀνοιδήσαντος τῶν ὁλκάδων πολλαὶ παρηνέχθησαν καὶ τὸν φόρτον ἐπανατραπέντα διαφῆκαν τῷ βυθῷ καὶ τοῖς κύμασιν.

Ἐν δὲ τοῖς καιροῖς τοῖσδε τὸν βίον μετήλλαξεν ὁ πρωτό- D
τοκος υἱὸς τοῦ βασιλέως Ἀλέξιος, ᾧ καὶ μετέδωκεν οὗτος ἐρυθροῦ πεδίλου καὶ φοινικίδος βασιλικῆς. τῶν δ' ὀξέων ἦν καὶ μὴ χρονίων τὸ νόσημα, τὸ δὲ εἶδος πυρετὸς ἐπαιγίζων καὶ ὡς ἀκροπόλει τῇ κεφαλῇ ἐπιθέμενος. ἀλλὰ καὶ ὁ μετ' αὐτὸν Ἀνδρόνικος, βραχύ τι ἐπιβιοὺς καὶ ὅσον ἐπικωκῦσαι τῷ κασιγνήτῳ ἐξ ἀνθρώπων ἀπάραντι, τὸ λαχὸν κἀκεῖνος μέρος τῆς ζωῆς ἐξετόξευσε.

11. Καίπερ δὲ συμφοραῖς τηλίκαις καὶ καλλίστων παίδων ἀφιλοσοφήτοις ἀποβολαῖς κατακαμφθεὶς ὁ βασιλεὺς τὴν ψυχήν, ἵνα μὴ λέγοιμι καὶ οἰωνοὺς ἀπαισίους τῆς ὑπερέκεινα πορείας τοὺς θανάτους τῶν φιλτάτων ἔχων πρὸ ὀφθαλμῶν, ὅμως οὐδέν τι καὶ πέπονθε μαλακὸν ἢ καθυφῆκέ τι βραχὺ τῆς προθέσεως ἢ παλίμπους ἐπανῆκεν εἰς τὸ Βυζάντιον, ἔτους ἤδη τελείου ἐπὶ τοῖς ἠθλημένοις τούτοις παριπ- P. 26

1. μακρῷ A. 12. τῶν δ'] τὸ δὲ νόσημα ὀξὺ ἦν κεφαλικὸν B.
20. καὶ οἰωνοὺς] καὶ σημεῖα ἐξ οὐρανοῦ θεωρῶν B.

nationem minime diu passurum), nec verbis quicquam proficeret, ad belli apparatum conversus navibus fabricatis atque inter sese iunctis machinas imponit, et paludis munitiones aggreditur; quas etsi expugnavit, tamen Romani eo bello malorum expertes non fuerunt, sed nonnunquam ea a ventis turbata et fluctibus tumefacta, multae onerariae abreptae et eversae vectores et sarcinas demerserunt.

Sub id tempus primogenitus imperatoris filius Alexius, cui et rubrum calceum et purpuram imperatoriam concesserat, vita functus est ex acuta febri, quae caput tanquam arcem infestabat. cui aetate proximus Andronicus, non diutius superstes quam ut fratris obitum deplorarat, et ipse rebus humanis est exemptus.

11. Imperator, quanquam tantis calamitatibus et pulcherrimorum filiorum luctuoso interitu consternatus, ne dicam obitum carissimorum parum auspicatum omen expeditionis illius fuisse, tamen nihilo factus mollior neque de impetu quicquam remisit neque Byzantium rediit, integro iam anno in laboribus illis exhausto: sed in

πευκότος, ἀλλ' ἐς Ἰσαυρίαν ἀφιγμένος καὶ τὰ ἐκεῖθι πρὸς τὸ δέον καταστησάμενος τῆς ἀνόπιν καὶ πρὸς Συρίαν ὁδοῦ εἴχετο, ἐφεπόμενον ἔχων αὐτῷ τὸν ὑστερότοκον παῖδα τὸν Μανουήλ. ἦν δὲ ἡ μὲν πρόδηλος τῆς στρατείας ταυτησὶ πρόθεσις ἡ τῆς Ἀρμενίας πρὸς τὸ κρεῖττον μεθάρμοσις καὶ εἰς βεβαίαν κατάστασιν συνοχὴ τῶν πόλεων καὶ φρουρίων, ὧν ἐγκρατὴς γεγένητο κατὰ τὴν προτέραν αὐτοῦ ἀνάβασιν· V. 21 ἡ δ' ἀνέκφορος πρὸς τὸ στράτευμα λαθραία τε καὶ ἐνδόμυχος καὶ ἐκ περισκέψεως κίνησις αὕτη ἦν. ἀεὶ δι' ἔρωτος εἶχε συνάψαι τὴν Ἀντιόχου τῇ Κωνσταντίνου, κἀκ τοῦδε τοῖς B θεοστιβέσι τόποις ἐπιφοιτῆσαι, καὶ δώροις μὲν καταστέψαι τὸν τοῦ κυρίου τάφον τὸν ζωοπάροχον, τὸ δὲ κύκλῳ βαρβαρικὸν ἀνακαθᾶραι. ὅθεν καὶ πᾶσαν ἦν μετιὼν μηχανήν, εἴ πως ὑπεκσταῖεν ἑκόντες αὐτῷ οἱ Λατῖνοι τῆς κυριαρχίας τῆς λογίμης Ἀντιοχείας, ἢ εἰ μὴ οὗτοι πείθοιντο (ἠπίστατο γὰρ τὴν Λατινικὴν κόρυζαν καὶ τὸ τοῦ φρονήματος αὐτῶν ἀταπείνωτον), οἱ δέ γε Κίλικες καὶ Σύροι προσρέψαιεν ἐκείνῳ. γράφων τοίνυν κατὰ τήνδε τὴν ἄνοδον καὶ τὴν αὐτοῦ προσημαίνων τοῖς Ἀντιοχεῦσιν ἄφιξιν οὐδαμῶς ἀνίει, ὥστε καὶ μήπω τῶν ὁρίων ἐπιβὰς τῆς Συρίας πρεσβείαν ἐφειλκύσατο ἐκεῖθεν μάλα ἀγαθὰς αὐτῷ τὰς ἐλπίδας ἐπὶ τοῖς μέλλουσιν C ὑποβάλλουσαν. ἐπεὶ δὲ τῇ Ἀντιόχου προσήγγισεν, ἀλλοίους εὕρατο τὰς γνώμας τοὺς Ἰταλούς, τῆς φήμης προαγγειλάσης ὁπόσα ἐνδόμυχα καὶ τῶν χειλέων τοῦ βασιλέως ἀπρόϊτα. μὴ

10. συνάψαι] σύνοιψα A. 16. κόρυζαν] ὑπεροψίαν B.

Isauriam profectus, ac provincia ordinata, iter in Syriam intendit, Manuele filio natu minimo comitante. ei expeditioni praetexebat velle se Armeniam rectius constituere, et oppida et castella superiore bello capta in officio et fide continere ac firmare. ceterum vera causa erat, quae in exercitum minime efferebatur, sed maxime dissimulabatur, quod Antiochiam cum Cpoli coniungere, atque inde religiosa loca visere et vitale Christi sepulcrum magnificis donis ornare ac finitimos barbaros profligare perpetuo cupiebat. itaque nihil intentum relinquebat, si quomodo Latinis persuadere posset ut ultro dominatu inclitae Antiochiae cederent, aut si ii nollent (nec enim fastum Latinum et praefidentes eorum animos ignorabat) at Cilices et Syros in suas partes pertraheret/ nec in eo itinere unquam destitit Antiochenis scribere et suum adventum praenuntiare, adeo ut nondum Syriae fines ingressus legationem inde attraxerit, qua in optimam spem rerum futurarum erigebatur. sed cum prope urbem venisset, alios Italorum animos comperit, cum fama iam ante arcanas eius et tacitas machinationes vulgasset. cum igitur Antiochiae aditum non

γοῦν ῥᾳδίαν εὑρίσκων καὶ τῇ γνώμῃ συμβαίνουσαν τὴν ἐς τὴν Ἀντιόχου πάροδον, ἀλλ' ἔνορκον δρῶν συγχωρουμένην αὐτῷ τὴν εἰσέλευσιν καὶ τὸ ὅλον ἀπᾴδουσαν οἷς ὥρμαινε κατὰ ψυχήν, καὶ ὡς εἴπερ εἰσελεύσεται, πρὸς ἡμέρας ἐνσκηνωσάμενος καὶ προσκυνηθεὶς καὶ τιμηθεὶς τὰ εἰκότα πάλιν ἐξελεύσεται, μηδέν τι νεοχμώσας ἐπὶ τοῖς κατ' αὐτὴν πράγμασιν ἤ τι μετακινήσας τῶν καθεστώτων ἐθῶν, ἀχθεσθεὶς ἐφ' οἷς ἐξηπάτητο, τὴν μὲν εἴσοδον οὐ δέον κέκρικεν εἰσβιά- D
ζεσθαι, τὸν μετὰ Χριστιανῶν πόλεμον παντάπασιν ἐκτρεπόμενος, ἐναυλισάμενος δὲ τοῖς προαστείοις τῆς πόλεως κείρειν ἐνδίδωσι ταῦτα τῇ στρατιᾷ καὶ ἀπάγειν ἅπαν τὸ ταῖς χερσὶν εὐμετάφορον. καὶ ἦν ἐκ τούτου τοῦ παραγγέλματος, πρόφασιν τὴν τῶν ἀναγκαίων ὑποσπάνισιν ἔχοντος, μηδὲ τὰ καρποφόρα τῶν δένδρων ἀσινῆ παρεώμενα, ἀλλὰ καὶ ταῦτα τῷ πυρὶ τῆς διαίτης παραδιδόμενα. κἀπὶ τούτοις ἐκμετρήσας λεληθότως τὴν ἄμυναν πρὸς τὰ τῶν Κιλίκων παρενέκλινεν ὅρια. ἐν δ' εὐρυτάτῃ στρατοπεδευσάμενος φάραγγι, καθ' ἣν ὄρη δικόρυμβα ἐπὶ πολὺ τοῦ ἀέρος ἀνέβαινον, ἅπερ λόγος αἱρεῖ Κοράκων νοσσιὰς κικλήσκεσθαι, εἰς κυνηγέσιον ἔξεισι. καὶ συῒ προσυπαντήσας μοναδικῷ τὴν μὲν αἰχμὴν τῷ στέρνῳ τοῦ θηρίου ἐνήρεισε· πλείονι δὲ ὠθισμῷ τοῦ συὸς χρησαμένου καὶ ὅλον τὸν σίδηρον εἰσδεξαμένου τοῖς σπλάγχνοις, ἡ κατέχουσα χεὶρ τὸ ἀκόντιον ὑποναρκᾷ τε καὶ ὑπενδίδωσι πρὸς τὸ ἄγαν τῆς τοῦ θηρὸς ἀντωθήσεως, κἀντεῦθεν τοῦ P. 37
εὐθέος παρενεχθεῖσα ἐγχρίπτει τῷ γωρυτῷ, ὃς παρὰ πλευ-

10. προαυλίοις A. 16. παρέκλινεν B. 25. παρὰ] περὶ A.

facilem, nec talem qualem expectarat inveniret, nec nisi iurato ingredi liceret, longe secum quam animo destinarat, eaque conditione ut diebus aliquot ibi commoratus et adoratus atque honoratus ut decet, discederet sine ulla novatione et recepti moris mutatione, verba sibi data esse moleste ferens, vi ingrediendum esse non duxit, quod a bello Christiano abhorrebat: sed suburbana, in quibus diversabatur, militibus populanda, et auferenda omnia quae corripi manibus possent, concessit. ea denuntiatio, cui penuria commeatus praetexebatur, effecit ut nec fructiferae arbores inviolatae manerent, sed eae quoque ad cibum coquendum succiderentur. hac ratione sui contemptum dissimulanter ultus ad fines Cilicum deflexit: et in amplissima convalle castris positis, in qua bini vertices montium altissimi assurgunt, quos Corvorum nidos vocari perhibent, venatum egressus apro solitario venabulum in pectus adegit. qui cum ictum urgeret et totum ferrum in viscera recepisset, manus imperatoris debilitata atque impetu ferae reflexa pharetram de latere oblique

ρὸν τοῦ βασιλέως ἐξήρτητο πλάγιος, στέγων ἔσωθεν ἰοβόλα βέλεμνα. ὅθεν τῆς φαρέτρας ἀνατραπείσης εἷς τῶν διεχυθέντων ἀτράκτων πλήττει τὸν βασιλέα κατὰ τὸ μεσεῦον δέρμα τῶν ὑστάτων δακτύλων τῆς χειρός. ἀεὶ τοίνυν τοῦ φαρμάκου νεμομένου τὰ πρόσω καὶ διατρέχοντος, καὶ περὶ αὐτὰ τὰ καίρια ἐπενσκήπτοντος, καὶ κατὰ μικρὸν ἀπονεκροῦντος ταῦτα καὶ ἀποψύχοντος, μετὰ μικρὸν τοῦ βίου μεθίσταται. τότε δ' οὖν ὁ βασιλεὺς παρ' οὐδὲν θέμενος τὸ ξέσμα τοῦ δέρματος ὑμένος ἠκέσατο ἐπιθέματι ἣν φασιν ἐκδοράν, ἐκ B τοῦ τῶν ποδῶν ἀποσυρέντος καττύματος, σφαλερῶς ἐντεῦθεν πειρώμενος τὸν προϊόντα ἐπισχεῖν ὕφαιμον ἰχῶρα τοῦ τραύματος. ἐπανελθὼν οὖν πρὸς ἑσπέραν καὶ ἀριστήσας τὴν μὲν νύκτα μετὰ ῥαστώνης διήνεγκε· τὴν δὲ μετὰ ταύτην ἡμέραν οἰδαίνειν καὶ σφύζειν ἀρξαμένου τοῦ τραύματος περιωδυνίαις ἐβάλλετο, καὶ τίθησιν ἔκπυστον τοῖς ἰατροῖς τὸ συμβάν. οἱ δὲ τὸν τῆς χειρὸς ὄγκον ἰδόντες καὶ τὸ πρὸς ἄκεσιν τεθὲν περιεργασάμενοι, αὐτὸ μὲν ὡς μὴ κατὰ θεσμοὺς νοσοκομίας παραληφθὲν ἀπήνεγκαν τῆς χειρός, φαρμάκοις δ' ἄλλοις V 22 ἐχρήσαντο καταλεαίνειν δυναμένοις τὰ τῶν τραυμάτων φλεγμαίνοντα. ἐπεὶ δ' εἰς οὐδὲν ἀνύσιμον ἀπετελεύτα τὰ φαρμακεύματα, πρὸς χειρουργίαν οἱ Ἀσκληπιάδαι βλέπουσι. C τμηθέντος οὖν τοῦ οἰδήματος, οὐδ' οὕτω καταστολή τις καὶ ὑποχάλασις τοῦ πάσχοντος μέρους ἐγίνετο, ἀλλ' ὅ τε ὄγκος ἀεὶ ἐπὶ μεῖζον ᾕρετο, ἐπὶ δακτύλῳ τε δάκτυλον καὶ καρπὸν ἐπὶ παλάμῃ, εἶτα πῆχυν, ἐπὶ δὲ τούτῳ βραχίονα ἐπενέμετο

suspensam et venenatis telis refertam evertit; perstrictaque una sagitta cute quae inter extremos digitos est, veneno serpente et discurrente atque usque ad vitalia progresso, et quicquid occuparat, paulatim stupefaciente, non multo post e vita discessit. tamen id vulnus principio neglectum membranae calcibus detractae impositione, quam excoriationem vocant, medicatus est; qua ancipiti ratione saniem cruentam vulneris reprimere conabatur. vesperi in castra reversus et coenatus noctem citra molestiam exegit. postridie vero tumescente et ardescente vulnere, ac cruciatu urgente, medicis casum eum exponit. qui tumore manus viso, et medicamento quo usus erat perquisito, id tanquam contra medicam rationem adhibitum repudiarunt; atque alia attulerunt, quae ardorem illum lenirent. sed cum iis nihil proficerent, ad sectionem conversi ne sic quidem afflicto membro aliquid opis attulerunt. nam tumor subinde augebatur, a digito in digitum usque ad iuncturam manus et cubitum ipsumque brachium pervagato malo. imperator igitur spem salutis abiecit; et medicis aestuantibus manum eius instar virilis femoris tumefactum resecare

τὸ δεινόν, καὶ βασιλεὺς τῶν χρηστοτέρων ἐλπίδων ἀπήγετο. ἀμέλει καὶ τοῖς μὲν ἰατροῖς ἠπορημένοις παντάπασιν ἐδόκει τὴν χεῖρα τοῦ βασιλέως ἀποτεμεῖν ἐς μηρὸν ἀνδρεῖον ἁδρυνθεῖσαν τῇ φλεγμονῇ, κατ' ἀμφήριστον μέντοι καὶ τότε τοῦ πάσχοντος μέλους ἴασιν· βασιλεὺς δὲ καὶ τὴν προτέραν τομὴν αἰτίαν τοῦ ξύμπαντος κακοῦ ξυνορώμενος οὐδ' ὅλως τοῖς λεγομένοις ἐπένευσεν, ἀλλ' ἔκειτο κάμνων, τὸ τῆς θεραπείας παριδὼν ἀμφίλογον. ἐπιστάσης δὲ τῆς πανευσήμου ἡμέρας τῆς Χριστοῦ ἀναστάσεως τῶν θείων μυστηρίων ἐν μεθέξει D γίνεται, καὶ πρὸς τὸ δεῖπνον ἀναπεσὼν ἀνῆκε τὴν αὐλαίαν πᾶσι τοῖς εἰσιέναι καὶ δεηθῆναι θέλουσι. καὶ τῇ ἑξῆς ἡμέρᾳ τὸν αὐτὸν διαπραξάμενος τρόπον ὑποθήκῃ τοῦ μεγάλου δομεστίκου Ἰωάννου, καὶ τὰ παρατεθέντα βρώματα τοῖς παρεστῶσι διανειμάμενος, καθ' ἑαυτὸν ἔκτοτε ἰδιάσας περὶ τοῦ διαδόχου τῆς βασιλείας ἐγνώκει σκέπτεσθαι. ὑετοῦ δὲ κατενεχθέντος ῥαγδαίου, καὶ τῆς κοιλάδος καταρρύτου φανείσης ἐφ' ἧς ἐστρατοπεδεύετο, ἥ τε βασιλέως κλίνη μετεφέρετο πρὸς τὸ καθαρεῦον ὕδατος μέρος, καὶ αὐτὸς ἐπὶ στόματος εἶχε τὸ φάσκον οὑτωσὶ χρησμῴδημα „τόποις δ' ἐν ὑγροῖς καὶ παρ' ἐλπίδα πέσῃς." οἱ δὲ τὰς τῶν βασιλέων διαδοχὰς καὶ μεταθέσεις φιλοχρινοῦντες καὶ τοῦτο πέρας εἰληφέναι ἔλεγον, „ὦ πῶς γενήσῃ βρῶμα δεινῶν κοράκων!" πῇ μὲν ἐς τὰ μέ- P. 28 λανα καὶ σίζοντα σιδήρια τὸ παλαίφατον τοῦτο λόγιον ἀφορᾶν ἰσχυριζόμενοι, δι' ὧν ὁ καυτὴρ τῇ χειρὶ τοῦ βασιλέως ἐπενήνεκται, πῇ δ' ἐς τὸ τῶν βουνῶν προσώνυμον ἐφ' ὧν ἐκεῖνος κατεσκηνώκει τὸ προφοίβασμα ἀπολύοντες.

visum est, cum ne sic quidem affectae partis sanatio certa esset. at imperator, qui priorem etiam sectionem universi mali causam esse perspiceret, dictis eorum non annuebat, sed aegrotus decumbebat spreta ancipiti curatione. atque celeberrimo resurrectionis Christi die divina mysteria percipit. et in coena aulae foribus apertis, quosvis ingredi et petere quae vellent permisit; idemque et postridie monitu Iohannis magni domestici fecit, epulis quae appositae erant inter eos qui astabant distributis. semotisque arbitris de imperii successore deliberare instituit. enimvero valle in qua castra habebat ingenti pluvia inundata, etiam lectulus eius impetu decurrentis aquae est avectus, cum illud oraculum, „cades aquosis improvisus in locis," subinde in ore haberet. qui vero imperatorum successiones et mutationes pervestigant, illud etiam eventu comprobatum esse ferunt, „heu, corvis esca eris miser voracibus!" id oraculum partim ad nigra et stridentia ferramenta, quibus manus eius usta esset, partim ad cognomentum montium pertinere existimantes.

12. Ἐκκλησιάσας δ' ἔπειτα τὸ συγγενὲς καὶ φίλιον καὶ ὁπόσον ἐν ὑπεροχαῖς τε καὶ ἀξιώμασιν ἦν, καὶ παραστησάμενος τὸν ὑστερογενῆ παῖδα τὸν Μανουήλ, τοιάδε ἔλεξεν. „οὐκ ἐπ' ἐλπίσι μὲν ταῖς ὁρωμέναις, ἄνδρες Ῥωμαῖοι, Συρίαν κατέλαβον, ἀλλ' ᾤμην τῶν προτέρων εὐκλεέστερα ἔργα B ἐνδείξασθαι, καὶ λούσασθαι μὲν ἀδεέστερον ἐν Εὐφράτῃ καὶ τῶν τούτου ναμάτων πλησμίως ἀρύσασθαι, ἰδέσθαι δὲ καὶ Τίγριδα ποταμὸν καὶ διαθροῆσαι τοῖς ὅπλοις τὸ ἀνθιστάμενον, ὅσον τε προσρέπει τοῖς Κίλιξι καὶ ὅσον τοῖς ἐκ τῆς Ἄγαρ προσνένευκε, διαπτάσθαι δὲ καὶ ὡς οἱ βασιλεῖς τῶν ὀρνίθων, εἰ καὶ μέγα τοῦτο εἰπεῖν ἐστί, πρὸς Παλαιστίνην αὐτήν, ὅπου τὸ τῆς ἡμετέρας φύσεως πτῶμα πεσὸν ἀνήγειρεν ὁ Χριστός, ἐπὶ σταυροῦ τὰς χεῖρας διεὶς καὶ μικραῖς ῥανίσι κόσμον ὅλον εἰς ἕνωσιν ἀγαγών, ἀναβῆναι δὲ καὶ εἰς τὸ ὄρος κυρίου κατὰ τὸν ψάλλοντα καὶ στῆναι ἐν τόπῳ ἁγίῳ αὐτοῦ, μετελθεῖν δὲ πολέμου νόμῳ καὶ τὸ κύκλῳ πολέμιον, ὅπερ ὡς τὴν πάλαι κιβωτὸν οἱ ἀλλόφυλοι, τὴν τοῦ κυρίου σορὸν πολλάκις εἷλε δορύκτητον. ἐπεὶ δὲ οἷς τρόποις τὸ θεῖον ἐπίστα- C ται, οὔκουν δέδεκται πέρας τὰ προσδοκώμενα, ἀντιστῆναι μὲν ὅλως οὐκ ἔστιν, οὐδ' ἐπὶ τοῖς ὁρωμένοις χρεὼν ἀντειπεῖν. τίς γὰρ θεοῦ σοφώτερος; ἢ τίς μετελεύσει νοῦν κυρίου καὶ μεταμείψει τὰ τούτου κρίματα, ὑφελέσθαι ἢ προσθεῖναι τούτοις δεδυνημένος; σφαλεραὶ μὲν γὰρ αἱ τῶν ἀνθρώπων ἐπίνοιαι, ἡ δὲ τοῦ κυρίου βουλὴ ἀνεπιποίητός τε καὶ

8. τίγρητα A.

12. Deinde convocatis cognatis amicis atque magnatibus, productoque Manuele filio natu minimo, huiusmodi orationem habuit. „non equidem ea spe quam videtis, Quirites, Syriam sum ingressus, sed virtutem maiorum me superaturum opinabar, et securius in Euphrate lavaturum et ad satietatem latices eius hausturum esse, visurumque etiam Tigrim fluvium, et omnes adversarios armis profligaturum, quicunque versus Ciliciam vergunt et ad Agarenos defecerunt, atque aquilae instar (quamvis hoc magnum dictu videatur) in ipsam Palestinam transvolaturum, ubi Christus extensis in cruce manibus naturae nostrae ruinam suo casu erexit, et parvis guttis totum mundum univit, ac montem domini conscensurum, ut psalmographus scribit, atque in loco eius sancto staturum esse; et hostes qui in circuitu sunt belli iure aggressurum, qui ut olim arcam barbari, sic ipsi loculum domini saepe iam armis occuparunt. quia vero expectatio mea me frustrata est (qua de causa deus novit), resistere omnino haud licet, nec iis quae coram cernuntur refragari. quis enim est deo sapientior? aut quis domini animum explorabit, iudicia vel addendo vel detrahendo mutabit? nam hominum

ἀμετάπτωτος. ἐν πολλοῖς δ' ὅσοις εὐχάριστος ἔχων δείκνυσθαι τῷ τὰ κατ' ἐμὲ συμφερόντως οἰκονομήσαντι, ἃ καὶ ἀριθμὸν ὑπερπέπαικε σύμπαντα, τῷ τέως ἀνθομολογούμενος ἐφ' οἷς ἐμεγάλυνε τοῦ ποιῆσαι μεθ' ἡμῶν ἔλεος ἐπ' ἀκροαταῖς V. 23
ὑμῖν καὶ τῶν λεγομένων εἰδήμοσι τάδε φημί. ἐκ πατρὸς βα- D
σιλέως ἔφυν, ἀρχῆς γεγένημαι τῆς ἐκείνου διάδοχος, οὐδὲν ἀπεβαλόμην ὧν εἰς χεῖράς μοι παραδέδωκεν. εἰ δὲ κατ' εὐγνώμονα καὶ πιστὸν ὑπηρέτην ἐπεξειργασάμην τὸ παρασχεθέν μοι θεόθεν τῆς βασιλείας τάλαντον, ἄλλοις σκοπεῖν καὶ λέγειν ἀφίημι· καὶ αὐτὸς δὲ ἀνεπαχθῶς διηγησαίμην ἄν, οὐκ ἐναβρυνόμενος ἀλλὰ τὰ περὶ ἐμὲ θαυμάσια τοῦ θεοῦ διηγούμενος. ἕως με καὶ δυσμὴ μαχόμενον ἔβλεψε, τὰ πρὸς ἄμφω τὰς ἠπείρους ἔθνη μετῆλθον. ὀλίγα τοῖς ἀνακτόροις προσέμεινα· ὁ βίος σχεδόν μοι ἅπας ἐπὶ σκηνῆς, καὶ τὸ αἰθριάζειν ἀεί μοι περιεσπούδαστο. ἡ γῆ αὕτη ἐφ' ἧς νῦν στρατοπεδευόμεθα, δίς με ἤδη προσέβλεψε· καὶ ἦν μακρὸς ἐξ οὗ χρόνος ὀφθαλμοῖς οὐκ εἶδον στρατιὰν Ῥωμαίων Πέρσαι καὶ Ἄραβες, ταύτην ἔτρεσαν ἄρτι ἐφ' ἡγεμόνι θεῷ καὶ ὑπο- P. 29
στρατήγῳ ἐμοί, καὶ πολλῶν πόλεων ἡμῖν ὑπεξέστησαν, ὧν ἐς δεῦρο κύριοι καθεστήκαμεν, αἳ καὶ ζῶσι κατὰ τὰ ἡμῶν προστάγματα. καὶ δοίη κύριος ὁ θεὸς ἐμοὶ μὲν ὑπερμογήσαντι τοῦ τῶν Χριστιανῶν πληρώματος κλῆρον ἐκεῖ καὶ μερίδα ἀΐδιον, ἣν οἱ πραεῖς καὶ εὐάρεστοι αὐτῷ ἀπολήψονται·

11. τοῦ θεοῦ om A.

quidem cogitationes lubricae sunt, dei vero consilium non est irritum nec mutabile. cum autem multa sint divinitus in me collata beneficia ac numero pene nullo comprehendi queant, audientibus vobis, iisdemque testibus, divinam erga me beneficentiam grata voce praedicabo. patre imperatore natus sum, illi in imperio successi; nihil eorum quae acceperam amisi. an vero prudentis et fidelis ministri instar talentum regni divinitus mihi creditum auxerim, aliis considerandum et commemorandum relinquo, quamvis et ipse citra molestiam ea praedicare queam, nullaque cum ostentatione, sed miraculorum dei celebratione. Oriens et Occasus bella me gerentem viderunt; gentes quae in utraque continente habitant, sum aggressus. parum in palatio mansi, vitam pene in tabernaculis exegi; semper ut sub dio agerem, operam dedi. tellus haec, in qua castra habemus, bis me iam aspexit. multum temporis intercesserat ex quo Persae et Arabes Romanum exercitum non viderant: hunc formidarunt deo duce meque ministro, nobisque multis urbibus cesserunt, quas adhuc obtinemus quaeque nostris imperatis parent. faxit deus ut ego, qui pro Christiano populo arma circumtuli, illic aeternam hereditatem adipiscar, quam mansueti acceptique deo consequentur: vestris vero

ὑμῶν δ' ἔτι κραταιῶσαι τὰς χεῖρας καὶ ἐνισχῦσαι κατὰ τῶν τοὺς πολέμους ἐθελόντων ἐθνῶν, καὶ παρ' οἷς οὐδαμῶς ἐπικέκληται τὸ ἅγιον καὶ ὑπὲρ πᾶν ὄνομα τοῦ θεοῦ ἡμῶν. ἔσεῖται δὲ ταῦτα, εἰ καὶ ὑμεῖς τῆς δεξιᾶς τοῦ ὑψίστου καὶ τοῦ ὑψηλοῦ B βραχίονος ἐξαρτᾶτε τὸ κατορθούμενον, καὶ ἡγεμὼν ὑμῖν θεόθεν δοθήσεται, μὴ δημοβόρος τις καὶ τὴν κλῆσιν ψευδόμενος ἢ τὸ ἦθος ἀνώμαλος καὶ περὶ τράπεζαν κεκυφὼς καὶ ὀχῶν ἀεὶ τοῖς δακτύλοις τὸν κύαθον καὶ τῶν ἀνακτόρων μηδαμῶς ἀποσπώμενος, ὅσα καὶ οἱ ἐν τοῖς τοίχοις διὰ ψηφίδων καὶ χρωμάτων εἰκονιζόμενοι, ὅτι καὶ φιλεῖ πως τῇ κατὰ τὸν ἄρχοντα διαθέσει συνδιατίθεσθαι τὰ πάντα καὶ ἕπεσθαι· ἅτε γὰρ δι' αὐτὸν ἀρχῆθεν γενόμενα, κακυνομένου μὲν τοῦδε καὶ αὐτὰ μεταβάλλεται, ἀγαθυνομένου δὲ πάλιν πρὸς τὴν ἐναντίαν φορὰν ἐπανίασιν, ὡς τοῦ θεοῦ κατὰ τὸν Δαβὶδ τοῖς ἀγαθοῖς καὶ εὐθέσιν ἀγαθύνοντος, τοὺς δὲ ἐκκλίνοντας εἰς C τὰς στραγγαλίας μετὰ τῶν ἐργαζομένων τὴν πονηρίαν ἀπάγοντος. ἐπεὶ δὲ καὶ περὶ τοῦ διαδεξομένου μοι τὴν ἀρχὴν μετὰ τὴν ἐμὴν ἐκβίωσιν, ἥτις δὴ καὶ ἐφέστηκεν ἤδη ἀνυπεξάλυκτος, εἰπεῖν τι προάγομαι, χρεὼν τοῖς εἰρημένοις προσσχεῖν. ὅτι μὲν γὰρ ὡς πατρῷος κλῆρος εἰς ἐμὲ τὸ βασιλεύειν ἐπικαταβέβηκεν, οὐ δέομαι λέγειν, ὡς οὐδέ τις ἕτερος λαμπτῆρα τῆς ἡμέρας ἀποφαίνειν τὸν ἥλιον. ὁρῶν δὲ τὴν ἐπ' ἐμοὶ τηρηθεῖσαν πρὸς πατρὸς τάξιν κἀπὶ τοὺς ἐξ ὀσφυός μου προελθόντας διαβῆναι προθυμουμένους ὑμᾶς, καὶ ὑφ' ἑνὸς

6. ψευδώνυμος A. 10. κατ' ἄγον A.

manibus robur et vires addat contra populos qui bellis student, quique sacrosanctum dei nostri nomen non invocant. id autem fiet, si vos successus a dextra altissimi et excelso eius brachio pendere statueritis, et dux vobis divinitus contigerit non truculentus suoque non respondens nomini, aut perplexo ingenio, et ventris ac gulae mancipium, qui a palatio non magis quam penicillo et coloribus expressae imagines avellitur. nam ut principis mores sunt, ita res fere administrantur, utpote a quo pendeant: qui si ignavus sit, ruunt in deterius, sin bonus est et strenuus, eriguntur et florent. quippe deus, Davide auctore, bonos et integros provehit, distortos vero cum iniquis in barathrum praecipitat. cum autem de successore imperii post obitum meum, qui iam instat inevitabilis, dicendum sit, vos auscultare aequum est. imperium ut patrimonium ad me venisse, dictu non magis necessarium est quam lucernam, quod aiunt, in meridie accendere. cum autem vos paternum in me suffragium approbasse et in filios meos eodem affectos esse modo videam, et uni ex meis filiis (quorum duo adhuc superstites sunt, Isaacius et Ma-

τῶν ἔτι παιζόντων μοι τῷ βίῳ παίδων (Ἰσαάκιος οὗτοι καὶ Μανουὴλ) ἄρχεσθαι γλιχομένους, καὶ μηδ' αὐτὴν τὴν ἐπιλογὴν ἑαυτοῖς τῇ δ' ἐμῇ ψήφῳ ἀνατιθέντας, φημὶ δὴ ὡς ἡ μὲν D φύσις τοῖς πρωτοτόκοις παισὶ τῇ τάξει ἐμμένουσα τὰ πρωτεῖα βραβεύειν εἴωθε, παρὰ δὲ θεῷ οὐχ οὕτως ἐν ταῖς τῶν προβλήσεων μεγίσταις ἀεί πως φιλεῖ γίνεσθαι. ἀναλογίσασθε τὸν Ἰσαὰκ τοῦ Ἰσμαὴλ κατὰ γέννησιν δευτερεύοντα, τὸν Ἰακὼβ μετὰ τὸν Ἡσαῦ νηδύος ἐκθορόντα τῆς μητρικῆς, τὸν Μωϋσῆν τοῦ Ἀαρὼν ὕστερον, τὸν Δαβὶδ αὐτὸν μικρὸν ἐν τοῖς ἀδελφοῖς ὄντα κἀν τῷ πατρικῷ οἴκῳ νεώτερον, καὶ ἑτέρους δὲ ὡς πλείστους. οὐ γὰρ τὸ θεῖον ἐς πρόσωπον κατ' ἄνθρωπον ἀφορᾷ, καὶ βραβεύει τῷ χρόνῳ τὰ τίμια, πολιαῖς καὶ ἡλικίαις προσκείμενον, ἀλλ' εὐγενείᾳ χαῖρον ψυχῆς ἐπὶ τὸν πρᾶον βλέπει καὶ ἥμερον καὶ τὸν αὐτοῦ φυλάττοντα τὰ ἐντάλματα. κατὰ ταῦτα τοιγαροῦν καὶ αὐτὸς οὐ τῇ δεκαστρίᾳ φύσει τὰ πολλὰ χαριζόμενος, ἀλλὰ τοὺς θεσμοὺς αὐτῆς ὅσα καὶ γυναικὸς σμικρογνώμονος διαβούλια ἐν τοῖς καιρίοις πα- P. 30
ραχρουόμενος πράγμασι, μιμεῖσθαι μᾶλλον προάγομαι τὸν V. 24
προσωποληψίας πάσης ἀνώτερον θεόν. εἰ μὲν οὖν κατὰ τὸ ἀναμφίλογον ἐς τὸν καθ' ἡλικίαν προήκοντα παῖδά μοι τὸν Ἰσαάκιον μετέβαινεν ἡ ἀρχή, κατ' οὐδὲν ἄν μοι λόγων ἐδέησεν εἰς παράστασιν τῆς ἀμφοῖν μοι τοῖν παίδοιν φύσεως· ἐπεὶ δὲ πρὸς τὸν ὑστερότοκον Μανουὴλ ἡ βασιλεία μᾶλλον προσνένευκεν, ἐκκλίνων τὸ καχύποπτον τῶν πολλῶν καὶ τὸ δόξαι παρά τισιν ὡς φίλτρῳ μᾶλλον καὶ οὐκ ἀρετῇ προστι-

nuel) obtemperare velle, neque delectum ipsos usurpare sed meae censurae permittere, equidem fateor naturam principatum natu maioribus deferre solere. deum vero in designandis regibus aliam rationem plerumque sequi animadverto. cogitate Isaacum natu minorem Ismaele, Iacobum post Esaum materno utero exiliisse, Mosem Aarone iuniorem, Davidem et statura et aetate minimum fuisse inter fratres, aliosque plurimos. nec enim deus humano more personae rationem habet, nec pretia rerum canis et aetate metitur, sed indolem animi, mansuetudinem, lenitatem intuetur, mandatorumque suorum observationem. quibus de causis ego quoque corruptrici naturae in multis non obsequor, sed eius institutis, ut pusillae mulierculae consiliis, in rebus gravioribus repudiatis, deum omnis pravae affectionis expertem auctorem sequi malo. quodsi citra ullam controversiam imperium Isaacio, filio natu grandiori, tradendum esset, nihil verbis esset opus ad filii utriusque declarandum ingenium. sed cum ad natu minorem Manuelem id inclinet, ad vulgi malas suspiciones declinandas et opinionem eam evitandam, ne affectu potius quam iu-

θέμενος τοῦ προτέρου παιδὸς τὸν ὑστερότοκον προτετίμηκα, ἀναγκαίως τὰ εἰκότα ῥηθήσεται. οὐ μία τίς ἐστι τῷ γένει
B τῶν ἐπιθυμιῶν ὁδός, ἀλλ' εἰς ἀτραποὺς παμπόλλας διέσχισται, ὥσπερ καὶ τὰ τῶν σωμάτων μορφώματα, εἰ καὶ τὴν αὐτὴν ἄνθρωποι φύσιν ἐκληρωσάμεθα. ἄλλαις γὰρ ὀρέξεσιν ἄλλοι προσπάσχομεν, οὐδὲ χαίρομεν ἅπαντες ὁμοθυμαδὸν ταῖς αὐταῖς. εἰ γὰρ τοῦτο ἦν, εἴχομεν ἂν καὶ πρὸς θεοῦ καὶ πρὸς ἀλλήλων τὸ ἀνεπέγκλητον ὡς ταῖς αὐταῖς ἡδοναῖς τε καὶ γνώμαις ἀναγκαστῶς ἐπιχαίνοντες. καὶ τῶν υἱέων μοι γοῦν ἡ δυάς, εἰ καὶ ἐκ πατρὸς ἑνὸς προελήλυθεν, εἰς γνώμας ἀπομερίζεται διαφόρους. καλοὶ μὲν γὰρ καὶ ἀμφότεροι, καὶ ῥώμῃ σώματος καὶ εἴδους σεμνότητι καὶ φρενῶν βαθύτητι διαπρέποντες· καλλίων δέ μοι ὡς μάλιστα διαδείκνυται
C περὶ τὴν τῆς ἀρχῆς κυβέρνησιν ὁ ὑστερογενὴς Μανουήλ. ὁ μὲν γὰρ Ἰσαάκιος ἀκρόχολος πολλάκις παρέστη μοι, καὶ ἀφ' ἧς ἔτυχε προφάσεως παροξυνόμενος ἐν τῷ νοσεῖν ἀμετρίαν θυμοῦ, ὃς ἀπόλλυσι καὶ σοφοὺς καὶ δι' ὃν μετ' ἀβουλίας οἱ πλεῖστοι πράσσουσιν· ὁ δὲ σὺν τῷ λοιπῷ τῶν ἀρετῶν ὁρμαθῷ, ὧν οὐδ' Ἰσαάκιος ἀπεξένωται, οὐδὲ τοῦ καλοῦ χρήματος ἀπῴκισται τῆς πραότητος, εὐμαρῶς ἐνδιδοὺς πρὸς τὸ χρήσιμον καὶ πειθήνιος λόγῳ δεικνύμενος. ἐπειδὴ τοίνυν ἀκακίᾳ μᾶλλον καρδίας, ᾗ καὶ Δαβὶδ ὁ βασιλεὺς καὶ προφήτης ἐκέκαστο, ἢ χειρὶ ψηλαφώσῃ τὸ ξίφος καὶ γνώμῃ λεπτουργούσῃ τὰ τῶν ἀρχομένων πλημμελήματα φιλοῦμεν ὑπά-

5. ἀπεκληρωσάμεθα A. 9. ἐπιχαίροντες A.

dicio minorem maiori anteponam, aliquid de hac re dici par est, atque adeo necessarium. cupiditatum non magis unum genus ac ratio est quam formarum, quae, cum ex aequo homines simus omnes, maximam varietatem habent. alii aliis rebus allicimur, neque omnes ex aequo iisdem delectamur. alioqui nec a deo nos, nec alii ab aliis accusaremur, quippe qui iisdem voluptatibus necessario caperemur eademque consilia iniremus. sic filii quoque mei, quamvis eodem patre nati, tamen diversis praediti sunt ingeniis. qui etsi ambo et viribus corporum et dignitate vultuum et animorum gravitate praecellunt, tamen natu minor Manuel ad imperii administrationem aptior mihi videtur. nam Isaacius saepius ira percitus mihi astitit, et quavis de causa bile effervescente moderari animo non potest; quae res inimicissima consilio sapientes perdit. alter vero praeter aliarum virtutum chorum a quibus nec Isaacius alienus est, nec a clementia quidem, re praeclarissima, abhorret, sed in loco cedere et obsecundare vit et rationis imperium sequitur. quoniam igitur animi candori, quo David rex idemque propheta ornatus fuit, quam ensiferae manui

γεσθαι ἄνθρωποι, τὸν Μανουὴλ ἐς βασιλέα κατὰ τόδε προ- D
κέκρικα. δέξασθε τοίνυν τὸν μείρακα καὶ ὡς θεόχριστον
ἄνακτα καὶ ὡς δι' ἐπιψηφίσεως ἐμῆς βασιλεύοντα. ὅτι δὲ
καὶ θεὸς αὐτὸν εἰς βασιλέα προκέκρικε καὶ προώρισε, τεκμή-
ριον αἱ πολλαὶ προρρήσεις καὶ τὰ τῶν θεοφιλῶν ἀνδρῶν προ-
θεσπίσματα, ἃ πάντα βασιλέα Ῥωμαίων τὸν Μανουὴλ προ-
κατήγγελλον. τὸ δὲ καὶ τοὺς παρ' ἐμοῦ προκριθέντας πρότε-
ρον εἰς τὸ ἄρχειν υἱέας μοι τεθνηκέναι, ἀπεῖναι δὲ καὶ τὸν
κατὰ γένεσιν μετ' ἐκείνους εἰς τὴν βασιλείαν καλούμενον
Ἰσαάκιον, ποῦ θήσει τις; ἢ πάντως καὶ ταῦτα σύμβολα εἴ-
ποιμεν ἂν ἐναργέστατα τοῦ τὸν θεὸν οὐχ ἕτερον βούλεσθαι,
τὸν δὲ Μανουὴλ τὰ σκῆπτρα Ῥωμαίων χειρίζεσθαι. εἰ δέ P. 31
τις ἐθέλει σκοπεῖν, οὐδ' ἐμὲ τὸν πατέρα ἐπόψεται δῶρον
παντάπασι τῷ παιδὶ τὴν βασιλείαν βραβεύοντα καὶ τῇ διαδο-
χῇ τοῦ γένους τὸ ὅλον προσρέποντα, ἀλλὰ καὶ ἆθλον ἀρετῆς
τὴν προχείρισιν αὐτῷ παρεχόμενον. ἴστε γάρ, ἴστε ὅσα καὶ
παρ' ἡλικίαν ἐν Νεοκαισαρείᾳ ἠρίστευσε, καὶ τὴν κατὰ Περσῶν
ἐκείνην γενναίαν ἐμβολήν, δι' ἣν ὁ μὲν πατὴρ ἔγωγε ἠγωνίων,
περὶ τῷ φιλτάτῳ παιδὶ τὰ μέγιστα δεδιώς, τὰ δὲ Ῥωμαίων
ἀνερρώσθη πράγματα." ταῦτα ὁ μὲν βασιλεὺς Ἰωάννης
ἐφθέγξατο· ἡ δ' ἐκκλησία ἐπικωκύσασα τοῖς εἰρημένοις τὸν
Μανουὴλ ὡσεὶ κληρωτὸν εἴτε καὶ χειροτονητὸν ἀσμένως εἰς
βασιλείαν ἐδέξατο. ἔπειτα τὸν λόγον πρὸς τὸν παῖδα μετενεγ-
κὼν ὁ πατήρ, καὶ τούτῳ παραινέσας τὰ σύμφορα, ταινίᾳ B
διαδεῖ τῇ βασιλικῇ καὶ τὴν χλαμύδα ἐπενδύει τὴν περιπόρ-

22. εἰς βασιλέα ἐδέξαντο A

et ingenio in subtiliter exquirendis subditorum delictis intento parere malumus homines, Manuelem imperatorem creandum esse duxi. quare adolescentem suscipite ut imperatorem divinitus designatum et meo suffragio imperium capessentem. ac eum a deo praelatum et praedestinatum esse ad imperium, argumento vobis sint multae praedictiones et divinorum hominum praesagia, quae omnia Manuelem Romanorum imperatorem fore praenuntiarunt. iam quod filii mei ante imperio destinati obierunt, et is abest cui id post illos naturae lege debetur, quis aliter accipiat nisi ea quoque argumenta esse evidentissima, deum non velle alium nisi Manuelem sceptris Romanorum potiri? quod si quis consideret, me non omnino gratis filio conciliare imperium atque in eius successionem propendere, sed virtutem eius ac designatione remunerari deprehendet. scitis enim, scitis quae ad Neocaesariam praeter aetatem facinora ediderit, et in illustri illa contra Persas impressione, ob quam ut ego pater sollicitus et in maximo de carissimo filio metu fui, ita eadem res Roma-

V. 25 φυρον. ἐπὶ δὲ τούτοις συναθροισθέντα κατὰ πρόσκλησιν τὰ στρατεύματα βασιλέα Ῥωμαίων ἀνεῖπον τὸν Μανουήλ, ἑκάστου τῶν μεγιστάνων μετὰ τῆς οἰκείας τάξεως διακριδὸν ἐφισταμένου καὶ διατρανοῦντος τὴν εὐφημίαν τῷ νέῳ ἄνακτι. ἐφεξῆς δὲ καὶ τῶν θείων προτεθέντων λογίων, ἐπ' αὐτῶν ἐμπεδοῦνται τῷ Μανουὴλ τὰ τῆς εὐνοίας καὶ πίστεως πρὸς παντός. ἦν δὲ ὁ τῶν δρωμένων τούτων εἰσηγητής τε ἅμα καὶ τελετάρχης ὁ μέγας δομέστικος, ἐκλῦσαι διανοούμενος ἐντεῦθεν καὶ διαχαλάσαι τοῦ μετεωρισμοῦ καὶ τῆς στάσεως τὰς
C τῶν φιλάρχων ἐφέσεις καὶ τὰς τῶν πλείστων ἀμβλῦναι συνδρομὰς πρὸς ἐνίους τῶν πρὸς γένους τῷ βασιλεῖ, οἳ τὴν πρεσβυγένειαν ὡς μέγα τι καὶ αἰδέσιμον προβαλλόμενοι καὶ τὸ κῆδος μεγεθύνοντες τὸ βασίλειον ἑαυτοῖς τὸ ἄρχειν ὡς ἀξιωτέροις ἀπένεμον.

Τούτων δ' οὑτωσὶ τελεσθέντων ὁ βασιλεὺς Ἰωάννης μεθ' ἡμέρας τὸν βίον ἐκλέλοιπε, βασιλεύσας ἔτη τέσσαρα πρὸς τοῖς εἴκοσι καὶ μῆνας ὀκτώ, ἀνὴρ καὶ τὴν ἀρχὴν ἄριστα διῳκηκὼς καὶ θεῷ εὐαρέστως βεβιωκώς, καὶ τὰ πρὸς ἦθος οὐκ ἔκλυτος οὐδ' ἀκόλαστος, κἀπὶ ταῖς δωρεαῖς τε καὶ δαπάναις μεταδιώξας μεγαλοπρέπειαν· καὶ δηλοῦσιν αἵ τε διὰ χρυσίνων πρὸς τοὺς τῆς πόλεως οἰκήτορας συχναὶ διαδόσεις,
D καὶ τῶν ναῶν ὁπόσους καλλίστους καὶ μεγίστους ἐκ βάθρων ἐδείματο. ἀλλὰ καὶ δόξης ἐραστὴς ὑπὲρ ἄλλον ἅπαντα γεγο-

na confirmata est." haec Iohanne locuto, consilium cum eiulatu verbis eius assensum Manuelem tanquam sorte suffragiove lectum cupide imperatorem accepit. deinde ad filium conversus pater, post utiles admonitiones, eum imperatorio diademate ornat et chlamyde praetexta induit. his peractis Romanae legiones convocatae Manuelem Romanorum imperatorem salutarunt, unoquoque procerum cum sua cohorte seorsim stante, et novum imperatorem clara voce consalutante. deinde prolatis divinis oraculis studium quisque suum et fidem confirmat. harum rerum omnium dux et auctor fuit magnus domesticus, eo consilio ut ambitiosorum hominum vanitatem et motus et plurimorum concursum ad quosdam regii generis homines sedaret; qui praerogativam aetatis ut magnum quiddam et venerabile praetendentes, et imperatoriam affinitatem exaggerantes, se imperio digniores arbitrabantur.

Quae cum transacta essent, aliquot diebus post imperator moritur, anno imperii vigesimoquarto, mense octavo, vir qui et principatum optime administravit et vitam piam egit, moribus neque dissolutis neque intemperantibus, quique et in donationibus et in sumptibus magnificentiae studuit. idque declarant et crebrae aureorum in populo urbano distributiones, et templa pulcherrima et ma-

νος τοῦ καταλιπεῖν ἐν τοῖς ἔπειτα μέγιστον ἑαυτοῦ ὄνομα τὰ πάντα τιμώμενος ἦν. τοσοῦτον δὲ καὶ τῆς τῶν οἰκείων εὐσχημοσύνης καὶ τοῦ αἰδήμονος τρόπου ἐξείχετο, ὡς καὶ κουρὰν περιεργάζεσθαι τριχὸς καὶ τὸ τοῦ ποδὸς σκῦτος περιαθρεῖν, εἰ κατὰ λόγον καὶ πρὸς τὸ τοῦ ὑποδουμένου σχῆμα ὑπέρραπτο. ἀργολογίαν δὲ καὶ σαπρολογίαν τὴν ἐπὶ κοινῆς ἀκροάσεως καὶ τὸ ἐν ἱματισμοῖς καὶ διαίταις ἄσωτον, ὅσα καὶ λύμην τινὰ βιοφθόρον, τῶν ἀνακτόρων ἀπεσάρωσε, καὶ τὸν ἐμβριθῆ χαρακτηρίζων σωφρονιστήν, καὶ μιμητὰς ἑαυτοῦ τοὺς ὑπὸ χεῖρα εἶναι γλιχόμενος, πᾶσαν ἀρετῆς ἰδέαν μετιὼν οὐκ ἀνίει. οὐ μὴν ταῦτά γε πράττων χαρίτων ἀπείχετο, καὶ P. 32
δυσξύμβλητος ἦν καὶ δυσπρόσιτος καὶ στυγνὸς τὴν ὄψιν καὶ συννεφὴς τὴν ὀφρὺν καὶ ἀεί πως ὑποσκυζόμενος. ἑαυτὸν δ᾽ ἐν τῷ προδήλῳ πάσης πράξεως ἀρίστης πίνακα προτιθείς, ἄγων σχολὴν τῶν ἐκτός, καὶ τὸ περιορᾶσθαι ὑπὸ πλείστων ὅσα καὶ κώδωνα φλύαρον καὶ λάλον ἀποτρεπόμενος, καὶ κομψείαν σεμνὴν εἰσῳκίζετο καὶ τὸν εὐτράπελον οὐ παρέτρεχεν, οὐδ᾽ ἐπεῖχεν ἐπίπαν καὶ ἦγχε τὸν γέλωτα. ὀλίγα οὖν τοῦ ἐς ἄκρον ἀποσφαλεὶς ἐγκρατοῦς τε καὶ ἀσφαλοῦς, καὶ τῶν πρὸς ἐν- B
τελῆ ἀκρίβειαν βραχέα διεκπεσών, καὶ μηδένα διὰ ξυμπάσης αὐτῷ τῆς ἀρχῆς ἢ ψυχῆς στερήσας ἢ ἐς τὸ σῶμα ὁσονοῦν λυμηνάμενος, ἐπαινετὸς ἐς δεῦρο παρὰ πᾶσι λελόγισται καὶ κορωνὶς ὡς εἰπεῖν τῶν ὅσοι Ῥωμαίων ἐκ τοῦ τῶν Κομνηνῶν

1. τοῦ καταλιπεῖν] τὸ κατ. — ὄνομα τοῦ παντὸς τιμ. Wolfius, *nihil habebat antiquius*. ἑαυτῷ A.

xima e fundamentis extructa. sed et gloriae, praeter alios omnes, appetentissimus fuit, in eo ponens omnia, ut maximum nomen apud posteros relinqueret. domesticae disciplinae et decori tam diligens observator, ut et in tondendis capillis et forma calceorum proportionem requireret. inania et obscoena verba a publicis conventibus, et luxum vestium ac mensarum tanquam corruptelam et vitae pestem a palatio pepulit. cumque exemplum disciplinae semet ipsum gravissimum proponeret, atque omnes familiares imitatores sui efficere studeret, omne virtutis genus colere non destitit. neque tamen interim a Gratiis alienus fuit, neque in aditu aut congressu asper tetricus superciliosus aut inhumanus: sed cum in publico actionum optimarum exemplar se praeberet, per otium a re publica remotaque turba, quam tanquam tympanum obstreperum et garrulum cavebat, etiam comitatem honestam admittebat, et ab urbanitate non abhorrebat, neque risum prorsus opprimebat. itaque cum parum a summa continentia et integritate recesserit, et ab exquisitissima vitae ratione haud multum aberrarit, nec totius imperii tempore vel vita privarit quenquam vel quocunque modo corpora multarit, in hunc

γένους ὑπερεκάθισαν, ἵνα μὴ λέγοιμι ὡς καὶ πολλοῖς τῶν ἀνόπιν ἀρίστων τοῖς μὲν ἡμιλλήσατο τοὺς δὲ καὶ παρήνεγκεν.

usque diem omnium laudibus celebratur et decus quoddam imperatorum Comneniae familiae iudicatur; ne dicam eum multos etiam ex superioribus partim aequasse partim superasse.

ΒΑΣΙΛΕΙΑ
ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ
ΕΝ ΤΟΜΟΙΣ ΕΠΤΑ ΘΕΩΡΟΥΜΕΝΗ.

1. Ἀναρρηθεὶς οὖν ὁ Μανουὴλ αὐτοκράτωρ εὐθέως P. 33
τὸν μέγαν δομέστικον, ᾧ κλῆσις ἦν Ἰωάννης, Ἀξοῦχος δὲ ἡ V. 26
ἐπίκλησις, ἐς τὴν βασιλίδα πόλιν ἐξέπεμψε, σὺν αὐτῷ δὲ P. 34
καὶ τὸν χαρτουλάριον Βασίλειον τὸν Τζιντζιλούκην, εὖ μὲν καὶ τὰ κατὰ τὴν νέαν διαθήσοντας βασιλείαν καὶ προομαλίσοντας τὴν εἰσέλευσιν καὶ κατασκευασομένους ἔμπροσθεν αὐτοῦ τὰ εἰσόδια, μετελευσομένους δὲ καὶ τὸν σεβαστοκράτορα Ἰσαάκιον τὸν ἐκείνου ταυτόαιμον. τὸν γὰρ αὐτοκράτορα δέος ὑπέθραττε μήπως οὗτος τὸν τοῦ πατρὸς ἐνωτισάμενος θάνατον καὶ τὴν εἰς τὸν ἀδελφὸν τὸν νεώτερον ἀκηκοὼς τῶν σκήπτρων μετάθεσιν εἰς ἐναντίαν μοῖραν ἀποκριθῇ καὶ περὶ τοῦ τῶν ὅλων αὐτὸς εἶναι κύριος διαμιλληθῇ, ἅτε ἀπὸ τῆς γενέσεως

ΒΑΣ. — ΘΕΩΡΟΥΜΕΝΗ] Τόμος A. 3. βασιλίδα om A. 6 αὐτῷ A. 11. εἰς] πρὸς A.

NICETAE CHONIATAE LIBRI VII
DE REBUS GESTIS
MANUELIS COMNENI.

1. Manuel imperator appellatus magnum domesticum Iohannem Axuchum statim in urbem imperatricem ablegavit, unaque cum eo Basilium Tzitzillucem chartularium, qui et novum imperium firmarent, et ingressum praepararent, et sebastocratorem Isaacium fratrem eius coercerent. verebatur enim ne is audito patris obitu, et sua designatione cognita, per seditionem sibi potestatem omnem

εἰς τὴν διαδοχὴν τῆς βασιλείας καλούμενος καὶ κατὰ τὴν βασιλίδα πόλιν τότε παρὼν καὶ τῶν ἀνακτόρων ἐντὸς αὐλιζόμενος, ἔνθα τῶν χρημάτων αἱ σωρεῖαί εἰσιν ἀποκείμεναι καὶ
B τὰ τῶν κρατούντων γνωριστικὰ περιβλήματα. ὁ Ἰωάννης τοίνυν καταταχύνας τὴν πόλιν εἴσεισι, καὶ τὸν Ἰσαάκιον ἀγνῶτα ἔτι ὄντα τῶν γενομένων αἱρεῖ καὶ τῇ μονῇ τοῦ παντοκράτορος εἱργνυσιν, ἣ τὸν βασιλέα Ἰωάννην ἔσχε δομήτορα.
V.27 καὶ ὁ μὲν μετὰ τὴν κατάσχεσιν τὴν τοῦ πατρὸς ἀναμαθὼν τελευτὴν καὶ τὴν τοῦ ἀδελφοῦ ἀνάρρησιν ἐνηχηθεὶς οὐκ εἶχεν ὅ τι καὶ διαπράξαιτο, δεινὰ πάσχειν λέγων καὶ πέραν δεινοῦ ξύμπαντος, καὶ ὡς ἐπαινετέα ἡ τάξις, ὑφ' ἧς διακρατεῖται τὸ πᾶν. „ἀπῆλθε" φησιν „Ἀλέξιος θανάτῳ πεσών, ὁ τῶν ἀδελφῶν πρωτότοκος καὶ τῆς πατρῴας ἀρχῆς κληροῦχος· ἐπηκολούθησε τούτῳ Ἀνδρόνικος τῷ προτέρῳ ὁ δεύτε-
C ρος, καὶ τὸν νεκρὸν εἰσαγαγὼν τοῦ ἀδελφοῦ διαπόντιον μετὰ βραχὺ καὶ οὗτος τὸν βίον μετήλλαξεν. εἰς ἑαυτὸν τοίνυν τὰ τῶν Ῥωμαίων σκῆπτρα ὁρᾷ, καὶ τῷ δικαίῳ αὐτός ἐστιν ἐγκρατὴς τῆς ἀρχῆς." ἀλλ' ὁ μὲν τοιαῦτα μάτην ἐξετραγῴδει, καὶ εἰκαίως ἦν πτερυγίζων κατὰ σαγηνευθὲν πτηνάριον· ὁ δὲ δὴ μέγας δομέστικος τῆς τῶν βασιλείων φυλακῆς ἐπιμεληθεὶς καὶ τῆς τοῦ βασιλέως Μανουὴλ παρὰ τοῖς ἀστοῖς ἀναγορεύσεως, γράμμα ἐρυθροσήμαντον σφραγῖδί τε χρυσέᾳ καὶ σηρικῷ νήματι ἔμπεδον, κόγχης ἀναδεδευμένῳ αἵματι, τῷ

10. πέρα A. 15. εἰσάγων codices. 22. γράμμα] χρυσόβουλλον δίδωσι τῷ κλήρῳ B.

vendicaret, quod et aetate ad imperium vocaretur, et tum in urbe imperatrice versaretur, et in palatio degeret, ubi pecuniarum acervi et imperatoriae vestes repositae essent. Iohannes igitur festinanter urbem ingressus Isaacium rerum adhuc ignarum capit, et in Omnipotentis monasterio concludit, a Iohanne imperatore aedificato. qui ubi post captivitatem patris obitum et fratris designationem cognovit, quid ageret non habebat, iniquissime secum agi conquerens. et ordine collaudato, a quo etiam rerum universitas gubernaretur, „Alexius" inquit „obiit, fratrum primogenitus et paterni imperii heres. hunc secutus est aetate proximus Andronicus; qui cum fratris cadaver mari advexisset, paulo post et ipse decessit. Romanorum igitur sce- [illegible] ad me spectant, et ego iure imperio potiar." quae cum frustra [illegible]aretur et irritae aviculae instar inani conatu obstreperet, [illegible] domesticus custodiae palatii intentus, atque id agens ut Ma- [illegible] etiam a civibus imperator salutaretur, literas rubro aureoque [illegible] serico filo munitas et conchae sanguine pictas clero magni offert, quibus eis argenteae monetae nummi ad CC minas

κλήρῳ τοῦ μεγάλου νεὼ ἐπιδίδωσι, τυποῦν αὐτοῖς ἀργύρεα ἐτήσια κέρματα εἰς μνᾶς δὶς ἑκατὸν κορυφούμενα. ἐλέγετο δὲ καὶ ἑτέραν ἠρυθροδανωμένην βασίλειον γραφὴν ἐπιφέρεσθαι τὸν Ἀξοῦχον, διὰ χρυσίνων ταῦτα βραβεύουσαν. ἐπεὶ D
δὴ γὰρ ὑπόνοιά τις τὸν κρατοῦντα ὑπέτρεχεν οὐκ ἀνεύλογος, μήπως ἢ αὐτὸς Ἰσαάκιος τῷ δῆθεν δικαιότερος εἶναι πρὸς τὴν ἀρχὴν ἐκ γενέσεως τὰ κατὰ τὴν πόλιν διαστασιάσειε πράγματα, πατρῷον θάνατον καὶ ξυναίμου ὑστερογενοῦς ἐνωτισάμενος μετὰ θάνατον ἐκείνου ἀναγόρευσιν, εἴτ' οὖν ἡ ταῖς τῶν βασιλέων προβλήσεσί τε καὶ μεταθέσεσιν ἀεί πως ἐπεισερχομένη φιλοτάραχος καὶ νεωτεροποιὸς τῶν πλείστων ἔφεσις οὐκ εὔοδά οἱ τῷ νέῳ ἄνακτι καὶ ἀκίνδυνα τὰ κατὰ τὴν βασιλείαν διάθοιτο, διὰ τοῦτο πρὸς ἀμφιρρεπῆ κατάστασιν τοῦ καιροῦ διπλᾶ τῷ Ἰωάννῃ φιλότιμα θεσπίσματα ἐγχειρίζεται. τῷ δὲ κατὰ ῥοῦν προβῆναι τὰ τῆς ἀποστολῆς, καὶ ὡς οὐκ ἦν τῷ πεπομφότι καὶ ἀφιγμένῳ διανοήσασθαι κάλλιον ἢ ἐπεύξασθαι, συνέσχε μὲν τὸ βραβεῦον τὰ χρύσεα, ἐξήνεγκε P. 35
δὲ τὸ χορηγοῦν τὰ ἀργύρεα.

Καὶ οἱ μὲν οὕτω τὴν βασιλικὴν προπαρεσκεύασαν εἴσοδον· ὁ δὲ βασιλεὺς τὰ ὅσια τῷ πατρὶ ἐκτελέσας καὶ ταῖς ναυσὶ τὸ σῶμα ἐνθέμενος, αἳ τῷ Πυράμῳ ποταμῷ ἐνωρμίζοντο, ὃς Μοψουεστίαν λιπαίνων θαλάσσῃ προσπλέκεται, τά τε κατ' Ἀντιόχειαν ὡς ὁ καιρὸς ἐδίδου καταστησάμενος,

1. τυποῦν αὐτοῖς] τάττων αὐτοῖς ὁ βασιλεὺς καθ' ἕκαστον χρόνον ἀργυρίου λίτρας διακοσίας ἐπέκεινα ἧς εἶχον οἰκονομίας B. 8. ἐνωτισάμενος] ἐνηχηθεὶς A. 17. ἐξήνεγκε] ἐξέφερε A. 20. τὰ ὅσια] ἐνταφιάσας καὶ μνημονεύσας τὸν αὐτοῦ πατέρα B. 22. μ[illegible]υεστίαν A.

promittebantur. ferebatur Axuchus etiam alias rubricatas imperatorias literas apportare, quae summam eandem nummis aureis designaret. nam cum suspicio quaedam non inanis Manueli oboriretur, ne forsitan aut ipse Isaacius, ut ad quem ob aetatis praerogativam pertineret imperium, audito patris obitu et fratris iunioris declaratione urbem seditione turbaret, aut alioqui plurimorum turbulenti conatus, imperatorum designationes et mutationes fere semper comitari soliti, regni novitati impedimentum aut periculum crearet, tam ancipiti rerum statu Iohanni bina liberalia diplomata dedit. cum vero legatio prospere successisset, neque Iohannes successum legationis meliorem sibi fingere aut optare potuisset, id quo aurum promittebatur retinuit, argentique pollicitationem protulit.

Ingressu ad hunc modum praeparato, imperator parentali[illegible] peractis, et patris cadavere navibus imposito, quae in Pyramo fl[illegible] stationem habebant, qui Mopsuestiam irrigans in mare influit et

ἀπάρας τῶν Κιλίκων διὰ τῆς ἄνω καλουμένης Φρυγίας ἐπε-
πορεύετο, ὅτε καὶ ὑπὸ Περσῶν ἑάλωσαν καὶ πρὸς τὸν Ἰκο-
νίου κρατοῦντα τηνικαῦτα Μασοὺτ ἀπηνέχθησαν ὅ τε πρὸς
πατρὸς τῷ Μανουὴλ ἐξάδελφος, ὁ Κομνηνὸς δηλονότι Ἀν-
δρόνικος (οὗτος δὲ καὶ ὕστερον Ῥωμαίων κατετυράννευσε),
B καὶ ὁ Δασιώτης Θεόδωρος, ᾧ εἰς γαμετὴν Μαρία ἥρμοστο,
ἣν ὁ τοῦ Μανουὴλ κασίγνητος ὁ σεβαστοκράτωρ Ἀνδρόνικος
ἔτεκε. κατὰ γὰρ θήραν ἀγρίων τῆς ὁδοῦ ἐκτραπόμενοι ἧς
τὸ στράτευμα εἴχετο, ἔλαθον συλληφθέντες πολεμίων χερσίν,
καὶ θηρᾶν ἐπιβαλόμενοι κνώδαλα θηρευταῖς ἀνθρώπων περι-
πεπτώκασι. τότε μὲν οὖν ὁ βασιλεὺς μὴ πράξεσιν ἑτέραις
τὸν νοῦν ἐφιστᾶν δυνάμενος, ἀλλὰ τῆς προκειμένης ἅπας γι-
νόμενος, καὶ ταύτης καὶ βραχύ τι γοῦν ἀποσχέσθαι κρίνων
ἀσύμφορον, οὐδὲ τῶν κατὰ τοὺς ἄνδρας τούτους ὡς ἔδει πε-
φρόντικεν ἢ βασιλικῶς αὐτοῖς ἐπήμυνε· μετέπειτα μέντοι
ζωαγρίων ἄνευ ἐλύσατο, καὶ τὸ πόλισμα τὴν Πρακᾶν, ὃ δὴ
C τῆς Σελευκείας ἐχόμενα ἵδρυται, Ῥωμαίοις ἐπανεσώσατο παρὰ
Περσῶν πορθηθέν. ὡς δὲ τὴν βασιλίδα πόλιν ἐπεφθάκει ὁ
Μανουήλ, ἀσμένως παρὰ τῶν ταύτης οἰκητόρων προσδέχεται,
τοῦτο μὲν ὡς τὴν πατρῴαν βασιλείαν παρειληφώς, τοῦτο δ'
ὅτι καὶ παρὰ πᾶσιν ἀσπάσιος ἦν, ἐπεὶ κἂν τῷ ἀκριβῶς μεί-
ρακι τὴν σύνεσιν ἔσωζε τῶν καταγηρασάντων ἐν τοῖς πρά-
γμασι πλείονα, πολεμικός τε καὶ φιλοκίνδυνος κἂν τοῖς δει-
V. 28 νοῖς ἀκατάπληκτος καὶ μεγαλόφρων δεικνύμενος, καὶ πρὸς

1. τῶν Κ.] ἀρμενίων χώρας B. 9. συλληφθέντες] ἐμπεσόντες A.
16. πρακάναν A, πέρκαν B. 21. τῷ] τῷ οὔπω A.

tiochiae rebus pro tempore pacatis, e Cilicia digressus per superiorem Phrygiam proficiscitur. tum Andronicus Comnenus, qui post in Romanos tyrannidem exercuit, Manuelis patruelis, et Theodorus Dasiotes, cui Maria nupta erat, Andronici sebastocratoris, fratris Manuelis, filia, a Persis capti et ad Masutum Iconii principem sunt perducti. nam dum feras venantur, a militari via digressi venerunt in hostium manus et in venatores hominum inciderunt. imperator autem, qui cum aliis rebus vacare non posset, sed propositum urgeret omnemque moram sibi incommodare putaret, non eam illorum rationem habuit quam oportebat, nec ut decebat, opem eis tulit. post tamen eos sine pecunia liberavit, et Pracam, oppidum Seleuⁿinitimum, vastatum a Persis recuperavit. ut autem urbem imcem attigit, cupide ab incolis suscipitur, tum quod regno paaccedebat, tum quod apud omnes erat gratiosus. nam in ipsa entia senes prudentia anteibat, bellicosus, audax, in pericuerterritus et magnanimus, ad committenda praelia promptus.

μάχας τελῶν ὀξύῤῥοπος. ἐπέπρεπε δὲ καὶ χάρις ἐπὶ τοῦ προσώπου τῷ νεανίᾳ, καὶ τῷ τῆς ὄψεως ὑπομειδιῶντι τὸ ἐπαγωγὸν ἐπεσύρετο, εὐμήκης ὢν τὴν ἡλικίαν, κἂν ἐπένευέ τι D τοῦ ἰθυτενοῦς μέτριον. τὴν δέ γε χροιὰν οὔτε κατὰ τοὺς ἐσκιατραφημένους λευκὸς ἦν καὶ χιονώδης, οὔτε μὴν ἄγαν καπνηρὸς ὡς οἱ πολὺν τὸν ἥλιον ἐπὶ τοῦ προσώπου δεξάμενοι καὶ οὓς παρέβλεψαν ἀκτῖνες θερμότεραι, ἀλλὰ τῆς λευκῆς θέας ἀναχωρῶν, τῷ δὲ μέλανι προσεγγίζων χρώματι εὐπρεπείας καὶ οὕτως εἴχετο. διὰ ταῦτα τοίνυν ὑπτίαις ἀγκάλαις περιχυθέντων τῶν πολιτῶν, εἴσεισιν ἀσμένως τὰ βασίλεια πλατέσι καὶ ἀνεωγόσι περικροτούμενος στόμασιν. ἐν δὲ τῷ παριέναι μεθ' ἵππου Ἄραβος ἐριαύχενος τὰ ἀνάκτορα, καὶ μέλλειν εἰσιέναι διὰ τῆς πύλης μεθ' ἣν ἡ ἐκ τῆς ἕδρας ἀπόβασις ἐφεῖται μόνοις τοῖς αὐτοκράτορσιν, ὁ ἵππος ὃς ἦν τὸν βασιλέα ὀχῶν, ἐς ἀκουστὸν χρεμετίσας καὶ συχνὰ κόψας ἄκραις ὁ πλαῖς τὸ δάπεδον εὐήνιά τε προποδίσας καὶ περιδινηθεὶς ἀγέρωχα, ὑπερέβη ὀψέ ποτε τὸν οὐδόν. ἀγαθὸν οὖν ἔδοξε τοῦτο τοῖς συνιοῦσι κομψοῖς ἐπεισόδιον, καὶ τού- P. 36 των μάλιστα οἳ περικεχήνασιν οὐρανόν, τὰ δ' ἐν ποσὶ μόλις ἔχουσι διορᾶν, καὶ διὰ τῶν ἱππείων σχηματισμῶν καὶ συχνῶν περιελιγμάτων μακραίωνα περιτελλομένην ζωὴν τῷ αὐτοκράτορι ἀπεφοίβαζον.

3. κἂν ἐπένευέ τι] ὀλίγον ὑποκλίνων τὴν κεφαλὴν B. 5. ἄγαν καπνηρὸς] μέλας ὡς σαρακηνός B. 7. ἀλλὰ μέσος, πλησιάζων τῇ μαυροτέρᾳ θεωρίᾳ τῇ εὐπρεπεῖ B. 9. ὑπτίαις ἀγκάλαις] ἡπλωμέναις ὃ λέγεται B. 13. ἡ ἐκ τῆς] ἡ ἀπὸ τοῦ ἵππου πέζευσις B. 16. προσοδίσας A. 20. σχημάτων A, περιτριγυρισμάτων B.

ad haec e vultu adolescentis gratia quaedam elucebat, et arridentes oculi nescio quid illecebrarum in se habebant: procera statura, quamvis nonnihil inflexa; colore neque albo et niveo ut qui in umbra educati sunt, neque etiam admodum fusco ut ii qui a sole sunt adusti, sed ita inter nigrum et candidum medio, ut quamvis ad nigredinem tenderet, tamen decorus esset. quamobrem a civibus obviis, quod aiunt, ulnis exceptus, et pleno ore cum applausu celebratus, palatium ingreditur. dum autem equo Arabico insigni pergit, portam ingressurus post quam solis imperatoribus descensus e sella permittitur, equus clare hinniit, et solo ungulis crebro pulsato, sollerterque progressus et fortiter in girum actus, sero tandem limen transcendit. id quoque bonum omen visum eruditis, praesertim iis qui caelo inhiantes vix ea vident quae ante pedes sunt; et per equinos gestus et crebros flexus longam vitam imperatori portendi vaticinabantur.

2. Θύσας οὖν τὰ ἀναγορευτήρια θεῷ καὶ ἐπιβατήρια, σκέπτεται περὶ τοῦ τὸν πατριαρχικὸν κληρωσομένου θρόνον καὶ τοὺς τῆς ἐκκλησίας χειρισομένου οἴακας καὶ ταινιώσοντος αὐτὸν ἐπὶ νεῷ κυρίου τῷ αὐτοκρατορικῷ στεφανώματι· ὁ γὰρ Στυππῆς Λέων θανάτῳ ἐξ ἀνθρώπων ἐγένετο. κοινοῦται οὖν τὰ τῆς γνώμης τοῖς ἐκ τοῦ καθ' αἷμά οἱ σεμνώματος
B προύχουσι καὶ τοῖς ἐκ τῆς συγκλήτου βουλῆς καὶ ὅσοι τοῦ βήματος ἔντροφοι, καὶ πολλῶν εἰς τὴν μεγίστην ἀρχιερατείαν ἐγκρινομένων ἡ νικῶσα ψῆφος καὶ τῶν ἁπάντων σχεδὸν πρὸς τὸν ἀπὸ τῆς μονῆς τῆς Ὀξείας ῥέπει μοναχὸν Μιχαήλ· οὗτος γὰρ καὶ ἀρετῇ περιώνυμος ἦν καὶ τῆς ἡμετέρας ἐν μεθέξει παιδεύσεως. προβληθεὶς οὖν ὁ Μιχαὴλ πατριάρχης ἐξ αὐτῆς τὸν χρίσαντα χρίει τὰ ἱερὰ ἐσαφικόμενον μέλαθρα. συμβαίνει δὲ τῷ βασιλεῖ καὶ ὁ ἀδελφὸς Ἰσαάκιος, καὶ ὑπὲρ δόξαν τὴν τῶν πολλῶν ἀντεδίδοσαν ἀλλήλοιν τὼ ἀδελφὼ τὴν εὔνοιαν. ἦν δὲ ὁ Ἰσαάκιος διὰ τὸ εἰς χόλον εὐέμπτωτον καὶ τὸ ἐκ μικρᾶς πολλάκις αἰτίας ἐς κολάσεις ὑπερόγκους διαρριπίζεσθαι δυσξύμβλητος τοῖς πολλοῖς. ἔτρεφε δὲ καὶ τὸ ψοφοδεὲς ἀγεννές, καὶ ταῦτα τηλίκος ὤν, καὶ ἀνδράσιν ἀνόμοιον. ἦν οὖν ὁ βασιλεύτατος Ἰωάννης ὁ τού-
C του πατὴρ καὶ κατὰ τοῦτο παρὰ πᾶσι μακαριστὸς καὶ τῆς ἀοιδίμου λήξεως καὶ δι' εὐφήμου κείμενος μνήμης, ὅτι τὸν Μανουὴλ εἰς τὸ κρατεῖν καὶ βασιλεύειν ὑπὲρ αὐτὸν ἐδικαίωσε.

2. σκέπτεται καὶ περὶ πατριάρχου ἵνα στεφθῇ B. 5. στυπτῆς A, λέων ὁ στυπῆς B. 7. καὶ ὅσοι] καὶ τοῦ κλήρου παντός B. 11. τῆς ἡμετέρας] τῇ τῶν γραμμάτων λογιότητι ἄριστος B. 13. ἐξ αὐτῆς] παραυτίκα B. 15. ἀλλήλοις A.

2. Facta igitur re divina pro declaratione et imperii auspiciis, de patriarchici throni successore et ecclesiasticae functionis gubernatore, a quo in templo domini corona imperatoria ornaretur, deliberat. nam Leo Styppiota morte rebus humanis exemptus erat. proinde sententiam suam cum cognatis senatoribus et sacerdotibus communicat. cum autem multi in maximi pontificatus suffragiis nominarentur, eorum sententia vicit, ceteris fere omnibus assensis, qui Michaelem Acuti monasterii monachum designabant, virum et virtute celebrem et nostris literis eruditum. is igitur patriarcha declaratus eum a quo unctus erat vicissim ungit, sacram aedem ingressum. imperatorem etiam frater Isaacius est comitatus; itaque fratres, praeter vulgi opinionem, mutua benevolentia se complexi sunt. fuit autem Isaacius ob iracundiam et levitatem de causis ad atrocia supplicia propensionem minime gratus populo; et quanquam procerus, nescio quid formidolosum et viro indignum habuit, ut ad quemvis pene strepitum expavesceret. quamobrem pater eius Iohannes, imperator solertissimus, etiam eo nomine ab omnibus celebrabatur, quod illi Manuelem praetulisset.

Τοῦ δὲ Μασοὺτ τὰ πρὸς ἕω ληϊζομένου καὶ κατατρέχοντος ἔξεισιν ὁ Μανουὴλ κατ' αὐτοῦ, καὶ δὴ γεγονὼς κατὰ τὰ Μελάγγεια τοὺς ἐκεῖσε Πέρσας μετῆλθε. πρὸς δὲ τῆς τῶν Μελαγγείων φυλακῆς τε καὶ ἀνακτίσεως ἐπιμεληθεὶς εἰς τὴν βασιλεύουσαν ἐπάνεισι πόλιν, νόσῳ προσπαλαίσας πλευρίτιδι. ἀλλὰ καὶ τὸν τῆς Ἀντιοχείας πρίγκιπα Ῥαϊμοῦνδον μετιέναι δεῖν οἰηθείς, ταῖς Κιλικίαις ἐπιφυόμενον πόλεσιν, αἳ Ῥωμαίοις ἦσαν κατήκοοι, στρατιὰν ἐξέπεμψεν, ἡγεμόνας αὐτῇ ἐπιστήσας τοὺς ἀδελφόπαιδας Κοντοστεφάνους, τόν τε D Ἰωάννην καὶ τὸν Ἀνδρόνικον, καί τινα Προσοὺχ οὐκ ἄϊδριν τὰ πολέμια· καὶ νῆας δὲ προσεπεπόμφει μακράς, ὧν ἡγεῖτο Δημήτριος ὁ Βρανᾶς. ἀμέλει καὶ τῶν κακῶς ἐκεῖσε παθόντων φρουρίων καὶ πόλεων δεούσης ἐπικουρίας τετυχηκότων, κατὰ Περσῶν ἐκστρατεύειν προέθετο· ἤδη γὰρ οὗτοι τὰ περὶ τὸν Πιθηκᾶν ἐρύματα ὑπαγαγέσθαι σπεύδοντες καὶ τῷ θέματι τῶν Θρακησίων ἐμβάλλοντες τὰ ἐν ποσὶν ἐληΐζοντο. ὑπερβὰς τοίνυν Λυδίαν καὶ ταῖς κατὰ Φρυγίαν καὶ Μαίανδρον ποταμὸν ἐπιστὰς πόλεσιν, αὐτάς τε τῶν ἐπηρτημένων V. 29 κινδύνων ἀπήλλαξε καὶ τοὺς Πέρσας φοβήσας ἐδίωξε. γενόμενος δὲ κατὰ τὸ Φιλομίλιον κἀκεῖσε τοῖς Τούρκοις προσέμιξεν· ἔνθα καὶ τὸν τοῦ ποδὸς ἐτοξεύθη ταρσὸν παρὰ Πέρσου τινὸς καταβληθέντος μὲν ὑπὸ βασιλέως τῷ δόρατι, ἐν δὲ τῷ P. 37 ἀνατραπῆναι τὸ βέλος ἐπαφέντος κατὰ τοῦ πέλματος. δόξας δὲ παρ' αὐτοῖς φοβερὸς εἶναι τὰς πράξεις καὶ εὔτολμος καὶ τοῦ

9. ἀδελφόπαιδας] ἀνεψιοὺς B. 14. κατὰ τῶν ἐν τῷ μέντρῳ κουρσευόντων περσῶν. διελθὼν τοίνυν τὰς σάρδεις καὶ ταῖς κατὰ τὸν μέντρον ἐπιστὰς B. 23. τὸ βέλος] τὴν σαγίταν B. κατὰ τοῦ πέλμ.] ὑποκάτω τοῦ πατήματος τοῦ ποδός B.

Qui contra Masutum Orientem incursantem et populantem ad Melangia profectus, Persas illius loci ultus est; dataque opera ut Melangia instaurarentur et custodirentur, in imperatricem urbem revertitur, lateris morbo conflictans. sed et Antiochiae principem Raimundum ulciscendum ratus, qui Ciliciae urbes Romanae ditionis vexabat, Contostephani nepotes Iohannem et Andronicum, et Prusuchum quendam rei militaris non imperitum, cum exercitu ablegavit, adiunctis longis navibus, quibus Demetrius Brana praeerat. oppidis et castellis quae vexabantur defensis, Persis denuo bellum ipse inferre statuit. qui cum Pithecanas munitiones occupare studerent, et in Thraciam impressione facta obvia omnia praedarentur, praeterita Lydia urbes Phrygiae et ad Maeandrum flumen sitas imminentibus periculis eripuit, et Persas perterritos fugavit. ad Philomelium cum Turcis congressus, cum hasta Persam quendam prostravisset, ab eodem cadente in planta sagitta ictus est. cum autem et in rebus ge-

[illegible] Ἰωάννου φιλοκινδυνότερος, οὐχ ᾑρεῖτο γενέσθαι [illegible]τροφος, οὐδ' ἐπείθετό οἱ τοῖς συμβουλεύουσι μνησθῆ[illegible] καὶ νόστου ποτέ, μήπως ἐπισυστάντες οἱ Πέρσαι ὡς [illegible] τῶν ὅλων ἀπογινώσκοντες κακῶς τὸ κατ' αὐτὸν διά[illegible] στράτευμα. ἀμέλει καὶ τὸ πρόθυμον ἐπιτείνας ἐς [illegible] τὸ Ἰκόνιον ἤλασεν. αὐτὸς μὲν οὖν ὁ Μασοὺτ μετανα[illegible] ἐκεῖθεν παρενέβαλεν εἰς τὰ Τάξαρα, ἅ ἐστιν ἡ πά[illegible] λεγομένη Κολώνεια· τῶν δὲ θυγατέρων αὐτοῦ μία τῶν [illegible]χῶν ἄνωθεν διεκκύπτουσα, ἥτις καὶ συνῳκηκέναι ἐλέγετο [illegible] ἐξαδέλφῳ τοῦ βασιλέως Ἰωάννῃ τῷ Κομνηνῷ, ὃν ὁ σεβα[illegible]άτωρ ἐγείνατο Ἰσαάκιος, κατὰ δὲ μικρολυπίαν τοῦ θείου [illegible] βασιλέως Ἰωάννου τοῦ Κομνηνοῦ ἀποδρὰς τῷ Μασοὺτ [illegible]ερρύη, ὑπὲρ τοῦ πατρὸς καὶ σουλτάνου πιθανὸν ἐτίθετο [illegible] ἀπόλογον. βασιλεὺς δὲ ἀγχοῦ τῶν περιβόλων τοῦ Ἰκονί[illegible] γενόμενος καὶ τὰ τείχη τῷ στρατῷ διαζώσας, τόξα τε τεί[illegible]ειν ἐπὶ τὰς ἐπάλξεις τῇ νεολαίᾳ ἐνδοὺς καὶ τοῖς νεκροδόχοις [illegible]μασιν ἐνυβρίζειν μὴ συγχωρῶν, οὕτως ἐκεῖθεν μόλις ἐξ[illegible]ρμησε καὶ παλίμπους ἐφέρετο. ἐν δὲ τῇ ἀπάρσει λόχους [illegible]ποκαθισάντων τῶν πολεμίων καὶ τὰ ἀμφιλαφῆ χωρία προ[illegible]ειληφότων μείζους τῶν προτέρων ἀνερράγησαν πόλεμοι. ἐναγωνίως δὲ καὶ τούτων διῳκημένων ἐς τὴν βασιλεύουσαν πόλιν ἀνέζευξεν.

Ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς οὗτος ἐξ Ἀλαμανῶν,

9. συνωκηκυῖα ἦν A. 10. ἰωάννου A. 13. σουλτὰν A. 16. καὶ τοῖς νεκρ.] καὶ τοὺς τάφους τῶν νεκρῶν σωμάτων ἐξανασκάψαντες B. 17. οὕτως ἐκεῖθεν om A. 18. λόχους ὑποκαθισάντων] εἰς κλεισούρας καὶ λόγγους καθισάντων B. 20. ἐρράγησαν A. 21. διωκομένων A.

rendis acer atque audax et patre Iohanne bellicosior hostibus videretur, recedere noluit; neque paruit iis qui monebant ut tandem domum reverteretur, ne Persae ex desperatione salutis conspirantes exercitum eius male tractarent. sed aucta potius alacritate ipsum Iconium petiit. unde Masutus digressus Taxaris castra posuit, quae olim Colonia vocabatur. una vero ex filiabus eius, quae Iohanni Comneno Isaacii sebastocratoris filio, imperatoris patrueli, nupta esse ferebatur, qui ex levi offensa a patruo et imperatore Iohanne ad Masutum defecerat, e moenibus prospectans in defensionem patris Sultani orationem haud ineptam habuit. at imperator ubi ad Iconii moenia successit, eaque exercitu circumdedit, et iuventuti arcus contra propugnacula intendere concessit, prohibita sepulcrorum violatione, vix inde discessit. sed quia in discessu hostes angustias insidiis occuparant, pugnae superioribus maiores eruperunt; quibus sine discrimine confectis, in urbem imperatricem rediit.

[illegible]xorem ducit Alamannam, ex illustri principum familia natam;

γένους τῶν ἐπὶ δόξης καὶ θρόνων τῶν ἀρχικῶν. αὕτη μέντοι οὐ τοσοῦτον τοῦ σωματικοῦ κάλλους ἐφρόντιζεν ὅσον τοῦ ἔνδον καὶ περὶ ψυχὴν ἐπεμέλετο. οὐκοῦν ἐξομνυμένη τὰ ἐκ τῶν κόνεων ἐπιτρίμματα καὶ τοὺς τῶν ὀφθαλμῶν ὑπογραμμοὺς καὶ τὸν πλάστην τὸν κάτωθεν καὶ τὸ τεχνικὸν ἀλλ' οὐ φυσικὸν ἔρευθος, καὶ ταῖς ἄφροσι τῶν γυναικῶν αὐτὰ ἐπιρρίπτουσα, ταῖς ἀρεταῖς προσανεῖχε καὶ ὡραΐζετο. εἶχε δὲ τὸ μὴ ἐπικλινὲς ἐθνικόν, καὶ τὸ τῆς γνώμης ἐκέκτητο δυσμετάθετον. ὅθεν οὐδ' ὁ βασιλεὺς προσεῖχεν αὐτῇ τὰ πολλά, ἀλ- D
λὰ τιμῆς μὲν καὶ θρόνων πάνυ λαμπρῶν καὶ δορυφορίας καὶ τῆς λοιπῆς λαμπροφορίας βασιλικωτάτης μετεῖχε, τὰ δ' ἐς κοίτην ἠδίκητο. νέος γὰρ ὢν ὁ Μανουὴλ καὶ ἐρωτικὸς τῷ τε ἀνειμένῳ βίῳ καὶ ταῖς τρυφαῖς προσανέκειτο, καὶ συσσιτίων καὶ κώμων ἐξείχετο, καὶ ὅσα τὸ νεοτήσιον ἄνθος ὑπέβαλλε καὶ ἐμύουν οἱ πάνδημοι ἔρωτες διεπράττετο.

3. Ἐμέλησε δὲ καὶ τῶν κοινῶν τῷ βασιλεῖ τῷδε πράξεων, καὶ τῶν μὲν δημοσίων εἰσφορῶν φροντιστὴν καὶ λογιστὴν μέγιστον τὸν ἐκ Πούτζης Ἰωάννην προβάλλεται καὶ αὐτός, ὥσπερ ὁ πατὴρ ἐκείνῳ καὶ βασιλεύς, πρότερον ὄντα

1. θρ. τ. ἀρχ.] πάνυ λαμπρῶν A. 3. τὰ ἐκ τῶν] γυναικῶν ἐξ ἑτέρων χρωμάτων πλάσματά τε καὶ καλλωπίσματα B. 6. ταῖς ἀδιαφόροις B. 7. τὸ μὴ ἐπικλ.] τὸ ὑπερήφανον καὶ μὴ ὑποκύπτον τῷ βασιλεῖ ἐν πολλοῖς B. 10. δορυφορίας] λαμπροειμονίας καὶ δορυφορίας βασ. A. 12. ἐρωτικὸς] ἐλεύθερος B. 14. ὅσα τὸ νεοτήσιον] πρὸς τὰς μίξεις τῶν γυναικῶν ἀδιάφορος. καὶ πολλαῖς γυναιξὶ μιγνύμενος ἐμίγη καὶ τῇ ἑαυτοῦ ἀνεψιᾷ, καὶ ἦν τοῦτο μολυσμὸς καὶ μέμψις μεγάλη αὐτῷ, καθάπερ καὶ λώβη εἰς ὡραιότατον πρόσωπον B. 16. ἐμέλησε] ἐφρόντισε δὲ ὁ βασιλεὺς καὶ εἰς τὰ τῶν δημοσίων πράγματα καταστῆσαι μεσάζοντας, καὶ μέγαν μὲν λογιαστὴν τῶν ἁπασῶν εἰδημάτων τὸν — μεσάζοντα δὲ τῶν οἰκείων ὑποθέσεων B.

quae non tam formam corporis curabat quam animi pulchritudinem. itaque omnibus fucis et ascititiis ornamentis repudiatis, ut quae vecordes mulierculas decerent, naturali rubore contenta virtutum ornamentis fulgebat, constantia et gravitate animi gentilitia praedita. quo fiebat ut imperator, etsi ei solium altissimum, satellites, honorem et splendorem regium minime negabat, tamen parum eam diligeret, neque fidem coniugii servaret, ut homo adolescens, libidinosus, dissolutae et delicatae vitae deditus, ceterisque rebus quas ea aetas et amoris illecebrae ferunt. usus est et neptis suae consuetudine, non sine gravi dedecore et labe; qua fama eius, ut formosissima facies turpi naevo, deformata est.

3. Nihilominus tamen rei publicae curam suscepit. publicorum vectigalium curatorem et quaestorem supremum Iohannem Puzenum, ut et pater, designavit, cum prius Dromi Protonotarius esset. Io-

καὶ τοῦ δρόμου πρωτονοτάριον, μελεδωνὸν δὲ μεσεύοντα καὶ τῶν οἰκείων ὑποδρηστῆρα διαταγμάτων τὸν Ἁγιοθεοδωρίτην
P.38 τίθησιν Ἰωάννην. καὶ ἦν ὁ μὲν τῷ προσώπῳ τοῦ βασιλέως ἀεὶ ὀπτανόμενος καὶ τὰ τούτου ἐντάλματα ὅσα καὶ ἐμφάσεις ἐκ κρείττονος μοίρας δεχόμενος, ὑπουργοῖς δὲ οὐκ ὀλίγοις τῶν γραφομένων καὶ λεγομένων ἐκέχρητο λογίοις ἀνδράσιν, ὅσοις ἡ αὐλὴ ἐνέβριθεν ἡ βασίλειος, πρὸ πάντων δὲ τῷ Στυππειώτῃ Θεοδώρῳ, περὶ οὗ δηλώσομεν ἐν τοῖς ἐφεξῆς. ἦν δὲ ὁ ἐκ Πούτζης Ἰωάννης δεινότατος τὰ δημόσια, φορολογίας παιπάλημα καὶ ἐπίτριμμα, καὶ τῶν μὲν ὄντων δασμοφορημάτων συζητητὴς ἀκριβέστατος, τῶν δὲ οὐκ ὄντων εὑρετὴς ἀπαράμιλλος. ἐξήσκητο δὲ καὶ τὸ ἦθος ὑπὲρ πάντας ἀδυσώπητον καὶ
V. 30 ἀμείλικτον· εὐκοπώτερον γὰρ ἄν τις ἀμειδῆ καὶ ἀγέλαστον
B πέτραν ἐμάλθαξεν ἢ ἐκεῖνον ἐν τοῖς ἀβουλήτοις ὑπέκλινεν. ὃ δὲ τούτου θαυμασιώτερον, οὐ μόνον οὐκ ἦν δακρύοις ἄτεγκτος, σχήμασι δεητηρίοις ἀπροσκλινής, ἀργυρίου ἀτίνακτος ἑλεπόλεσι καὶ χρυσίου ἀγοήτευτος φαρμακεύμασιν, ἀλλ' εἶχε καὶ τὸ δυσέντευκτον ὡς ἀπάνθρωπον. τὸ δὲ τοῖς τότε θυμαλγὲς καὶ δυσύποιστον, οὐδ' ἀπόλογος ἦν παρ' αὐτῷ καθαρῶς ἐφ' οἷς ὁ προσιὼν προετίθετο, ἀλλὰ χαίρων τὰ πλεῖστα τῇ ἀφασίᾳ ἐνιαχοῦ καὶ ἀπροσήγορον παρῄει τὸν παραβάλλοντα. τοσαύτην δ' ἐκ βασιλέως ἰσχύν τε καὶ ἐξουσίαν περιεζώννυτο ὡς ἃ μὲν ἠβούλετο τῶν βασιλικῶν θεσπισμάτων ἀποπέμπεσθαι

9. δεινότατος] πανοῦργος καὶ πεπαλαιωμένος εἰς τὰ δημόσια B. 9. φορολογίας] τῆς λογιστείας A. 15. nonne delendum οὐκ? 19. καθαρὸς A. 20. προσετίθετο A. 21. παρείη A. 23. ὡς ἃ μὲν] ὅσα μὲν ἤθελε τέλη τῶν δημοσίων ηὔξανεν, ἄλλα δὲ ἔκοπτε B.

hannem Hagiotheodoritem suarum constitutionum sequestrum et ministrum ordinavit. is in conspectu imperatoris semper astabat, eiusque mandata tanquam oracula excipiebat: ministris vero eorum quae dicenda scribendaque erant non paucis eruditis viris utebatur, qualibus aula referta erat, Theodoro Styppiota praesertim, de quo suo loco dicemus. erat Iohannes Puzenus ad rem publicam gerendam callidissimus, vectigalium veterum exactor acerrimus, novorumque inventor solertissimus. moribus ad severitatem et rigorem ita compositis, ut asperrima rupes facilius emolliri posset quam ille a sententia deduci; et quod mirabilius est, non modo lacrimis non movebatur, supplici gestu non flectebatur, argenti machinis non concutiebatur, auri praestigiis non capiebatur, sed et ad inhumanitatem usque odiosam a congressibus abhorrebat, neque fere (quod molestissimum erat hominibus et pene intolerabile) iis a quibus adibatur respondebat, sed silentio plerosque tacitus praeteribat. tantum au-

καὶ διαρρηγνύειν, ἔνια δὲ καὶ τοῖς δημοσίοις ἐγγράφειν κώδιξιν. ὑποθήκῃ δὲ τοῦ ἀνδρὸς τούτου χρῆμά τι κοινωφελὲς C καὶ ταῖς νήσοις πάσαις σωτήριον καὶ τοῖς πρώην βασιλεῦσι συντηρηθὲν ἀπαράβατον ὁ βασιλεὺς Ἰωάννης ἀξυμφόρως κατήργησε. τὰ γὰρ ἐκ τῶν πλευστικῶν ἐρανιζόμενα στρατειῶν, διαδιδόμενα πάλαι τῷ ναυτικῷ, εἰς τὸ ταμιεῖον οὗτος παρειπάμενος μετωχέτευσε, καὶ τὰς ἀπὸ τῶν νήσων ἐκ τύπου παρεχομένας τριήρεις αὐτάνδρους μικροῦ κατεπόντισε παραφάμενος. ὑποθέμενος γὰρ ὡς τὸ μὲν τῶν τριηρέων χρῆμα οὐκ ἀεὶ τῇ πολιτείᾳ καὶ τῷ κοινῷ ἐπιτήδειον, τὰ δ' ὑπὲρ τούτων ἀναλώματα οὐκ εὐάγκαλα καὶ ἐπέτεια, καὶ δεῖν αὐτὰ μὲν τὸ ταμιεῖον ἐγκολπίζεσθαι, χρείας δ' ἐνισταμένης ἐκ τῶν βασιλικῶν θησαυρισμάτων τὸν ὀψωνιασμὸν τῷ ναυτικῷ παρέχεσθαι, ἔδοξεν εἶναι ἀνδρῶν ὁ βέλτιστος καὶ τὴν φύσιν τῶν πραγμά- D των ἠκριβωκὼς ὁ καταποντιστοῦ σκέμμα εἰσενεγκάμενος. τοῖς γὰρ ἁδροῖς τὸν βασιλέα ἐν τῷ ταῦτα εἰσηγήσασθαι παρακέκρουκε δαπανήμασι, καὶ αὖθις τῷ μετρίῳ τῆς καταβολῆς διακέχυκε. καὶ νῦν ἐκ τῆς κακοβουλίας ταύτης εἴτ' οὖν σμικροπρεπείας θαλασσοκρατοῦσιν οἱ πειραταί, καὶ κακῶς πεπρά-

2. χρῆμά τι] πρᾶγμα τῆς τῶν κατέργων πλεύσεως B. 5. τὰ γὰρ ἐκ τῶν προσαλεντῶν ἐπισυναγόμενα χρήματα καὶ εἰς ἔξοδον πάλιν καὶ ῥόγαν τῶν ἐν τοῖς κατέργοις στρατιωτῶν τεταγμένων καὶ διδόμενα τῷ πλήθει τῷ ναυτικῷ εἰς τὸ βεστιάριον τῆς βασιλείας εἰσκομίζεσθαι ἔταξεν, εἰπὼν οὕτως ὡς τὰ μὲν κάτεργα καὶ ὁ τούτων λαὸς οὐκ ἀεί ποτε πλέουσι καὶ οὐδὲ πρέπον ἐστὶ κενοτομεῖσθαι τὰ τοιαῦτα χρήματα ἀνωφελῶς, χρείας δὲ γινομένης πάλιν ἐκ τοῦ βασιλικοῦ βεστιαρίου ῥογεύεσθαι εὔκολόν ἐστι B. 12. ἐνισταμένης] ἐφισταμένης A. 16. εἰσηγεῖσθαι A. 19. πειραταί] κουρσάριοι B.

tem auctoritatis et potentiae habebat, ut imperatoria edicta quae vellet repudiaret et laceraret, quaedam in publicos codices referret. eiusdem monitu res utilissima et omnibus insulis salutaris, et a superioribus imperatoribus constanter observata, inutiliter abrogata fuit. nam vectigalia nautica olim in classem conferri solita hic in fiscum referenda curavit, ac triremes, quae ex edicto ab insulis praebebantur, pene cum ipsis vectoribus in mari demersit, cum diceret triremes non semper rei publicae esse utiles, sumptus vero qui in eas fierent, et annuos esse et immensos. eos igitur in fiscum referendos, necessitate vero postulante ex imperatoris thesauris stipendia promenda esse. quae cum dixisset, vir optimus et rerum gerendarum peritissimus est habitus, cum re vera sententiam crudelissimo pirata dignam dixisset. imperatorem enim sumptuum magnitudine decepit et parvitate impensarum rursus exhilaravit. qua sive temeritate sive tenacitate factum est ut piratae optatissima oc-

γασι ταῖς ληστρίσιν αἱ παραθαλαττίδιοι Ῥωμαίων χῶραι, καὶ ὡς ἂν κατεύξαιντο οἱ διάφοροι. εἰ δὲ καὶ τὸν στάχυν ἴσμεν τοῦ σπείραντος, ἀλλὰ καὶ τὸν ἀμήσαντα προσεπαιτιώμεθα· καὶ εἰ ὁ ἐμπρησμὸς τοῦ ἀνάψαντος, ἀλλὰ καὶ τοῦ κατασβέσαι δυναμένου, δρᾶσαι δέ τι τοιοῦτον ὅλως μὴ βουληθέντος. ἀλλ'
P. 39 ἕως τότε φιλοδημόσιος λογιστὴς καὶ δεινὸς καὶ φειδωλὸς οἰκονόμος καὶ ὀβολοστατῶν ἀτεχνῶς δασμολόγος ὁ Ἰωάννης ἐδείκνυτο, ἕως ἀκαθαίρετον εἶχε τὴν δυναστείαν, καὶ τὸ ποιεῖν ὅσα καὶ πρὸς βουλῆς ἀνεξέλεγκτον, καὶ ὅσα βουλητὰ τούτῳ καὶ δυνατά. ἐπειδὴ δὲ μεθαρμοζόμενόν οἱ ἑώρα τὸ δύνασθαι καὶ τὸ εὐπαρρησίαστον παραιρούμενον καὶ ὑπορρέουσαν κατὰ βραχὺ τὴν ἰσχύν, οἷα καὶ ἑτέρων κρατυνομένων παρὰ τῷ βασιλεῖ κἀκ τοῦ ἄγαν ἐκκρουόντων καὶ περιτρεπόντων αὐτόν, μετῆρεν ἅπερ ἦν θέμενος ὅρια, καὶ δραπέτης τῷ καιρῷ καὶ τοῖς πράγμασι προσφυεὶς ἀμφοτέραις τούτων ἔχεταί τε καὶ
B περιέχεται. οὐκοῦν καὶ πρός τινα τῶν συνήθων εἰπὼν „ἄγε πλουτήσωμεν" ἑτεροίας γνώμης παντάπασιν ἐγεγένητο, καὶ γυναῖκα τῶν ἀπερριμμένων καὶ ἀπηνθηκυιῶν εὐγενῶν ἁρμοσάμενος, καὶ παίδων ἀκούσας πατήρ, διένειμε τούτοις πλοῦτον βαθὺν καὶ ἀρκετὸν εἰς ἡδονάς. κίμβιξ δὲ ὢν εἰς ἄκρον καὶ γνίφων καὶ δυσγρίπιστος, οὐδ' ἄνω ἆραι τὰ βλέφαρα πειρώμενος, ἀναβλέψαι καὶ εἰς πτωχοὺς ἀτενίσαι, οὐ παρῆ-

1. παραθαλάττιαι A. 3. ἀμήσαντα] ἠμηκότα προσαιτιώμεθα A. 5. post βουληθέντος PW ex B: καὶ πλέον μεμφόμεθα ὡς γινώσκοντα καὶ μὴ πράξαντα. 13. ἐκκρουόντων αὐτὸν καὶ περιτρεπόντων αὐτὸν τῆς προθέσεως A.

casione mare teneant et maritimae provinciae latrociniis vexentur. quodsi spicam ei qui sevit acceptam ferimus, et eum quoque accusamus qui non resecuit, nec incendium ei duntaxat imputatur qui ignem iniecit, sed ei etiam qui id restinguere cum posset noluit, et magis reprehendimus eum qui quod bonum esse norat non fecit, quid est dicendum? Iohannes igitur dum integra auctoritate pro sua libidine versabat omnia, versabatur in publico, accuratus quaestor, parcus dispensator, fenerator atque exactor acerbus. sed ubi potentiam suam infringi, auctoritatem decrescere potentiamque languescere vidit, quod alii quoque apud imperatorem multum possent ac potestatem suam immodicam everterent, translatis quos sibi praefixerat limitibus, tempori servire et statui rerum se accommodare pro virili instituit, et ad quendam familiarium suorum, mutata plane sententia, dixit „age, nos quoque ditescamus." ductaque uxore abiecta et obsoleta nobilitate, inter liberos ex ea susceptos ingentes opes, quae voluptatibus alendis abunde essent, distribuit, parcissimus et tenacissimus, qui ne supercilium quidem ad

κε τὸν πλοῦτον, ἀλλὰ πεδήτην εἶχε διὰ παντὸς δεσμοῖς ἀρρήκτοις ἀλύτοις τε, καὶ ἀπρόιτον δήπου, ὅσα καὶ Δανάην ὁ πάλαι Ἀκρίσιος. καὶ σμικρολογίαν νοσῶν καὶ γλισχρότητα, καὶ τὰ πεμπόμενα πολλάκις τῶν ἐδωδίμων ἀνέπεμπεν εἰς τὸ πωλητήριον καὶ δεῖγμα, ὡς ἰχθύας σύακα καὶ λάβρακα, ὡς μὲν μεγίστους ὡς δὲ πίονας παρά τινων αὐτῷ πεμφθέντας, C τρισσάκις ἀπέδοτο καὶ τοσαυτάκις ἐναλλὰξ ἐωνημένους κατὰ χρείαν παρ' ἑτέρων εἰσηνέγκατο. καὶ ἦσαν ἄντικρυς ἁλιεῖς οἱ ἰχθύες, ὃ πεπόνθασι δρῶντες, ὡς μὲν ἄγκιστρον χαλῶντες τὸ μέγεθος, περιτιθέντες δὲ τὴν πιμελὴν ὡς δέλεαρ, καὶ οὕτω κατασπῶντες τοὺς παριόντας εἰς τὴν ἐκείνων εἰσοί- V.31 κησιν.

Εὐρόει δὲ καὶ τῷ Ἁγιοθεοδωρίτῃ Ἰωάννῃ τὰ διαβούλια, πλὴν τούτῳ ἡ ταχύπους τῶν πραγμάτων φορὰ καὶ ἀγχίστροφος συμφοιτητὴν ἐνδέξιον τὸν Στυππειώτην ἐφιστᾷ Θεόδωρον, ὃς συντρέχων ἢ ἀντιτρέχων τῷ Ἰωάννῃ, καὶ τῷ μὲν λόγῳ τὰ πρῶτα τῇ δὲ τάξει φέρων τὰ δεύτερα, οὐκ ἠνείχετο οὐδ' ἠγάπα ταῖς παρούσαις ἀναβάσεσιν, ἀλλὰ τῆς κορυφαί- D ας ἅπας γινόμενος καὶ περὶ τὴν ἀκρώρειαν λιχνευόμενος ὅλον πρὸς τὸ ἀνώτατον τὸν δρόμον ἐπέτεινε. καὶ δὴ καιροῦ λαβόμενος καθ' ὃν οὐκ ὀλίγα ξυνέπεσε τὰ διάφορα μεταξὺ ἀνδρὸς εὐγενοῦς, τοῦ Παλαιολόγου φημὶ Μιχαήλ, καὶ τοῦ Βαλσαμὼν Ἰωσήφ, ὃς γαμβρὸς ἦν τοῦ Ἁγιοθεοδωρίτου ἐπ'

6. πεμφθέντας] σταλέντας A. 10. δελήτιον B. 11. εἰς] πρὸς A. εἰσεννοίκησιν A: an εἰσοίκισιν? 15. συμφοιτητὴν] συνοδευτὴν A. 17. ἠνείχετο οὐδ' om A. 18. ταῖς παρούσαις] τοῖς παροῦσιν, omisso ἀναβάσεσιν, A. 19. ἅπας γινόμενος] εὐσυνέτως γλιχόμενος A.

intuendos pauperes attollere auderet, sed divitias perpetuo vinculis insolubilibus constrictas teneret, nec eas magis in publicum prodire pateretur quam olim Danaen Acrisius; adeo sordidus ut esculenta et pisces maximos ac pinguissimos sibi missos, ter aliquando in foro venditos, toties reciperet ab iis redemptos qui opera eius egebant. ita pro piscatoribus erant ei pisces, sorte commutata, quibus magnitudo pro hamo, pinguedo pro esca erat, itaque praetereuntes ad se emendos attrahebant.

Sed et Iohannis Hagiotheodoritae consilia florebant. verum ei subita rerum mutatione ac varietate Theodorus Styppiotes collega sollers est adiunctus; qui Iohanni alias assentiens alias refragrans, facundia quidem princeps, ordine vero secundus, iis dignitatis gradibus non contentus ad summum fastigium plenis velis ferebatur. oblata igitur opportunitate dissidiorum inter virum nobilem Michaelem Palaeologum et Iosephum Balsamenum, cui Hagiotheodoritae

ἀδελφῇ, ἐπέθετο κραταιότερον, καὶ συντείνας ἐξοστρακίζει τοῦτον τῶν ἀνακτόρων ὡς ἀπὸ σκοπιᾶς οὐρανίου, καὶ ὡς εἰς χῶρον ἐκσφενδονᾷ μυχαίτατον τὴν πραιτωρίαν ἀρχὴν τῆς Ἑλλάδος καὶ τῆς τοῦ Πέλοπος, εὖ τὰ ἐκεῖ διαθήσοντα καὶ τὰς τῶν εἰρημένων ἀνδρῶν διαλυσόμενον ἔριδας. οὐκοῦν ὁ μὲν Ἰωάννης ἐσκευαγώγει τὰ πρὸς τὴν ἔξοδον· ἡ δὲ τύχη μηδὲ καθαρῶς τὴν τούτου μετάβασιν ἀναμείνασα πρὸς τὸν Στυππειώτην μετεσκευάσατο, καὶ προσπλακεῖσα, πῶς ἂν εἴποι
P. 40 τις, ἀσμένως καὶ χαριέστατα ταῖς καθ' ὥραν πάσαις ἐκλέϊζεν ἀναβάσεσι, καὶ τὴν ἐκ δόξης εἰς δόξαν παρεῖχεν ὕψωσιν. καὶ τέλος τὸν μὲν εἰς τὴν τοῦ ἐπὶ τοῦ κανικλείου μεγαλοπρεπῆ προβιβάζει τιμὴν καὶ τὴν παρὰ τῷ βασιλεῖ μεγίστην οἰκείωσιν, καὶ μείζοσιν ἑτέραις καταχυδροῖ προκοπαῖς, τὸν δ' ἀγνωμονοῦσα καὶ βλωμοῦ ἄρτου τίθησιν ἐνδεᾶ. καὶ οὐκέτι τὰ δεδογμένα μετήμειψεν ἢ ὅλως ἐσέπειτα μετηλλοίωσεν, ἀλλ' ἔμεινεν ἡ ἀκροσφαλὴς ἐπὶ ταυτοῦ τὸ καινότατον. τὸ δ' ἀπὸ τοῦδε ἦγε τὰ πράγματα ὁ ἀνὴρ ὅδε ὡς ἠβούλετο, βαθυγνώμων ὢν καὶ πεπνυμένος καὶ τὸ ἦθος ἐπίχαρις καὶ πτηνὸς τὴν φρόνη-
B σιν. ᾑρεῖτο δὲ ὅσα ἐπέταττε βασιλεύς· ἐπέταττε δ' οὗτος ὅσα ἐκεῖνος ἐβούλετο. ἦν δὲ ἐν τῷ τότε καὶ βασιλεὺς λημμάτων αἰσχρῶν ἐλεύθερος, θάλασσα φιλοδωρίας, ἐλέους ἄβυσσος, τῷ προσηνεῖ τοῦ ἤθους εὐέντευκτος καὶ τὴν βασίλειον ἀρετὴν ἀπαράμιλλος, ψυχὴν εἰσέτι ἄτεχνον ἔχων καὶ γνώμην ἀπερίεργον. ὡς γὰρ ἀπήγγελλον ἡμῖν οἱ τὴν ἡλικίαν

14. ἐνδεᾶ] προσδεᾶ A. 20. ἐβούλετο] ἠσμένιζεν A. ἐν om A. βασιλεῖ A.

soror nupta erat, consilium suum urget, ac Hagiotheodoritam e regia tanquam e coelesti specula in extremum angulum praeturae Graeciae et Peloponnesi exigit, ad provincias eas rite constituendas eorumque virorum dissidia dirimenda. ceterum Iohanne iter adhuc adornante, fortuna discessu eius non expectato ad Styppiotam transiit, eumque cupide et familiariter amplexa ad omnes dignitatum gradus pro temporibus evexit et gloriam gloria cumulavit. tandem ad caniclii magnificum munus et intimam imperatoris familiaritatem promotum magis etiam extulit. alterum vero exosa ad extremam inopiam redegit; nec mutavit decreta, sed contra consuetudinem suam in eodem statu perpetuo permansit. ex eo ille res omnes arbitratu suo administrabat, homo profundi consilii, cordatus, suavibus moribus et volucri praeditus ingenio. quae imperator iubebat, exequebatur: ille vero ea iubebat quae hic volebat. erat tum etiam imperator a turpi quaestu alienus, munificentiae pelagus, misericordiae abyssus, ob comitatem aditu facilis, regiis virtutibus cedens nemini,

προήκοντες, ἐπὶ τὰς πλαγίῳ λόγῳ ᾀδομένας χρυσᾶς ἔννας οἳ τότε ἦσαν παλινδρομήσαντες ἄνθρωποι, καὶ σμήνει ἐῴκεσαν μελισσῶν ἐκ πέτρας γλαφυρῆς βομβηδὸν ἱπταμένων, ἢ οὐδὲν τῶν ἐπ' ἀγορᾶς εἰλουμένων διενηνόχασιν, ὅσοι τοὺς βασιλικοὺς χρυσῶνας εἰσῄεσαν ὁποιουδή τινος φιλοτιμήματος ἀπολαύσοντες, ὡς τοὺς περὶ ταῖς πύλαις συνθλίβεσθαι καὶ C πράγματα παρέχειν καὶ λαμβάνειν ἀμοιβαδόν, τοὺς μὲν ἐπειγομένους εἰσιέναι, τοὺς δὲ τὴν ἔξοδον ἐπισπέρχοντας. ἡμεῖς δὲ κλέος οἷον ἀκούομεν. ἦν δὲ καὶ ἄλλως τὰ κοινὰ ταμιεῖα τὸ κατ' ἐκεῖνο καιροῦ ἐκ τούτου εἰς τοῦτο ἐξερευγόμενα, καὶ κατὰ τὰς συναγωγὰς τῶν ὑδάτων πλημμύροντα καὶ παραπτύειν τι τῶν ἔνδον πρὸς τοὺς ἐκτὸς καὶ πενομένους ἐθέλοντα, ὅσα καὶ γαστὴρ ἐγγίζουσα τῷ τεκεῖν καὶ βαρουμένη τῷ ὑπερτελείῳ τοῦ ἀχθοφορήματος· ἡ γὰρ μερίδα τῷ θεῷ καὶ τῷ δικαίῳ διδοῦσα φορολογία τοῦ βασιλέως καὶ πατρὸς τῷ βασιλεῖ Μανουήλ, καὶ τὸ μὴ τῶν δαπανημάτων ἄσωτον καὶ ἀκόλαστον, εἰς σωρείας τὰ χρήματα ἐπεστοίβασε καὶ ὡς κά- D χληκας αὐτὰ συναγήοχεν. ἦν δ', ὡς ἔοικε, καὶ τὸ θεῖον ἐπευλογοῦν καὶ πληθῦνον αὐτὰ κατὰ τὸ τοῦ ἐπαγγέλματος ἀδιάπτωτον, ὃ καὶ λῆψιν οὐρανίου εἰσηγεῖται μισθοῦ καὶ τὴν εἰς τὸ πολλαπλάσιον ἀνταπόδοσιν. ἀλλ' οὐ μόνιμα τῷ βασιλεῖ Μανουὴλ τὰ τῆς ἀρίστης ταύτης προθέσεως, ἀλλὰ βραχύχρονα καὶ ἐπίκηρα· ἐς γὰρ ἄνδρας ἐλάσας ἀρχικώτερόν τε ἥψατο τῶν πραγμάτων, τοῖς ὑπὸ χεῖρα οὐχ ὡς ἐλευθέροις ἀλλ' ὡς κληρωτοῖς θεράπουσι προσφερόμενος, καὶ τὴν τῆς

13. τῷ] τοῦ A.

animo fraudis et curiositatis experte. nam ut e natu maioribus accepimus, illius aetatis homines aurea saecula, quae obliquis verbis celebrantur, sibi restituta putabant; et qui ad fiscum imperatorium accedebant, examinibus apum erant similes e concava petra cum bombis provolantium, neque pauciores iis qui in foro conveniunt, nulli non commodi aliquid expectantes, adeo ut ad portas premerentur invicem atque alii alios urgerent, hi ingredi, illi egredi properantes. atque haec nos audivimus tantum, non etiam vidimus. eodem tempore ex publicis thesauris subinde aliquid ad pauperum necessitates levandas benigne redundabat. nam Iohannis imperatoris tributa, unde iustitiae et deo pars dabatur, et frugi nummorum dispensatio Manueli acervos pecuniarum reliquerat; eademque numinis quoque benignitas auxerat, quemadmodum in evangelio et merces coelestis et multiplex compensatio certo promittitur. ceterum Manuel in optimo hoc instituto non diu permansit. nam vir factus pro imperio res administravit; et eos quibuscum res erat, non ut ingenuos sed

V. 32 φιλοδωρίας συνέστειλεν ἔκροιαν, ἵνα μὴ λέγοιμι ὡς εἰς τὸ παλίρρουν αὐτὴν ἐβιάσατο καὶ τὸν ἀναδασμὸν ἔστιν ὅτε καὶ ἐφ' οἷς ἐδικαίωσεν, οὐκ ἐκ τοῦ γνωμικοῦ δ' οἶμαι τοσοῦτον αἰτίου (χρὴ γὰρ ἐν τοῖς ἀδήλοις ῥέπειν πρὸς τὸ φιλάνθρωπον) ὅσον ἐκ τοῦ μὴ κοτύλης δεῖσθαι ψηγμάτων ἀλλ' ἄντικρυς πελάγους Τυρσηνικοῦ ἃς εἶχε διευρύνας ἐξόδους τῶν δαπανῶν, ὡς προϊὸν δηλώσει τὸ λέγειν μοι.

P. 41 4. Ἀλλ' οὕτω διακυβερνωμένῳ τὴν βασιλείαν τῷ αὐτοκράτορι νέφος πολεμίων ἐκ τῶν ἑσπερίων ἐπισυστὰν κλιμάτων, τετριγὸς δεινὸν καὶ ὀλέθριον, ἐς τὰ Ῥωμαίων ἐνέσκηψεν ὅρια, ἡ τῶν Ἀλαμανῶν φημὶ κίνησις καὶ ἡ τούτοις συνεξάρασα μοῖρα ὁμογενῶν ἐκείνοις ἑτέρων ἐθνῶν· οἷς καὶ θήλειαι κατελέγοντο ὡς ἄρρενες ἐφιππάζουσαι καὶ ταῖς ἐφεστρίσιν οὐ συμβάδην τὼ πόδε διαχαλῶσαι ἀλλὰ περιβάδην ἀνέδην ἐποχούμεναι, καὶ κοντοφόροι καὶ ὁπλοφόροι κατ' ἄνδρας ὁρώμεναι, καὶ ἀνδρείαν στολὴν περικείμεναι, αἳ καὶ ὅλως ἀρεϊκὸν ἔβλεπον καὶ ὑπὲρ τὰς Ἀμαζόνας ἠρρένωντο.
B μία δὲ καὶ ὑπεξῄρετο παρ' ἐκείναις καθάπερ ἄλλη τις Πενθεσίλεια, ἥτις ἐκ τοῦ στίζοντος χρυσοῦ καὶ περιτρέχοντος τὰς ᾤας καὶ τὰ λώματα τοῦ ἐσθήματος Χρυσόπους παρωνομάζετο. αὐτὸ δὲ τὸ τῆς κινήσεως αἴτιον πρόφασιν τὸ κυριακὸν παρεῖχε κενήριον καὶ ἡ πρὸς τὰ εὐθέα τῶν σκολιῶν καὶ ἐπιβούλων παρόδων ἑτοιμασία τοῖς ἐκ τοῦ γένους ἐκείνοις εὐθὺ τῶν Ἱεροσολύμων ἐθέλουσιν ἵεσθαι. ἔφασκον δὲ καὶ κατὰ τὴν ἔξοδον ἐκείνην μηδέν τι περιττὸν ἐπισύρεσθαι, ἀλλ' ἢ τὰ

12. ἐκείνοις om A. 20. ἐσθήματος] ἐνδύματος A.

ut aere empta mancipia tractabat, et largiendi munificentiam restringebat, ac potius in contrarium vertebat, iis etiam distributionibus quas ipse ordinarat abrogatis, non tam, ut arbitror, suapte voluntate (nam res dubiae in optimam partem interpretandae sunt) quam necessitate coactus, ad sumptus immensos tolerandos; id quod in orationis progressu declarabitur.

4. Hoc imperii statu hostilis nubes horrenda et pestilens ab occidente in fines Romanorum irrupit. de motu Alemannorum loquor et cognatarum eis gentium; inter quos et mulieres erant, non coniunctis pedibus sed virorum instar divisis super palliis equitantes, hastatae atque armatae, ac virili habitu ornatae, Martio vultu, Amazonibus audaciores. inter quas una excelluit, quasi altera Penthesilea, quae ob fastigia et limbum vestium auro intertextum Auripes vocabatur. expeditionis causa praetendebatur dominicum sepulcrum et praeparatio viae rectae et non insidiosae popularibus suis Hierosolyma ascensuris. neque se quicquam supervacuum advehere, sed

πρὸς ἐξομάλισιν τῶν τρίβων ἀναγκαιότατα καὶ μόνα ἐπάγεσθαι. διὰ τούτων δὲ παρυπέφαινον οὐ πτύα καὶ τύκια καὶ σκαπάνας, θυρεοὺς δὲ καὶ θώρακας καὶ φάσγανα, καὶ εἴ τι ἄλλο πρὸς πόλεμον ἐπιτήδειον. καὶ τοῦτο μὲν τὸ παρορμῆσαν ἐκεῖνοι προυβάλλοντο καὶ διώμνυντο, καὶ ἦν, ὡς ἐκ τῶν ὕστερον C ἔδειξαν, οὐκ ἐψευσμένα τὰ ὑπ' ἐκείνων λεγόμενα. πέμψαντες δὲ πρεσβευτάς, ὡς διὰ φιλίας, ᾐτοῦντο τὸν βασιλέα τὸν τῶν Ῥωμαίων παρελθεῖν, καὶ ἀγορὰς αὐτοῖς παροδίους προτίθεσθαι, ἐξ ὧν ὠνήσονται καὶ ὅσοις ἄνθρωποι τρέφονται καὶ ὅσα ἵπποις ξυμβέβληνται. ὁ δὲ βασιλεύς, ὡς εἰκός, ἐκ τοῦ παραχρῆμα διαταραχθεὶς τὴν ψυχὴν τῷ ἀέλπτῳ τοῦ πράγματος καὶ μηδέπω εἰς τὸ κατ' ἐκεῖνο καιροῦ γενομένῳ, οὐκ ἀνῆκεν ὅμως τῶν συνοισόντων ἐπιμελόμενος. τοῖς τε γὰρ πρέσβεσι διειλέχθη μετὰ προσηνείας τὰ πρόσφορα, καὶ ἐπαινεῖν ὑπερβαλλόντως τὰ δρώμενα ὑπεκρίνετο, καὶ ἄγασθαι αὐτοὺς τῆς εὐσεβοῦς προσεποιεῖτο προθέσεως, κἀκ τοῦ αὐ- D τίκα δὴ μάλα ἑτοιμάσασθαι τὰ πρὸς διέλευσιν ἐπηγγέλλετο, ἄφθονά τε εὐτρεπίσειν καὶ ἕτοιμα οὕτως λαβεῖν τὰ ὤνια ἰσχυρίζετο ὡς εἴπερ οὐ δι' ἀλλοτρίας ἀλλὰ διὰ τῆς σφῶν παρώδευον χώρας, ἂν δώσουσι μόνον ὅρκια πιστὰ ὡς θεοφιλὴς αὐτοῖς ἡ δίοδος ἀληθῶς καὶ ὡς ἀμαχητὶ τὰ Ῥωμαίων ὅρια ὑπερβήσονται. ταῦτ' οὖν ὡς εἰκὸς καταστησάμενος, ἁπανταχῇ διεκπέμπει βασίλεια διατάγματα προεκκεῖσθαι τὰ ζωαρ-

13. τοῖς τε γ. π.] τοῖς ἀποκρισιαρίοις συνέτυχε μετὰ πραότητος καὶ εἰρηνικῆς φιλίας B. 16. κἀκ τοῦ] καὶ οἰκονομῆσαι ἄφθονα καὶ πλούσια τὰ βρώσιμα καὶ πόσιμα ἔλεγεν B. 19. σφῶν] σφῶν ἐκείνων A. 22. εἰκὸς] εἰκὸς ἦν A.

ea duntaxat quae ad viam complanandam maxime necessaria essent, profitebantur; per quae non ventilabra, non celtes, non ligones, sed galeas thoraces gladios, et quae alia bello apta sunt, innuebant hanc sibi itineris esse causam iurati affirmabant; neque id falso, ut postea cognitum est. ac per legatos ab imperatore petebant sibi per eius provincias pacatum transitum dari; et forum praeberi, quo commeatum pro hominibus et iumentis comparare possent. imperator vero etsi re inexpectata et nova, ut fit, territus, tamen suis rebus non defuit. nam et legatis pro tempore benigne respondit, et eorum institutum probare se et pios conatus admirari simulavit. ac statim rerum venalium copiam praeparaturum pollicitus est, quas accepturi essent, non quasi per alienam provinciam sed per suam patriam transirent, modo fidem darent transitum suum vere pium esse, et sine maleficio Romanorum finibus excessuros. his peractis edicta quovis dimittit, ut commeatus in viis, per quas Occidentales transituri sint, venalis exponantur: idque fit statim. sed quia verebatur

κῇ τῶν ὁδῶν καθ' ἃς οἱ ἐξ ἑσπέρας στρατοὶ διελεύσονται· καὶ τῷ λόγῳ τὸ ἔργον ἐπηκολούθει. ὑποβλεπόμενος δὲ καὶ ὑπονοῶν μή πως ἐν δέρματι προβάτων λυκιδεῖς ἔρχονται ἢ ὄνῳ ὑποκρύπτονται λέοντες ἀπ' ἐναντίας τῷ μυθικῷ διηγήματι, ἢ τὴν λεοντῆν ξυνέχωσι τῇ ἀλωπεκῇ, τὰς Ῥωμαϊκὰς ἀθροίζει δυνάμεις, συνδιασκέπτεται κοινῇ περὶ τῶν κοινῶν, τὸ πλῆθος τῶν παρελευσομένων στρατῶν διέξεισι, τῆς ἵππου τὸ πολὺ καταλέγει, τὸ ὁπλιτικὸν ὅσον διασαφεῖ, τῆς πεζεταίρας μοίρας παρίστησι τὸ μυριάνδρον, τὸ πάγχαλκον περιλα- P. 42 λεῖ καὶ τὸ φόνιον, τὸ πῦρ τῶν ὀμμάτων ἅπαντας βλέπειν, καὶ τοῖς αἵμασιν ἐπαγάλλεσθαι ὡς οὐδὲ ῥαντισμοῖς ὑδάτων ἕτεροι. οὐ ταῦτα δὲ μόνον τῇ γερουσίᾳ καταγγέλλει καὶ τοῖς τέλεσι καὶ στρατεύμασιν, ἀλλ' ὅσα καὶ ὁ ἐκ Σικελίας τύραννος, ὥσπερ θὴρ ἐνάλιος, κατὰ τῶν παραθαλαττίων χωρῶν V. 33 διαπράττεται, τὴν ἅλμην τύπτων τοῖς ἐρετμοῖς, καὶ ταῖς Ῥωμαϊκαῖς ἐνορμιζόμενος κωμοπόλεσι, καὶ κείρων τὰ ἐν ποσὶ κατὰ πολλὴν τοῦ ἐπαμύνοντος ἐρημίαν. καὶ δὴ τὰς μὲν πυργοβάρεις ἐπισκευάζει τῆς πόλεως καὶ τίθησιν εὐερκέα τὴν ὅλην τοῦ περιβόλου περίμετρον, τῇ δὲ στρατιᾷ χιτῶνας φολιδωτοὺς χορηγεῖ, κοντοῖς τε καθοπλίζει χαλκήρεσι, καὶ ἵπποις δρομικοῖς διεγείρει τὸ φρόνημα, καὶ χρημάτων ἐπιρρώννυσι B διαδόσεσιν, ἃ νεῦρα τῶν πραγμάτων ἀρίστως τῶν πάλαι τις κατωνόμασε. καὶ οὕτω σὺν θεῷ συλλήπτορι καὶ τῇ πολιού-

3. ὑπονοῶν] διεννοῶν A, διανοῶν B. 8. πεζαιτέρας A. 14. ὥσπερ] οἷα A. 17. τὰς μὲν π.] τὰ τείχη τῆς πόλεως οἰκοδομεῖ καὶ ξυλόκαστρα ἐπάνω τῶν τείχων τίθησι καὶ χαλαστικὰ B. 19. χιτῶνας] ἅρματα τὰ πρὸς χρείαν B.

ne in pellibus ovium lupi venirent, aut contra quam fabula narrat, sub asini exuviis leo lateret, aut leoninam pellem vulpina obtegeret, Romanas legiones convocat, publice de re publica deliberat, quanta multitudo copiarum transitura sit exponit; quantus sit equitatus, quantum gravis armaturae, quam infinita multitudo peditum, ut toti aerei sint, ut caedium avidi, commemorat: scintillare oculos, et cruore delectari magis omnes quam alios aquae aspersione. neque vero haec duntaxat senatui magistratibus et exercitibus narrat, sed illud etiam adiungit, quemadmodum Siciliae tyrannus instar marinae belluae oram maritimam infestet, ut ad Romana oppida appellat et obvia quaeque vastet, prohibente nemine. deinde turres et propugnacula urbis omnemque moenium ambitum instaurat; exercitui loricas dat, ferratis hastis milites armat, equis velocibus eorum animos excitat, et pecuniae distributione confirmat, quam ex antiquis quidam rerum nervos rectissime appellavit. ita legionibus, deo et matre

χῷ μητροπαρθένῳ ὡς ἐνῆν δυσμαχώτατα θέμενος τὰ στρατεύματα, τὰ μὲν εἰς ἔρυμα συνέχει τῆς καλλιπόλεως καὶ τοῖς τείχεσιν ἐφιστᾷ, τοῖς δ' ἐπισκήπτει τῇ στρατιᾷ παρέπεσθαι τῶν Ἀλαμανῶν, μὴ ἀφισταμένοις ἐπὶ πολύ, κἀκ τοῦδε εἴργειν τοὺς ἐκ τῶν Ἀλαμανῶν ἐς ἁρπαγὰς παρεξιόντας καὶ προνομάς, εἰρηνικῶς μέντοι καὶ μὴ πολεμικῶς. κατὰ μὲν οὖν τὴν ἀπωτέρω πορείαν οὐδέν τι ξυνηνέχθη ἀξιαφήγητον ἀμφοῖν τοῖς στρατεύμασιν· ὡς δ' εἰς Φιλιππούπολιν οἱ Ἀλαμανοὶ παρενέβαλον, οὐδὲ κατὰ τὸν ἐκεῖσε σταθμὸν ἐς διαφορὰν ἀπεῖδον τὰ τάγματα. ὁ γὰρ τῆς χώρας ἀρχιερεὺς (ἦν δ' οὗ- C τος ὁ Ἰταλικὸς Μιχαήλ, ὁ καὶ λόγῳ πολὺς καὶ σοφίας ὁποίας εἴποι τις μέλημα, κἂν ταῖς ὁμιλίαις τὸ ἦθος ἐπαγωγότατος καὶ λίθος ἄντικρυς Μάγνησσα) οὕτως ὑπηγάγετο τὸν ῥῆγα ταῖς τῶν λόγων ἐκθηλύνας ἴυγξι, καὶ τῷ μέλιτι τῆς γλώττης κατεγοήτευσεν, ἀντιστρόφως μὲν οἷς ἐφθέγγετο, τοῖς δὲ Ῥωμαίοις ἐπωφελῶς τὴν γνώμην μεταμείβων καὶ κατὰ τὸν Φάριον Πρωτέα δραστηρίως μεταβαλλόμενος, ὡς ἐκ τῶν ὤτων ἀναρτῆσαι κατὰ τοὺς ἀμφορέων διακένους τὸν ὑψηλόφρονα ῥῆγα, καὶ σύσσιτον παραλαμβάνειν καὶ μεταδιδόναι προπόσεων· ὃς καὶ μετῄει ὠμοτάτως, αὐτῷ χαριζόμενος, τοὺς ἄνευ καταθέσεως ἀργυρίου τὰ σῖτα ὁθενοῦν παρεισάγοντας. (5.) Ἐν δὲ τῷ μεθίστασθαι ἐκεῖθεν καὶ προβῆναι D τὸν ῥῆγα τοῖς ἔμπροσθεν, ἐκ τῶν κατ' οὐρὰν Ἀλαμανῶν καὶ

19. μεταδιδόναι πρ.] προτιμᾶν τοῦτον εἰς πόσιν B. 20. μετῄει] ἔδειρέ τινας B. 23. ἐκ τῶν] τινὲς τῶν ὄπισθεν ἀλαμανῶν εὑρόντες τινὰς τῶν ῥωμαίων ἔτυπτ.. ὑπὲρ ὧν δι' αὐτῶν παρὰ τοῦ ῥηγὸς κακῶς ἔπαθον. καὶ βοῆς γενομένης

virgine custode urbis adiuvante, ad vim hostilem propulsandam instructis, alias ad praesidium urbis retinet atque in moenibus disponit, alias exercitum Alemannorum haud longo intervallo subsequi iubet, et eos coercere qui extra aciem ad praedam et rapinas evagentur; idque facere pacate, non hostiliter. ac in remotiori itinere nihil memorabile inter utrunque exercitum accidit. ut autem Alemanni ad Philippopolim castra metati sunt, ne ibi quidem dissidium incidit. nam eius provinciae pontifex, Italicus Michael, vir eloquens et omni doctrinae genere perpolitus, in congressibus ita suavis ut ab eius ore omnes penderent, elatum regem verborum illecebris et linguae dulcedine, aliud dicendo aliud sentiendo, at Protei instar pro Romanorum utilitate se transformando, ita devinxit ut eum dicto audientem haberet, ad epulas invitaret et propinaret. qui quidem in eius gratiam crudelissime tractabat eos qui pecunia non numerata commeatum alicunde in castra advehebant. (5). Cum autem rex inde progrederetur, inter extremum agmen Alemannorum et Ro-

Ῥωμαίων δίκη μὲν τὰ πρῶτα παρρηαιάζεται ὡς δῆθεν κακῶς πασχόντων τινῶν· εἶτα ἐξωθεῖ ταύτην ἡ φιλοτάραχος τῶν πολλῶν ἔνστασις, καὶ τραχύνεται ταῖς βοαῖς. ταύταις ἐφομαρτεῖ τὸ παρρησιαστικὸν καὶ φιλόνεικον. ὁπλίζει τοῦτο τὰς χεῖρας εἰς πόλεμον. ἡ Ἐνυὼ ἐφέπεται, καὶ τῆς Φυλόπιδος ξυλλαβομένης ἡ μάχη λαμπρῶς ἐκορθύετο. φιλαυξὴς δὲ οὖσα αὕτη καὶ ἀεὶ τῶν ἄνω ἐφιεμένη μικροῦ δεῖν ἐστήριξεν ἂν τὸ κάρη ἐς οὐρανόν, χαμαιβάμων οὖσα τὰ πρῶτα καὶ χθόνιος, εἰ μὴ ὁ ῥηθεὶς προφθάσας ἀρχιερεὺς τὸν ῥῆγα γινόμενον ἤδη παλίνστροφον καὶ πόλεμον πνέοντα τοῖς οἰκείοις θελκτηρίοις ἐμάλθαξε καὶ ἠρεμεῖν ἀνέπεισε παρὰ δόξαν, ὅσα καὶ θῆρα βασιλικόν, ᾧ οὐχ ἕωλον τὸ ἑστίαμα, τῇ ἀλκαίᾳ
P. 43 ὑπονυσσόμενον καὶ πρὸς ἅλματα διερεθιζόμενον. ἐπεὶ δὲ καὶ κατὰ τὸ εὐερκὲς Ἀδριανοῦ πόλισμα τὰ στρατεύματα ξυνελέγησαν, ὁ μὲν ῥὴξ διὰ τῆς πόλεως ἐλάσας τῆς προκειμένης εἴχετο, νοσηλείᾳ δέ τις σώματος τῶν ἐξ αἵματος ἐκείνῳ περιπεσὼν κατὰ τὴν Ἀδριανοῦ ἐνηυλίζετο. Ῥωμαίων δέ τινες ἀνάρσιοι, καὶ τὰς χεῖρας οὐκ εἰς ὁπλισμὸν λημματισμὸν δὲ μᾶλλον δεδιδαγμένοι, νυκτὸς ἐπιθέμενοι τῇ καταγωγῇ πῦρ τε ὑφάπτουσι καὶ τὸν ἄνδρα τοῖς ἐνοῦσι συγκαταφλέγουσι. τοῦτο μαθὼν ὁ Κορράδος (οὕτω γὰρ ὁ ῥὴξ ὠνομάζετο) ἐπιτρέπει τὰ τῆς ἀμύνης τῷ ἀδελφιδῷ Φρεδερίχῳ.

ἔδραμον ἕτεροι εἰς ἐκδίκησιν καὶ ἕτεροι πάλιν ἀπὸ τῶν ἀλαμανῶν καὶ ἕτεροι πάλιν ἀπὸ τῶν ῥωμαίων, καὶ ὑψώθη ἡ μάχη καὶ προέβη εἰς πόλεμον. καὶ ὁ ῥὴξ ἐστράφη θυμοῦ πνέων, καὶ εἰ μὴ προέφθανεν ὁ ἀρχιερεὺς τὸν ῥῆγα θεασάμενος ὑποστρέψαντα καὶ διὰ τῶν γλυκυτάτων λόγων αὐτοῦ τοῦτον κατεπράϋνε, τάχα ἂν καὶ εἰς μέγα κακὸν περιῆλθεν ἡ μάχη B. 3. ἐνστάσιν, καὶ ἐν στάσει B. 13. διερεθιζόμενον] ἐξαπτόμενον B. 14. ἀνδριανοῦ, ut saepe, AB. 18. ἀνάρσιοι] ἄνθρωποι ἀδιάφοροι καὶ οὐ πολεμισταί, ἀλλὰ μέθυσοι καὶ ἐπὶ κακοῖς χαίροντες B. 22. ἐπιτρέπει] πέμπει τὸν ἀδελφὸν αὐτοῦ φερδερίχον εἰς ἐκδίκησιν τοῦ συγγενοῦς αὐτοῦ B.

manorum disceptatio orta est, quod aliqui male tractarentur. mox vulgi importunitate clamor et rixa sequitur, donec ad manus et ad arma ventum est. unde haud dubie atrox pugna extitisset, nisi idem pontifex regem iam mutatum et bellum spirantem ac instar ferae truculentae concitatum mature placasset ac praeter expectationem cohibuisset. cum autem exercitus ad Adrianopolim convenissent, rex per urbem ulterius perrexit. quidam vero ex eius cognatis aegrotus in urbe mansit; quem Romani quidam, homines improbi, qui manus non ad arma sed ad rapinas edoctas habebant, una cum diversorio et iis quae intus erant cremant. quo Conradus cognito (id enim regi nomen erat) ultionem Friderico nepoti mandat. qui, ut

ὁ δὲ καὶ ἄλλως ὢν φρονηματίας, τότε δὲ καὶ τῷ πάθει νενικημένος, ἐπαναστραφεὶς τό τε ἱερὸν σεμνεῖον τίθησι πυρὸς B παρανάλωμα, ἐν ᾧ κατέλυεν ὁ Ἀλαμανός, καὶ τοὺς συλλαβομένους τοῦ ἔργου ὑπεδίκαζε θανάτῳ, ἐξέτασιν περὶ τῶν ἀπολωλότων χρημάτων ποιούμενος. καὶ τοῦτο μάχης παραίτιον γίνεται. ἀλλ' ἐπεγέλασε καὶ πάλιν κουροτρόφος εἰρήνη τις, καὶ ἄλλων μὲν ἐκ τῶν ἐν τέλει Ῥωμαίων κατασβεσάντων τὸν πόλεμον, μάλιστα δὲ τοῦ Προυσοὺχ ἐξηνυκότος τὸ πᾶν. οὗτος γὰρ τοῖς ποταμοῖς τὸν ἵππον ἀφεὶς ᾧ ἔποχος ἦν, οἳ σύντρεις διὰ τῆς ἐκεῖσε λιθίνης γεφύρας διαυλωνίζονται, ὡς τὸν Φρεδερίχον παραγενόμενος ὀργίλως τε τοῦτον ἔχοντα κατεπράϋνε καὶ τῆς γνώμης μετακινεῖ. πάλιν οὖν σταθμοί τε ἦσαν εἰρηναῖοι καὶ παρασάγγαι φιλήσυχοι, καὶ ἡ ἐς τὰ πρόσω δίοδος εὐδιάβατος. εἶχε τοίνυν μεθ' ἡμέρας C αὐτοὺς ἡ τῶν Χοιροβάκχων πᾶσα ἱππήλατος πηγνύντας στρατόπεδον, οὐ μὴν καὶ βάλλοντας χάρακα· τοῦτο γὰρ δι' ὅλων V. 34 ἦν αὐτοῖς τῶν σταθμῶν πισύνοις οὖσι τοῖς παρὰ Ῥωμαίων ὅρκοις καὶ ταῖς ξυμβάσεσι. παραρρεῖ δὲ ταῖς ἐκεῖσε πεδιάσι ποταμὸς οὐ πλατὺς τὸ ῥεῖθρον, οὐ βαθὺς τὴν περαίωσιν, Μέλας τοὔνομα. οὗτος τοίνυν θέρους μὲν λειψυδρῶν ἐς χαράδραν συνάγεται τεναγώδη, ὅτι μηδὲ διὰ ψαμμώδους πρόεισι γῆς ἀλλ' ἐριβώλακος ἁπάσης καὶ εἰς βαθεῖαν σχιζομένης ἀρόταις βουσὶν αὔλακα· χειμῶνος δ' ἐφεστῶτος ἢ

2. σεμνεῖον] μοναστήριον B. 4. ἐξετάζων καὶ γυρεύων τὰ χαωθέντα πράγματα B. 9. οὗτος γὰρ πέραν τοῦ ποταμοῦ εὑρισκόμενος καὶ τὸν ἵππον αὐτοῦ δοὺς καὶ διὰ μέσων τοῦ ποταμοῦ περάσας B. 10. λιθίνης om A. 15. πηγνύντας] στρατοπεδευομένους ἐκεῖσε μέχρις ἂν τοὺς ὅρκους αὐτῶν τελειώσωσιν B. 17. πισύνοις οὖσι] πεποιθόσι A. 20. Μέλας τοὔνομα] μαῦρος λεγόμενος B. 21. μηδὲ] μὴ A.

homo et natura ferox et tum ira aestuans, monasterium in quo diverterat aegrotus incendit, comprehensos capitis damnavit, et perditam pecuniam inquisivit. quae res pugnae causa fuit: sed cum aliorum tum Prusuchi studio pax facta est. is enim tribus fluviis, qui per pontem lapideum transeunt, equo superatis, Fridericum iratum convenit, mitigat, a proposito abducit. rursus igitur pacate tranquille expediteque procedunt. post dies aliquot in Cherobachorum planiciem perveniunt, castra locant: sed vallum, ut nec in reliquo toto itinere, non obducunt, Romana fide et pactione freti. campos illos fluvius Melas perfluit, neque latus neque profundus; qui aestate arescens in voraginem limosam coit. ager enim quem transit, non arenosus est sed fecundus, et in altos sulcos aratro proscinditur.

ῥαγδαίων ὑετῶν κατενεχθέντων ἐκ μικροῦ μέγιστος γίνεται, D καὶ προβὰς ἐς βαθυδίνην ἐκ πονηροῦ καὶ λακκαίου ἀνοιδαίνεται ὕδατος, καὶ θαλάσσαις θέλων συνεξετάζεσθαι καὶ ποταμὸς οὐκέτ' ἀνεχόμενος εἶναι εἰς φλοῖσβον τραχύνεται καὶ πλωτὸς ἐκ βατοῦ γίνεται καὶ διεκχεῖται εἰς πλάτος. ἀμέλει καὶ διαρριπιζόμενος πνεύμασιν εἰς κῦμα μετεωρίζεται, κἀντεῦθεν ἄχνην ἀποπτύων καὶ τῇ γείτονι χέρσῳ ὑβριστὴς προσαράσσων πόνους παρασύρει γεωργῶν, ὁδοιπόρους ἐπέχει τῆς ὁδοῦ, καὶ ὡς ἐπίπαν εἰς χρῆμα ἐπάρατον σχεδιάζεται. τότε τοιγαροῦν οὗτος ὁ χειμάρρους ἐξ ὑετοῦ πολὺς καὶ κατακλύζων φανείς, καὶ νυκτὸς ἐκ τοῦ αἰφνηδὸν ὑπερπλημμύρας ὡς εἴπερ αὐτῷ οἱ καταρράκται ἀνεῴγεσαν οὐρανοῦ, ἀπάγει τῆς παρεμβολῆς τῶν Ἀλαμανῶν οὐ μόνον ὅπλα καὶ ἵππεια φάλαρα καὶ ἐσθήματα καὶ εἴ τι ἕτερον αὐτοῖς ἐσκευαγώγει τὰ ὑποζύγια, ἀλλὰ καὶ ἵππους καὶ ὀρέας καὶ ἄνδρας ἱπποκορυστάς. καὶ ἦν τὸ θέαμα ἐλεεινὸν καὶ θέλον ἀτεχνῶς δάκρυα, ἄνευ πολέμου πίπτοντες, ἄνευ διώκοντος ἀναιρούμενοι. οὐδὲ τὸ τῆς ἡλικίας σταδιαῖον μικροῦ καὶ πελώριον, οὐδ' ἡ μάχης ἀκόρητος δεξιὰ εἰς ἀποφυγὴν ἐπήρκεσεν αὐτοῖς τοῦ κακοῦ, ἀλλ' ἔπιπτον ὡσεὶ χόρτος, καὶ ὡσεὶ φορυτὸς εἰληθερὴς καὶ πόκος P. 44 ἐρίου κοῦφος παρεσύροντο, καὶ ψαλμικῶς εἰπεῖν τὰς τούτων ἀπῇρεν ὁ ποταμὸς οὗτος φωνὰς βαρβαρικῶς ἀλαλαζόντων καὶ μέλος ἐνδιδόντων ταῖς σκοπιαῖς καὶ τοῖς γηλόφοις δι' ὧν παρεσύροντο ἄγριον ὁμοῦ καὶ ἀνήμερον καὶ οὐχ οἷον ᾄδουσι τὰ μελιχρὰ τῶν ποιμένων αὐλήματα, ὡς συλλογίζεσθαι τοὺς

1. ῥαγδαίων ὑετῶν] βροχῆς πολλῆς B. 8. πόνους παρ. γ.] χωράφια πολλὰ ἀφανίζει B. 10. τοιγαροῦν] τοίνυν A. 12. ἀπάγει] ἐξῆλθε καὶ ἀπῆρεν τὰς κατούνας τῶν ἀλαμανῶν, οὐ μόνον ἅρματα καὶ σέλας καὶ ῥοῦχα καὶ εἴ τι ἕτερον ἦν ἐν ταῖς κατούναις αὐτῶν, ἀλλὰ καὶ ἄλογα καὶ γαδάρους καὶ ἄνδρας πολεμιστάς. B. 23. δι' ὧν παρ.] ἐν οἷς ἀπεπτύοντο A.

hieme vero aut rapidis imbribus ex parvo fit maximus et vorticosus, ut mare potius quam flumen videatur; nec iam vado sed navibus traiicitur, et ventorum procellis exagitatus vicina rura vastat, viatores moratur, denique noxam quandam repraesentat. is igitur torrens tum imbribus auctus et noctu ex improviso late ultra ripas effusus, non secus ac si caeli cataractae apertae essent, ex castris Alemannorum non modo arma, phaleras equorum, vestes, et si qua alia a iumentis vehebantur, sed etiam equos mulos et viros armatos abripuit. spectaculum sane miserabile et lacrymosum. cadunt sine bello, caeduntur nemine caedente. non staturae proceritas, non invicta bello dextera quicquam opis tulit. pereunt instar foeni, instar palearum dissipantur, cum atroci

συνορῶντας τὸ τηνικαῦτα συμβὰν μῆνιν ἀπὸ θεοῦ ἄντικρυς εἰς τὸ τῶν Ἀλαμανῶν στρατόπεδον ἐπενσκήψασαν, εἰ οὕτως ἀθρόον ὕδατι κατεπόθησαν ὡς μηδὲ τὰ ἑαυτῶν ἐκσώσασθαι δυνηθῆναι σώματα. ὕπνωσαν τοίνυν κατ' ἐκείνην τὴν νύκτα οἱ μὲν εἰς θάνατον, οἱ δὲ ὧν εἶχον ἀφανισμὸν καὶ ἀπώλειαν. ὁ δέ γε ῥὴξ κατώδυνος ἐπὶ τῷ συμβάντι τούτῳ γενόμενος, B καθυφεὶς δέ τι καὶ τοῦ κόμπου βραχύ, καὶ θαυμάσας εἰ καὶ τὰ στοιχεῖα Ῥωμαίοις ὑπείκουσι καὶ θελήσασι μόνον ὑπενδιδόασι, καὶ αἱ ὧραι παρὰ τούτοις, ὅσα καὶ ὑπηρέτιδες, δεῆσαν τὰ ἀλλήλων ἀντιπαρέχουσιν, ἄρας ἐκεῖθεν διεπορεύετο. ὡς δὲ καὶ εἰς τὴν πόλιν ἠγγίκει τὴν βασιλεύουσαν, εὐθὺς τὴν στρατιὰν εἰς τὸ ἀντιπέραν διαπορθμεύειν ἠναγκάζετο, κἂν ὑπερεφρόνει τὰ πρῶτα, καὶ βλακευόμενος ἀπηναίνετο τὴν περαίωσιν, παρὰ τῇ ἑαυτοῦ κεῖσθαι γνώμῃ λέγων τὸ οὕτω δρᾶσαι καὶ μή, τῇ Περαίᾳ ἐναυλιζόμενος, ἥτις τοῦ Πικριδίου κατονομάζεται. ὅθεν ἅπας μὲν ἐρέτης ἅπαν δὲ πορθμεῖον καὶ ἁλιὰς ξύμπασα καὶ ναῦς ἱππαγωγὸς τὴν τῶν Ἀλαμανῶν ἀμφεπονεῖτο διάβασιν. ὁ δὲ βασιλεὺς καὶ τοῦ πλήθους τῆς C στρατιᾶς ἀπογραφέας ἐφίστησιν, ἀνὰ πᾶσαν ἀποτάξας ἀναγωγήν, τοὺς ἐκείνῳ σημανοῦντας τὴν κατ' ἄνδρα περαίωσιν. ἀλλ' ἦν τὸ πλῆθος ὑπερπεπαικὸς τὴν ἀπογραφήν, καὶ διὰ τοῦτο οἱ τῇ ὑπουργίᾳ ταύτῃ ἐφεστηκότες, ἀπειπόντες πρὸς τὸ πλῆθος, ἄπρακτοι ἐπανέλυσαν. οὕτω τοίνυν ἀγαπητῶς τοῖς Ῥωμαίοις ὡσεί τινος οὐρανίου δείγματος ἀπαισίου τοῦ ῥηγὸς εἰς

1. δρῶντας A. 2. ἐπισκήψασαν A. 3. ἀθρόως A. 13. βλακευόμενος] ἀλαζονευόμενος A. 28. τοῦ om A. 22. ἐφεστῶτες A. 24. δείματος A.

et immani ululatu; ut qui eam rem viderunt, numinis iram castra Alemannorum invasisse crederent, ita subita inundatione oppressa ut nec vitam suam tueri possent. eius igitur noctis somnus aliis interitum aliis iacturam rerum omnium attulit. at rex eo casu consternatus, ferociaque nonnihil remissa, admirans Romanis etiam elementa servire et anni tempora, cum opus sit, vices suas permutare, inde discessit. cum autem prope urbem imperatricem venisset, exercitum statim traiicere coactus est, quamvis dum in Peraea, quae Picridii appellatur, castra haberet, principio renueret, ac penes se esse, utrum traiicere vellet necne, stupide iactaret. itaque nullum non navigii genus in transportandis Alemannis fuit occupatum. cum vero imperator multitudinem exercitus describi, et quot quaque vice traiicerent annotari iussisset, ii quibus id negotii erat datum, tantae multitudinis descriptione fatigati re infecta domum redierunt. ita rege, tanquam ostento inauspicato, cupientibus Romanis in Orien-

τὴν ἑῴαν λῆξιν διαβάντος, ἐφομαρτησάντων δὲ τούτῳ μετὰ
βραχὺ καὶ ὅσοι τῶν ἐκ τοῦ γένους τῶν Φράγγων αὐτῷ συν-
ανέβησαν, ὁ βασιλεὺς καὶ πάλιν τῆς αὐτῆς εἴχετο τῶν οἰ-
D κείων χωρῶν προμηθείας ἧς καὶ πρώην ἐξήρτητο. οὐκ ἠμέ-
λει δὲ καὶ οἷς οὗτοι τραφήσονται, ἀλλ' ἐφ' ὁδοῦ τὰ ὤνια καὶ
αὖθις προυβέβλητο. ἐν μέντοι τοῖς τῶν χωρίων ἐπικαίροις
καὶ ταῖς τῶν παρόδων στεναῖς λόχοι παρὰ Ῥωμαίων ἐφίζα-
V. 35 νον, δόξαν οὕτω τῷ Μανουήλ, καὶ οὐκ ὀλίγους ἐκ τῶν στρα-
τοπέδων τούτων κατέκαινον. ἀλλὰ καὶ τὰς πύλας τῶν πόλεων
ἐπιζυγοῦντες οἱ ἀστυχοὶ οὐκ ἀγορῶν τοῖς Ἀλαμανοῖς μετεδίδο-
σαν, σχοίνους δὲ τοῦ τείχους ἀποκρεμῶντες ἀνεῖλκον πρότερον
τὸ ὑπὲρ τοῦ ἀποδιδομένου κατατιθέμενον τίμημα, ἔπειτα δια-
χαλῶντες ὅσον ἐβούλοντο, εἴτε ἄρτος ἦν τὸ πωλούμενον εἴτε τι
βιώσιμον ἕτερον, εἴων, ἄθεσμα δρῶντες κατ' αὐτῶν, ἐπαρωμέ-
νων τὸν παντέφορον ὀφθαλμὸν ὡς μὴ χρωμένων σταθμοῖς δικαί-
οις μηδ' οἰκτειρόντων αὐτοὺς ὡς ἐπήλυδας, μήτε τι κατατιθε-
μένων ὡς ὁμοπίστοις οἴκοθεν, μᾶλλον μὲν οὖν καὶ προσαφαρ-
παζόντων ἐκ τοῦ σφῶν φάρυγγος ὅσα πρὸς σύστασιν σώμα-
τος. οἱ δὲ χείριστοι τῶν οἰκητόρων, καὶ ὅσοις τὸ ἀπάνθρω-
πον περιεσπούδαστο, οὐδὲ τὸ βραχύτατον γοῦν διεχάλων,
ἀλλὰ τὸ χρυσίον ἀναρειψάμενοι ἢ τὸ ἀργύριον ἀνιμησάμενοι
P. 45 καὶ τῷ κόλπῳ ἐνθέμενοι ἀφανεῖς ἦσαν, οὐκέτι ἐν τοῖς με-
σοπυργίοις ἐποπτανόμενοι. εἰσὶ δ' οἳ καὶ τοῖς ἀλφίτοις ἐμ-
φύροντες τίτανον ἐποίουν τὰ σῖτα ὀλέθρια. τοῦτο δὲ εἰ μὲν

9. πύλας] πόρτας B. 10. ἀστοὶ A. 19. οἱ δὲ χείρ.] οἱ δὲ ἀδιάφοροι τῶν καστελλίων καὶ οἱ ἀγνώμονες B. 20. τὸ om A. 21. ἀναρειψάμενοι] ἀναρυόμενοι A. 23. ἐποπτ.] ἐπιπανόμενοι A. τοῖς ἀλφίτοις] ἄσβεστον ἐν τοῖς ἀλεύροις σμίγοντες B.

tem transgresso, paulo post etiam Francis commilitonibus insecutis, imperator in pristinam provinciarum suarum curam incubuit; neque illud neglexit, ut isti in itineribus commeatum venalem haberent. caeterum in locis opportunis et angustis tramitibus insidias collocandas censuit, quibus non pauci ex iis exercitibus perierunt. quin et cives portis clausis forum Alemannis non praebebant, sed funibus de muris suspensis pecuniam prius attrahebant, iisque rursum, quantum vel panis vel aliarum rerum libebat, demittebant. quibus iniuriis Alemanni exacerbati oculum inspectorem omnium rerum contra eos qui iniustis ponderibus uterentur, nec advenarum et eidem religioni addictorum miserti adeo nihil de suo conferrent ut cibos etiam e faucibus eriperent, ultorem invocabant. verum pessimi incolae et inhumanitate singulari praediti ne minimum quidem demittebant, sed auro argentove attracto atque in sinibus recondito ex moenibus

ἀληθῶς ὁ βασιλεὺς ἐπέταττεν, ὡς ἐλέγετο, ἀκριβῶς οὐκ ἴσημι· παρηνομεῖτο δ' οὖν ὅμως καὶ ἀνοσίως ἐπράττετο. ὃ δὲ τοῦ βασιλέως βούλευμα ἦν οὐκ ἀμφίλογον οὐδὲ ψεύδους παραπετάσματι σκιαζόμενον, ἀργύριον ἀδόκιμον εἰς νόμισμα κέκοφε, καὶ τοῦτο προβάλλεται τοῖς ἐκ τοῦ τῶν Ἰταλῶν στρατεύματος ἀποδόσθαι τι θέλουσι. καὶ συντόμως εἰπεῖν, οὐδὲν ἀπῆν τῶν δεινῶν ὃ οὐκ ἦν ἐπιτεχνώμενος αὐτοῖς ὁ βασιλεὺς καὶ τοῖς ἄλλοις δρᾶν διακελευόμενος, ὡς ἂν εἴη ταῦτα B καὶ τοῖς ἐξ αὐτῶν ὀψιγόνοις μνημεῖα δήπουθεν ἀνεξάλειπτα καὶ δέους σπέρματα, τὴν κατὰ Ῥωμαίων ἐκτρέποντα κίνησιν.

6. Παρόμοια δὲ καὶ τοῖς Τούρκοις ἐπῆλθε ποιεῖν κατὰ τῶν Ἀλαμανῶν, τοῦ Μανουὴλ αὐτοὺς ἐπαλείφοντος γράμμασι καὶ διανιστῶντος εἰς πόλεμον. καὶ τοίνυν περὶ τὸν Βαθὺν ὑπερτερήσαντες, Παμπλάνου τινὸς ἡγουμένου τοῦ σφῶν στρατεύματος, πολλοὺς διέφθειραν. ἐπεὶ δὲ καὶ τῇ μοίρᾳ ἐπέθεντο ἥτις τὴν Φρυγίαν παρώδευεν, εἰς κενὸν αὐτοῖς τὸ βούλευμα ἔσχασε, καὶ τὸν ὄλεθρον ἑκουσίως κατὰ τῶν κεφαλῶν αὐτῶν καὶ πόρρωθεν ὄντα μετάπεμπτον ἀτεχνῶς ἐποιήσαντο, καὶ εἰς βόθυνον κατώλισθον ὃν ταῖς οἰκείαις χερσὶν C ἐβάθυναν. τῷ τοι καὶ δέον μηδὲν παρενοχλοῦντας οὐχὶ λυπεῖν, μηδ' ἀναγκάζειν τὸ τοῦ θυμοῦ θηρίον ἀφυπνίζειν τὸ τέως κοιμώμενον, ἢ πρὸς ἀνδροκτασίας διαρρενοῦν, οἱ δὲ εἰς φάλαγγας πυκνωθέντες καὶ ταῖς ὄχθαις ἐφεστῶτες τοῦ ποτα-

4. ἀργύριον δεδολωμένον εἰς δουκάτα ἐχάραξε B. κέκοφε] κόπτεται A. 14. περὶ τὸν λεγόμενον βαθὺν τόπον ἀνελπίστως πολεμήσαντες B.

se subducebant. quidam etiam calce farinae immista cibum pestiferum reddebant. id utrum iussu imperatoris factum fuerit, ut ferebatur, compertum non habeo. utut sit, iniquum et nefarium facinus fuit. illud certe constat, eius iussu ex improbo argento monetam esse cusam, quae iis daretur qui ex Italico exercitu aliquid venditari essent. breviter ut dicam, nullum mali genus fuit quod imperator non vel ipse in eos machinaretur vel aliis machinandi auctor esset, ut scilicet eorum posteri perpetuis monimentis ab invadendis Romanis deterrerentur.

6. Idem et Turci imitati sunt, Manuelis literis ad bellum Alemannis faciendum concitati. itaque circa Bathym, Pamplano quodam duce, praelio victores multos occiderunt. sed cum eam quoque partem aggressi essent quae Phrygiam praeteribat, opinione sua decepti interitum longe remotum ultro sibi accersiverunt, in foveam illapsi quam suis manibus effoderant. neque enim omni iniuria ab-

μοῦ (Μαίανδρος οὗτος ἦν) οὐκ εἴων ὅλως τὰ Λατινικὰ στρατεύματα διελθεῖν. ἔστι δ' οὗτος καὶ τὸν μὲν ἅπαντα χρόνον οὐ ῥᾴδιος ἁπανταχοῦ τὴν περαίωσιν, τότε δὲ καὶ τέλεον ἦν ἄπορος, εἰς δίνας ἑλιττόμενος καὶ μεταχωρῶν εἰς στροφάλιγγας, ὅτε κἀκ τῶν πραγμάτων αὐτῶν αἱ δυσμικαὶ δυνάμεις ὑπέδειξαν ὡς αὐτῶν ἀνεχομένων αἱ φάλαγγες Ῥωμαίων
D εἰς προνομὴν οὐκ ἐξέκειντο καὶ αἱ τούτων πόλεις ἀδῄωτοι παριππεύοντο, οὐδὲ βοσκημάτων δίκην οἱ τούτων οἰκήτορες ἀναιρούμενοι ἐσφακέλιζον. ὡς γὰρ τῇ ὄχθῃ τοῦ ποταμοῦ προσάγοντος τοῦ ῥηγὸς οὔτε νῆες παρῆσαν ποτάμιαι οὔτε γέφυρα πρὸς διάβασιν ἔζευκτο, καὶ οἱ Τοῦρκοι ἀναμὶξ πεζοὶ καὶ ἱππεῖς ἐς τὸ ἀντιπέραν φαινόμενοι δῆλοι ἦσαν ἀκροβολίζοντες, καὶ τὰ τοξεύματα διικνεῖτο τῶν παριόντων τὸν ποταμὸν καὶ ἐνέπιπτον εἰς τὸ τῆς φάλαγγος μέτωπον, τότε μὲν ὀλίγον ἐπαναγαγὼν ἀπὸ τῆς ὄχθης τοῦ ποταμοῦ στρατοπεδεύεται, ὅσον μὴ εἶναι βέλους ἐντός, καὶ ἐπιτάττει πάντας δειπνοποιήσαντας ἱπποκορυστὰς γενέσθαι καὶ τῶν ἁρμάτων αὐτῶν ἐπιμεληθῆναι ὡς ἐς νέωτα τοῖς Τούρκοις πολεμήσοντας πρωϊαίτερον. σκοταῖος τοίνυν διαναστάς, καὶ τοῦ ἡλίου μήπω τὸ ἅρμα ζεύξαντος, αὐτός τε ὡς πρὸς πόλεμον ἔσταλτο καὶ ἡ λοιπὴ τὰ ὅπλα ἐνεδέδυτο στρατιά. καὶ οἱ βάρβαροι ὁμοί-
P. 46 ως διαπραττόμενοι καὶ αὐτοὶ παρετάττοντο, τούς τε τοξότας
V. 36 τῇ ὄχθῃ παρέτεινον, καὶ τὸ ἱππικὸν ὡς αὐτοῖς ἐδόκει παρε-

3. ἁπανταχῆ A. 10. νῆες] καράβια B. 13. διικνεῖτο] δεικνύντων A. 15. ὅσον μὴ φθάνειν σαγίταν ἐντός B. 18. ἐς om A. πολεμησίοντας A. 20. ἔσταλτο] ἡρματώθη A.

stinentes lacessendi erant, nec ad iram, ad caedes concitandi. verum illi densata phalange in ripis Maeandri fluminis stantes Latinorum exercitum transitu prohibebant; qui cum omnibus temporibus ob vortices et varios anfractus non ubique facile superetur, tum plane transiri non poterat. ibi Occidentales copiae ipsa re declararunt patientia sua factum esse quo minus Romanorum phalanges praedae essent eorumque urbes exscinderentur et cives pecudum instar mactarentur. nam cum rege ad fluminis ripas accedente neque naves praesto essent neque pons, et Turci equites et pedites permisti in ulteriore ripa se ad pugnam paratos esse ostenderent, et sagittis frontem exercitus fluvium praetereuntis attingerent, tum quidem paulum acie a fluvio subducta extra teli iactum castra posuit, atque omnes ubi coenarint in equis armatos esse et currus curare iussit, ut diluculo cum Turcis dimicaturos. surgit igitur ante ortum solis, in tenebris adhuc et ipse ad pugnam exornatus et exercitus omnis armatus. idem et barbari fecerunt, instructaque acie, et sagittariis

σκευάζετο, καὶ τοῦ ἀκροβολισμοῦ εἴχοντο, εἴ ποτε προυχώρουν οἱ Ἰταλοὶ κατὰ τὸν ποταμόν· ὅτε καὶ τὰς τάξεις ἐπιπαρίων ὁ ῥὴξ καὶ παρακλήσεις τοῖς σφετέροις ποιούμενος τοιάδε ἔφασκεν. „ὅτι μέν, ὦ συστρατιῶται, ἡ ἡμετέρα αὕτη κίνησις διὰ Χριστόν, καὶ ὡς εἰλόμεθα τὴν προκειμένην μὴ τὴν ἐξ ἀνθρώπων ἀλλ' ἐκ θεοῦ δόξαν θηρώμενοι, ἴσησι δήπουθεν καὶ ὑμῶν ἅπας σαφῶς, πῶς γὰρ οὔ; οἳ τούτου ἕνεκα τοῖς μὲν ἐπ' οἴκου ἐνευπαθεῖν ἀπειπάμεθα, καὶ τῶν οἰκείων ἑκόντως ἀπεξενώμεθα, καὶ διὰ τῆς οὐχ ἡμεδαπῆς παροδεύοντες θλίψεσι προσομιλοῦμεν, κινδύνοις παραβαλλόμεθα, B λιμῷ τηκόμεθα, κρύει πηγνύμεθα, θαλπωρῇ ἐκλυόμεθα, κλιντῆρα ἔχοντες τὴν γῆν, στέγην τὸν οὐρανόν, οἱ εὐγενεῖς, οἱ εὐπάρυφοι, οἱ ἐπὶ δόξης καὶ πλούτου, καὶ πολλῶν ἐθνῶν κυριεύοντες. τὰς δὲ πολεμικὰς σκευὰς ἐς ἀεὶ περικείμεθα ὥσπερ ἀκούσια δεσμά, καὶ κάμνομεν αὐτὰς ἀνέχοντες ὡς ὁ τῶν ὀπαδῶν Χριστοῦ μέγιστος Πέτρος πάλαι ἁλύσεσι διτταῖς κατακουχούμενος καὶ τέσσαρσι στρατιωτῶν τετραδίοις φρουρούμενος. ὅτι δὲ καὶ οἱ ὡς ἐν μεταιχμίῳ τῷ πορθμῷ τούτῳ ἀποδιιστάμενοι ἡμῶν βάρβαροι ἐχθροί εἰσι τοῦ σταυροῦ τοῦ Χριστοῦ, οἷς πάλαι νόμῳ πολέμου συμβαλεῖν ἐγλιχόμεθα καὶ ὧν τοῖς αἵμασι δαυιδικῶς ἐπηγγελλόμεθα νίψασθαι, οὐδὲ τοῦτο

1. ἀκροβολισμοῦ] ἀκροβολίζειν A. 6. ἴσησι] ἴστε A. 8. τοῖς μὲν] ἀπεξενώθημεν τῶν δσπητίων ἡμῶν B. 9. ἑκουσίως A. οὐχ ἡμεδαπῆς] οὐκ ἐνδαπῆς A. 12. κλιντῆρα] κρεββάτια B. ἔχοντες] ἔχομεν A. 16. πάλαι] τὸ παλαιὸν A. 17. τέσσ. τετρ.] ἑκκαίδεκα B. 21. νίψασθαι τὰς χεῖρας ἡμῶν B.

in ripa dispositis, et equitatu ut visum erat ordinato, cum Itali in ripa progrediebantur, pugnam ciebant eminus. rex vero aciem obiens milites hoc modo cohortatus est. „expeditionem hanc a nobis propter Christum, et divinae, non humanae gloriae parandae causa, susceptam esse scitis utique, commilitones. hac enim de causa, spreta domi iucunda vita, ultro a propinquis nostris seiuncti per alienas regiones aerumnas toleramus, periculis exponimur, fame tabescimus, frigore horremus, aestu solvimur; cubile terram, tectum caelum habemus; quamvis nobiles, illustres, incliti, divites, multis gentibus imperantes, thoraces semper tanquam vincula necessaria gestamus, iisque fatigamur, quemadmodum maximus Christi servus Petrus duabus catenis oppressus et quatuor militum quaternionibus custoditus. barbaros autem, qui flumine a nobis dividuntur, crucis Christi esse hostes, quos bello aggredi olim cupivimus, in quorum sanguine, ut David loquitur, nos loturos esse promisimus, quis est qui nesciat, nisi plane vecors nec apertis oculis videre nec patentibus auribus

C φιλοκρινεῖν θελήσει τις, εἰ μὴ προδήλως παρακοπεὶς τὸ φρονεῖν ὁρῶν ἄντικρυς οὐχ ὁρᾷ καὶ ἀκούων οὐδαμῶς ἐνωτίζεται. εἴπερ οὖν τῆς εὐθὺ τῶν ἀθανάτων μονῶν πορείας μέλον ἡμῖν (οὐδὲ γὰρ ἄδικος ὁ θεός, ὡς μὴ τὸ τῆς ὁδοῦ ταύτης ὁρᾶν αἰτιώμενον, μηδ' ἀκηράτων μεταδιδόναι λειμώνων καὶ σκιερῶν ἐν τῇ Ἐδὲμ καταπαύσεων, οἳ τὰ οἴκοι καταλιπόντες ἀνθειλόμεθα τοῦ ζῆν τὸ ὑπὲρ αὐτοῦ θανεῖν), καὶ εἰ μνήμη δέ τις ὑμᾶς ὑπεισέρχεται ἃ καθ' ὥραν οἱ ἀπερίτμητοι οὗτοι τὴν καρδίαν εἰς τοὺς ἐκ τοῦ γένους παροινοῦσιν ἡμῶν, καὶ οὓς αὐτοῖς ἐπιτρίβουσι κονδύλους ταῖς φρεσὶν ἀναφέρετε, καὶ τοῦ ἐκκεχυμένου ἀνευθύνως αἵματος μαλάσσει τις ἔλεος, στῆτε
D γενναίως ἄρτι καὶ ἐρρωμένως διαγωνίσασθε. μηδέ τι δέος ἐκπλῆσσον ἐκκρουέτω τοῦ καθηκόντως ἀμύνασθαι, ἀλλὰ γνώτωσαν ἀληθῶς οἱ ἀλλόφυλοι ὡς ὅσον Χριστὸς ὁ καθηγητὴς ἡμῶν καὶ διδάσκαλος ὑπέρκειται προφήτου λαοπλάνου καὶ μυοῦντος σφᾶς τὰ ἀπόβλητα, τοσοῦτον καὶ ἡμεῖς αὐτῶν κατὰ πάνθ' ὑπερφέρομεν. ἐπεὶ οὖν παρεμβολὴ ἁγία ἡμεῖς καὶ στρατὸς θεόλεκτος, μὴ φιλοψυχήσωμεν ἀγεννῶς πρὸς φιλόχριστον καὶ ἀείμνηστον τελευτήν. εἰ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, πόσῳ ἡμεῖς τεθνάναι δι' αὐτόν ἐσμεν δικαιότεροι; ἀγαθῆς ταυτησὶ πορείας ἀγαθὸν ἔστω καὶ τέλος ἐφορμαρτοῦν. μαχεσώμεθα μετὰ τῆς ἐν Χριστῷ πεποιθήσεως καὶ τοῦ εὖ εἰδέναι ὡς τοὺς ἐχθροὺς τροπωσόμεθα, ὅτι μηδὲ
P. 47 δυσχερὴς ἡ νίκη γένοιτο οἷα μηδένων ὑποστησομένων τὴν

3. τῆς εὐθὺ] τῆς τῶν οὐρανῶν βασιλείας ὀρεγόμεθα B. 16. ἀπόβλητα] ἄτοπα B.

audire velit? quodsi recta in caelum ascendere studemus (neque enim iniustus est deus, ut huius viae causam ignoret, aut immortalia prata et umbrosa Edemi domicilia non retribuat nobis, qui relictis aedibus pro ipso mortem oppetere quam vivere maluimus), si memoria repetitis quae quibusque temporibus isti corde incircumcisi in populares nostros admittant, et quas eis alapas impingant recordamini, et sanguinis innocenter effusi aliqua misericordia tangimini, state iam fortiter, et strenue pugnate, neque ullus vos terror moveat quominus alacriter resistatis. cognoscant barbari, quantum Christus magister noster et praeceptor seductorem prophetam et impiae religionis antistitem superat, tanto et nos rebus omnibus superiores esse. cum igitur castra sancta simus et divinitus collectus exercitus, ne turpiter vitam amemus, nec obitum memorabilem pro Christi caritate reformidemus. si enim Christus pro nobis mortuus est, quanto iustius nos pro illo oppetemus? honestae huic expeditioni etiam finis honestus imponatur: Christo freti pugnemus, cum certa spe vi-

προσβολήν, ὡς πεποίθαμεν, ἀλλὰ πάντων ἐνδωσόντων καὶ πρὸς τὴν πρώτην ὁρμήν. εἰ δ', ὅπερ ἀπείη, πεσούμεθα, καλὸν ἐντάφιον τὸ ὑπὲρ Χριστοῦ τελευτᾶν. βαλέτω με τοξότης Πέρσης ὑπὲρ Χριστοῦ· ἀφυπνωτέον μετ' ἐλπίδων χρηστοτέρων εἰς θάνατον, καὶ ὅσα ὀχήματι τῷ βέλει χρηστέον πρὸς τὴν ἐκεῖ κατάπαυσιν, ἀλλὰ μὴ θάνατος προαρπασάτω ἴσως ἀκλεὴς καὶ ἐφάμαρτος. ἤδη ποτὲ τισώμεθα τούτους, ὧν οἱ καθ' αἷμά τε καὶ ὁμόπιστοι ποσὶ κεχραμένοις ὡς εἰς κοινὸν εἰσεληλύθασι τόπον τὸν ἱερόν, ἐν ᾧ νεκροῖς ὁμόσκηνος γέγονεν ὁ σύγχρονος πατρὶ καὶ ὁμόθρονος. ἡμεῖς ἐσμὲν οἱ δυνατοὶ καὶ διεσπασμένοι πάντες ῥομφαίαν, καὶ ὡς κλίνην περιέποντες Σολωμώντειον τὸν ζωοδόχον τάφον καὶ θεοδέγμο- B
να. τοὺς ἐκ τῆς Ἄγαρ τοίνυν τῆς δουλίδος ἐκποδὼν οἱ ἐλεύ- V. 37
θεροι ποιησώμεθα, καὶ ὡς λίθον προσκόμματος τῆς ὁδοῦ ἐξάρωμεν τοῦ Χριστοῦ, οὓς οὐκ οἶδ' ὅπως Ῥωμαῖοι ὡς ἐπὶ σφάγια ἑαυτοὺς ἐκτρέφουσι· λυκιδεῖς καὶ τοῖς οἰκείοις δυσκλεῶς πιαίνουσιν αἵμασι, δέον ἀλκὴν ἀναλαβόντας καὶ λογισμὸν ἔμφρονος ἀνδρός, ὡς θῆρας ἐκ ποιμνίων, τῶν οἰκείων ἀπελάσαι χωρῶν καὶ πόλεων. ἐπειδὴ δὲ καὶ ὁ ποταμὸς οὗτος, ὡς ἔστιν ὁρᾶν, οὐκ ἄλλως περάσιμος εἰ μὴ καινοτέραν ἀνοίξει τις πάροδον, αὐτὸς ἐγὼ καὶ τὸ κατὰ τοῦτον εἰσηγήσομαι γενησόμενον καὶ τοῦ εἰσηγηθέντος πρώτως κατάρξομαι. ἐς ὁμαιχμίαν φραξάμενοι μίαν, καὶ ταῖς χερσὶ δόντες τὰ δό- C

7. τισόμεθα A. 16. ἀκλεῶς A. 23. ἐς ὁμαιχμ.] γενώμεθα πάντες εἰς φραγμὸν B.

ctoriae non difficilis. neque enim quisque, ut confidimus, impetu nostrum tolerabit, sed omnes primae aggressioni cedent. sin (quod absit) occubuerimus, honesta sepultura erit, ubicunque pro Christo occubuerimus. me sagittarius Persa pro Christo feriat: cum spe bona moriar, eaque sagitta tanquam vehiculo ad requiem illam perveniam; quod mihi potius erit quam si morte ingloria in peccatis opprimerer. iam tandem ulciscamur eos quorum impuris conculcati pedibus et consanguinei nostri et Christiani fratres in communem illum sacrum locum abierunt, in quo defunctorum contubernalis factus est Christus, patri aequalis et assessor. nos sumus potentes illi, nos omnes gladios strinximus, qui vitale divinumque sepulcrum tanquam Salomonis cubile circumsistimus. Agarenos igitur ancillae filios nos liberi tollamus e medio, et tanquam lapides offensionis e via Christi removeamus; quos haud scio cur Romani tanquam lupos in suam caedem alunt et per dedecus suo cruore saginant, cum excitatis animis, et cogitatione cordato viro digna suscepta, tanquam ferae a gregibus, sic illi ab ipsorum provinciis atque urbibus pellendi es-

ρατα, διεξιππασώμεθα σὺν ῥύμῃ τοῦ ποταμίου τοῦδε ῥεύματος, καὶ ἐς αὐτὸ ἐμβάλωμεν μεθ' ὁρμῆς· καὶ στήσεται, οἶδα σαφῶς, τὸ ὕδωρ ἀναχασθὲν καὶ τοῦ κατ' εὐθυωρίαν ἀνακοπήσεται προρρέειν ὥσπερ ἐπαναστραφέν, καθὰ καὶ πάλαι ῥοῦς ὁ Ἰορδάνειος τῷ Ἰσραὴλ πεζευόμενος. καὶ εἴη ἂν τὸ ἔργον τοῦτο καὶ διανόημα τοῖς ὀψιγόνοις ἀοίδιμον, χρόνῳ μὴ διακοπτόμενον, οὐ λήθης ἐξίτηλον ῥεύματι, καὶ κατάγελως πλατὺς τῶν Περσῶν, ὧν τὰ κῶλα περὶ τουτονὶ πεσοῦνται τὸν ποταμὸν ἐς κολωνὸν αἰρόμενα καὶ ὡς τρόπαιον προφαινόμενα εἰς κλέος ἡμῶν αὐτῶν ἀθάνατον." τοιαῦτα D παρακελευσάμενος καὶ τὰ σημεῖα τῆς μάχης ἀναδείξας, αὐτός τε τὸν ἵππον ἐφῆκε συχνὰ μυωπίζων τε καὶ ἐγκελευόμενος ὡς τὸν ποταμὸν μετὰ ῥύμης διαβησόμενος, καὶ οἱ λοιποὶ δὲ παιανίσαντες καὶ τὸ σύνηθες ἀλαλάξαντες ἐχώρουν ὁμόσε, πυργηδὸν ταξάμενοι καὶ πυκνώσαντες ἑαυτοὺς καὶ ἀθρόοι ἐξιππαζόμενοι, ὡς τοῦ ποταμίου χεύματος τὸ μὲν ἐς τὴν χέρσον ἐκτιναχθῆναι ταῖς τῶν ἵππων χηλαῖς, τὸ δὲ διακοπῆναι καὶ τῆς πρόσω στῆναι φορᾶς, ὡς εἴπερ εἰς ἀνάρρουν παρὰ φύσιν ἀνέλυεν ἢ καὶ εἰς τοὐπίσω ἀνεστοιβάζετο, αὐτοὺς δὲ ὡς διὰ ξηρᾶς ὑγροποροῦντας παρὰ δόξαν τοῖς Πέρσαις ἐπεισπεσεῖν, ὅτε καὶ μὴ ἔχον τὸ βάρβαρον φυγῇ τὴν σωτη-
P. 48 ρίαν ὑποκλέψαι γοῦν (διωκόμενοι γὰρ κατελαμβάνοντο, μηδὲ

2. ἐς] ἐπ' A. 15. πυργηδὸν ταξάμενοι] πυκνώσαντες ἑαυτοὺς ὡσεὶ πύργος ἐντὸς εἰσήλθοσαν, καὶ ἡ τῶν ἀλόγων ὁρμὴ τὸ ὕδωρ εἰς τὴν ξηρὰν ἐκτιναχθῆναι ἐποίησε καὶ ὄπισθεν τὸν ποταμὸν ἀνελθεῖν ἐβιάσατο B. 20. ὑγροποροῦντας] πεζοποροῦντας A. 22. ἀποκλέψαι A.

sent. iam quia fluvius hic, ut cernitur, nonnisi nova ratione transiri potest, ego ipse huius exempli monstrator ero, meumque consilium primus exequar. acie condensata hastisque coniunctis cum impetu irruemus et flumen perequitabimus. satis scio aquam repulsam staturam esse, conversoque veluti cursu non recta promanaturam. non dissimili olim ratione Israelitae Iordanem, suppresso flumine, pedibus transierunt. consilium hoc et facinus etiam ad posteros memorabile est futurum, nulla longinquitate temporis, nulla oblivione obliterandum, cum summo Persarum probro, quorum cadavera circa hunc amnem prostrata in collem exurgent, ac instar tropaei conspicientur cum gloria nostra immortali." quae cum dixisset et signum pugnae dedisset, et ipse equum flagellis cohortatus in fluvium fecit impetum, et ceteri de more peractis precibus clamoreque sublato hostes adoriuntur, acie turris instar instructa densataque confertim perequitantes, ut fluminis undae ungulis equorum partim in ripas excuterentur, partim resisterent, non secus ac si contra naturam ad

τῶν ἵππων αὐτοῖς ἐπαμυνόντων, κἂν ἦσαν ὠκύποδές καὶ ἐπ' ἄκρων ἀνθερίκων μικροῦ θέοντες) ἢ ὁμόσε χωρεῖν τοῖς Ἀλαμανοῖς κατὰ μάχην ἀγχέμαχον, ἐκρεανομοῦντο ποικίλως, καὶ ἐπ' ἄλλῳ ἄλλος ἔπιπτον ὡς ἀστάχυες, εἶτ' οὖν ὡς ῥᾶγες αἷμα τὸ ζωτικὸν ἀπεθλίβοντο τοῖς λογχηφόροις ληνοβατούμενοι. οἱ μὲν γὰρ δόρασι διηλαύνοντο, οἱ δὲ τοῖς τῶν ξιφῶν ἐπιμήκεσιν ἀπεχώρουν διχῇ διαιρούμενοι, καὶ μάλιστα τὸ ψιλὸν αὐτῶν καὶ γυμνὸν τοῦ στρατοῦ, οἱ δὲ τοῖς ξιφιδίοις παρασταδὸν οὐταζόμενοι ἀνετρέποντο, τὰς χολάδας τοῦ χαλκοῦ B διεκχέοντος, ὡς τοὺς πεσόντας Πέρσας τὰ ἐκεῖσε καλύψαι πεδία τοῖς πτώμασιν ἀκριβῶς καὶ ὑπεράντλους τὰς φάραγγας θεῖναι τοῖς αἵμασι, τῶν δὲ Ἰταλῶν βληθῆναι μὲν ἀπὸ τόξων πολλούς, καταβληθῆναι δὲ καὶ ἀφυπνῶσαι βραχεῖς εἰς θάνατον. καὶ μαρτυροῦσι τὸ τῶν πεσόντων ἐς δεῦρο πολύποσον οἱ τῶν ὀστέων σωροὶ οὕτω συχνοὶ καὶ μετέωροι ὄντες καὶ κατὰ τὰ ἀνεστηκότα γεώλοφα ἐπαιρόμενοι, ὡς θαῦμα κεῖσθαι καὶ ἄλλοις μὲν ὁπόσοι τῆς ἐκεῖσε φερούσης ἥψαντο, κἀμοὶ δὲ τῷ C ταῦτα συγγράφοντι. ὁποῖαι μὲν οὖν ἦσαν τῶν θριγγῶν αἱ περίμετροι, οἳ τῶν Κίμβρων τοῖς ὀστέοις τὰς τῶν Μασαλιητῶν ἀμπέλους περιεφράγμωσαν Μαρίου τοῦ Ῥωμαίου τοὺς βαρβάρους καταστρεψαμένου, εἰδεῖεν ἂν σαφέστατα ὅσοι τὸ καινὸν ἐκεῖνο ἔργον ὀφθαλμοῖς διειλήφεσαν καὶ τοῖς λοιποῖς εἰς ἀκοὴν ὠτίου παρέπεμψαν· τὸ δὲ νῦν τοῦτο καὶ ὑπὲρ ἐκεῖνο δήπουθεν, εἴγε μὴ μεγαλοφωνία ἦν τὰ κατὰ Κίμβρους

1. καὶ] ἢ μὴν A. 4. ἀστάχυες] αἱ στάχυες A. 16. γήλοφα A. 24. κίμβρον A.

fontes regrederentur, ipsi vero non secus ac terra proficiscentes in Persas ex improviso irruerent. barbari vero, qui nec fuga salutem quaerere (nam a persequentibus capiebantur, nihil adiuti velocitate equorum incredibili) neque comminus pugnare cum Alemannis possent, variis modis caedebantur, atque alii super alios aristarum instar cadebant. nam hi lanceis confodiebantur, illi praelongis gladiis medii dissecabantur, velites praesertim, aliis pugiones in viscera adigebantur, ut Persarum cadaveribus campi illi plane tegerentur et valles sanguine redundarent. Italorum multi sagittis icti, pauci vero interfecti sunt. quanta autem multitudo ceciderit, etiam hodie ossium tumuli crebri et alti collium instar testantur; quos, qui illac iter habet, quivis admiretur, ut et ego, qui haec scribo, sum admiratus. ac quanti saepium fuerint ambitus, quae ex Cimbrorum ossibus factae Massiliensium vineas cingebant barbaris a Mario duce Romanorum caesis, ii maxime noverint qui recens illud facinus oculis usurparunt et caeteris exposuerunt. sed hoc illo utique maius est,

ἱστορικὴ τὴν φύσιν ὑπερφωνοῦσα καὶ εἰς μῦθον ἐκπίπτουσα. τὸ δ' ἐκ τούτου ἀπόλεμος αὐτοῖς ἦν ἡ πορεία, οὐδένα τῶν βαρβάρων εἰς προὖπτον ἀντίπαλον φαίνουσα.

V. 38 *ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ*

ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ.

P. 49 1. *Καὶ τοιούτοις μὲν οἱ τῶν Ἰταλῶν παῖδες ἀγῶσιν ἐγγυμνασάμενοι τὴν κοίλην Συρίαν κατέλαβον· ἐν ᾧ δὲ τὴν ἐπὶ τῶν Ἱεροσολύμων οὗτοι ἐβάδιζον, παρημειφότες μὲν τὰ Ῥωμαίων ὅρια, τῆς δ' ἄνω Φρυγίας ἁπτόμενοι Λυκαονίας τε καὶ Πισιδίας, αἳ πάλαι μὲν Ῥωμαίοις ὑπέκειντο, νυνὶ δὲ ἀνεῖνται βαρβάροις καὶ δορύκτητοι παρ' αὐτῶν καρπίζονται μαλακίᾳ πάντως καὶ οἰκουρίᾳ τῶν τὰ Ῥωμαίων πρὸ πολλοῦ διεπόντων πράγματα, μὴ περὶ πλείστου τιθεμένων μογεῖν καὶ προκινδυνεύειν ὧν ὑπερεκάθηντο, ὁ αὐτοκράτωρ Μανουὴλ διεσκοπεῖτο πῶς ἂν τοὺς Σικελοὺς μετελεύσεται, δίκην πραξόμενος ὧν ἀπανθρώπως εἰς Ῥωμαίους ἔπραξαν, τὴν τε Κερ-*
B *κυραίων ἄκραν, ἣ νῦν ἐπικέκληται Κορυφώ, τῆς ἐκ τούτων*

4. *ΔΕΥΤΕΡΟΣ — ΚΟΜΝΗΝΟΥ* om A. 6. *οἱ τῶν Ἰ.*] *οἱ Ἀλαμανοὶ* B. 15. *πραξάμενος* A.

nisi magniloquentia historica res Cimbricae ultra veri fidem exaggeratae propemodum in fabulam degenerassent. ex eo citra bellum Alemanni sunt progressi, barbarorum nemine impediente.

NICETAE CHONIATAE LIBER II

RERUM A MANUELE COMNENO GESTARUM.

1. Ac Itali huiusmodi certaminibus exercitati Coelesyriam occuparunt. dum vero versus Hierosolyma pergebant, et Romanorum finibus superatis Phrygiam superiorem Lycaoniam et Pisidiam attigerant, olim Romanae ditionis, tum a barbaris superiorum imperatorum ignavia et desidia bello subactas, ut quibus parum cordi erat labores et pericula pro eorum salute quibus praeerant adire, Manuel imperator animo agitabat, quo pacto iniurias Siculorum Romanis inhumaniter factas ulcisceretur, et Corcyraeorum promontorio, quod nunc Corypho appellatur, praesidium eorum depelleret. nam Roge-

ἀπαλλάξει φρουρᾶς. ὁ γὰρ δὴ τῆς Σικελίας τότε κρατῶν Ῥογέριος, εἴτε καθ' ὁμολογίαν μετὰ τοῦ τῶν Ἀλαμανῶν προβᾶσαν ῥηγός, ὡς ἐλέγετο, εἴτε καὶ αὐθαιρέτως ὁρμώμενος, σύνδρομον ποιεῖται διὰ ταχυναυτουσῶν νηῶν τῇ τῶν Ἀλαμανῶν κινήσει τὴν τῶν παρακτίων Ῥωμαϊκῶν χωρῶν καταδρομήν. ἀπάρας τοίνυν ἐκ Βρεντησίου στόλος τῇ τῶν Κερκυραίων προσέχει, καὶ ἀμαχεὶ καὶ ἐξ ἐφόδου ταύτην αἱρεῖ. τὸ δ' αἴτιον οἱ τῆς χώρας οἰκήτορες, καὶ τούτων μάλιστα οἱ τὴν σύνεσιν ὑπέρου ψιλότεροι, Γυμνοὶ τὴν ἐπίκλησιν. οὗτοι γὰρ βαρύν, ὡς ἔφασκον, καὶ δυσύποιστον φορολόγον μὴ φέροντες, οὐδὲ τὰς ἐκ τούτου παροινίας ἐπὶ πλεῖον ἐνεγκεῖν ἔχοντες, βουλὴν βουλεύονται πονηράν, καθ' ἑαυτοὺς δὲ οὐχ οἷοί τε ὄντες αὐτὴν κρατύνασθαι, ὡς ἕρμαιον ἁρπάζουσι τὸν καιρόν, καὶ προσιόν- V. 3 τες τῷ τοῦ στόλου ἡγεμόνι καὶ τῇ τούτου αἱμύλῳ γλώττῃ προσεσχηκότες καὶ ἴχνεσι προβάντες ἀλώπεκος ἐπὶ ῥηταῖς C ὁμολογίαις εἴσω δέχονται Σικελιῶτιν φρουράν, εἰς χιλίους ἀριθμουμένην φρακτούς. καὶ οἱ μὲν καπνὸν φορολογίας ἀποδιδράσκοντες ἔλαθον ὑπὸ χαυνότητος νοῦ τῷ τῆς δουλείας ἐμπεσόντες πυρὶ καὶ Ῥωμαίοις εἰσενεγκόντες πόλεμον οἱ χαλίφρονες χρόνιον ὁμοῦ καὶ βαρύτατον· ὁ δὲ τὸ φρούριον κρατυνάμενος, καὶ ὡς εἶχεν αὐτὸ ποιήσας δυσαλωτότερον καὶ οἷον ἀπροσμαχώτερον, ἐκεῖθεν ἀναχθεὶς τῇ Μονεμβασίᾳ προσίσχει, ἐλπίσι θαλπόμενος ὡς λήψεται καὶ ταυτηνὶ

6. βρεντεσίου A. 8. οἰκήτορες] ἔποικοι καὶ ὁ τούτους κεφαλατικεύων γυμνὸς τὸ ὄνομα, γυμνότερος δὲ καὶ ὑπὲρ ξύλον τὴν γνῶσιν B. 10. δυσύποιστον] δύσοιστον φ. οὐ στέγοντες μηδὲ A. 15. προσχόντες A. 17. φράγγους B. 18. χαυνότητος] νωθρίας B.

rius, qui in Sicilia tum regnabat, sive ex foedere cum Alemannorum rege icto, ut ferebatur, sive sua sponte, una cum motu Alemannorum et ipse navibus expeditis Romanorum oram maritimam incursabat. classis igitur Brundusio profecta Corcyram appellit, eamque citra dimicationem primo impetu capit. causa eius rei fuerunt insulares, ii praesertim qui omnis prudentiae expertes Gymni cognominantur. causati enim se gravem et intolerabilem exactorem eiusque iniurias diutius ferre non posse, improbum consilium capiunt. quod cum suo Marte non possent exequi, occasione cupide arrepta classis praefectum adeunt, eiusque blandiloquentia illecti Siculum praesidium mille armatorum certis conditionibus accipiunt. ita dum fumum tributi fugiunt, temere se in servitutis ignem praecipitarunt; ac Romanis homines levissimi et diuturnum et gravissimum bellum concitarunt. ille vero castello pro virili munito, ut nec capi nec oppugnari facile posset, Monembasiam traiicit, id quoque

τὴν ἄκραν ἀναιμωτὶ ὥσπερ πρὸ τρίτης τὴν Κέρκυραν. ἀλλ' ἀνδράσιν ἐντυχὼν νῷ διοικουμένοις καὶ τὴν τῆς ἐλευθερίας οὐκ ἀγνοηκόσι παφίαν, ἀπεκρούσθη ὡς εἰ καὶ προβόλῳ προσέβαλεν ἀτινάκτῳ, καὶ πρύμναν κρουσάμενος ἐκεῖθεν P. 50 ἀνάγεται ἄπρακτος. ὑπερβὰς δὲ τὸν ἐπὶ Μαλέαν πλοῦν, ἀντιπνοίας γέμοντα πάσης, περὶ οὗ καὶ ταῦτα παροιμιάζεται „Μαλέαν δ' ἐπικάμψας ἐπιλάθου τῶν οἴκαδε," τὸν ἐσέχοντα πορθμὸν ἀνάγεται, καὶ τὰ τούτου ἑκατέρωθεν ἐπιὼν οὐ τὰ εὐχείρωτα μόνον κατέδραμε λείαν τιθέμενος, ἀλλὰ καὶ τὰ ἄλλως ἐπικαιρότατα καὶ δυσάλωτα, τὰ μὲν ὁμολογίᾳ χειρούμενος τὰ δὲ πολέμῳ δουλούμενος, Ἀκαρνᾶνάς τε καὶ Αἰτωλοὺς τοὺς νῦν λεγομένους Ἀρτινούς, καὶ ὅσα πάραλα ἀμαυρῶν τὸν Κορινθιακὸν κόλπον εἰσέπλευσε. καὶ τῷ Κρισσαίῳ λιμένι προσορμισθεὶς τοῖς ἐν μεσογείῳ θαρρεῖ προσβαλεῖν, οὐδένα ἔχων ἀντίπαλον ἰσοστάσιον. ἀμέλει καὶ ὁ τοῦ B στόλου ἀρχηγὸς τὸ ὁπλιτεῦον καὶ ψιλὸν τοῦ στρατοῦ εἰς τάξεις διειληφώς, καὶ χερσαῖος φανεὶς ὁ τέως θαλάττιος κατὰ τῶν κητῶν τὰ ἀμφιβοσκόμενα, τῇ Καδμείᾳ γῇ παρενέβαλε, καὶ τὰς ἐν μέσῳ κωμοπόλεις ὁδοῦ πάρεργον ληϊσάμενος ταῖς ἑπταπύλοις Θήβαις προσέβαλεν, ὧν καὶ γενόμενος ἐγκρατὴς ἀπανθρώπως τοῖς ἐκεῖ προσηνέχθη. κατὰ γὰρ παλαιὰν φήμην τῆς πόλεως ὡς πλουσίους τρεφούσης οἰκήτορας εἰς χρη-

1. ὥσπερ] ὡς A. 12. Ἀρτινούς] ἀφριούς pr B. τοὺς — Ἀρτινούς om A. 14. καθορμισθεὶς A. 16. τὸ ὁπλ.] τὸ τοῦ στρατοῦ ἐλαφρόν, τοὺς παρ' ἡμῖν λεγομένους βασμούλους B. 17. διειληφώς] διελὼν A. 19. καινοπόλεις A. 20. καὶ] δὴ A. 21. προσηνέχθη] προσενήνεκται A.

promontorium citra sanguinem, quemadmodum paulo ante Corcyram, occupaturus. sed cum in viros cordatos et libertatis dulcedinem expertos incidisset, ita repulsus est ac si in petram immobilem impegisset, infectaque re, remis dissimulandae fugae causa ad puppim conversis, discessit. vitatoque Maleensi traiectu, ventorum contrariis procellis infesto, de quo proverbium usurpatur: ad Maleam cum accesseris, eorum quae domi habes obliviscere, fretum interius ingreditur. et latus eius utrumque pervagatus, non aperta loca duntaxat populatus est, sed opportuna etiam et munita partim in deditionem accepit partim vi subegit; atque Acarnania, Aetolia, quae nunc Artinia dicitur, totaque ora maritima vastata, Corinthiacum sinum intrat. et in Crissaeum portum invectus, in mediterranea impressionem facere ausus est, cum neminem adversarium parem haberet. praeterea classis praefectus gravi et levi armatura in aciem e navibus edu-'a, cetorum instar qui pabulum utrinque petunt, in Boeotiam ir-'it; et interiectis oppidis obiter direptis Thebas cepit, et cives umaniter tractavit. qui cum ex antiquo rumore divites haberen-

μάτων ἀπληστίαν ὑπονυττόμενος, καὶ μηδένα κόρον φιλοπλουτίας εἰδώς, ἀλλ' ὅρον τιθέμενος τῆς ἐφέσεως τὸ καὶ εἰς τρίτον ζωστῆρα τῇ ὁλκῇ τῶν χρημάτων τὰς πάσας ἢ τὰς πλείους νῆας βαπτίζεσθαι, τούς τε χειρώνακτας ἐξεπίεζε, περὶ τοῦ C ῥύπου τῶν ὀβολῶν πολυπράγμων γινόμενος, καὶ τοὺς δυνατοὺς καὶ λαμπροὺς τὸ γένος καὶ σεμνοὺς τὴν ἡλικίαν καὶ περιφανεῖς κατ' ἀξίωσιν διαφόροις κακώσεσι καθυπέβαλλε, μηδενὸς λαμβάνων αἰδὼ καὶ φειδώ, μὴ δυσωπούμενος τὴν δυσώπησιν, μὴ τὴν Ἀδράστειαν εὐλαβούμενος αὐτοῦ που λαβοῦσαν ἀρχήν, ἢ τὴν Καδμείαν λεγομένην νίκην ὑποβλεπόμενος. τέλος δὲ τὰ ἱερὰ προθεὶς γράμματα ἠνάγκαζεν ἕκαστον, τὴν ὀσφὺν ὑπεζωσμένον εἰσιόντα, τὴν οἰκείαν οὐσίαν οἷς ἐνθεωρεῖται μεθ' ὅρκου διασαφεῖν καὶ ταύτην ἐξομνύμενον ἀπιέναι. καὶ οὕτω πάντα χρυσόν, ἄργυρον πάντα διεκφορήσας, καὶ τὰς χρυσοῦφεῖς ὀθόνας ταῖς ναυσὶν ἐνθέμενος, οὐδὲ τῶν σωμάτων D αὐτῶν τῶν ὑπ' αὐτοῦ χαλαμωθέντων ἀπέσχετο, ἀλλὰ καὶ τούτων ἀριστίνδην τὸ προῦχον συλλαβών, τῶν τε γυναικῶν ἀποκρίνας ὅσαι τὸ εἶδος καλαὶ καὶ βαθύζωνοι καὶ τοῖς νάμασι πολλάκις τῆς καλλικρούνου Δίρκης λουσάμεναι καὶ τὰς κόμας διευθετισάμεναι καὶ τὴν ἱστουργικὴν κομψότητα καλῶς ἐπιστάμεναι, οὕτως ἐκεῖθεν ἀνάγεται. κατὰ ῥοῦν δὲ τῶν πραγμάτων αὐτῷ προχωρούντων, καὶ μηδένα τοῦ καιροῦ ἀντίμαχον ἔχοντος, οὐ κατὰ χέρσον, οὐ κατὰ θάλασσαν, τοῦ πρὸς Κόρινθον ἔχεται πλοῦ, πόλιν ἀφνειὸν καὶ κειμένην πρὸς τῷ Ἰσθμῷ καὶ

1. ὑπονυχθεὶς A. 5. γενόμενος A. 11. γράμματα] πράγματα A. 12. ὑποζωσάμενον A, omisso εἰσιόντα. 14. καὶ τὰς χρυσ.] καὶ βλαττία εἰς τὰ κάτεργα B. 22. ἔχοντος] ἄγοντος A.

tur, homo insatiabilis, qui nullum cupiditati statuerat modum, nisi eum ut naves omnes aut saltem plurimas, pecuniae pondere ad tertium usque cingulum demergeret, et opifices exhausit, et sordidi oboli curiosus indagator, potentes, illustri genere natos, aetate venerabiles et dignitate praestantes viros, variis afflixit modis, nullius verecundia aut misericordia motus, homo prorsus inexorabilis, non vindictam inevitabilem, non Cadmeam victoriam timens. denique sacris libris propositis, singulos cinctis lumbis ingressos, inspectisque libris, cum iureiurando suam rem familiarem declarare eaque abiurata discedere coegit. sic omni auro, omni argento, omni pretiosa veste navibus imposita, ne corporibus quidem eorum pepercit quos spoliarat; sed primoribus delectu ex optimatibus habito comprehensis, et matronis pulcherrimis ac ditissimis et texendi peritissimis selectis, inde discessit. ita rebus prospere succedentibus, neque terra neque mari ullo resistente, Corinthum tendit, urbem divitem, in

ὀλβιζομένην ὑπὸ λιμένων δυοῖν, ὧν ὁ μὲν τοὺς ἐξ Ἀσίας ναυλοχεῖ καταίροντας ὁ δὲ τοὺς ἐξ Ἰταλῶν εἰσπλέοντας, καὶ ῥᾳδίους ἑκατέρωθεν τὰς εἰσαγωγάς τε καὶ ἐξαγωγὰς τῶν φορτίων ἔχουσαν καὶ τὰς πρὸς ἀλλήλους ποιουμένην ἀμοιβάς. καὶ δὴ τὸ ἐμπόριον εὑρὼν ἔρημον, ὅπερ ἡ κάτω πόλις ἐπονομά-
V. 40 ζεται, ὡς ἁπάντων ἀνασκευασαμένων εἰς τὸν Ἀκροκόρινθον
P. 51 καὶ συνηθροικότων εἰς αὐτὸν ὄψον πᾶν, ὄλβον ἅπαντα, ὅσος τε ἰδιώταις ᾠκειῶτο καὶ ὅσος θεῷ ἀφιέρωτο, ἔγνω δεῖν καὶ αὐτοῦ τοῦ Ἀκροκορίνθου πειραθῆναι, καὶ τοῦτον, εἰ οἷόν τε, ἐξελεῖν. ἔστι δὲ ὁ Ἀκροκόρινθος τῆς μὲν πάλαι πόλεως Κορίνθου ἀκρόπολις, νυνὶ δὲ φρούριον ὀχυρόν, αὐτὸ δὲ ὄρος ὑψηλόν, εἰς ὀξεῖαν τελευτῶν κορυφήν, αὕτη δὲ εἰς τραπεζῶδες χωρίον ἀποτελευτῶσα ἐπίπεδον, τετειχισμένον ἀσφαλῶς. ἔνδοθεν δέ εἰσι ποτίμου ὕδατος καὶ διαυγοῦς οὐκ ὀλίγα φρεάτια καὶ ἡ Πειρήνη κρήνη, ἧς ἐν ῥαψῳδίᾳ Ὅμηρος μέμνηται. ἀσφαλῆ δ' οὕτω καὶ ἀνεπιχείρητον ὄντα τὸν Ἀκροκόρινθον (καὶ φύσις γὰρ καὶ θέσις τοῦ τόπου καὶ περίβολος ἀρραγὴς συνδραμόντα δυσάλωτον ἢ ἀνάλωτον αὐτὸν ἀπειρ-
B γάσαντο) οἱ Σικελοὶ ἀπονητὶ τὸ πλεῖον εἰσῄεσαν, βραχὺν ἀναλωκότες καιρὸν εἰς τὴν παράστασιν τοῦ ἐρύματος. καὶ καινὸν οὐδὲν τὸ συμβάν, οὐδὲ θαυμάζεσθαι ἄξιον· οὐ γὰρ ἐπήρκεσεν ἂν αὐτὸ ἑαυτῷ τὸ φρούριον, κἂν ἦν ἀπροσμάχητον καθ' αὐτό, οὐδὲ τοὺς ἐπιόντας ἐχθροὺς ἀπετρέψατο μὴ ἔνδον ἔχον φρουροὺς καὶ τὸ φυλακικὸν ἀξιόμαχον. ἀλλ' εἶχε μὲν ἀριθμῷ καὶ τούτους πολλούς, εἰς ἄνδρα δ' οὐδένα συνελει-

12. αὕτη] ἐπάνωθεν δὲ τῆς κορυφῆς ἔχων κάμπον ὀλίγον τετράγωνον B. 19. οἱ σικελοὶ φράγγοι ἀπ. B.

Isthmo sitam, duobusque commodissimis ad exportationem et importationem ac commutationem mercium portubus nobilem; in quorum alterum ex Asia, alterum ex Italia appellitur. cum autem mercatum, quae inferior urbs est, vacuum reperisset, Acrocorinthum etiam (omnes enim esculenta omnia, omnes opes sive sacras sive profanas eo contulerant) tentandum censuit, et si fieri posset, expugnandum. fuit autem Acrocorinthus veteris urbis arx, nunc vero castellum munitum est, monti alto impositum in acutum cacumen fastigiato, ipsum vero fastigium planitiem habet mensae forma, firmis moenibus circumdatum. intus non pauci sunt aquae pellucidae et potabilis puteoli, et fons Pirene, cuius etiam Homerus in Odyssea meminit. id castellum, quamvis et natura et manu adeo munitum, adeo tutum ac pene inexpugnabile, Siculi Franci citra laborem fere sunt ingressi, exiguo tempore ad deditionem coactum. neque vero novum hoc est aut mirandum: nene enim ipsum castellum sine iusto praesidio se ipsum defendere

φομένους ἀγαθὸν πρὸς φύλακα πόλεως· οἵ τε γὰρ ἐκ βασιλέως ἔνδον προσέμενον μετὰ τοῦ σφῶν ἀρχηγοῦ (ἦν δ' οὗτος ὁ Χαλούφης Νικηφόρος) καὶ τῶν Κορινθίων οἱ προύχοντες, καὶ τῶν πέριξ κωμοπόλεων οὐ βραχεῖαι μοῖραι ὡς εἰς καιριωτάτην τοῦ πολέμου ἀλεωρὴν εἰσεληλύθασι τὸν Ἀκροκόρινθον. ὁ τοίνυν τριηράρχης ἔνδον τοῦ φρουρίου γενόμενος, C καὶ τὴν φύσιν τούτου κατασκεψάμενος ἁπανταχόθεν οὖσαν ἀνεπιχείρητον, σὺν θεῷ πολεμῆσαι ἔφη καὶ θεὸν εἶναι τὸν τοιοῦτον αὐτῷ χῶρον κατασχεῖν παρασχόμενον, κακῶς φάσκων τοὺς ἔνδον καὶ πλύνων ὀνείδεσιν ὡς ἀγεννεῖς τὰ πολέμια, μάλιστα δὲ τὸν Χαλούφην, ὃν καὶ γυναικὸς ὠνόμαζε μαλακώτερον μηδὲν ἐπισταμένης πλέον τῆς ταλασιουργοῦ γυναικωνίτιδος. ὡς δὲ καὶ τὸν ἐκεῖσε πλοῦτον ἐνέθετο ταῖς τριήρεσι καὶ τοὺς γένει λαμπροτάτους τῶν Κορινθίων ἐδουλαγώγησεν, ἐξῃχμαλώτισε δὲ καὶ τῶν γυναικῶν ὅσαι κάλλισταί τε καὶ βαθύκολποι, μηδ' αὐτῆς τῆς εἰκόνος τοῦ ἐν μάρτυσι μεγίστου καὶ διαβοήτου ἐν θαύμασι Θεοδώρου τοῦ στρατηλάτου D ἀποσχόμενος, ἀλλὰ καὶ ταύτην τῷ αὐτοῦ τεμένει ἀνακειμένην ἀνελόμενος, οὐρίῳ καὶ φορῷ χρησάμενος ἀνήγετο πνεύματι, ὡς εἶχε, καὶ τὴν τῶν Κερκυραίων ἄκραν ἐν τῷ διάπλῳ πρὸς τὸ ἀσφαλέστερον καταστησάμενος, ὅτε καὶ τὰς Σικελιώτιδας τριήρεις ἰδών τις εἶπεν ἂν σκοπιμώτατα μὴ νῆας εἶναι πειρατικὰς ἀλλὰ μυριοφόρους φορταγωγούς, πολλῶν καὶ κα-

2. μετὰ τῆς κεφαλῆς αὐτῶν σαλουφη νικηφόρου B. 5. εἰσελθόντες οὐδὲν ἐμάχοντο B. 11. σαλούφην B. 12. ταλασιουργοῦ] ἀναλυούσης ἀτράκτια B. 22. τριήρεις] κατάφορτα καὶ γομάτα τὰ κάτεργα αὐτῶν μέχρι καὶ τῶν σκαρμῶν αὐτῶν. B.

aut hostes propulsare potuit: quamvis enim multi custodes in eo essent, nullus tamen inter illos fuit vir fortis, cui recte civitatis custodia crederetur. nam imperatorii milites cum suo duce Nicephoro Chalupho et Corinthiorum proceres ibi desidebant; et ex vicinis oppidis non pauci eo tanquam in certissimum asylum se receperant. classis autem praefectus, munitione potitus, eiusque natura considerata, ad quam oppugnandam nusquam pateret aditus, „deo duce" inquit „pugnavimus: deus nobis hunc locum occupandum praebuit." eos vero qui intus erant derisit et ut imbelles exagitavit, Chaluphem in primis ut femina molliorem et ad colum et lanam tractandam aptiorem. illius quoque loci opibus in triremes impositis, Corinthiorum nobilissimos et matronas fortissimas et ditissimas in servitutem abduxit. ac ne Theodori quidem martyris miraculis clari imagine abstinuit: sed ea quoque ex templo abrepta, secunda navigatione usus in reditu Corcyraeorum arcem firmavit. tum si quis Siculas triremes multis pulchris rebus onustas et ad summum usque remigium

λῶν χρημάτων οὔσας ὑπερβριθεῖς καὶ τῆς ἄνω εἰρεσίας ἐγ-
γύς που βαπτομένας τῷ ῥεύματι.

2. Ταῦτά τε οὖν ἐν ὠσὶν ἔνηχα ὄντα ἐλύπει τὸν αὐ-
τοκράτορα Μανουήλ, καὶ κατὰ Δία ἐποίει τὸν Ὁμηρικὸν ἀτε-
χνῶς, συχνὰ τὸ ποιητέον ταῖς φρεσὶ μερμηρίζοντα, ἢ τὸν
Νεοκλέους Θεμιστοκλῆν, ἀεὶ ἐπὶ συννοίας ὁρώμενον καὶ ἀΰ-
πνους νύκτας ἰαύοντα καὶ πρὸς τοὺς πυνθανομένους ἀποκρι-
νόμενον ὡς καθεύδειν οὐκ ἐῴη Μιλτιάδου τὸ τρόπαιον. ξυν-
εκάλει τοίνυν εἰς τὴν τοῦ γενησομένου βουλὴν πάντα τὸν
P. 52 τακτικῶν ἐπιστήμονα καὶ δημηγόρον εἰδότα λέγειν τῶν νιφά-
δων πυκνότερον. μία οὖν ἐκ πολλῶν ἀρίστη δέδοκτο βουλὴ
καὶ τῷ αὐτοκράτορι ἐπεψήφιστο, μετελεύσεσθαι πολέμῳ τοὺς
Σικελοὺς κατά τε ξηρὰν συγκροτηθέντι κατά τε θάλασσαν,
ὅτι καὶ ὁ ἀγὼν οὐδαμῶς τὰς ἐλπίδας ἀγαθὰς ὑπετείνετο, οὐδ'
ὑπέβαλλε βραχέα τὰ προσιστάμενα, μέγιστος ἀναφαινόμενος
καὶ τοῖς πάλαι ἀπειρημένος Ῥωμαίων ἄναξι. συλλέγεται οὖν
τὰ ἑῷα καὶ ἑσπέρια τάγματα. αἱ μὲν ἐπισκευάζονται τῶν
τριηρέων, αἱ δὲ νεωστὶ πήγνυνται, καὶ πρὸς τὸν πλοῦν ἀρ-
τίωσιν δέχονται. αἱ πυρφόροι τὸ ὑγρὸν εἰσδέχονται πῦρ τὸ
τέως ἠρεμοῦν ἀδιέκχυτον. ἀθροίζονται πεντηκόντοροι, ἀγεί-
ρονται μυοπάρωνες. αἱ ἱππαγωγοὶ ἀσφαλτοῦνται, αἱ φορτα-
B γωγοὶ πληροῦνται τῶν ἐδωδίμων, οἱ ἐπακτροκέλητες εὐτρε-
V. 41 πίζονται. πάντα δὲ τὰ σκάφη τοῖς ἱστίοις πτερωθέντα ἐκ
τῆς ᾐόνος ἀνάγονται, ἐφ' ἧς ἦσαν σαλεύοντα. συγκεκρότητο
γοῦν ὁ στόλος ἀγχοῦ που τῶν χιλίων πλοίων, αἱ δὲ πεζικαὶ
δυνάμεις ἐς μυριάδας ἠθροίσθησαν. ἔφριξαν ἂν καὶ Γίγαν-

1. καὶ] οἷα καὶ A. 3. τε] μὲν A. 5. συχνὰ] διαπαντὸς A. μερμηρίζοντα] σκεπτόμενον A. 11. πολλῶν] πάντων ὡς A. 14. ὅτι] εἰ malim cum B.

depressas vidisset, rectissime dixisset non naves esse piraticas sed onerarias, mercium omne genus vehentes.

2. Quo nuntio turbatus Manuel imperator non secus ac Homericus ille Iupiter, aut Themistocles insomnes noctes ob Miltiadis tropaeum agens, sollicite quid agendum esset animo agitabat. igitur viris et rei militaris peritis et eloquentia claris accersitis, unum e multis consilium approbavit, Siculos terra marique bello petendos, eoque maiore apparatu, quod id bellum spe non optima niteretur et multa impedimenta habiturum videretur, quippe de quo ex sententia conficiendo veteres quoque imperatores desperassent. convocantur Orientales et Occidentales legiones; triremes partim reficiuntur, partim novae aedificantur. in certas ignis graecus imponitur, qui longo iam tempore abditus latuerat. omnis generis navigia circiter mille tam ad

τις, ἀκμάζουσαν, τοιαύτην παρεμβολήν, ἐπεὶ καὶ εὐανδροῦσα ἦν ἡ Ῥωμαίων πᾶσα τὸ τότε καιροῦ καὶ τρέφουσα ἄνδρας ἡρωϊκὴν ἐνδεικνυμένους ἀλκήν, καὶ τὸ ὁπλιτικὸν οὐκ ἦν ἀγεννὲς ἀλλὰ τὴν ὁρμὴν λεοντῶδες καὶ ἀνυπόστατον. ὁ γὰρ βασιλεύτατος τῷ ὄντι καὶ στρατηγικώτατος Ἰωάννης, ὁ τοῦ Μανουὴλ τοκεύς, οὐδὲ τἆλλα μὲν ἐσχεδίαζεν ὅσα κοινὴν εἰσέφερε λυσιτέλειαν, τῶν δὲ στρατιωτικῶν καταλόγων διαφερόντως ἐφρόντιζε μάλιστα, συχνοῖς τε πιαίνων φιλοδωρήμα- C σι, καὶ ταῖς καθ' ὥραν γυμνασίαις ὑπαλείφων πρὸς ἔργα πολέμια. οὕτω τοίνυν, καὶ ὡς ᾤετο, καλῶς τὰ κατὰ τὸν Σικελικὸν πόλεμον παρασκευασάμενος ἀνάγεσθαι μὲν κελεύει τὸν στόλον τοῖς ἐρέταις καὶ κελευσταῖς λύσασι τὰ καρχήσια, μέγαν δοῦκαν προβαλόμενος τὸν ἐπ' ἀδελφῇ γαμβρὸν τὸν Κοντοστέφανον Στέφανον, ἀπαίρειν δὲ καὶ τὴν πεζὴν στρατιὰν ὑπ' ἀρχηγοῖς ἑτέροις, ἀλλὰ δὴ καὶ Ἰωάννῃ τῷ Ἀξούχῳ τῷ μεγάλῳ δομεστίκῳ, περὶ οὗ φθάσαντες ἐν πλείστοις παρεδηλώσαμεν. εἶχε τοίνυν τὰς τριήρεις ἡ τῶν Φαιάκων πάραλος, ἣν καὶ διαμερίζονται πρὸς ἐνόρμισιν αἵ τε τῶν Βενετίκων συμμαχίδες νῆες καὶ αἱ Ῥωμαϊκαὶ αὐταί, ἵν' εἶεν οὕτως οἱ ναύσταθμοι τοῖς γένεσιν ἀμφοτέροις ἄμικτοι καὶ τῶν ἐκ τῆς ἀναμὶξ ἀναστροφῆς ἄγευστοι διαφορῶν. μετὰ βραχὺ D δὲ καὶ βασιλεὺς αὐτὸς ἔξεισι μετὰ τῆς στρατιᾶς. ἐξ ἐφόδου δὲ τοὺς Σκύθας διαθροήσας, οἳ τὸν Ἴστρον διαβάντες τὰ περὶ

4. βασιλεύτατος] ἀληθῶς βασιλεὺς B. 14. Στέφανον om A. 15. ἀξοὺχ B. τῷ Ἀξούχῳ om A. 17. εἶχε] φθάσας γοῦν ὁ στόλος περὶ τὸ μόλιβον ἐν γῇ μιτυλήνης διαμερίζονται τὰ τῶν βενετίκων κάτεργα εἰς λιμένα ἴδιον τὰ εἰς συμμαχίαν ἐλθόντα B. 18. Βενετίκων] οὐετανῶν A. 19. αὐταί] ὁμοίως A. 23. τοὺς Σ.] τοὺς κομάνους τοὺς τὸν ποταμὸν περαιοῦντας τὸν δάνουβιν καὶ περὶ τὴν ζαγορὰν κουρσεύοντας B.

viros et equos quam ad commeatum vehendum contrahuntur et in mare deducuntur. sunt et pedestres copiae ex omni imperio conscriptae, armis viribus atque animis florentissimae, et hostibus merito formidabiles. nam Iohannes Manuelis pater, optimus et bellicosissimus imperator, nec caeteris in rebus quae ad publicam utilitatem spectarent negligens, et in catalogos militum in primis intentus fuit; eosque tum congiariis liberalibus excitavit, tum bellicis exercitationibus firmavit. sic igitur optime ad bellum Siculum, ut putabat, instructus, Stephano Contostephano sororio magno duce designato, classem iubet solvere; pedites quoque praeter caeteros duces Iohanne Axucho magno domestico adiuncto, cuius supra saepe mentionem fecimus, ablegat. triremes ad Phaeacum littus appulsae ita distributae sunt, ut et Romanae et Venetorum sociae seorsim stationes haberent, ne ex promiscuo congressu contentiones orirentur. paulo post

τὸν Αἷμον ἐσίνοντο, ἄρας ἐκ τῆς Φιλίππου τὴν εὐθὺ Κερκύρας ἐβάδιζεν. ἔστι δὲ ἡ Κερκυραίων ἄκρα αἰγίλιψ πᾶσα καὶ ἀγχινεφής, ἑλικοειδὴς τὴν θέσιν καὶ ὑψικόρυμβος, προσνενευκυῖα ἐς τὸ βάθιστον τῆς θαλάσσης. πέτραι δὲ περιερρώγεσαν αὐτὴν ἀμφίκρημνοι καὶ ἀπότομοι, τὸ δ' ὕψος ὑπὲρ τὴν ᾀδομένην ἄορνον. τείχη δὲ ἀρραγῆ τὴν πόλιν περιείληφε πᾶσαν, καὶ πύργων περιεστᾶσιν ὑψώματα, ἃ καὶ ποιοῦσι τὴν ταύτης παραλογωτέραν ἅλωσιν. αἱ μὲν δὴ ναυτικαὶ δυνάμεις τὴν ἄκραν περιστεψάμεναι παγχάλκοις περιεῖλον ὅπλοις· πρὸ δὲ τοῦ πολέμῳ ἐπιβαλεῖν ἔγνω δεῖν ὁ βασιλεὺς δι' ὁμογλώττων καὶ ὁμοφώνων πειραθῆναι τῶν ἔνδον, εἴ πως ὑπεκσταῖεν
P. 53 αὐτῷ τοῦ φρουρίου ἀμαχητί. ὡς δὲ τῶν λεγομένων ἀκουοὶ γεγονότες οὐδ' ὅλως ὑπενεδίδοσαν ἀλλὰ τέλεον ἀπηναίνοντο, καὶ τὰς πύλας δὲ ἐπικλεισάμενοι καὶ ὀχεῦσιν αὐτὰς ἀσφαλισάμενοι, φραξάμενοί τε ὡς εἶχον τὰ τείχη τοξόταις καὶ ζαγκράτορσι, καὶ παντοίοις μηχανήμασι περιστέψαντες, δῆλοι ἦσαν ἀκροβολιζόμενοι, τότε καὶ βασιλεὺς ἐφῆκε τοῖς τάγμασι τὰ ὅμοια δρᾶν καὶ παντοίως ἀμύνεσθαι τὸ ἀντίπαλον. ἐντεῦθεν Ῥωμαῖοι μὲν ὅσα καὶ εἰς οὐρανὸν ἠκόντιζον βέλεμνα, οἱ δ' ὡς νιφετὸν κατέχεον τὰ τοξεύματα. καὶ οἱ μὲν τοὺς ἐξ ἀφετηρίων λίθους ἱεμένους ἀνώθουν, ἢ ἀνήρειπτον εἰπεῖν οἰκειότερον, οἱ δὲ χαλαζηδὸν αὐτοὺς ἐπηφίεσαν, ὡς
B συμβαίνειν τοὺς μὲν ὡς ἐξ ὑπερδεξίων καὶ ἀφ' ὕψους βάλλοντας ἀπονητὶ καὶ ἐνεργὰ ἐπαφιέναι τὰ βέλεμνα, τοὺς δὲ

1. Κερκύρας] τῶν κεφαλήνων A. 3. ἑλικοειδὴς] ὁλοστρόγγυλος ἐπάνω βράχων κειμένη B 15. καὶ ζαγκ.] τζαγράτορας καὶ ξύλα πολεμικὰ στήσαντες B. 24. βέλεμνα] βαλλόμενα A.

et ipse imperator cum exercitu egreditur; et Scythis primo congressu profligatis, qui Istro superato loca Haemo monti vicina populabantur, relicta Philippopoli recta ad Corcyram pergit. cuius insulae promontorium altissimum in nubes assurgit, anfractibus inflexum et in mare profundissimum prominens praeruptis petris septum: tota urbs moenibus firmissimis circumdata atque altissimis turribus ordinata est; quo mirabilior fuit eius expugnatio. ac navales copiae corona promontorium cingentes ferro totae collucebant. sed ante oppugnationem imperator per eius linguae peritos hostium animos periclitandos censuit, an citra pugnam castello vellent cedere: qui cum eius postulatis reiectis, portisque clausis ac vectibus firmatis, et sagitariis funditoribus et omnis generis machinis in moenibus dispositis, pugnam cierent, tum suis quoque legionibus idem facere et quovis modo ulcisci hostes iussit. ex eo Romani tela velut in caelum eiaculantur, hostes vero sagittas tanquam nivem deiiciunt. illi saxa tormentis vi adigere in altum conantur, hi grandinis instar saxa

ὡς ἀπὸ γῆς μαχομένους πρὸς τοὺς ἐν τῇ τῆς ἄκρας ὑπερβολῇ βραχέα ἢ οὐδὲν τὸ ἀντιπῖπτον λυπεῖν. ὡς δὲ πάλιν καὶ πάλιν τὰ αὐτὰ καὶ ἐπὶ πολὺ δρώμενα Ῥωμαίοις μὲν οὐκ ἦν ἐς ἐντελὲς ἀνύσιμα, εἰς δὲ θάνατον μάλιστα βλέποντα, τοῖς δ' ἐντὸς ὡς ἀπαθέσιν οὖσιν ἀσπάσια, καινότερον ἀεί τι παρὰ τῶν κακῶς πασχόντων Ῥωμαίων προσεφευρίσκετο, φιλοτιμουμένων ἐπ' ὄψεσι βασιλέως καὶ ἔργα χειρὸς ἀκμαίας ἐνδεικνυμένων καὶ καρτερίαν ἐν τοῖς δεινοῖς, ἔτι δὲ μεθόδους ἐν τοῖς ἀπόροις πολλὴν βαθυγνωμοσύνην ἐκείνων κατηγορούσας καὶ ἐμπειρίαν τῶν τακτικῶν. ἀλλ' ἠλέγχοντο τῶν ἀνεφίκτων ἐρῶντες καὶ C τοῖς ἀνηνύτοις ἐγχειροῦντες παντάπασι διακενῆς, καὶ [illegible] πρὸς χάριν καὶ εὐκτέα δρῶντες μᾶλλον τοῖς πολεμίοις, οἷς ἄντικρυς ὡς πρὸς οὐρανὸν αὐτὸν διεφέροντο, ἢ γοῦν ἀεροβάμοσι διημιλλῶντο πτηνοῖς τὰς καλιὰς πηξαμένοις ἐπί τινος σκοπιᾶς, V. 42 καὶ ἐπετόξευον νέφεσι. τέλος δὲ καὶ αὐτὸς ὁ μέγας προσαπόλλυται δούξ, λιθιδίῳ κατὰ τοῦ κενεῶνος πέτρας ἀπορραγέντι βληθείς, ἥνπερ ἐπαφῆκεν ὑψόθεν ἀφετήριον ὄργανον.

Καὶ ὁ μὲν ἔκειτο ὀλιγοδρανέων κάρη βάλλων θ' ἑτέρωσε, μετὰ μικρὸν δὲ καὶ ἐξ ἀνθρώπων ἐντεῦθεν ἐγένετο· (3) Πέρας δὲ ἡ ἐπ' αὐτῷ πρόῤῥησις εἴληφε τοῦ πατριάρχου Κοσμᾶ τοῦ Ἀττικοῦ, ὃς μετὰ τὸν Ὀξείτην Μιχαὴλ τοὺς τῆς ἐκκλησίας ἐγχειρίζεται οἴακας, D ὑπεκστάντα τῆς ὑπερτάτης τῷ βουλομένῳ καθέδρας καὶ πρὸς τὴν νῆσον τὴν Ὀξεῖαν ἀποφοιτήσαντα, καθ' ἣν τὸν ἄσκευον βίον καὶ ἀπέριττον ἐκ παιδὸς

11. ἐπιχειροῦντες A. 14. ἐπί τινος σκ.] ἐν ὑψηλοτάτῃ σκοπιᾷ A. 16. λιθιδίῳ] τμήματι A. 21. Ἀττικοῦ] αἰγινήτου B.

deiiciunt; quorum tela ut ex superiore loco citra laborem missa, efficacia erant, cum Romanorum telis ex inferiore loc[illegible] aut nihil aut parum admodum laederentur. quae cum crebrius repetita Romanis praesens exitium denuntiarent, obsessis vero sine ullo incommodo optabilia essent, Romani cladibus excitati subinde novi aliquid in conspectu imperatoris excogitant, fortia facinora edunt, tolerantiam aerumnarum declarant, rationibus in re dubia inventis, unde quanta calliditate et rei militaris usu valerent elucebat. verum illa omnia frustra erant, et vani conatus earum rerum quae fieri non poterant. imo gratissimam rem hostibus et optabilem plane faciebant, haud secus ac si caelum oppugnarent, aut nidos avium in sublimi specula positos ipsasve nubes sagittis peterent.

Tandem ipse quoque magnus dux fragmine saxi machina excussi lumbos ictus, et semianimis caput iactans, vulneri non diu superstes mansit. (3) Ita praedictio Cosmae Attici patriarchae, qui Michaeli Oxitae successit, eventu comprobata est. is Michael summa sede ultro cessit et in Oxiam insulam rediit, in qua vitae inopis et simpli-

ἐπανήρητο· ἔνθα καὶ τὸν οἰκεῖον ἀποδοχμώσας αὐχένα πρὸς τῇ εἰσόδῳ τοῦ προνάου πατεῖν παρεῖχε τῷ εἰσιόντι παντὶ μοναχῷ, λέγων ἀξυμφόρως ἑαυτῷ τὴν ἡλικιῶτιδα καὶ φίλην ἡσυχίαν παρώσασθαι καὶ ἐπ' οὐδενὶ ξυνοίσοντι τὸν θρόνον ἀναβῆναι τὸν ὑπερύψηλον. ὁ δὲ Κοσμᾶς ἦν μὲν τοῖς διακόνοις ἐναρίθμιος, εἶχε δὲ πατρίδα τὴν Αἴγιναν, σοφίας δ' ἁπάσης μεταλαχὼν ἐκ τοῦ τῶν ἀρετῶν ὁρμαθοῦ πλέον ηὔχει τοὐπίσημον. μάλιστα δὲ τῷ πολλῷ τῆς ἐλεημοσύνης ἐκέκαστο, ἥτις ὡς ἐν περιδερραίῳ κόσμῳ πολυτελεῖ προσπεπηγυῖα τῇ ποικιλίᾳ τῶν ἀρετῶν δίκην ἀκτινώδους λίθου ἐπάμφαινεν· οὕτω γὰρ τὸν εἰς ἀνθρώπους ἔλεον ἔρρωτο ὡς καὶ τὸν ἐπεν-
P. 54 δύτην αὐτὸν καὶ τὸν χιτῶνα ἑαυτοῦ τοῦ σώματος καὶ τὴν ὀθονοσκεπῆ καλύπτραν τῆς κεφαλῆς διαδιδόναι πένησι, καὶ πράγματα παρέχειν τοῖς ἀφ' ἑστίας μὴ διψῶσι μόνον αὐτὰ ἀλλὰ καὶ πρὸς εὐπορίαν ἄλλων τυρβαζομένοις. διὰ ταῦτα καὶ παρὰ πᾶσι μὲν ἦν αἰδέσιμος ὁ ἀνήρ· ὁ δὲ σεβαστοκράτωρ Ἰσαάκιος ὁ τοῦ βασιλέως Μανουὴλ αὐτόαιμος μόνον οὐκ ἐπέθυεν ὡς θεῷ, ἐκεῖνο θεοφιλὲς καὶ πρακτέον οἰόμενος ὅπερ ἦν ὁ πατριάρχης ὑποτιθέμενος, κἀκεῖνο αὖθις θεομισὲς καὶ ἀπώμοτον ὅπερ οὑτοσὶ ἀπηγόρευεν. ἡ γοῦν φατρία τῶν τότε ἀντιδόξων τῆς ἀρετῆς ἀρχιερέων καὶ τοῦ ἱερωτάτου τούτου ἀντίθετος μοῖρα ἐνδιαβάλλουσι τὸν ἄνδρα τῷ βασιλεῖ ὡς τῷ ἀδελφῷ Ἰσαακίῳ τὴν βασιλείαν μνώμενον, λαθραίας
B τὰς προόπτους εἰς τὸ ἱερὸν ἀρχεῖον ἀνόδους τοῦ σεβαστοκρά-

7. μετασχὼν A. 17. αὐτόαιμος] ἀρθόμαιμος A. 20. φατρία] πλῆθος B. 22. ἐνδ. τούτῳ παρὰ τῷ A.

cis institutum a puero fuerat amplexus. ibi in templi vestibulo prostratus cuivis monacho collum calcandum praebuit, quod contra quam sibi expediret, adamatam a primis annis quietem repudiasset nulloque cum fructu thronum sublimem conscendisset. Cosmas vero tum in numero diaconorum erat, patria Aegineta, et quamvis eruditissimus, virtutum tamen choro erat illustrior, in primis benignitate erga pauperes insignis; quae tanquam in pretioso monili gemma radians, sic ipsa inter virtutes reliquas elucebat, adeo ut aliquando pallium et tunicam et lineam calyptram capitis pauperibus misericordia motus distribueret, nec de suo tantum largiretur, sed alios etiam ut pauperum inopiae subvenirent impelleret. his de causis ille vir omnibus erat venerabilis. Isaacius vero Manuelis frater sebastocrator ei tantum non immolabat, id deo gratum et faciendum iudicans, quod patriarcha monebat, contra vero invisum deo et abominandum, quod is vetabat. at factio pontificum virtutis inimicorum et huic sanctissimi viri instituto adversantium eum apud imperatorem deferunt, quasi Isaacio fratri regnum conciliare studeret: manifestos il-

τορος ὀνομάζοντες, καὶ κρυφιώδεις σνσκευὰς τὰ οὐκ ἐν μυχῷ γῆς καὶ παραβύστῳ ἀλλ' ἐφ' ἡλίῳ συλλαλούμενα μάρτυρι. ὁ τοίνυν Μανουὴλ νέος ὢν ἔτι καὶ αὐτάρεσκος, καὶ ἄλλως ὑποβλέπεσθαι τὸν ἀδελφὸν ὑπὸ τῶν τοῦ πατριάρχου κατηγόρων ὡς βασιλειῶντα ἐναγόμενος, ἀνατρέψαι τοῦτον τοῦ θρόνου ἐζήτει. κἀπειδὴ ἅπτεται μῶμος καὶ τῶν ἀψαύστων, ὡς οἴδαμεν, καὶ ἅπας, ὡς καὶ τοῦτο ἴσμεν, εἰς τὸ κακόν τι δρᾶν προσκλινέστερος, καθαιρέσει καθυποβάλλεται ὡς συναιρετίζων μοναχῷ τινὶ Νήφωνι. ἦν δὲ ὁ Νήφων συνήθης μὲν τῷ πατριάρχῃ καὶ πολλάκις ἐκ τῆς αὐτοῦ τραπέζης ἑστιαθεὶς καὶ C στέγης ὁμοίως μετειληχώς, διεβέβλητο δὲ ὡς οὐκ ὀρθὸς εἴη τὰ ἐς πίστιν, καὶ τὴν σχοινοτενῆ γένυν ἐκέκαρτο καὶ δεσμωτηρίῳ ἐνείρχθη παρὰ τοῦ πατριάρχου Μιχαήλ. ἦν οὖν ὁ Κοσμᾶς δι' αὐτὸν ὑπ' αἰτίαν ὡς ὁμόφρων τε καὶ ὁμόδοξος, καὶ οἱ ἀντίδοξοι τῷ Κοσμᾷ εὐπροσώπου ταύτης ἀφορμῆς λαβόμενοι κατέτρεχον ἤδη καὶ λαμπρῶς ἐπέκειντο, κατὰ κράτος αἱρήσειν καὶ ὅλαις καθελεῖν ψήφοις αὐτὸν ἐπειγόμενοι. κρινόμενος οὖν, ἢ μᾶλλον κατακρινόμενος, καὶ ἃ οὐκ ἐγίνωσκεν ἐρωτώμενος, καὶ διὰ ταῦτα τοῦ θρόνου ἐξοστρακιζόμενος, ζήλου πίμπλαται, καὶ τὸ συνέδριον ἐκεῖνο περισκεψάμενος τῇ μὲν μήτρᾳ τῆς βασιλίδος ἐπιτιμᾷ μὴ παῖδα τεκεῖν D ἄρρενα, ἀφορίζει δὲ καὶ τῶν περὶ τὸν βασιλέα τινὰς καὶ τὴν τότε συνελθοῦσαν εἰς αὐτοῦ καθαίρεσιν σύνοδον ὡς βα- V.43

9. νίφωνι AB. 11. ὡς οὐκ ὀρθ.] ὡς βογόμιλος B. 12. καὶ] διὰ γοῦν τοῦτο A. ἐκέκαρτο] πρότερον κουρεύσας καὶ πομπεύσας αὐτόν B. 23. παράλογον σύνοδον B.

lius in sacrum palatium ingressus ut clandestinos, et quae palam colloquebantur, tanquam occultas conspirationes calumniantur. Manuel igitur, ut ambitiosus adolescens, cui facile a patriarchae accusatoribus persuadebatur fratrem regnum affectare, hunc throno deturbare cupiebat. et quia nihil tam sanctum est quod calumnia tentare non audeat, et omnes ad nocendum procliviores esse constat, de successore ei dando agitur, per causam quod cum Nephone quodam monacho perperam sentiret. erat is monachus ei familiaris, et saepe mensa eius iisdemque aedibus utebatur. crimini autem ei dabatur prava opinio, et rasa erat in longum maxilla, et a patriarcha Michaele in carcerem coniectus fuerat. itaque Cosmas etiam ut sectator eius et suffragator in crimen venerat. qua speciosa calumnia freti adversarii patriarcham aperte incursabant, et vi superare ac in ordinem cogere manifestis suffragiis nitebantur. proinde in iudicium adductus, ac potius praeiudicio condemnatus, cum ea rogaretur quae ignorabat, ob eaque per ostracismum quendam pelleretur, indignatione plenus imperatricis uterum execratur, ne mares liberos p

σιλείους θύρας ἐκτρίβουσαν καὶ πρόσωπα λαμβάνουσαν, κἀκ
τούτου μὴ κανονικῶς ἀλλ' ἀθέσμως καὶ θρόνου καὶ ποίμνης
αὐτὸν ἀπελαύνουσαν. τότε τοίνυν ὁ Κοντοστέφανος εἷς ὢν
τῶν κυκλούντων θρόνον τὸν ἀνακτορικόν, τῶν ἐγγιζόντων τε
βασιλεῖ καὶ προσδιαλεγομένων θαρραλεώτερον, δεινὰ πάσχοντι ἐῴκει διὰ τὴν τῆς δεσποινικῆς νηδύος ἐπιτίμησιν, καὶ
τὸν ζηλωτὴν ἐπὶ τούτοις ὑπὲρ τοὺς παρεστῶτας πάντας
παρακαιρίως ὑποκρινάμενος ἐφίσταται τῷ πατριάρχῃ βράτ-
P. 55 των θυμῷ καὶ πὺξ πατάξαι τοῦτον διανοούμενος, κἂν ἐπέσχεν ἑαυτὸν τῆς ὁρμῆς. τοῦτο δὲ οὔτε τῷ βασιλεῖ ἐχέφρονος ἔργον ἔδοξε, καὶ ἔδειξεν, οἷς ἠγανάκτησε, βαρέως ἐνεγκὼν τὸ γενόμενον· καὶ οἱ καθ' αἷμα δὲ τῷ βασιλεῖ συναπτόμενοι καὶ τὸ ξυμπαρεστὸς γερούσιον ὡς ἀνόσια δρῶντι
τῷ Κοντοστεφάνῳ ἐπέπληττον, μήτε μὴν πεφρικότι τὴν εὐρὺ μάλα τοῖς τὰ τοιαῦτα παρανομοῦσιν ἐπιχαίνουσαν γῆν.
αὐτὸς δὲ ὁ πατριάρχης πραείᾳ οὑτωσί πως ἔφησε τῇ φωνῇ
„ἄφετε αὐτόν, ὅσον οὔπω τὴν οἰκείαν πετραίαν ληψόμενον,"
τὸν ἐκείνου μόρον ὅτῳ ξυμβαίη τρόπῳ γριφολογῶν ὧδε καὶ
αἰνιττόμενος. εἰ δὲ καὶ ἡ βασιλὶς διὰ ταυτηνὶ τὴν ἐπιτίμησιν τοῦ πατρὸς οὐκ ἤκουσε παιδὸς μήτηρ ἄρρενος, τοῦ θε-
B οῦ τιμῶντος τὸν αὐτοῦ θεράποντα καὶ θηλυτεκοῦσαν ἐκτελοῦντος καθ' ὅλον τὸν ταύτης βίοτον, αὐτὸς μὲν σαφῶς οὐκ
ἴσημι· ὅγε μὴν βασιλεὺς εὐγνωμονῶν, ὡς ἔδειξε, καὶ τῷ
ἔνδον καὶ οἰκείῳ κριτηρίῳ πληττόμενος, οἷς ἄνδρα δίκαιον

at, et ex proceribus quosdam censura ecclesiastica notat; et concilium eiiciendi sui causa indictum, ut quod palatii fores frequentaret et personarum rationem haberet, seque per iniuriam et contra instituta maiorum sede et grege pelleret, insectatus est. Contostephanus autem, unus ex iis qui sellam imperatoris circumsistunt et familiarius cum eo colloquuntur, aegerrime ferre se herilis uteri execrationem ostendebat; et simulata ingenti prae caeteris omnibus indignatione, ira aestuans patriarcham aggreditur quasi alapam impacturus, quanquam ab eo sibi temperavit. id nec imperatori cordati hominis factum esse visum; quod suum iudicium iracundia declaravit; et consanguinei imperatorii et senatus Contostephani facinus nefarium reprehenderunt, qui tellurem vasto ore hominibus adeo iniquis inhiantem non horreret. ipse vero patriarcha leni voce dixit „sinite istum iamiam suam Petraeam accepturum." quibus verbis per ambages innuebat quo mortis genere periturus esset. an vero imperatoris coniunx ob istam patris execrationem mares non pepererit, deo servum suum honorante atque efficiente ut illa per omnem aetatem tantum puellas eniteretur, equidem non satis scio. imperator autem recte sentire visus, cum a sua conscientia argueretur, ob vi-

θεοσεβῆ τε καὶ ἄμεμπτον καὶ μηδέν τι καθαιρέσεως ἄξιον διαπραξάμενον παρέλυσε τῆς ἀρχῆς, αἰτίαν ταύτην, οὐχ ἑτέραν τὴν τῆς υἱοτοκίας διετείνετο στέρησιν.

Πεσόντος δὲ ὡς ἔφημεν τοῦ Κοντοστεφάνου, ὁ μέγας δομέστικος Ἰωάννης τῆς τριηραρχίας ἐπιλαμβάνεται, οὐχ ὥστε καὶ μέγας δοὺξ ὀνομάζεσθαι, ἀλλ' ὅσον τοῦ στόλου ἐξηγεῖσθαι καὶ τοῖς γινομένοις ἐπιστατεῖν ὡς στρατηγίᾳ διαπρέπων ἀνὴρ καὶ κατὰ χεῖρα γενναῖος καὶ νοῦν ἡγεμονίας πλουτῶν ἀξιώτατον. ὁ δὲ βασιλεὺς κατατρίβειν ἐπιεικῶς τὸν C
καιρὸν εἰκῇ ἐν δεινῷ τιθέμενος, καὶ τὰς ἡμέρας εἰς οὐδὲν ἀναλίσκειν οὔκουν βουλόμενος, ὡς ὁ Κεφαλήνων βασιλεὺς Ὀδυσσεὺς τὰς ἡλίου πρότερον βοῦς, εἰς νῆα ἐνέβη τὴν στρατηγίδα, καὶ κύκλῳ τὴν Κερκυραίων πᾶσαν κατωπτευκώς, ᾗ προσβάλοι, ἐπιμελῶς κατεσκέπτετο. ἐς γὰρ μῆνας τρεῖς ἡ πολιορκία παρεξετείνετο, ὅτι μηδ' εἶχε τὴν Ὄσσαν ἀνασπᾶν ἢ τὸν Ἄθων ἐπικυλίνδειν, καὶ ἀνατιθέναι τὰ ὄρη ἐπάλληλα, καὶ τὴν ἄκραν οὕτω ποιεῖν ἁλώσιμον. ταῦτα γὰρ μεγαλουργία μυθικὴ καὶ ἀπίθανος. (4) Ὡς δὲ πάντοθεν ἦν ἀπορούμενος, ἔδοξε κατά τινα φάραγγα εὐέφοδα καὶ προσιτὰ τιθεῖσαν τὰ ἔνδοθεν βαλέσθαι ξυλίνην κλίμακα, ἐς σχῆμα πύργου D
τεκτονηθεῖσαν κύκλοθεν. ἡρμόττοντο οὖν ναυπηγήσιμα ξύλα, καὶ ἱστοὶ μεγάλων νηῶν συνεπήγνυντο, καὶ οἱ μὴ ἐξικνούμενοι τοῦ ὕψους βλῆτρα ἐδέχοντο. ὡς δὲ ἔδει ποτὲ ἀρθῆναι

3. τὴν om A. 16. ἄθω A. 21. ἡρμόττοντο] ἐπελεκοῦντο ξύλα μεγάλα, κατάρτια μεγάλων καραβίων συνηρμόζοντο B. 23. βλῆτρα] προσεκολλῶντο ἐπάνωθεν ἕτερα B.

rum iustum religiosum et criminis expertem istaque ignominia minime dignum solio deturbatum, hanc et non aliam causam esse censuit cur nullos filios procrearet.

Sed Contostephano, ut diximus, occiso magnus domesticus Iohannes praefecturam classis, sine tamen magni ducis cognomento, suscipit, atque omnia administrat ut homo rei militaris peritissimus, et manu promptus et ingenio ad principatum aptissimo. imperator vero frustra se tempus terere aegre ferens, et dies, ut olim Cephalenum rex Ulysses solis boves, frustra consumere nolens, navi conscensa et Corcyra undique perlustrata diligenter considerat qua parte oppugnari posset. nam obsidio tertium mensem iam durabat. neque enim Ossam revellere aut Athon advolvere et montes montibus imponere poterat, quo arcem facilius expugnaret, ut poetica magniloquentia fabulatur. (4) ut vero omni consilio destituebatur, visum est in valle, qua ad interiora facilis patebat aditus, ligneam scalam turris forma in orbem fabrefactam moenibus admovere. proinde trabes nauticae et magni mali coagmentantur; et qui tantae altitudini

καὶ παρὰ τὴν ἄκραν τεθῆναι τὴν πυργοειδῆ ταύτην κλίμακα, ἡ μὲν κορυφὴ αὐτῆς ῥαχίᾳ πέτρας καὶ πάγῳ προσήγγιζεν ὀκριόεντι, ὅθεν ὁ τῆς πόλεως τειχισμὸς ἀρχόμενος βάσιν ἐνεδίδου τοῖς ἀποβαίνειν ἐκ τῆς κλίμακος μέλλουσι καὶ πρὸς τοὺς ἐπὶ τοῦ τείχους ἀντιφέρεσθαι, ἡ δ' ὑποβάθρα πλοίοις ἐπανέκειτο εὖ ἀραρυῖα καὶ πεπηγυῖα πρὸς τὸ ἔμπεδον καὶ ἀκράδαντον. ἐπιλέγδην οὖν οἱ ἐπ' αὐτῆς ἀναβησόμενοι ἐπεκρίνοντο, καὶ οἱ
P. 56 *ἁπάντων ἔξοχοι ἄλλων καὶ ἄλκιμοι κατὰ πόλεμον, ὅτι καὶ „ὁ τὸν βασιλέα φιλῶν καὶ φιλότιμος ἐν δεινοῖς ἀναβαινέτω" βασιλεὺς αὐτὸς προεκήρυττεν. οὐδένα μὲν οὖν συνηγηόχει*
V. 44 *τὸ τοιοῦτον διακήρυκευμα, ἀλλὰ πάντες ἀνένευον. πρὸς τὴν ἄνοδον, τὸ τοῦ κινδύνου μέγεθος εὐλαβούμενοι, ἕως Πετραλεῖφαί τινες αὐτάδελφοι τέσσαρες, ἐκ τοῦ τῶν Φράγγων γένους ὁρμώμενοι καὶ κατὰ τὸ Διδυμότοιχον τὴν οἴκησιν ἔχοντες, ἐπέβησαν πρῶτοι τῆς κλίμακος, τῷ βασιλεῖ πειθαρχήσαντες. τούτων γὰρ ἀποτεθαρρηκότων πρώτως τὴν ἄνοδον, μάλιστα δὲ πρὸ αὐτῶν τοῦ Πουπάκη, ὃς δορυφορῶν τὸν μέγαν δομέστικον ὅλος ἦν ἐνθεάζων πρὸς τὸ ἔργον τότε καὶ*
B *προαλλόμενος, καὶ ἕτεροι οὐκ ὀλίγοι κατὰ ζῆλον ἐπηκολούθησαν. πάντας μὲν οὖν ἀγάμενος ἦν τῆς προθυμίας καὶ τοῦ ταχέος ὁρμήματος ὁ κρατῶν, ἀφορίσας δὲ οὓς ᾔδει παρ' ἀσπίδα πολλάκις ἐνιδρωκότας καὶ ἄντικρυς Ἄρεα πνέοντας, καὶ ἐς τετρακοσίους ἠριθμηκώς, ἀναβαίνειν διαφῆκε, πολλὰ*

19. *ζῆλον τοῦτον* A. 20. *οὖν. ἦν ὁ βασιλεὺς ἀγάμενος τῆς πρ. καὶ τοῦ γενναίου παραστήματος τῆς ψυχῆς* A. 23. *τριακοσίους* A.

erant impares, commissuris aliorum lignorum aequantur caeteris. ea scala cum tandem attolleretur et ad arcem applicaretur, fastigium eius asperam cautem attingebat, in qua moenia urbis incipientia aditum e scala descensuris praebebant, ubi vestigia figere et hostes aggredi possent. basis vero scalae probe compacta, itaque defixa ut minime agitaretur, navigiis incumbebat. deliguntur fortissimi quique et bellis celeberrimi; et ipse imperator proclamat „qui imperatorem diligit et pericula non reformidat, ascendat." nec tamen eo praeconio quisquam evocabatur, sed periculi magnitudine territi ascensum detrectabant omnes, donec quatuor fratres Petraliphae, ex Francica gente oriundi, qui Didymotoechi habitabant, dicto imperatoris audientes primi scalam conscenderunt. quorum audacia incitati alii non pauci, ac ante eos Pupaces, magni domestici satelles, quasi numine afflatus prosiliens, consecuti sunt. quibus omnibus imperator ob alacritatem collaudatis, selectisque ad CCCC eorum quos saepe in acie stetisse et viros esse fortes compertum habebat, eos ascendere iussit, prolixe prius cohortatus ad rem fortiter gerendam, et

πρότερον ἐς ἀνδρείαν παρακαλοῦντα τούτοις διαλεχθείς, καὶ αὐτοῖς καὶ τέκνοις αὐτῶν ἁδρὰ γέρα καὶ ἀμοιβαίαν ἐπαγγειλάμενος εὔνοιαν. „εἴτε γάρ" φησι „τοῖς ζῶσι σύνεστε, τὸν ἐφεστῶτα κίνδυνον διαδράντες καὶ ἀρίστως ἀγῶνα τὸν προκείμενον ἀεθλεύσαντες, εὑρήσετέ με καὶ ὑπὲρ δόκησιν ἀντὶ δεσπότου καὶ βασιλέως πατέρα κηδόμενον· εἴτε τὸ ζῆν καταλύσετε, πατρίδι τιμὴν καὶ κλέος αὐτοῖς ἀρνύμενοι, οὐδ' C οὕτως τῶν εἰς δόξαν καὶ κειμένων ὑμῶν ἀφέξομαι, ἀλλ' οὕτως εὖ διαθήσομαι τὰ κατ' οἶκον καὶ τέκνα καὶ ὁμολέκτρους ὡς ζηλωτέα τοῖς ἔτι περιοῦσι καὶ μακαριστέα δοκεῖν, καὶ αὐτοῖς δὲ ὑμῖν ὑπαπιοῦσι καθ' ᾅδην ἀσπάσια· εἴ τις τέως καὶ ἐν νεκροῖς αἴσθησις, μηδὲ τὸ τῆς λήθης ποτὸν ἐγχεόμενον οὐ μόνον τὴν τῶν προλαβόντων ἀπαλείφει μνήμην, ἀλλὰ καὶ τὰ κατὰ τὸν βίον ἐπιγινόμενα οὔκουν ἐς ᾅδου ἐπεισρέειν ἀφίησιν, ὅπως τοῖς θανοῦσιν εἴησαν γνώριμα." πρῶτος οὖν ὁ Πουπάκης, ὡς ἔφην, τὸ σημεῖον τοῦ σταυροῦ διατυπώσας ἐν ἑαυτῷ τῆς ἀναβάσεως ἄρχεται, καὶ μετ' αὐτὸν οἱ Πετραλεῖφαι κασίγνητοι, καὶ καθεξῆς ἕτεροι, ἕως πάντας ἡ κλίμαξ D ἐδέξατο. οὐδεὶς οὖν τῶν θεωμένων ἦν ὃς ἐπὶ τῷ πραττομένῳ τούτῳ ἔργῳ οὐκ ἀνωλόλυξεν ὡς ἐπὶ καινῷ καρδιαλγήσας θεάματι, οὐδὲ δακρύων ὑποπλησθεὶς καὶ πατάξας τὸ στῆθος ἐθεοκλύτησε. καὶ ἦν γὰρ ἀληθῶς τὸ ὁρώμενον καταπλῆττον τὸν θεατὴν ὀφθαλμόν. οἱ μὲν γὰρ τοὺς θυρεοὺς ὑπὲρ κεφαλῆς ἐς τὸ ἀσφαλὲς ἀνατείναντες καὶ τὰ ξίφη σπασάμενοι,

4. ἀρέστως A. 6. κηδ.] καὶ ἡγεμόνα A. 16. ὡς ἔφην om A.

ipsis eorumque liberis ampla praemia et mutuam benevolentiam pollicitus. „sive enim vitam periculo evitato servaveritis" inquit, „certamine isto feliciter superato, me supra opinionem vestram pro domino et imperatore patrem fidelissimum habebitis: sive pro patriae honore vestraque gloria mortem oppetieritis, etiam sic ea quae ad ornandum obitum vestrum pertinebunt non negligam, sed vestrae familiae, uxorum et liberum eam rationem habebo, ut beati et felices sint iudicandi, et ipsi magnum sitis mortis solatium habituri, si quis modo sensus defunctis superest, nec omnium ante actarum rerum oblivio obrepit, ac praeclusa est rerum post actarum cognitio." primus igitur Pupaces, ut dixi, cum se cruce signasset, ascensum auspicatur. sequuntur Petraliphae fratres, deinde alii, donec in scalis omnes constiterunt. nemo fuit quin inusitato isto et horrendo spectaculo consternatus, eiulatu et lacrimis oppletus percusso pectore deum invocarit. illi clipeis, quo tutiores essent, supra capita elatis strictisque gladiis, cum ad hostes appropinquassent, acriter dimicant. qui quamvis omnis generis telis et grandibus saxis eos peterent, nihil proficiebant: nam cum ut incudes malleis, ita ipsi cre-

τοῖς ἐκ τοῦ φρουρίου προσηγγικότες ἐκθύμως διημιλλῶντο· οἱ δὲ πάσαις κατ' αὐτῶν ἐχρῶντο βολαῖς καὶ λίθους ἀπερρίπτουν χειροπληθεῖς. ἀλλ' οὐδὲν ἤνυτον· οὗτοι γάρ, ὅσα καὶ ἄκμονες ῥαϊστῆρσι, παντοίοις τυπτόμενοι βλήμασιν ἀκάμαντες ἦσαν καὶ ἀπερίτρεπτοι καὶ τὴν ἰσχὺν ἀνένδοτοι κἀπὶ τοῖς παροῦσι δεινοῖς ἀκατάπληκτοι. κἂν κάλλιστον εἰλήφει τέλος τὰ τοῦ ἀγῶνος τοῦδε, καὶ Ῥωμαίοις ἐγεγόνει πάντη P. 57 κυδαντικά· νῦν δ' ἀλλ' ἡ ταῖς τῶν πράξεων μεγίσταις ἐπεισερχομένη ἀγεννὴς περίπτωσις καὶ τὸ ἄγαν ἀεί πως παρακολούουσα, ἀρχὴν ἀρίστην ὑποθεῖσα τῷ ἔργῳ καὶ τῇ προθέσει κατὰ βραχύ πως ὑποθάλπουσα, περὶ τὸ πέρας ἠγνωμόνησε τὸ ἐπέραστον. ἤδη γὰρ τοῦ Πουπάκου τῆς κλίμακος ἀποβάντος καὶ τὼ πόδε ταῖς πέτραις ἐνερείσαντος, ὅθεν καὶ τοῖς ἐκ τῶν τειχῶν διεφέρετο, ἡ κλῖμαξ ἀποκαυλίζεται. καὶ οἱ μὲν ἄλλοι πάντες κύμβαχοι ἐπὶ βρεχμόν τε καὶ ὤμους ἐλεεινὸν ἐπανετρέποντο θέαμα καὶ ἄπιστος ὄψις οἰκτίρμοσιν ὀφθαλμοῖς, καὶ κακῶς παραπώλλυντο τοῖς τῶν κυμάτων διαύλοις φερόμενοι καὶ πέτραις καὶ νηῶν προσαραττόμενοι καταστρώ- B μασι, κἀκ τῶν ὑψόθεν λίθοις καταχωννύμενοι, ὡς βραχεῖς ἀπ' ἐκείνων δὴ τῶν πολλῶν τὸν κίνδυνον διεκφυγεῖν· ὁ δέ γε Πουπάκης τοὺς ἐν τοῖς τείχεσι διασοβήσας καὶ πυλίδα ἀναπεπταμένην εὑρὼν δι' αὐτῆς ἐξέθορεν εἰς τὸ στράτευμα. V. 45 καὶ ἦν τοῦτο οὐ Ῥωμαίοις μόνον καὶ βασιλεῖ δι' ἐκπλήξεως, ἀλλὰ καὶ τοῖς ὑπεναντίοις αὐτοῖς διὰ θαύματος, οἳ καὶ τὸ ἀπάνθρωπον ὀνειδισθέντες καὶ τὸ τῆς γνώμης ἀνήμερον ἐπεγκληθέντες οἷς καταλιθοῦντες ἄνωθεν ἦσαν τοὺς ἀνατραπέντας

3. ἤνυον A. 12. τὸ ἐπέραστον] τοσὸν ἔραστον A. τῆς κλίμακος] ἐκ τῆς σκάλας ἐπὶ τὸ κάστρον πηδήσαντος καὶ μετὰ τοῦ ποδός αὐτοῦ ἐκ τῶν θεμελίων ταύτην τινάξαντος, ἐκόπη ἡ σκάλα B. 18. φορούμενοι A. 21. πυλίδα] παραπόρτιν B.

bris telis ferirentur, indefessi immobiles et in periculis imperterriti perseverabant. atque id certamen exitum pulcherrimum habuisset magnamque Romanis gloriam peperisset, nisi casus quidam inauspicatus et nimiis successibus invidens optimum principium et spem initio bonam infelici exitu terminasset. nam cum Pupaces iam de scala descendisset et gradu in rupe firmato cum hostibus dimicaret, scala confracta caeteri miserabiliter in fluctus saxa et navium tabulata praecipitati, superne etiam saxis obruti plerique perierunt, ac pauci ex multis illis evaserunt incolumes. at Pupaces cum hostes moenibus pepulisset ac parvam portam apertam reperisset, per eam in castra rediit; quae res non Romanis tantum et imperatori, sed stibus etiam stupori et admirationi fuit. quibus cum inhumanitas

ἐκ τῆς κλίμακος, ἀπέσχοντο τοῦ δρᾶν οὑτωσί, τοὺς ἄνδρας αἰδεσθέντες τῆς γενναιότητος.

5. Ἀλλ' οὔπω ἀκριβῶς τὸ ἀτύχημα τοῦτο Ῥωμαίοις διεθρηνήθη καὶ τὴν ἐπ' αὐτῷ τοῦ βασιλέως λύπην ὁ πάντα C μαραίνων χρόνος διαφορήσας ἐλέανε, καὶ ἄλλη τις ἐπισυμπλέκεται συμφορὰ χείρων τῆς πρώτης καὶ κακὸν ἐπεισκωμάζει ἀξιοπένθητον ἕτερον. διαστασιάζονται Ῥωμαῖοι καὶ Βενέτικοι κατὰ μέσην τὴν ἀγοράν, καὶ ἡ στάσις οὐκ ἐρεσχελίαι παρ' ἑκατέρων πίπτουσαι τῶν γενῶν, οὐδ' ἔπος αἰσχρόν, ὁποῖον ἐρρέθη, τοιοῦτον ἐπακουόμενον, οὐδ' ἐβωμολοχεύοντο πρὸς ἀλλήλους ἢ κερτόμοις οἱ στασιασταὶ ῥήμασιν ἐκομψεύοντο, οὐδ' ἔβαλλον ὕβρεσι καὶ ἐπλύνοντο σκώμμασιν, ἀλλ' αἱ χεῖρες εἶχον τὰ ὅπλα καὶ ἡ μάχη ἀγχώμαλος ἐκροθύετο. συχνοὶ οὖν οἱ κατὰ φήμην τοῦ κακοῦ μεθ' ὅπλων ἑκατέρωθεν ἐπεισρέοντες καὶ τοῖς ὁμογενέσιν ἀρήγοντες, πολλοὶ δὲ D καὶ οἳ ἐκεῖσε μὴ ὁπλενδυτοῦντες παρενέβαλον, γένει βασιλείῳ διαπρεπεῖς καὶ λαμπροὶ κατ' ἀξίωσιν. καὶ τῶν Βενετίκων δὲ ἀφίκοντο οἱ γεραίτατοι ὡς σβέσοντες τὸ κακὸν καὶ διαλλακτῆρες ἐσόμενοι. ἀλλ' οὐκ ἦν τῶν λεγομένων ἐπιστροφή, οὐδέ τις εἰσῄει τούτους αἰδὼς τῶν συνειλεγμένων μεγίστων ἀνδρῶν· ὁ γὰρ Ἄρης ἐκπάγλως ἐμαίνετο, καὶ προχύσεως αἱμάτων ἔρως ἐπισυνίστη μάλιστα τοὺς ὁπλίτας, καὶ τούτους ἐκ τοῦ τῶν Βενετίκων πλέον στρατολογήματος, καὶ κατεῖχεν οὐδὲν οὐδ' ἐπέστρεφεν. ὅσον γὰρ ὁ μέγας δομέστικος τοὺς Ῥωμαίους ἀνέκοπτε τῆς ὁρμῆς καὶ τὰς τούτων ἐπισυνδρομὰς ἐπε-

1. τοὺς ἄνδρας] τὸ τοῦ ἔργου αἰδεσθέντες ἀπάνθρωπον A. 7. Βενέτικοι] οὐετανοὶ A. 15. ἐπεισρέοντες] ἐπικρούοντες.

et animi feritas obiiceretur, quod de scala deiectos saxis obruerent, destiterunt, fortitudinem eorum admirati.

5. Eius cladis luctu vixdum finito et imperatoris dolore temporis spatio cuncta consumentis utcunque lenito, alia calamitas ingruit superiore peior, et malum funestum suboritur. inter Romanos et Venetos in medio foro seditio oritur; nec dicteriis et conviciis certatur, sed manibus et armis. confluunt, ea audita, utrinque armati ad opem suis popularibus ferendam; accessere item multi inermes, regio genere clari et dignitatibus illustres. advenerunt et Venetorum primores motum illum sedaturi et pacem conciliaturi. sed verbis iis movebatur nemo: nemo concilium illud maximorum virorum curabat. Mars enim atrociter saeviens et sanguinis effundendi cupidus gravis armaturae milites, eosque potissimum Venetae factionis, ita concitabat ut nulla re coerceri possent. nam quo magis magnus domesticus Romanorum impetum reprimebat, eo magis Veneti ira perciti e triremibus erum-

τείχιζε, τοσοῦτον ἐβαρυμηνίων Βενέτικοι τῷ θυμῷ σφαδάζοντες κἀκ τῶν τριηρέων ἐξεχέοντο. ἰδὼν τοίνυν ὁ ἀνὴρ ὡς οὐδὲν ὠφελεῖ διαλλαγὰς μετιὼν καὶ ὡς ἄγει ἀναγκαία τὰ γένη μάχῃ διακριθῆναι, τοὺς ἰδίους μεταπέμπεται δορυφόρους, οὓς ἐπὶ καιρὸν μάχης εἶχε χρησίμους ἑαυτῷ καὶ ὁπλίταις
P. 58 ἀγαθοῖς ἐκέχρητο, καὶ διαφίησι τοῖς Βενετίκοις. ἐξάγει δὲ καὶ μέρος τῆς στρατιᾶς. ἐπ' ὀλίγον οὖν οὗτοι ἀντισχόντες, τὰ νῶτα μεταβαλόντες προτροπάδην φεύγουσι καὶ ταῖς ναυσὶν ἄκοντες συνωθοῦνται, βαλλόμενοί τε καὶ ἀναιρούμενοι. πλὴν οὐδ' οὕτω τῆς βαρβάρου γνώμης ἠρέμησαν ἢ τὰ ὅπλα μετὰ τὴν ἧτταν κατέθεντο, ἀλλὰ κατὰ τὰ δυσθάνατα τῶν θηρίων ἐφαλλόμενοί τε καὶ προαλλόμενοι ἐν δεινῷ τίθενται ὅτι μὴ Ῥωμαίων αὐτῶν ὑπερίσχυσαν. ἀμέλει καὶ κατὰ χέρσον μηκέτι δυνάμενοι μάχεσθαι ἀποσαλεύουσι τὰς νῆας καὶ ἐξόρμους τιθέασι· καὶ κατά τινα νῆσον ἀναχθέντες ἀμφίρρυτον (ἡ Ἀστερὶς αὕτη οἶμαί ἐστιν, ἥν φασιν οἱ πάλαι κεῖ-
B σθαι μέσον Ἰθάκης καὶ τῆς τῶν Κεφαλήνων τετραπόλεως) ἐπιτίθενται ὡς πολέμιοι τοῖς ἐκεῖσε ἐξ Εὐβοίας παρορμῶσι πλοίοις Ῥωμαϊκοῖς, καὶ τὸ ναυτικὸν κακῶς διαθέμενοι, ὃ συνεπλήρουν οἱ Εὐβοεῖς μάλιστα, τέλος καὶ αὐτὰ τὰ σκάφη πῦρ ἐμβαλόντες ᾐθάλωσαν. τῷ κακῷ δὲ τούτῳ ἕτερον ἀτοπώτερον ἐπιφέροντες τὴν βασιλίδα νῆα κλοποφοροῦσι, καὶ παρ' ἑαυτοῖς θέμενοι πρῶτα μὲν τὰς ἐν αὐτῇ βασιλικὰς διαιτήσεις κοσμοῦσι πέπλοις χρυσοϋφέσι καὶ ἁλουργοῖς τάπησιν,

1. Βενέτικοι] οὐετανοὶ A. 11. τὴν om A. 12. προσαλλόμενοι A. 14. μαχέσασθαι A. 18. τοῖς ἐκεῖσε] τοῖς ἀπὸ τῆς μιτυλήνης ἐλθοῦσι B. 24. κοσμοῦσι] καλλωπίζουσι μετὰ βλατίων χρυσῶν καὶ πευκίων ἐξομπλωτῶν B.

pebant. cum igitur videret se pacificando nihil proficere et populos praelio dirimi necesse esse, suos satellites accersit, quorum fideli opera in acie utebatur, eosque in Venetos immittit. educit et copiarum partem. illi igitur cum paulisper restitissent, arrepta fuga inviti iaculis et caedibus in naves compelluntur. verum ne sic quidem ferocia mitigata, arma nec post acceptam cladem posuerunt, sed instar belluarum aegre morientium insilientes et prosilientes indignati sunt se ipsis Romanis non fuisse superiores. et cum non amplius terra pugnare possent, in quandam insulam provecti, Asteridem opinor, quam veteres inter Ithacam et Cephalenum tetrapolim sitam esse tradunt, hostilem in modum Romanas naves illac transeuntes invadunt. ac male tractata classe, Euboica praesertim, denique ipsas naves cremaverunt. neque hoc malo contenti aliud gravius adiungunt: imperatoriam navem suffurati, primum conclavia imperatoria

ἔπειτα δ' αὐτῇ ἐμβιβάσαντες ἀνδράριον ἐπίτριπτον, κελαινοχρῶτά τινα Αἰθίοπα, εὐφήμουν ὡς βασιλέα Ῥωμαίων, περιάγοντες μετὰ λαμπρᾶς στεφανηφορίας καὶ προπομπῆς, C τὰ τῆς βασιλείας σεμνὰ διαπαίζοντες, καὶ καταμωκώμενοι τοῦ ἄνακτος Μανουὴλ ὡς μὴ ξανθίζοντος τὴν κόμην ὡς θέρος, ἀλλ' ὑπομελαινομένου τὴν μορφὴν κατὰ τὴν τοῦ ᾄσματος νύμφην τὴν λέγουσαν „μέλαινά εἰμι καὶ καλή, ὅτι παρέβλεψέ με ὁ ἥλιος." ἀλλ' εἶχε μὲν ἀξίαν ἐπιθεῖναι δίκην τοῖς βαρβάροις ἐκ τοῦ παραυτίκα ὁ βασιλεύς· δείσας δὲ μὴ ἐμφυ- V. 46 λίου κινηθέντος πολέμου εἰς πλεῖον προχωρήσει τὰ ἄτοπα, πέμψας τῶν ἐξ οἰκείου γένους τινὰς ἀμνηστίαν δίδωσι τοῖς Βενετίκοις ὧν τε εἰς αὐτὸν ἠνομήκασι καὶ ὧν εἰς Ῥωμαίους ὡς δυσμενεῖς ἐκακούργησαν, ἐπεὶ τὰ τῆς ἀμύνης ἑώρα πως οὐκ ἀκίνδυνα, πρὸς ἄλλα τοῦ καιροῦ ῥέπειν ἐπείγοντος. D πλὴν εἰ καὶ τὸν χόλον αὐτῆμαρ κατέπεψεν, ἀλλ' ὡς ἐν σποδιᾷ ἔναυσμα τὸν κότον ἐνέθαλπε τῇ ψυχῇ ἕως τῶν πραγμάτων ἐνδιδόντων αὐτὸν ἐξεπύρσευσεν, ὡς κατὰ καιρὸν τὸν οἰκεῖον ῥηθήσεται.

Τότε δ' οὖν φιλιωθέντων αὖθις ἀμφοτέρων τῶν στρατευμάτων εἰς πολιορκίαν ἐξάγει τὰς φάλαγγας, καὶ κατὰ θάλασσαν, ἐν οἷς παρείκοι, τὸ πόλισμα κυκλωσάμενος παντοῖος ἐγίνετο, ὥσπερ πρὸς ἑαυτὸν ἁμιλλώμενος ἐνεργότερος δείκνυσθαι, εἴ πως παραστήσασθαι δυνηθείη τοῦτο καὶ ἐξελεῖν. ἐκ

1. κελαινοχρῶτα] σαρακηνὸν σκλάβον B. 13. ἐκακούργησαν] ἐκενούργησαν A.

peplis auratis et purpureis tapetibus exornant, deinde homuncionem perditum, nigrum quendam Aethiopem, in eam introductum et splendida corona exornatum ut Romanorum imperatorem cum magnifico comitatu per ludibrium celebrarunt, deridendi Manuelis causa, qui non flavam comam haberet ut maturae segetes, sed fuscus esset instar sponsae illius in Canticis, quae se nigram sed formosam esse ait, ut a sole nonnihil adustam. quamvis autem imperator barbaros statim iusto supplicio afficere posset, tamen veritus ne intestino bello commoto plura incommoda sequerentur, missis e sua familia quibusdam Venetis iniuriarum tam sibi quam Romanis hostiliter illatarum veniam pollicetur, cum ultionem, aliis rebus urgentibus, intempestivam esse cerneret. nihilominus ira animo, tanquam igne sub cineribus, pressa atque in praesentia dissimulata, tum eos ultus est cum res patiebantur, ut suo loco exponemus.

Tum autem reconciliatis exercitibus ad oppugnationem educit legiones; et urbe, qua res ferebat, mari circumsessa, nihil intentatum relinquit, quasi secum ipse certans, an eam vel ad deditionem

τε οὖν τῶν πετροβόλων ὀργάνων τὰ βάρη τῶν λίθων ἠφίετο συνεχέστερα, καὶ οἱ τοξόται παρὰ μαζὸν ἀεὶ πελάζοντες τὰς νευρὰς καὶ ἕως τῶν γλυφίδων ἕλκοντες νιφάδεσσιν ἐοικότα χειμερίῃσι κατὰ τῶν ἐπὶ τοῦ τείχους τὰ βέλη ἔπεμπον. ἦσαν δὲ κατὰ πολλὰ μέρη τοῦ ἐρύματος καὶ οἳ διὰ τῶν φαράγγων δίκην αἰγάγγρων ἐκρημνοβάτουν. ἐπεραίνετο δὲ οὐδὲν ἀλλ'
P. 59 ἢ ὅσον μὴ ἀεργὸν ὁρᾶσθαι τὴν στρατιάν· οἱ γὰρ ἔνδον καὶ αὐτοὶ γενναίως ἀπεμάχοντο, ὑποκατιέναι μὲν καὶ συστάδην ἀντιπλέκεσθαι Ῥωμαίοις οὐμενοῦν οὐδαμῶς δοκιμάζοντες, ἀπὸ δὲ τῶν τειχῶν παντοδαπῶς ἀμυνόμενοι, καὶ βέλεσι καὶ λίθων ἀφέσεσι παντοίοις κακοῦντες τὸ ἀνθιστάμενον. ὡς ἔγνω τοίνυν ὁ βασιλεὺς ἀδυνάτοις ἐπιχειρῶν, μεταναστεῦσαι μὲν ἐκεῖθεν καὶ τὴν πολιορκίαν ἀφεικέναι ἀτέλεστον οὐκ ἔκρινε δεῖν, καὶ ἀδοξίας ἄλλως ἑαυτῷ παραίτιον ὑπετόπαζεν εἰ πολλὰ καμὼν καὶ οὐκ ὀλίγας ἴλας ἀπολωλεκὼς στρατιώτιδας οὐχ ἕξει φρούριον ἓν ἐξελεῖν, καὶ τοῦτο πρότριτα Ῥωμαίοις ὑπόφορον, βόσκοι δὲ καὶ ἐπὶ τῆς οἰκείας χιλίους λῃστάς, ὁρμητήριον παρεὶς καὶ νεώσοικον ταῖς Σικελιώτισι τριήρεσι κατὰ
B Ῥωμαίων τὰ Κέρκυρα. ἐπεβάλετο τοίνυν χρονοτριβεῖν· ἄλλη γὰρ οὐδεμία τις ἐλπὶς ὑπελείπετο τοῖς χρηστοτέροις αὐτὸν ὑποσαίνουσα, διὰ δὲ τῆς πολυημέρου προσεδρείας συμπείσειν ἄκοντας ᾤετο τοὺς ἐπὶ τῆς φρουρᾶς καταπροδοῦναί οἱ τὸ φρούριον καὶ σφᾶς προσαναθήσειν αὐτῷ. ὅθεν οὐδὲ τοῦ καλοῦ τῆς προσδοκίας ταύτης ἐκπέπτωκεν, οὐδὲ μὴν διήμαρτε

15. οὐκ ὀλίγας] μὴ βραχείας A.

compellere vel per vim exscindere posset. igitur ex machinis grandia saxa crebro torquebantur, et sagittarii summa contentione sagittas hibernis nivibus crebriores in moenia coniiciebant. quidam etiam in multis munitionis partibus per valles instar caprearum arrepserant. sed id unum proficiebatur, ne ignavus esset exercitus. nam obsessi et ipsi fortiter se defendebant: at in campum descendendum et cominus cum Romanis pugnandum minime censebant, sed de moenibus vim propulsabant, et saxis omnique telorum genere hostes obruebant. ut igitur animadvertit ea se conari quae ad exitum perducere non posset, inde recedere et obsidionem affectam relinquere noluit, ignominiosum sibi fore ratus, si post multos labores, nec paucis cohortibus amissis, unum castellum, idque non ita pridem Romanis obnoxium, expugnare non posset, atque in sua ditione mille praedones aleret, Corcyra relicta, quae Siculis triremibus navale ac receptum praeberet. obsidionem igitur, quoniam nulla spes melior affulgebat, ducendam esse statuit, et diuturnitate temporis praesidiarios ad deditionem compellendos. nec eum fefellit haec opinio, neque spes frustrata est. hostes enim,

τοῦ σκοποῦ. ἡμέρας γὰρ διαλιπόντες τινὰς διαπρεσβεύονται οἱ πολέμιοι, καὶ δέονται καιρὸν αὐτοῖς ὑποχωρήσεως ἐνδοθῆναι, ὡς ὅπλων καὶ τῶν ἄλλων ἦσαν ἔχοντες. ὡς γὰρ ἑώρων βασιλέα μὲν οὐκ ἂν αὐτοὺς ἐπὶ χώρας μένειν ἀνήσοντα, τὰς δ' ἐλπίδας σχαζούσας εἰς κενὸν αἷς ἐβουκολοῦντο καθ' ὥραν τὴν ἀπὸ τοῦ ῥηγὸς ἐπικουρίαν προσδεχόμενοι, ἅμα δὲ C καὶ τὸν λιμὸν αὐτοὺς ἠρέμα ἐπιβοσκόμενον, τὴν εἰρημένην ἐτράποντο. ἐνῆγε δὲ πρὸς τὸ τοιοῦτον μάλιστα ἔργον ὁ καστελλᾶνος Θεόδωρος, ὃς τῆς φρουραρχίας προΐστατο, οὐκ ὢν αἱμάτων ἀνὴρ ἀλλὰ τῆς ἀγέλης πλέον Χριστοῦ, καὶ προτιθεὶς εἰρήνην τῆς διαστάσεως, καὶ φιλορώμαιος, ὡς ἔδειξεν ὕστερον. βασιλεὺς τοίνυν ὠσὶν ἑστῶσιν ἀκούσας τὴν ἀγγελίαν, ἐζήτει θεάσασθαι καὶ πέρας αὐτίκα τὸ εὐκτόν. πρὸ δὲ τοῦ τὰς ἀποκρίσεις ἱλαρὰς ἀποδοῦναι ἑαυτὸν εἰδωλοποίει τραχύν, καὶ ὑπερορίοις ἀπειλαῖς ἐκέχρητο, εἰ μὴ δρῷεν ὅσα ἡ πρεσβεία κατεπαγγέλλεται. ὡς οὖν ὀψὲ προσερρύησαν, οὐδὲ τότε ὁμοῦ πάντες ἀλλὰ κατὰ βραχεῖς, καὶ πεῖραν τοῖς ἐπιμένουσιν οἱ ἐξιόντες διδόντες ὡς οὐχ ὑπερόπτης ὁ βασιλεὺς οὐδέ τι τῶν ἀέλπτων ἐπιτελῶν ἀλλ' εὐμενῶς αὐτοὺς D προσιέμενος, μετὰ φιλοφροσύνην καὶ δεξίωσιν ἱκανὴν αὐτοὺς ἑλέσθαι τὸ ποιητέον καὶ τὸ δοκοῦν ὠφέλιμον ἐγκελεύεται· ἑαυτῷ γὰρ μὴ εἶναι πρὸς τρόπου, μηδ' ἄλλως κρίνειν βασιλικόν τε καὶ ἐλευθέριον, ἢ μένειν ἐθέλοντας ἀπελαύνειν ἢ ἀπιέναι βουλομένοις προσίστασθαι. πολλοὶ μὲν οὖν συμπαρέ-

5. σχαζούσας] ματαίας οὔσας B. 9. ὃς τῆς φρ.] ὁ ἄρχων τῆς φυλάξεως B. 18. ἐπιμένουσιν] ἔτι μένουσιν A.

aliquot diebus post, per legatos petunt spatium sibi dari cum armis caeterisque rebus suis discedendi. ut enim videbant se per imperatorem ibi manere non posse atque inani spe subsidii regii lactari, famis praesertim periculo paulatim instante, id consilii ceperunt, Theodori Capellani potissimum impulsu, praesidii praefecti, viri non sanguinarii, sed pro grege Christi solliciti; cui pax dissensione antiquior et Romani cari erant, ut postea demonstravit. imperator igitur arrectis auribus eo nuntio audito statim etiam rei exitum videre cupiebat: sed priusquam laetum responsum daret, asperitatem simulat et nescio quid minatur, nisi ea facerent quae legati pollicerentur. ut igitur tandem accedebant, ac ne tum quidem universi, sed pauci principio, iis etiam qui remanserant, ostendebant imperatorem non superbum esse, neque quicquam gravius in dedititios consulere sed eos humaniter excipere, postquam eos porrecta dextera salutatos satis diu comiter tractarat, hortatur ut id amplectantur quod e re sua esse putent. sui enim moris non esse, atque adeo nec regale neo liberale videri, vel manere volentes repellere vel discedere cupienti-

V. 47 μειναν βασιλεῖ, καὶ πρὸ πάντων ὁ καστελλᾶνος Θεόδωρος· οἱ δὲ λοιποὶ πρὸς τὴν πατρίδα Σικελίαν ἀνήχθησαν.

6. Βασιλεὺς δὲ παριὼν εἴσω τῆς πόλεως, καὶ τὴν ἄκραν καταπλαγεὶς ὡς ὅπλοις οὐδ' ὅλως ἁλώσιμον, καὶ φρουρὰν ἐπιστήσας ἀσφαλεστάτην ἐκ Γερμανῶν, ἄρας ἐκεῖθεν μετὰ P. 60 πάσης ὡς εἶχε τῆς στρατιᾶς εἰς τὸν Αὐλῶνα μετασκηνοῖ, ἔνθα ἱκανὰς ἡμέρας ἐναυλισάμενος τὴν εἰς Σικελίαν κυροῖ περαίωσιν, γνωματεύων ἤρεμον εἶναι τὸν μαχόμενον καὶ εἰρήνης τὸν πόλεμον πρύτανιν, κἀκείνας εὐδαιμονεῖν τῶν πόλεων ὅσαι μὴ τοῖς τείχεσι τοῖς δ' ἔγχεσι φράγνυνται, ὥς τούς γε δι' εἰρήνην τὸν πόλεμον ἀλυσκάζοντας λεληθέναι ἄντικρυς ἔφασκεν ἑαυτοὺς ὅτι πλείονες ἐντεῦθεν ὡς ἐκ πολύχοος γηδίου φύονται οἱ διάφοροι, ἣν ἔχουσιν ἀρχὴν περικόπτοντες καὶ σταθερᾶς εἰρήνης οὐδαμῶς ἀπολαύοντες. ἀλλὰ „δειλοὶ" φησιν ὁ Δαβὶδ „οἱ τῶν ἀνθρώπων εἰσὶ διαλογισμοὶ B καὶ ἐπισφαλεῖς αἱ τούτων ἐπίνοιαι,. ἡ δὲ βουλὴ τοῦ κυρίου βεβαία καὶ ἀμετάπτωτος, οὐδ' ἔστιν ὅστις τῶν ἁπάντων αὐτὴν παρακρούσεται." τότε τοίνυν τὸν Μανουὴλ στηρίξαντα τὴν εἰς Σικελίαν κέλευθον, καὶ πρὸς τὴν νῆσον κατάραντα ἥτις Ἀειρονήσιον ἐπικέκληται, τοῦ ἐγχειρήματος ἐπέσχον διακυκήσασαι τὸ πέλαγος λαίλαπες καὶ καταποντιστικὰ τοῦτο ταράξαντα πνεύματα, βροντῶν τε μυκήματα ἐξαισίων, καὶ ἀστραπῶν ἐκπυρηνίσματα τερατώδη καὶ ἀνάμματα φοβερώτατα. καὶ αὖθις δ' ἐπιβαλλομένῳ καὶ τὴν περαίωσιν ἐπι-

20. ἐπικέκληται] λέγεται A. 22. διαταράξασαι A.

bus obsistere. multi igitur apud Imperatorem manserunt, atque in primis Theodorus Capellanus. caeteri in patriam Siciliam redierunt.

6. Imperator vero urbem ingressus, et castellum admiratus ut armis prorsus inexpugnabile, firmissimo Germanorum praesidio imposito, cum omni exercitu Aulonem transit, ibique per aliquot dies commoratus navigationem in Siciliam decernit, quod eum demum tranquillum putabat qui pugnaret, et bellum pacis sequestrum, atque eas urbes felices iudicabat, quae non moenibus sed ensibus munirentur: nam qui bellum pacis amore fugiant, eos non animadvertere plures sibi ut pulverem e terra friabili hostes existere, qui et imperium eorum accidant, nec stabili pace ipsos frui patiantur. caeterum, ut Salomon affirmat, irrita sunt hominum consilia et lubricae cogitationes: at domini propositum firmum est atque immutabile, neque quisquam omnium id evitare queat. ita etiam Manuelis institutum, cum in Siciliam iter intendisset et ad Aeronesiam insulam appulisset, procellae ventorum mare exagitantes horrendaque tonitrua et terribilia prodigiosaque fulmina toto caelo collucentia in

σπεύδοντι οὐχ ὑπέθηκεν ἑαυτὴν ἡ θάλασσα ταῖς ναυσίν, ἀλλ' ἀνεπήδα καὶ ἀνεβράσσετο κάτωθεν. ὡς οὖν ἀντέστησαν αἱ ἀντίπνοιαι, διαλύσασαι τὰ σκάφη γνόφῳ βαθεῖ, μόλις μὲν C τῇ χέρσῳ τινὰ τούτων προσώκειλαν, καὶ αὐτὸς δὴ βασιλεὺς διεξέπλευσε βραδέως τὸν κίνδυνον, τὰ δὲ λοιπὰ διεσπάρη ἄλλα ἄλλοθι καὶ πάρεργον ἐγεγόνει κλύδωνος. τῷ τοι τὴν δι' ἑαυτοῦ πρὸς Σικελίαν περαίωσιν ὡς ἀσύμφορον παρωσάμενος, ἀπαίρει μὲν ἐκ τοῦ Αὐλῶνος ὡς ἔχων ἦν τῶν δυνάμεων, εἰς δὲ Πελαγονίαν ἀφιγμένος, καὶ καταστησάμενος ὡς ξυνοῖσόν οἱ ἐδόκει τὰ πράγματα, κατὰ Σέρβων ἔγνω μεταθέσθαι τὸ πρόθυμον. οὗτοι γάρ, ἕως μὲν τὰ τῆς ἀρχῆς ἠρέμει τῷ αὐτοκράτορι, εὔνουν ἐπλάττοντο πρόσωπον καὶ τὴν γλῶτταν ἐπλούτουν πρὸς τὰ ἐν μυχῷ τῆς καρδίας ἀντίφθογ- D γον· ἐπειδὴ δὲ κατά τε γῆν κατά τε θάλατταν ἐπεισήρρηκεν ὅσα ἐπετέμετο ἡ ἀφήγησις, ἀνεθάρρησάν τε παρὰ τὸ δέον καταχρησάμενοι τῷ καιρῷ, καὶ κατὰ Ῥωμαίων ὅπλα ἤραντο, καὶ κακῶς διέθεντο τὰς ὑπὸ Ῥωμαίους ὁμόρους αὐτοῖς χώρας. καὶ δὴ τὸ εὔοπλον ἀπολαβὼν τοῦ στρατεύματος, καὶ ἀποτάξας αὐτὸ πρὸς τὸ εὔζωνον, τὴν Σερβίαν εἴσεισι. τὸν δὲ ταύτης σατράπην οὐ διέδραμε μὲν ἡ κατ' αὐτοῦ βασίλειος ἐπέλευσις, κἂν ἠπείγετο λήσειν ὁ βασιλεύς· οὐκ ἔχων δ' ὅ τι καὶ διαπράξαιτο, μηδὲ συνορῶν ἑαυτὸν ἀνταγωνιστὴν πρὸς τὰς Ῥωμαϊκὰς δυνάμεις ἀξιαγώνιστον, ἀφίσταται μὲν τῶν πεδινῶν, εἰς δὲ τὰ ὄρη αἴρει τοὺς ὀφθαλμούς, ὅθεν

9. καταστήσας A. 17. ὁμόρους om A. 22. διαπράξειε A. ἀγωνιστὴν A.

terruperunt. secundo traiicere aggressus tempestatibus aequo repulsus est; et classe disiecta multisque navibus demersis, aegre aliquot in densa caligine terram tenuerunt, atque ipse imperator sero periculum evasit. omissa igitur ea navigatione quam suis auspiciis parum succedere videbat, ex Aulone cum omnibus copiis discedit; ac Pelagoniae rebus ex sententia ordinatis, Servios invadere statuit. qui tranquillo imperii statu amicitiam simulantes, et aliud lingua promptum aliud animo abditum habentes, posteaquam ea quae breviter exposui terra marique acciderant, resumpta per occasionem fiducia armisque sumptis finitimas sibi Romanorum provincias male tractarant. igitur instructissimam partem exercitus, cum impedimentis quam minimis, in Serviam ducit. cuius satrapam imperatoria expeditio quantumvis dissimulata non fefellit. is quia quod faceret non habebat, seque Romanis legionibus esse imparem cernebat, e planitie in montes, unde salutem expectabat, se recepit, summque populum non secus ac pecorum greges hostibus dissipandum et occidendum

προσεδόκα ἥξειν αὐτῷ τὴν βοήθειαν. τὰς δὲ τῶν οἰκείων πληθῦς, ὅσα καὶ θρεμμάτων ἀγέλας τὰ χλωρὰ δρεπομένων τῆς ὕλης, ἀφῆκε τοῖς ἐπιοῦσιν εἰς διασκόρπισιν καὶ ἀναίρεσιν, ἐπιτρέψας ἑκάστῳ τὴν διὰ φυγῆς εὕρασθαι σωτηρίαν
P. 61 καὶ πρίασθαι ποσὶ τὴν ζωὴν ὡς εἰς παράδειγμα αὐτὸν ἀποβλέπουσι. καὶ ὁ μὲν Σερβάρχης οὕτω διενοήθη καὶ διεπράξατο καὶ ταῦτα ἦν τοῖς ὑπ' αὐτὸν ὑποθέμενος, βασιλεὺς δὲ ὡς λέων ἀλκῇ πίσυνος βουκόλια βοῶν ἢ αἰγῶν αἰπόλια τὰ τῶν βαρβάρων κείρας συστήματα, καὶ πολλὰς μὲν συγκτήσεις πυρὶ παραδούς, οὐκ ὀλίγων δὲ σωμάτων ἐγκρατὴς γεγονώς, ἐκεῖθεν ἐπάνεισι. καὶ γράμμα μὲν εὐθὺς εὐάγγελον ἐχαράττετο, τοῖς τῆς πόλεως σημαῖνον οἰκήτορσι τὰ ἐξ ὑπογυίου ταυτὶ κατορθώματα, καὶ ὁ τοῦτο κομίζων ἀγγελεὺς ὁ μέγας ἦν δομέστικος· μετὰ βραχὺ δὲ καὶ ὁ τῶν ἀν-
V. 48 δραγαθημάτων ἐπιφθάνει πατήρ, καὶ καταγαγὼν ἐπὶ τοῖς τελεσθεῖσι τούτοις περιφανῆ θρίαμβον, καὶ παρὰ τοῦ δήμου
B καὶ τῆς συγκλήτου πάσης εὐφημηθεὶς καὶ τῇ τῶν κρότων ὑψηγορίᾳ διαχυθείς, εἰς ἁμίλλας ἵππων ἀπεῖδε καὶ θέατρα.

Ἄρτι δὲ τοῦ ἔαρος ὑποφαίνοντος τὴν Πελαγονίαν αὖθις κατέλαβε, καὶ ἐπείπερ ἡ πρὸς Σικελίαν ἄφιξις αὐτῷ ἀπηγόρευτο, χρήμασιν ἐφοδιάσας πολλοῖς ἄνδρα δραστήριον, τῶν ἐπισήμων ἕνα καὶ εὐγενῶν, τὸν Παλαιολόγον φημὶ Μιχαήλ, καὶ στρατιὰν αὐτῷ παραδοὺς ἱκανὴν καὶ χεῖρα συχνὴν ἐγχειρίσας ἐκεῖσε ἐξέπεμψεν. ὁ δὲ κατὰ τὸ βασιλεῖ δοκοῦν ἐς Βε-

4. ἑκάστῳ φυγῇ διαθέσθαι τὴν σ. A. 5. εἰς om A. 11. γράμμα] χρυσόβουλλον B. 18. εἰς ἁμίλλας] ἐπὶ ἱπποδρομίαις καὶ παραβιβασμοῖς ἔβλεψε B.

obiecit, data cuique potestate salutis fuga, suopte exemplo, quaerendae vitaeque pedibus redimendae. quae cum Serviorum princeps fecisset, imperator contra, leonis instar freti viribus, armenta boum aut greges caprarum dissipantis, profligatis barbarorum cohortibus multisque possessionibus crematis, nec paucis mancipiis captis, inde discedit, ac literas rei bene gestae nuntias per magnum domesticum in urbem mittit. nec multo post ipse consecutus, actoque triumpho, et laetis acclamationibus applausuque senatus populique totius exhilaratus, ad equestria certamina et spectacula convertit animum.

Vere appetente Pelagoniam denuo occupat. et quia de Siciliensi expeditione ipse desperarat, Michaelem Palaeologum, virum acrem illustrem et ab antiqua stirpe nobilem, magna pecunia et iustis militum copiis instructum eo ablegat. qui ex sententia imperatoris prius Venetias profectus, ibique milite conducto, et ex Italicis provinciis magna lanceariorum manu collecta, iam magnis viribus auctus

νετίαν ἀφίκετο πρότερον, καὶ μισθοφορικὸν ἐκεῖθεν ἀγηοχὼς κἀκ τῶν Ἰταλιωτίδων χωρῶν στρατολογήσας ἀδρὸν κοντοφορικὸν καὶ γενόμενος ἤδη μεγαλοδύναμος πρὸς τὴν Λογγιβαρδίαν κατέπλευσε, καὶ συμμίξας ταῖς ἐκεῖσε δυνάμεσι τοῦ ῥηγὸς τροπαιοφορεῖ κατ' αὐτῶν καὶ νίκαις ἀναδεῖται λαμπραῖς, C ἔχων ἐπὶ πᾶσι συγκροτοῦντά οἱ καὶ συναντιλαμβανόμενον καί τινα κόμητα Ἀλέξανδρον, ἐκ ταυτοῦ μὲν ἀπορρύεντα αἵματος τῷ ῥηγί, προσκεχωρηκότα δὲ προσφάτως Ῥωμαίοις δι' ἅς ὑπέστη παρ' αὐτοῦ συμφοράς. καὶ ὁ μὲν Παλαιολόγος ἀεί πως ἐνεπλατύνετο, καὶ σπείρων φιλοτίμως καὶ διαδοὺς τὰ χρήματα ἐλύπει καιρίως τὸν ῥῆγα, καὶ εἰσέτι δράσων ἐκεῖνον ἐπίδοξος ἦν τὰ ἀνήκεστα, πλείστας τῶν ἐκεῖθι πόλεων τὰς μὲν ὁμολογίᾳ χειρούμενος τὰς δὲ καταστρέφων. ἀλλὰ καὶ λίθων μετενεχθέντων ἐκεῖθεν, καί τινων ἀναπεμφθέντων αἰχμαλώτων τῷ βασιλεῖ, πόλις κατὰ τὴν τῶν Αἰγαιοπελαγιτῶν χώραν τειχίζεται, Βάρη καὶ Αὐλωνία παρωνύμως ἐσέτι D ὀνομαζομένη.

7. Βασιλεὺς δὲ αὐτὸς αὖθις μαθὼν κακουργεῖν τὸν Σερβίας δυναστεύοντα οὔρεσι καὶ χείρονα δρᾶν τῶν προτέρων, ὡς καὶ σπείσασθαι κατὰ Ῥωμαίων τοῖς γείτοσι Παίοσι, διασσεύει κατ' αὐτῶν, ὡς μὴ ἀξιομάχων ἀφροντιστῶν. οἱ δὲ καὶ ὑπὲρ δόξαν χεῖρας ἀντῆραν, καὶ τὸν κατ' ὀφθαλμὸν ἐθάρρησαν πόλεμον, πλεῖστον συμμαχικὸν Οὐννικὸν ἐπαγόμενοι, ὅτε καὶ ὁ Καντακουζηνὸς Ἰωάννης συμπλακεὶς τοῖς βαρβά-

1. μισθοφορικὸν] πεζικὸν A. 10. σπείρων] παρέχων B. 11. καιρίως] μέχρι καὶ θανάτου B. 15. κατὰ τὴν] εἰς τὸν τοῦ σκαμάνδρου τόπον B. 18. τὸν ῥῆγα σερβίας τὸν οὔρεσην B. 20. τοῖς γείτοσι] ἐκ τῶν οὔγγρων συμμαχίαν λαβὼν B.

in Longobardia appellit, ibique regis copias illustribus victoriis superat, strenuam operam in rebus omnibus navante comite quodam Alexandro regis cognato, qui ob iniurias ab illo sibi illatas recens ad Romanos defecerat. ac Palaeologi opes subinde augebantur; qui cum pecuniam liberaliter distribueret, regi permolestus erat et maximas clades illaturus putabatur, plurimas urbes partim deditione partim vi capiendo; ac saxis inde translatis et captivis aliquot ad imperatorem missis, in ora Aegaei maris urbem quae etiam nunc Bare et Aulonia nominatur, munit.

7. Ipse vero imperator cognitis Serviae principis iniuriis maioribus quam superiores fuerant, et conspiratione cum finitimis Paeonibus contra Romanos inita, illos ut minime pares per contemptum aggreditur. illi vero praeter opinionem resistentes bellum non reformidarunt, maximis Hunnorum auxiliis ascitis. tum Iohannes Canta-

ροις καὶ μέχρι τοῦ δοῦναι καὶ λαβεῖν ἐγκαρτερήσας πληγὰς
τοὺς δακτύλους τῶν χειρῶν ἀπεβάλετο, πολλῶν ἐπιβρισάντων
ἐκείνῳ Σέρβων. καὶ βασιλεὺς δὲ αὐτὸς κατὰ μονομαχίαν τῷ
ἀρχιζουπάνῳ Βαχχίνῳ προσέμιξεν, ἡρωϊκὸν προφαίνοντι σῶ-
μα καὶ αὐτουργοὺς χεῖρας ἐξ ὤμων φύοντι· καὶ ὁ μὲν κα-
P. 62 τὰ τῶν προσώπων πλήττει τὸν βασιλέα καὶ διαθλᾷ τὸ ἐκ τοῦ
κράνους καταχεχυμένον τῶν ὄψεων ἐκείνου σιδήρεον παρα-
πέτασμα, ὁ δὲ τὴν χεῖρα τούτου τῷ ξίφει διήλασε καὶ ἀπό-
λεμον ἔδειξε καὶ ζωγρίαν ἐκ τοῦδε συνείληφεν. ὡς δὲ καὶ
οὕτω Ῥωμαίοις αἰθρία νίκης ἐπέλαμψε τῶν βαρβάρων δια-
λυθέντων δίκην νεφῶν, κἀκ τῶν ἐπαριστερῶν ἀρχῶν εἰς τέ-
λος ἀπήντησεν ὁ πόλεμος δεξιώτατος, κατὰ τῶν Οὔγγρων
ἐκ τούτου ὁρμᾷ, μήπω τὴν τῆς μάχης κόνιν ἐκ τῶν προσώ-
πων ἀπομορξάμενος ἀλλ' ἔτι θερμοῖς ἱδρῶσι σταζόμενος,
ἐπίκλημα φέρων τὴν τῶν Σέρβων ἐπικουρίαν, καὶ τὴν ἀπου-
σίαν ἁρπάζων τοῦ ἐπαρήξοντος· ὁ γὰρ τῶν Οὔγγρων ῥὴξ
B οὐκ ἦν κατὰ χώραν, τοῖς γειτνιῶσι Ῥῶς συμπλεκόμε-
νος. καὶ δὴ τὸν Σάουβον διαβὰς ποταμὸν καὶ τῷ Φραγ-
γοχωρίῳ ἐμβαλὼν (ἔστι δὲ τόδε τμῆμα τῆς Οὐγγρίας οὐ τὸ
ἐλάχιστον ἀλλ' ἱκανῶς πολυάνθρωπον, μεταξὺ Ἴστρου καὶ
Σαούβου τῶν ποταμῶν ἀναπεπταμένον, καθ' ὃ καὶ φρούριον
ἐρυμνότατον ἔκτισται, ὃ Ζεύγμινον ἐπικέκληται, ὅπερ νῦν
λέγεται Σίρμιον) χειρίστως τὰ ἐκεῖ διέθετο. τότε καί τις

2. τοὺς om A. 3. ἐκείνῳ] αὐτῷ A. 8. διήλασε] ἀπέκοψε B. 18. Σάουβον] σάον B. 19. τόδε] τοῦτο τὸ καπετανίκιον τῆς οὐγγρίας τὸ χρησιμώτατον B. 22. ὃ] ὅπερ A, omissis mox ὅπερ — Σίρμιον.

euzenus barbaros adortus pugna non prius excessit quam illatis acceptisque plagis manuum digitos amitteret, a Serviorum multitudine circumventus. ipse quoque imperator cum Archizupano Bachino singulari certamine congreditur, viro heroica statura et lacertoso; qui cum faciem imperatoris percussisset et ferreum eius velamen e galea deiecisset, ipse vicissim manu ense traiecta debilitatus vivus in imperatoris potestatem venit. posteaquam ibi quoque Romanis victoriae serenitas affulsit, barbaris instar nubium dissipatis, et malum pugnae principium finis auspicatissimus est secutus, Hungaris missa Serviis auxilia causatus, superioris praelii pulvere nondum deterso, sed calido adhuc sudore manans, captata defensoris absentia bellum infert. Hungarorum enim rex peregre aberat, cum finitimis Rossis depugnans. itaque Savo fluvio superato factaque in Francochorium impressione (ea non minima Hungariae pars est, sed habitatoribus frequens, inter Istrum et Savum fluvios patens, in qua castellum munitissimum Zeugminum, quod nunc Sirmium vocant, situm est)

Παίων μεγέθει μέγιστος καὶ ἀνδρεῖον προφαίνων ψυχῆς παράστημα, τῶν ἄλλων ἀποδιαστὰς ἐς αὐτὸν τὸν βασιλέα θυμῷ φέρεται. ὁ δὲ τοῦτον ὑποστὰς ἐς τὸ μέσον τῶν ὀφθαλμῶν τὸ ξίφος διελᾷ καὶ ἀφίστησι τῆς ζωῆς. πολλοὺς τοίνυν ζωγρίας λαβὼν καὶ πραγμάτων οὐκ ὀλίγων γενόμενος ἐγκρατὴς πρὸς V. 49
τὴν βασιλίδα πόλιν ἐπάνεισιν. ἐς δ' ὅσον πλεῖστον ἀπομηκύ- C
νας τὸν θρίαμβον, λαμπρότατα ὡς ἐνῆν διὰ τῶν τῆς πόλεως ἀμφόδων ἐπόμπευσεν. ὑπερεξῆραν δὲ τὴν τηνικαῦτα κομψότητα τῆς πομπῆς τῶν Οὔγγρων οἱ νεαλεῖς καὶ τῶν Σέρβων οἱ δορυάλωτοι, στολὰς ἐνησθημένοι λαμπρὰς καὶ ὑπὲρ τύχην ἐρωμένας αἰχμάλωτον, βασιλέως αὐτὰς παρασχομένου, ὡς ἂν εἴη καὶ ἐντεῦθεν ἡ νίκη περίδοξος καὶ τοῖς πολίταις αὐτοῖς διὰ θαύματος καὶ ὅσοι μὴ ἐνδαποί, ὡς ἀνδρῶν κεχειρωμένων κατὰ τὸν πόλεμον τῶν ἐκ γένους ἐπισήμου καὶ ἀξίων τοῦ περιβλέπεσθαι. θαυμαστὴν δ' ἐποίει τὴν τότε πομπαίαν πανήγυριν καὶ τὸ μὴ παριέναι ἀθρόους τοὺς αἰχμαλώτους, ἀλλὰ κατὰ συμμορίας καὶ ἐκ διαλειμμάτων ἀφεστῶτας ἀλλήλων, ὡς D
κλέπτεσθαι τὴν ὄψιν ἐντεῦθεν τῶν θεωμένων καὶ ὑπὲρ τοὺς ὄντας τοὺς παριόντας φαντάζεσθαι.

Ἐν τούτῳ δὲ καὶ Σκυθῶν τὸν Ἴστρον διαπεραιωσαμένων καὶ τὰ περὶ τὸν ποταμὸν τοῦτον ληϊζομένων Ῥωμαϊκὰ φρούρια, στέλλεται κατ' αὐτῶν Καλαμάνος τις. ἀλλ' οὗτος μὴ δεξιῶς διαστρατηγήσας τὸν κατὰ Σκυθῶν πόλεμον ἡττήθη τε

3. τοῦτον] ἀντέπεισι τούτω καὶ κατ' ὀφθαλμὸν τὸ ξίφος ἐλᾷ A, συναντήσας πλήττει μέσον τῶν ὀφθαλμῶν B. 16. ἀλλὰ τάξεις τάξεις B. 20. Σκυθῶν] κόμανοι τὸν δάννουβιν διαπεράσαντες B. 23. κατὰ] τῶν A:

provinciam illam pessime tractat. tum Paeon quidam ingenti corpore, et animum fortissimum prae se ferens, relictis caeteris in ipsum imperatorem impetu fertur. is vero gladio inter utrumque oculum traiecto barbarum occidit; multisque captis, et opibus non paucis potitus, in urbem imperatricem regreditur; ac triumpho quam maxime extento splendidissimam pompam per urbis circuitus duxit. cuius elegantiam Hungarorum et Serviorum captivi illustrarunt, vestibus splendidioribus quam pro sua conditione ab ipso exornati, ut ea quoque re victoria gloriosior et civibus atque exteris admirabilior esset, quippe captis viris eo bello nobilibus et spectatu dignis. illud etiam pompae eius admirationem auxit, quod captivi non omnes una ibant, sed in classes distributi atque intervallis distincti, ut spectantium oculi decepti maiorem esse numerum arbitrarentur.

Interea Scythis Istrum transgressis et Romanorum castella ripensia populantibus, Calamanus quidam contra eos missus, cum bellum imprudenter administraret, acie victus, multisque viris fortibus amis-

ὑπ' αὐτῶν κατὰ κράτος, ὡς αἱ τάξεις ἐῤῥώγεσαν, καὶ ἄνδρας ἀγαθοὺς ἀπεβάλετο, καὶ αὐτὸς δὲ καιρίας ἐς τὸ σῶμα δεξάμενος τὸ ζῆν μετήλλαξεν. οἱ δὲ Σκύθαι κατὰ τὸν αὐτοῖς εἰωθότα τρόπον λείαν τὰ ἐν ποσὶ θέμενοι καὶ ἀναθέμενοι τοῖς ἵπποις τὰ λάφυρα νόστου ἐμνήσαντο. ῥᾳδία δὲ αὐτοῖς ἡ τοῦ Ἴστρου περαίωσις, εὐχερεστέρα δὲ καὶ ἡ κατὰ προνομὴν ἐπέλευσις, οὐ κοπηρά τε καὶ ἐργώδης ἡ ἀναχώρησις. ὁπλισμὸς γὰρ αὐτοῖς γωρυτὸς ἐπὶ τῆς ἰξύος ἐξηρτημένος πλάγιος καὶ καμπύλα τόξα καὶ ἄτρακτοι. εἰσὶ δ' οἳ καὶ δοράτια κραδαίνουσι περιε-
P. 63 λίσσουσί τε κατὰ τὸν πόλεμον. ὁ δ' αὐτὸς ἵππος καὶ τὸν Σκύθην ὀχεῖ, διὰ πολέμου φέρων τοῦ πολυάϊκος, καὶ τροφὴν χορηγεῖ σχαζομένης τῆς φλεβός, ὡς δέ φασι, καὶ ὀχευόμενος, εἰ ἔστιν ὁ ἵππος θηλυκός, τὴν ἄλογον ἀφροδίτην τοῦ βαρβάρου ἀποκενοῖ. σχεδιάζει δὲ τοῖς Σκύθαις τοῦ ποταμοῦ τὴν διάβασιν κάρφης πλήρης διφθέρα, λίαν ἐς τὸ ἀκριβὲς σύσπαστος, ὡς μηδὲ βραχὺ λιβάδιον ἐπεισρέειν ἔσωθεν. οὐκοῦν ταύτην περιβὰς ὁ Σκύθης ἱππείας ἐξημμένην οὐρᾶς, καὶ τὴν ἀστράβην ἐπαναθεὶς καὶ ὅσα τοῦ πολέμου ὄργανα, ῥᾷον διαπλωΐζεται, οἷα σκάφος λαίφει τῷ ἵππῳ χρώμενος καὶ τὸ τοῦ Ἴστρου διανηχόμενος πέλαγος.

Καὶ ὧδε μὲν εἶχε ταυτί· ὁ δέ γε Παλαιολόγος, τὴν Φιλο-
B πράγμονα αἰτίαν ἀπειληφὼς καὶ τὸν δαπανηρὸν Ῥωμαίοις ἀξυν-

3. τὸ ζῆν] τὴν ζωὴν A. 4. λείαν] τὰ κούρση ἐν τοῖς ἀλόγοις φορτώσαντες B. 8. γωρυτὸς] κούκουρα B. ἠρτημένος πλαγίως A. 11. καὶ εἰ πεινᾷ, φλεβοτομεῖ τοῦτον B. 13. ἀφροδίτην] τῆς σαρκὸς αὐτοῦ ἐπιθυμίαν ἀποπληροῖ B. 16. ἔσωθεν] ἔνδοθεν A. quidni ἔξωθεν. 18. τὴν ἀστρ.] τὴν σέλαν αὐτοῦ καὶ τὰ ἅρματα B. 20. διανήχεται A. 22. ἀξυντελῶς] ἀξυμφόρως A.

sis, Ipse quoque ex vulneribus decessit. Scythae vero de more suo obvia quaeque praedati, et spoliis in equos impositis domum redierunt. facile autem Istrum traiiciunt, nec difficulter praedatum exeunt, citraque laborem et molestiam domum revertuntur. arma eis sunt pharetra sagittis plena de humeris suspensa, et arcus. sunt et qui hastilia vibrent et in pugna circumagant. idem vero equus Scytham et in bellum fert et secta vena alit et, ut aiunt, si feminini sexus est, belluinam eius libidinem explet. flumen transeunt corio subere expleto, itaque compacto ut nec minima guttula penetret. quo Scytha conscenso, equinaque cauda prehensa, et sella caeterisque belli instrumentis impositis, equo pro velo, corio pro nave utens facile traiicit, Istrique vastum pelagus tranat.

Interea Palaeologus, cui ingenium inquietum et inutiles pecuniae profusiones crimini dabantur, ubi primum Calabriam attigit,

τελῶς, ἐξ ὅτου Καλαβρίας ἐπέβη, τῆς στρατηγίας παραλύεται, στέλλεται δ' ἀντ' αὐτοῦ ὁ Κομνηνὸς Ἀλέξιος, ὁ τοῦ Βρυεννίου Καίσαρος υἱός, ἐξάδελφος ὢν τῷ βασιλεῖ πρὸς μητρὸς καὶ τὴν τοῦ μεγάλου δουκὸς τιμὴν ἄρτι πρώτως περιζωσάμενος. συνεκπέμπεται δέ οἱ καὶ ὁ δούκας Ἰωάννης, ἀνὴρ ἑρμαϊκὸς ὁμοῦ καὶ ἀρεϊκός, οἷα παιδευμάτων ἐλευθερίων οὐκ ἄκρῳ λιχανῷ γεγευμένος καὶ γένους εὖ ἔχων καὶ μεθόδων ἴδρις στρατηγικῶν. οὗτοι οὖν ἐς Σικελίαν τὸν πλοῦν θέμενοι συνέμιξαν ταῖς δυνάμεσι τοῦ ῥηγὸς καὶ μεγάλαις ναυμαχίαις πολλάκις αὐτὸν κατεπάλαισαν, ὡς τάς τε νῆας τούτου διαρρυῆναι, ἐγγὺς δὲ πολιορκίας καὶ αὐτὸ γεγονέναι τὸ Βρεντήσιον. C
ἀλλ' οὔπω ἡ τύχη τοῖς λαμπροῖς τοῖσδε καθαρῶς ἐπεμειδίασεν ἀγωνίσμασιν, οὔτε μὴν ὁ βασιλεὺς ὡς ἔδει ταῖς καλλίσταις ἐνεώρτασεν ἀγγελίαις· καὶ ὁ ῥὴξ μείζονα ἀθροίσας δύναμιν καὶ ξενικὸν ἐπαμησάμενος οὐ βραχὺ τὴν ἧτταν ἐπῆλθεν ἀναμαχούμενος, καὶ συμβαλὼν περιγίνεται τῶν ἀνδρῶν, καὶ συλλαβὼν δεσμώτας εἴργνυσιν ἀμφοτέρους, ἐν ἀκαρεῖ καιροῦ ἀνατρέψας ὅσα πόνῳ καὶ δαπάναις μεγίσταις ὑπὸ Ῥωμαίων εὐημερήθησαν. τοιούτοις οὖν ὁ Μανουὴλ ἀκούσμασι καὶ ἀγγέλμασι τὴν πρότριτα θυμηδίαν ἀποκλυσάμενος, ὅσα τε ἀψινθιώδεσι κεράσμασιν ἐμπικρανθεὶς τὴν ψυχήν, ὡς εἰκὸς μὲν οὐκ ἤνεγκε τὸ γεγονὸς φορητῶς, ἀλλ' ἱκανῶς ἐπαθήνατο. D
οὐκ ὢν δὲ ψοφοδεής, μηδ' ἀναπίπτων ἐν τοῖς δεινοῖς συναντήμασιν, V. 50
οὔτε μὴν τῷ οὔρῳ τῶν πραγμάτων παρ' ὃ δεῖ κου-

5. ἀνὴρ εὐγενὴς καὶ ἀνδρεῖος, τὴν ἡμετέραν γραμματικὴν πεπαιδευμένος B. 10. κατεπάλαισαν] κατεπολέμησαν A. 11. βρεντέσιον A. 17. ἀμφοτέρους] τοὺς κεφαλάδας B. 24. οὔτε] οὐδ' αὖ πάλιν ἐν ταῖς εὐχολίαις τῶν πραγμάτων διαχεόμενος παρ' ὃ πρέπον ἦν, ἀλλὰ πάντα ἐν καιρῷ ποιῶν B.

imperio abire iubetur, successore misso Alexio Comneno, Bryennii Caesaris filio, consobrino Manuelis, magni ducis honore nuper aucto. una cum eo etiam Ducas Iohannes mittitur, vir et Martialis et Mercurialis; qui liberales disciplinas non primoribus labris attigerat, nobili ortus genere et disciplinae militaris non ignarus. hi igitur in Siciliam cum venissent, copias regis adorti classem eius saepe devicerunt, adeo ut naves dilaberentur et ipsum pene Brundusium obsideretur. sed fortuna illustribus certaminibus non plane favit; neque imperator pulcherrimorum nuntiorum eum quem oportebat fructum cepit. nam rex maioribus copiis coactis conductoque peregrino milite detrimenta accepta resarcire studuit; eosque adortus vincit, capit, in vincula coniicit, paulo momento eversis iis omnibus quae Romani maximis laboribus et impensis consecuti fuerant. Manuel vero iis

φιζόμενος, οὐδ' αὖ πάλιν ἀγεννῶς ταῖς τούτων καταιγίσιν ὑποκλινόμενος, ὡς πρὸς τὴν τότε τύχην ἀγνωμονοῦσαν ἀντιπράττων διημιλλᾶτο. ἔνθεν τοι καὶ ἑτέραν ἐξαρτύσας ναυτικὴν δύναμιν ἐφίστησιν ἡγέμονα ταύτης Κωνσταντῖνον τὸν Ἄγγελον, ὃς ἐκ μὲν Φιλαδελφίας ὥρμητο καὶ γένους ἦν οὐκ εὐπαρύφου πάνυ καὶ εὐγενοῦς, εὖ δ' ἔχων τῆς σωματικῆς φυῆς κἀπὶ τοῦ προσώπου λειμῶνα κάλλους κηπεύων τὴν Θεοδώραν πρὸς γάμον ἠγάγετο, ἣν Ἀλέξιος ὁ βασιλεὺς ὁ προπάτωρ τῷ Μανουὴλ ἐγείνατο, τὸ κάλλος εὐτυχήσας προμνήστριαν. ἐπεὶ δ' ἅπασι σχεδὸν δοκεῖ τοῖς πάλαι καὶ σήμερον μέγα δυναμένοις ὡς πρὸς τὰς τύχας συναίρονται καὶ τὰ κατὰ τὸν ἀνθρώπινον βίοτον συναντήματα οἱ τῶν ἀστέρων ἀνα-
P. 64 ποδισμοὶ καὶ προποδισμοὶ καὶ αἱ θέσεις αὗται καὶ τὰ τοιάδε τῶν πλανήτων σχήματα, οἱ πλησιασμοί τε καὶ ἀποστάσεις, καὶ τὰ λοιπὰ ὅσα οἱ ἀστρολέσχαι φασὶν τῆς θείας προνοίας καταψευδόμενοι καὶ λεληθότως τὸ εἵμαρτο καὶ τὰ δεδογμένα τῇ ἀνάγκῃ ἀναλλοίωτά τε καὶ ἀνεπίκλωστα παρεισάγοντες, ὡραίαν τῷ Ἀγγέλῳ τὴν ἔξοδον ἀπακριβοῖ. καὶ εἶχε μὲν τῷ Ἀγγέλῳ τὰ ἐξιτήρια συνταξάμενος· ἀλλὰ τί; οὔπω εἰς ὀψίαν ἐνειστήκει ὁ ἥλιος, καὶ παλίμπους ἐπιτάσσοντος βασιλέως ὁ Κωνσταντῖνος γίγνεται. τὸ δ' αἴτιον ἡ τῆς ἐξόδου

6. εὖ δ' ἔχων] τὴν δὲ σωματικὴν εὐμορφίαν ἐπὶ τοῦ προσώπου φέρων ὡς οὐδεὶς ἄλλος τῶν τότε B. 10. ἐπεὶ δέ τισι δοκεῖ τῶν πάλαι καὶ σήμερον ὡς A. ἐπεὶ δὲ πολλοὶ ἀνόητον τύχην δοξάζουσιν, ὡς πρὸς τοὺς σχηματισμοὺς τῶν ἀστέρων καὶ τὰ πράγματα γίνονται, εἱμαρμένην εἰσάγοντες καὶ τῆς θείας προνοίας καταψευδόμενοι φαίνονται B. 12. βίον A. 20. παλίμπους] πάλιν στρέφεται B.

rumoribus et nuntiis excussa pristina laetitia et in moerorem conversa, etsi casum illum non sane leviter ac moderate tulit, sed luctui non parum indulsit, tamen ut homo constans, qui nec adversae fortunae cederet nec rebus prosperis laetitia efferretur, quasi cum illa calamitate pugnare instituit, aliaque classe comparata ducem designat Constantinum Angelum Philadelphiensem. qui cum genere non admodum nobili esset ortus, sed procera statura et insigni forma praeditus, Theodoram Alexii avi Manuelis filiam pulchritudine pronuba uxorem duxerat. quia vero potentibus fere omnibus tum nostrae tum superioris aetatis placitum est stellarum progressiones et retrocessiones certosque positus, configurationes, accessus, recessus, caeteraque quae nugatores isti in divinae providentiae fraudem affirmant, ac dissimulanter fatalem omnium rerum necessitatem statuunt, ad felicitatem humanosque casus multum valere, Manuel idoneum exeundi tempus inquirit, idque Constantino denuntiat. sed quid fit? nondum ad occasum urgebat sol: Manuelis iussu homo revocatur ob

ακαιρία, καὶ τὸ τῆς ὁδοῦ τὸν Ἄγγελον ἅψασθαι οὐχ ὡς ἀγαθοὶ σχηματισμοὶ τῶν ἀστέρων ἐκέλευον ἢ γοῦν ἡ ἀκρίβεια B
παρεῖχε τῶν τῆς ἀστρονομουμένης σφαίρας κανόνων, ἀλλ' ὡς οἱ φλήναφοι ἐνεδίδοσαν, κακῶς φάσκοντες καὶ παχέως τοῖς λεπτοῖς ἐπιβάλλοντες, κἀντεῦθεν περὶ τὴν τῆς ὡραίας ὥρας σφαλλόμενοι εὕρεσιν. πάλιν τοίνυν θεμάτιον διετίθετο καὶ κανόνες ἀπηκριβοῦντο. καὶ οὕτω μετὰ πολλὴν τῶν ἄστρων ἔρευναν καὶ σκέψιν καὶ περισκόπησιν ὁ Ἄγγελος ἔξεισι, ταῖς τῶν ἀγαθοποιῶν ἀστέρων συνεξωρμηκὼς κινήσεσιν. ἐς τοσοῦτον δὲ ἄρα τὰ τῶν Ῥωμαίων ὤνησε πράγματα ἡ τῆς ὥρας ἀσφάλεια, ἢ τὰ τῶν πρώην ἀρχηγῶν ἀνώρθωσε πταίσματα καὶ εἴ τι ἀντίξουν συμβέβηκε μετεσκεύασεν, ὡς ἐκ τοῦ παραυτίκα χερσὶν ἁλῶναι τῶν πολεμίων τὸν Κωνσταντῖνον. ἀπερισκέπτως γὰρ εἰς Σικελίαν τὸν πλοῦν ποιούμενος συνελήφθη ταῖς θαλασσοφυλακούσαις Σικελικαῖς τριήρεσι καὶ ἤχθη παρὰ τὸν C
ῥῆγα αἰχμάλωτος. ὁ δὲ τῆς ἄγρας ἐπαινέσας τοὺς συλλαβόντας, καὶ ὡς καλῶν κάλλιστον εἰπὼν τὸ θήραμα, εἶχε καὶ τοῦτον δεσμώτην ἔμφρουρον.

8. Βασιλεὺς δὲ καὶ μετὰ δευτέραν ταύτην πληγὴν διηρευνᾶτο τὰ τῆς ἁμίλλης ἀνάλογα. ὁρῶν δὲ τὸν διὰ πολέμων αὖθις τρόπον δύσεργόν τε καὶ ἀξύμφορον, καὶ τὸ τῶν ἀναλωμάτων ἁδρὸν καὶ ἐπάλληλον ὑπειδόμενος οἷά τινα νόσον γάγγραιναν τὰ τῶν θησαυρῶν κατὰ βραχὺ ταμιεῖα νεμόμενον (ἐγγὺς γάρ που κεντηναρίων τριακοσίων χρυσίου ἀνάλωκε χρήματα), δέον

19. διηρευνᾶτο] πάλιν τὰ πρὸς πόλεμον ἡτοίμαζε B. 20. τὸν — τρόπον] τὴν δ. π. αὖθις μέθοδον A. 22. ὑπειδόμενος A. 24. χρυσίου om A. ἀνάλωκε] ἐξοδίασε B.

incommodum exitum minus fausto siderum positu, nec subtiliter et accurate perquisito. rursus igitur thema constituitur, regulae consuluntur. post longam astrorum indagationem et contemplationem Angelus exit cum beneficorum siderum comitatu. sed illa horae observatio tantum Romanis profuit, priorumque ducum errata ita correxit et accepta detrimenta resarsit, ut Constantinus statim hostium manibus caperetur. nam cum incircumspecte navigaret, a Siculis triremibus, quae mare tuebantur, comprehensus ad regem perducitur; qui ea pulcherrima praeda delectatus, suis collaudatis, eum quoque vinctum in custodiam dedit.

8. Imperator vero hac quoque plaga accepta, cum quid facto esset opus deliberans a bello difficili atque inutili magnitudine perpetuorum sumptuum deterreretur, fiscum instar cancri paulatim depascentium (nam ad CCC auri centenarios impenderat), pacem cum rege faciendam esse statuit. itaque legatos veteris Romae pontificis

D εἶναι διενοήθη σπείσασθαι τῷ ῥηγί. οὐκ ἀηδῶς τοίνυν ἀλλ' ἀσμένως δεξάμενος τὴν τοῦτο ἐπισκήπτουσαν πρεσβείαν τοῦ τῆς πρεσβυτέρας Ῥώμης προέδρου, καὶ ὡς ἄγγελον εὔξυμβολον ἀσπασάμενος, στέλλει κατὰ τὸν Ἀγκῶνα τὸν πρωτοστράτορα Ἀλέξιον, ὃς ἦν πρεσβύτερος τῶν υἱέων τοῦ μεγάλου δομεστίκου, πρὸς ἀμφότερα μερίσας τὸ σκέμμα τε καὶ τὸ βούλευμα, δηλαδὴ καὶ πρὸς ἑτοιμασίαν ὅπλων καὶ ξενικοῦ στρατεύματος συλλογὴν ἀπὸ τῶν ἑσπερίων μερῶν, εἰ τούτου δεήσειε, καὶ πρὸς τὴν τοῦ ῥηγὸς φιλίαν, εἰ προχωροῦσαν ὁρῴη τὴν ξύμβασιν. ἔνθεν τοι καὶ ὁ Ἀλέξιος ἐκεῖσε γενόμενος, δραστήριος ἄνθρωπος ὢν καὶ πᾶσαν ἐξησκηκὼς αὐτουργίαν πολεμικήν, νοῦ τε τὴν γλῶτταν ἔχων ἀνθάμιλλον καὶ χεῖρας ἀντεριζούσας ταῖς ἀρχικαῖς μεθοδεύσεσι, καὶ τὸ εἶδος αὐχῶν σεμνόν, στρατολογεῖν εὐθὺς ἐπεβάλετο, κατασεῖσαι τὴν γνώμην τῇ ἀκοῇ βουλόμενος τοῦ ῥηγός, καὶ συχνὴν ξυνέλεγεν
P. 65 ἵππον ὡς ἐς Καλαβρίαν μέλλων παρεμβαλεῖν. ἐν δὲ τῷ μέ-
V. 51 ρει καὶ τοῦ τῶν σπονδῶν ἐπεμελεῖτο καθήκοντος, καὶ ὡς ἀλλήλοις λήξουσι πολεμοῦντες ὅ τε βασιλεὺς καὶ ὁ ῥήξ, γράμματά τε πέμπων ἐς Μάϊον καὶ δεχόμενος, ὃς ἐναυάρχει τότε τοῦ στόλου τῶν Σικελῶν. πρεσβείαν οὖν ἐκ Σικελίας ἐπισπασάμενος ἀναπέμπει ταύτην τῷ βασιλεῖ, καὶ δεῖται προσσχεῖν οἷς λέγειν οἱ πρέσβεις ἔχουσιν (αἰτοῦνται δέ, ὡς πυνθάνεται, οὐχ ὑπερόρια οὐδ' ὑπέρογκα) καὶ αὐτῷ παραστή-

3. εὐξύμβουλον A. 8. μερῶν] χώρων A. 13. μεθοδίαις A. 14. σεμνότατον A. στρατολογεῖν] ῥογεύειν εὐθὺς ἤρξατο στρατὸν πεζικὸν ξενικόν B. 19. ἐς] πρὸς μαῖ B.

ea de causa missos haud invitus ac potius cupide suscepit; et ut nuntios rectissime consulentes amplexus, protostratorem Alexium, (is erat magni domestici filius natu maximus) Anconam misit bifariam suum consilium partitus, videlicet ad arma et militem conductitium in Occidente parandum, si res posceret, et ad amicitiam regis, si pacificatio successisset, conciliandam. Alexius eo profectus, homo acer et in re bellica exercitatissimus, et lingua mentis aemulatrice praeditus, et dignitate formae conspicuus, in exequendis imperatoris consiliis haud segnis, statim scribere milites instituit, ut ea fama regis animum percelleret. ac magnum equitatum coegit quasi in Calabriam impressionem facturus. interim tamen ea quoque curavit, quae ad belli compositionem et pacem inter imperatorem et regem constituendam pertinebant, ultro citroque ad Maium classis regiae praefectum mittendis recipiendisque literis. legatos igitur ex Sicilia ad se missos ad imperatorem ire iubet, petitque ut eorum orationem [illegible]t (eos enim, quantum intellexerit, nihil iniquum aut immodi- postulare), et si pacificatio successerit, id sibi, priusquam vul-

σειν, εἰ προβαίνουσι καὶ περατοῦνται τὰ τῆς καταλλαγῆς, πρὸ τοῦ εἰς ὦτα διαβῆναι πολλῶν, ἵνα μὴ ἀηδές αὐτῷ τι λάθοι διαπραξάμενος, ὄντι παρ' ἀνδράσιν οὓς αὐτὸς ἐκ τῶν φίλων χωρῶν τῷ ῥηγὶ τῶν Ἀλαμανῶν χρησταῖς ἐλπίσιν ἠνδραποδίσατο, καὶ ὧν τὴν γνώμην κατὰ Ῥωμαίων πλεῖστα πάλαι φλεγμαίνουσαν κατὰ τοῦ Σικελίας ῥηγός, ὡς εἶχε, μετέθετο. B ὡς οὖν ἐπέστη τις ἐκ βασιλέως τὴν ἀγγελίαν Ἀλεξίῳ τῶν σπονδῶν διαφέρων, λάθρα τῶν ἐκεῖ τὰ χρήματα μετατίθησι καὶ συνεκπέμπει ταῦτα τοῖς πιστοτάτοις ἑαυτῷ ἀνδράσι· τὰ δὲ κιβώτια καταλείπει τούτων κενά, σφραγῖδάς τε τούτοις ἐπιβαλὼν τοῖς κατὰ χώραν μέγα δυναμένοις παρέθετο, ἐπισκήψας ἀσυλίαν ἐπὶ τούτοις ἅπασαν εἶναι, καὶ μηδένα μεταλλᾶν τὰ ἔνδον, μήτε μὴν ἄλλως διαλῦσαι τὰ σημεῖα, εἰ μήγε αὐτὸς ἐς βασιλέα ἱκόμενος ἐκεῖθεν ἐπανελεύσεται. καὶ Ἀλέξιος μὲν οὕτως ἐκ τοῦ Ἀγκῶνος ἀπενόστησε, βασιλέως δὲ καὶ ῥηγὸς εἰρηνικὰ φρονησάντων καὶ βλεψάντων πρὸς τὰς σπονδάς, ἢ τἀληθὲς εἰπεῖν, οὐ καθαρῶς ὁμονοησάντων λυκοφιλίαν δὲ σχηματισαμένων, ὤναντο τῆς τούτων ὁποιασοῦν C ἑνώσεως οἱ αἰχμάλωτοι λυθέντες ἀνάποινοι, οὐ μόνον οἱ λαμπροὶ τὸ γένος καὶ βασιλείῳ τιμήεντες αἵματι, ἀλλὰ καὶ οἱ τοῖς στρατιωτικοῖς καταλόγοις ἐνετάττοντο, πλὴν τῶν ἐκ Κορίνθου καὶ Θήβηθεν ὁρμωμένων, καὶ τούτων ὅσοι τὸ γένος ἀφανεῖς καὶ οἱ τὰς εὐητρίους ὀθόνας ὑφαίνειν ἔλαχον, καὶ

10. κιβώτια] σεντούκια B. 13. τὰ σημεῖα] τὰς βούλας B. μήγε αὐτὸς] μὴ αὐτὸς ὡς β. ἀφιγμένος A. 21. ἐνετάττοντο] ταττόμενοι A. 22. τὸ γ.] την τύχην A. 23. εὐητρίους] εὐκιηρίους A, omisso ὀθόνας. τὴν ὑφαντικὴν τέχνην τῶν βλατίων ἐγίνωσκον B.

go innotescat, ut indicet, ne per imprudentiam aliquid perperam agat, qui apud viros sit quos ipse ex provinciis regi Alemannorum sociis spe bona quasi furto quodam ad se attraxerit, quorumque animos olim Romanis infestissimos contra Siciliae regem, ut potuerit, concitarit. ut autem quidam ab imperatore ad Alexium venit, qui pacificationis nuntium afferebat, clam civibus pecunia per fidissimos alio translata capsas inanes obsignatas procerum fidei mandat, iubetque caveri ne quid inde auferatur, neve quaeratur quid in iis sit, aut signa ante suum ab imperatore reditum aperiantur. Alexio ad hunc modum Ancona digresso et inter imperatorem ac regem pace ac foedere constituto (quanquam, si vera dicenda sunt, non vera illa concordia fuit sed temporis causa duntaxat simulata) fructum illius qualiscunque pacificationis tulerunt captivi gratis soluti, non tantum nobiles et regia stirpe orti sed etiam gregarii milites, Corinthiis tantum et Thebanis ignobilioribus exceptis, et iis qui subtilem telam

τῶν γυναικῶν αἱ καλαὶ καὶ βαθύζωνοι καὶ τὴν αὐτὴν ἀνδράσι τέχνην ἐκμελετήσασαι. καὶ νῦν ἔξεστιν ἰδεῖν τοὺς ἐν Σικελίᾳ καταίροντας Θηβαίων παῖδας καὶ Κορινθίων ἱστῷ προσανέχοντας τῶν ἑξαμίτων καὶ χρυσοπάστων στολῶν ὡς Ἐρετριεῖς πάλαι παρὰ Πέρσαις δουλεύοντας, ὅτι πολέμων ἦρξαν Δαρείῳ στρατείαν καθ' Ἑλλάδος ἐλάσαντι.

D Ἀλλ' οὔπω μακρὸς διαλελοίπει καιρός, καὶ αὖθις ἑκάτεροι ὡς ἀχανεῖς ἀμπώτιδες καὶ σύρτεις, αἳ κῦμα ὀρθὸν ἐπαιγίζουσιν, ἐς τὰς μάχας ἐπωγκοῦντο καὶ ὠροθύνοντο. καὶ βασιλεὺς μὲν ἀνέσεις τῷ ῥηγὶ τοὺς μέγα δυναμένους ἀστυγείτονας ἐκείνῳ δυνάστας, χρημάτων ἐπαίρων αὐτοὺς ὑποσχέσεσιν· ὁ ῥὴξ δὲ τῷ κόμητι τοῦ στόλου Μαΐῳ διακελεύεται νῆας τεσσαράκοντα ταχυναυτούσας πάσας καθελκύσαι τῶν νεωρίων, καὶ φραξάμενον καινότερον τὴν Κωνσταντίνου καταλαβεῖν, καὶ αὐτὸν μὲν ἐπ' ἀκροάσει τῶν ἀστυπόλων ἀναγορεῦσαι Σικελίας καὶ Ἀκυλίας Καπύης τε καὶ Καλαβρίας καὶ τῶν μεταξὺ τούτων χωρῶν καὶ νήσων ὅλων κύριόν τε καὶ
P. 66 βασιλέα, βασιλέα δ' ἐκφαυλίσαι Ῥωμαίων, καὶ κακῶς εἰπόντα ἐπανελθεῖν. ἀμέλει τοι καὶ τὰ ἐντεταλμένα πληρῶν Μάϊος, Μαλέαν ἐπικάμψας καὶ τὸν Αἰγαῖον κόλπον παραλλάξας καὶ παρημειφὼς Ἑλλήσποντον τῇ βασιλίδι πόλει προσώκειλε. καὶ πρῶτα μὲν τὸν ἰσέχοντα πορθμὸν διαπλεύσας, καὶ τοῖς ἐν Βλαχέρναις βασιλείοις κατακολπίσας, βέλη κατ' αὐτῶν ἀφῆκεν ἀργυρέους ἔχοντα τοὺς ἀτράκτους ἀληλιμμένους ἐς βά-

16. καμβύης B. 23 βέλη] σαγίτας ἀργύρεα τὰ ξίφη ἔχοντα B.

texebant, formosisque et locupletibus mulieribus eiusdem artificii peritis. ac hodie quoque Thebanos et Corinthios in Sicilia texendis pretiosis auratisque incumbere videas, quemadmodum Eretrienses olim apud Persas, quod principes Dario regi Graeciae bellum inferenti restitissent.

Caeterum non multum temporis intercessit, cum ambo rursus magno impetu bellum repetiverunt. nam imperator regulos finitimos potentiores pollicitatione pecuniae impulsos cum rege committit. rex vero Maium comitem, classis praefectum, XL naves celeres in mare deducere, iisque nova ratione constratis Cpolim appellere, atque audiente urbana multitudine se proclamare Siciliae Aquileiae (Apuliae?) Capuae Calabriae atque earum regionum insularumque quae interiacent dominum et regem, Romanorum vero imperatorem contemnere, eique ubi maledixerit reverti iussit. Maius igitur Malea declinata Aegaeoque sinu praeterito per Hellespontum ad urbem imperatricem, uti iussus erat, contendit, fretumque emensus ad re-

θος χρυσῷ, ἐν δὲ τῷ ἐκεῖθεν τὸν αὐτὸν ἐπαναμετρεῖν πλοῦν
ἀπέναντι τοῦ μεγάλου παλατίου τὰς κώπας σχάσας τὸν οἰκεῖ- V. 52
ον ῥῆγα ταῖς εὐφημίαις διατρανοῖ, συνεπηχοῦντος τοῦ ναυ-
τικοῦ πληρώματος καὶ θορυβώδη τελοῦντος τὴν ἀνακήρυξιν.
καὶ ὁ μὲν οὕτω τὸν πλοῦν ἐπιταχύνας τῆς πάλαι ᾀδομένης B
Ἀργοῦς πτηνότερον, Σηστοῦ καὶ Ἀβύδου ὡς ἄλλων Συμπλη-
γάδων ἐξέθορε, πολὺς δὲ ἀνὰ τὴν πόλιν ἐπεκύμαινε τάραχος,
βασιλέως μὴ παρόντος ἐντός. καὶ ἦν δὲ τοῦτο καύχημα τῷ
Σικελίας ῥηγί, καὶ εἰς μέγιστον ἀνεγράφετο τροπαιοῦχημα.
ὁ δὲ Μανουὴλ εἰς παίγνιον τὸ γεγονὸς καὶ γέλωτα ἀναφέρων,
τὸν τοιαύτας ἑαυτῷ τιμὰς μνηστευόμενον ῥῆγα ἢ τό γε ἀλη-
θέστερον εἰπεῖν ληστεύοντα διακενῆς ἀφῆκε βρενθύεσθαι καὶ
φυσᾶν ἐπ' οὐδενὶ χρηστῷ κατορθώματι.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ
ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ.

1. Τοιοῦτον μὲν οὖν εἰλήφει πέρας τὰ κατὰ Σικελίαν V. 53
τε καὶ Καλαβρίαν τοῦ βασιλέως Μανουὴλ ἀγωνίσματα, λαμ-

6. πτηνότερος A.

giam Blacherniam appulit; sagittisque, quarum cuspides argenteae erant aurataeque, in eam coniectis, in reditu, e regione magni palatii remis inhibitis, regem suum laudibus evehit, navalibus sociis magna voce magnoque cum tumultu acclamantibus. ita navigatione summa celeritate confecta per Sesti et Abydi angustias evasit. in urbe autem, quippe imperatore absente, magnus tumultus est excitatus; eaque re Siciliae rex non parum gloriatus magnum se triumphum esse adeptum putavit. Manuel vero id factum ludum et iocum interpretatus, quod rex tales honores consectaretur ac potius latrocinio quodam venaretur, eum gloriari inaniter et nullius momenti successum iactare passus est.

NICETAE CHONIATAE LIBER III
RERUM A MANUELE COMNENO GESTARUM.

1. Hic certaminum Manuelis in Sicilia et Calabria fuit exitus; quae quamvis splendida et sumptuosa tamen nihil fructus Ro-

P. 67 πρὸ μὲν καὶ πλεῖστα τῶν χρημάτων ἐκεῖσε μετηγγικότα, εἰς οὐδὲν δὲ τέλος εὔχρηστον Ῥωμαίοις κατηντηκότα ἢ εὐσπούδαστον τοῖς ὕστερον αὐτοκράτορσιν. ἀλλὰ τί ἔχοι τις εἰπεῖν πρὸς ἄνθρωπον οὕτω προθύμως ἀγωνισάμενον πρὸς τὸ τὰ τῆς βασιλείας εἰς τὸ κρεῖττον ἀποκαταστῆσαι πράγματα καὶ τὸ ἀλλόφυλον ὑποτάξαι, μὴ δυνηθέντα δέ; ἀλλ' οὗτος αὖθις κατὰ Παιόνων, οὓς Οὔγγρους καὶ Οὔννους φασί, στρατείαν ἐκήρυξε, καὶ τοῖς κατὰ δυσμὴν ἔχουσι τὰς οἰκήσεις ὁπλίταις ἁμάξας ἐπέταξεν ἄγειν εἰς τὸ στρατόπεδον, δι' ὧν καὶ οὗτοι ἐφοδιάσονται τὰ βιώσιμα, καὶ τῷ λοιπῷ δὲ οὕτω συναροῦνται στρατεύματι, ὅσοι τοιούτων σκευαγωγημάτων σπανίζειν
B ἤμελλον. ὡς οὖν εἰς ἓν συνήθροιστο τὰ στρατεύματα, εἶχε καὶ αὐτὸν παρόντα τὸν βασιλέα πόλις ἡ Σαρδική, ἣ νῦν Τριάδιτζα ὀνομάζεται. καιρὸν δ' οὐχὶ πολὺν ἐκεῖσε προσμείνας, ἐπεὶ ἵκετο πρεσβεία ἐκ τῶν Παιόνων καὶ λόγοι συμβατικοί, ἑτέραν τραπόμενος πρὸς τὸν τῶν Σέρβων μεταβαίνει σατράπην· καὶ διαθροήσας τοῦτον ὁδοῦ πάρεργον, καὶ πείσας αὐτὸν μόνον εἰδέναι βασιλέα καὶ δεδιέναι, τῶν δὲ μετὰ τῶν Οὔννων ἀφεστάναι σπονδῶν, πρὸς μὲν τὰ οἰκεῖα ἤδη τὸ πολὺ τῆς στρατιᾶς διαφῆκεν, αὐτὸς δὲ τὴν Θετταλῶν καταλαβὼν ἐπαρχίαν, κἀκεῖ προσδιατρίψας ἐφ' ὅσον αὐτῷ ἐδόκει καίριον, τὴν βασιλίδα εἴσεισιν πόλιν.

1. πλεῖστα] *καὶ πολυέξοδα B. 3. τί ἔχοι] τί πρὸς τὸν ἠγωνισμένον εἴποι τις ἂν καὶ οὕτω προθύμως ἡμιλλημένον ὡς εἴη παραστησάμενος τὸ ἀλλόφυλον A. 7. Οὔγγρους om A. 9. ἐπέταξεν] ἐκέλευεν A. 17. διαθροήσας] φοβερίσας B. ποιήσας A. 19. πρὸς] τὸ πολὺ τῆς στρατιᾶς καταστολιάσας B. 20. τὴν Θεττ.] εἰς Θεσσαλονίκην ἔρχεται B. 21. κἀκεῖσε διατρίψας A.

manis aut secuturis imperatoribus imitatu dignum attulerunt. sed quid dicamus de viro qui tanto studio, quamvis infelici conatu, in imperium in integrum restituendum et barbaros subigendos incubuit? inde expeditione contra Paeones, qui et Hungari et Hunni appellantur, indicta, occidentales legiones currus in castra adducere iubet, quibus et sibi ipsis commeatum adveherent et caeteris, qui vehiculis carerent, suppeditarent. cum exercitus convenisseut, ipse quoque Sardicam, quae nunc Triadiza vocatur, venit. ubi non diu commoratus, cum Paeones per legatos pacem fecissent, iter contra Serviorum satrapam convertit. quo obiter territo et persuaso ut omisso foedere Hunnico solum imperatorem agnosceret et formidaret, magna copiarum parte dimissa in provinciam Thessaliam profectus, ibique quandiu opportunum videbatur commoratus, imperatricem urbem ingreditur.

Ἡλίου δ' ἄρτι τὰς χειμερινὰς τροπὰς παρελαύνοντος εἰς Πελαγονίαν ἔξεισιν αὖθις, ὁρμητήριον αὐτὴν κρίνων ἱκανὸν ὑποδέξασθαι στρατόπεδον εἰς πεδία ἱππήλατα ὑπτιάζουσαν, C καὶ πρὸς τὰς πεύσεις εὖ ἔχειν καὶ τὴν τῶν δρωμένων κατάληψιν ὑπὸ τῶν ἐθνῶν μεθ' ὧν ἀντεπαλαμᾶτο καὶ διεφέρετο. ἔτι γὰρ τὰ κατὰ Σικελίαν μεθεῖλκον αὐτὸν καὶ ὑπέθραττον, μήπω κατασιγασθέντα τέλεον. καὶ ὁ τῶν Οὔννων τὴν ἀρχὴν V. 54 ἐζωσμένος πρὸς ξιφουλκίαν ἔβλεπεν, ὡς ἔδειξεν ἐξ ὧν ἔδρασεν. ἐπειδὴ γὰρ παρελύθη τῆς δουκικῆς ἀρχῆς Βρανιτζόβης καὶ Βελεγράδων ὁ Κομνηνὸς Ἀνδρόνικος, ὁ καὶ ὕστερον τυραννεύσας Ῥωμαίων, οἷα κρύβδην κατὰ Ῥωμαίων, ὡς ᾔδετο, τοῖς Παίοσι συντιθέμενος καὶ περὶ τοῦ παραλυθῆναι μὲν τὸν Μανουὴλ τῆς ἀρχῆς αὐτὸν δ' ἐπιβήτορα ταύτης γενέσθαι τῷ τούτων κοινολογούμενος ἄρχοντι, καὶ μετάπεμπτον τοῦτον εἶχεν εὐθὺς ἡ Πελαγονία, ὁπόσα μὴ εὐθὺν ἐκεῖνον εἰς τὸν D ἐξάδελφον καὶ βασιλέα διήλεγχον, κἀκεῖθεν ἡ πόλις ἀναπεμπόμενον δέσμιον καὶ ἐν μιᾷ τῶν τοῦ μεγάλου παλατίου φρουρῶν καθειργνύμενον τὸν κατὰ Ῥωμαίων εὐθὺς ὁ Οὐννάρχης ἐξέφερε πόλεμον, καὶ ἦν πολιορκῶν Βρανίτζοβαν καὶ κατατρέχων τὰ ἐκεῖ πάντα, λεηλατῶν τε καὶ ἄγων ὡς ᾕρητο. στέλλεται γοῦν παρὰ βασιλέως στρατηγὸς κατ' αὐτοῦ ὁ χαρτουλάριος Βασίλειος ὁ Τζιντζιλούκης. καὶ ὃς τὰς συνειλεγμένας δυνάμεις παραλαβὼν καὶ εἰς τάξεις καταστήσας, καὶ φάλαγ-

1. χειμερινὰς] ἐαρινὰς A. 2. ὁρμητήριον] ἐπιτήδειον τόπον B. 7. τὴν ἀρχ. ἐζωσμ.] κατάρχων A. 10. τυραννήσας A, ἄρξας B. 13. post ταύτης cum A omisi τῷ βασιλεῖ ἐπαναστάντα. 17. δέσμιον] μετὰ σιδήρων B. φρουρῶν] φυλακῶν B. 18. εὐθὺς ὁ Οὐνν.] αὐτίκα μάλα ὁ ῥὴξ τῶν οὔγγρων A. 20. ᾕρητο] ἤθελε A. 21. αὐτῶν A.

Post solstitium hibernum rursus Pelagoniam exit, quae quod patentes campos haberet, apta ei videbatur et ad exercitum capiendum et ad nuntios rerum quae a gentibus, quibuscum pugnabat, gererentur accipiendos. nam Siculo bello adhuc distinebatur non plane sopito; et Hungarorum princeps, ut facta eius declararunt, bellum moliebatur. postquam enim Andronicus Comnenus, qui post Romanorum tyrannidem invasit, ducatu Branizobae et Belligradi adempto, quod cum Hunnis contra Romanos conspirasse et imperium Manuele deiecto auxilio principis Hunnorum sibi vindicare velle ferebatur, Pelagoniam accersitus, et insidiarum quas imperatori et consobrino suo strueret convictus, et in custodiam quandam magni palatii datus fuit, Hunnorum princeps bello Romanis statim illato Branizobam obsidet, et late omnia incursionibus pro sua libidine vastat. quare imperator chartularium, Basilium Zinzilucem, ducem contra

γας, καὶ δόξας ἄξιον νίκης ἔχειν στρατόν, τοῖς Οὔγγροις συμπλέκεται. καὶ πρὸς βραχὺ μὲν κατηγωνίσατο τὸ πολέμιον· ἐπαναστραφὲν δὲ ὡς ἀσυντάκτως ὑπὸ Ῥωμαίων καταδιωκόμε- P. 68 νον, ὃ πέπονθεν ἔδρασε γενναιότερον. βασιλεὺς τοίνυν ἐνωτισάμενος ταῦτα τὴν ἐκεῖσε πορείαν ἐπέτεινεν, εἴ πως οἱ Παίονες πρὸς τὴν αὐτοῦ διαταραχθέντες ἄφιξιν τῶν ἐκεῖθι χωρῶν ἀπανασταῖεν· ὃ καὶ ἦσαν διαπραξάμενοι, συμβιβασθέντες μετὰ τοῦ βασιλέως, ὡς ὁ καιρὸς τότε ἔδωκεν. αὐτὸς δὲ ὡς εἶχε τὰ κατὰ Βρανίτζοβαν καὶ Βέλγραδα καταστησάμενος πράγματα, εἰς τὴν βασιλίδα πόλιν μετασκηνοῖ.

Οὐκοῦν καὶ τῶν δυσμικῶν ἐχθρῶν ἠρεμησάντων ἐπὶ βραχὺ δι' ὁμολογίας καὶ φιλιώσεως, καὶ μηδένα ἔχων τῷ τέως ἀνθέλκοντα ἐξ ἑσπέρας ἀντίμαχον ἀξιόμαχον, κυροῖ τὴν εἰς Ἀρμενίαν ἀνάβασιν. ἀπάρας οὖν ἐς Ταρσὸν καὶ ἀφιγμένος εἰς Ἄδαναν B καὶ ὅσα τῇ κάτω Ἀρμενίᾳ πρόσχωρα, καὶ ταῦτα κακοδαιμονοῦντα ὑπὸ τοῦ Τορούση διαθάλψας καὶ ἀσφαλείας τῆς δεούσης ἠξιωκώς, καὶ καταπλήξας τῇ παρουσίᾳ τὸν οὐχ ἁπλοῦν τὴν γνώμην ἀλλὰ κρυψίνουν καὶ ὕφαλον Ἀρμένιον, σχάζει τὸ πρόθυμον, οὐδὲ περὶ τῆς ὅλης Ἀρμενίας διαγωνίζεται, τὸν οἰκεῖον πατέρα ἐζηλωκώς, ἢ γοῦν ὅσα ἐκεῖνος ὑπηγάγετο φρούρια πολεμῶν, ταῦτα ὡς ἐκ φάρυγγος λύκου ποιμὴν λοβὸν ἥπατος προσαπαιτῶν καὶ λαμβάνων ἐκ τοῦ τῶν Ἀρμενίων κατάρχοντος· ἀλλὰ τῇ διπλόῃ καὶ ἀπάτῃ τῶν λόγων τοῦ Τορούση φενακισθεὶς καὶ τῇ αἱμυλίᾳ τῶν συνθηκῶν ἀπαλυν-

5. Παίονες] οὖνοι A. 9. βελέγραδα A. 11. ἐχθρῶν] ἐθνῶν A. 14. διάβασιν A. 16. τοῦ ρούση εὐεργετήσας A. 20. ὑπηγ. — κατάρχοντος] κάστρα καὶ χώρας ἐκράτησεν, οὗτος ἐκ λύκου στόματος ἠβουλήθη ἐκβαλεῖν vulgo ex B. 24. αἱμυλίᾳ] κολακείᾳ τ. σ. χαυνωθεὶς A.

eos mittit. is milite in cohortes et phalanges descripto, cum se invictum exercitum habere putaret, Hungaros adortus, victoriam non diuturnam est adeptus: nam hostes in Romanos temere persequentes conversi acceptam cladem illustriore victoria pensarunt. quo imperator audito iter eodem intendit, ut Paeones suo adventu territi provinciis illis cederent. quod cum fecissent, iis conditionibus bello composito quas tempus ferebat, Branizobae et Belligradi rebus constitutis domum redit.

Cum hostes paulisper conquiessent nec ullius opes in Occidente metuendae viderentur, expeditionem in Armeniam decernit. Tarsum igitur et Adanam profectus, et finitimis, inferioris Armeniae locis, quae Toruses afflixerat, refocillatis ac firmatis, et Armenio, viro non simplici sed occulti et insidiosi ingenii homine, sua praesentia territo, non ulterius progreditur, nec, ut pater ipsius fecerat, totam

θεὶς τὴν διάνοιαν, τὰ χαλινὰ μεταστρέψας εἰς Ἀντιόχειαν παραγίνεται, τὴν τῆς ἁπάσης Συρίας προκαθημένην καλλίπολιν.

2. Ὄντι δὲ κατὰ Ταρσὸν τῷ βασιλεῖ Μανουὴλ ἡ τοῦ C
ἐξαδέλφου Ἀνδρονίκου ἐκ τῆς φυλακῆς φυγὴ καταγγέλλεται, ἧς τὸ αἴτιον καὶ ὅσα μὲν ἐρρέθη ἄνωθεν, οὐδὲν δὲ ἧττον τὸ ἐλευθεροστομεῖν ἀεὶ καὶ τὸ τῇ ῥώμῃ τῶν πολλῶν διαφέρειν καὶ ἡ εὖ ἔχουσα πλάσις τοῦ σώματος ἀξία οὖσα τυραννεῖν καὶ τὸ τοῦ φρονήματος ἀταπείνωτον, ἃ δὴ πάντα πεφύκασιν οἱ κρατοῦντες ὑποβλέπειν καὶ κνίζον ἔχειν καὶ ἕως καρδίας αὐτῆς βάλλοντα διὰ τὸ περὶ τὴν βασιλείαν περιδεές. διὰ ταῦτα τοίνυν, ἀλλὰ δὴ καὶ τὸ ἐν μάχαις ἐνδέξιον καὶ τὸ τοῦ γένους ἐπίσημον (ἐκ γὰρ τοῦ αὐτοῦ πατρὸς Ἀλεξίου τοῦ τῷ Μανουὴλ προπάτορος ὅ τε τούτου πατὴρ ὁ βασιλεὺς Ἰωάννης καὶ ὁ τοῦ Ἀνδρονίκου γενέτης ὁ σεβαστοκράτωρ προήλθοσαν Ἰσαάκιος) ὀφθαλμοβολούμενος ἦν καὶ ὕποπτος μάλιστα. D
συνέβη δέ τι καὶ ἕτερον δι' ὃ τοῦτον ἐν φρουρᾷ συνεῖχεν ὁ Μανουήλ. τῷ βασιλεῖ τούτῳ τρεῖς ἦσαν ὁμαίμονες, Ἀλέξιος Ἀνδρόνικος καὶ ὁ πολλάκις ῥηθεὶς Ἰσαάκιος. τούτων οἱ μὲν δύο τὸ ζῆν μετήλλαξαν ἔτι τοῖς ζῶσι κατειλεγμένου τοῦ πατρὸς αὐτοῖς καὶ βασιλέως Ἰωάννου τοῦ Κομνηνοῦ, ἐσάλευε δὲ τὰς τοῦ V. 56
γένους διαδοχὰς ὁ μὲν Ἀλέξιος ἐπὶ μιᾷ θυγατρί, ἣν καὶ εἰς γαμετὴν γυναῖκα ἡρμόσατο ὁ τοῦ μεγάλου δομεστίκου Ἰωάννου υἱὸς Ἀλέξιος, ὧν πέρι καὶ εἰπόντες ἔφθημεν· τῷ δ' Ἀνδρο-

23. Ἰωάννου] ἀξοὺχ Ἰωάννου B. 24. ὧν πέρι] περὶ οὗ εἴπομεν ὄπισθεν B.

Armeniam sibi vindicat, nec castra et provincias pridem ab illo occupatas veluti e lupi faucibus eripit: sed Torusis fallaci blandiloquentia deceptus et foederis illecebris irretitus, conversis fraenis Antiochiam totius Syriae principem et pulcherrimam urbem ingreditur.

2. Dum vero Tarsi agebat, Andronici patruelis fuga e carcere illi nuntiatur; cuius illi causa fuerant ea quae supra diximus. sed tamen illa quoque incommodarunt, quod in dicendo liber et viribus praestans et forma digna imperio praeditus nunquam animum submittebat. quae res omnes imperatoribus regni amittendi metu suspectae et molestae esse consueverunt. propter haec igitur et bellicam virtutem et generis nobilitatem (nam eodem patre Alexio Iohannes Manuelis et Andronici pater Isaacius Sebastocrator nati erant) maxime observabatur et suspectus habebatur. accessit alia quoque causa cur a Manuele in custodia haberetur. imperatori huic tres fuere fratres, Alexius Andronicus et is cuius saepe facta est mentio, Isaacius, quorum duo obierant patre adhuc superstite. Alexius unam reliquit fi-

γας, καὶ δόξας ἄξιον νίκης ἔχειν στρατόν, τοῖς Οὔγγροις συμπλέκεται. καὶ πρὸς βραχὺ μὲν κατηγωνίσατο τὸ πολέμιον· ἐπαναστραφὲν δὲ ὡς ἀσυντάκτως ὑπὸ Ῥωμαίων καταδιωκόμε-
P. 68 νον, ὃ πέπονθεν ἔδρασε γενναιότερον. βασιλεὺς τοίνυν ἐνωτισάμενος ταῦτα τὴν ἐκεῖσε πορείαν ἐπέτεινεν, εἴ πως οἱ Παίονες πρὸς τὴν αὐτοῦ διαταραχθέντες ἄφιξιν τῶν ἐκεῖθι χωρῶν ἀπανασταῖεν· ὃ καὶ ἦσαν διαπραξάμενοι, συμβιβασθέντες μετὰ τοῦ βασιλέως, ὡς ὁ καιρὸς τότε ἔδωκεν. αὐτὸς δὲ ὡς εἶχε τὰ κατὰ Βρανίτζοβαν καὶ Βέλγραδα καταστησάμενος πράγματα, εἰς τὴν βασιλίδα πόλιν μετασκηνοῖ.

Οὐκοῦν καὶ τῶν δυσμικῶν ἐχθρῶν ἠρεμησάντων ἐπὶ βραχὺ δι' ὁμολογίας καὶ φιλιώσεως, καὶ μηδένα ἔχων τῷ τέως ἀνθέλκοντα ἐξ ἑσπέρας ἀντίμαχον ἀξιόμαχον, κυροῖ τὴν εἰς Ἀρμενίαν ἀνάβασιν. ἀπάρας οὖν ἐς Ταρσὸν καὶ ἀφιγμένος εἰς Ἄδαναν
B καὶ ὅσα τῇ κάτω Ἀρμενίᾳ πρόσχωρα, καὶ ταῦτα κακοδαιμονοῦντα ὑπὸ τοῦ Τορούση διαθάλψας καὶ ἀσφαλείας τῆς δεούσης ἠξιωκώς, καὶ καταπλήξας τῇ παρουσίᾳ τὸν οὐχ ἁπλοῦν τὴν γνώμην ἀλλὰ κρυψίνουν καὶ ὕφαλον Ἀρμένιον, σχάζει τὸ πρόθυμον, οὐδὲ περὶ τῆς ὅλης Ἀρμενίας διαγωνίζεται, τὸν οἰκεῖον πατέρα ἐζηλωκώς, ἢ γοῦν ὅσα ἐκεῖνος ὑπηγάγετο φρούρια πολεμῶν, ταῦτα ὡς ἐκ φάρυγγος λύκου ποιμὴν λοβὸν ἤπατος προσαπαιτῶν καὶ λαμβάνων ἐκ τοῦ τῶν Ἀρμενίων κατάρχοντος· ἀλλὰ τῇ διπλόῃ καὶ ἀπάτῃ τῶν λόγων τοῦ Τορούση φενακισθεὶς καὶ τῇ αἱμυλίᾳ τῶν συνθηκῶν ἀπαλυν-

5. *Παίονες*] οὖνοι A. 9. βελάγραδα A. 11. ἐχθρῶν] ἐθνῶν A. 14. διάβασιν A. 16. τοῦ ῥούσῃ εὐεργετήσας A. 20. ὑπηγ. — κατάρχοντος] κάστρα καὶ χώρας ἐκράτησεν, οὗτος ἐκ λύκου στόματος ἠβουλήθη ἐκβαλεῖν vulgo ex B. 24. αἱμυλίᾳ] κολακείᾳ τ. σ. χαυνωθεὶς A.

eos mittit. is milite in cohortes et phalanges descripto, cum se invictum exercitum habere putaret, Hungaros adortus, victoriam non diuturnam est adeptus: nam hostes in Romanos temere persequentes conversi acceptam cladem illustriore victoria pensarunt. quo imperator audito iter eodem intendit, ut Paeones suo adventu territi provinciis illis cederent. quod cum fecissent, iis conditionibus bello composito quas tempus ferebat, Branizobae et Belligradi rebus constitutis domum redit.

Cum hostes paulisper conquiessent nec ullius opes in Occidente metuendae viderentur, expeditionem in Armeniam decernit. Tarsum igitur et Adanam profectus, et finitimis, inferioris Armeniae locis, quae Toruses afflixerat, refocillatis ac firmatis, et Armenio, viro non simplici sed occulti et insidiosi ingenii homine, sua praesentia territo, non ulterius progreditur, nec, ut pater ipsius fecerat, totam

θεὶς τὴν διάνοιαν, τὰ χαλινὰ μεταστρέψας εἰς Ἀντιόχειαν παραγίνεται, τὴν τῆς ἁπάσης Συρίας προκαθημένην καλλίπολιν.

2. Ὄντι δὲ κατὰ Ταρσὸν τῷ βασιλεῖ Μανουὴλ ἡ τοῦ C ἐξαδέλφου Ἀνδρονίκου ἐκ τῆς φυλακῆς φυγὴ καταγγέλλεται, ἧς τὸ αἴτιον καὶ ὅσα μὲν ἐρρέθη ἄνωθεν, οὐδὲν δὲ ἧττον τὸ ἐλευθεροστομεῖν ἀεὶ καὶ τὸ τῇ ῥώμῃ τῶν πολλῶν διαφέρειν καὶ ἡ εὖ ἔχουσα πλάσις τοῦ σώματος ἀξία οὖσα τυραννεῖν καὶ τὸ τοῦ φρονήματος ἀταπείνωτον, ἃ δὴ πάντα πεφύκασιν οἱ κρατοῦντες ὑποβλέπειν καὶ κνίζον ἔχειν καὶ ἕως καρδίας αὐτῆς βάλλοντα διὰ τὸ περὶ τὴν βασιλείαν περιδεές. διὰ ταῦτα τοίνυν, ἀλλὰ δὴ καὶ τὸ ἐν μάχαις ἐνδέξιον καὶ τὸ τοῦ γένους ἐπίσημον (ἐκ γὰρ τοῦ αὐτοῦ πατρὸς Ἀλεξίου τοῦ τῷ Μανουὴλ προπάτορος ὅ τε τούτου πατὴρ ὁ βασιλεὺς Ἰωάννης καὶ ὁ τοῦ Ἀνδρονίκου γενέτης ὁ σεβαστοκράτωρ προήλθοσαν Ἰσαάκιος) ὀφθαλμοβολούμενος ἦν καὶ ὕποπτος μάλιστα. D συνέβη δέ τι καὶ ἕτερον δι' ὃ τοῦτον ἐν φρουρᾷ συνεῖχεν ὁ Μανουήλ. τῷ βασιλεῖ τούτῳ τρεῖς ἦσαν ὁμαίμονες, Ἀλέξιος Ἀνδρόνικος καὶ ὁ πολλάκις ῥηθεὶς Ἰσαάκιος. τούτων οἱ μὲν δύο τὸ ζῆν μετήλλαξαν ἔτι τοῖς ζῶσι κατειλεγμένου τοῦ πατρὸς αὐτοῖς καὶ βασιλέως Ἰωάννου τοῦ Κομνηνοῦ, ἐσάλευε δὲ τὰς τοῦ V. 56 γένους διαδοχὰς ὁ μὲν Ἀλέξιος ἐπὶ μιᾷ θυγατρί, ἣν καὶ εἰς γαμετὴν γυναῖκα ἡρμόσατο ὁ τοῦ μεγάλου δομεστίκου Ἰωάννου υἱὸς Ἀλέξιος, ὧν πέρι καὶ εἰπόντες ἔφθημεν· τῷ δ' Ἀνδρο-

23. Ἰωάννου] ἀξοὺχ Ἰωάννου B. 24. ὧν πέρι] περὶ οὗ εἴπομεν ὄπισθεν B.

Armeniam sibi vindicat, nec castra et provincias pridem ab illo occupatas veluti e lupi faucibus eripit: sed Torusis fallaci blandiloquentia deceptus et foederis illecebris irretitus, conversis fraenis Antiochiam totius Syriae principem et pulcherrimam urbem ingreditur.

2. Dum vero Tarsi agebat, Andronici patruelis fuga e carcere illi nuntiatur; cuius illi causa fuerant ea quae supra diximus. sed tamen illa quoque incommodarunt, quod in dicendo liber et viribus praestans et forma digna imperio praeditus nunquam animum submittebat. quae res omnes imperatoribus regni amittendi metu suspectae et molestae esse consueverunt. propter haec igitur et bellicam virtutem et generis nobilitatem (nam eodem patre Alexio Iohannes Manuelis et Andronici pater Isaacius Sebastocrator nati erant) maxime observabatur et suspectus habebatur. accessit alia quoque causa cur a Manuele in custodia haberetur. imperatori huic tres fuere fratres, Alexius Andronicus et is cuius saepe facta est mentio, Isaacius, quorum duo obierunt patre adhuc superstite. Alexius unam reliquit fi-

νίκῳ θυγατέρες ἐγεγόνεισαν τρεῖς, Μαρία Θεοδώρα καὶ Εὐδοκία, καὶ υἱοὶ δύο, Ἰωάννης τε καὶ Ἀλέξιος. τῶν θηλειῶν τοίνυν ἡ Εὐδοκία τὸν ἐκ παρθενίας ὁμευνέτην ἀποβαλοῦσα θανάτῳ ἀνοσίως Ἀνδρονίκῳ συνήρχετο, οὐ κρύβδην ἀλλ' ἀνέδην. καὶ τοῖς ἐπιτιμῶσιν Ἀνδρονίκῳ διὰ τὸ τῆς συνουσίας ἀθέ-
P. 69 μιτον ἡ ἀφ' ἑστίας μίμησις πρόχειρος εἰς ἀπόλογον ἦν, καὶ χαριεντιζόμενος ἀνθυπέφερεν ὡς φιλεῖ τὸ ἀρχόμενον ἐξομοιοῦσθαι τῷ ἄρχοντι καὶ τὰ τῆς αὐτῆς ὁμοστοιχεῖ καὶ συνῴδει πως κεραμείας, εἰς τὸν ἐξάδελφον ἀποσκώπτων ταῦτα καὶ βασιλέα τὸν Μανουὴλ ὡς ὁμοιοπαθέσιν ὑποκύπτοντα πάθεσιν ἢ γοῦν καὶ χείροσιν ἁλισκόμενον, εἴπερ ὁ μὲν ἀδελφοῦ θυγατρὶ συνουσίαζεν, ὁ δ' Ἀνδρόνικος ἐξαδέλφου παιδὶ συγκατέκειτο. τὸ γοῦν τοιοῦτον οὔτε τῷ Μανουὴλ ἥνδανε καὶ τοὺς ἐκ γένους τῆς γυναικὸς μαίνεσθαι ἐποίει κατ' Ἀνδρονίκου καὶ διαπρίεσθαι ἀτεχνῶς, ἐκ τοῦ πλείονος δὲ τὸν τῆς Εὐδοκίας ὁμαίμονα Ἰωάννην, ὃς τῇ τοῦ πρωτοσεβαστοῦ καὶ πρωτοβε-
B σιαρίου ἐκυδροῦτο τιμῇ, καὶ τὸν ἐπ' ἀδελφῇ τῇ Μαρίᾳ ὡσαύτως γαμβρὸν τὸν Καντακουζηνὸν Ἰωάννην. πολλαὶ μὲν οὖν, ὡς εἰκός, ἐπιβουλαὶ κατὰ τοῦ Ἀνδρονίκου αἱ μὲν ἐνδόμυχοι ἦσαν καὶ σκότιοι τυρευόμεναι, αἱ δὲ καὶ προδήλως τολυπευόμεναι· ἀλλὰ διέλυε ταύτας ὡς ἱστὸν ἀράχνης Ἀνδρόνικος, καὶ ὡς παιδίων ἐπὶ ψάμμου ἀθύρματα διεσκέδαζεν, ἀνδρείᾳ τε τῇ σφετέρᾳ πίσυνος ὢν καὶ κατὰ σύνεσιν

4. ἀνέδην] ἀδιαντρόπως καὶ φανερῶς B. 13. τὸ γοῦν] τοῦτο γοῦν οὔτε τῷ μ. ἤρεσκεν A. 22. ψαμάθου A.

liam, quam matrimonio sibi iunxit magni domestici Iohannis filius Alexius, de quibus etiam supra diximus. Andronicus filias tres suscepit, Mariam Theodoram et Eudociam, et filios duos, Iohannem et Alexium. Eudocia, defuncto marito, nefaria consuetudine Andronici non clam sed palam usa est. Andronicus vero quoties ob incestum reprehendebatur, hanc defensionem per iocum in promptu habebat, solere subditos principum mores imitari, et aquam ex eodem fonte petitam eundem saporem referre. quibus verbis imperatorem Manuelem perstringebat ut iisdem aut etiam deterioribus affectibus [illegible], qui cum fratris filia rem haberet, cum ipse patruelis [illegible] filiam complecteretur. ii sales nec Manueli placebant et [illegible] furore quodam contra Andronicum incendebant, [illegible]imis Eudociae fratrem, qui protosebasti et protove[illegible] obtinebat, Iohannem item Cantacuzenum, qui so[illegible] in matrimonio habebat. itaque aperta vi et oc[illegible]dronicus crebro oppetebatur; quas ut araneae telas [illegible] in arena facile dissipabat, cum fortitudine sua fre-

τῶν ἐναντίων ὑπερφέρων πολὺ καὶ ὅσον αἱ ἄλογοι φύσεις τῶν λογικῶν ἥττηνται, ὥστε καὶ συμβὰν οὕτω πολλάκις προσπλακεὶς ἐτρέψατο τούτους, τὰ φίλτρα τῆς Εὐδοκίας γέρας ἀρνύμενος./ ἦν δ' ὅτε καὶ αὐτὸς μὲν ἐπὶ σκηνῆς τῇ γυναικὶ κατὰ Πελαγονίαν συνεπλέκετο, οἱ δὲ καθ' αἷμα τῇ Εὐδοκίᾳ C
προσήκοντες, περιστάντες τὴν σκηνὴν ὡς τοῦτο ἔγνωσαν, μετὰ συχνῶν ὁπλοφόρων ἐτήρουν τὴν ἔξοδον ὡς αὐτίκα μάλα τοῦτον διαχειρισόμενοι. ἀλλ' οὐκ ἔλαθε ταῦτα τὴν Εὐδοκίαν καίπερ ἐφ' ἑτέροις τὸν νοῦν ἔχουσαν, εἴτε διαγγελθέντα παρά του τῶν ἐκ τοῦ γένους ἐκείνῃ, εἴθ' ἑτέρως τὸν κατὰ τοῦ φθορέως αὐτῆς λόγον γνωρίσασα· ἦν γὰρ κἀκείνη δραστήριον τὸ φρονεῖν, οὐμενοῦν κατὰ γυναῖκας πλουτούσῃ τὴν σύνεσιν. διασαφεῖ τοίνυν τῷ Ἀνδρονίκῳ συγκατακειμένῳ τὴν ἐπιβουλήν. ὁ δὲ διαθροηθεὶς ἐπὶ τῷδε τῷ ῥήματι ἐξανέθορέ τε αὐτίκα τῆς κλίνης, καὶ τὴν ἐπιμήκη διαζωσάμενος μάχαιραν διεσκοπεῖτο τὸ ποιητέον. ἡ μὲν οὖν ὑπετίθει τῷ ἐρωμένῳ γυναικείαν ὑποδῦναι στολήν, κἂν τῷ ἐπιτάξαι αὐτήν τινι τῶν D
προκοίτων καὶ κατευναστριῶν γυναικῶν λαμπτῆρα εἰσενεγκεῖν τῇ σκηνῇ, πρὸς ὄνομα καλέσασαν, καὶ οὕτως εἰς ἐξάκουστον ὡς τοῖς ἐλλοχῶσι τὴν ταύτης ἐνηχηθῆναι φωνήν, εὐθέως ἐξελθεῖν καὶ λαθεῖν. τῷ δὲ οὐκ ἤρεσκεν ἡ παραίφασις, ἐκτρεπομένῳ μὲν καὶ τὸ ἁλῶναι κἀπὶ τὸν βασιλέα ἐπισπώμενον τῆς κόμης ἄγεσθαι ἀγεννῶς, καὶ θάνατον δὲ οὐχ ἧττ-

4. σκηνῆς] τέντας B. 5. συνεπλέκετο] συγκατεκλίνετο A. 10. εἴτε περὶ τοῦ φθορέως αὐτῆς ἐγρηγοροῦσα B. 11. rectius γνωρίσασαν. 14. διαθροηθεὶς] διαταραχθεὶς A. 15. καὶ τὴν ἐπ.] καὶ τὴν αὐτοῦ σπάθην περιζωσάμενος B. 21. ἡ παραίφασις] ἡ βουλὴ A. 23. θάνατον] πλέον εἶχε θανάτου τοῦτο τὸ μετὰ γυναικείας εἰσαχθῆναι στολῆς B.

tus, tum ingenio longe superior adversariis, ut prae illo brutae pecudes haberi possent. eosque saepe vim inferentes propulsabat, pericula illa Eudociae amore abunde pensata ratus. accidit autem ut cum ad Pelagoniam in tabernaculo mulieris amplexibus indulgeret, Eudociae cognati cum multis armatis eius exitum observarent ad caedem parati. sed ea res Eudociam non fefellit quanquam aliis cogitationibus intentam, sive a cognatorum aliquo monita sive alia ratione insidias odorata fuerit, quippe et ipsa acri ingenio et plus quam muliebri prudentia instructa. insidias igitur accubanti Andronico indicat. quo verbo ille excitatus e lecto exilit, et praelongo accinctus gladio quid agendum esset deliberat. mulier vero illum monet ut muliebri veste indutus, simul ac ipsa cubiculariam clara voce, ut ab insidiatoribus etiam audiatur, lucernam inferre iusserit, statim clam egrediatur. sed id consilium viro forti non placebat, ne captus de-

ὑφορωμένῳ τὸν γυναικώδη καὶ ἀκλεᾶ. οὐκοῦν τὸ ξίφος γυμνώσας καὶ δοὺς τοῦτο τῇ δεξιᾷ ἀφάλλεται, τὴν σκηνὴν ἐγκαρσίως διατεμών, καὶ ἐν ἑνὶ πηδήματι Θετταλῷ ἄντικρυς ὑπερβαίνει τόν τε ξυγκείμενον τῇ σκηνῇ τυχὸν οὕτω θριγγόν, καὶ ὅσον ἐπεῖχον οἱ πάσσαλοι καὶ οἱ σχοῖνοι χῶρον, ὡς ἀχανεῖς γενέσθαι τοὺς ἐνεδρεύοντας καὶ τὸ διαδρᾶναι σφᾶς τὸ θήραμα θαῦμα καὶ θέαμα ἡγεῖσθαι καινόν. ταῦτα μὲν οὖν ἀκουόμενα τὸν αὐτοκράτορα ὑπέθραττε Μανουήλ, καὶ αἱ διαβολαὶ
P. 70 δὲ ὅσα καὶ ῥανίδες ἐνδελεχεῖς ἐκοίλαινον ἐς ὑποδοχὴν τῶν κατὰ τοῦ ἐνδιαβαλλομένου ἐπιχεομένων τὴν τοῦ ἐνηχουμένου ψυχήν, καὶ ἀπῆγον κατὰ βραχὺ οὗ εἶχεν οὗτος εἰς τὸν ἄνδρα ζωπύρου φιλίας, καὶ ὡς ἀληθῆ ἐνῆγον τὰ λεγόμενα παραδέχεσθαι· μηδὲ γὰρ πάμπαν τὴν φήμην ἀπόλλυσθαι, μηδὲ εἰκῇ λύουσαν τὸ πτίλον ἀμφιπεριτροχάζειν αὐθάδη καὶ βασιλειῶντα τὸν Ἀνδρόνικον. ὡς ἄρα οὐδέν τι διαβόλου γλώτ-
V. 56 της χείριστον ἐνέφυ τοῖς ἀνθρώποις ἕτερον κακόν. εἰκότως οὖν καὶ Δαβὶδ ὁ φιλῳδὸς καὶ φιλόψαλμος ἐν πλείστοις τῶν αὐτοῦ θεοπλόκων καὶ ἡδυφραδῶν εἰδυλλίων διασύρει ταύτην καὶ κωμῳδεῖ, στηλογραφῶν ἀτεχνῶς τὴν ἐξ ἐρήμου ταύτης
B ἰσχύν, καὶ ῥυσθῆναι τῶν ἑλίκων αὐτῆς ἐπευχόμενος. τῷ τοι καὶ ὁ Μανουὴλ ὡς ἄρκυσι ληφθεὶς οἷς ἦσαν τοῦ Ἀνδρονίκου πολλάκις οἱ πρὸς γένους αὐτῷ κατεπᾴδοντες, ἑκὼν ἀέκοντί γε θυμῷ τίθησιν αὐτὸν ἐν φρουρᾷ, καὶ ποδοκάκαις σιδηραῖς ἀσφαλίζεται ἀρρήκτοις ὡς ἐνῆν καὶ ἀλύτοις. ἔμενεν οὖν ἐφ'

2. ἀφαλλ.] ἐφάλλ. τῇ σκηνῇ A. 2. τὴν σκ.] σχίζει τὴν τένταν ἐκ πλαγίων B. 6. τὸ διαδρ. A, τὸ ἐκ τοῦ PW, quae mox τὸ θήραμα τραῦμα εἰς τραῦμα (θαῦμα Wolf.) μετενεγκεῖν. 16. ἐνέφηνε A.

formiter ad imperatorem capillo traheretur metuenti et muliebrem ac turpem mortem reformidanti. itaque praelongo ense arrepto, et tabernaculo obliquo ictu dissecto, saepem quae forte ante id erat, omne spatium quod vectes et funes occupabant, uno ingenti saltu transilit; quo insidiatores obstupefacti illius effugium admirabantur. his rebus Manuel turbatus, et crebris calumniis ab amore Andronici aversus paulatim crimina illa vera arbitrabatur: neque enim famam omnino esse irritam, quae talia de illo spargeret. ita nihil habet natura humana calumniatrice lingua deterius; quam Psalmographus haud immerito multis in locis detestatur, ab eaque se liberari optat. Manuel igitur cognatorum vocibus tanquam cassibus irretitus, nolens volens Andronicum in custodiam dat ferreis compedibus firmissimis vinctum; in qua cum longo tempore male tractaretur, homo audax et in rebus difficillimis ingeniosus animadvertit in turri

ἱκανὸν χρόνον τῇ φυλακῇ κακουχούμενος. θερμουργὸς δὲ ὢν καὶ ἀνθρώπων πολυτροπώτατος κἀν τοῖς ἀπόροις ποριστικὸς καὶ εὐμέθοδος, παλαίτατον κατανοήσας ὑπόνομον καθ' ὃν εἴργνυτο οἰκίσκον (πύργος δὲ οὗτος ἦν ἐκ πλίνθου ἅπας ὀπτῆς) ὕπεισι τοῦτον, ταῖς χερσὶ πρότερον ὡς ἀμάλαις ἢ σκαλίσι διαμησάμενος τὰ πρὸς τὴν εἴσοδον καὶ τὴν ἔξοδον, ὡς εἶεν ἀνύποπτα, καί τι προεκπετάσας ἔπιπλον. ἐνστάσης τοίνυν ὥρας ἀρίστου αἱ θύραι τοῦ δεσμωτηρίου παρὰ τῶν φρουρῶν C ἀνεῴγεσαν καὶ τὸ δεῖπνον εὐτρεπὲς παρεισήγετο, οὐδαμοῦ δὲ φαινόμενος ἦν ὁ δαιτυμών. περιεβλέπετο γοῦν τοῖς φύλαξιν ἡ φρουρά, μή πού τι ταύτης ἀποθραύσας ἢ διατορήσας ὁ πολύμητις Ἀνδρόνικος οἴχοιτο. ὡς δ' οὐδὲν ὅλως ἦν οὐδαμῶς λυμανθέν, οὐ θαιρός, οὐ φλιά, οὔτε μὴν οὐδὸς τῶν πυλῶν, οὐκ ὄροφος, οὐκ ὀπισθόδομος, οὐδ' ἡ σιδηρόδετος ἀναφωτίς, οὐκ ἄλλο τι τῶν ἁπάντων οὐθέν, ἀνῴμωζον διωλύγιον, τὴν ὄψιν ὄνυξιν ἔδρυπτον, ὡς ὃν ἐφρούρουν οὐκ ἔχοντες, μηδὲ τὸν τρόπον ἢ τὸν τόπον κατανοοῦντες καθ' ὃν ἐστιν ἀποδράς. δῆλα ταῦτα ποιοῦσι τῇ βασιλίσσῃ καὶ τοῖς ἐν τέλει καὶ ὅσοι τὴν βασιλικὴν ἀμφεπονοῦντο αὐλήν. οὐκοῦν ὁ μὲν ὡς φυλάξων τὰς αἰγιαλίτιδας πύλας ἐστέλλετο, τῷ δὲ ἡ τῶν χερσαίων ἐπετέτραπτο φυλακή, ἄλλος τοὺς λιμένας D διηρευνᾶτο, ἕτερος ἄλλο τι τῆς πόλεως μέρος ἀπολαβὼν ἄνετον

3. παλαιὸν ὑπονοήσας καμάρας κούφωμα ἐν ᾗ φυλακῇ ἦν (πύργος δὲ ἦν μετὰ τούβλων) B. 5. ταῖς — ἔπιπλον] παραπετάσματι τὴν ὤαν καλύψας ὡς εἴη ἀφώρατος A. 8. ἀρίστου] τοῦ γεύματος B. 12. οἴχοιτο] ᾤχετο A. 18. ποιοῦσι A ante αὐλήν.

illa latericia, cui inclusus erat, meatum antiquissimum, eumque subit manibus pro ligonibus usus, ad ingressum et exitum parandum et dissimulandum, rebus quibusdam ante foramen collocatis. sub prandii tempus carceris fores a custodibus aperiuntur, epulae afferuntur, sed conviva nusquam apparet. perlustrant illi turrim, ne ea alicubi effracta aut perfossa homo callidus sit elapsus. sed cum prorsus nihil laesum esset, non cardo, non postis, non limen, non tectum, non posticum, non ferro munita fenestra, non quicquam aliud, cum magno eiulatu faciem unguibus lacerantes, quasi amisso eo quem custodiebant, et locum et modum quo effugisset ignorantes, rem imperatrici et magistratibus aulaeque proceribus nuntiant. Alius igitur ad marinas portas mittitur, alius terrestres portas custodire iubetur, alius portus scrutatur, alius alia parte urbis occupata fugitivum Andronicum quaeritat. perquiruntur et bivia et trivia; et crebrae imperatoriae litterae in omnes provincias mittuntur, quibus fugitivus Andronicus continenter inquiri et captus in urbem remitti

ζήτει τὸν δραπέτην Ἀνδρόνικον. οὐδὲ αἱ ἄμφοδοι ἦσαν ἀδιασκόπητοι, οὐδ' ἀφύλακτοι αἱ τρίοδοι. συχνὰ δὲ καὶ κατὰ πᾶσαν χώραν τὰ βασίλεια διίπτατο γράμματα, ἄφαντον ἀπαγγέλλοντα τὸν Ἀνδρόνικον καὶ σχολὴν ἐπίμονον ἐπιτάττοντα, ὅπως ἁλοὺς ἐπαναπεμφθῇ. ἐπὶ δὴ τούτοις καὶ ἡ τούτου συλληφθεῖσα γυνὴ ὡς τῆς φυγῆς συνίστωρ τῷ δεσμωτηρίῳ παραρριπτεῖται ἐν ᾧπερ καθεῖρκτο Ἀνδρόνικος, ὡς ἐκεῖσε τίνῃ δίκας τῆς φιλανδρίας ἔνθα ὁ ταύτης συνείληπτο σύζυγος, ᾧ ὑπέθετο τὴν δραπέτευσιν. ἐλάνθανον δὲ ἄρα καὶ Ἀνδρόνικον πεδήτην ὡς πρότερον ἔχοντες καὶ μάτην εἰς γυναῖκα ταλαίπωρον τὸν χόλον ἐκχέοντες καὶ τὰ πρὸς χάριν Ἀνδρονίκῳ ποιοῦντες· ἐξαναδὺς γὰρ οὗτος τοῦ θόλου καὶ τὸν ὑπόνομον ἐκλελοιπὼς τῇ γυναικὶ ἐντυγχάνει, δόξας ὅσα καὶ δαίμων τὰ πρῶτα ὑποταρτάριος ἢ νεκύων ἀμενηνὸν ἴνδαλμα, καὶ διαταράξας τῷ ἀέλπτῳ τῆς θέας τὴν ἄνθρωπον.
P. 71 καὶ προσπλακεὶς ἐδάκρυσε μέν, πλὴν οὐχ ὅσον ἤθελον αἱ συμφοραὶ καὶ τὰ τότε δυστυχῆ συναντήματα, φειδοῖ τοῦ μὴ τὸν θρῆνον ἀναβῆναι εἰς ὦτα τοῖς δεσμοφύλαξι. καὶ δὴ ἐφ' ἱκανὸν συγγεγονὼς τῇ συνέτιδι κατὰ τὴν φρουράν, καὶ ἐγκύμονα ταύτην ἐκ τῆς τότε συνουσίας ἀπεργασάμενος, ἐξ ἧς καὶ παιδὸς ἄρρενος ἀκούσοι πατήρ, τὸν Ἰωάννην λέγω, ᾧ καὶ βασιλείας Ἀνδρόνικος μετέδωκεν ἔπειτα, ὡς ὁ λόγος εἴπῃ κατὰ καιρόν, ἐκεῖθεν ἀναχωρεῖ, οἷα τῶν φυλάκων μηκέτι κἀπὶ τῇ γυναικὶ οἵαν καὶ ἐπ' αὐτῷ τῆς φρουρᾶς παρεχομένων ἀκρίβειαν. γενόμενος δὲ κατὰ τὰ μελάγγεια συλλαμβά-

1. οὐδὲ] αἱ ῥύμαι τῆς πόλεως ἀγύρευτοι ἀπέμειναν B. 3. ἄφαντον] ἀφανέρωτον B. 4. καὶ σχ.] καὶ ὃς ἂν εὕρῃ τοῦτον ἢ κρατήσῃ αὐτόν, μεγάλην εὑρήσῃ ἀναδοχήν B. 12. τοῦ θόλου] τῆς γῆς A. 13. ἐκλελοιπώς] ἀπολελοιπὼς A. 19. συγγενόμενος A. 25. μελάγεινα B.

iubebatur. deinde uxor eius ut fugae conscia comprehensa in eundem carcerem, in quo erat Andronicus, coniicitur, ut ibi pietatis in maritum et consilii de fuga poenas daret. nesciebant illi nimirum se Andronicum habere ut prius, et bilem suam frustra in miseram foeminam effundere, et rem gratam facere Andronico, qui cum e caverna emersisset et mulierem inopinato conspectu territam allocutus pro spectro haberetur, amplexus eam illacrimat ille quidem, sed non tantum quantum illarum aerumnarum acerbitas postulabat, ne custodes eiulatum audirent. in ea custodia diu consuetudine uxoris usus, e quo congressu filius ei Iohannes postea natus est, cui nomen imperatorium, ut suo loco narrabitur, impertiit, tandem e carcere elabitur custodibus propter mulierem negligentioribus factis. sed

νεται παρά του στρατιώτου, ὅτῳ ἦν Νικαίας ἐπίκλησις· καὶ εἶχε πάλιν αὐτὸν κουστωδία μείζων καὶ χείρων τῆς προτέρας φρουρὰ καὶ ποδοπέδαι σιδηραῖ διπλαῖ. ταῦτα οὖν ὡς ἠγγέλθη B τῷ Μανουὴλ κατ' Ἀρμενίαν ἔτι στρατοπεδεύοντι, στέλλεται ὁ λογοθέτης τοῦ δρόμου Ἰωάννης ὁ Καματηρός, καὶ τὴν τοῦ ἄνακτος μὲν ὅσον οὐδέπω παρουσίαν εὐαγγελισόμενος, καὶ τὰ συμβάντα δὲ κρειττόνως διασκεψόμενος καὶ παραδηλώσων βασιλεῖ σαφέστερον.

3. Οἱ δ' Ἀντιοχεῖς τὴν ἄφιξιν τοῦ βασιλέως τὰ πρῶτα V 57 μὲν ἀγαπητῶς οὐκ ἐδέχοντο, ἀλλὰ καὶ λίαν βαρέως ἔφερον καὶ ὅπως ἐσκέπτοντο ἀποπέμψαιντο· ὡς δὲ κωλύειν οὐκ ἦν οὐδ' ἀναλύειν ὅλως τὰ δεδογμένα ἐκείνῳ, οὐ μόνον τῶν πυλῶν διεχυθέντες μετὰ δουλικοῦ σχήματος καὶ φρονήματος ὑπηντίαζον, ἀλλὰ καὶ τὴν εἴσοδον αὐτῷ ἐς τὸ πομπικώτερον C διεσκεύασαν, τάς τε ἀγυιὰς καὶ ἀμφόδους ἐπίπλοις καὶ τάπησι διεκόσμουν, καὶ δένδρων νεοδρέπτοις κλωσὶ κατηγλάϊζον, τὰς τῶν λειμώνων καὶ ἀνθέων χάριτας ἐς τὸ ἄστυ μέσον διακηπεύοντες, καὶ φιλότιμον αὐτῷ τὴν πρόοδον σχεδιάζοντες, οὐχ ὁ μὲν ὁ δ' οὔ, ἀλλ' οἰκήτωρ ἅπας ἀπαξαπλῶς, ὡς παρεῖναι καὶ Σύρον ὀψοφάγον καὶ λῃστὴν Ἰσαυρὸν καὶ πειρατὴν Κίλικα καὶ ἱππότην κοντοφόρον Ἰταλιώτην ὁμοῦ, καὶ ἵππον ὑψαύχενα καὶ ὑπέραυχον φρόνημα παρωσάμενον καὶ βάδην παριόντα τὸν θρίαμβον. ὁρῶν δὲ καὶ τὸ ἐκ τῶν Λα-

9. ἄφιξιν] ἔλευσιν B. 13. διαχυθέντες A. 15. τάς τε ῥύμας τῆς πόλεως καὶ τὰς στράτας μετὰ βλατίων χρυσῶν καὶ πευκίων ἑξαμίτων κατεκόσμουν τε καὶ ἐκαλλώπιζον B. 18. καταχηπεύοντες A. 23. καὶ om A.

cum ad Melangia venisset, a milite quodam Nicaea captus denuo in custodiam priore maiorem et acerbiorem coniicitur, duplicibus ferreis compedibus oneratus. quae cum Manueli in Armenia adhuc castra habenti nuntiarentur, Iohannes Camaterus Dromi Logotheta mittitur, qui imperatorem propediem rediturum indicaret, et quid actum esset diligentius exploratum renuntiaret.

3. At Antiocheni principio imperatoris adventu minime laeti deque eo amovendo solliciti, cum prohibere ac voluntati eius resistere non possent, non modo servilibus gestibus atque animis effusi portis obviam processerunt, sed et ingressum ei magnificum adornarunt, vicis et biviis tapetibus atque aliis rebus adornatis, ac via qua transiturus erat recentibus arborum frondibus et odoratis floribus constrata. nec quisquam ab illo honorifico occursu aberat, sed omnes inquilini confluxerant. aderat Syrus gulosus, aderat latro Isaurus, aderat pirata Cilix: eques lancearius Italicus relicto feroci equo positaque animi elatione pedibus triumphum comitabatur. cum autem

τίνων ἐκεῖσε στρατιωτικὸν μέγα τῷ δόρατι ἐγκαυχώμενον καὶ τῷ τούτου ἐνδεξίῳ φυσῶν ἀγωνίσματι, παιδιᾶς ἡμέραν συν-
D θηματίζεται δι' ἀσιδήρων δορατισμῶν. ὡς οὖν ἡ προθεσμία ἐνειστήκει, ἀριστίνδην τῶν Ῥωμαϊκῶν ἐξάγει καταλόγων τοὺς περὶ τὸ κραδαίνειν δόρατα εὐφυεῖς καὶ ὅσοι πρὸς αὐτὸν τὸ γένος ἀνέφερον. ἔξεισι δὲ καὶ αὐτὸς ὑποσεσηρὼς βραχὺ καὶ πρὸς τὸ σύνηθες μειδίαμα ὑγραινόμενος, ἐς πεδίον ὑπτιάζον καὶ ἱκανὸν ἀντιτάξαι δισχιδεῖς ἱππότιδας φάλαγγας, τὸ δόρυ μετεωρίζων, χλαμύδα ἠσθημένος ἀστειοτέραν περὶ τὸν δεξιὸν ὦμον περονουμένην καὶ ἀφιεῖσαν ἐλευθέραν τὴν χεῖρα κατὰ τὸ πόρπημα. ὤχει δὲ αὐτὸν ἵππος πολεμιστήριος καλλίθριξ καὶ χρυσοφάλαρος, ὃς ἠρέμα ὑπογυρῶν τὸν αὐχένα καὶ ὑποσκαίρων τὼ πόδε, ὡς δρόμων ἐρωτιῶν, οἷον ἀνθημιλλᾶτο τῇ τοῦ ἀναβάτου λαμπρότητι. καὶ ἑκάστῳ δὲ τῶν συγγενῶν, καὶ ὅσοι διαγωνίζεσθαι ἄλλοι τοῖς Ἰταλοῖς ἐπεκρίθησαν,
P. 72 λαμπροφορεῖν ἐπέταξεν ὡς ἐνῆν. ἐξῆλθε δὲ καὶ ὁ πρίγκιψ Γεράρδος λευκοτέρῳ χιόνος ἔποχος ἵππῳ, ἀμπισχόμενος χιτῶνα διάσχιστον ποδηνεκῆ, καὶ πῖλον ἔχων ἐπὶ κεφαλῆς κατὰ τιάραν ἐπικλινῆ, χρυσῷ κατάπαστον. συνεξίασι δὲ καὶ

2. παιδιᾶς] ἡμέραν μίαν πρὸς παραβιβασμὸν ποιῆσαι συντίθεται μετὰ κονταρίων ἀσιδηρώτων B. 5. εὐφυεῖς] δεξιοὺς A. 6. καὶ αὐτ.] καὶ βασιλεὺς A. 9. ἀστειοτέραν] περιπόρφυρον — μετὰ τεναντίου ἤτοι πούκλας ἠσφαλισμένην B. 12. χρυσοφ.] χρυσοῦν χαλινάριον φορῶν χιότην ἔχων ὄρθιον καὶ ὑψηλήν, γυράζων τὸν αὐτοῦ σφόνδυλον καὶ κρούων τὸν πόδα B. 14. ἀναβάτου] ἱππότου A. 15. ὅσοι ἄλλοι τοῖς ἰταλοῖς ἀνταγωνίζεσθαι A. 16. λαμπρειμονεῖν A. 17. γηράλδος A, γιράρδος B. λευκοτέρῳ] ἵππω ἀσπροτέρω χιόνος καβαλλικεύων B. ἀμπεχόμενος A. 18. καὶ ἐπὶ τῆς κεφαλῆς τούφαν φορῶν χρυσῆν B.

Italicum militem hastae solerti tractatione superbire videret, ludicrum certamen hastarum sine ferro instituit. cum ludorum dies adesset, delectu acto e Romanis legionibus cognatisque suis vibrandae hastae peritissimos producit. prodit et ipse, pro consuetudine sua subridenti vultu, in spaciosam planitiem, in qua equestres turmae commode concurrere possent, hasta in altum elata, chlamyde insigniore indutus, quae in dextro humero infibulabatur ut brachium esset liberum, equo bellico insidens pulchri coloris et aureis phaleris conspicuo, qui cervice leniter arrecta et humum pedibus pulsans cursus cupiditatem prae se ferebat et cum splendore sessoris veluti certabat. iussit et cognatos suos et caeteros qui cum Italis certaturi essent, quam splendidissimas vestes induere. egressus est et princeps Gerhardus, equo nive candidiori insidens, tunica acu picta usque ad talos demissa indutus, pileum auratum in capite gestans, tiarae

οἱ ἀμφ' αὐτὸν ἱππόται, πάντες ἀρεϊκοὶ τὴν ἰσχύν, εὐμήκεις τὰ σώματα. ὡς δ' ἔφριξεν ἐγχείρησιν ἡ μάχη ἄγευστος αἵματος, συνεπλέκοντο ἐκθύμως ἐξ ἀμφοῖν ἱκανοὶ ἀλλήλους διαδορατίζοντες καὶ τοὺς κατ' αὐτῶν ἀκοντισμοὺς ὑπεκκλίνοντες, ὅτε καὶ ἦν ἰδεῖν κατὰ τὸν ἄχαλκον ἐκεῖνον ἄρεα πῇ μὲν κύμβαχον ἐπὶ βρεχμόν τε καὶ ὤμους ἀνατρεπόμενον, ἄλλοσε ἱππείας ἀστράβης ἐκσφαιριζόμενον, ἄλλον πρηνῆ, ἐξυπτιάζοντα ἕτερον, ἄλλον μεταβαλόντα τὰ νῶτα καὶ προτροπάδην φεύγοντα. B ὁ μὲν ἐχλώριζεν ὑπὸ δέους, τὸν ἀκοντίζοντα δεδιώς, καὶ τῷ σάκει πᾶς ἐνεθάπτετο· ὁ δὲ ἀνθηρὸς ἦν, τὸν ἀνταγωνιστὴν κατεπτηχότα ὁρῶν. τὸ δὲ τοῦ ἀέρος ῥόθιον τῇ ὁρμῇ τῶν ἵππων τεμνόμενον ἠνέμου τὰς σημαίας καὶ λιγυρὸν ὑπεσύριττεν. εἶπεν ἄν τις οὐκ ἀκόμψως, πρὸς τὴν τηνικαῦτα διάχυσιν ἀπιδών, Ἀφροδίτην Ἄρεϊ συνελθεῖν, τῇ δ' Ἐνυοῖ συμπλέκεσθαι Χάριτας· οὕτω τὰ τότε παίγνια μῖγμα ποικιλοῦ καλοῦ ἐτύγχανεν ὄντα. ἐποίει δ' ἁμιλλᾶσθαι καὶ παραλογώτερον Ῥωμαίους μὲν τὸ ὑπερφέρειν βούλεσθαι τῶν Λατίνων καὶ κατὰ τὴν τῶν δοράτων ἀγκοίνησιν, καὶ βασιλέως αὐτοῦ ὀφθαλμοὶ ἀγωνοθέται τῶν δρωμένων γινόμενοι, Ἰταλοὺς δὲ ὁ ἀεὶ ὀρθὸς αὐχὴν καὶ τὸ ὑβρίζον φρόνημα, ἔτι γε μὴν τὸ C μηδ' ὅλως ἀνέχεσθαι Ῥωμαίους κρατεῖν τὸν διὰ κοντῶν πόλεμον. βασιλεὺς δὲ αὐτὸς σύνδυο ἱππότας προσούδισε, καθ'

6. ἄλλοτε A. 8. μεταβαλόντα] σκεπαζόμενον τὸ σκουτάριον καὶ ἀναχωροῦντα B. 9. ἐχλώριζεν] ἐλωρίαζεν A. 11. τὸ δὲ τ. ἀ.] ὁ δέ γε ἀὴρ — τεμνόμενος A. 12. τὰς σημαίας] τὰ φλάμουλα B. 15. προσπλέκεσθαι A. 22. σύνδυο] δύω καβαλλαρίους στήσας ἐν τῷ ἅμα καὶ σκυτίσας καὶ ἐγκράξας καὶ τὸν ἕνα δοὺς μετὰ τοῦ κονταρίου κατέβαλεν B.

instar inflexum, cum omnium equitum suorum comitatu, proceritate corporum et bellico animorum vigore insignium. ut ludicra illa pugna inchoata est, utrinque complures magno impetu sunt congressi, hastarum ictus in vicem ingerentes et declinantes. ibi videre erat alios resupinos pedibus in altum elatis sterni, alios pronos iacere, alios sella equestri devolvi, alios obverso tergo effuse fugere, alios pallere prae iaculorum metu et intra clypeum sese abdere, alios rubere, qui adversarios trepidare cernerent. aer vero impetu equorum verberatus vexilla cum sibilo agitabat; ut haud ab re dici posset in iis ludis Venerem cum Marte et Bellonam cum Gratiis coiisse: tanta erat varietas et elegantia. studia porro Romanorum atque audaciam aemulatio Latinisque praecellendi cupiditas et imperatoris oculi iudices actorum incendebant: Italos vero semper erecta cervix et animus superbus atque indignatio, ne Romani hastato illo certamine superiores essent, excitabant. imperator ipse duos equites

ἑνὸς μὲν ἐλάσας τὸν ἵππον καὶ τὸ δόρυ κραδάνας, ἐκείνου δὲ συγκαταβαλόντος τὸν σύνεγγυς τῇ ῥύμῃ τοῦ διακοντίζοντος.

V. 58 Πλήσας οὖν ἐπ' ἀνδρείᾳ τοὺς Ἀντιοχεῖς θαύματος, ὄψεσι παρειληφότας ἅπερ ἀκοαῖς ἐνηχοῦντο πρότερον, ἔγνω παλινῳδίαν ᾆσαι πρὸς τὴν Κωνσταντίνου τραπόμενος. ἔνθεν τοι καὶ ὡς διὰ φιλίας μέλλων ἰέναι διαφίησι τὸ στρατόπεδον, ὅποι φίλον ἑκάστῳ μεθίστασθαι. τοῦτο δὲ μὴ καθ' ἡγεμόνα ὁποῖος ἦν αὐτὸς βουλευσάμενος, ἔλαθε παραπολέσας τὸ πολὺ D τοῦ στρατοῦ καὶ κακῶς τὰ κατ' οὐρὰν διαθέμενος· ἡ γὰρ πρὸς πορείαν ὀξεῖα τούτου ῥοπὴ καὶ ἡ πρὸς τὰ οἰκεῖα ἤδη τῶν στρατιωτῶν ἀχαλίνωτος ἄπαρσις καὶ ἀλόγιστος οὐκ ὀλίγα τῶν ταγμάτων διαλυθέντα παρελυμήνατο, τῶν Τούρκων ἐπεισπεσόντων ἀθρόως αὐτοῖς, ὡς πείρᾳ γνῶναι τὸ τότε πολλοὺς οἷον ἀγαθὸν ἡ προμήθεια, τὴν δ' ὑστεροβουλίαν πρᾶγμα ἀνόνητον καὶ ἀξύμφορον, καὶ ὡς κρεῖσσον τὸ μεθ' ἡμέραν, εἰ σώζει καὶ δίδωσιν εὔκλειαν, τοῦ κατασπῶντος αὐτίκα εἰς θάνατον, κἂν ὑποσαίνῃ χρηστότητι. τάχα δ' ἂν καὶ εἰς χείριστον προύβη τὰ οἴκτιστα, εἰ μὴ βασιλεὺς ἐπαναστραφεὶς τῶν Τούρκων ἀνέστειλε τὴν φοράν, καὶ προύπεμψε τὰ στρατόπεδα μεθ' οἵας ἔδει συντάξεως πρότερον, ὅτε καὶ λέγεται P. 73 τοῖς τῶν πεσόντων ἐπιστάντα πτώμασι, καὶ τὸ πλῆθος τῶν διαφθαρέντων ὅσον κατανοήσαντα, πλῆξαί τε τῇ χειρὶ τὸν μηρὸν ἀχθόμενον καὶ περιψοφῆσαι τὰ χείλη πυκνὰ καὶ ἀνοι-

1. ἐπελάσας A. 13. ἀθρόον A. 15. τὸ om A. ἡ ἀναμονὴ B.

simul prostravit, equo in alterum et hasta invectus, qui impetu iaculi etiam alterum una secum deiecit.

Postquam Antiochenos admiratione fortitudinis impleverat, cum ipsi vidissent quae prius audiverant, Cpolim redire instituit; et per amicas provincias iter habens maximam copiarum partem dimisit. in quo prudentiae suae oblitus milites plurimos amisit, extremo agmine male tractato: nam incitata itineris cupiditas et effrenis atque inconsideratus domum itionis ardor legiones non paucas in illa dispersione afflixit, subito Turcorum insultu oppressas. tum re ipsa compertum est quantum boni sit in providentia, quantum temeritas et inconsulta consilia apportent incommodorum et malorum; ac longe praestare salutarem moram perniciosae festinationi, quantumvis initio spe bona blandienti. fortassis autem gravior clades accepta esset, nisi imperator conversus Turcorum impetum repressisset atque exercitum eo ordine, quo prius id fieri decuerat, reduxisset. cum vero cadaveribus astitisset et multitudinem interfectorum perspexisset, labiis agitatis prae dolore femur crebro percussisset et cum profundis suspiriis illacrimasse fertur, ut in aegritudine animi et

μῶξαι βύθιον καὶ δακρῦσαι, ταῦτα δὴ τὰ τῶν παθαινομένων σημαντικὰ ἐπὶ τοῖς ὁρωμένοις ἢ καὶ ἐνωτιζομένοις ἀλγεινοῖς θεάμασι καὶ ἀκούσμασι, καὶ ὁρμῆσαι μὲν τὸ ἐν ὀφθαλμοῖς ἀναμαχέσασθαι ὄνειδος, γενναῖόν δέ τι ἐξ ὑπογυίου δρᾶσαι μὴ ἔχοντα ὁδοῦ τῆς προκειμένης αὖθις ἔχεσθαι.

4. Ὁ δὲ μὴ τοῖς ὑψηλοῖς μόνον καὶ ἐθνῶν καὶ πόλεων δυνάσταις λοξὸν ἀεὶ ἐνορῶν φθόνος καὶ τοὺς ἐπιβούλους τρέφων ἀεὶ ἐγγύς, ἀλλὰ καὶ τοῖς μετριωτέροις ἐπιφυόμενος, οὗτος οὐδὲ τὸν Στυππειώτην Θεόδωρον τῆς παρὰ βασιλεῖ παρ- B
ρησίας εἴασεν ἀμετάθετον, ἀλλὰ πνεύσας καταιγιδῶδες καὶ ἄγριον ὁ δυσπάλαιστος πολλάκις μὲν τοῦ στασίμου στυφελίξας μετήνεγκε, τέλος δὲ καὶ ἀνέτρεψε καὶ εἰς πτῶμα κατήνεγκεν οἴκτιστον. παρενείρω δὲ καὶ τὰ τοιάδε τῇ ἱστορίᾳ, δεικνὺς τοῖς ἀναγινώσκουσιν ὡς κἂν ἀσυλλόγιστόν τι χρῆμα καὶ δυσφύλακτον ἡ πονηρία, χρῆναι γοῦν ὡς ἐξὸν ὑποβλέπεσθαι τῶν ἀντιτέχνων ὁπόσοι τὸν μὲν τρόπον οὐκ ἐλευθέριοι τὸ δὲ ἦθος ὑποκαθειμένοι καὶ τὴν γλῶτταν τῇ καρδίᾳ πλουτοῦντες ἀντίφθογγον, πρὸ πάντων δὲ τιθέναι τῷ στόματι φυλακὴν καὶ μὴ ἐᾶν τὴν γλῶτταν προπετῶς ἐκπηδᾶν τοῦ ἕρκους τῶν ὀδόντων καὶ τοῦ τῶν χειλέων ἐπιτειχίσματος, ἅπερ οἷα διπλοῦν ’περίβολον ἡ φύσις ταύτῃ περιεγύρωσεν. ὁ γάρ τοι τότε λογοθέτης τοῦ δρόμου οὐχ οἷός τε ὢν στέγειν C
τὴν ἐς τὸν Στυππειώτην τῆς τύχης εὐμένειαν καὶ τὴν ἀκροτάτην τοῦ βασιλέως ῥοπὴν καὶ τὸ τῷ μὲν ἅπαντα τὸν χρόνον

1. παθημάτων A. 9. παρρησίας] δυναστείας A. 13. καὶ τάδε A. 14. χρῆμα] πρᾶγμα A.

dolore fieri solet. quamvis autem susceptum dedecus abolendi cupidissimus, cum quid in praesentia ageret non haberet, institutum iter tenuit.

4. Enimvero invidia, quae non tantum provinciarum et urbium dominos subinde obliquo intuetur oculo et insidiatores in proximo alit, sed mediocres etiam insectatur, nec Styppiotam Theodorum gratia apud imperatorem pollentem inviolatum praeteriit, neque prius turbinibus et procellis agitare destitit, quam de gradu deiectum locoque motum tandem miserabiliter afflixisset. ego vero talia quoque historiae insero, ut lectores cognoscant quam improvisa et inevitabilis res sit improbitas. esse igitur, quantum liceat, eos aemulos observandos, qui ingeniis sunt illiberalibus et moribus occultis praediti linguaque pollent ab animo dissentiente, ac custodia muniendum os, nec sinendam linguam temere extra dentium septum et labiorum munitionem evagari, quibus a natura quasi duplici vallo est inclusa. nam Dromi Logotheta cum fortunae benignitatem erga Styp-

τῆς ἐς τὸν κρατοῦντα παῤῥησίας τε καὶ παρουσίας εἶναι καιρὸν καὶ ἐξεῖναι δακτύλῳ πάντα μεταφέρειν καὶ νεύματι, αὐτῷ δὲ κατὰ τακτὰς ὥρας τὴν ἐς αὐτὸν ἀνεῳγέναι πυλαίαν, καὶ τἄλλα ὅσα τῷ μὲν Στυππειώτῃ καὶ μόνον βουληθέντι ἀνύσιμα ἦν, τῷ δὲ οὐδ' ὄναρ διὰ τοῦ φανταστικοῦ ἐφιπτάμενα καὶ διὰ τοῦτο τοῦ φθόνου γινόμενα ὑπεκκαύματα καὶ ἕως τοῦ ταμιείου πλήττοντα τῆς καρδίας, σκαιωρεῖ κατὰ τοῦ ἀνδρὸς τὰ οἰκτρότατα. καὶ δεινὸς ὢν καττῦσαι δόλους καὶ δικρόαν εὐτυχῶν γλῶτταν, ὁποίαν ὄφις ὁ ψίθυρος καὶ ἀρ-
D χέκακος, φιλίᾳ ὑποκλέπτει τὸν ἄνδρα, καλῷ πράγματι συσκιάζων ἄτοπα διαβούλια καὶ δηλητηρίου σκύφου περὶ χείλη ἀγάπης μέλιτι περιχρίων. ἀμέλει τοι καὶ ἄλλα λέγων καὶ διανοούμενος ἕτερα, καὶ χείλεσι μὲν τιμῶν τῇ δὲ καρδίᾳ πόῤῥω πλαζόμενος, ἐλελήθει τὸν κατὰ τοῦτο μόνον ἀρχαῖον καὶ ἁπλοϊκὸν Στυππειώτην. ἐνδιαβάλλει τοίνυν ὡς μαγγανευτὴν τοῦτον καὶ δολιόφρονα, καὶ γράφεται προδοσίας, τὰ κατὰ Σικελίαν λέγων ἀναταράττειν πράγματα. ἀπαιτηθεὶς οὖν ὑπὸ τοῦ βασιλέως πίστεις τῶν λεγομένων, τῇ Κιλικίᾳ ἔτι
V. 59 ἐνδιατρίβοντος, αὐτὸν μὲν ἐφίστησι παραπετάσματι, τὸν δὲ Στυππειώτην ἀπολαβὼν ὡς ἔχων τι μόνος μόνῳ προσδιαλέγεσθαι, ἄγει ὅπου ἦν ἀθέατος ὁ βασιλεὺς ἑστηκώς, καὶ λόγους ἀνακινήσας ἑτέρους εἶτα καὶ τοῖς κατὰ Σικελίαν δολίως ἐνέ-
P. 74 βαλε, καὶ διδοὺς αὐτὸς ἀφορμὰς τοῦ μεμψιμοιρεῖν μήτε μὴν

8. καττῦσαι] ῥάψαι A. 9. δικρόαν εὐτυχῶν] διπλῆν δυστυχῶν A. 11. περιχειλῆ A. 15. μαγγανευτὴν] μάγον B. 17. κατὰ τὴν σικ. A. 18. ὑπὸ] παρὰ A. 20. προσδιαλέξεσθαι A.

piotam et propensissimam imperatoris voluntatem ferre non posset, ad quem illi semper pateret aditus et colloquendi potestas daretur, adeo ut digito et nutu quidvis conficeret, cum sibi certis horis tantum accedere permitteretur, et quae Styppiotes sola voluntate impetraret, ea sibi ne per somnium quidem cernere contingeret, invidia aestuans, quae ipsius animi penetralia insederat, homo callidus et instar pestiferi serpentis bifida lingua instructus amicitiae simulatione virum circumvenit, et scyphi veneno pleni oras amicitiae melle inungit, aliud dicens aliud cogitans, et labiis honorans, cum animo esset alienissimo. his rationibus Styppiotam hac una in re incautum et simplicem fallit, eumque apud imperatorem ut impostorem et dolosum criminatur, et Siculae proditionis accusat. cum vero imperator adhuc in Cilicia agens fidem sibi fieri postularet, eum sub velo stare iubet: ipse Styppiotam, tanquam arcani aliquid dicturus, eo seducit ubi imperator occulebatur. et ab aliis rebus exorsus tandem in Siciliae mentionem fraudulenter delabitur, dataque

ἀσπάζεσθαι τὸν Στυππειώτην ὅσα ὁ βασιλεὺς εἶχεν ἐπὶ τοῖς κατὰ Σικελίαν διαπραξάμενος πράγμασιν, οὕτω διαλύει τὴν ἐντυχίαν, καὶ τοιοῦτον ἐνθάψας σπινθῆρα τῇ τοῦ βασιλέως ψυχῇ καὶ κατὰ τοῦ Στυππειώτου ἀφεὶς ὑποτύφεσθαι ἐσκέπτετο καὶ φορυτοῦ εὐπορήσειν ἑτέρων συκοφαντήσεων, δι' ὧν προχειροτάτη ἔσεῖται τοῦ σπινθῆρος ἡ κίνησις. οὐκοῦν κατὰ καρδίας ἑτέραν πληγὴν ἀνταίαν εἰληφὼς ὁ δηλωθεὶς λογοθέτης ἐκ τοῦ τῷ Στυππειώτῃ δοθῆναι δοχεῖον ἐρυθροδάνου διάλιθον χρύσεον, καὶ τοῖς ὅρκοις τοῦτον ἐπιστατῆσαι κατὰ τὸν ἐν Βλαχέρναις μέγαν νεὼν οἵ τὴν τοῦ κράτους διαδοχὴν ἐνεπέδουν Ἀλεξίῳ τε τῷ ἐξ Οὐγγρίας καὶ τῇ θυγατρὶ τοῦ βασιλέως Μαρίᾳ, ἃ τῷ λογοθετικῷ δήπουθεν ὀφφικίῳ ἦσαν ἁρμόδια, B συνθέσθαι λέγεται χάρτην λήρων ἔμπλεων παρὰ τοῦ Στυππειώτου δῆθεν τῷ τῆς Σικελίας ῥηγὶ σταλησόμενον, καὶ τοῦτον ἀναφύρας τοῖς τοῦ Στυππειώτου τόμοις καὶ γράμμασι πεῖσαι τὸν βασιλέα στεῖλαι τοὺς κατὰ ζήτησιν τοῦ πρὸς τὸν ῥῆγα γράμματος τὴν τοῦ Στυππειώτου σκηνὴν ἐρευνήσοντας· οὗ καὶ γενομένου ὁ αὐτοκράτωρ οἷα πυρσὸν αἰθέριον τὴν κατὰ τοῦ ἀνδρὸς ὀργὴν ἀνέκαυσε. καὶ τὸ ἐντεῦθεν ἐκκοπεὶς τὰς κόρας ἀδίκως τυφλὸς ἦν, μὴ βλέπων τὸν ἥλιον. ὦ πάντ' ἐφορῶν ὀφθαλμὲ τῆς δίκης ἀλάθητε, πῶς ἐπιμύεις πολλάκις ἐπὶ τηλίκοις παρανομήμασιν ἢ καὶ μείζοσιν ἑτέροις ἀνθρώπων κακοπραγήμασιν, οὐδ' ἐπάγεις εὐθὺς τοὺς πρηστῆρας καὶ τὸ κεραύνιον ἄναμμα, ἀλλ' ὑπερτιθέμενος ἐπέχεις τὴν C

8. δοθῆναι] χειρισθῆναι A. δοχεῖον] χρυσόβουλλον δοὺς μετὰ λίθων λαμπρῶν B. 10. διαδοχὴν] ἀρχὴν A. 14. τῆς om A.

illi occasione acta illa imperatoris reprehendendi colloquium dirimit. ita irritato illius animo aliarum calumniarum occasiones quaerit, magis etiam contra Styppiotam inflammatus, quod imperator illi aurea bulla cum radiantibus gemmis data mandarat ut in magna Blachernia ecclesia iuriiurando praeesset, quo imperii successio Alexio Hungaro et filiae Mariae confirmaretur (quod munus ad Logothetae potius officium pertinebat), scriptum nugacissimum composuisse fertur, quod scilicet Styppiota ad Siciliae regem missurus esset. eoque inter Styppiotae codices et litteras clam inserto, imperatori persuadet ut inquiri iubeat illas proditionis ad Siculum litteras. quo facto imperator fulminis instar contra Styppiotam exarsit, eique oculos effodi iussit innocenti. o inspector omnium ocule iustitiae inevitabilis, cur saepe connives ad tales iniurias et graviores etiam casus hominum, neque statim tonitrua et fulmina promis, sed vindictam procrastinas? impervestigabile tuum est iudicium, et humanis rationibus in-

κόλασιν. ἀνεξιγγνίαστόν σου τὸ κρίμα, καὶ ἀνθρώπων λογισμοῖς ἀνεπίβατον. πλὴν εἶ σοφός, ναί, καὶ γνώμων ἀκριβὴς τοῦ συνοίσοντος, κἂν ἡμᾶς τοὺς σμικρογνώμονας λέληθας. ἤδη μὲν οὖν τις θηρητὴρ ὄφιν δαφοινὸν ἢ λέοντα λασιαύχενα εἰσορῶν καὶ ἀΐων ἐν ὄρεσιν εὐθέως ἐξέκλινεν. ἀλλὰ καὶ κακόεργος ὅστις δὴ παραιτητός ἐστι, δάκρυσι καὶ λιταῖς παρυπάγεται. ἄνδρα δὲ κακὰ τῷ πλησίον βυσσοδομεύοντα καὶ ἄλλα μὲν ἐν φρεσὶ κεύθοντα ἕτερα δὲ βάζοντα σοφίας δεῖ πολλῆς ἐκφυγεῖν, καὶ χρεία τῆς ἀπὸ τοῦ κρείττονος ἐφάψεως.

Ἦν δὲ ὁ λογοθέτης οὗτος, ἵνα καὶ ἔτι μικρὸν παρακινήσω τῆς ἱστορίας μοι τὸν εἱρμόν, μαθημάτων μὲν ὑψηλοτέρων ἄκρῳ λιχανῷ γεγευμένος καὶ τῆς ὑπερσέμνου φιλοσοφίας D οὐκ ἀκριβὴς ἐραστὴς οὐδ' εὐμαθὴς ὀπαδός, κράτιστος δὲ τῇ φυῇ καὶ τῷ ἀμελετήτῳ χαίρων τῆς φράσεως, ῥέων τε τῷ λόγῳ κατὰ πηγάδα καλλίρειθρον διεκδιδοῦσαν τῶν πρανῶν ἐκ τοῦδε κλέος ἀπηνέγκατο μέγιστον. ἀνθρώπων δὲ ὀψοφαγώτατος ὢν καὶ οἰνοφλύγων ὁ κράτιστος πρὸς λύριον ἔψαλλε καὶ πρὸς κιθάραν μετερρυθμίζετο καὶ κόρδακα ὠρχεῖτο καὶ τὼ πόδε πολλάκις παρενεσάλευε. χανδὸν δὲ τῶν οἴνων ἐμφορούμενος, καὶ κατὰ τοὺς θαλαττίους χόας καὶ τὰς σπογγιὰς συχνάκις τὸ ποτὸν ἀνιμώμενος, οὐ κατεπόντου τὸν νοῦν τῇ ἀρδείᾳ, μήτε παρασφαλλόμενος ὡς οἱ ἔξοινοι, μήτε τὸ

4. ἤδη μὲν] καὶ ὄφιν μέν τινα δρακοντώδη καὶ λέοντα ἄγριον καὶ ἀνήμερον θεασάμενός τις ἐκφεύγει τῆς βλάβης αὐτῶν, ἄνθρωπον δὲ κακοποιὸν καὶ πονηρὰ B. 11. λογοθέτης] καματερὸς A.

accessum. tu vero sapiens es et accuratus utilitatis iudex, quamvis tenuitatem ingeniorum nostrorum frustreris. draconem quidem aut leonem qui videt aut audit in montibus, statim declinat; lacrimis et precibus etiam latro mitigatur: ad virum vero aliis insidiantem, qui aliud lingua promptum aliud pectore clausum habet, cavendum magna sapientia est opus et numinis auxilio.

Caeterum fuit is Logotheta (ut historiae seriem paulo diutius suspendam) talis qui sublimiores disciplinas primoribus duntaxat labris degustarat, sacrosanctae sapientiae parum diligens amator nec docilis discipulus, sed ingenio praestantissimo dictionis extemporalis studiosus, eloquentia fontis instar exuberante maximam gloriam adeptus. fuit et mortalium omnium gulosissimus et bibulorum princeps; canere ad lyram et citharam pulsare, cordacem saltare et pedes celeriter huc atque illuc agitare promptus. quamvis autem vinum avi- [illegible]ne ingurgitaret, tamen nullum in eo signum ebrietatis appare- [illegible]mo quo plus biberat, eo prudentius irrigatione illa vini ex-

κάρη βάλλων ἑτέρωσε ὡς ὑπὸ μέθης ἐπικλυζόμενος, ἀλλ' ἔλεγέ τι σοφόν, ἀναφλέγων τε καὶ ἄρδων ἐν τῷ πίνειν τὸ λογιζόμενον, καὶ πρὸς βλάστην λόγων μᾶλλον ἐπερωννύετο. διώκων δὲ τὰ συμπόσια οὐ βασιλεῖ μόνον πλεῖστα κεχάριστο, P. 75 ἀλλὰ καὶ δυνάσταις μάλα πεφίλητο τῶν ἐθνῶν, ὁπόσοι τοὺς κώμους περιεσπούδαζον. κατὰ γὰρ πρεσβείαν αὐτοῖς παραβάλλων τοὺς μὲν ὑπερέβαλεν ἐν τοῖς πότοις καὶ πρὸς τὴν ὀψὲ κατήνεγκεν ἐκ τῆς μέθης ἀνάνηψιν καὶ τοῦ κάρου ἀνάνευσιν, τοῖς δὲ καὶ ἰσοφάρισεν· οὗτοι δὲ ἦσαν οἳ πιθάκνας ὅλας ἐς τὴν γαστέρα μετήγγιζον καὶ ἀμφορέας ὤχουν τοῖς δακτύλοις ὡς κύλικας καὶ τὸν σκύφον εἶχον ἀεὶ ἐπιδείπνιον τὸν Ἡράκλειον. ἐπεὶ δὲ εἰς τοὺς περὶ τοῦ ἀνδρὸς τοῦδε λόγους καθάπαξ ἐνεπεπτώκειν, δεδόσθω κἀκεῖνα τῇ ἱστορίᾳ, V. 60 μνήμης ὄντα καὶ διηγήσεως ἄξια. συνέθετό ποτε τῷ βασιλεῖ Μανουὴλ ὕδατος πλησθεῖσαν διεκροφῆσαι τὴν πορφύρεον λεκανίδα, B ἣν εἶχε πρότερον μὲν ἡ αἰθριώδης τοῦ κοιτῶνος αὔλειος τοῦ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ, ἡ ἄνωθεν τοῦ Βουκολέοντος ὑπτιάζουσα, νυνὶ δὲ ὁ παρὰ τοῦ εἰς ἱστορίαν προκειμένου βασιλέως οἰκοδομηθεὶς χρυσόπαστος μέγιστος ἀνδρών. βασιλεὺς δ' ἐν θαύματι θέμενος τὸ λεχθέν, καὶ πρὸς αὐτὸν „ὑπέρευ γε, λογοθέτα" φάμενος, ὀθόνας εὐανθεῖς καὶ χρυσίου μνᾶς ἱκανὰς ξυνέθετό οἱ καταβαλέσθαι δρῶντι ὡς

3. διώκων] τοιοῦτος δὲ ὢν ἀεὶ ἐν τοῖς γάμοις καὶ χαμαιτζικίοις ἀεὶ προσέβαλε B. 12. τοῦδε] τούτου A. 13. διδόσθω A. 15. διεκφορῆσαι PA. πιεῖν γεμάτην τὴν πορφυρὰν λεκάνην ἣν ἐν τῷ παρ' αὐτοῦ κτισθέντι χρυσοτρικλίνῳ ὁ βασιλεὺς ἔθετο, πρότερον οὖσαν κειμένην ἐν τῷ οἴκῳ τῷ ἐπάνω τοῦ βουκολέοντος, ἐν ᾧ ὁ βασιλεὺς νικηφόρος ὁ φωκᾶς ἔμενεν B. 21. ὀθόνας] λίτραν ʹχ πρα' καὶ βλατία χρυσᾶ δύο B. 22. συνέθετό οἱ καταθέσθαι A.

citato ingenio loquebatur. iam quia symposia consectabatur, cum imperatori acceptissimus erat, tum regulis provinciarum, qui comessationes amabant, carissimus. ad quos cum legatus ibat, alios potando superabat eoque redigebat ut longo tempore ad vinum edormiendum et ebrietatem discutiendam esset opus, alios aequabat, cum quidem ventres eorum integra doliola caperent et amphoras digiti ut calices versarent et Herculanum scyphum coenae perpetuo subiungerent. sed quia semel in huius viri mentionem incidi, illa etiam memoratu digna referantur. pepigit aliquando cum imperatore Manuele se Porphyreticam patinam aqua plenam exhausturum, quae olim in aula Phocae Nicephori fuit ad Bucoleontem spectante, nunc vero in maximo illo conclavi visitur, quod is imperator cuius historiam scribimus aedificavit. id imperator admiratus „optime sane" inquit,

ἔφησεν, ἦ μὴν ταὐτὰ τουτονὶ καταθέσθαι μὴ περατοίη τὰ ξυγκείμενα. ὡς δὲ τὸν λόγον ἀσμένως ὁ ἀνὴρ ἠγωτίσατο, ἡ μὲν λεκανὶς ἦν ὑπερχειλὴς ὕδατος, κεχαδυῖα περὶ χόας ἕξ,
C ὁ δὲ κύψας τὸ ἄγγος ἐκένωσεν ὅσα βοῦς, ἅπαξ ἀνακρ- τὸ συνεχὲς τῆς πόσεως, καὶ τότε ὡς τὸ πνεῦμα πλεῖον εἰ- λξξειε, καὶ εἶχεν εὐθὺς τὰ ἐκ συμφώνου πρὸς βασιλέως ἀν- διδόμενα. ἥττων δὲ ὢν τῆς τῶν χλωρῶν κυάμων ἐστιάσεως οὐκ ἀπὸ ῥινός, ὅ φασιν, ἀλλ' ἐξ ὀδόντων τῷ θαλῷ τούτων εἷλκετο. ὅλας οὖν ἀρούρας κατεδαπάνα καὶ θωὸς ἀκριβέστε- ρον ἐπεξήρχετο. καὶ τότε παρὰ τὸν ποταμὸν ἐνσκηνησάμενος, ὁ ἐπειδήπερ εἰς τὴν περαίαν κυάμων θεάσαιτο γήδιον, ἐξ αὐ- τῆς καὶ τὸν ἔσχατον χιτῶνα ἀποδυσάμενος διενήξατο, καὶ τὸ πλεῖον ἀποτραγὼν οὐδ' οὕτως ἀπέσχετο, ἀλλ' ἐς δισμὰς τὸ μὴ κατεδηδομένον ξυνενεγκὼν ἐπὶ νώτου τε ἀράμενος δι- βη τε τὸν ποταμόν. αὐτίκα δὴ μάλα, καὶ ἐπὶ δαπέδου τῆς
D σκηνῆς καθιζήσας ἀνελέγετο τοὺς κυάμους ἡδέως, ὡς εἰ νῆ- στις ἦν ἐπὶ μακρὸν καὶ ἀπόσιτος. ἡρωϊκοῦ δὲ σώματος με- τέχων καὶ εἰς ἀρίστην ἡλικίας ἀνατείνας ἀναδρομὴν οὐκ ἀπό- μαχος ἦν, ἀλλ' ἔβλεπε γενναῖον καὶ τοῦ αἵματος ἄξιον ἐξ οὗ τὸ πρὸς μητρὸς ἐκείνῳ γένος καθείλκετο. τελευτῶν δὲ τὸν βίον, καὶ πλῆττον ἔχων αὐτὸν τὸ οἰκεῖον κριτήριον ἐφ' οἷς κατὰ τοῦ Στυππειώτου ἐλογοποίησε, μετάπεμπτον ποιεῖται τὸν ἄνδρα καὶ συγγνώμην μετὰ δακρύων αἰτεῖται. ὁ δὲ βρα- βείων ἀμνησικάκως ἄφεσιν καὶ σωτηρίαν ψυχῆς προσεπηύ-

1. τοῦτον καταβαλέσθαι A. 2. ἀνὴρ] καματηρὸς A. 7. ἐγ- των — 10. καί ποτε? 20. καθείλκετο om B. 22. κατὰ τοῦ Σ. ἐλογ.] εἰς τὸν στυππειώτην ἐξήμαρτεν A.

„Logotheta." et ei multum lineae vestis pretiosae et complures auri minas promisit, si ita fecisset: sin minus, tantundem ab eo stipulatus est. quibus verbis homo delectatus patinam aqua repletam, quae ad duos choas capiebat, instar bovis inclinatus exhausit, semel tantum recepto inter potandum spiritu, ac statim promissa ab imperatore munera ex pacto accepit. etiam viridibus fabis impense delectabatur, earumque tota arva consumebat. aliquando igitur in castris cum trans flumen fabis consitum agellum conspexisset, statim exutis vestibus tranavit; nec maximam devorasse partem contentus reliquias in fasciculos collectas et humeris impositas abstulit, et in tabernaculo suo sedens fabas suaviter absumpsit, quasi longo tempore ieiunasset. fuit homo procerae staturae et heroici corporis, non imbellis sed fortis, eaque familia dignus ex qua maternam stirpem trahebat. moriturus, cum sauciam haberet Styppiotae calumniis conscientiam, virum accersit et lacrimis oppletus veniam petit. quam ille

ξατο. καὶ ταῦτα μὲν οὕτω, καὶ οὐ κατὰ διήγησιν, οἶμαι, ἀλυσιτελῆ τοῖς πολλοῖς οὐδ' ἀκαλλῆ τε καὶ ἀχαρίτωτον.

5. Ὁ δέ γε Μανουὴλ ἀποβαλόμενος θανάτῳ τὴν ἐξ Ἀλαμανῶν σύνευνον ἐκόψατο μὲν τὸν ἐκείνης μόρον διασπασμὸν οἰηθεὶς σώματος, καὶ ὡς λέων θρηνῶδες ἠρεύξατο, ταφῆς δὲ ἠξιωκὼς μεγαλοπρεποῦς, καὶ τῷ σκήνει ἐπιτελέσας τὰ ὅσια ἐν τῇ τοῦ Παντοκράτορος πατρῴᾳ μονῇ, καὶ καιρὸν ὃν P. 76 ἐδοκίμασε παριππεύσας ἡμιθανὴς καὶ ἡμίτομος πρὸς μνῆστρα δεύτερα ἔβλεψε, πατὴρ ἀκοῦσαι παιδὸς γλιχόμενος ἄρρενος. πολλαχόθεν μὲν οὖν ἐπεφοίτων αὐτῷ καὶ γράμματα καὶ προμνώμενοι ἐκ βασιλέων, ἀπὸ ῥηγῶν καὶ δυναστῶν ἁπάσης τῆς γῆς· ὁ δὲ προέκρινεν ἁπασῶν μίαν τῶν θυγατέρων τοῦ τῆς Ἀντιοχείας σατραπεύοντος Πετεβίνου. ταύτην λέγω τὴν τῆς Κοίλης Συρίας προκαθημένην, ἣν Ὀρόντης ποτίζει καὶ καταπνέει ζέφυρος ἄνεμος. ἦν δὲ ὁ Πετεβῖνος οὗτος Ἰταλιώτης μὲν τὸ γένος, ἱππότης δ' ἀκράδαντος καὶ ὑπὲρ τὸν Πρίαμον ἐκεῖνον εὐμέλιος. στείλας οὖν ἐκ τῶν τῆς γερουσίας καὶ τὸ γένος ἐπισήμους ἄνδρας εἰσοικίζεται τὴν κόρην, καὶ θύσας εἶχε τὰ γαμοδαίσια. ἦν δὲ καλὴ τὸ εἶδος ἡ B γυνή, καὶ λίαν καλή, καὶ ἕως σφόδρα καλή, καὶ τὸ κάλλος ἀξύμβλητος, ὡς μῦθον εἶναι ἀτεχνῶς πρὸς αὐτὴν Ἀφροδίτην τὴν φιλομειδῆ καὶ χρυσῆν, Ἥραν τὴν λευκώλενον καὶ βοῶπιν, καὶ τὴν δολιχόδειρον καὶ καλλίσφυρον Λάκαιναν, ἃς οἱ πάλαι διὰ τὸ κάλλος ἐθέωσαν, καὶ τὰς λοιπὰς δὲ ἁπάσας ὅσας βίβλοι καὶ ἱστορίαι διαπρεπεῖς τὴν θέαν παραδεδώκασιν.

12. τῆς om A. 13. τοῦ ῥηγὸς ἀντιοχείας B. 16. Ἰταλιώτης] φράγγος B. 17. Πρίαμον] ἕκτορα B. 18. καὶ om A. 21. πρὸς αὐτὴν om A.

oblitus iniuriarum ei concessit, et salutem eius animae precatus est. atque haec hactenus, neque iniucunda, ut opinor, neque inutilia.

5. Manuel autem coniugis Alemannae mortem non secus ac membrum a suo corpore avulsum acerbissime deploravit, iustisque ei persolutis eam in paterno monasterio Pantocratoris magnificentissime sepeliit; et luctus tempore, quod ipse sibi praefinierat, instar semianimis et dimidiati hominis exacto, secundas nuptias spectavit masculae prolis cupiditate. multis itaque e locis litterae ad eum mittuntur: offeruntur regum et principum filiae ex omni terra. ipse vero Petebini Antiochiae Coelesyriae primariae urbis, ad Orontem sitae, quam ventus Favonius perflat, satrapae filiam delegit. is Petebinus erat genere Italus et eques praestantissimus. missis igitur ad eum senatorii ordinis nobilibus viris puellam ducit incomparabili forma praeditam, ac nuptias celebrat.

ἔφησεν, ἦ μὴν ταυτὰ τουτονὶ καταθέσθαι μὴ περατοῦντα τὰ ξυγκείμενα. ὡς δὲ τὸν λόγον ἀσμένως ὁ ἀνὴρ ἠνωτίσατο, ἡ μὲν λεκανὶς ἦν ὑπερχειλὴς ὕδατος, κεχαδυῖα περὶ χόας δύο, C ὁ δὲ κύψας τὸ ἄγγος ἐκένωσεν ὅσα βοῦς, ἅπαξ ἀνακόψας τὸ συνεχὲς τῆς πόσεως, καὶ τότε ὡς τὸ πνεῦμα πλεῖον συλλέξειε, καὶ εἶχεν εὐθὺς τὰ ἐκ συμφώνου πρὸς βασιλέως ἀποδιδόμενα. ἥττων δὲ ὢν τῆς τῶν χλωρῶν κυάμων ἑστιάσεως οὐκ ἀπὸ ῥινός, ὅ φασιν, ἀλλ' ἐξ ὀδόντων τῷ θαλῷ τούτων εἵλκετο. ὅλας οὖν ἀρούρας κατεδαπάνα καὶ θωὸς ἀκριβέστερον ἐπεξήρχετο. καὶ τότε παρὰ τὸν ποταμὸν ἐνσκηνησάμενος, ἐπειδήπερ εἰς τὴν περαίαν κυάμων θεάσαιτο γήδιον, ἐξ αὐτῆς καὶ τὸν ἔσχατον χιτῶνα ἀποδυσάμενος διενήξατο, καὶ τὸ πλεῖον ἀποτραγὼν οὐδ' οὕτως ἀπέσχετο, ἀλλ' ἐς δεσμὰς τὸ μὴ κατεδηδομένον ξυνενεγκὼν ἐπὶ νώτου τε ἀράμενος διέβη τε τὸν ποταμὸν· αὐτίκα δὴ μάλα, καὶ ἐπὶ δαπέδου τῆς D σκηνῆς καθιζήσας ἀνελέγετο τοὺς κυάμους ἡδέως, ὡς εἰ νῆστις ἦν ἐπὶ μακρὸν καὶ ἀπόσιτος. ἡρωϊκοῦ δὲ σώματος μετέχων καὶ εἰς ἀρίστην ἡλικίας ἀνατείνας ἀναδρομὴν οὐκ ἀπόμαχος ἦν, ἀλλ' ἔβλεπε γενναῖον καὶ τοῦ αἵματος ἄξιον ἐξ οὗ τὸ πρὸς μητρὸς ἐκείνῳ γένος καθείλκετο. τελευτῶν δὲ τὸν βίον, καὶ πλῆττον ἔχων αὐτὸν τὸ οἰκεῖον κριτήριον ἐφ' οἷς κατὰ τοῦ Στυππειώτου ἐλογοποίησε, μετάπεμπτον ποιεῖται τὸν ἄνδρα καὶ συγγνώμην μετὰ δακρύων αἰτεῖται. ὁ δὲ βραβείων ἀμνησικάκως ἄφεσιν καὶ σωτηρίαν ψυχῆς προσεπηύ-

1. τοῦτον καταβαλέσθαι A. 2. ἀνὴρ] χαματηρὸς A. 7. ἥττων — 20. καθείλκετο om B. 10. καί ποτε? 22. κατὰ τοῦ Σ. ἐλογ.] εἰς τὸν στυππειώτην ἐξήμαρτεν A.

„Logotheta." et ei multum lineae vestis pretiosae et complures auri minas promisit, si ita fecisset: sin minus, tantundem ab eo stipulatus est. quibus verbis homo delectatus patinam aqua repletam, quae ad duos choas capiebat, instar bovis inclinatus exhausit, semel tantum recepto inter potandum spiritu, ac statim promissa ab imperatore munera ex pacto accepit. etiam viridibus fabis impense delectabatur, earumque tota arva consumebat. aliquando igitur in castris cum trans flumen fabis consitum agellum conspexisset, statim exutis vestibus tranavit; nec maximam devorasse partem contentus reliquias in fasciculos collectas et humeris impositas abstulit, et in tabernaculo suo sedens fabas suaviter absumpsit, quasi longo tempore ieiunasset. fuit homo procerae staturae et heroici corporis, non imbellis sed fortis, eaque familia dignus ex qua maternam stirpem trahebat. moriturus, cum sauciam haberet Styppiotae calumniis conscientiam, virum accersit et lacrimis oppletus veniam petit. quam ille

ξατο. καὶ ταῦτα μὲν οὕτω, καὶ οὐ κατὰ διήγησιν, οἶμαι, ἀλυσιτελῆ τοῖς πολλοῖς οὐδ' ἀκαλλῆ τε καὶ ἀχαρίτωτον.

5. Ὁ δέ γε Μανουὴλ ἀποβαλόμενός θανάτῳ τὴν ἐξ Ἀλαμανῶν σύνευνον ἐκόψατο μὲν τὸν ἐκείνης μόρον διασπασμὸν οἰηθεὶς σώματος, καὶ ὡς λέων θρηνῶδες ἠρεύξατο, ταφῆς δὲ ἠξιωκὼς μεγαλοπρεποῦς, καὶ τῷ σκήνει ἐπιτελέσας τὰ ὅσια ἐν τῇ τοῦ Παντοκράτορος πατρῴᾳ μονῇ, καὶ καιρὸν ὃν P. 76 ἐδοκίμασε παριππεύσας ἡμιθανὴς καὶ ἡμίτομος πρὸς μνῆστρα δεύτερα ἔβλεψε, πατὴρ ἀκοῦσαι παιδὸς γλιχόμενος ἄρρενος. πολλαχόθεν μὲν οὖν ἐπεφοίτων αὐτῷ καὶ γράμματα καὶ προμνώμενοι ἐκ βασιλέων, ἀπὸ ῥηγῶν καὶ δυναστῶν ἁπάσης τῆς γῆς· ὁ δὲ προέκρινεν ἁπασῶν μίαν τῶν θυγατέρων τοῦ τῆς Ἀντιοχείας σατραπεύοντος Πετεβίνου. ταύτην λέγω τὴν τῆς Κοίλης Συρίας προκαθημένην, ἣν Ὀρόντης ποτίζει καὶ καταπνέει ζέφυρος ἄνεμος. ἦν δὲ ὁ Πετεβῖνος οὗτος Ἰταλιώτης μὲν τὸ γένος, ἱππότης δ' ἀκράδαντος καὶ ὑπὲρ τὸν Πρίαμον ἐκεῖνον εὐμέλιος. στείλας οὖν ἐκ τῶν τῆς γερουσίας καὶ τὸ γένος ἐπισήμους ἄνδρας εἰσοικίζεται τὴν κόρην, καὶ θύσας εἶχε τὰ γαμοδαίσια. B ἦν δὲ καλὴ τὸ εἶδος ἡ γυνή, καὶ λίαν καλή, καὶ ἕως σφόδρα καλή, καὶ τὸ κάλλος ἀξύμβλητος, ὡς μῦθον εἶναι ἀτεχνῶς πρὸς αὐτὴν Ἀφροδίτην τὴν φιλομειδῆ καὶ χρυσῆν, Ἥραν τὴν λευκώλενον καὶ βοῶπιν, καὶ τὴν δολιχόδειρον καὶ καλλίσφυρον Λάκαιναν, ἃς οἱ πάλαι διὰ τὸ κάλλος ἐθέωσαν, καὶ τὰς λοιπὰς δὲ ἁπάσας ὅσας βίβλοι καὶ ἱστορίαι διαπρεπεῖς τὴν θέαν παραδεδώκασιν.

12. τῆς om A. 13. τοῦ ῥηγὸς ἀντιοχείας B. 16. Ἰταλιώτης] φράγγος B. 17. Πρίαμον] ἕκτορα B. 18. καὶ om A. 21. πρὸς αὐτὴν om A.

oblitus iniuriarum ei concessit, et salutem eius animae precatus est. atque haec hactenus, neque iniucunda, ut opinor, neque inutilia.

5. Manuel autem coniugis Alemannae mortem non secus ac membrum a suo corpore avulsum acerbissime deploravit, iustisque ei persolutis eam in paterno monasterio Pantocratoris magnificentissime sepeliit; et luctus tempore, quod ipse sibi praefinierat, instar semianimis et dimidiati hominis exacto, secundas nuptias spectavit masculae prolis cupiditate. multis itaque e locis litterae ad eum mittuntur: offeruntur regum et principum filiae ex omni terra. ipse vero Petebini Antiochiae Coelesyriae primariae urbis, ad Orontem sitae, quam ventus Favonius perflat, satrapae filiam delegit. is Petebinus erat genere Italus et eques praestantissimus. missis igitur ad eum senatorii ordinis nobilibus viris puellam ducit incomparabili forma praeditam, ac nuptias celebrat.

Ὁ δὲ λόγος τὰ κατὰ τοὺς Τούρκους μέλλων αὖθις διεξιέναι, ἅτε εἰς ἀρχὴν καθιστάμενος, καί τινα τῶν ἄνωθεν σαφηνείας ἕνεκα δοίη ἂν εἰς ἀφήγησιν. τῷ κατάρχοντι τῶν Τούρκων Μασοὺτ πολλοὶ μὲν ἦσαν υἱεῖς, καὶ θυγατέρες οὐκ ἐλάτ- C τους ἐγεγόνεισαν· ἐν δὲ τῷ μέλλειν ἐξ ἀνθρώπων γίνεσθαι καὶ ταῖς ἐκεῖθεν κολάσεσιν ὡς ἀσεβὴς παραπέμπεσθαι διανέμει τοῖς ἐκείνου παισὶ τὰς ποτὲ μὲν τοῖς Ῥωμαίων ὅροις κληρουμένας τότε δὲ ὑπ' ἐκείνῳ ταττομένας πόλεις καὶ χώρας, καὶ ἄλλοις μὲν εἰς κλῆρον πατρῷον κατέλιπεν ἕτερα, τὴν δὲ Ἰκονιέων V. 61 μητρόπολιν καὶ ὅσα τετάχαται ὑπ' αὐτὴν τῷ Κλιτζασθλᾶν ἀπομερίζει υἱῷ. τῶν δὲ γαμβρῶν τῷ μὲν Ἰαγουπασὰν Ἀμάσειαν καὶ Ἄγκυραν ἐκληροῦτο, καὶ τὴν Καππαδοκῶν εὐδαίμονα χώραν, καὶ ὅσα ταῖς πόλεσι ταύταις ὅμορα· Δαδούνῃ δὲ ἀπονενέμηνται πόλεις εὐδαίμονές τε καὶ μέγισται, Καισάρεια καὶ Σεβάστεια. ἀλλ' ἕως τίνος τὸν οἰκεῖον παρόψει D κλῆρον, κύριε, εἰς ἀπαγωγὴν ἐκκείμενον καὶ προνομὴν μακραίωνα καὶ κίνησιν κεφαλῆς λαῷ μωρῷ καὶ οὐχὶ σοφῷ καὶ πόρρωθεν ἀπεσχοινισμένῳ τῆς εὐσεβοῦς περὶ σὲ δόξης καὶ πίστεως; μέχρι τίνος ἀφ' ἡμῶν ἀποστρέφεις τὸ οἰκεῖον πρόσωπον ὁ φιλάνθρωπος, καὶ τῆς πτωχείας ἡμῶν ἐπιλανθάνῃ, οὐδ' ἐνωτίζῃ τοὺς στεναγμοὺς καὶ τὰ δάκρυα ὁ ταχὺς τῶν θλιβομένων ἐπακουός, οὐδὲ δίκην ἐπιτίθης ὁ τῶν ἐκδικήσεων κύριος; ἕως πότε παραλλὰξ ἕρποντα ἐσεῖται τὰ ἄτοπα, καὶ οἱ μὲν τῆς δουλίδος Ἄγαρ ἀπόγονοι κατακυριεύσουσι τῶν ἐλευθέρων ἡμῶν, ἀπολοῦσί τε καὶ ἀποκτενοῦσι τὸ σὸν ἅγιον

2. ἄνω A. 10. κλιτζασθὰν A. 13. ὅμορα] πρόσορα A.

Iam cum ad institutum redeundum sit, quaedam supra commemorata perspicuitatis gratia repetenda sunt. Masuto Turcorum imperatori multi erant filii, nec filiae pauciores. moriturus provincias et urbes olim Romanas, tum vero suas, inter eos distribuit. cumque aliis alias assignasset, Iconium metropolim cum subiectis oppidis Clizasthlani filio, generis vero, Iagupasani Amasiam et Ancyram fertilemque Cappadociam cum locis finitimis, Daduni urbes felices et maximas, Caesaream et Sebastiam, attribuit. sed quousque, domine, hereditatem tuam diripi ac praedae et ludibrio esse populo vaecordi et a vera tui cognitione ac fide alienissimo patieris? quandiu a nobis avertes faciem tuam, cum sis humanus, et mendicitatis nostrae oblivisceris, nec gemitus nostros et ploratus audies, cum celeriter afflictis succurrere soleas? neque poenas sumes, cum sis vindex? quandiu durabunt istae absurditates, ut Agaris ancillae posteri nobis ingenuis dominentur, et gentem sanctam tuam, quae sanctis-

ἔθνος, ὃ τὸ ὑπὲρ πᾶν ὄνομα τὸ σὸν ἐπικέκληται ἅγιον ὄνομα, τοῦτο δὲ χρονίαν ὑπηρεσίαν ὑπομενεῖ, καὶ τοὺς ὀνειδισμοὺς ὑποίσει καὶ τοὺς κονδυλισμοὺς τῶν ἐπιτρίπτων τούτων ἀλλογενῶν; εἰσελθέτω ἐνώπιόν σου ὀψέ ποτε, φιλάγαθε δέσποτα, τῶν ἐν πέδαις ἡ συνοχή. βοησάτω πρὸς σὲ καὶ νῦν τὸν φίλοικτον τὸ ἐκχεόμενον αἷμα τῶν σῶν οἰκετῶν, ὡς τὸ τοῦ Ἄβελ πρότερον. ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν ἡμῶν, καὶ κραταιώσας ὃν αὐτὸς αἱρετίσῃ ἄνδρα καὶ ἐφ' ὃν εὐδοκήσειας. ἀπόδος τοῖς πονηροῖς γείτοσιν ἡμῶν εἰς τὸ ἑπταπλάσιον ὅσα ἐπονηρεύσαντο κατὰ τῆς κληρονομίας σου· P. 77 καὶ πόλεις καὶ χώρας ἐπανασώσας ἡμῖν ἐν ἀνδρείᾳ, ἃς ὑφείλοντο οἱ ἀλλόφυλοι, ὅρια στήσαις τοῖς ἐκ τοῦ σοῦ καλουμένοις ὀνόματος ἀνίσχοντος ἡλίου καὶ δυομένου πρώτας καὶ ὑστάτας αὐγάς.

Ἀλλὰ ταῦτα μὲν ἴσως οὐκ ἀκαίρως οὐδὲ μάτην ἐξετοξεύσαμεν, θεῷ τι μικρὸν προσλαλήσαντες, καὶ κενώσαντες τῆς λύπης βραχὺ ἐξ ὑπεράντλου ταύτῃ ψυχῆς· οἱ δ' οὖν τοῦ Μασοὺτ τριχῇ δασάμενοι τὰ κεφαλαιώδη τῆς ἀρχῆς ὁρίσματα, ἢ τὸ νητρεκὲς εἰπεῖν τὰ τῶν Ῥωμαίων σχοινίσματα, παῖδες παρὰ πατρὸς ἐς αὐτοὺς καταβάντα διαδεξάμενοι, ὀλίγα μὲν εἰρήνῃ καὶ τοῖς τῆς συγγενείας θεσμοῖς ἐπέθυσαν, τὰ δὲ πλεῖστα εἰς διαφορὰς οἰκείας ἀπεῖδον καὶ προσέσχον ταῖς διαστάσεσιν. αὐτίκα γὰρ ὁ τοῦ Ἰκονίου σουλτὰν τῷ τῆς B Καππαδοκίας τοπάρχῃ σκαιόν τι καὶ ἄγριον ἐπωφθάλμισε, καὶ οὗτος αὖ ἐκείνῳ βλέμμα ὀλέθριον ἔρριψε. καὶ ἦν τὰ

24. ἐπωφθάλμησε A.

simum nomen tuum invocat, perdent et occident, diuturnam servitutem et opprobria et alapas perditorum barbarorum sustinentem? Intuere tandem, clementissime domine, captivorum aerumnas. sanguis famulorum tuorum nunc quoque, ut olim Abelis, te misericordem dominum inclamet. arripe arma et scutum, exurge ad opem nobis ferendam; confirmatoque viro qui tibi placuerit probatusque fuerit, improbis vicinis nostris septupla reddito quae in hereditatem tuam commiserunt, et provinciis atque urbibus fortiter recuperatis, quas barbari surripuerunt, orientem et occidentem solem eorum limites statuito qui a te cognomentum acceperunt.

Haec fortasse non abs re neque temere effudimus, cum deo paulisper collocuti, et moerore oppressum animum nonnihil levavimus. Masuti autem liberi praecipuos regni paterni ac potius Romanorum fines trifariam partiti pacem et cognationis iura parum curaverunt, ad bella intestina propensi. nam Iconii Sultanus Cappadociae toparchae, et hic illi vicissim, infesto animo est insidiatus, donec odia

κατ' ἀλλήλων πονηρὰ διαβούλια οὐχ ὑπὸ σκότον καὶ κρύφα τελούμενα, ἀλλ' ἔκπυστα καὶ βασιλεῖ καὶ ἔκφορα ὑπ' αὐτῶν. ὁ δὲ ἐπαρώμενος ἀμφοῖν πανώλειαν, ἠγάπα μὴ μόνον μέχρι τοῦ ἐριθεύειν ἀπονεύειν ἀλλήλων καὶ ἀποσχίζεσθαι, ἀλλὰ καὶ ὅπλα ἄραντας εἰς μοῖραν διαστῆναι ἀντίθετον, ἵν' ἄγων ἠρεμίαν αὐτὸς τοῖς ἐκείνων ἐπιχαίρῃ κακοῖς ὡς ὁμοῦ τε ἀλλοφύλων καὶ ἀσεβῶν· καὶ πέμπων λάθρᾳ ἀγγέλους θάτερον θατέρῳ ἐνῆγεν εἰς πόλεμον. ἐκ δὲ τοῦ προδήλου τῷ Ἰαγουπασάνῃ προσέκειτο, καὶ οἱ τοῦ Ἄρεος συνεθίγγανεν οἷς ἐδω-
C ρεῖτο, μυσαττόμενος τὸν σουλτὰν ὡς ὑποκαθειμένην ἀεὶ τὴν γνώμην ἔχοντα καὶ ὕπουλον τὸ φρονεῖν καὶ περίστροφον, καὶ μὴ μόνον δολοπλοκοῦντα τοῖς ἐκ γένους ἐκείνῳ καὶ αἵματος τὰ ἀνήκεστα, ἀλλὰ καὶ Ῥωμαίων ἀεὶ κατὰ λῃστείαν τὸ γειτονοῦν ἐκτρίβοντα. πεποιθὼς τοίνυν Ἰαγουπασάνης τῷ αὐτοκράτορι ἐκφέρει κατὰ τοῦ σουλτὰν πόλεμον, καὶ οὗτος αὖθις ἀντέξεισι κατ' αὐτοῦ, καὶ συρραγέντες πολλάκις ἐμάχοντο. ὀψὲ δὲ καὶ μεθ' αἵματα ἐξ ἑκατέρων ῥεύσαντα τῶν στρατῶν πρὸς Ἰαγουπασάνην ἔβλεψε τὸ νικᾶν. καὶ πρὸς καιρόν τε ὅπλα καταθέμενοι, ὁ μὲν ἐπέμενε κατὰ χώραν, ὁ δὲ σουλτὰν τῷ βασιλεῖ πρόσεισιν ἄρτι πρὸς τὴν πόλιν τὴν βασιλεύ-
D ουσαν ἐκ τῶν δυσμικῶν ἐπανιόντι μερῶν, καὶ φιλοφρόνως
V 62 προσδεχθεὶς καὶ ἐντίμως οὐχ ἧττον ἐπ' αὐτῷ τὸν βασιλέα διαχυθῆναι πεποίηκεν ἤπερ αὐτὸς ἐπὶ τῷ τῆς ξενίας ἐνευφράνθη ἀπροσδεεῖ. οὐκ ἐλπίσι γὰρ μόνον χρηστοτέραις ὑπεσαίνετο Μανουήλ, ὡς εὖ τὰ κατὰ τὴν ἕω διάθοιτο διὰ τῆς

6. ὁμοῦ τε om A. 10. ὑποκειμένην A, ἄστατον B. 23. εἴπερ PA.

in apertum eruperunt et ab ipsis imperatori sunt exposita. qui cum utrumque perditum cuperet, optabat ut non tantum inter sese rixarentur et divellerentur, sed armis etiam certarent, ut ipse otiosus illorum malis quippe barbarorum et impiorum insultaret; ac per legatos clam utrumque contra alterum concitavit. aperte vero Iagupasani donis missis opem tulit, Sultani odio, qui esset homo obscuri ac dolosi ingenii, nec cognatis tantum suis perniciem moliretur, sed et Romanorum fines subinde latrociniis vexaret. Iagupasanes igitur imperatore fretus Sultano bellum infert: ille vicissim in aciem egreditur. crebrae pugnae committuntur. tandem post multas utrinque caedes factas penes Iagupasanem victoria fuit. atque armis ad tempus positis hic in sua provincia mansit. Sultanus vero imperatorem recens ex Occidente reversum adiit, et humaniter ac honorifice exceptus non minus Manuelem exhilaravit quam ipse benignitate hospitii est exhilaratus nam spem bonam habebat Manuel se ob Sultani praesentiam non

τοῦ σουλτάνου παρουσίας καὶ τοῦ κεχαρισμένου τῆς ξενίας, δυναμένου γοητεῦσαι φιλοχρήματον βάρβαρον· ἀλλὰ καὶ δόξαν αὐτῷ τῆς βασιλείας τὸ συμβὰν ᾤετο. εἰσιὼν τοίνυν ἅμα τῷ σουλτάνῳ τὴν Κωνσταντίνου κηρύττει θρίαμβον. καὶ ἦν εὐπρεπὴς ὁ θρίαμβος, καλλίστοις καὶ τιμήεσι πέπλοις παμφαίνων καὶ τῷ τοῦ κόσμου πολυειδεῖ δαίδαλος· καὶ ἤμελλε βασιλεὺς διὰ τοῦ θριάμβου προϊέναι πρὸς αὐτῶν τῶν ἀστῶν κροτούμενος, καὶ μέρος εἶναι τῆς τότε δορυφορίας τε καὶ λαμπρότητος καὶ τῶν κυδρούντων τὸν αὐτοκράτορα καὶ σουλτάνος αὐτὸς ἐπιπαριών. θεὸς δ' ἠκύρωσε τὰ τῆς ἡμέρας ἐκείνης λαμπρά· ἥ τε γὰρ γῆ κλονηθεῖσα πολλὰς κατεβεβλήκει λαμπροτάτας οἰκήσεις, καὶ ὁ ἀὴρ ταραχώδης ἦν ἐπιεικῶς καὶ ἀνώμαλος, καὶ ἕτερ' ἄττα ἐπισυμβάντα δείματα ἐκείνοις, οὐ θριάμβοις ἠναγκάκει προσέχειν τὸν νοῦν, καὶ τὸ τῆς ψυχῆς ἐκύμαινε λογιζόμενον. ἔφασκον δὲ καὶ οἱ τοῦ θείου νεὼ καὶ τοῦ βήματος ἔντροφοι καὶ αὐτὸς βασιλεύς, οὐκ ἀγαθὰς κληδόνας δεχόμενος τὰ λεγόμενα, μηνίειν τὸ θεῖον καὶ μηδ' ὅλως ἀνέχεσθαι προκύψειν εἰς θρίαμβον μὴ θεοσεβείας ἄνδρα μετεσχηκότα, ὃν κοσμοῦσιν ἔπιπλα παναγῆ καὶ ἁγίων ἔκτυπα διειλήφασι καὶ χαρακτὴρ καθαγιάζει Χριστοῦ. καὶ οὕτω μὲν εἰκαίως ὁ θρίαμβος ἐσχεδίαστο, μηδαμῶς αὐτῷ προσεσχηκότος τοῦ αὐτοκράτορος, οὐδ' ἐς ὅσον τὸ ἔθος ἀφοσιώσασθαι· εἰς ἱκανὸν δὲ ὁ σουλτάνος τῷ βασιλεῖ συνδιέτριψε χρόνον, καὶ ἵππων

(P. 78 … B)

1. σουλτὰν παρρησίας A. 4. σουλτὰν A, neque usquam id nomen flectit. κωνσταντινούπολιν A. 11. ἐπικαταβεβλήκει l. οἰκοδομίας A. 15. οἱ τοῦ θ.] ἀρχιερέων ἐνάρετοι A. 17. δεχόμενος] ᾤετο τὰ δρώμενα A.

modo rebus Orientis consulturum et avaro barbaro hospitii liberalitate fucum esse facturum, sed ex eo casu gloriam quoque sperabat. Cpolim igitur una cum illo ingressus triumphum indicit. qui cum eleganter instructus pretiosis vestibus et ornamentorum varietate colluceret, atque imperator cum applausu et acclamationibus civium, adducto una Sultano, qui inter caeteros proceres festivitatem illam celebriorem redderet, proditurus esset, deus illius diei splendorem fecit irritum. nam terrae motu multae splendidissimae aedes corruerunt; et aeris intemperies ac caligo et alii quidam terrores aestuantes hominum animos a triumphis in se convertebant. aiebant et sacrae aedis antistites (nec ipse imperator aliter ea omina accipiebat) irasci deum, neque velle ut homo impius eum triumphum intueretur, quem instrumenta sacratissima et divorum imagines ornarent et Christi signum consecraret. sic triumphus frustra est instructus, et ab ipso imperatore ita neglectus ut nec receptae consuetudini satisfaceret. Sultanus vero non parvo tempore cum eo commo-

σταδιοδρόμων ἁμίλλαις τὸν ὀφθαλμὸν καθειστίακεν, ὅτε καί τις ἀνὴρ τῆς Ἄγαρ ἀπόγονος, ὡς μὲν ἐδόκει τὰ πρῶτα θαυματοποιός, ὡς δ' ὕστερον ἔδειξε, ταλάντατος ἀνθρώπων καὶ αὐτοέντης ἄντικρυς, ἐπὶ τὸν κατὰ τὸ θέατρον πύργον ἀναλάμενος, οὗ κάτωθεν μὲν αἱ τῶν ἐπὶ σταδίου θεόντων ἀφετηρίαι εἰς ἁψῖδας παραλλήλους κεχήνασιν, ἄνωθεν δ' ἵπποι χαλκήλατοι πεπήγασι πίσυρες χρυσῷ ἠλειμμένοι, τοὺς αὐχένας ὑπόγυροι, ἀντιβλέποντες ἀλλήλοις καὶ δρόμον καμπτῆρος πνέοντες, διαπτῆναι τὸ στάδιον ἐπηγγέλλετο. εἱστήκει οὖν ὡς
C ἐφ' ὕσπληγγος τοῦ πύργου, ἠμφιεσμένος ποδηρέστατον εὐρέα χιτῶνα. λευκὸς δὲ ἦν ὁ χιτών, λύγοι δὲ εἰς κύκλον περιαχθέντες ἐποίουν κολπώδες τὸ ὕφασμα. ἦν δὲ σκοπὸς τῷ Ἀγαρηνῷ ὥσπερ ἱστίῳ ναῦς πτερωθῆναι τῷ πέπλῳ, ταῖς τούτου κοιλότησι τοῦ πνεύματος ἐμφωλεύοντος. πᾶς οὖν ἐπέστραπτο πρὸς αὐτὸν ὀφθαλμός, καὶ ἐμειδία τὸ θέατρον, καὶ πυκνὰ ἐκραύγαζον οἱ θεώμενοι „πέτασον, πέτασον," καὶ „ἕως τίνος αἴρεις Σαρακηνὲ τὰς ψυχὰς ἡμῶν, ταλαντεύων ἐκ τοῦ πύργου τὸν ἄνεμον;" βασιλεὺς δὲ πέμψας διεκώλυεν αὐτὸν τοῦ ὁρμήματος. θεατὴς δ' ὢν τῶν δρωμένων καὶ σουλτάνος αὐτὸς ἐπ' ἀμφιβόλῳ τῷ ἀποτελέσματι ἀνεκήκιέ τε καὶ ἐσεσήρει, μετέωρος ὢν τὴν γνώμην καὶ δεδιὼς περὶ τῷ ὁμο-
D γενεῖ. ὁ δὲ περιχάσκων τὸν ἀέρα συχνά, καὶ τὸ πνεῦμα διακριβούμενος, τὰς τῶν θεατῶν ἐλπίδας ὑπέκλεπτε. καὶ πολλάκις διάρας τὰς χεῖρας καὶ σχηματίσας ταύτας ὡς πτέ-

2. θαυματοποιός] παροφθαλμιστὴς B. 4. ἀναλάμενος] ἀνιὼν A. 10. ποδηρέστατον] ἱμάτιον ἄσπρον πλατύν B. 12. κολπῶδες] κολποῦσθαι τὸ ἄμφιον A.

ratus spectaculis Circensibus est oblectatus. tum Agarenus quidam, principio praestigiator habitus, ut vero post declaravit, omnium mortalium miserrimus, sua sponte Hippodromi turri conscensa, sub qua carceres sunt unde emittuntur equi, supra vero quatuor equi aurati stant, collis incurvis, obversi sibi in vicem, alacritatis ad cursum pleni, se stadium transvolaturum iactat. stabat igitur in turri tanquam in carceribus, ampla et promissa admodum veste candida indutus, quae vinculis in orbem succincta sinuosa efficiebatur. putabat enim se veluti velo navem, ita laciniis illius aere expletis ad volatum instructum fore. omnium igitur oculi in eum convertuntur, rident spectatores, ac subinde clamant „volato, volato" et „quam diu nos suspensos tenes, Sarracene, et aerem ex turri libras?" imperatore hominem ab eo conatu deterrente, ipso vero Sultano inter spem et metum suspenso, ne quid populari suo accideret. is vero aerem subinde captans et ventum explorans spectatorum spem eludebat, ac

ρυγας εἰς κίνησιν πτήσεως ὑπεστείλατο, τὸ πνεῦμα μεταπεμπόμενος. ἐπεὶ δέ ποτε φορὸν παρεῖναι καὶ οὔριον δέδοκτο, διατινάσσεται πτηνοῦ δίκην, ἀεροβατεῖν οἰηθείς. ἀλλ' ἦν οὐρανοδρόμος Ἰκάρου ἐλεεινότερος. καὶ ὡς σῶμα κεντροβαρὲς χαμαιριφὴς, οὐχ ὡς κοῦφος ἱπτάμενος, καὶ τέλος δὲ καταπεσὼν διέρρηξε τὴν ψυχὴν, γαστροκνημίδας καὶ χεῖρας καὶ ὅσα τοῦ σώματος ὀστώδη διαθρυβείς. ἦν τοίνυν ὁ ἐκπετασμὸς οὗτος εἰς μωκίαν καὶ γέλωτα τῶν μετὰ τοῦ σουλτάνου Τούρκων τοῖς ἀστυπολίταις διαθρυλούμενος, οὐδ' ἦν ἐπ' ἀγορᾶς ἀκαταγελάστους αὐτοὺς παριέναι, τῶν ἀργυροκόπων ἀγοραίων τὰ τῶν τραπεζῶν διαψοφούντων σιδήρια. ὡς δ' ἠνω- V. 63
τίζετο ταῦτα ὁ βασιλεὺς, διεχεῖτο μὲν ὡς εἰκός, τὸ στωμύ- P. 79
λον καὶ φιλοπαίγμον τῶν ἐπὶ τῶν τριόδων εἰδώς, σουλτάνῳ δὲ χαριζόμενος (κατὰ βραχὺ γὰρ τὴν τοῦ βαρβάρου ψυχὴν ὑπεισερχόμενα ἔδακνε τὰ βωμολοχεύματα) ἐπλάττετο τὸν τὸ ἐκείνων ἐλευθερόστομον ἀναστέλλοντα.

6. Μετὰ δὲ τὴν ἀξιάγαστον φιλοφροσύνην δῶρα πολλὰ καὶ λαμπρὰ ἐκ τῶν βασιλικῶν χρυσώνων ὁ σουλτάνος ἀπαρυσάμενος, ἐφ' οἷς καὶ ἔκθαμβος ἐγεγένητο καὶ διαπορούμενος ἦν εἰ καὶ ἑτέρων τοσούτων τὸ πλῆθος καὶ τηλικούτων τὸ μέγεθος εὐπορεῖ βασιλεύς, χαίρων ἐπανέζευξεν ἔμφορτος. ὁ γὰρ αὐτοκράτωρ εἰδὼς μὲν ὅτι βάρβαρος ἅπας λημμάτων ἥττηται, λαμπρυνόμενος δὲ μάλιστα καὶ ἐκπλῆξαι θέλων τὸν

10. τῶν ἀργ.] καὶ κρούοντες τὰς λίτρας αὐτῶν οἱ καταλλάκται ἐπὶ τὰς τραπέζας κτυποῦντες ἐκραύγαζον πέτασον πέτασον B. 13. τῶν] τὸ A. 22. λημμάτων ἡττ.] λείξουρός ἐστι B.

manibus saepe alarum instar ad volatum expansis et libratis ut plus venti colligeret, cum is tandem aptus et secundus aspirare videretur, instar volucris sese agitat, et dum per aerem incedere nititur, Icaro miserabilius in caelo volitat. neque enim corporis gravitas humum tendentis alta eum tenere sinebat, donec prostratus expiravit, manibus pedibus et omnibus ossibus confractis. is volatus cum risu et derisu Turcorum Sultani comitum vulgi fabula erat, adeo ut forum transire inderisi non possent, fabris argentariis ferramenta mensarum concutientibus. quo imperator audito ridebat scilicet, non ignarus iocorum et salium turbae trivialis: sed in Sultani gratiam, quem ista ludibria paulatim mordebant, se illorum licentiam coercere simulabat.

6. Enimvero Clizasthlanes post mirabilem benignitatem et multa splendidaque munera ex imperatoriis thesauris exhausta, quibus obstupefactus dubitabat utrum tantumdem sibi reliqui fecisset imperator, laetus atque opibus onustus domum revertitur. Manuel enim cum sciret quemvis barbarum avarum esse, et Romanorum opulen-

B *Κλιτζασθλάνην ἐπὶ τοῖς πολυταλάντοις τῶν θησαυρῶν οἷς ἡ
βασιλεία Ῥωμαίων περιεῤῥέετο, ἐν ἑνὶ τῶν κατὰ τὸ ἀρχεῖον
λαμπροτάτων ἀνδρώνων ἑξῆς διατέθεικεν ὅσα τούτῳ παρα-
σχέσθαι δῶρα προέθετο. ἦν δὲ ταῦτα χρυσός τε καὶ ἄργυ-
ρος κεκομμένος εἰς νόμισμα, καὶ τρυφῶσα ἐσθής, ἀργύρεά
τε ἐκπώματα καὶ Θηρίκλεια χρύσεα, καὶ ὀθόναι τῶν ἐξ ὑπερ-
ηφάνου ὑφῆς, ἄλλοι τε κόσμοι ἐξαίρετοι, Ῥωμαίοις μὲν καὶ
πάνυ εὐπόριστοι, σπάνιοι δὲ παρὰ βαρβάροις αὐτοῖς καὶ τὰ
πολλὰ μηδὲ θεατοί. εἰσιὼν οὖν ὁ βασιλεὺς τὸν ἀνδρῶνα,
καὶ τὸν σουλτάνον ἐκεῖσε μεταπεμψάμενος, ἤρετο εἰ δωρη-
θῆναί οἱ τοῦ παρόντος βούλοιτο θησαυροῦ. τοῦ δὲ εἰπόντος
ὡς αἱρεῖται ὅσοις αὐτὸν δωρήσηται βασιλεύς, αὖθις ἐπήγα-*
C *γεν εἴ τις τῶν ἀντιπάλων Ῥωμαίοις, αὐτοῦ ταῦτα κενωσα-
μένου εἰς ξενικὸν καὶ ἐνδαπὸν στράτευμα, ὑπενέγκοι ἂν ὅλως
τὴν κατ' ἐκείνου τῶν Ῥωμαίων ὁρμήν. τοῦ δὲ ἀγασαμένου
καὶ εἰπόντος ὡς εἰ δεσπόζων ἦν τοσούτων χρημάτων, εἶχεν
ἂν πάλαι τὸ κύκλῳ πολέμιον εἰς ὑπήκοον αὐτῷ μεταθέμενος,
„φιλοτιμοῦμαί σε τοῖς πᾶσι" φησὶ βασιλεύς, „ἵνα καὶ τοὐ-
μὸν εἰδείης φιλόδωρόν τε ἅμα καὶ μεγαλόδωρον, ἀλλὰ καὶ
ὅσων ἐστὶ κύριος χρημάτων ὁ τοιούτοις καὶ τοσούτοις ἕνα δω-
ρούμενος." ὁ δὲ ἥσθη τε καὶ ἐξέστη τῇ ἀπομαγδαλιᾷ τῶν
χρημάτων, τυφλώττων πρὸς κέρδος, καὶ βασιλεῖ τὴν Σεβά-
στειαν καὶ τὴν ταύτης χώραν παρασχέσθαι κατεπηγγείλατο.
ὁ Μανουὴλ δὲ τὴν ὑπόσχεσιν ταύτην ἀσμένως δεξάμενος,*

5. *καὶ τρυφῶσα*] *βλατία χρυσᾶ καὶ ἑξάμιτα καὶ ἕτερα βλατία ποικίλα καὶ κεντητά* B. 13. *κενωσαμένου*] *ῥογεύσει εἰς ξενικὸν καὶ ἰδικὸν* B.

tiam ostentare vellet, quicquid Clizasthlani daturus erat, in splendidissimo quodam palatii conclavi ordine exposuit. ea fuere moneta aurea atque argentea, delicatae vestes, argentea pocula et Thericlea aurea et tela subtilissima aliaque ornamenta eximia, Romanis paratu facillima, sed rara apud barbaros et pleraque nunquam visa. id igitur conclave ingressus Sultanum accersit, numquid ex eo thesauro donari sibi velit rogat. respondente illo id sibi fore acceptum quod ipse dedisset, rursus interrogat, si eam pecuniam in militem domesticum et externum erogaret, nunquis hostium suum impetum sustinere posset. cum vero ille non sine admiratione dixisset se, si tantum pecuniae habuisset, iam olim hostes omnes subacturum fuisse, „haec" inquit „omnia tibi dono, ut et munificentiam meam noris, et quantis opibus polleat is qui uni tantum donat, coniicias." is vero et laetatus obstupefactus et pecuniae cupiditate caecus se imperatori Sebacum suburbano agro redditurum pollicetur. qua re Manuel cu-

καὶ ἕτερα δώσειν ξυνέθετο χρήματα, εἰ τοὺς λόγους τοῖς ἔργοις πιστώσηται. καὶ αὐτὸς μὲν τὴν τοῦ βαρβάρου προφθάνων ῥοπήν, καὶ ἕως ἔτι ὁ σίδηρος ἐν ἀκμῇ, ἐνεργῷ χρήσασθαι τούτῳ βουλόμενος, διεπεπράχει ὡς εἰρήκει μετὰ καιρόν· στείλας γὰρ τὸν Γαβρᾶν Κωνσταντῖνον ἐξέπεμψεν αὐτῷ φιλοτιμήματα ἄλλα ἄττα συχνὰ καὶ παντοδαποὺς ὁπλισμούς. ὁ δὲ ἀπατεὼν ὢν καὶ μηδ᾽ ὅλως ἀλήθειαν ἐγνωκώς ποτε, τῶν τε συνθηκῶν ἐπελάθετο ἀπελθὼν εἰς Ἰκόνιον, καὶ τὴν Σεβάστειαν ἐκπορθήσας καὶ τὰ ὑπ᾽ αὐτὴν χειρωσάμενος γέγονε τῶν ὅλων αὐτὸς ἐγκρατής. ἐπειδὴ δὲ καὶ τὸν Δαδούνην τῆς οἰκείας ἀρχῆς παρέλυσεν, ἐκεῖνον μὲν δραπέτην καὶ πλανήτην εἰργάσατο, τῆς δὲ Καισαρείας αὐτὸς λαβόμενος καὶ τὸν λοιπὸν μετήρχετο ξύμφυλον, τὸν Ἰαγουπασάνην φημί, νοσήσας κἀπὶ τῇ τούτου ἔρωτα χώρᾳ καὶ τὸν ἄνδρα διψῶν ἀνελεῖν. ὁ δὲ καὶ αὐτὸς τὸ οἰκεῖον συγκροτῶν ἐν τῷ μέρει στρατόπεδον, καὶ ὡς πρὸς ἀνταγωνιστὴν ἤδη μείζονα περιβαλλόμενον δύναμιν παραταττόμενος, φθάνει θανάτῳ τὴν προθυμίαν διακοπείς. Δαδούνης δὲ ὡς εἰς ἐρήμην δυνάστου τὴν τῶν Ἀμασέων σατραπείαν παρεισιὼν ἐκεῖθέν τε ἀποκρούεται, καὶ τῇ μεταπεμψαμένῃ τοῦτον τῇ τοῦ Ἰαγουπασάνη συνεύνῳ θανάτου αἴτιος γίνεται· οἱ γὰρ Ἀμασεῖς ἐπαναστάντες αὐτήν τε ὡς λάθρα τῷ Δαδούνῃ μνηστεύουσαν τὴν ἀρχὴν ἠμύναντο τελευτῇ, καὶ Δαδούνην ἀδοξήσαντες ἄρχοντα μακρὰν ἀπεώσαντο. ἀλλ᾽ οὐχὶ καὶ τοῦ Κλιζασθλᾶν γεγόνασιν ἰσχυρότεροι, ἀλλ᾽ οὗτος αὐτῶν φανεὶς δυνατώτερος, ὡς εἶχε πρώην Καππαδοκίαν, οὕτω καὶ Ἀμάσειαν εἴληφεν ὕστερον,

D (beside line 2)

P. 80 (beside line 16)

1. χρήματα — μὲν τὴν om A. 3. ὁρμὴν A. 10. ἐπεὶ A.
16. ἀγωνιστὴν A.

pide accepta, se illi plus pecuniae daturum promisit, ubi verba ad rem contulisset. et ut barbari inconstantiam anteverteret et ferrum fervens adhuc suo arbitratu versaret, Gabram Constantinum cum multis aliis muneribus et omnis generis armis ad eum, misit. sed homo fallax et fidei servandae ignarus, ut Iconium rediit, foederis oblitus Sebastia vastata et vicinia eius subacta summam rerum ad se transtulit, et Dadune eiecto Caesareaque occupata etiam reliquum popularem suum Iagupasanem evertere atque occidere cupiebat. qui cum et ipse vicissim copias suas cogeret seque ut contra adversarium iam maiore potentia praeditum instrueret, in ipso belli apparatu extinguitur. Dadunes vero Amasiae satrapiam ut possessore vacuam clam ingressus, et rursus inde eiectus, Iagupasanis uxori, a qua accersitus erat, causa mortis extitit. Amaseni enim eam ut imperium

στείαν ἐπηγρίαινε λοφιὰν καὶ τὸν ὁλκὸν ὃν ἐπεσύρετο τοῦ
B στρατεύματος κατασιγάζων ἐπράϋνεν. ἐνίοτε δὲ τοὺς ὡς πώεα πλατέα διεκκεχυμένους τοῖς Ῥωμαϊκοῖς σχοινίσμασι Τούρκους ἀναστέλλων τοῖς περὶ τὴν πεντάπολιν ἐπιτίθεται, καὶ σωμάτων ἀνθρωπίνων καὶ ζώων πολλῶν γενόμενος ἐγκρατής, μηδ' εἰς χεῖρας δεξαμένων αὐτὸν τῶν Περσῶν, τροπαιοφόρος ἐπανέζευξεν, ὁπηνίκα καὶ Σολυμᾶς ὁ τῶν παρὰ τῷ σουλτάνῳ τὰ μέγιστα δυναμένων κορυφαιότατος τῷ βασιλεῖ ἐποφθεὶς πολλὰ μὲν ὑπερηγόρει τοῦ σουλτάνου, ἀποτρέπων τῆς ἐκείνου γνώμης τὰ παρὰ τῶν Τούρκων πραττόμενα καὶ σοφιστικῶς οἷς διεξῄει καταχαριζόμενος, ἀσύμφωνα δ' ὅμως τοῖς πράγμασι φθεγγόμενος ἡλίσκετο ψευδολογίας ἐγκλήματι·
C πλὴν οὐδ' οὕτω τι πρὸς βασιλέως πέπονθεν ἄχαρι Σολυμᾶς. θεραπεύων δὲ καὶ ὑπὲρ τὸ ἀληθές, ὡς ἔθος τοῖς βαρβάροις, τὸν ἄνακτα, καὶ τὰ ἐς ἀπάτην τεχναζόμενος ἵπποις αὐτὸν ὠκύποσιν ἐκολάκευσεν, οὓς τὸ ἐκείνου ἐσίτευεν ἱπποστάσιον. ὁ
V. 65 δὲ βασιλεὺς τοὺς ἵππους δεξάμενος καὶ Σολυμᾶν τῆς εὐγνωμοσύνης καὶ ὑποταγῆς ἀποδεξάμενος, εἰ καὶ μὴ τῆς ἐκείνου γνώμης ἴδιον ἦν, τοῦ δὲ καιροῦ ὑπῆρχε δῶρον τὸ φιλοφρόνημα, πρὸς τὸν σουλτάνον ἀπέστειλεν ἐξηγησόμενον ἐκείνῳ ἃ οὐκ ἦν ἀγνοῶν, καὶ ἐς αὐτὸ τοῦ τρόπου ἀποσκώψοντα τὸ παλίμβολον τὸ ἄπιστόν τε καὶ τὸ κακόηθες, κἂν οὐκ ἦν αὐτὸν ἠρεμήσειν ἐπὶ τούτοις ἢ γοῦν καθυπερθέσθαι καὶ πρὸς βρα-
D χὺ Ῥωμαίοις τὴν ἀντιπάθειαν. ἐκλόπευε γοῦν ταῖς συνήθεσι

2. τοὺς ὡς] τοὺς ἐξερχομένους τούρκους μετὰ τῶν κατούνων αὐτῶν καὶ βόσκοντας τὰ ζῶα αὐτῶν B.

bat, et incitatam hominis cupiditatem ad pacem flectebat. aliquando etiam Turcos in Romanorum fines effusos repressurus Pentapolitanos invadit; ac Persis nec ad manus venire ausis, multis captivis, multis pecoribus abductis, triumphans urbem ingreditur. eo tempore Solymas procerum Sultani princeps, homo callidus et disertus, apud imperatorem multa pro domino suo verba fecit, ut Turcos illa contra Sultani voluntatem fecisse ostenderet, blanditiis verborum usus quae cum factis non congruebant. etsi autem aperte mentiebatur, tamen quia imperatorem, ut barbarorum mos est, immodicis laudibus efferebat oratione ad imposturam composita, et equos cursores in suis stabulis educatos offerebat, nihil incommodi passus est. accepit equos imperator, et Solymam, eius aequitate et submissione approbata (quanquam ea benignitas non ab hominis ingenio proficiscebatur sed temporum erat), ad Sultanum ablegavit, ut ea exponeret quae non ignorabat, et levitatem illi perfidiam atque iniquitatem obiiceret. neque vero ille quieturus erat, aut eandem illatam vel ad exiguum tempus

ληστείαις χρώμενος. στείλας δὲ καὶ φάλαγγας ἐπιλέκτους τὴν κατὰ Φρυγίαν ἐκπορθεῖ Λαοδίκειαν, οὐκέτι οὖσαν συνοικουμένην ὡς νῦν ἑώραται, οὐδ' εὐερκέσι φραγνυμένην τείχεσι, κατὰ δὲ κώμας ἐκκεχυμένην περὶ τὰς ὑπωρείας τῶν ἐκεῖσε βουνῶν. ἤλασε δ' ἐκεῖθεν βαρεῖαν λείαν ἀνθρώπων καὶ ζώων πλῆθος οὐ σταθμητόν· οὐ μετρίους δὲ καὶ κατέκτανεν, ἐν οἷς καὶ τὸν ἀρχιερέα Σολομῶντα, ἐκτομίαν μὲν ἄνθρωπον, χαρίεντα δ' ἄλλως τὸ ἦθος καὶ θεῷ δι' ἀρετῆς προσεγγίζοντα. εἰρωνευόμενος δ' ἔφασκε πρὸς τοὺς οἰκείους ὡς ὅσῳ ἂν μείζω δράσειε Ῥωμαίους δεινά, τοσούτῳ μείζω παρὰ βασιλέως ἀγαθὰ πείσεται· „ᾧ γὰρ πάρεστι" φησι „τὸ κρατεῖν, τούτῳ καὶ αἱ δωρεαὶ φιλοῦσιν ἐπιξενίζεσθαι, ἵνα μὴ πλεῖον ᾖ τὸ νικᾶν, ἐπειδὴ καὶ τὰ φλεγμαίνοντα τῶν σω- P. 81 μάτων τὰς νοσοκομίας ἐπισπῶνται πλείονας, ἵνα ἀντισπῶνται καὶ σταῖεν τὰ πρόσω νεμόμενα." οὐδ' ὁ Μανουὴλ μέντοι ἐπὶ τούτοις ἡσυχίαν ἠσπάσατο, ἀλλὰ πρῶτα μὲν διὰ τοῦ Γουδελίου Τζυκανδήλη, εἶτα καὶ διὰ τοῦ Ἀγγέλου Μιχαὴλ τοῖς Τούρκοις ἐπέθετο, ὅσοι πολυθρέμμονες ὄντες ἀναδιφῶσι πόας τὰς λειμωνίτιδας καὶ τούτων ἕνεκα τῶν οἰκείων ἠθῶν ἀπανιστάμενοι παγγενεὶ τὰ Ῥωμαίων ἐπεισίασιν ὅρια. οὗτοι γὰρ ἐς λόχους τὸ τῶν στρατοπέδων συντάξαντες εὔζωνον καὶ μεθ' ἑαυτῶν παραλαβόντες ἐξῄεσαν. ἀμείνω δὲ τὴν νύκτα κρίνοντες εἰς τὴν τῶν ἐναντίων ἐπίθεσιν, σύνθημα δεδώκασι

10. παρὰ] ὑπὸ A. 13. ἐπεὶ A. σωμάτων] νοσημάτων A. 15. οὐδ' ὁ] μενοῦνγε, ὁ δ' ὁ A. μέντοι om A. 17. ἐπὶ om P. ἠσπάζετο A. 17. γουδελίου τζυκανδήλη A, τζυκανδύλη γουδελίου B, Τζικάνδλα βασιλείου PW. 20. ὑπίασιν A.

inultam passurus. latrociniis igitur de more utebatur; et delectis cohortibus missis Laodicea Phrygiae, quae tum non, uti nunc cernitur, moenibus adornata sed instar pagorum ad radices collium sparsim extructa erat, ingentem praedam pecudum et hominum abegit; multos etiam occidit, atque inter alios pontificem Solomonem, castratum illum quidem, sed gratiosum hominem et deo virtute propinquum. dicebat autem per ludibrium Sultanus ad suos, quo pluribus malis Romanos afficeret, eo maiora sibi beneficia ab imperatore expectanda esse: nam penes quem victoria sit, ad eum quoque munera confluere solere, ne latius vagetur victoria, quemadmodum morbi periculosi diligentius curentur, ne serpant. nec interea quievit Manuel, sed primum per Basilium Zicandlam, deinde per Michaelem Angelum Turcos eos invasit, qui ob gregum et armentorum copiam loca herbida et campestria consectantur, eaque de causa suis relictis sedibus Romanorum fines cum omni familia occupant. hi

B τῷ στρατῷ ἐν τῷ κατὰ σκότον συμπλέκεσθαι τοῖς Τούρκοις ἀναφωνεῖν „σίδηρος," ὡς εἴη αὐτοῖς οὕτως ἀντιπαρέρχεσθαι μὲν τὸ ὁμόφυλον ὡς ὁμόφωνον, τὸ δὲ σιγῇ ἐπιὸν καίνοιεν ὡς ἀλλόγλωσσον. καὶ τοῦτο δι' ὅλης τῆς τότε συμπλοκῆς ἐπιφωνούμενον διέστελλε τὰ γένη, καὶ τὸ τοῦ Δαβίδ, ὁ σίδηρος τὰς τῶν Περσῶν ψυχὰς διήρχετο. μετὰ δὲ πολὺν ὀψέ ποτε φόνον οἱ Τοῦρκοι συνιέντες ὃ βούλεται τὸ ἀνὰ στόμα Ῥωμαίοις κείμενον, ξυνῳδὰ σφίσι καὶ αὐτοὶ ἐφθέγγοντο, ἕως τῆς νυκτὸς διαγενομένης ἀπ' ἀλλήλων διέστησαν τὰ στρατεύματα. πολλαὶ μὲν οὖν ἐκδρομαὶ τὸ τηνικαῦτα καιροῦ τῷ βασιλεῖ τούτῳ κατὰ τῶν Τούρκων ἐγένοντο, καὶ C παρὰ τούτων αὖθις Ῥωμαίοις ἐπιξυνέστησαν· παρῆκα δὲ τούτων ὅσαι σὺν τῷ μὴ ἀξιαφήγητόν τι κεκτῆσθαι καὶ κόρον τοῖς φιληκόοις ἐμποιήσειν ἤμελλον, οἷα τὰ πολλὰ εἰς ταὐτὰ τὴν ἱστορίαν ἐπαναστρέφουσαι καὶ μηδέν τι παρεξηλλαγὸς εἰς τὴν διήγησιν ἔχουσαι.

V. 66 ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΜΑΝΟΥΑ ΤΟΥ ΚΟΜΝΕΝΟΥ.

P. 83 1. Ἐπάνειμι δ' αὖθις ἐπὶ τὰ Παιονικά, σαφηνείας δ'

4. ἀλλόγλωττον A. 17. ΤΟΜΟΣ — ΒΑΣΙΛΕΙΑΣ om A, qui Κομνηνοῦ κυροῦ Μανουήλ. 19. Παιονικά] οὐγγρικὰ B. σαφηνείας] συναφείας δ' ἓν κα τῆς ἱστορίας A.

enim expedita copiarum parte in cohortes descripta secumque adducta, noctu adversarios rectius invadi posse rati, hanc exercitui tesseram in nocturno illo conflictu dederunt, ut exclamarent „ferrum", ut suos ea voce agnita inviolatos praeterirent, eos vero qui taciti accederent, occiderent ut peregrinos. ea acclamatio totius pugnae tempore gentes distinxit, et ut David ait, ferri instar in Persarum animos penetravit. sed Turci post multam tandem caedem, tessera illa intellecta, eandem vocem et ipsi usurparunt, donec elapsa nocte dirempti sunt exercitus. sunt et aliae multae Manuelis contra Turcas et Turcarum contra Romanos excursiones factae; quas plerasque, quod nihil memorabile in iis actum est, praetermisi, ne crebra similium rerum repetitio, sine ulla gratia novitatis, fastidium pareret lectoribus.

NICETAE CHONIATAE LIBER IV RERUM A MANUELE COMNENO GESTARUM.

1. Priusquam autem ad res Pannonicas redeam, perspicuita-

ἕνεκα τοῦ ἱστορεῖν προαναβαλοῦμαι ταυτί. τῷ τότε ἄρχοντι τῶν Οὔννων Ἰατζᾷ δύο ἦσαν ὁμαίμονες, Στέφανός τε καὶ Βλαδίσθλαβος, καὶ παῖδες Στέφανος καὶ Βελᾶς. τῶν ἀδελφῶν τοίνυν ὁ Στέφανος τὰς ὁμογνίους ἐκφυγὼν χεῖρας κατ' αὐτοῦ φονώσας τὴν Κωνσταντίνου κατέλαβε, καὶ προσδεχθεὶς ἀσπασίως τῷ αὐτοκράτορι Μανουὴλ ἄλλης τε φιλοφροσύνης ὡς πλείστης ηὐμοίρησεν, ἀλλὰ δὴ καὶ Μαρίαν ἔγημε τὴν τούτου ἀνεψιάν, ἣν ὁ σεβαστοκράτωρ ἐφύτευσεν Ἰσαάκιος. μετὰ βραχὺ δὲ καὶ ὁ τῶν ἀδελφῶν τρίτος Βλαδίσθλαβος κατ' ἴχνια βαίνων τῷ Στεφάνῳ τῷ Μανουὴλ προσεχώρησεν, οὐ τοσοῦτον Ἰατζᾶ καταγνοὺς ὡς μὴ φιλοῦντος ὅσον εἰκός, ἢ ἐξ ἐκείνου ἐπιβουλὴν πτοηθείς, ὅσον τῇ τοῦ ἀδελφοῦ Στεφάνου φήμῃ γοητευθεὶς καὶ πρὸς αὐτὸν τὴν πορείαν τεινάμενος. τῷ τοι οὐδ' αὐτὸς ἐξέπεσε τῶν ἐλπίδων ἢ ἀναξίως τοῦ γένους τῷ βασιλεῖ προσείληπται, ἀλλὰ πάντα οἱ ἀπηντήκει κατὰ σκοπόν. καὶ γυναῖκα δὲ ἣν ἠβούλετο ἀγαγέσθαι, καὶ ταύτην ἐκ βασιλείου ἂν ἔγημεν αἵματος. ἀλλὰ γάμου μὲν ἀπέσχετο, ἵνα μὴ τῆς ἐς πατρίδα λαθόμενος ἐπανόδου τὰ οἴκοι διαφθεροῖ, τῷ λωτῷ τῆς γυναικὸς προσηλούμενος. ἀλλ' οἷα τὰ ἐπὶ τούτοις; τελευτᾷ ὁ τῶν Οὔννων ῥὴξ Ἰατζᾶς, καὶ ὁ θάνατος ἥμερος, τῆς φύσεως ὃ ἐνέτεινε βάρβιτον ὑποχαλασάσης τῆς ἁρμονίας καὶ διαλυσάσης πρὸς ἃ καὶ ἐξ ὧν συντέθειται. ἡ δ' ἀρχὴ ἐπὶ τὸν ἐκείνου διαβαίνει παῖδα τὸν Στέφανον. ὁ δὲ βασιλεὺς ὡς ἐκ ῥίζης ἀνομοίου φυέν τι κάλλιστον τὸ γεγονὸς ἡγησάμενος, καὶ κατὰ

B C

10. Μανουὴλ] βασιλεῖ A. 16. βούλοιτο A.

tis gratia quaedam praemittenda sunt. Hunnorum princeps Iazas duos fratres habuit, Stephanum et Bladisthlabum, totidemque filios, Stephanum et Belam. Stephanus evitatis insidiis quae a fratre sibi parabantur, Cpolim profectus et a Manuele imperatore humaniter susceptus, praeter alia plurima beneficia, etiam Mariam uxorem accepit, imperatoris neptem, Isaacio Sebastocratore natam. paulo post alter quoque frater Bladisthlabus Stephanum imitatus ad Manuelem se contulit, non tam quod a fratre minus quam par esset amaretur aut insidias timeret, quam fama rerum secundarum fratris Stephani impulsus. neque vero spe sua frustratus est, aut aliter ab imperatore susceptus quam genus eius decebat, sed omnia ex sententia confecit. ac uxorem quam vellet, vel ex imperatoria stirpe, ducere ei licuisset. verum coniugio abstinuit, ne illius blanditiis irretitus neglecto reditu in patriam rebus suis minus consuleret. sed quid fit? Hunnorum regi Iazae placida morte defuncto Stephanus filius in principatu succedit. at imperator eo casu delectatus, initaque ratio-

νοῦν ἀναπολήσας ὡς εἰ πρὸς τὸν ἐπ' ἀνεψιᾷ γαμβρὸν Στέ-
V. 67 φανον, ὡς δῆθεν εἰς ἀρχὴν δικαιούμενον, ἡ τῶν Οὔννων μεταβαίη σατράπευσις, σχοίη ἂν τὰ πρῶτα κλέος αὐτός, ἔπειτα ἡ βασιλεία Ῥωμαίων μέρος ἴσως ἐκεῖθεν δασμοῦ, ἐκ τοῦ
D ἀναντιρρήτου δ' οὖν ἀσφαλῆ τὴν τοῦ Ζευγμίνου καὶ τοῦ Φραγγοχωρίου κατάσχεσιν, συντείνει τὸ πρόθυμον πρὸς τὴν τῶν σκοπουμένων ἐκπλήρωσιν. καὶ εἶχεν εὐθὺς τοὺς μὲν πρέσβεις ἡ τῶν Οὔννων χώρα, οἵτινες αὐτοῖς καταστάντες ἤμελλον ξυνδιαθέσθαι Στεφάνῳ τὸν τῆς ἀρχῆς στέφανον, μετὰ βραχὺ δὲ αὐτὸν ἡ Σαρδική. Οὖννοι μὲν οὖν καὶ πρὸς τὴν πρώτην ἀκοὴν ἀπεπήδησαν τοῦ Στεφάνου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν τὴν τούτου προσηγορίαν, καὶ δι' ἄλλα μὲν φάσκοντες ἀποπέμπεσθαι τοῦτον, μάλιστα δὲ διὰ τὸ γῆμαι παρὰ Ῥωμαίοις· αὐτοῖς δὲ ἀσύμφορον ὅλως εἶναι προσίεσθαι ἄνδρα κατὰ κῆδος τῷ βασιλεῖ Ῥωμαίων συναπτόμενον· ὑποβλέπεσθαι γὰρ μή πως Οὖννοι μὲν ὑπ' αὐτοῦ βασιλεύωνται,
P. 84 αὐτὸς δὲ ὑπὸ τοῦ τῶν Ῥωμαίων ἄρχηται καὶ ὁρίζηται βασιλεύοντος. διὰ ταῦτα τοίνυν οὔτε τῷ Στεφάνῳ ἐκεῖσέ ποι ἀφικομένῳ προσέκειντο, καὶ τοὺς κατάγοντας αὐτὸν ἐκ βασιλέως ἀπράκτους ἠφίεσαν. ἔνθεν τοι καὶ διὰ μείζονος ἰσχύος ἐπιβοηθῆσαι τῷ Στεφάνῳ δεῖν ὁ βασιλεὺς οἰηθεὶς αὐτός τε ἐκ Σαρδικῆς ἀπάρας ἀφικνεῖται πρὸς τὰ παρίστρια, λέγω δὴ τὰ κατὰ Βρανίτζοβαν καὶ Βελέγραδα, καὶ τὸν ἀδελφιδοῦν Ἀλέξιον τὸν Κοντοστέφανον συνεκπέμπει τῷ Στεφάνῳ

3. σατράπησις A. ἔπειτα] κερδανῶν τὰ ἀπὸ τῶν ἐπανοικίων τοῦ φραγγοχωρίου B. 11. ἀνεπήδησαν A. 14. δὲ] δὲ τοῖς οὔννοις A. 17. καὶ ὁρίζηται om A. 21. οἰηθεὶς] κεκρικὼς A. 22. ἐκ] τῆς A. 23. βελάγραδα A.

ne, si Hunnorum satrapia ad Stephanum affinem suum, cui iure deberetur, transiret, primum id sibi gloriae fore, deinde Romano imperio forsitan aliquid tributi accessurum, Zeugmino certe et Francochorio citra controversiam potiturum, rei conficiendae intendit animum. legati statim ad Hunnos mittuntur, qui cum eis de regno ad Stephanum transferendo agerent: paulo post ipse Sardicam venit. Hunni vero ad primum auditum a Stephano abhorruerunt et nomen eius aegre tulerunt, eum se cum ob alia repudiare asserentes, tum quod Romanam uxorem duxisset: minime enim e re sua esse virum admittere Romanorum imperatori affinitate iunctum; vereri se ne Hunni suo regi, rex vero imperatori Romanorum pareret. his de causis nec Stephano illuc profecto studuerunt, et legatos imperatoris rebus infectis dimiserunt. unde Stephano maioribus viribus opitulandum ratus, Sardica ad Istri ripas, Branizobam et Belligradum, proficiscitur, et nepotem Alexium Contostephanum cum copiis adiun-

μετὰ ἰσχύος, οἳ καὶ ὡς τὸν Χράμον κατέλαβον, ὡς ἐνῆν τὰ πρὸς ἀρχὴν διεπράττοντο, ὑποποιούμενοί τε δώροις τοὺς μέγα παρὰ Παίοσι δυναμένους καὶ κολακείᾳ ὑποφθείροντες καὶ B ὑποσχέσεσι μεγίσταις ἐπαίροντες· ἐπέραινον δὲ οὐδὲν ἢ ὅσον Βλαδίσθλαβον τὸν τοῦ Στεφάνου κασίγνητον Οὔννους εἰς ἄρχοντα δέξασθαι. ἀλλὰ καὶ τούτου βραχύν τινα χρόνον ἐπιβιώσαντος τῇ ἀρχῇ, ἐς τὸν τοῦ Ἰατζᾶ υἱὸν Στέφανον οἱ Οὖννοι πάλιν προσέρρεψαν. ἀλλ' οὔτε βασιλεὺς πράως ἤνεγκε τὸ γεγονός, καὶ ὁ τοῦ Ἰατζᾶ κασίγνητος Στέφανος βασιλέως συναιρομένου πάντα ἦν μηχανώμενος, εἴ πως τῆς ἀρχῆς ἐπιτεύξεται. πολλῶν οὖν ἕνεκα τούτου συμβεβηκότων πολέμων, καὶ τοῦ βασιλέως τὸν τοῦ Ἰατζᾶ υἱὸν τὸν Βελᾶν εἰς γαμβρὸν ἀνελομένου ἐπὶ τῇ θυγατρὶ ἐκείνου Μαρίᾳ, ὃν καὶ διάδοχον τῆς βασιλείας ἐμελέτα ποιῆσαι, οἱ τῶν Οὔννων ἀντικα- C θήμενοι τῷ Στεφάνῳ τὰς πρώτας τῶν ἐλπίδων ἐκριζοῦντες βλάστας καὶ ἀποτέμνοντες, τὸ ἐκ περιόδων τε ἐκείνῳ καὶ κύκλων μακρῶν ἀντιπράττειν ἀπολιπόντες καὶ ἑαυτοὺς πραγμάτων ἀλλοτριοῦντες, ἔγνωσαν ἐκποδὼν ποιήσασθαι δόλῳ τὸν ἀπεχθῆ Στέφανον. διὰ ταῦτα τὴν φαρμακοποσίαν ἐπηνεκότες ὡς πρόχειρον ζωῆς κατευνάστριαν, περιεσκόπουν τὸν τὴν θανατηφόρον κύλικα τῷ Στεφάνῳ τοῖς δακτύλοις ὀχήσοντα. ὡς δ' εὗρον ὑποδρηστῆρά τινα τοῦ Στεφάνου Θωμᾶν λεγόμενον, ἔστησαν τὸν μισθόν. οὕτω δ' ἦν ὀξύτατος ἐκεῖνος καὶ δεινότατος ἀνθρώπου καταλῦσαι ζωὴν καὶ σώματος διαστῆσαι ψυχήν, πονηρῷ κέρδει χεῖρα ὑποσχών, ὡς καὶ οἴκο-

4. ὅσον τὸν βλ. A. 13. ὃν — ποιῆσαι om A. 24. διαστῆσαι] ἀποστῆσαι A. 25. ὑποσχὼν] ὑπέχων A.

git Stephano. qui cum Chramum tenuissent, pro virili egerunt ea quae ad regnum obtinendum pertinebant. quamvis autem Pannonum proceres et largitionibus ac adulationibus corrumperent et maximis pollicitationibus inflarent, nihil tamen proficiebant, nisi ut Hunni Bladisthlabo Stephani fratri principatum deferrent. quo paulo post defuncto rursus ad Iazae filium Stephanum Hunni inclinarunt. quod factum neque imperator aequo animo tulit; et eo adiuvante Iazae frater Stephanus nihil non agebat, si quo modo regno potiretur. ea de causa multis bellis conflatis, cum imperator Iazae filio Belae, quem imperii successorem designare in animo habebat, Mariam filiam despondisset, Hunni, ut omnibus molestiis et periculis compendio defungerentur, invisum Stephanum dolo necare instituunt. quam ad rem venenum aptissimum visum, quod per ministrum quendam eius Thomam largitionibus corruptum illi propinaretur. is vero veneficii insignis artifex, e suo ingenio alia ratione deprompta, cum

D θεν προσεφευρεῖν ἑτέραν μέθοδον δι' ἧς εἰς ᾅδου τάχιον καταχθήσεται Στέφανος. ἀμέλει καὶ ἐν τῷ ἐξαιματοῦσθαι τὴν φλέβα τῷ Στεφάνῳ ἐγχρίεται φαρμάκῳ τὸ ἐπίθεμα τῆς τομῆς· τὸ δὲ ὅλῳ περιχυθὲν τῷ σώματι καὶ διαδραμὸν καὶ τοῖς καιριωτέροις ἐνσκῆψαν μέρεσιν ἀπάγει τοῦ ζῆν τὸν ἄνθρωπον, πράγμασιν αὐτοῖς σαφῶς πιστωσάμενον τὰς τῶν ἀνθρώπων ἐπινοίας ἀκροσφαλεῖς καὶ δειλάς, καὶ ὡς εἰκῇ καὶ μάτην τοῖς ἀκιχήτοις ἐγχειροῦσί τινες ἐφετοῖς καὶ διαπονοῦνται τοῖς οἰκείοις ἐπιτηδεύμασι, μὴ καὶ θεϊκῆς συνεφαπτομένης χειρὸς ἄνωθεν καὶ τοῖς πραττομένοις ἐπευδοκούσης καὶ κατευθυνούσης τὰ τούτων διαβούλιά τε καὶ διαβήματα. καὶ ὁ μὲν ἔκειτο οὕτως, καὶ ἦν ὁ νεκρὸς αὐτοῦ ὑβριζόμενος καὶ ὁσίας ἄμοιρος, καὶ τὸ Ζεύγμινον ὑπὸ Οὔννων ὁμολογίᾳ ἑάλωκε.

Ταῦτα ὡς ἠνώτιστο βασιλεύς, κατὰ τῶν Οὔννων κηρύσ- V 68 σει πόλεμον. (2) Ὅτε καὶ Ἀνδρόνικος πάλιν ἀποδρὰς καὶ παραγενόμενος εἰς Γάλιτζαν ἐκεῖθεν ἐπανέζευξεν. ἔστι δὲ ἡ Γάλιτζα μία τῶν παρὰ τοῖς Ῥὼς τοπαρχιῶν, οὓς καὶ Σκύ- P. 85 θας Ὑπερβορέους φασίν. ὁ δὲ τρόπος τῆς φυγῆς ἦν οὗτος. πλάττεται τὸν νοσοῦντα, καὶ προκοίτου παιδὸς εἰς τὰς σωματικὰς ὑπηρεσίας ηὐμοιρηκὼς ἀλλοεθνοῦς, καὶ τούτου καὶ τὰ πολλὰ τῆς ἡμετέρας διαλέκτου παραγραμματίζοντος, ἐπισκήπτει τούτῳ, ἐπεὶ καὶ μόνῳ ἀπὸ πάντων ἡ πρὸς τὴν φρουρὰν ἀνεῖτο εἴσοδος, ὑφελέσθαι λάθρᾳ τὰς κλεῖς τῶν τοῦ πύργου πυλῶν, ὁπότε πρὸς ἡμερινὸν ὕπνον οἱ φύλακες τράποιν-

12. αὐτῷ A. 13. ὑπὸ τῶν Οὔννων A. 21. ἀλλοεθνοῦς] σθλάβου βαρβάρου B.

forte Stephanus venam incidisset, veneno ictum inunxit; quod in totum corpus diffusum, correptis vitalibus, hominem celeriter confecit. cuius interitus aperte declarat hominum cogitationes incertas et fallaces esse, ac nonnullos ea sequi quae assequi nequeant, et frustra suis piti consiliis ac conatibus, divino auxilio non suffragante. cadaver eius ludibrio habitum sepulturae honore caruit. Zeugminum Hunnis deditionem fecit.

Ilis imperator auditis Hunnis bellum indicit. (2.) Sub id tempus Andronicus denuo carcere elapsus Galizam confugit: sed non diu ibi mansit. est autem Galiza toparchia Rossorum, qui et Scythae Hyperborei appellantur. fugae ratio huiusmodi fuit. morbum fingit, ac puero peregrino, cuius opera in corporis ministeriis uteretur, linguae nostratis non satis gnaro, sed cui soli ad custodiam patebat aditus, mandat ut claves turris clam surripiat, cum vigiles largius poti meridianum somnum capiant, easque cera exquisite exprimat.

το δαψιλεστέρῳ χρησάμενοι τῷ ποτῷ, καὶ κηρῷ ἐκμάξασθαι ταύτας εἰς τὸ εὐτύπωτον, ὡς τῷ ἀρχετύπῳ εἶναι τὸ ἐκμαγεῖον κατὰ πᾶν ἐμφερὲς καὶ εἰκασμένον πρὸς ἴνδαλμα ἀπαράλλακτον. δρᾷ τὸ ἀνδράποδον τὰ προσταχθέντα, εἰσάγει Ἀνδρονίκῳ τὰ τῶν κλείθρων ἴχνη. ὁ δὲ τῷ παιδαρίσκῳ ὑποτίθησιν B ἐμφανίσαι ταῦτα τῷ υἱῷ ἐκείνου τῷ Μανουήλ, καὶ εἰπεῖν ὡς δεῖ τὴν ταχίστην τοιαῦτα χαλκεύσασθαι, οὐ ταῦτα δὲ μόνον, ἀλλὰ κἀν τοῖς ἀμφορεῦσι τῶν οἴνων, οἵπερ αὐτῷ τὸ τοῦ ἀρίστου στέγουσι πόμα, παραβύειν ἐκ λίνου νενησμένα καλώδια καὶ ἀγαθῖδας καὶ κρόκας καὶ μηρίνθους λεπτάς. ὡς δ' εἶχε πέρας τὰ βουληθέντα, ἀναπτύσσονται τὰ κλεῖθρα νυκτός, τὸ δεσμωτήριον ἀπραγμόνως ἀναπετάννυται· ὁ παῖς ὑπουργεῖ τὸ ἔργον, παρ' Ἀνδρονίκου λαβὼν τὸ ἐνδόσιμον· ὁ Ἀνδρόνικος ἔξεισι τὰ λίνα φέρων ἐν ταῖν χεροῖν. γίνεται οὖν αὐτῷ τὸ κατάντημα τῆς τότε νυκτὸς χόρτος ἀμφιλαφὴς περί που τὰ ἄβατα μέρη τῶν ἀνακτόρων φυεὶς καὶ εἰς ὕψος ἀναδραμών. καὶ περὶ δευτέραν δὲ καὶ τρίτην ἡμέραν ταῖς C πόαις ἐνειλημένος τοὺς διώκτας ἐλάνθανεν. ὡς δ' ἅλις εἶχον οἱ διφῶντες τῆς κατὰ τὰ ἀρχεῖα ἐρεύνης, διατίθησιν Ἀνδρόνικος τὰς στάλικας εἰς κλίμακας, καὶ διὰ μεσοπυργίου χαλασθεὶς ἀκάτιον εἴσεισιν ἐκ συνθήματος περὶ τὰς ἀκτὰς σαλεῦον καὶ τοὺς προβλῆτας, οἳ τὸ πάραλον τεῖχος τῆς πόλεως διειλήφασι, τὰς τῶν κυμάτων ἀποθραύοντες ἐμβολάς. ἦν δὲ τοὐπίκλην Χρυσοχοόπουλος ὁ τῇ ἁλιάδι Ἀνδρόνικον εἰσδεξάμενος. ἀλλ' οὔπω ἀκριβῶς ἀνάγεσθαι ἤρξαντο, καὶ συνέχονται παρὰ τῶν κατὰ τὸν Βουκολέοντα προφυλάκων, οἳ πα-

10. καλώδια] σφηκώματα A. 11. βουλευόμενα A. 15. τὸ om A. 21. ἀκάτιον] σανδάλιον A. 24. χρυσοόπωλος B. 25. καὶ συνέχονται — ἤρξαντο add A.

servulus iussa exequitur, clavium exemplum Andronici iussu Manueli filio eius ostendit, ut quam primum tales fabricaretur et in amphoras, quibus potus ad prandium ferretur, lineos funes, glomos et fila tenuia coniiceret. eo consilio ad exitum perducto claustra noctu aperiuntur, carcer citra laborem patet, Andronicus pueri ministerio evadit, funiculos manibus gestans. ea nocte in denso et alto palatii gramine, quo nemo adire solebat, in diem usque tertium delitescit: inquisitoribus deceptis et iam defatigatis, funibus pro scalis usus per moenia se demittit, naviculam conscendit, quae ex composito in littore inter crepidines maritimo urbis muro ad frangendum undarum impetum interiectas fluctuabat: nautae, a quo vehebatur, Chrysopoli cognomentum erat. sed cum vix ex eo loco solvissent ubi Iohannes

σαν νύκτα σκοπεύουσι καὶ τῶν ἀνακτόρων οὐκ ἐῶσιν ἐχόμενα ἐνίας νῆας διαπλωΐζεσθαι. ἐξ ἐκείνου δὲ τὰ τῆς σκοπιᾶς ταύτης ἤρξαντο, ἐξ ὅτουπερ ὁ Τζιμισκὴς Ἰωάννης τῷ Φωκᾷ Νικηφόρῳ νυκτὸς ἐπέθετο διὰ σαργάνης ἀνιμηθείς. παρὰ βραχὺ γοῦν ἦν ἂν καὶ πάλιν Ἀνδρόνικος χείροσι δεσμοῖς καὶ
D φυλακαῖς ἐνισχημένος, ἢ καὶ ξίφος τοῦ ζῆν αὐτὸν ὑπεξήγαγε τὰς πολλὰς εἰσέπειτα πλάνας ὑποτεμόμενον. νῦν δὲ ἡ οἰκεία εὐτραπελία ἐρρύσατο καὶ τότε τὸν βαθυγνώμονα, ἐκ τῶν ἑαυτῆς ῥιζοτομήσασα κήπων τὰ τῷ καιρῷ προσφυῆ φάρμακα, ὥσπερ καὶ Δαβὶδ ἐξέσωσε πρότερον ἡ ἐν Γὲθ τοῦ προσώπου ἀλλοίωσις ἐπιψόφησίς τε τοῦ τυμπάνου καὶ ἡ μανικὴ τῶν ποδῶν παρενσάλευσις. οἰκέτου γὰρ οἰκότριβος ὑποδὺς προσωπεῖον, χρόνια δεσμὰ ἐκδιδράσκοντος, ἐδεῖτο τῶν συλλαβόντων μὴ παριδεῖν αὐτὸν οὐκ ὀλίγα πρὸς τοῦ δεσπότου πεπονθότα πάλαι δεινὰ καὶ νῦν δὲ δίκας εἰσπραττόμενον τῆς φυγῆς. ἐκάλει δ' οὕτω τὸν Χρυσοχοόπουλον, μεταρρυθμίζων ἅμα πρὸς τὴν βάρβαρον φωνὴν τὴν Ἑλληνίδα διάλεκτον, καὶ μηδ' ἐπαΐειν τὰ πλεῖστα ταυτησὶ πλαττόμενος. καὶ αὐτὸς δὲ ὁ Χρυσοχοόπουλος δώροις παρακρουσάμενος τοὺς σκοποὺς ἴσχυσεν Ἀνδρόνικον ἐξελεῖν, ὡς δραπέτην ἑαυτοῦ δοῦλον αἰτησάμενος καὶ λαβών. ἀμέλει καὶ παρὰ δόξαν Ἀνδρόνικος εἰς τὸν οἰκεῖον οἶκον παρελθών, ὃς τοῦ Βλάγγα ἐπικέκληται, ὁμοῦ τε προσεῖπε τοὺς φιλτάτους τὰ εἰσιτήρια
P. 86 ἐποφθεὶς καὶ προσεφθέγξατο τὰ ἀπόδημα, τοὺς πόδας τῶν σιδήρων ἀπολυθείς. καὶ τὸ Μελίβοτον καταλαβὼν καὶ τῶν ἐκεῖσε ἵππων ἐπιβάς, οἵπερ ἐκείνῳ πρὸς ἀπόδρασιν ἡτοιμά-

15. νῦν] τότε A. 19. χρυσοόπωλος B. 23. τοῖς φιλτάτοις A.

Zimisces sporta attractus Nicephorum Phocam noctu oppressit, parum abfuit quin Andronicus aut gravioribus vinculis et duriore carcere constringeretur, aut sibi ipsi manus afferret, ut diuturnis molestiis liberaretur. nunc hominem callidum ingenii dexteritas et solertia, quemadmodum olim Davidem insaniae simulatio Getae, liberavit. nam famuli persona simulata ex diuturnis vinculis elapsi, oravit eos a quibus comprehensus erat, ut sui miserescerent et ante multas acerbitates ab hero perpessi et nunc ob fugam male mulctandi. herum autem Chrysopolum appellabat, et de industria barbare loquebatur, ac Graeca multa se assequi dissimulabat. sed et ipse Chrysopolus muneribus impetravit a speculatoribus ut Andronicus tanquam servus fugitivus sibi redderetur. ita praeter spem aedes suas ingressus, cognomento Blanganas, eadem opera suos ut adveniens salutavit et ut peregre abiens valere iussit; solutisque compedibus Meliboti equo

σθησαν, την εὐθὺ τῆς Ἀγχιάλου ἵεται. ἔνθα δὴ γεγονὼς καὶ τῷ Πουπάκῃ ἑαυτὸν ἐμφανίσας, ὃς πρῶτος, ὡς ἤδη ἐρρέθη μοι, τὴν κατὰ Κορυφὼ ἐσανέβη κλίμακα, καὶ παρ' ἐκείνου λαβὼν τὰ ἐφόδια καὶ ἡγεμόνων ὁδοῦ εὐπορήσας τὴν ἐς Γάλιτζαν ἐπορεύετο. ἀλλ' ὅτε τοῦ δειμαίνειν ἀπεῖχεν Ἀνδρόνικος ὡς ἤδη τὰς χεῖρας τῶν διωκόντων λαθὼν καὶ τῶν τῆς Γαλίτζης ὁρίων λαβόμενος, πρὸς ἣν ὡς εἰς σῶζον κρησφύγετον ὥρμητο, τότε θηρευτῶν ἐμπίπτει ταῖς ἄρκυσι· συλ- V.69 ληφθεὶς γὰρ παρὰ Βλάχων, οἷς ἡ φήμη τὴν αὐτοῦ φθάσασα φυγὴν ὑφηγήσατο, ἐς τοὐπίσω πρὸς βασιλέα πάλιν ἀπήγετο. μὴ B ἔχων οὖν τὸν σώζοντα καὶ λυτρούμενον, οὐ φίλον παρόντα παρήγορον, οὐχ ὑπασπιστήν, οὐ θεράποντα, τῇ οἰκείᾳ αὖθις μεθοδείᾳ συνερίθῳ κέχρηται ὁ πολύφρων. τῷ τοι καὶ πρὸς ἀπάτην τῶν ἀπαγόντων ῥύσιν γαστρὸς πλασάμενος συχνάκις τοῦ ἵππου ἀποκατέβαινε καὶ ἐξέκλινεν εἰς ἀπόπατον παρασκευαζόμενος καὶ καθ' ἑαυτὸν ἀφιστάμενος καὶ ἰδιάζων, ὡς δῆθεν ἐνοχλούσης ἀποκενώσεως. τοῦτο οὖν πολλάκις τοῦ νυχθημέρου τελῶν, λανθάνει κατασοφισάμενος τοὺς ἐφομαρτοῦντας. τὸν γὰρ σκίπωνα ᾧ ἣν βακτηρευόμενος ὡς χαχεξίᾳ δῆθεν παλαίων, σκοταῖος ἀναστὰς τῇ γῇ προσήρεισε, καὶ τῇ μὲν χλαμύδι τοῦ σώματος περιείλησε τὸν λύγον, τὸν δ' ἐπὶ κρατὸς πῖλον ἐπέθηκεν ἄνωθεν, καὶ ἀνθρωπόμορφόν τι τὸ γό- C νυ κάμπτον καὶ ἀφοδεῦον τεκτηνάμενος τοὺς μὲν φύλακας

1. εὐθὺ τῆς Ἀ.] πρὸς τὴν ἀχελῶ B. 3. ἐπανέβη A. 14. ἀγόντων A. 18. ἐφομαρτοῦντας] τηροῦντας A. 19. τὸν γὰρ σκ.] τὸ γὰρ ἀκουμβιστήριον ξύλον ἐν ᾧ ἠκούμβιζεν B. 20. καὶ τῇ μ. χ.] καὶ τὸ μὲν ταμπάριον αὐτοῦ ἔθηκεν ἐπὶ τοῦ ξύλου γύροθεν, ἐπάνω δὲ τούτου τὸν ὅπερ ἐπὶ τῆς κεφαλῆς ἐφόρει καπάσιον B. 21. περιείλυσε A.

conscenso, qui ad fugam paratus erat, recta Anchialum contendit. quo cum venisset, Pupaci, qui (ut supra dictum est) primus Corcyrae arcem conscendit, se agnoscendum praebuit; sumptoque ab eo viatico et viae ducibus Galizam proficiscitur. cuius fines ingressus, quo tanquam in asylum tutissimum properabat, et iam persecutorum metu se liberatum putans, a Blachis, qui fugam eius ex fama cognorant, captus ad imperatorem reducitur. ibi cum nullum assertorem, non amicum, non armigerum, non ministrum ullum haberet, suapte industria rursus evadit. simulato enim ad decipiendos lictores ventris profluvio, crebro ex equo descendit et ad requisita naturae secessit. quod dum et noctu et interdiu saepius facit, custodes hac ratione decipit. scipionem, quo ut aeger innitebatur, in tenebris humi defigit, et chlamyde circumposita et pileo imposito, ut hominem inflexis genibus cacantem repraesentaret, custodes simulacrum illud

τὸ ὑποκρινόμενον αὐτὸν ἀνδρείκελον ἐκλείπει περιαθρεῖν, αὐτὸς δὲ τὸν ἐκεῖσε λοχμώδη χῶρον καθυποδὺς ὥσπερ δορκὰς ἐκ βρόχων καὶ ὄρνις ἐκ παγίδων ῥυσθεὶς ἐφέρετο. ὡς δ' ὀψέ ποτε τὸν δόλον ἐκεῖνοι ἔγνωσαν, οἱ μὲν συνέτεινον τὸν δρόμον ἐπὶ τὰ ἔμπροσθεν, οἰόμενοι καὶ πάλιν Ἀνδρόνικον ἐκείνης ἧς καὶ πρότερον ἔχεσθαι, ὁ δὲ παλίμπους γενόμενος δι' ἄλλης εἰς Γάλιτζαν ᾤχετο. τὸν δὲ Πουπάκην ὁ βασιλεὺς συλλαβὼν ἔξανε πολλαῖς διὰ λώρων δημοσίᾳ κατά τε τοῦ νώτου καὶ τῶν ὤμων. μετὰ δὲ προάγων αὐτὸν ὁ κῆρυξ ἐκ τοῦ τραχήλου σχοινόδετον, ἐπεβόα οὑτωσὶ τρανότερον „ὅστις τὸν D ἐχθρὸν τοῦ βασιλέως προσιόντα οἱ εἰσοικίζεται καὶ διδοὺς ἐφόδια ἐκπέμπει, οὕτω καὶ μαστίζεται καὶ πομπεύεται." ὁ δὲ πρὸς τοὺς συνιόντας ἀτενὲς ὁρῶν διακεχυμένῳ προσώπῳ „αὕτη μοι αἰσχύνη πρὸς τοῦ βουλομένου ἤτω παντὸς" ἐφθέγγετο, „μὴ ἐπιστάντα τὸν εὐεργέτην καταπροδόντι ἢ ἐμβριθῶς ἀποπεμψαμένῳ, ἀλλ' ὡς ἐξῆν τεθεραπευκότι καὶ ἀποπέμψαντι χαίροντα." τότε δ' οὖν ὑπτίαις ἀγκάλαις πρὸς τοῦ τῆς Γαλίτζης ἐπιτροπεύοντος Ἀνδρόνικος προσδεχθεὶς ἔμεινε παρ' ἐκείνῳ χρόνον συχνόν. οὕτω δὲ πρὸς τὸν ἑαυτοῦ πόθον ὅλον ἐκεῖνον Ἀνδρόνικος ἀνηρτήσατο, ὡς καὶ συνθηρεύειν καὶ συνθωκεύειν ἐκείνῳ ὁμέστιός τε εἶναι καὶ σύσσιτος.

Ἀλλὰ τὴν τοῦ ἐξαδέλφου φυγὴν καὶ τὴν ἐκ τῆς ἐνεγκα-

8. συλλαβὼν] μαγγλάβια δοὺς πολλὰ καὶ γυμνώσας ἐπόμπευσε διὰ μέσου τοῦ φόρου δεδεμένον ἐκ τοῦ σφονδήλου B. 14. ἐπεφθέγγετο A. 16. ἀποπεμψαμένῳ] ἀποβλεψαμένω A. προεκπέμψαντι A. 19. χρόνον οὐχὶ συχνόν PW. 21. συνθακεύειν A.

intueri sinit: ipse saltum condensum ingressus instar ferae e cassibus elapsae fugit. custodes vix tandem intellecto dolo confectam viam repetunt, Andronicum eodem fugere opinati. verum is converso itinere alia via Galizam pervenit. at Pupaces imperatoris iussu publice multis verberibus in tergo et humeris afficitur. deinde collo funi inserto a praecone circumducitur, magna voce proclamante „quisquis imperatoris hostem aedibus recipit datoque viatico dimittit, ita flagellatur et circumducitur". ille vero intentis in populi concursum oculis, hilari vultu, „haec" inquit „contumelia a quovis obiiciatur, modo virum bene meritum non prodiderim aut acerbe dimiserim, sed, ut licuit, coluerim et laetum ablegarim". tum vero Andronicus, obviis, quod aiunt, ulnis a Galizae praefecto susceptus est. quem, etsi non diu ibi mansit, ita tamen sui desiderio devinxit, ut ei et in venatu adesset et in senatu assideret, eodemque tecto et cibo uteretur.

Caeterum patruelis fugam et exilium ignominiae sibi esse ratus

μένης ἀπαλλοτριώσιν οἰκεῖον ὄνειδος κρίνων ὁ βασιλεὺς Μα-
νουήλ, καὶ ἄλλως δὲ ὑφορώμενος τὸ τούτου ἐπὶ πλεῖστον P. 87
ἀπόδημον, ἐπεὶ καὶ ᾔδετο παλεύειν μυρίαν Σκυθίδα ἵππον
ὡς ἐς τὰ Ῥωμαίων ὅρια ἐσβάλῃ, ἔργον, ὅ φασι, τίθησιν
ἀσχολίας ἀνώτερον ἐπανελθεῖν Ἀνδρόνικον. (3) Οὐκοῦν με-
τάπεμπτον ἐκεῖθεν ποιεῖται, πίστεις δοὺς καὶ λαβών, καὶ τοῦ
πλάνου τοῦτον ἐναγκαλίζεται, καθ' ὅν, ὡς ἔφην, καιρὸν οἱ
Παίονες τὰς σπονδὰς ἀθετήσαντες τὴν παρίστριον Ῥωμαίων
κατέτρεχον ἐπικράτειαν. συμβαλόντες δὲ καὶ τοῖς στρατηγοῖς
τῷ τε Γαβρᾷ Μιχαὴλ καὶ τῷ Βρανᾷ Μιχαήλ, κατὰ κράτος
τούτους ἐτρέψαντο καὶ λείαν ὅτι πλείστην ἤλασαν. ἦν δὲ ὁ
Γαβρᾶς οὗτος νεωστὶ θύσας τὰ γαμοδαίσια μετὰ τῆς Κομνη-
νῆς Εὐδοκίας, ᾗ Ἀνδρόνικος ἐπλησίαζεν, ὡς ἤδη φθάσαντες B
ἐδηλώσαμεν. οὐκοῦν καὶ τῶν προσγενῶν Εὐδοκίας συνιστᾶν
αὐτὸν θελόντων τῷ αὐτοκράτορι, πολὺς ἦν ἐπὶ βασιλέως ὁ
τούτου κρότος καὶ ἔπαινος, καὶ ἐρρωμένως αὐτὸν ἐν τῇ κατὰ
τῶν Οὔννων μάχῃ διαγωνίσασθαι ἰσχυρίζοντο, καὶ παρῆγον
τῶν λεγομένων μάρτυρα τὸν συστράτηγον αὐτῷ Μιχαὴλ τὸν
Βρανᾶν. ὁ δὲ πρὸς τοῦ βασιλέως ἐπιταχθείς, ὅρκον τὴν οἰ-
κείαν κεφαλὴν ἐπαγαγόντος, ἀληθῶς εἰπεῖν ὃ περὶ τοῦ Γαβρᾶ
γενναῖον σύνοιδεν ἔργον, τὸ τέως μὲν ὑπερέθετο τὸν ἀπόλο-
γον, πρὸς δὲ τὸν Γαβρᾶν στραφεὶς ἤρετο τοῦτον εἰ καὶ αὐ-
τὸς ἀνδρειόν τι καὶ ἄξιον ἐπαίνου ἐνεδείξατο, εἴτε μὴν ὡς
στρατηγὸς τὰ λῷονα διεπράξατο, ὅτε συμπεσόντες μετὰ τῶν V. 70
Οὔγγρων Διονυσίου στρατηγοῦντος ἐμάχοντο. τῷ τοι καὶ C

15. ἐθελόντων A. 21. τὸν] ὁ βραγᾶς τὸν A. 23. ἀξιέπαινον A. 24. συμπ. τοῖς οὔγγροις A.

imperator, ac longiorem eius absentiam suspectam habens (nam ingentem equitatum Scythicum cogere ferebatur, ut Romanorum fines incursaret) ante omnia revocandum Andronicum censuit. (3.) Fide igitur data acceptaque hominem inde accersit; quo tempore, ut dixi, ruptis Pannonii foederibus Romanas ad Istrum provincias populabantur, Michaele utroque Gabra et Brana acie victo et praeda ingenti abacta. is Gabras nuper admodum cum Eudocia Comnenia Andronici amica, cuius ante meminimus, nuptias celebrarat quem Eudociae cognati ut imperatori commendarent, magno applausu et laudibus prosequebantur, et in pugna Hunnica fortiter se gessisse affirmabant. quod ut credibilius esset, Michaelem Branam collegam eius testem citabant. qui cum in imperatoris caput iurare iuberetur an aliquod forte Gabrae facinus vidisset, dilato responso Gabram prius interrogat an ipse quoque aliquid laude dignum fecisset ac boni et strenui ducis officiis in pugna cum Dionysio Hungarorum duce functus

καθομολογοῦντα σχὼν τὸν Γαβρᾶν, καὶ ὡς οὐκ ἄλλον ὄντως τὸ τότε αὐτὸν ἀνδρίσασθαι μαρτυροῦντα, ἐπήγαγεν ὡς οὐκ ἔχων βασιλέως ἐνώπιον παρανοσφίζεσθαι τὴν ἀλήθειαν, εἰς τὴν οἰκείαν κεφαλὴν αὐτὸν ἐξορκίζοντος, φησὶ μηδαμῶς ὑποστῆναι τὴν τῶν ἐναντίων ἐμβολὴν τὸν Γαβρᾶν, ἀλλ' ἐκ πρώτης προσβολῆς ἀποδειλιάσαντα οἴχεσθαι φεύγοντα, καὶ ταῦτα αὐτοῦ πολλάκις ἀνακαλουμένου τοῦτον καὶ „στῆθι ὦ φίλος" εἰπόντος μετ' ἐκβοήσεως. ἀτὰρ καὶ σπεύδων ὁ βασιλεὺς αὐτό τε τὸ Ζεύγμινον Ῥωμαίοις ἐπανασώσασθαι καὶ δίκας τοὺς Οὔννους εἰσπράξασθαι ὧν εἰς Στέφανον πεπαρῳνήκασι, τοῖς D ἐκεῖσε παρενέβαλε μέρεσιν. οἱ δὲ βάρβαροι παρὰ τὰς ὄχθας τοῦ Ἴστρου ποταμοῦ ὡς εἰς πόλεμον διαταξάμενοι διεκώλυον τῆς στρατιᾶς τὴν περαίωσιν, παντοῖα βέλη ἐπαφιέντες καὶ τὰς ἐμβολὰς προκαταλαμβάνοντες, κἂν ἦσαν οὐδὲν περαίνοντες· οἱ γὰρ ἑκηβόλοι Ῥωμαῖοι καὶ τὸ ἄλλο ἅπαν ὁπλιτικὸν ὠσάμενοι τούτους ἐξέκρουσαν τῶν παρακτίων μερῶν. βασιλεὺς δὲ σὺν παντὶ τῷ στρατεύματι κατὰ τὸ Ζεύγμινον ἀφικόμενος ἐκεῖ που στρατήγιον βάλλεται. ἔστι δὲ τοῦτο κατὰ μεσημβρίαν ἀπρόσβατον γηλόφῳ παρήκοντι καὶ ποταμίῳ τειχιζόμενον ῥεύματι. ᾤετο μὲν οὖν αὐτοβοεὶ αἱρήσειν τὸ πόλισμα οἷα τῶν ἔνδον καὶ πρὸς τὴν πρώτην αὐτοῦ θέαν καταπλαγέντων καὶ τὰς πύλας ἀνακλινάντων καὶ δεξαμένων αὐτὸν ἔνδοθι· ὡς δ' οὗτοι τὰς εἰσόδους παντάπασιν αὐτῷ ἐπεζύγωσαν, τά τε τείχη παντοίοις ὅπλοις καὶ ἀφετηρίοις ὀργά-

1. ἄλλον αὐτὸν τὸ τότε A. 2. ὡς] ἐκεῖνος ὡς A. 15. καὶ τὸ] μετὰ ζάγγρων καὶ λιέρων ὅπλων B. 19. περιήκοντι A. 24. ὅπλοις κ. ἀφ. ὀργ.] ξυλοκάστροις πετρούλων B.

esset. Gabra vero affirmante eum fortissime se in illo praelio gessisse, subiicit se coram imperatore, in cuius caput iurare sit coactus, veritatem dissimulare non posse. Gabram hostium impetum nequaquam tolerasse, sed primo congressu territum, fugam cepisse, quamvis ipse eum saepius revocasset, et magna voce hortatus esset ut resisteret. caeterum imperator Zeugminii recuperandi et necis Stephani ulciscendae cupidus exercitum in illas partes adduxit. sed barbari acie in Istri ripis instructa, omni telorum genere traiicere nostros prohibebant, aditu omni intercluso. sed frustra: Romani enim sagittarii et gravis armatura ripis eos depulerunt; et imperator cum omnibus legionibus ad Zeugminum castra locat. id oppidum alto tumulo impositum, et praeterfluente infra flumine munitum, a meridie adiri non potest. rebatur autem se id primo impetu capturum, defensoribus solo conspectu sui territis et portas aperientibus. sed cum omni aditu excluderetur, et moenia omni armorum et tormentorum gene

νοις ἐκράτυναν, ἀλλὰ καὶ φαινόμενοι ἄνωθεν τὰς γλώσσας ἔθηγον ὡσεὶ ὄφεως, οὐκ ἀπὸ χειρῶν μόνον ἀφιέντες βέλη P. 88 θανάσιμα, ἀλλὰ κἀκ τοῦ τῶν ὀδόντων ἕρκους αἰσχρορρημοσύνας τοξεύοντες ἰῷ ἀσπίδων τῷ ὑπὸ τὰ χείλη χρισθείσας, οὐδ' οἱ Ῥωμαῖοι τὸ ἀπὸ τοῦδε χερσὶ κεναῖς αὐτοῖς προσεφέροντο, ἀλλὰ τοῦ κακορρημονεῖν ὡς ἀγεννοῦς ὅπλου καὶ γυναικείου ἀφιστάμενοι σιδήρῳ μάλιστα κακῶς διετίθεσαν. πρῶτος τοίνυν ὁ βασιλεὺς τῷ τῆς μιμήσεως ὁμοίῳ διερεθίζων τοὺς ὑπ' ἐκεῖνον κατὰ τῶν τῆς πόλεως πυλῶν τὸν ἵππον ἐπαφίησι καὶ μέσον αὐτῶν τὸ δόρυ ἤλασεν. ἐπὶ δὲ τούτοις τὴν τάφρον ἐμπλήσας ἀφυσγετοῦ διὰ τὴν τῶν λίθων στέρησιν, τάς τε πετροβόλους μηχανὰς περιστήσας (τέσσαρες δ' ἦσαν αὗται) τὰ τείχη κατασείειν ἐπέταττεν. ἐνεργεῖς μὲν οὖν ἅπασαι ἦσαν, καὶ οἱ πέτροι ταλαντιαῖοι ἀφιέμενοι τὰς τῶν τειχῶν παρέλυον ἁρμογάς· μία δ' ἐξ αὐτῶν μάλιστα, ἧς ἀρχιτέκτων ἦν Ἀνδρόνικος, αὐτὸς τὴν σφενδόνην τόν τε στρόφαλον καὶ τὸν λύγον διατιθέμενος, πλειόνως διεσάλευε τὸν περίβολον, ὡς καὶ τὸ μεσοπύργιον, καθ' ὃ τὰ βάρη τῶν πετρῶν ἠκοντίζοντο, ὑποχαλᾶν ἤδη καὶ μεθίστασθαι τοῦ κεῖσθαι ὀρθόν, ἄλλως τε καὶ ὀρυκτῆρσιν ὑπομοχλευόμενον. τότε τοίνυν κατά τινα τῶν νυκτῶν τινὲς τῶν μεγιστάνων Παιόνων μίαν εἰσιόντες τῶν ἐκκρεμῶν τοῦ τείχους καὶ προνενουσῶν ἔξωθεν μηχανῶν (ἄρκλας οἶδε ταύτας ἡ κοινὴ καὶ πάνδημος φράσις καλεῖν) τῶν κουλεῶν τὰς σπάθας εἵλκυσαν, καὶ γυμνὰς αὐτὰς ἀνατείναν- C τες διηπειλοῦντο Ῥωμαίοις ὑπέραυχα, καὶ τὸ τέως βάπτειν μὴ ἔχοντες τὰ ξίφη αἵματι σχήμασι τὸν ἀέρα ἔπληττον καὶ φωνῶν ἐγέμιζον, κεκραγότες ὅσον ἐχώρουν αἱ κεφαλαί. ἀλλὰ

8. ἐκεῖνον] αὐτὸν A. 9. ἐφίησι A. 10. ἐπὶ δὲ] εἶτα τὴν ἣν εἶχε σούδαν χῶμαν γεμίσαντες B. 15. μία δὲ πρέκουλα B. 25. τὸ] τῷ A. 26. αἵμασι A.

re firmarentur, et hostes de pinnaculis non modo lethalia tela sed et obscoena dicteria et venenata probra iacularentur, Romani non amplius vacuis manibus accedebant, sed omissis maledictis, quibus feminae pugnare solent, ferro rem gerebant. et imperator ut sui aemulatione milites accenderet, primus equo invectus hastam in media porta defigit. deinde, quia saxa non suppetebant, fossa humo et sordibus impleta et quattuor tormentis in circuitu collocatis, moenia prosterni iussit. quae cum in officio essent omnia et saxa talenti pondere iacularentur, moenium compagem labefactabant, unum potissimum, ab ipso Andronico ita directum ut murus inter duas turres conquassatus et vectibus suffossus penderet, ruinam minitans. quadam autem nocte aliquot Hungarici proceres podium e trabibus

κατὰ πόδας ἡ δίκη μέτεισι τούτους· τιτῆνας γὰρ κατὰ τῆς ἀνεχούσης αὐτοὺς μηχανῆς τὸ βλῆμα Ἀνδρόνικος οὕτω διαφῆκεν ἐπιτυχὲς ὡς διαλυθῆναι μὲν αὐτίκα τοῦ τείχους τὸ προεκκρεμάμενον ἐκεῖνο ξύλινον σύνθεμα, ἐπικαταβληθῆναι δὲ καὶ τούτους ἐκτὸς ἐς ᾅδου στόμιον κατωκάρα πίπτοντας καὶ κυβιστῆρας ὁρωμένους ἐλεεινούς, διανηχομένους ἀθλίως Ἀχέροντα. μετὰ βραχὺ δὲ καὶ αὐτὸ τὸ τεῖχος ὑπέκυπτε,
D καὶ διὰ κλιμάκων εἶχε Ῥωμαίους ἀνιόντας καὶ τὴν πόλιν εἰσ-
V. 71 ιόντας. πολλοὶ μὲν οὖν βληθέντες εἰς θάνατον κατεβλήθησαν, οὐκ ὀλίγοι δὲ καὶ προσκεχωρηκότες τοῖς ἤδη κρατοῦσιν ἐσώθησαν· εἰσὶ δ' οἳ καὶ ἀποδράντες σωτηρίαν ἐντεῦθεν εὕραντο. εἷς δὲ τῶν οἰκητόρων ἐκείνης τῆς πόλεως, καὶ οὗτος οὐ τῶν συγκλύδων καὶ συρφάκων ἀλλὰ τῶν πλούτῳ λαμπρῶν καὶ γένει ἐπισήμῳ διαπρεπῶν, ἀστεῖον τὸ εἶδος ηὔχει γύναιον καὶ σφόδρα καλὸν τὴν μορφήν. ὁρῶν δὲ παρά του τῶν Ῥωμαίων εἰς ὕβριν ἑλκόμενον, καὶ μὴ ἔχων ἐπαμῦναι τυραννουμένῳ ἢ βίᾳ τὴν βίαν ὠθῆσαι καὶ στῆσαι τὸν ἄδικον ἐκεῖνον ἔρωτα, βουλεύεται βουλὴν οὐχ ἥκιστα γενναίαν ἢ τολμηρὰν καὶ ἀθέμιτον καὶ τῷ τῆς τύχης ἐνεστῶτι κατάλληλον· διελαύνει τῶν σπλάγχνων τῆς φιλτάτης ὃν ἔφερεν ἀκινάκην. οὐκοῦν ὁ μὲν τῇ γυναικὶ ἐπιμαινόμενος ἄθεσμος ἐκεῖνος ἐραστὴς τὴν ἄλογον ἐμάρανεν ἔφεσιν, οὐκέτι ὄντος τοῦ ὑπεκκαύματος, τὴν δὲ σχετλίαν τῷ ὄντι ἐρωμένην τὸ ἦμαρ ἔλιπε τὸ εὐφρόσυνον. φεῦ πραγμάτων ἀναγκαίας ἐπιπλοκῆς καὶ φθονεροῦ Τελχῖνος καὶ ἐπιβούλου, τοιαύτας τραγῳδίας σκηνοποιοῦντος ἐπὶ θεάτρου πολυπληθοῦς! ὢ δύο ἀντιφερομένων ἐρώτων ἐπ' ἄθλῳ ἑνί, ἐπιλήπτου καὶ σώφρονος, καὶ τοῦ μὲν ἐπ'

6. καὶ κυβιστῆρας] καὶ κυμβάχους ὁρωμένους ἐπὶ βρεχμὸν καὶ διαν. A. 14. ηὔχει] εἶχε codex P.

contextum, foras prominens, ingressi et strictis gladiis aerem diverberantes, Romanis atrocissima quaeque cum ingenti clamore minitabantur. sed vindicta eos e vestigio consecuta est: nam Andronicus tormento solerter directo munitionem in qua stabant ita perculit, ut prostrata illos miserabiliter opprimeret. nec multo post ipso quoque muro collapso scalis admotis Romani transcenderunt. tum multi sunt occisi, multi victoribus supplices conservati: nonnulli etiam fuga salutem quaesiverunt. sed quidam illius urbis vir nobilis et dives, cum uxorem suam, excellenti forma mulierem, ad stuprum a milite rapi videret nec eius pudicitiam aliter tueri posset, acinace miseram confodit. o violenta rerum series, o fortunae invidia atque insidiae, quae in amplissimo et frequentissimo theatro huiusmodi tragoedias

ἀθεμίτοις λέκτροις σώζειν ἐθέλοντος, τοῦ δὲ φθάνοντος τὸ αἶσχος καὶ νεκροῦντος καινότερον καὶ πάθει πάθος ἐκκρούον- P. 89 τος! συνήραντο δὲ τοῖς Ῥωμαίοις εἰς τὴν τοῦ Ζευγμίνου ἐκπόρθησιν καὶ οὐκ ὀλίγοι τῶν ἔνδοθι, τὰ Ῥωμαίων φρονοῦντες καὶ τὰ τούτων ὡς εἶχον διανιστῶντες φρονήματα· οὗτοι γὰρ ἀτράκτοις ἀσιδήροις βιβλία προσδέοντες, καὶ ταῦτα πρὸς τὸ Ῥωμαικὸν στράτευμα νυκτὸς ἐκτοξεύοντες, παρίστων δι' αὐτῶν ὅσα τε οἱ βάρβαροι ἐβουλεύοντο καὶ ὅση τούτων ἰσχὺς ἀκμάζουσα ἦν. ἤγετο δὲ τῶν Παιόνων τις τηνικαῦτα αἰχμάλωτος ἔτι τὸν ἐγχώριον πῖλον ἐπὶ κεφαλῆς ἔχων καὶ τὴν λοιπὴν ἠμφιεσμένος πάτριον στολήν. ἀλλὰ τοῦτον Ῥωμαῖός τις ἐπιπαριὼν σιδήρῳ πλήττει καὶ θανατοῖ, καὶ τὸ τῆς κεφαλῆς ἐκείνου ἑαυτῷ περιτίθησι κάλυμμα, καὶ ἣν ἀνύων οὑτωσὶ τὴν ὁδόν. τῆς δὲ δίκης ἐφεπομένης ἀψόφῳ ἐμβάδι, καὶ ὃ ἄλλῳ τέτευχε κακὸν τουτωῒ καθ' ἑαυτοῦ ἀγχωμάλως ἀναστρεφού- B σης, ἐφίσταταί οἱ τομώτερος ἕτερος ξιφήρης ἐκ τῶν ὄπισθεν Ῥωμαίων, καὶ παίει καιρίαν κατὰ τοῦ τένοντος ὡς ζωγρίαν Παίονα, καὶ τοῦ ζῆν ἐκ τοῦ σχεδὸν μεθίστησιν.

Ἀλλ' οὕτω μὲν ἑάλω τὸ Ζεύγμινον, ὡς ἐπιτρέχοντά με εἰπεῖν, μὴ ἐμβραδύνοντα ταῖς διηγήσεσι. καὶ βασιλεὺς ἐκεῖθεν ἀπονοστήσας πρὸς τὰ Ῥωμαίων ὅρια μεταβέβηκεν, τὸν δὲ ἑαυτοῦ θεῖον, τὸν ἀπὸ Φιλαδελφείας λέγω Κωνσταντῖνον τὸν Ἄγγελον, ἐπιτειχιστὴν εἴασε τοῦ Ζευγμίνου, σὺν αὐτῷ δὲ καὶ τὸν Τρίψυχον Βασίλειον· καὶ οὗτοι τὰ ἐντεταλμένα περα-

4. ἔνδον τὰ τῶν ῥ. A. 10. ἐπὶ] ὑπὲρ A. 16. τομώτερος om A. 20. μὴ] οὐκ A. 21. τὰ] τὰ τῶν A. 24. περαιοῦντες] πληροῦντες A.

agis. o duplices amores inter vos contrarii, ad unum praemium tendentes; quorum alter per dedecus servare, alter per ferrum et sanguinem pudicitiam tueri studet. ad expugnationem Zeugmini non parum contulerunt quidam ex civibus Romanorum studiosi, qui schedas sagittis sine ferro appensas noctu in castra eiaculantes et barbarorum vires et consilia detegebant et Romanorum animos confirmabant. Pannonius vero quidam captivus, pileo et reliquo habitu more patrio ornatus, a praetereunte milite occiditur. is cum interfecti pileo capiti imposito pergeret, vindicta tacito pede illum consequuta effecit ut ab alio sequente Romano pro captivo Pannonio iugularetur, dignum e vestigio factis suis praemium consequutus.

Zeugmino ad hunc modum capto imperator in fines Romanorum discedit, avunculo suo Constantino Angelo Philadelphiense et Basilio Tripsycho ad oppidi instaurationem relictis; qui non prostratas modo turres caeteraque aedificia refecerunt ac praesidiis munierunt,

τοῦντες τό τε Ζεύγμινον ἠρτίωσαν, ὅσαι κατηρείποντο τύρ- C σεις ἐπισκευάσαντες, καὶ τῆς ἄλλης ὁμοίως φρουρᾶς πεφροντίκασι, καὶ τὰ ἐν Βελεγράδοις πολίχνια πλείστης ὕσης ἐπιμελείας ἠξίωσαν. καὶ αὐτὸν δὲ τὸν Νίσον τείχεσι περιέβαλον, καὶ τὴν Βρανίτζοβαν συνῴκισαν. καὶ τὰ λοιπὰ πρὸς τὸ εὖ διαθέμενοι, ἔνθα διάγων ἦν βασιλεύς, ἀφίκοντο. (4) οὗτος δὲ τὸν Δεσὲ μετελευσόμενος ἑαυτοῦ γενόμενον κακουργότερον τὴν ἐς Σερβίαν ὥρμα τραπέσθαι. ἀλλ' ὁ Δεσὲ καὶ πόρρωθεν ἐπιτηρῶν τὰ πραττόμενα, μάλιστα δ' ὅπερ ἦν ἀληθὲς δεδιώς, μή τι ἀηδὲς πάθοι καὶ ἀπευκταῖον βασιλέως εἰς τὴν ἑαυτοῦ χώραν παρεμβαλόντος, πέμψας εἰς βασιλέα ἐν- D δοθῆναί οἱ καθικετεύει τὴν ἐς αὐτὸν ἀπαθῆ ἄφιξιν. ὡς οὖν εἶχεν ὃ ᾔτησεν, ἀφίκετο δορυφορίας μετέχων σατραπικῆς, καὶ εἰς θέαν τῷ βασιλεῖ καταστὰς τὸ δολιόφρον τῆς γνώμης κατονειδίζεται, καὶ οὕτως ὡς ἄσπονδος ἀποπέμπεται. καὶ ἐγγὺς ἐλθὼν τοῦ συλληφθῆναι διαφίεται πάλιν οἴκαδε ἀπελθεῖν, τὴν τοῦ τρόπου μεταβολὴν καὶ τὸ μηκέτι τὰ μὴ δοκοῦντα βασιλεῖ διαπράττεσθαι φρικώδεσιν ὅρκοις ἐμπεδωσάμενος, κἂν V. 72 οὐκ ἦν τὸν χαμαιλέοντα πρὸς τὴν τῆς ἀληθείας μεταβαλέσθαι λευκότητα, ἐφ' ἑτέραν πᾶσαν χροιὰν ῥᾳδίως μετατιθέμενον. ἐξιὼν γὰρ ἀπὸ προσώπου τοῦ βασιλέως πολλοῖς ἅμα τὴν ψυχὴν ἐμερίζετο πάθεσιν. ᾐσχύνετο ἐφ' οἷς τῷ βασιλεῖ προσελήλυθεν, ὠργίζετο ὧν ἕνεκα πέπονθεν, ἐπαθαίνετο οἷς τὰς τῆς γνώμης παρεκτροπὰς θριγγίοις ὅρκων ἑαυτῷ ἐπετείχισε. τέλος δέ, ὅσα ὀμωμόκει τῷ βασιλεῖ τὴν οἰκείαν ἀποκρύπτων γνώμην

21. ἅμα] μὲν ἅμα A. 25. τὴν — γνώμην om A.

sed et oppida Belligradensia magno studio curaverunt, ac ipsum Nisum moenibus circumdederunt, et Branizobam ducta colonia caeterisque rebus constitutis ad imperatorem abierunt. (4) Is Desem ulturus, qui prioribus facinoribus maiora scelera adiecerat, in Serviam intendit animum. sed Deses multo ante observans quid ageretur, et id quod res erat maxime timens, ne, si imperator impressionem in Serviam fecisset, gravius aliquid sibi accideret, per legatos supplex petiit ut imperatorem citra periculum adire liceret. quo impetrato cum satrapico comitatu advenit, ad imperatorem adducitur, qui dolosum ingenium ei obiicit et pacem negat. ac parum abfuit quin comprehenderetur, sed tamen domum redire iussus est, sanctissimo iureiurando adactus se mutatis moribus nihil contrà imperatorem admissurum, quamvis satis appareret eum a malitia non discessurum esse. egressus ab imperatore variis curis aestuabat. pudebat accessisse, irascebatur ita se tractatum esse, iureiurando se velut in ordinem coactum esse dolebat. denique repudiatis omnibus

καὶ συνέθετο, κατανωτισάμενος τὴν συνήθη παρδαλέην ἑαυτῷ περιτίθησι, τὸ τοῦ τραγῳδοῦ. ὁ βάρβαρος ἐκεῖνος ἐπαινέ- P. 90
σας ἄντικρυς, καὶ εἰπὼν „ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος."

Καὶ εἶχε μὲν οὕτω ταῦτα· μήπω δὲ γεννήσας ὁ Μανουὴλ υἱόν, ἀλλ' ἐπὶ τῇ θυγατρὶ Μαρίᾳ, ἣν αὐτῷ ἡ ἐξ Ἀλαμανῶν ἀπέτεκεν ἄλοχος, τὰς τοῦ γένους σαλεύων διαδοχάς, ὅρκοις πάντας κατενεπέδωσε μετὰ τὸν αὐτοῦ μόρον αὐτήν τε τὴν Μαρίαν καὶ τὸν μνήστορα ταύτης Ἀλέξιον, ὅς, ὡς εἰρήκειμεν, ἐξ Οὐγγρίας ὥρμητο, κληρονόμους τῆς οἰκείας ἔχειν ἀρχῆς καὶ ὡς Ῥωμαίων ἄναξι σφίσι καθυπείκειν καὶ προσκυνεῖν. ἔνθα οἱ μὲν ἄλλοι πάντες τοῖς ἐπιτετραμμένοις ὑπέκυπτον, καὶ τοὺς ὅρκους ὡς ὁ κρατῶν ἐκέλευεν B
ἀπεδίδοσαν· μόνος δ' ἦν ἀποδυσπετῶν Ἀνδρόνικος, φάσκων ὡς ὁ βασιλεὺς εἰς δευτέρους ἀποκλίνας γάμους ἀρρενοτοκήσει δήπουθεν, καὶ πιστουμένους ἡμᾶς τῷ ὑστέρῳ τόκῳ τοῦ βασιλέως τὰ τῆς ἀρχῆς δι' ὅρκων ἐσέπειτα ἀνάγκη τῇ θυγατρὶ ἀρτίως ὅρκια διδόντας μὴ εὐορκεῖν. καὶ ἄλλως δὲ τίς ἡ τῷ βασιλεῖ θεοβλάβεια, ὡς πάντα μὲν Ῥωμαῖον τοῦ θυγατρίου κρίνειν ἀπόλεκτρον, τὸν δ' ἀλλογενῆ καὶ παρέγγραπτον τουτονὶ εἰς ὄνειδος Ῥωμαίοις Ῥωμαίων βασιλεύειν προκεκρίσθαι καὶ ὑπερκαθῆσθαι ὅλων ὡς κύριον; ἀλλ' οὐκ εἶχε λέξας τὰ χρηστὰ ταῦτα τὸν βασιλέα πειθόμενον, ἀθερίζοντα C
τὰ λεγόμενα ὡς ἀνδρὸς ἀντιδοξοῦντος καὶ ἰσχυρογνώμονος τερετίσματα. εἰσὶ δ' οἳ μετὰ τοὺς ὅρκους Ἀνδρονίκῳ γεγόνασι σύμψηφοι, καὶ οἱ μὲν αὐτόθεν τὸ δοκοῦν ἐπεφήναντο, οἱ δὲ

2. περιέθετο A. 15. δ] ὁ μὲν A. 21. βασιλέα A.

quae contra animi sui sententiam iurarat, vulpina pelle resumpta tragicum illud homo barbarus collaudavit: „iuravi lingua, mentem iniuratam gero."

Imperator vero nondum suscepto filio, omnes iureiurando adegit se post ipsius obitum Mariae filiae ex Alemanna procreatae eiusque marito Alexio Hungaro, ut Romanorum imperatoribus, cum summa observantia obtemperaturos. huic edicto paruerunt caeteri praeter Andronicum; qui iniquo id animo ferens, dicebat imperatorem secunda uxore ducta marem utique procreaturum, cui si iusiurandum daturi essent, iusiurandum Mariae iam dandum utique fore irritum. deinde ira numinis impulsum videri imperatorem, qui omnibus Romanis repudiatis alienigenam et ascititium istum filiae maritum et imperii successorem cum Romanorum omnium contumelia delegerit. sed nihil his verbis motus est imperator, ut hominis adversatoris et contumacis. quidam tamen dato iureiurando Andronico assensi

καὶ τὸ λέγειν ἀφέντες ἀγωνιστικῶς μετεσκεύασαν, μήθ' ὅλως τῇ θυγατρὶ τοῦ βασιλέως μήτε μὴν τῷ τῶν Ῥωμαίων ξυνοῖσον εἶναι πληρώματι τὸν ἐκ φυταλιᾶς ἑτεροφύλου ῥάδαμνον εἰς καλλιέλαιον μετεγκεντρίζειν πιότατον καὶ πρὸς τὸ ἀναζώσασθαι τὸ κράτος τῶν ὅλων προτίθεσθαι.

Ὁ δὲ λόγος προσθήσει τῇ ἱστορίᾳ καί τι ἕτερον τοῦ λαθεῖν ὑπέρτερον ὄν. τῷ βασιλεῖ τούτῳ πολλή τις ἦν ἡ μελεδὼν τῶν κατὰ Κιλικίαν πόλεων καὶ φρουρίων, ὧν ἡ λαμπρὰ καὶ περιφανὴς Ταρσὸς ὡς μητρόπολις προκαθέζεται. ὅθεν D πολλῶν τῶν ἐπὶ δόξης καὶ τοῦ ἐπισήμου αἵματος ἡγεμόνων ἐκεῖσε ἀφικομένων, ἐφεξῆς ἡ ψῆφος περιελήλυθεν ἐς τὸν Κομνηνὸν Ἀνδρόνικον καὶ ὡς γένει μέγαν καὶ ὡς ἐν ἀνδράσιν ἀξιοθέατον. τῷ τοι ἀφιγμένος ἐκεῖσε καὶ τὴν τῆς Κύπρου δασμολογίαν προσειληφώς, ὡς ἔχοι τὰς δαπάνας ἐκεῖθεν ἀντλεῖν, πολλάκις μὲν τῷ Τορούσῃ πρὸς μάχην ἀντικατέστη καὶ ἀνεκήρυξε πόλεμον, ἐχθρά οἱ νοῶν καὶ ὑπ' ἐκείνου πάλιν ἀποστυγούμενος, οὐδὲν δέ τι γενναῖον κατώρθωσε πώποτε, οὐδ' ἧς ἔτρεφε πολυτρόπου πείρας περὶ πολέμους καὶ πανουργίας εἰργάσατο ἄξιον. τελευταῖον δὲ ἡττηκότος αὐτὸν αἰσχρῶς τοῦ Τορούσῃ καὶ τρόπαιον στήσαντος, βουλεύεταί τι παραβολώτατον, ὁποῖον ὁ λόγος λέξων ἔρχεται. ὡς γὰρ τὰς οἰκείας δυνάμεις ἑκάτερος κατ' ἀλλήλων ἐξήνεγκαν, Ἀνδρόνικος μὲν ὅσα καὶ ζῷον τὴν στρατιὰν εἰς κεφαλὴν καὶ μέρος τὸ κατόπιν καὶ μέλη ἀνάλογα τῷ παντὶ συνδιαθέμενος εἶχεν, ὁ δὲ Τορούσης εἰς πολλὰ καταδιεῖλε τμήματα καὶ διασπείρας ἦν εἰς σπείρας καὶ λόχους τὸ οἰκεῖον στρατόπεδον. ἐπεὶ δὲ συμβαλόντες ἐμάχοντο, ἡ νίκη καὶ πάλιν ἐπεφοίτα

4. μετεγκεντρίζεσθαι πίονα A. 10. ἡγεμόνων om. A. 15. ἀντεκατέστη A. 24. συνδιατιθέμενος ἦν A. 26. στρατόπεδον] στράτευμα A.

sententiam suam statim protulerunt: alii sententiae dictione omissa, vehementer contenderunt neque imperatoris filiae neque Romanae rei publicae expedire hominem alienigenam rerum potiri.

Nunc aliud subiungendum est, indignum quod silentio praetereatur. erat imperator de urbibus et castellis Ciliciae, cuius metropolis Tarsus est, admodum sollicitus. quo cum multi nobiles praefecti missi essent, tandem ea provincia Comneno Andronico ut illustri genere orto et spectatae virtutis viro decreta est: adiectum etiam Cypri tributum ad sumptus facilius tolerandos. eo profectus cum Toruse inimico saepe infeliciter dimicavit: tandem etiam turpiter victus audacissimum facinus ausus est. ut enim uterque suas copias

τῷ Τορούσῃ λαμπρά· τοῖς γὰρ ἀεὶ ἐπιβοηθοῦσιν ἀκμῆσι καὶ τοῖς ἐκ τῶν λόχων λαθρηδὸν ἐκπηδῶσιν Ἀρμενίοις αἱ τοῦ P. 91 Ἀνδρονίκου ἐνέδωκαν φάλαγγες καὶ εἰς τροπὴν ἐνέκλιναν ἄκοσμον. διὰ ταῦτα τῇ λύπῃ καταποθεὶς Ἀνδρόνικος, καὶ μὴ V. 73 ἔχων ὅπως ἢ τὴν ἧτταν ἀναμαχέσαιτο ἢ γοῦν ἐξ ὑπογυίου δράσειέ τι γενναῖον κατὰ τῶν θυόντων ἤδη πολεμίων τὰ νικητήρια, τοῖς ἐγγὺς ἀνεφίκτων ἐπιχειρεῖ. κατοπτεύσας γὰρ τὸν Τορούσην μετὰ τῶν δορυφορούντων αὐτὸν ἔτι που ἱστάμενον ἔφιππον, τὴν τῶν ταγμάτων συλλογὴν ἀναμένοντα ἐξ ἧς εἴχοντο ἐπιδιώξεως, ὅλῳ ῥυτῆρι τὸν ἵππον ἀνεὶς ἐνσείει κατ' ἐκείνου τὸ δόρυ, καὶ δὴ κατὰ τοῦ θυρεοῦ βαλὼν ἀνατρέπει τοῦτον τοῦ ἵππου, καὶ διεκπαίσας τὸ περὶ ἐκεῖνον ἐπίλεκτον, ὡς πτηνὸς ἱππότης ἢ ὀλισθηρά τις ἔγχελυς, τὰς τῶν ἁπάντων χεῖρας B ἐξήλυξεν. ἀλλ' ἕως τούτου σεμνὸν τὸ τοῦ Ἀνδρονίκου κατόρθωμα· τὸ δὲ παθεῖν τὸν Τορούσην κακῶς ἀπεκώλυσαν οἵ τε σιδήρεοι χιτῶνες οὓς ἐνεδέδυτο, καὶ θυρεὸς ἐπιμήκης παρὰ πλευρὸν καταβαίνων τοῦ ἵππου πλάγιος. (5) Οὐ πολλαὶ δ' ἡμέραι παρῆλθοσαν ὕστερον, καὶ λογίζονται τῷ Ἀνδρονίκῳ δευτέρου λόγου καὶ πάρεργα ἀνδροκτασίαι καὶ μάχαι καὶ πόλεμοι καὶ σάλπιγξ ἠχοῦσα τὸ ἐνυάλιον Δεῖμός τε Φόβος τε καὶ Ἄρης βροτολοιγός, καὶ ἔργα πολέμια παρωσάμενος τὰ τῆς Ἀφροδίτης μέτεισιν ὄργια. ἡ δὲ Ἑλένην μὲν οὐχ ὑποβάλλει, C οὐδ' οἷον ὑπ' ὄψιν παρίστησι καθ' Ἑλλάδα καὶ μέσον Ἄργους τὴν οἴκησιν ἔχουσαν, καὶ διαχεῖ τῷ κάλλει, καὶ ἐκμαίνει πρὸς ἔρωτα, καὶ πηγνύει σκάφην, καὶ ναύαρχον ἐφίστησι Φέρεκλον, ἐκ γειτόνων δὲ ὂν τὸ τῆς Φιλίππας εἶδος καθυπογρά-

2. τῶν om A. 3. ἐνέδοσαν A. 20. ἐνηχοῦσα A.

eduxerunt, Andronicus universum exercitum suum ita instruxit, ut animantis instar capite et cauda caeterisque partibus constaret. Toruses contra suis in multos manipulos et cohortes distributis rursus illustrem victoriam est adeptus: nam Andronici phalanges iis qui subinde ex insidiis integri viribus prosiliebant, cesserunt ac turpi fugae se mandarunt. qua de causa Andronicus animo aeger atque inops consilii, quo pacto rebus afflictis succurrendum esset aut ulciscendi hostes iam pro victoria diis immolantes, rem aggreditur incredibilem. cum enim Torusem cum satellitibus equo insidentem et militum ex hostium persecutione reditum expectantem conspexisset, equo concitato, hasta directa percussoque scuto equo eum deiicit; et per omnem eius comitatum instar volucris equitis aut lubricae anguillae elabitur. neque tamen Torusi, oblongo scuto et ferreo thorace munito, quicquam nocere potuit. (5) Paucis diebus post, sepositis bellicis occupationibus, totus Philippae amore inflammatus

καὶ τὸ λέγειν ἀφέντες ἀγωνιστικῶς μετεσκεύασαν, μήθ' ὅλως τῇ θυγατρὶ τοῦ βασιλέως μήτε μὴν τῷ τῶν Ῥωμαίων ξυνοῖσον εἶναι πληρώματι τὸν ἐκ φυταλιᾶς ἑτεροφύλου ῥάδαμνον εἰς καλλιέλαιον μετεγκεντρίζειν πιότατον καὶ πρὸς τὸ ἀναζώσασθαι τὸ κράτος τῶν ὅλων προτίθεσθαι.

Ὁ δὲ λόγος προσθήσει τῇ ἱστορίᾳ καί τι ἕτερον τοῦ λαθεῖν ὑπέρτερον ὄν. τῷ βασιλεῖ τούτῳ πολλή τις ἦν ἡ μελεδὼν τῶν κατὰ Κιλικίαν πόλεων καὶ φρουρίων, ὧν ἡ λαμπρὰ καὶ περιφανὴς Ταρσὸς ὡς μητρόπολις προκαθέζεται. ὅθεν D πολλῶν τῶν ἐπὶ δόξης καὶ τοῦ ἐπισήμου αἵματος ἡγεμόνων ἐκεῖσε ἀφικομένων, ἐφεξῆς ἡ ψῆφος περιελήλυθεν ἐς τὸν Κομνηνὸν Ἀνδρόνικον καὶ ὡς γένει μέγαν καὶ ὡς ἐν ἀνδράσιν ἀξιοθέατον. τῷ τοι ἀφιγμένος ἐκεῖσε καὶ τὴν τῆς Κύπρου δασμολογίαν προσειληφώς, ὡς ἔχοι τὰς δαπάνας ἐκεῖθεν ἀντλεῖν, πολλάκις μὲν τῷ Τορούσῃ πρὸς μάχην ἀντικατέστη καὶ ἀνεκήρυξε πόλεμον, ἐχθρά οἱ νοῶν καὶ ὑπ' ἐκείνου πάλιν ἀποστυγούμενος, οὐδὲν δέ τι γενναῖον κατώρθωσε πώποτε, οὐδ' ἧς ἔτρεφε πολυτρόπου πείρας περὶ πολέμους καὶ πανουργίας εἰργάσατο ἄξιον. τελευταῖον δὲ ἡττηκότος αὐτὸν αἰσχρῶς τοῦ Τορούσῃ καὶ τρόπαιον στήσαντος, βουλεύεταί τι παραβολώτατον, ὁποῖον ὁ λόγος λέξων ἔρχεται. ὡς γὰρ τὰς οἰκείας δυνάμεις ἑκάτερος κατ' ἀλλήλων ἐξήνεγκαν, Ἀνδρόνικος μὲν ὅσα καὶ ζῷον τὴν στρατιὰν εἰς κεφαλὴν καὶ μέρος τὸ κατόπιν καὶ μέλη ἀνάλογα τῷ παντὶ συνδιαθέμενος εἶχεν, ὁ δὲ Τορούσης εἰς πολλὰ καταδιεῖλε τμήματα καὶ διασπείρας ἦν εἰς σπείρας καὶ λόχους τὸ οἰκεῖον στρατόπεδον. ἐπεὶ δὲ συμβαλόντες ἐμάχοντο, ἡ νίκη καὶ πάλιν ἐπεφοίτα

4. μετεγκεντρίζεσθαι πίονα A. 10. ἡγεμόνων om. A. 15. ἀντεκατέστη A. 24. συνδιατιθέμενος ἦν A. 26. στρατόπεδον] στράτευμα A.

sententiam suam statim protulerunt: alii sententiae dictione omissa, vehementer contenderunt neque imperatoris filiae neque Romanae rei publicae expedire hominem alienigenam rerum potiri.

Nunc aliud subiungendum est, indignum quod silentio praetereatur. erat imperator de urbibus et castellis Ciliciae, cuius metropolis Tarsus est, admodum sollicitus. quo cum multi nobiles praefecti missi essent, tandem ea provincia Comneno Andronico ut illustri genere orto et spectatae virtutis viro decreta est: adiectum etiam Cypri tributum ad sumptus facilius tolerandos. eo profectus cum Toruse inimico saepe infeliciter dimicavit: tandem etiam turpiter victus audacissimum facinus ausus est. ut enim uterque suas copias

τῷ Τορούσῃ λαμπρά· τοῖς γὰρ ἀεὶ ἐπιβοηθοῦσιν ἀκμῆσι καὶ τοῖς ἐκ τῶν λόχων λαθρηδὸν ἐκπηδῶσιν Ἀρμενίοις αἱ τοῦ P. 91 Ἀνδρονίκου ἐνέδωκαν φάλαγγες καὶ εἰς τροπὴν ἐνέκλιναν ἄκοσμον. διὰ ταῦτα τῇ λύπῃ καταποθεὶς Ἀνδρόνικος, καὶ μὴ V. 73 ἔχων ὅπως ἢ τὴν ἧτταν ἀναμαχέσαιτο ἢ γοῦν ἐξ ὑπογυίου δράσειέ τι γενναῖον κατὰ τῶν θυόντων ἤδη πολεμίων τὰ νικητήρια, τοῖς ἐγγὺς ἀνεφίκτων ἐπιχειρεῖ. κατοπτεύσας γὰρ τὸν Τορούσην μετὰ τῶν δορυφορούντων αὐτὸν ἔτι που ἱστάμενον ἔφιππον, τὴν τῶν ταγμάτων συλλογὴν ἀναμένοντα ἐξ ἧς εἴχοντο ἐπιδιώξεως, ὅλῳ ῥυτῆρι τὸν ἵππον ἀνεὶς ἐνσείει κατ' ἐκείνου τὸ δόρυ, καὶ δὴ κατὰ τοῦ θυρεοῦ βαλὼν ἀνατρέπει τοῦτον τοῦ ἵππου, καὶ διεκπαίσας τὸ περὶ ἐκεῖνον ἐπίλεκτον, ὡς πτηνὸς ἱππότης ἢ ὀλισθηρά τις ἔγχελυς, τὰς τῶν ἁπάντων χεῖρας B ἐξήλυξεν. ἀλλ' ἕως τούτου σεμνὸν τὸ τοῦ Ἀνδρονίκου κατόρθωμα· τὸ δὲ παθεῖν τὸν Τορούσην κακῶς ἀπεκώλυσαν οἵ τε σιδήρεοι χιτῶνες οὓς ἐνεδέδυτο, καὶ θυρεὸς ἐπιμήκης παρὰ πλευρὸν καταβαίνων τοῦ ἵππου πλάγιος. (5) Οὐ πολλαὶ δ' ἡμέραι παρῆλθοσαν ὕστερον, καὶ λογίζονται τῷ Ἀνδρονίκῳ δευτέρου λόγου καὶ πάρεργα ἀνδροκτασίαι καὶ μάχαι καὶ πόλεμοι καὶ σάλπιγξ ἠχοῦσα τὸ ἐνυάλιον Δεῖμός τε Φόβος τε καὶ Ἄρης βροτολοιγός, καὶ ἔργα πολέμια παρωσάμενος τὰ τῆς Ἀφροδίτης μέτεισιν ὄργια. ἡ δὲ Ἑλένην μὲν οὐχ ὑποβάλλει, C οὐδ' οἷον ὑπ' ὄψιν παρίστησι καθ' Ἑλλάδα καὶ μέσον Ἄργους τὴν οἴκησιν ἔχουσαν, καὶ διαχεῖ τῷ κάλλει, καὶ ἐκμαίνει πρὸς ἔρωτα, καὶ πηγνύει σκάφην, καὶ ναύαρχον ἐφίστησι Φέρεκλον, ἐκ γειτόνων δὲ ὂν τὸ τῆς Φιλίππας εἶδος καθυπογρά-

2. τῶν om A. 3. ἐνέδοσαν A. 20. ἐνηχοῦσα A.

eduxerunt, Andronicus universum exercitum suum ita instruxit, ut animantis instar capite et cauda caeterisque partibus constaret. Toruses contra suis in multos manipulos et cohortes distributis rursus illustrem victoriam est adeptus: nam Andronici phalanges iis qui subinde ex insidiis integri viribus prosiliebant, cesserunt ac turpi fugae se mandarunt. qua de causa Andronicus animo aeger atque inops consilii, quo pacto rebus afflictis succurrendum esset aut ulciscendi hostes iam pro victoria diis immolantes, rem aggreditur incredibilem. cum enim Torusem cum satellitibus equo insidentem et militum ex hostium persecutione reditum expectantem conspexisset, equo concitato, hasta directa percussoque scuto equo eum deiicit; et per omnem eius comitatum instar volucris equitis aut lubricae anguillae elabitur. neque tamen Torusi, oblongo scuto et ferreo thorace munito, quicquam nocere potuit. (5) Paucis diebus post, sepositis bellicis occupationibus, totus Philippae amore inflammatus

φει καὶ μαστροπεύει τῷ δυσέρωτι Ἀνδρονίκῳ· ἦν γὰρ ἐξ ἀκοῆς ἐρωτόληπτος. ῥίψας οὖν τὴν ἀσπίδα καὶ τὸ κράνος ἀποβαλόμενος καὶ τὸν ὅλον στρατιώτην ἀποσεισάμενος πρὸς τὴν ἐρωμένην αὐτομολεῖ οὖσαν κατὰ πόλιν τὴν Ἀντιόχειαν. ἔνθα δὴ γεγονώς, καὶ τὴν Ἐρώτων ἀγλαΐαν τῆς Ἄρεος σκευῆς ἀνθελόμενος, μόνον οὐκ ἔξαινεν ἔρια οὐδ' ἱστῷ προσανεῖχε καὶ συνῆρεν ἠλάκατα, ὡς Ὀμφάλῃ πρὶν Ἡρακλῆς τῇ Φιλίππᾳ δουλεύων. ἡ δ' ἄρα ἦν τῆς συναφθείσης τῷ τούτου ἐξαδέλφῳ τῷ βασιλεῖ Μανουὴλ πρώην οὔπω πάνυ θυγατρὸς τοῦ Πετεβίνου ἀδελφή. καὶ ὁ μὲν τὴν Ἀντιόχειαν καταλαβὼν τρυφαῖς ἐκεχήνει καὶ καλλωπισμοῖς ὑπελύττα καὶ δορυφόροις ἐπ' ἀγυιῶν ἀργυροτόξοις ἐπόμπευε, τὴν ἡλικίαν εὐ-
D μήκεσιν, ἰούλῳ τε πρώτῳ λαχνουμένοις καὶ κόμαις πυρσαινομένοις ξανθαῖς, καὶ ἣν ἐντεῦθεν θηρῶν τὴν θηράσασαν, ἣν καὶ εἶχε ταῖς οἰκείαις ἐρωτοδέσμαις καταγοητεύσας Ἀνδρόνικος, καὶ ὅπερ ἐπεπόνθει τοῦτο δράσας φιλοτιμότερον, πλουτῶν μὲν καὶ ἄλλως εἶδος ἀξιάγαστον καὶ ὡς ἔρνος ἀναβαίνων ἐλάτινον, ἐπτοημένος δὲ καὶ περὶ τὰς ἐξάλλους στολάς, καὶ τούτων ὅσαι περὶ γλουτὸν καὶ μηροὺς καταβαίνουσαι διασχίζονται καὶ οἷον εἰσί πως συνυφασμέναι τῷ σώματι, καὶ τοῖς ἄλλοις τῶν τοιούτων ἡγεμὼν καθιστάμενος. οὐκοῦν τὸ μὲν βλοσυρὸν ἐκεχάλαστο καὶ τὸ ἐπὶ συννοίας εἶναι ἀεί, καὶ τὸ τοῦ ἤθους ἐμβριθὲς καὶ φροντιστικὸν ἐνδεδώκει, καὶ τὸ ἐπισκύνιον ὁ θὴρ ἀπεβάλετο· ἡ δὲ ὡς ἑάλω κατάκρας, ὑπέκυψεν εἰς εὐνήν, οἴκου τε καὶ πατριᾶς ἐπελάθετο, καὶ τοῦ ἐραστοῦ αὐτῆς ὀπίσω κατηκολούθησεν. ὁ βασιλεὺς δὲ ὡς τοῖς περὶ τούτου κατεβροντήθη ἀκούσμασι, μικροῦ καὶ ἐννεὸς ἦν καὶ πρὸς ἄμφω μεμέριστο· καὶ ὡς ἐρῶντα γὰρ ἔρον ἀξύμφυλον καὶ ἀθεμιτογαμοῦντα ἤχθραινε τὸν Ἀνδρόνικον, καὶ

4. αὐτομολεῖ] ἀποχωρεῖ A. 5. δὴ] καὶ δὴ A. 11. ἀνελύττα A. 17. ἔρνος] κυπάρισσος B. ἀναβαῖνον A. 24. ἡ δὲ φιλίππα τοσοῦτον ἐκρατήθη τῷ ἔρωτι αὐτοῦ καὶ ὑπέκυψεν ὡς οἷα γυνὴ αὐτοῦ νόμιμος, καὶ ἐπελάθετο καὶ τοῦ οἴκου καὶ τῆς πατριᾶς αὐτῆς, καὶ ἠκολούθει αὐτῷ B. 29. ἤχθαιρε A.

(erat ea Petebini Antiocheni filia, soror eius quam Manuel imperator non ita pridem duxerat), et Antiochiam profectus pulcherrimorum et ornatissimorum iuvenum comitatu et exquisitae elegantiae vestitu, quo naturalis formae dignitas et staturae proceritas condecorabatur, mulierem ita in sui amorem pellicit, ut parentum et patriae oblita mutuo illius amore flagraret. qua fama imperator pene attonitus An-

ὡς αὐτὸν τῶν κατ' Ἀρμενίων ἐλπίδων ψευσάμενον συλλαβεῖν
ἐζήτει καὶ δίκας ἐξ ἐκείνου λαβεῖν. στέλλει τοίνυν τὸν σεβα-
στὸν Κωνσταντῖνον τὸν Καλαμᾶνον, ἄνδρα καὶ τόλμης λε-
λογισμένης μεστὸν καὶ τὸ γενναῖον εὐτυχοῦντα στάσιμον, καὶ
τοῖς κατ' Ἀρμενίαν μὲν ἐπιστατήσοντα πράγμασι, καὶ τῇ Φι- P. 91
λίππᾳ δ' ὅπως συναφθείη πειραθησόμενον. ὁ δὲ τὰ μὲν πρῶτα
εἰς νυμφίον ἑαυτὸν διευθετήσας, καὶ λαμπρυνάμενος ὡς εἰκὸς
καὶ καθ' ὅσον ᾔδει τὴν ἐρωμένην ὑπαγαγέσθαι, τὴν Ἀντιόχου
εἴσεισι. τοσοῦτον δὲ προσέσχεν αὐτῷ Φιλίππα, καὶ οὕτως
αὐτὴν τοῦ προτέρου μετέθηκεν ἔρωτος, ὡς μηδὲ βλέμματος
γοῦν μεταδοῦναι ἢ προσρήματος ἀξιῶσαι τὸν Καλαμᾶνον,
μᾶλλον μὲν οὖν καὶ προσονειδίσαι τἀνδρὶ τὸ τῆς ἡλικίας βρα-
χύ, καὶ ἐς αὐτὸν ἀποσκῶψαι τὸν αὐτοκράτορα Μανουήλ, εἰ
οὕτως ἀμαθῶς καὶ εὐήθως αὐτὴν ἔχειν ᾠήθη ὡς ἀποστατή-
σει μὲν Ἀνδρονίκου αὕτη τοῦ ἥρωος, οὗ τὸ κλέος εὐρὺ καὶ
οὗ τὸ γένος πολύ, προσκολληθήσεται δὲ ἀνδρὶ ὃς τὸ γένος
ἀπεσβεσμένος καὶ χθὲς καὶ πρώην εἰ ἔστιν ὅλως ἐγνώρισται. B
ἐπεὶ γοῦν ὁ Κωνσταντῖνος ἀδοξοῦντας αὐτὸν ἑώρα τοὺς τῆς
Φιλίππας ἔρωτας καὶ πρὸς ἄλλον λύοντας τὸ πτερόν, μηλο-
βολοῦντάς τε καὶ δᾳδουχοῦντας Ἀνδρόνικον, ἐκεῖθεν μεθίστα-
ται, καὶ τὴν Ταρσὸν καταλαβὼν μετὰ τῶν ἀντιπάλων Ῥωμαί-
οις Ἀρμενίων συνερρήγνυ πόλεμον. ὡς δέ ποτε τούτῳ ἐπέ- V. 71
βρισαν οἱ διάφοροι, ἑάλω τε καὶ ἦν ἐν δεσμοῖς. ὁ δὲ βασι-
λεὺς ἐλύσατο τοῦτον, ἱκανὰ ζωάγρια καταθέμενος. Ἀνδρόνι-
κος δὲ τὰς ἀπειλὰς τοῦ Μανουὴλ δεδιώς, καὶ πτοηθεὶς μὴ

5. ἐπιστατήσαντα A. 8. ἀντιόχειαν A. 12. τὸ τῆς ἡλ.] τὸ κοντὸν τῆς ἡλικίας αὐτοῦ B. 14. αὐτὴν ἔχειν om A. 17. ἀπεσβεσμένος] ἀφανὴς A.

dronicum et ob incestos amores oderat, et spe Armeniae recuperandae frustratus comprehensum multare in animo habebat. mittit igitur Augustum Constantinum Calamanum, virum cordatum magnanimum et constantem, qui et Armeniae praeesset et Philippam, si posset, duceret. is principio sponsi ornatu sumpto, itaque paratus ut adamatam in sui amorem pelliceret, Antiochiam ingreditur. tantum autem abfuit ut Philippa ab Andronici amore avelleretur, ut Calamanum nec aspectu nec colloquio dignaretur, ac potius brevitatem staturae eius irrideret; atque ipsum imperatorem insectaretur, qui inepte putaret ipsam, despecto inclyto et nobilissimo heroe Andronico, ei nupturam qui obscura familia ortus nuper admodum nosci coeperit. hoc sui contemptu et amore Philippae erga Andronicum cognito Tarsum discedit; commissoque cum Armeniis praelio victus et captus magna pecunia ab imperatore redimitur. Andronicus au

πως συλληφθεὶς τῶν φιλοτήτων Φιλίππας τὴν προτέραν εἱρκτὴν ἀνταλλάξαιτο καὶ ὑποσταίη χρόνιον κάκωσιν, ἄρας ἐκεῖθεν τῆς ἐπὶ τῶν Ἱεροσολύμων εἴχετο, γαλῇ τὸ τοῦ λόγου πρὸς C στέαρ ἐλεγχθείς, κἀπὶ τὰς πρώην ἐπαναδραμὼν δραπετεύσεις, καὶ πρὸς τὰς παλαιτέρας αὐτοῦ μηχανὰς ἀπιδών. ἀδιαφόρως δ' ἔχων τοῦ βίου, καὶ ὡς ἵππος θηλυμανὴς ταῖς παραλόγοις ἐπιθορνύμενος μίξεσιν, ἐγχρίπτει σαρκικῶς καὶ ἐνασελγαίνει ἀκολάστως τῇ τοῦ πρώτου ἐξαδέλφου θυγατρὶ Θεοδώρᾳ (Ἰσαακίου φημὶ τοῦ σεβαστοκράτορος, τοῦ βασιλέως Μανουὴλ ὁμαίμονος) θανάτῳ ἄρτι ἀποβαλούσῃ τὸν παρθένιον σύνευνον, ὃς ἦρχε πρὸ βραχέος τῆς Παλαιστίνης· Βαλδουῖνος ἦν οὗτος, τὸ γένος ἕλκων ἐξ Ἰταλῶν. ἑτέραν ἐπὶ τούτοις πληγὴν ὁ βασιλεὺς δέχεται Μανουήλ, καὶ πράττων ἦν πάντα καὶ διατεχνώμενος, εἴ πως εἴη συνειληφὼς Ἀνδρόνικον τῶν οἰκείων ἀμφιβλήστρων ἐντός, ὅθεν ἐρυθροδάνῳ ἐνσημανθὲν ἀφῆκε D γραμμάτιον, ἐνάγων τοὺς κατὰ Κοίλην Συρίαν ἰσχύοντας Ἀνδρόνικον συσχεῖν ὡς ἀντίφρονα καὶ περὶ τὸ γένος ἀκολασταίνοντα, καὶ τοῦ φάους στερῆσαι τῶν ὀφθαλμῶν. καὶ τάχ' ἂν τοὺς ὀφθαλμοὺς Ἀνδρόνικος ἐξ αἵματος ἠρευθοῦτο, ὠχρός τέ μιν εἷλε παρειὰς συνεχόμενον καὶ δεσμούμενον, ἢ καὶ εἰς πορφύρεον ἐβάπτετο θάνατον, εἰ χεῖρες εἶχον ἑτέρων τὸ τῆς βασιλικῆς ἐκεῖνο βαφῆς δελτάριον. νῦν δὲ τοῦ θεοῦ τηροῦντος αὐτόν, ὡς ἔοικεν, εἰς ἡμέραν ὀργῆς καὶ τοῖς μετόπισθεν κακοῖς ταμιεύοντος, ἅ τε παρὰ τὸ δέον εἰς τὸ ὑπήκοον ἐνεδείξατο, Ῥωμαίων ἄρξας ἐκ τυραννίδος, καὶ οἷς αὐτὸς ἀσυμπαθῶς ἐσέπειτα περιπέπτωκε, χερσὶ τὸ ἐπιστόλιον τῆς Θεοδώρας δί-

4. τὸ στέαρ A. 7. μίξεσιν] πράξεσιν ἐγχρίπτει A. 16. ἰσχύοντας] τοπάρχας A. 17. ὡς ἀντίφρονα] ὡς ἄπιστον καὶ αἱμομίκτην B. 18. ἀποστερῆσαι A. 26. ἐσέπειτα om A. δέδοται A.

tem Manuelis minas veritus, ac metuens ne Philippae amorem pristino carcere et diuturnis aerumnis commutaret, Hierosolyma versus iter intendit, fuga de more arrepta, et ut homo luxuriosissimus, Theodoram Isaacii Sebastocratoris filiam incestat, Balduini Franci, qui toti Palaestinae nuper imperarat, viduam. altera hac plaga accepta Manuel nihil non molitur, quo Andronicum in suam potestatem redigat; missaque ad Coelesyriae toparchas aurea bulla mandat ut Andronicum hominem seditiosum atque incestum capiant et visu privent, ac luminibus orbatus aut plane occisus esset Andronicus, si eae literae ad manus aliorum pervenissent. nunc deo illum ad diem ultionis atque ad ea mala perpetranda et perferenda reservante quae tyrannide ab eo occupata acciderunt, eae literae Theodorae redduntur. quibus

δοται. ἡ δὲ ἀναγνοῦσα τοῦτο, καὶ γνοῦσα τὰ κατ' Ἀνδρονίκου τυρευόμενα, ἐξ αὐτῆς τὸν χάρτην αὐτῷ ἐγχειρίζει. συνεὶς οὖν Ἀνδρόνικος ὡς χωρεῖν ἐκεῖθεν δέον καὶ ἐγκονεῖν, μηδ' ἕδρας εἶναι τὸ ἀπὸ τοῦδε ἀκμήν, φρίκη τε ὑφέρπεται, καὶ πρὸς ἀπόδρασιν ἐνσκευάζεται. σοφιστὴς δὲ ὢν καὶ ἀπατεὼν καὶ αὐτὴν ἀποπλανᾷ Θεοδώραν, καὶ ὥσπερ Εὐρώπην πάλαι ὁ Ζεὺς τοῦ χοροῦ τῶν παρθένων ἀποβουκολήσας ἧκε φέρων ἐπὶ νώτων, εἰς βοῦν ἑαυτὸν μεταμορφώσας καλλίκερων, οὕτω καὶ οὗτος ἀποστήσας τῶν οἴκοι τὴν γυναῖκα καὶ συμφοιτῆσαί οἱ σαββάτου ὁδὸν αἰτησάμενος ὡς προπέμψουσαν ἐκεῖθεν καὶ P. 93
συνταξομένην ἐκείνῳ τὰ ἐξιτήρια, συνέκδημον καὶ συμπλανῆτιν ἑκοῦσαν ἐπεσπάσατο ἄκουσαν. χώραν δ' ἐκ χώρας ἀμείβων, καὶ ἡγεμόσι καὶ δυνάσταις ἐπιξενιζόμενος πολυπλανής, καὶ παρ' οἷς κατέλυε, τιμήεις ὢν καὶ αἰδέσιμος καὶ φιλοφροσύνης ὅτι πλείστης καταξιούμενος καὶ δωρεῶν ἁδρῶν ἐν μεθέξει γινόμενος, ὀψέ ποτε καὶ μόλις παρὰ τῷ Σαλτούχῳ τῆς πλάνης ἵσταται. ἦν δ' οὗτος τὰ τῇ Κολωνείᾳ τότε κληρούμενος ὅμορα, καὶ ὅσα τῆς Χαλδαίας πρόσοικά τε καὶ ἔγγιστα καρπιζόμενος. κἀκεῖσε ἦν ἀλύων καὶ συνὼν Θεοδώρᾳ, μεθ' ὧν ἀπέτεκεν αὕτη τούτῳ παίδων δυοῖν Ἀλεξίου τε καὶ Εἰρήνης, ἔτι δὲ καὶ Ἰωάννου, ὃν ἐκ τῶν προτέρων καὶ γνη- B
σίων οἱ σπερμάτων συνέκδημον ἐκ Βυζαντίου ἐπήγετο, ἕως τῆς ἐς αὐτὸν αὖθις τὸν αὐτοκράτορα Μανουὴλ ἐπαναλύσεως, ἣν κατὰ τὸν οἰκεῖον χρόνον καὶ πρόσφορον ὁ λόγος τῇ ἱστορίᾳ παρέξεται, ὡς εἴη συνημμένα δήπου καὶ συναφῆ τὰ ἐφε-

4. ἀκμήν] καιρόν A. 5. σοφιστὴς] φρόνιμος A. 7. ἐπὶ τὸν νῶτον A. 9. τῶν οἴκοι] τῆς δόξης καὶ τῆς τιμῆς ἧς εἶχεν ἐν τῇ ἐξουσίᾳ αὐτῆς B. καὶ συμφοιτῆσαι] ἵνα ὀλίγον τόπον ἐξέλθῃ πρὸς ἀπεκβολὴν τοῦ ὁμιλῆσαι αὐτὴν καὶ ἀναθεῖναί τινα τῶν ἐκείνου B. 16. σαλτούχῳ A: vulgo Σουλτάνῳ. 21. ἔτι] ἐπὶ A.

ea lectis et insidiis cognitis chartam Andronico tradit. qui ubi animadvertit ibi non haerendum esse diutius sed propere discedendum, territus fugam adornat; et Theodoram fraude pellectam, ut se non longe comitaretur, seu volentem seu invitam secum abducit. dum autem provinciam provincia mutat et in multiplici illo errore varios dynastas et regulos adit, ab omnibus honorifice excipitur et magnis muneribus afficitur. sero tandem ad Sultanum, qui Coloniam Chaldaeam et finitima loca tenebat, divertit; ibique cum Theodora et duobus ex ea susceptis liberis Alexio et Irene, ac Iohanne quem ex legitima uxore procreatum Byzantio secum abduxerat, commoratur, donec ad Manuelem imperatorem reversus est; id quod suo loco re-

ξῆς ὑπ' αὐτοῦ πεπραγμένα καὶ τὰ παρ' ἡμῶν αὖθις ἐπ' αὐτῷ ῥηθησόμενα. ἐν πολλοῖς μέντοι καὶ πολλάκις ὁ Μανουὴλ τὴν Ἀνδρονίκου δεσμεύων ψυχήν, καὶ ζητῶν ταύτην λαβεῖν, τοῖς ἀνηνύτοις ἐγχειρῶν διηλέγχετο· ὁ γὰρ πολύπλαγκτος οὗτος καὶ ταλασίφρων Ἀνδρόνικος τὰς καθ' αὐτοῦ προσβολὰς εὐμαρῶς ἀπεκρούετο, καὶ τῶν θηράτρων κούφως ὑπερ-
C αλλόμενος, ἅπερ αὐτῷ πολλάκις ὑφηπλοῦτο καὶ ἐξετείνετο, ἀπαγίδευτος ἦν καὶ ἀθήρευτος.

6. Ἀλλὰ τίνα τὰ παρὰ πόδας; χρεὼν γὰρ μηδὲ τούτων ἀφέξεσθαι. περιδεεῖς οἱ πολλοὶ τῶν κρατούντων εἰσὶ καὶ καχύποπτοι, καὶ χαίρουσι διαπραττόμενοι ὅσα θάνατος καὶ Χάος καὶ Ἔρεβος ἐν τῷ τοὺς εὐπατρίδας ἀκροτομεῖν καὶ ἐκποδὼν τιθέναι πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ἐοίκασιν
V. 75 ἀτεχνῶς ὑψιτενέσι καὶ ἀκροκόμοις πίτυσιν. ὡς γὰρ αὗται καὶ βραχείαις ἀνέμων πνοαῖς τὰς τῶν κλάδων βελόνας διατινασσόμεναι ψιθυρίζουσιν, οὕτω δὴ καὶ οὗτοι καὶ τὸν πλούτῳ
D κομῶντα ὑποβλέπονται καὶ τὸν ἐπ' ἀνδρείᾳ τῶν πολλῶν διαφέροντα κατεπτήχασι. κἂν εἴη τις τὸ κάλλος ἀγαλματίας, καὶ τὴν γλῶτταν ὡς ὄρνις μουσηγέτης ἐστόμωτο, κἂν τὸ ἦθος ὁρῷτο εὐτράπελος, οὐκ ἐᾷ καθεύδειν τὸν ἐπὶ τοῦ στέφους οὐδ' ἠρεμεῖν, ἀλλὰ γίνεται τούτῳ τῶν ὕπνων ἐκκοπή, τῆς τρυφῆς ἀνατροπή, ἡδονῆς ὑφαίρεσις, φροντίδων ἀπόθεσις· καὶ τὴν φύσιν μέμφονται τὴν πλάστριαν, ὅτι καὶ ἑτέρους εἰς τὸ ἄρχειν ἐπιδόξους ἐπαλαμήσατο, καὶ μὴ πρώτους αὐτοὺς καὶ ὑστάτους καλλίστους ἀνθρώπων ἐφύτευσεν. οὐκοῦν καὶ ἀντιστρατεύονται τὰ πολλὰ τῇ προνοίᾳ καὶ τῷ θείῳ ὑπέροπλοι γίνονται, πάντα ἀγαθὰ ἐκ τοῦ πλείονος ἐκχορδεύοντες

6. καθαλλόμενος A. 23. μέμφονται] κακολογοῦσι A.

feretur, ut res eius gestae cohaereant. etsi autem Manuel vitae Andronici crebras ponebat insidias, ille tamen mirabili solertia et tolerantia omnes laqueos evadebat.

6. Hoc loco illud praetereundum non est. plerique principes formidolosi sunt et suspicaces, nec inferno et morte clementiores in viris nobilibus et generosis e medio tollendis; et ut altae piceae levissimo vento impulsae ramorum aculeis inter se collisis stridunt, sic ipsi et divitem suspectum habent et fortitudine insignem formidant. nec forma nec facundia nec morum comitas insignis quietos eos esse patiuntur, sed omni pene vitae suavitate privant, adeo ut naturam ipsam accusent quod alios etiam idoneos imperio formarit nec ipsos primos et postremos omnium mortalium pulcherrimos finxerit, divinaeque providentiae repugnent, et optimum quemque tollant e medio et instar hostiarum sacrifi-

καὶ ὡς θύματα σφαγιάζοντες, ὡς ἔχοιεν ἐφ' ἡσυχίας δήπουθεν οὗτοι σπαθᾶν καὶ ὡς πατρῷον κλῆρον καθηδυπαθεῖν μονώτατοι τὰ δημόσια καὶ ὡς ἀνδραπόδοις χρῆσθαι τοῖς ἐλευθέροις καὶ ὡς ὠνητοῖς τοῖς ἀξιωτέροις ἐνίοτε ἄρχειν προσφέρεσθαι, κακῶς εἰδότες καὶ τὸ φρονεῖν ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένοι καὶ κακοβούλως τῶν πρότριτα λανθανόμενοι. καὶ ὁ Μανουὴλ τοίνυν οὐδὲν ἄχαρι ἔχων ἐπεγκαλεῖν Ἀλεξίῳ τῷ πρωτοστράτορι, ἢ ὅ τι ὅλως παραλελύπηκεν ἢ παρηνώχλησεν ἢ τῆς ὀφειλομένης εὐνοίας καὶ πίστεως καθυφῆκε βραχύ τι P. 94 γοῦν ἀντίρροπα δράσας ὧν ὑπ' αὐτοῦ πέπονθεν εὖ, καὶ ὡς ἐπὶ ζυγοῦ τὴν ἑτέραν παρήνεγκεν πλάστιγγα, ἐξ ὑπονοίας δὲ μόνης ὁρμώμενος, κακοσχόλων τινῶν, ὡς ἄνθρωπος, ὑπαχθεὶς ὑφηγήσεσιν, ἐκ τοῦ τὸν ἄνδρα ὁρᾶν καὶ στρατηγοῖς καὶ στρατιώταις ἐρώμενον καὶ φιλοτίμῳ γνώμῃ καὶ χειρὶ φιλοδώρῳ πρὸς ἅπαντας χρώμενον, ἴσως δὲ καὶ τοῦ προσόντος αὐτῷ πλούτου ὑποτύφων ἔφεσιν, συλλαμβάνει τοῦτον B διάγων ἐν Σαρδικῇ, μήπω ἐπιφαυσκούσης ἡμέρας, τῇ οἰκείᾳ ἔτι συγκατακείμενον ὁμευνέτιδι, καὶ οὐ μόνον τῶν ὄντων ἁπάντων ἀπογυμνοῖ, ἀλλὰ καὶ εἰς μοναχὸν ἀποκείρας ἐν ἑνὶ τῶν κατὰ τὸ Παπύκιον ὄρος φροντιστηρίων παραρριπτεῖ. ἵνα δὲ μὴ ᾖ τὸ πραχθὲν ἀπροφάσιστον καὶ προῦπτον διὰ τοῦτο τὸ βασιλικὸν ἀδίκημά τε καὶ ἀσχημόνημα, οἱ συκοφάνται παρῆσαν ἐγγὺς ὑφειμένοι παρ' ὧν ὑπεβλήθησαν, καὶ γοητεῖαι κατὰ βασιλέως τὰ αἰτιάματα οὔπω πάνυ τι πιθαναὶ

15. ἅπαντας om A. 16. συλλαμβάνεται A. 17. ἐπιφαυσάσης A. 18. συγκατακλινόμενον A. 19. ἀποκείρας] κουρεύσας B. 24. οὔπω?

cent, ut ipsi soli metus et periculi expertes publica vectigalia tanquam privatum patrimonium pro sua libidine effundere et ingenuos homines pro mancipiis tractare possint, qui aliquando ipsis sunt imperio digniores. ita potentiae fastigium prudentiam eis adimit, et pristinae conditionis stultam oblivionem affert. sic Manuel quoque cum ab Alexio protostratore nulla re esset offensus, nec eius fidem et benevolentiam desiderare posset, ac tenuem pro meritis ei gratiam retulisset, sola suspicione adductus et improborum hominum calumniis impulsus, quia eum et ducibus et militibus esse carum videbat et liberalitate erga omnes uti, quanquam fortassis etiam divitias eius clam appetebat, Sardicae agens hominem ante lucem cum uxore sua cubantem comprehendit, et omnibus opibus multatum in monasterium quoddam Papycii montis coniicit. ne autem id facinus manifestae iniuriae damnaretur, sycophantae praesto erant, qui crimini darent eum magicis praestigiis imperatorem petere; quae haud scio an ita efficaces sint (sanae quidem aures ab istiusmodi com-

καὶ δραστήριοι ὡς ποιεῖν τὸν κεχρημένον πετόμενον καὶ μηδ' C ὅλως θεώμενον καθ' ὧν ἂν ἐπεισπέσθαι ξιφηφόρος βούλοιτο, καὶ ἕτερ' ἄττα βωμόλοχα καὶ ἀκοαῖς ὑγιαινούσαις οὐκ εὐπαράδεκτα, ὁποῖα πάλαι τοῦ Περσέως λογοποιοῦντες κατηγόρευον Ἕλληνες. ἦν δέ, ὡς ᾔδετο, τῶν συκοφαντῶν τοῦ ἀνδρὸς ὁ προχειρότατος Ἀαρών τις Ἰσαάκιος, Κορινθόθεν μὲν ὁρμώμενος, τὴν δὲ Λατινίδα γλῶτταν ἄκρως ἐξησκηκὼς ἡνίκα συναπήχθη τοῖς πατριώταις εἰς Σικελίαν αἰχμάλωτος, καὶ τοῖς ἐκ τῆς διαλέκτου ταύτης τῷ βασιλεῖ ἐντυγχάνουσιν ὑποβολεὺς τηνικαῦτα γενόμενος. ἡ δὲ τοῦ Ἀλεξίου γυνή, θυγάτηρ οὖσα τοῦ πορφυρογεννήτου Ἀλεξίου ὃς ἐπρωτοτόκει D τῶν τοῦ Μανουὴλ ἀδελφῶν, ἐφιλοτιμεῖτο μὲν ἑαυτὴν ἀνελεῖν, φιλανδρίαν καὶ σωφροσύνην ἐν ταῖς μάλιστα τῶν γυναικῶν ἀγαπήσασα καὶ τιμήσασα, καὶ τῶν ἐκ τοῦ γένους θηλυτέρων καλλιστεῖον οὖσα καὶ λαμπρὸν ἐπικόσμημα καὶ περιλάλημα τοῖς πᾶσιν ἐράσμιον· τοῦ τοιούτου δ' ἐγχειρήματος ἐκκρουσθεῖσα πεσοῦσα προσεκνυζᾶτο τοῖς τοῦ θείου καὶ βασιλέως ποσί, καὶ ἐδεῖτο κοπτομένη θερμότερον φήνης καὶ ἐλεεινότερον, δρακόντων ὀδυνηρότερον, ἀλκυόνος πολυπενθέστερον, χαρίσασθαι τὸν ἄνδρα αὐτῇ, μαρτυρομένη θεόν, καὶ εἴ τί που φρικῶδες τοῖς εὐσεβοῦσι πρᾶγμα καὶ ὄνομα ἀπαραλόγιστον, εἶναι τῆς ἐκείνου βασιλείας θεράποντα καὶ ἀκαταιτίατον πάντῃ τὸν εὐνέτην αὐτῆς. ἀλλ' οὐκ ἴσχυσε μεταθέσθαι τὴν γνώμην τοῦ αὐτοκράτορος, οὐδ' ἀναλῦσαι ὅλως ἅπερ ἐκείνῳ ἤδη κεκύρωτό πως καὶ δέδοκτο, καὶ ταῦτα ἕως δακρύων αὐτὸν καὶ θέᾳ ἐλε- V. 76 εινῇ καὶ σχήμασιν ἱλασίμοις καὶ ῥήμασιν οἰκτροῖς ἐκθηλύνασα. ἀμέλει καὶ τὸν βίον φιλόδακρυν ἔχουσα κατὰ τὰς φιλοσό-

2 ἐπεισπεσεῖν? 9. τοῖς] δραγουμανίζων τὸν βασιλέα τοῖς ἐκ τοῦ γένους αὐτοῦ B.

mentis abhorrent) ut hominem efficiant volucrem, itaque perstringant oculos ut stricto ense irruens non conspiciatur. quod genus illa sunt quae Graeci olim de Perseo fabulantur. eorum calumniatorum princeps esse ferebatur Aaron Isaacius, qui Corintho cum caeteris in Siciliam abductus ibique Latinam linguam exquisite edoctus Latinorum interpretem agebat apud imperatorem. Alexii vero uxor, Alexii primogeniti fratris Manuelis filia, pietate in maritum et pudicitia insignis et illustre muliebris sexus ornamentum. frustra sibi ipsi manus afferre conata, ad patrui pedes supplex advoluta summoque cum luctu et sanctissimo iureiurando mariti innocentiam et erga imperatorem fidem atque observantiam testificata, permovere tamen eius animum ad misericordiam, quamvis miserabili habitu, nec a

φρονας τρυγόνας τὰ οἰκόπεδα περιέτρυζεν ὀλολύζουσα, καὶ τὴν μόνωσιν ἀπωδύρετο· ὅθεν καὶ τῇ περισσοτέρᾳ λύπῃ καταποθεῖσα τὸ φρονεῖν παρακέκοπται, ἐπὶ παισὶν ἄρρεσι δυσὶ τὸ βιοῦν καταξαίνουσα καὶ ἑαυτὴν εἰς τέλος καταμαραίνουσα. καὶ Ἀλέξιος μὲν τὸ μέλαν ἀσπασάμενος ἄμφιον τοῖς θείοις ἐκουφίζετο ἔρωσι, τοῦ ἀκροτάτου τῶν ἐφετῶν ἐφιέμενος καὶ ὡς ὑψιπέτης ἀετὸς τῶν κάτω ὑπεριπτάμενος. κρεωδαισίας δ' ἄκρος ὢν ἐραστὴς καὶ καρυκείαις χαίρων βρωμάτων καὶ πανθοινίαις προσκείμενος, ὁπηνίκα πλούτῳ πολλῷ περιερρεῖτο καὶ τοῖς κατὰ κόσμον ἐνευπάθει τερπνοῖς, ὡς καὶ τὰς νηστίμους τῶν P. 95 ἡμερῶν (τετράδα φημὶ καὶ παρασκευὴν) κρεωβόρον αὐτῷ παρατίθεσθαι τράπεζαν, ἢ δεσποτικῆς κατὰ ταύτας τελετῆς ἀγομένης ἢ μνήμης ἐνδόξου μάρτυρος τελουμένης ἤ τινος τῶν ὀπαδῶν τῶν Χριστοῦ, τότε ποηφαγῶν καὶ ταῖς ὀπώραις ἐνεστιώμενος καὶ ταῖς ἀκάπνοις θύων τῶν τραπεζῶν καὶ τὸ πεινῆν πεινῶν ἀτεχνῶς, ὀψὲ δὲ καὶ ἰχθύων ἐνεορτάζων ταῖς παραθέσεσιν ἔχαιρεν ὅτι μάλιστα, καὶ μνήμην τῶν προτέρων λαμβάνων ὀψαρτυμάτων καὶ τῆς περιέργου τῶν κρεῶν δαιτρεύσεως ἀκκισμὸν ἐκάλει κοιλίας καὶ ὀρέξεως μέθοδον ὅσα οἱ ἀδδηφάγοι καὶ κρεωφάγοι προτίθενται, μὴ δύνασθαι λέγοντες τοῦ ἄγαν ὑποχαλᾶν· πᾶν γὰρ τὸ παρατιθέμενον εἰ- B δέναι τὸ σωμάτιον συνιστᾶν καὶ εὐεξίας εἶναι ποιητικόν.

Τί δὲ ἡ φίλη δίκη; ἄρα πολύπους καὶ πολύχειρ οὖσα

3. τὸ φρονεῖν] φρενήρης ἐγένετο B. παρακέκοπτο A. 5. τὸ μέλαν] τὰ ῥάσα φορέσας τὴν καλογερικὴν λαμπρῶς μετήρχετο B. 10. ὡς καὶ τετράδα καταλύων B. 13. ἢ μνήμης — τελουμένης om A. 14. τῶν Χρ.] τότε δὲ λάχανα καὶ ὀπώρας καὶ βρεκτὰ ὄσπρια τρώγων B.

sententia deducere potuit. itaque ex perpetuo moerore solitudinis et luctu, castae turturis instar, mentis errore usque ad obitum affecta et tabe confecta est, duobus filiis superstitibus. at Alexius nigrum habitum amplexus divino amore levabatur, summi boni appetitione acquiescens et instar aquilae in nubibus volantis inferiora despiciens. cum autem, dum opibus affluebat, summus amator esset lautitiarum et conviviis delectaretur, atque omnes voluptates consectaretur, et carnibus nec ieiuniorum diebus, ut feria quarta et septima, nec aliis solennibus feriis abstineret, tum crudis herbis et pomis vescebatur, ieiuniis gaudebat, ac tandem piscibus etiam festis diebus pro deliciis suavissime vescebatur. quoties autem veterum cupediarum et curiosae illius popinae recordabatur, condimenta illa nihil aliud esse dicebat nisi ventris fastidium et appetitus irritamenta: naturam enim paucis esse contentam, et bonam corporis habitudinem quovis cibi genere aeque conservari.

Utrum vero vindicta, cum tot manus et pedes habeat, cum acu-

ὀξυδερκής τε καὶ πανδερκής, καὶ μικροῦ ποδῆρες τὸ οὖς ἔχουσα, λήθεται ἢ οὐκ ἐννοεῖ ἢ τέλεον παρίησιν ἀνεκδίκητα ὅσα ἐπί τισιν ἀναιδῶς οἱ τῶν ἐπαινετέων κατήγοροι συρράπτουσιν ἔκδικα; οὐμενοῦν, ἀλλὰ παρυπέφηνε καὶ τότε ὡς τὰ ἐν μυχῷ γῆς διορᾷ καὶ τὰ ὑπὸ γλῶτταν ἐνωτίζεται τονθορυζόμενα. εἰ μὲν οὖν καὶ βασιλεῖ ἐνεμέσησε τῆς μὴ ἐνδίκου ταυτησὶ πράξεως, οὐ τοῦ παρόντος καταλέγειν καιροῦ· ἔδει δὲ σοφὸν ὄντα τὸν Μανουὴλ μηδ' ἀμαθῆ τε καὶ ἀναλφάβη- C τον οὐχ ὡς διαδεξόμενον ἐκεῖνον καὶ τῆς ἀρχῆς παραλύσοντα τὸ Α περιεργάζεσθαι, ἀλλ' ἐκείνῳ τὰ τοῦ ἄρχειν ἀνάπτειν πείσματα ὅς εἶναί φησι τὸ Α καὶ τὸ Ω, τουτέστιν ἡ ἀρχὴ καὶ τὸ τέλος, ὡς Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ θεολόγος ἐν τῇ ἀποκαλύψει διδάσκει με· οὐ γὰρ λείπει τῷ θεῷ Α. (7) Τοὺς συκοφάντας μέντοι μετῆλθε, καὶ ἄλλῳ μὲν ἄλλην δίκην ἐπέθηκε, τῷ δ' Ἀαρὼν ἐπέβρισε χαλεπώτερον, ταῖς οἰκείας ἀρπεδόσι περισχοινίσασα. μετ' οὐ πολὺν γάρ τινα χρόνον ἁλίσκεται μαγείαις προσανέχων, καὶ προὔκειτο χελώνης ἔκφορον μίμημα, ἔνδον στέγον τῆς χέλυος ἀνθρωπόμορφον εἴκασμα, D πεπεδημένον ἄμφω τὼ πόδε καὶ τὸ στέρνον ἐληλαμένον ἥλῳ διαμπερές. ἑάλω δὲ καὶ βίβλον Σολομώντειον ἀνελίττων, ἥτις ἀναπτυσσομένη τε καὶ διερχομένη κατὰ λεγεῶνας συλλέ-

6. οὖν om A. 7. καταλέγειν] λέγειν A. 11. om A τουτέστιν ἡ ἀρχὴ καὶ τὸ τέλος, et mox ὁ εὐαγγελιστὴς καὶ θεολόγος, et οὐ γὰρ λείπει τῷ θεῷ Α. 17. προὔκειτο] ἐπαρρησιάσθη ἡ τούτου μαγεία καὔκαλον χελώνης ἔχουσα ἐντὸς μετὰ κηροῦ ἀνθρωπόμορφον πλάσμα, μέσον τοῦ στήθους μετὰ καρφίου κεκαρφωμένον B.

te omnia perspiciat et patentibus praedita sit auribus, obliviscitur, an non considerat aut penitus inultas praeterit impudentes calumnias et accusationes bonorum virorum? non utique: sed tum quoque declaravit ea se perspicere quae in telluris recessibus aguntur, et obscura linguae murmura exaudire. an vero imperatori etiam ob iniquum istud facinus succensuerit, non huius temporis est dicere. oportebat certe quidem illum, ut virum prudentem et non indoctum, non propterea quod Alexii nomen a litera A inciperet, eum ut insidiatorem et successorem suspectum habere, sed imperii habenas ei mandare, qui se in Apocalypsi Iohannis Euangelistae et Theologi A et Ω, hoc est principium et finem, esse dicit, cui utique aliud A non defuturum erat. (7) Calumniatores quidem alias alii poenas dederunt, Aaron vero gravissimas omnium, suis ipse laqueis irretitus. non multo enim post eum magiae studiosum esse compertum est, et simulacrum testudinis prolatum, in quo erat imago hominis, qui ambos pedes habebat in compedibus et pectus clavo transfixum. est et librum Solomonium evolvere deprehensus, qui cum legebatur, legiones daemo-

γει καὶ παρίστησι τὰ δαιμόνια, συχνάκις ἀναπυνθανόμενα ἐφ' ὅτῳ προσκέκληνται, καὶ τὸ ἐπιταττόμενον ἐπισπεύδοντα περατοῦν, καὶ προθύμως δρῶντα τὸ κελευόμενον. οὐκ ἐπὶ τούτοις δὲ μόνον Ἀαρὼν συνείληπτο, ἀλλὰ καὶ ὅτι βασιλέως ἐνώπιον ὑποβάλλων ὡς ἐκ τῶν δυσμόθεν ἐθνῶν ἀφικόμενοι πρέσβεις ἐκόμιζον ἀγγελίας, καὶ μὴ δυσαχθοῦντας δρῶν πρὸς τὰ τοῦ βασιλέως θελήματα, ἐπιπλήττει τούτοις ἐν μιᾷ τῶν αἰτήσεων ὡς πρὸς τὰς καταθέσεις ἑτοιμορρόποις τε καὶ εὐκόλοις, καὶ ὑποτίθησιν ἀντιτεῖναι πρὸς τὸ τῶν ζητημάτων τηνικαῦτα προκείμενον καὶ μὴ ῥᾳδίως οὕτω καὶ ἐκ πρώτης καθυπενδοῦναι, ὡς ἐντεῦθεν κερδανοῦντας καὶ φιλίαν μείζω ἐκ βασιλέως κἀκ τῶν ὁμογλώττων πλείω τιμήν. καὶ τότε μὲν P. 96 ἡ διάλεξις διελέλυτο, ἀφώρατα τῷ βασιλεῖ θεμένη τὰ τοιαδὶ V. 77 τοῦ Ἀαρὼν εἰσηγήματα καὶ τῷ τῆς διαλέκτου διαφόρῳ τὰ ἔκθεσμα σκέμματα συσκιάσασα· κατὰ μόνας δὲ τὰ προβληθέντα τῶν ζητημάτων ἡ βασιλὶς ἀναπεμπάζει φρενί, Λατινὶς οὖσα τὸ γένος καὶ τῶν λεγομένων ἀκριβῶς συνιεῖσα, καὶ ἀνακαλύπτει πάντα τῷ ἄνακτι. ὁ δ' ἐπὶ τοῖς ἠκουσμένοις ἀγανακτήσας κακῶς τὸν Ἀαρὼν τίθησι, τῶν τε ὀφθαλμῶν τὸ φῶς ἀμαυρώσας καὶ τῆς οὐσίας πάσης ἀποστερήσας. κακοεργὸς δ' ὢν ὁ Ἀαρών, καὶ λιχνείαν φύσεως περὶ τὰ χείριστα δυστυχῶν, ἐς ὕστερον ἐνῆγεν Ἀνδρόνικον τυραννήσαντα B μὴ μέχρι τοῦ ἐκκόπτειν τοὺς ὀφθαλμοὺς τὴν τῶν ἀντιφρόνων ἐκείνῳ τιμωρίαν περιιστᾶν ἀλλ' ἢ θάνατον ἁπάντων καταψηφίζεσθαι ἢ βαρυτέραις ἐκμοχλεύειν κολάσεσιν, ἑαυ-

2. ἐπισπεύδοντα] ἐπισπέρχοντα A. 4. συνείληπτο] ᾐτιᾶτο A. 6. καὶ μὴ δυσ.] εὐενδότους A. 8. ἑτοιμορρεπέσι A. 13. διαλέλυτο A. 18. ἠκουτισμένοις A.

num adducebat, subinde interrogantium cur accersiti essent, ac iussa alacriter exequentium. nec una haec causa fuit cur comprehenderetur Aaron, sed illa etiam accessit. cum Occidentalium gentium legationes exponeret et imperatoris voluntati eas non refragari videret, in una postulatione legatos obiurgat ut nimium ad iussa exequenda paratos, monetque ut adversentur neque tam facile assentiantur: id enim eis lucro fore, maioremque gratiam apud imperatorem inituros et a suis popularibus plus honoris consecuturos. ac tum id colloquium diremptum est imperatore ob Latini sermonis imperitiam quid dictum esset ignorante. caeterum imperatrix natione Latina et sermonis illius peritissima, propositis quaestionibus seorsim consideratis, imperatori exponit omnia; qui ira commotus Aaroni et visum et omnes facultates eripit. sed is, ut homo maleficus et natura propensus ad scelera, post auctor fuit, Andronico iam rerum per vim potito, ut excaecatione haud contentus adversarios aut plane occi-

τὸν τιθεὶς εἰς παράδειγμα κἀντεῦθεν πιστούμενος τὰ λεγόμενα, ζῶντά τε καὶ κινούμενον καὶ πνέοντα καὶ φθεγγόμενον καὶ συμφράδμονα εἶναι δυνάμενον, καὶ μὴ μόνον διὰ χειρῶν ἀντιλαβῆς ἀλλὰ καὶ διὰ γλώττης αὐτῆς ὡσεὶ καὶ μαχαίρας ὀξείας ἀποδειροτομεῖν ἰσχύοντα τὸν ἀντίδοξον, καὶ ἕτερ' ἄττα φλύαρα καὶ ἀπάνθρωπα ὑφηγούμενος, δι' ὧν τὸ ἀκροχολώτατον ἐκεῖνο καὶ ὑποδύσκολον τὸν τρόπον γερόντιον χαιρη-
C σιφονεῖν ἐπὶ μᾶλλον ἐπώτρυνεν. ὧν δὴ πονηρῶν διαβουλίων καὶ παραιφάσεων πικρὰν ἀποτιννὺς ἀμοιβὴν τῷ γεννήτορι Ἀαρὼν ὁ τὸν Ἀνδρόνικον ὕστερον τῆς ἀρχῆς καθελὼν Ἰσαάκιος ὁ Ἄγγελος ἐκτέμνει τὴν αὐτοῦ γλῶτταν, συναφελεῖν τε καὶ ἀφανιεῖν τὸν ἐπὶ ταύτης σπεύδων ἰόν.

Ὁ δὲ βασιλεὺς Μανουὴλ ἐπέβλεψέ ποτε θυμῷ πλαγίῳ καὶ κινήσει ἐνδίκῳ κατὰ τοῦ Σκληροῦ Σὴθ καὶ τοῦ Σικιδίτου Μιχαήλ, ὅθεν καὶ προστάξει τούτου ταῖς οἰκείαις ὄψεσιν ἄμφω τὸν σίδηρον ἐδέξαντο σίζοντα, λόγῳ μὲν ἀστρονομίας ἐχόμενοι, ἔργῳ δὲ μαγγανείαις προσκείμενοι καὶ δαιμονιώδεσιν ἑτέροις φενακισμοῖς. ὁ μὲν γὰρ Σκληρὸς ἐπιγάμου παρθένου
D ἤρα καὶ ἐπείρα λαμπρῶς, παρορώμενος δὲ ὑπὸ τῆς κόρης καὶ ἀδοξούμενος στέλλει ταύτῃ διὰ προαγωγοῦ τινὸς γυναίου μῆλον Περσικόν. ἡ δὲ παρθένος καταθεμένη τοῦτο τῷ κόλπῳ ἐκμαίνεται μάλα δὴ πρὸς ἔρωτα καὶ ἀφροδισίου ὑποπίμπλαται οἴστρου, καὶ τέλος διακορεῖται παρ' αὐτοῦ. οἱ δὲ τῆς παιδὸς προσγενεῖς βαρέως ἐνεγκόντες τὴν ταύτης ταπείνωσιν καταβοῶνται γενναίως μάλα τοῦ ταῖς νεάνισιν ἐφοπλίζοντος

5. τὸ A. 15. ἄμφω] ἀμφότεροι A. 17. προσκείμενοι δαιμονιώδεσιν ὁ μὲν A. 20. στέλλει] μῆλον εὔμορφον δοὺς τινι γυναικὶ γραΐδι μαυλιστρίᾳ πέμπει τοῦτο μετ' αὐτῆς B.

deret aut gravioribus suppliciis coerceret, exemplo suopte ad eam orationem confirmandam usus, qui et viveret et moveretur et spiraret et loqueretur et consilium dare posset: neque enim manuum vi duntaxat, sed lingua etiam aeque atque acuto gladio iugulari inimicos. adiecit et alia inhumana nugamenta, quibus iracundum illum et morosum senecionem ad caedes propensiorem fecit. cuius improbi consilii hunc fructum tulit, ut ab Isaacio Angelo, qui Andronicum imperio evertit, venenata ei lingua praecideretur.

Manuel vero imperator Sclerum Sethum et Michaelem Sicyditam iusta ira permotus caecari iussit, qui sub astronomiae professione magiae et daemonum imposturis operam dabant. nam Sclerus cum nubilem quandam virginem, a qua contemnebatur, adamaret ac manifeste solicitaret, per lenam ei malum Persicum mittit; quo puella in sinum recepto, amore et libidine insaniens, ab illo corrumpitur.

δαίμονας καὶ δίκην ὄφεως ἀρχεκάκου δι' ὀπώρας τὰς παρθένους συλαγωγοῦντος καὶ τῆς σώφρονος βιοτῆς ὡς ἐξ Ἐδὲμ ἀπελαύνοντος. καὶ πικρόγαμος ἐντεῦθεν γενόμενος, ἣν κακῶς ἔβλεψεν, οὐδ' ὅλως ἔτι ἑώρακεν. ὁ δὲ Σικιδίτης διά τινων ἀρρητουργιῶν καὶ δεδορκότα τῶν θεωμένων ἐσκότου τὰ βλέφαρα καὶ ἀπεπλάνα τοῦ τὰ θεατὰ ὡς ὄντα ὁρᾶν, καὶ τῶν ὁρώντων τὰς ὄψεις παρέφερε, κατὰ φάλαγγας ἐπισυνιστῶν τοὺς δαίμονας, οὓς ἂν ἐκπλῆξαι βούλοιτο. ἔτυχε γοῦν ποτὲ ἀπὸ μετεώρου τῶν βασιλείων βλέπων εἰς θάλασσαν, κατήγετο δὲ ἁλιὰς τρυβλία καὶ λοπάδας ἔχουσα τὰ ἀγώγιμα.
φησὶ τοίνυν πρὸς τοὺς συνεστῶτας ὡς τίνα ἂν αὐτῷ κατά- P. 97
θωνται τὸν μισθόν, εἰ τὸν νηΐτην τῶν ὀρθῶν φρενῶν διεκπλεύσαντα μὴ ἂν ὀκνῆσαι παρασκευάσειεν ἀναστῆναί τε τῶν σελμάτων, τὴν δικωπίαν προέμενον, καὶ συντρῖψαι εἰς λεπτὰ τὰ κεράμια. τῶν δὲ εὐγνωμονεῖν εἰπόντων πρὸς ἅπαν τὸ παρ' αὐτοῦ αἰτηθέν, ὁ πρωρεὺς μετὰ βραχὺ τῆς ἕδρας ἀνίσταται, καὶ τὴν κώπην ἀνὰ χεῖρας λαβὼν κατέφερέ τε τῶν σκευαρίων συχνά, καὶ οὐκ ἀνῆκεν οὕτω διαπραττόμενος ἕως αὐτὰ εἰς κόνιν ἐλέπτυνεν. ἐκ δὲ τούτου οἱ μὲν ἄνωθεν θεώμενοι τῷ
γέλωτι διερρήγνυντο, τὸ γεγονὸς τιθέμενοι διὰ θαύματος· ὁ V. 73
δὲ πλωτὴρ ἀμφοτέραις μετ' οὐ πολὺ τῶν γενείων δραξάμενος
γοερὸν ἐπωδύρετο, καὶ ὡς θεοβλαβείᾳ τὰς φρένας παρακοπέν- B
τα πολλῷ ἔτι μᾶλλον ἀνανήψας τοῦ ζόφου ἑαυτὸν ὠλοφύρετο.

7. τὰς ὄψεις] ἐποίει βλέπειν αὐτοὺς ἄλλα ἀντὶ ἄλλων P. 9. ἀπὸ μ.] ἀπὸ τοῦ τρικλίνου τοῦ μεγάλου παλατίου B. 10. ἁλιὰς] σανδάλιν γέμον τζουκαλολάγινα B.

puellae vero cognati facinus id indigne ferentes, et strenue contra daemonem pudicitiae puellarum infestum et pomo instar malefici illius serpentis insidiantem, quas castitate tanquam Edemio horto eiiceret, vociferantes, effecerunt ut eius aspectu penitus privaretur, quam impudice aspexerat. Sicidites vero praestigiis quibusdam rerum earum conspectum eripiebat, quas oculi intuebantur, et totas daemonum cohortes immittebat iis quos volebat exterritos. cum autem aliquando ex editiore palatii loco naviculam vidisset qua ollae et patinae vehebantur, astantes interrogavit quid daturi essent, si efficeret ut nauta alienata mente, navigatione omissa, remo ad comminuenda fictilia uteretur. qui cum ei pollicerentur quicquid postulasset, nauta paulo post exurgit, et vasa non prius ferire destitit quam in pulverem redegisset. quo conspecto illi risu emoti, factum illud admirantes: nauta vero paulo post barba prehensa lamentari, amotaque caligine ita se ut ira numinis agitatum deplorare. rogatus cur merces suas ita tractasset, cum dolore narrabat se remis intentum horribilem serpentem supra vasa porrectum, oculis inconniventibus in

τὸν τιθεὶς εἰς παράδειγμα κἀντεῦθεν πιστούμενος τὰ λεγόμενα, ζῶντά τε καὶ κινούμενον καὶ πνέοντα καὶ φθεγγόμενον καὶ συμφράδμονα εἶναι δυνάμενον, καὶ μὴ μόνον διὰ χειρῶν ἀντιλαβῆς ἀλλὰ καὶ διὰ γλώττης αὐτῆς ὡσεὶ καὶ μαχαίρας ὀξείας ἀποδειροτομεῖν ἰσχύοντα τὸν ἀντίδοξον, καὶ ἕτερ' ἄττα φλύαρα καὶ ἀπάνθρωπα ὑφηγούμενος, δι' ὧν τὸ ἀκροχολώτατον ἐκεῖνο καὶ ὑποδύσκολον τὸν τρόπον γερόντιον χαιρη- C σιφονεῖν ἐπὶ μᾶλλον ἐπώτρυνεν. ὧν δὴ πονηρῶν διαβουλίων καὶ παραιφάσεων πικρὰν ἀποτιννὺς ἀμοιβὴν τῷ γεννήτορι Ἀαρὼν ὁ τὸν Ἀνδρόνικον ὕστερον τῆς ἀρχῆς καθελὼν Ἰσαάκιος ὁ Ἄγγελος ἐκτέμνει τὴν αὐτοῦ γλῶτταν, συναφελεῖν τε καὶ ἀφανιεῖν τὸν ἐπὶ ταύτης σπεύδων ἰόν.

Ὁ δὲ βασιλεὺς Μανουὴλ ἐπέβλεψέ ποτε θυμῷ πλαγίῳ καὶ κινήσει ἐνδίκῳ κατὰ τοῦ Σκληροῦ Σὴθ καὶ τοῦ Σικιδίτου Μιχαήλ, ὅθεν καὶ προστάξει τούτου ταῖς οἰκείαις ὄψεσιν ἄμφω τὸν σίδηρον ἐδέξαντο σίζοντα, λόγῳ μὲν ἀστρονομίας ἐχόμενοι, ἔργῳ δὲ μαγγανείαις προσκείμενοι καὶ δαιμονιώδεσιν ἑτέροις φενακισμοῖς. ὁ μὲν γὰρ Σκληρὸς ἐπιγάμου παρθένου D ἤρα καὶ ἐπείρα λαμπρῶς, παρορώμενος δὲ ὑπὸ τῆς κόρης καὶ ἀδοξούμενος στέλλει ταύτῃ διὰ προαγωγοῦ τινὸς γυναίου μῆλον Περσικόν. ἡ δὲ παρθένος καταθεμένη τοῦτο τῷ κόλπῳ ἐκμαίνεται μάλα δὴ πρὸς ἔρωτα καὶ ἀφροδισίου ὑποπίμπλαται οἴστρου, καὶ τέλος διακορεῖται παρ' αὐτοῦ. οἱ δὲ τῆς παιδὸς προσγενεῖς βαρέως ἐνεγκόντες τὴν ταύτης ταπείνωσιν καταβοῶνται γενναίως μάλα τοῦ ταῖς νεάνισιν ἐφοπλίζοντος

5. τὸ A. 15. ἄμφω] ἀμφότεροι A. 17. προσκείμενοι δαιμονιώδεσιν ὁ μὲν A. 20. στέλλει] μῆλον εὔμορφον δοὺς τινι γυναικὶ γραΐδι μαυλιστρίᾳ πέμπει τοῦτο μετ' αὐτῆς B.

deret aut gravioribus suppliciis coerceret, exemplo suopte ad eam orationem confirmandam usus, qui et viveret et moveretur et spiraret et loqueretur et consilium dare posset: neque enim manuum vi duntaxat, sed lingua etiam aeque atque acuto gladio iugulari inimicos. adiecit et alia inhumana nugamenta, quibus iracundum illum et morosum senecionem ad caedes propensiorem fecit. cuius improbi consilii hunc fructum tulit, ut ab Isaacio Angelo, qui Andronicum imperio evertit, venenata ei lingua praecideretur.

Manuel vero imperator Sclerum Sethum et Michaelem Sicyditem iusta ira permotus caecari iussit, qui sub astronomiae professione magiae et daemonum imposturis operam dabant. nam Sclerus cum nubilem quandam virginem, a qua contemnebatur, adamaret ac manifeste solicitaret, per lenam ei malum Persicum mittit; quo puella in sinum recepto, amore et libidine insaniens, ab illo corrumpitur.

δαίμονας καὶ δίκην ὄφεως ἀρχεκάκου δι' ὀπώρας τὰς παρθένους συλαγωγοῦντος καὶ τῆς σώφρονος βιοτῆς ὡς ἐξ Ἐδὲμ ἀπελαύνοντος. καὶ πικρόγαμος ἐντεῦθεν γενόμενος, ἣν κακῶς ἔβλεψεν, οὐδ' ὅλως ἔτι ἑώρακεν. ὁ δὲ Σικιδίτης διά τινων ἀρρητουργιῶν καὶ δεδορκότα τῶν θεωμένων ἐσκότου τὰ βλέφαρα καὶ ἀπεπλάνα τοῦ τὰ θεατὰ ὡς ὄντα ὁρᾶν, καὶ τῶν ὁρώντων τὰς ὄψεις παρέφερε, κατὰ φάλαγγας ἐπισυνιστῶν τοὺς δαίμονας, οὓς ἂν ἐκπλῆξαι βούλοιτο. ἔτυχε γοῦν ποτὲ ἀπὸ μετεώρου τῶν βασιλείων βλέπων εἰς θάλασσαν, κατήγετο δὲ ἁλιὰς τρυβλία καὶ λοπάδας ἔχουσα τὰ ἀγώγιμα. φησὶ τοίνυν πρὸς τοὺς συνεστῶτας ὡς τίνα ἂν αὐτῷ κατάθωνται P. 97 τὸν μισθόν, εἰ τὸν νηΐτην τῶν ὀρθῶν φρενῶν διεκπλεύσαντα μὴ ἂν ὀκνῆσαι παρασκευάσειεν ἀναστῆναί τε τῶν σελμάτων, τὴν δικωπίαν προέμενον, καὶ συντρῖψαι εἰς λεπτὰ τὰ κεράμια. τῶν δὲ εὐγνωμονεῖν εἰπόντων πρὸς ἅπαν τὸ παρ' αὐτοῦ αἰτηθέν, ὁ πρωρεὺς μετὰ βραχὺ τῆς ἕδρας ἀνίσταται, καὶ τὴν κώπην ἀνὰ χεῖρας λαβὼν κατέφερέ τε τῶν σκευαρίων συχνά, καὶ οὐκ ἀνῆκεν οὕτω διαπραττόμενος ἕως αὐτὰ εἰς κόνιν ἐλέπτυνεν. ἐκ δὲ τούτου οἱ μὲν ἄνωθεν θεώμενοι τῷ γέλωτι διερρήγνυντο, τὸ γεγονὸς τιθέμενοι διὰ θαύματος· ὁ V. 73 δὲ πλωτὴρ ἀμφοτέραις μετ' οὐ πολὺ τῶν γενείων δραξάμενος γοερὸν ἐπωδύρετο, καὶ ὡς θεοβλαβείᾳ τὰς φρένας παρακοπέντα B πολλῷ ἔτι μᾶλλον ἀνανήψας τοῦ ζόφου ἑαυτὸν ὠλοφύρετο.

7. τὰς ὄψεις] ἐποίει βλέπειν αὐτοὺς ἄλλα ἀντὶ ἄλλων P. 9. ἀπὸ μ.] ἀπὸ τοῦ τρικλίνου τοῦ μεγάλου παλατίου B. 10. ἁλιὰς] σανδάλιν γέμον τζουκαλολάγινα B.

puellae vero cognati facinus id indigne ferentes, et strenue contra daemonem pudicitiae puellarum infestum et pomo instar malefici illius serpentis insidiantem, quas castitate tanquam Edemio horto eiiceret, vociferantes, effecerunt ut eius aspectu penitus privaretur, quam impudice aspexerat. Sicidites vero praestigiis quibusdam rerum earum conspectum eripiebat, quas oculi intuebantur, et totas daemonum cohortes immittebat iis quos volebat exterritos. cum autem aliquando ex editiore palatii loco naviculam vidisset qua ollae et patinae vehebantur, astantes interrogavit quid daturi essent, si efficeret ut nauta alienata mente, navigatione omissa, remo ad comminuenda fictilia uteretur. qui cum ei pollicerentur quicquid postulasset, nauta paulo post exurgit, et vasa non prius ferire destitit quam in pulverem redegisset. quo conspecto illi risu emoti, factum illud admirantes: nauta vero paulo post barba prehensa lamentari, amotaque caligine ita se ut ira numinis agitatum deplorare. rogatus cur merces suas ita tractasset, cum dolore narrabat se remis intentum horribilem serpentem supra vasa porrectum, oculis inconniventibus in

ἐρωτώμενος δὲ ὅ τι πεπονθὼς τὸν φόρτον οὑτωσὶ διέθετο, διεξήει περιπαθῶς ὡς ταῖς κώπαις προσανέχων αἴφνης ὄφιν ὁρᾷ δαφοινόν, πυρσώδη τὸν λόφον, ἄνω τῶν τρυβλίων ἐκτεταμένον, ἐς αὐτὸν ἀτενὲς ὁρῶντα κατὰ τοὺς τῶν δρακόντων ἀκλινεῖς τὸ ὄμμα, καὶ καταπιεῖν ὀριγνώμενον, ὃς καὶ οὐκ ἔληξε τῶν ἑλίξεων πρὶν ἢ κατηλοήθη τὰ κεράμια· τὸ δ' ἐκ τούτου ἠφάντωται, ὥσπερ ἐκ μέσων οἱ τῶν ὀφθαλμῶν ἀποπτάς. καὶ τοῦτο μὲν τοιοῦτον, ἕτερον δὲ κἀκεῖνο. ἐν βαλανείῳ λουόμενος ἦν, ἐς διαφορὰν δὲ καταστὰς μετὰ τῶν τοῖς C αὐτοῖς νίτροις ἁγνιζομένων εἰς τὰ ἀπόδυτρα ἔξεισι. μετὰ μικρὸν δὲ καὶ οἱ ἐν τῷ λουτρῷ φεύγοντες καὶ συμπατοῦντες ἀλλήλους ἐξῄεσαν ἐκεῖθεν περιδεεῖς, οἳ καὶ τοῖς συγειλεγμένοις πυκνὰ τὸ πνεῦμα συλλέγοντες ἔφασκον ὡς ἐκ τῆς θερμορρόης ἐκπηδήσαντές τινες ἄνδρες πίσσης μελάντεροι ἐξῶσαν αὐτοὺς τοῦ λουτροῦ, παίοντες κατὰ τῶν γλουτῶν τῷ πλατεῖ τοῦ ποδός. διὰ ταῦτα τοίνυν ἀμφότεροι καὶ πράξεις δὲ ἀσελγεστέρας ἑτέρας τῶν ὄψεων ἐστερήθησαν· οἱ δ' αὐτοὶ ἐπιβιώσαντες, ὁ μὲν Σὴθ καὶ πάλιν τοῖς προτέροις ἐνησχόλητο, ἅτερος δὲ εἰς μοναχὸν ἀποθριξάμενος, χρόνῳ ὕστε- D ρον σύγγραμμά τι περὶ τῶν θείων μυστηρίων ξυνθέμενος, ἀφῆκε δι' αὐτοῦ κυνῶν ἐρυγὰς ὁ τῶν θείων δωρεῶν ἀνάξιος.

Ἔργον κἀκεῖνο τοῦ βασιλέως τούτου περιφανές. αἱ Ἀσιαναὶ πόλεις, τὰ Χλιαρὰ τὸ Πέργαμόν τε καὶ Ἀτραμύτιον, κακῶς ἔπασχον ὑπὸ τῶν Περσῶν· αἱ γὰρ περιοικίδες χῶραι

5. ὀριγνώμενον] ὁρμώμενον A. 6. κατηλόητο A. 12. ἐξῄεσαν] ἐξῆλθον A. 14. ἐξῶσαν] μετὰ κλωτζάτων ἔξω ἐδίωξαν B. 16. ἀμφότεροι] ἑκάτεροι A. 21. δώρων A.

se conversum instar devoraturi vidisse, qui prius volutari non destiterit quam fictilia confracta essent; inde subito ex oculis evanuisse. fecit et aliud non dissimile. in balneo lavans rixari cum quibusdam coepit et in conclave egressus est. paulo post et caeteri anhelantes et trepidi, prae metu ac festinatione invicem conculcantes, narrant ex canali calidae aquae viros pice nigriores exiliisse, a quibus nates ipsorum plantis pedum ferientibus balneo exacti essent. ob haec igitur aliaque graviora facinora uterque oculis orbatus est. ac Sethus quidem iisdem rebus etiam deinceps studuit: alter vero monachus factus scriptum spurcissimum, ut homo divina gratia indignus, de divinis mysteriis composuit. illud etiam factum huius imperatoris clarum est.

Cum Asianae urbes Chliara Pergamum et Adramyttium a Persis male tractarentur (nam finitimae provinciae per pagos habita-

ἀσυνοίκιστοί τε ἦσαν πρώην, κἀκ τοῦ κωμηδὸν οἰκεῖσθαι εἰς προνομὴν τοῖς πολεμίοις ἐξέκειντο. καὶ αὐτὰς τοίνυν ἐκρατύνατο τείχεσι, καὶ τὰ πλησίον δὲ ἱππήλατα πεδία φρουρίοις διέλαβεν ἐρυμνοῖς. οὕτω δὲ πλήθουσιν οἰκητόρων ταῦτα δὴ τὰ πολίχνια καὶ τοῖς κατὰ τὸν ἥμερον βίοτον ἐνευθηνοῦνται χρηστοῖς ὡς ὑπεράνω κεῖσθαι πόλεων πολλῶν εὐδαιμόνων· ἀγροί τε γὰρ εἰς εὐφορίαν καρπῶν ἡμερωθέντες ἐπέδωκαν, καὶ φυτηκόμος χεὶρ ἐρριζούχισεν ἐκεῖσε ξύλον ἅπαν καρποδοτοῦν, ὡς μεταθέσθαι (φάναι τὸ τοῦ Δαβὶδ) τὴν ἔρημον εἰς λίμνας ὑδάτων καὶ εἰς οἰκήσιμον τὴν πρώην ἀοίκητον. εἴ τι οὖν κατόρθωμα μέγιστον, εἴ τι λυσιτελέστατον Αὔσοσιν ὁ Μανουὴλ διανενόηκέ τε καὶ διεπράξατο καθ' ὅσους ἦρξε Ῥωμαίων ἐνιαυτούς, τοῦτο εἴη ἂν τὸ κράτιστον ὁμοῦ καὶ κοινωφελέστατον. τίς γὰρ παράγων ἐκεῖ, καὶ εἰδὼς οἵαν μὲν ὁ χῶρος ἔτρεφεν ἀγριότητα οἵους δ' ἔστεγεν ἄνδρας, ἀναιδεῖς μὲν ὑπὲρ τὸν κορυνήτην Περιφήτην, ἀγριωτέρους δὲ τοῦ πιτυοκάμπου Σίνιδος καὶ τοῦ Σκίρωνος, οὓς ἀνεῖλε πάλαι Θησεύς, οὐκ ἂν τὰς χεῖρας ἀνατείνας τῷ βασιλεῖ ἐπεύξαιτο P. 98 *τῷδε κλῆρον ἐν Ἐδὲμ ἀΐδιον καὶ τόπον χλοερὸν καὶ ἀνώλεθρον; οὐκοῦν καὶ ἴδιον ἐπώνυμον ταυτὶ τὰ φρούρια κληρωσάμενα (Νεόκαστρα γὰρ ὀνομάζονται) οἰκεῖόν τε ἁρμοστὴν ἐκ Βυζαντίου στελλόμενον ἔχουσι, καὶ εἰς τὸ βασίλειον ταμεῖον ἐτήσια ξυμφέρουσι κέρματα.*

κα. εἰς τὸ βασιλικὸν βεστιάριον χρονικὰ τέλη ἐπιτελοῦσι B.

bantur et praedae hostibus erant), munitionibus eas firmavit et patentes campos castellis adornavit. unde factum ut ea oppida frequentia civium et vitae cultu rerumque copia multis beatis urbibus antecellant. si quid igitur Manuel per omne imperii sui tempus Romanis utile suscepit et perfecit, hoc vel in primis celebrandum est. quis enim illac praeteriens, non ignarus quam inculta loca illa fuerint, quam feros et latrociniis deditos cultores habuerint, non sublatis in caelum manibus imperatori Manueli paradisi delicias precetur? in ea porro loca quae Nova castra vocantur, Byzantio praetor mitti et vectigalia colligere solet.

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ.

V. 79 1. Αὖθις δὲ τῶν Παιόνων τοὺς ὅρκους συγχεάντων ὁ
B κατ' αὐτῶν ἐκφύεται πόλεμος, καὶ πρὸς καιρὸν ἀπορρεῖς καὶ δόξας τέλος καταλελύσθαι, ὁ δὲ κατὰ πολὺχουν ἀνέθηλε λῄιον μάκαρος ἀνδρὸς ἀκμαιοτέρους ἀμητῆρας ἐθέλον. ὡς οὖν ὑπέφαινεν ὥρα ὡραία τῇ ἐξόδῳ, ᾔει τὴν ἐπὶ Σαρδικῆς βασιλεύς, ὅπου καὶ ταῖς δυνάμεσιν, ἃς ἄγειν ἤμελλεν ἐπὶ Παίονας, τεταγμένον ἦν αὐτῷ συμβαλεῖν. ἐν ᾧ δὲ τὰ στρατεύματα ξυνελέγετο, ἐνωτίζεταί οἱ ὡς ἄνωθεν τῆς ἀψῖδος, ἥτις ἔκτισται κατὰ τὸ πρὸς δυσμὰς μέρος τῆς Κωνσταντινείου ἀγορᾶς, εἰκόνες ἐκ χαλκοῦ δύο ἵδρυνται πάλαι
P 99 γυναικόμορφοι, ἡ μὲν καλουμένη Ῥωμαία θατέρα δὲ Οὔγγρισσα, νῦν δὲ ὑπὸ τοῦ τὰ πάντα μετασκευάζοντος χρόνου ἡ μὲν ἀπὸ Ῥωμαίων τὴν κλῆσιν εἰληχυῖα τῆς ὀρθίας κατήρειπται στάσεως, ἡ δὲ λοιπὴ ἐπὶ τῆς προτέρας ἥδρασται βάσεως. θαυμάσας οὖν ἐκεῖνος τὸ εἰρημένον, πέμψας εὐθὺς τὴν μὲν ἀνέστησε τὴν δ' ἀνέτρειψε καὶ κατήνεγκε, ταῖς τῶν εἰκόνων μετασκευαῖς μεταβαλεῖν καὶ μεθαρμόσειν οἰόμενος καὶ τὰ πράγματα, καὶ τὰ μὲν τῶν Ῥωμαίων οἷον μετεωρίσειν τὰ δὲ τῶν

2. ΜΑΝΟΥΗΛ] κυροῦ μανουὴλ A τοῦ κομνηνοῦ om B. addit uterque ἐν ᾧ καὶ ὁ κατὰ τῶν οὔγγρων πόλεμος καὶ ἡ νίκη τῶν ῥωμαίων. 12. ἵδρυντο A. 15. εἰληφυῖα A. 16. ἥδρασται] ἵδρυται A. 17 εὐθὺς] ἐκεῖθεν A. 19. τὰ πράγματα] ἐν χερσὶν ἔργα A.

NICETAE CHONIATAE LIBER V

RERUM A MANUELE COMNENO GESTARUM.

1. Cum autem Pannonii foedera denuo rupissent, bellum contra eos suscipitur, et aliquandiu intermissum maiore vi repetitur. imperator, ubi primum per anni tempus licuit, Sardicam iter intendit, quo legiones convenire iusserat. dum autem copiae contrahuntur, audit duarum muliebrium aenearum statuarum, quae in Occidentali fornice fori Constantini sitae sint, alteram, quae Hungarissa dicatur, erectam stare, alteram, nomine Romanam, vetustate collapsam esse. quo intellecto statim illam deiecit, hanc reposuit, ea statuarum mutatione se fortunam etiam gentis utriusque mutaturum ratus, et rem Romanorum erecturum, Hungaricam depressurum.

Παιόνων καθαιρήσειν. συνηγμένων δὲ τῶν στρατοπέδων σκέψιν προὔθηκεν εἰ δεῖ καὶ αὐτὸν συνεκστρατεύειν κατὰ Παιόνων, εἴτε μὴν στρατηγῷ τὰς δυνάμεις ἐπιτρέψαντα μετελθεῖν οὑτωσὶ τὸ ἀντίπαλον. ὡς οὖν πᾶσι δέδοκτο βασιλέα μὲν ἐπὶ V. 86 Σαρδικῆς καθῆσθαι, τῶν δ' ἡγεμόνων τοὺς γενικοὺς ἀναρρη- B θῆναι στρατηγοὺς τοῦ πολέμου, ὅπως αἱ τῶν πραγμάτων ἄδηλοι ἐκβάσεις εἶεν οὕτω καὶ τὸ ἐκ τῆς ἥττης αἶσχος μετριάζουσαι καὶ τὸ κατορθωθὲν μεγαλύνουσαι μᾶλλον καὶ εἰς κλέος ἐξαίρουσαι μέγιστον, ὡς κἀκείνου τε καὶ τούτου ξυμβεβηκότος κατ' ἀπουσίαν τοῦ αὐτοκράτορος, ἀναδείκνυται τῆς ὅλης ἀρχηγὸς στρατιᾶς ὁ τοῦ στόλου δοὺξ Ἀνδρόνικος ὁ Κοντοστέφανος. ἐν δὲ τῷ μέλλειν ἀπαίρειν τῆς Σαρδικῆς τὰ στρατεύματα, ἐν ἐπηκόῳ στὰς ὁ βασιλεὺς γίνεται καλῶν καὶ γενναίων λόγων καὶ πολὺ τὸ πιθανὸν ἐχόντων ἀγορητής. αὐτόν τε γὰρ Κοντοστέφανον παρεθάρρυνεν εἰς τὴν προκειμένην στρατήγησιν, οὐ μόνον μεθόδους ὑποτιθεὶς τακτικάς, ἀλλὰ καὶ καιρὸν αὐτῷ τῆς προσβολῆς ἐπισημαινόμενος εἴδός C τε ὁπλίσεων καὶ σχήματα παρατάξεων, τούς τε ὑποστρατήγους καὶ τοὺς ἰλάρχας καὶ καθεξῆς ἅπαντας τοὺς ἐν ὅπλοις διανίστη πρὸς μαχισμόν, ἐνάγων εἰς μνήμην τῶν προηγωνισμένων, καὶ πείθων τοῖς ὑποδείγμασι σπεῦσαι καὶ τὰ προκείμενα θαρρῆσαι δεινὰ καὶ ἀγαθὸν καὶ τούτοις σὺν θεῷ ἐπιθεῖναι τέλος καὶ μετὰ λαμπρῶν τροπαίων ἐπανελθεῖν· οὕτω γὰρ ὑπ' αὐτῶν δοξασθεὶς ἐκεῖνος, κἂν τῷ ἀπεῖναι τοὺς βαρ-

8. μᾶλλον] μάλιστα A. 13. στρατόπεδα A. ὁ om A.
16. στρατ.] δουλείαν B. 17. συμβολῆς A.

legionibus in unum conductis, deliberandum proponit utrum ipse quoque bello Hungarico interesse an summam rerum duci alicui committere debeat. Ubi omnibus placuit ut ipse Sardicae maneret et generales belli duces crearet, ut absente imperatore incerti bellorum eventus acceptaeque cladis dedecus mitiora essent et victoria plus laudis haberet, summa belli Andronico Contostephano classis praefecto mandatur. exercitu Sardica moturo imperator praeclara concione Contostephanum exhortatur, nec rationes tantum sed tempus etiam gerendi belli edocet, armorumque et aciei instruendae rationem monstrat. legatos item eius, tribunos caeterosque milites ad pugnam acuit commemoratis prioribus eorum facinoribus, et exemplis ad festinandum et imminentia pericula subeunda, quibus deo adiutore fortiter superatis illustrem victoriam reportaturi sint, incitat. quodsi gloriam ipsius illustrarint atque absenti victoriam pepererint, se liberaliter illos remuneraturum. at illi et dum haec dicebantur, attentione silentioque alacritatem suam ostendebant, et finita oratio-

βάρους νικήσας, ἀντικαταθήσει καὶ αὐτὸς τούτοις οὐκ εὐαγ-
κύλους τὰς ἀμοιβάς. οἱ δὲ καὶ ὅτε μὲν ᾔδετο ταῦτα πρὸς
τοῦ κρατοῦντος, τὸ ἡδέως ἀκούειν καὶ παραδέχεσθαι προ-
D θύμως ὑπέφαινον ἐξ ὧν τὰς ἀκοὰς ὑπέκλινον καὶ σιγὴν ἐπὶ
τοῖς λεγομένοις ἠσπάζοντο· ἐπεὶ δ' ἐπαύσατο τοῦ λέγειν, ἔτι
μᾶλλον τὴν ἔνδον διάθεσιν ὑπεσήμαινον καὶ ὃν εἶχον γάργαλον
ἐν ψυχῇ, τῷ μέλιτι τοῦ λόγου κατακηλούμενοι, ὑφ' οὗ καὶ ἐῴκε-
σαν ἀτεχνῶς ἀποκλύσασθαι εἴ τί που τούτοις εἰσερρύηκεν ἀηδὲς
ἀπὸ τῆς μνήμης τῶν προτέρων πολέμων· βασιλέα τε γὰρ εὐφή-
μοις ἐκρότουν φωναῖς, καὶ τὸ πρόθυμον καὶ ὑπὲρ ἰσχὺν ἐνδείξα-
σθαι ἰσχυρίζοντο. ἀμέλει μηδὲ μέλλειν ἐβόων τὸν στρατηγέτην,
ἀλλὰ τὴν ἐπὶ τοὺς πολεμίους ἄγειν αὐτούς. οὕτως ἐξηρμένων
τῶν στρατευμάτων αἴφνης αἴρεται θροῦς ἐν τῷ στρατοπέδῳ
συμμιγής· ἐκ γάρ τοῦ τῶν Παιόνων τις ἔθνους τὸν ἵππον κατὰ
κράτος ἐλαύνων, καὶ προσβαίνων εἰς ὕσον καὶ ὅσον, ἐπὶ
στόμα συγκατήνεκται τῷ ὀχήματι. βασιλεὺς τοίνυν ὡς τοῦτο
εἶχε πυθόμενος, αὐτός τε διεκέχυτο καὶ θαρρεῖν παρεκελεύετο
πᾶσιν, οὐκ ἄχαρι τὸ μέλλον ἐντεῦθεν οἰωνιζόμενος, καὶ χαί-
P. 100 ρειν ἐνάγων ὡς ἐπὶ δεξιᾷ ἤδη τῇ τοῦ πολέμου τελευτῇ. καὶ
ὁ μὲν ἐν τούτοις ἦν, θεὸν σωτῆρα προηγὸν ἐπικαλούμενος
τοῖς στρατεύμασιν· ὁ δ' Ἀνδρόνικος τὸν στρατηλάτην ὑπο-
ζωσάμενος ἀπῆρεν ἐκεῖθεν μετὰ πασῶν τῶν δυνάμεων, καὶ
εἶχεν αὐτὸν ἡμερῶν τινῶν διαλειπουσῶν ὁ Σάουβις καὶ Δά-
νουβις διαπεραιούμενον, καὶ τὸ Ζεύγμινον εἰσεδέχετο. οὐδ'
οἱ Παίονες ἐπὶ τούτοις ἀναπεπτώκεσαν, ἀλλὰ τὰς οἰκείας ἴλας

8. εἴ τι πρότερον ἴσως ἄνανδρον ἐνεδειξάμεθα B. εἰσὲρ-ρηκεν A. 19. ἀνάγων PW. ἐνῆγεν ὡς ἐνδεξίω ᾔδη τοῦ πολέμου τῇ τελευτῇ A. 23. σάβουος A. 25. ἴλας εἰς συμμ. A.

ne magis etiam affectum suum et incitatos animos declarabant, ut verborum lenociniis deliniti, si quid molestiae ex superioribus pugnis in memoria residebat, id totum abolitum videretur. nam et imperatorem laetis acclamationibus celebrabant, et se ultra vires etiam dimicaturos pollicebantur, petebantque ut a duce sine mora contra hostem ducerentur. ita incitatis exercitibus statim confusus clamor in castris tollitur, quod quidam ex gente Pannonica, dum concitato equo ac toto impetu fertur, pronus in faciem prolapsus erat. quo imperator audito et ipse exhilaratus est et omnes bono animo esse iussit, bonum id omen interpretatus belli feliciter eventuri, et deum servatorem ut ductor esset exercitus invocavit. Andronicus vero cum omnibus copiis digressus, post aliquot dies Savo et Danubio superatis Zeugminum ingreditur. Pannonii vero ea re nihil territi, sed suis cohortibus instructis et non parvis auxiliis a finitimis populis

ἀγειράμενοι καὶ συμμαχικὸν ξενολογήσαντες οὐκ ὀλίγον ἐκ τῶν ὁμορούντων σφίσιν ἐθνῶν καὶ ἐξ αὐτῶν δὲ Ἀλαμανῶν, ὡς ἐλέγετο, καὶ Διονύσιον τούτοις ἐπιστήσαντες στρατηγὸν αὐτοκράτορα, γενναῖον ἄνδρα καὶ πολλάκις τὰς ἐναντίας συγ- B
κόψαντα φάλαγγας, καὶ φρονηματισθέντες οὕτω μετὰ κόμπου ἐπῄεσαν. οὗτος δὲ ὁ Διονύσιος ὅτε πρώτως ἠκηκόει τὸν Ἴστρον διαβῆναι Ῥωμαϊκὴν στρατιάν, γεγαυρωμένος ὢν ἐπὶ ταῖς πρότερον νίκαις ἃς ἤρατο κατὰ Ῥωμαίων, μεγαλορρημονῶν ἔλεγεν ὡς εἰς κολωνὸν αὖθις ἐσεῖται ἀγηοχὼς τὰ τῶν εἰς πόλεμον πεσόντων Ῥωμαίων ὀστᾶ, καὶ οἷα τροπαίῳ τούτοις ὡς καὶ ἄλλοτέ ποτε χρήσαιτο, ἐπεὶ καὶ ἦν τι τοιοῦτον βαρβαρικῶς δεδρακώς, ὁπηνίκα τὸν Γαβρᾶν καὶ τὸν Βρανᾶν, ὡς ἤδη μοι ἐρρέθη, κατηγωνίσατο.

2. Ἐνστάσης δὲ τῆς ἑορτίου μνήμης Προκοπίου τοῦ μάρ- C
τυρος, ἐκτάσσει τὰς δυνάμεις εἰς πόλεμον ὁ Κοντοστέφανος, καὶ V 81
αὐτός τε ἐνέδυ τὸν θώρακα καὶ τὴν ἄλλην πανοπλίαν ἠμφίεστο, καὶ τοῖς λοιποῖς ὡσαύτως ἐπέταττε δρᾶν, καὶ τὴν ἑαυτοῦ ἕκαστος τάξιν ἐπεπορεύετο καὶ καθίστα πρὸς τὸ εὔτακτον. καὶ τὸ μὲν τῆς φάλαγγος μέτωπον ἀπένειμεν ὁ στρατηγὸς ἑαυτῷ, τὸ δὲ κέρας τὸ δεξιὸν Ἀνδρόνικος ἐπεῖχεν ὁ Λαπαρδᾶς, τὸ δὲ λαιὸν ἄλλοι ταξίαρχοι, οὓς ὁ στρατηγὸς συνεπήγετο. ἐξετετάχει δὲ καὶ ἄλλας φάλαγγας, μικρὸν ἄποθεν αὐτὰς διαστήσας ἑκατέρου κέρατος, ὅπως ἐπιπαριοῦσαι κατὰ καιρὸν εἴη- D
σαν ἐπαρήγουσαι τοῖς κάμνουσι τάγμασιν. οὕτω δ' ἐκτάσσοντι τὰς δυνάμεις καὶ καθιστῶντι τῷ Ἀνδρονίκῳ ἐφίσταταί τις

6. ἐξῄεσαν A. 8. προτέραις A. 11. καὶ post ὡς om A. 20 λαμπαρδᾶς A. 21. ὁ στρατ.] ἐς τὸν πόλεμον A. 22. ἄποθεν] ὄπισθεν A.

atque ipsis Alemannis, ut ferebatur, conductis, summaque rerum Dionysio viro strenuo et victoriis inclito mandata, pleni animorum et iactabundi incedebant. is Dionysius, ut primum audiit Romanum exercitum Istrum transisse, victoriis prioribus inflatus insolenter gloriatus est se, ut pridem, ita nunc etiam occisorum Romanorum ossibus in tumultum aggestis pro tropaeo usurum. id enim barbarica feritate victo Gabra et Brana, ut iam memini, fecerat.

2. Contostephanus vero in festo Procopii martyris armatas phalanges in aciem educit, frontem exercitus ipse occupat, cornu dextrum Andronico Lapardae, sinistrum aliis tribunis mandat. disposuit et alias phalanges paulum ab utroque cornu semotas, ut per tempus laborantibus legionibus subvenirent. interea literae imperatoris illi afferuntur, quibus pugnam in alium commodiorem diem in literis declaratum differre iubebatur. at ille libello in sinu condito iussa

ἐκ βασιλέως κομίζων γράμματα, ἐκείνην τὴν ἡμέραν καθυπερθέσθαι τὴν συμπλοκὴν ἐπιτάσσοντα ὡς ἀσύμφορον ἐς ἔργα πολέμια, καὶ καθ' ἑτέραν ἀναθέσθαι, ἣν καὶ αὐτὴν τὸ ἐπιστόλιον ἀνεδίδασκε. δεξάμενος οὖν ὁ στρατηγὸς τὸ βιβλίον εἰς τὸν οἰκεῖον καθῆκε κόλπον, μήτε τοῖς γραφομένοις προσσχὼν μήτε τοῖς συνοῦσι μεγιστᾶσι δῆλα τὰ προσταττόμενα θέμενος, ἐπαινετῶς δὲ παραχρουσάμενος ἑτέρων ὑποθέσεων διηγήσεσιν. ἀπετρέπετο δὲ ὡς ἀποφρὰς ἡ τότε ἡμέρα καὶ ὅλως ἀξύμφορος πρὸς τὴν κατ' Ἄρεα συμβολήν, ἐπεὶ καὶ ἦν τὰς πλείστας καὶ μεγίστας τῶν πράξεων, καὶ παρὰ θεοῦ τὸ πέρας κατ' εὐδοκίαν εἴτε μὴ δεχομένας, ταῖς τῶν ἄστρων οὐκ οἶδ' ὅπως περιπλοκαῖς καὶ ταῖς τοιαῖσδε θέσεσι καὶ κινήσεσιν ἐπανατιθείς, καὶ τοῖς παρὰ τῶν ἀστρολεσχούντων λεγομένοις καθυπαγόμενος ἴσα ταῖς ἐκ θρανίδος θεοῦ ἀποφάσεσιν. ὁ δὲ μὴ τοῖς γραφομένοις ὅλως προσσχών, ἀλλ' εἰδὼς ὡς μέγα ὤνησε πολλάκις τὸν ἀθλοῦντα καὶ βραχεῖά τις ὑποφώνησις τοῦ ἀλείφοντος, πρὸς τὸν ἐν χερσὶν ἀγῶνα διανίστησι λόγοις τὸ στράτευμα, „μνήσασθε" ὑποφθεγγόμενος, „ἄνδρες Ῥωμαῖοι, πολεμίου ἀλκῆς, μνήσασθε, καὶ μηδέν τι φρονήσητε τῆς δόξης καὶ τῆς τύχης τῆς ἐνούσης ἀνάξιον, εὖ εἰδότες ὡς καὶ θῆρες
P. 101 ὀρεινόμοι τοῖς κατ' αὐτῶν εὐθαρσῶς ἐπιοῦσι δεδίασί τε προεγχειρῆσαι καὶ διασοβηθέντες ἀπίασιν, ὅσοι δὲ αὐτοῖς ἀντιμέτωποι στῆναι πεφρίκασιν, εἰς ἑτοίμην θοίνην ὠμοβορούμενοι πρόκεινται. ἀνδριστέον οὖν κατὰ τουτωνὶ τῶν θηριογνωμόνων βαρβάρων, μὴ πως ὑπ' αὐτοῖς γενώμεθα, φιλοψυχίαν ἀγεννῶς νοσήσαντες μὴ σώζουσαν ἀλλ' ἀπολλύουσαν, τοῦτο

5. μήτε τοῖς γρ.] μὴ ἀναγνοὺς αὐτὸ B. 21. προσεγχειρῆσαι A.

negligit, et apud proceres aliarum rerum mentione interiecta callide dissimulat. is autem dies, ut ater et infaustus ad pugnam, improbabatur: nescio enim quomodo plurima et maxima quaeque negotia, quae arbitratu dei secundos vel adversos exitus sortiuntur, ad astrorum circuitus et certos positus ac progressiones Manuel referebat, et nugas astrologorum pro oraculis excipiebat. caeterum Contostephanus iis literis plane contemptis, non ignarus saepe modicam cohortationem ad certamen pugili multum profuisse, legiones ad hunc modum alloquitur. „fortes viros vos praebete, Quirites, neque fortuna et gloria vestra quicquam indignum admittite. scitis enim etiam ferae, si quis fortiter invadat, terreri ac in fugam coniici, timidos vero et fugaces ab eis devorari. quare cum immanibus istis barbaris strenue dimicandum est, ne mortis formidine, quae non salutem sed exitium affert, iugum eorum turpiter subeamus et ignaviae nostrae graves

δὴ ὅπερ αἱ ταῖς ἀρεταῖς ἀντίθετοι κακίαι εἰώθασι δρᾶν, εἰ καὶ παραπεπήγασιν αὐταῖς ἐκεῖναι καὶ εἰσί πως ἀγχίθυροι. καὶ ἄλλως δὲ οὐχ ἡμεῖς μὲν ἐσμὲν καὶ βλητοὶ καὶ θνητοί, ἐκ δὲ χαλκοῦ τεχνητοὶ οἱ πολέμιοι· οὐδ' οὗτοι μὲν χιτῶνας περίκεινται σιδηρέους καὶ ὠκύποσιν ἵπποις ἀνέχονται, ἡμεῖς δὲ τοὐναντίον ἅπαν καὶ σώματα γυμνὰ προβαλλόμενοι· οὐδ' εὐπάλαμνον μὲν τὸ ἀντίπαλον, ἀπόμαχον δὲ τὸ ἡμέτερον. τοῖς πᾶσιν ἡ αὐτὴ διάρτισις καὶ μέλησις πολέμων καὶ ὁπλί- B σις. ἐῶ γὰρ λέγειν ὡς ὅσῳ λόγῳ καὶ παιδείᾳ τῶν βαρβάρων διενηνόχαμεν, ὡς καὶ εἰπεῖν, ἔμπειροι καὶ ξυνιδεῖν οὐκ ἄποροι, τοσοῦτον καὶ τέχναις στρατηγικαῖς καὶ στρατιωτικαῖς μεθόδοις ὑπερφέρομεν. ἤδη δὲ καὶ ἄλλοτέ ποτε συμβαλόντες διημιλλήθημεν Παίοσι, τὴν γῆν αὐτῶν ἐπιόντες καὶ κείροντες. οὕτω τοίνυν καὶ νῦν αὐτοῖς συμπλεκοίμεθα, ὡς εἰς ἕξιν τοῦ νικᾶν προελθόντες. ναὶ ἄνδρες, ναὶ συστρατιῶται. οὕτω τέκνα καὶ συλλέκτρους ἴδητε. ἀράτω τὰς φωνὰς τῶν βαρβάρων ὁ βαθυδίνης οὑτοσὶ Ἴστρος ἐπιτριβομένων καὶ ταῖς δίναις ἐναποψυχόντων· ἀλλὰ καὶ αἱματώδης προρρέων δι' ὧν χωρῶν ὁλκῷ σύρεται, διατρανούτω Παίονας ἡττημένους καὶ Ῥωμαίους ἀνακηρυττέτω νικῶντας, ἐξιστῶν τοὺς θεωμέ- C νους τῷ ἀήθει τῆς προχοῆς. χρεὼν δὲ πρὸς τούτοις σκοπεῖν ὡς ὁ ἐκπέμψας ἡμᾶς ἐς τόνδε τὸν πόλεμον ἅπας ἡμῶν ἐξήρτηται, καὶ χρησταῖς ἐλπίσιν ὑποθαλπόμενος ἐφ' οἷς αὐτῷ καὶ ὑπὲρ ἰσχὺν ἀνδρίσασθαι συνεθέμεθα, μικροῦ τοὺς ζωγρίας ἀναπολεῖ καὶ τὸ τῆς νίκης φαντάζεται μέγεθος. μὴ τοίνυν V. 82

7. εὐπάλαμον A. 10. καὶ post ὡς om A. 15. συστρατιῶται] φίλοι καὶ ἀδελφοί B. 18. προρρέων] προχέων δι' ὧν χώρων A.

poenas demus. neque vero aut nos soli vulneribus et morti expositi sumus, aut hostes aerei sunt et invulnerabiles: sed ut illi ferro muniti sunt et velocibus equis insident, ita eaedem res nobis quoque suppetunt, neque fortitudine illis cedimus. omnibus eadem est instructio, eadem belli exercitatio, eadem armorum ratio. nam illud omitto, nos, quantum eloquentia et doctrina barbaros superamus, tanto etiam disciplina militari et solertia superiores esse. sumus etiam antehac cum Pannoniis congressi, eorumque agros vastavimus. aggrediamur eos nunc quoque victoriae habitu confirmato. agite, viri, agite, commilitones, ita liberos et coniuges vestras videatis: barbarorum pereuntium voces Istri gurgites hauriant, cruentumque flumen Pannoniorum cladem et Romanorum victoriam insolito spectaculo terris iis nuntiet quas perfluit. praeterea illud etiam est considerandum, eum a quo huc missi sumus totum pendere a nobis, et bona spe ex nostris pollici-

κἀκεῖνον αἰσχύνωμεν καὶ ἡμᾶς αὐτοὺς κακῶς διαθώμεθα πρὸς τὸν ἐν ὄψει μαλακισθέντες κίνδυνον, οὐδὲν ὅτι μὴ θάνατον τὸ πέρας ἔχοντα. αἱ γὰρ ἀκμαὶ τῶν κακῶν οὐ φιλοῦσιν ἀνάδυσιν, καὶ τὸ βραχέως ἐν τούτοις καθυπενδοῦναι καταπροδοῦναι τὸ πᾶν ἐστί."

3. Τοιαῦτ' εἰπὼν ἐπὶ πεδίου ἀναπεπταμένου προῆγεν. D ἀντεξάγει δέ οἱ καὶ Διονύσιος τὰ οἰκεῖα στρατόπεδα, χαροπὸς τῷ προσώπῳ, κροτῶν ἅμα καὶ χαίρων ὡς ἐπὶ παιδιὰν ἐξιών. ὁπόθεν καὶ τὸ τί δεῖ ποιεῖν ἐπὶ καιροῦ μὴ εἰδώς, οὔτε εἰς κέρας δεξιὸν καὶ εὐώνυμον τὴν ὑπ' αὐτὸν ἐμέρισε στρατιὰν οὔτε εἰς ἴλας ἀποδιεῖλε καὶ φάλαγγας, ἀλλ' ἐς ὁμαιχμίαν συνεσπειρακὼς μίαν τοσοῦτον στράτευμα καὶ πυκνώσας οἷον αὐτὸ καὶ πυργώσας κατὰ νέφος μέλαν ἐπῆγεν, οὐδὲν ἐλλείπων ὑπεροψίας ὠμῆς. ἦν δὲ καὶ ἡ σημαία ἐκείνου μετέωρος, ἐπί τινος ἠνεμωμένη παχέος καὶ ὑψιτενοῦς ἱστοῦ, τέτρασιν ὑποτρόχοις ἑλκομένου βοῶν ζεύγμασιν. αὐτὴ δὲ ἡ ἀντίμαχος ὁμαιχμία φρικαλέον ὄντως καὶ δυσαντίβλεπτον ὅραμα ἦν, πᾶσα οὖσα ἱππότης καὶ λογχηφόρος. οὐ μόνον δὲ οἱ ἄνδρες μετεῖχον τοῦ ἀκριβοῦς ὁπλισμοῦ καὶ ποδηνεκοῦς, P. 102 ἀλλ' ἦν ὁρᾶν καὶ τῶν ἵππων αὐτῶν διαδήματα, μασχαλιστῆρας προφαινόντων καὶ περικειμένων προμετωπίδια καὶ προστερνίδια τῶν βλημάτων ἐρύματα. ὁ δὲ τῶν ἵππων φριμαγμός, ἥ τε πρὸς ἥλιον ἀνταυγάζουσα τῶν ὅπλων στιλβηδών, ὡς ἐγγὺς ἦν τὰ στρατεύματα, καινοτέραν ἐποίει τὴν θέαν καὶ

14. ἦν δὲ καὶ τὸ τούτου φλάμουλον ὑψηλὸν ὡσεὶ κατάρτιον ἐπάνω ἁμάξης ἱστάμενον, ὑπὸ τεσσάρων τροχῶν καὶ βοῶν φερόμενον. B. 18. ἱππότις? 20. καὶ τῶν ἵππων] καὶ τὰ ἄλογα αὐτῶν ἁρματωμένα μετὰ κεφαλαραίων σιδηρῶν καὶ σαγισμάτων λωρικαίνων B. 23. ἡ δὲ APW. 24. καινοτέραν] φοβερωτέραν B.

tationibus concepta iam fere captivos agitare animo et victoriae magnitudinem sibi imaginari. ne igitur praesenti periculo, quod nihil habet morte gravius, debilitati, vel illi pudori vel nobis ipsis calamitati simus. summa enim mala tergiversationem non patiuntur; in quibus vel exigua negligentia summae rerum est eversio."

3. Haec locutus suas copias in patentem campum educit. idem contra et Dionysius facit, hilari vultu, cum plausu et laetitia, quasi ad ludum iret. unde quid agendum esset in praesentia ignarus, suas copias neque in dextrum sinistrumve cornu distribuit, neque in distinctas turmas et phalanges descripsit: sed tantum exercitum in unum quasi turrim globatum ac densatum atrae nubis instar adduxit, cum summo et acerbissimo nostrorum contemptu. vexillum eius in crassa et alta trabe, quam rotis impositam quatuor iuga boum tra-

διὰ φόβου καὶ θαύματος τοῖς ἐκ τῶν στρατοπέδων ἀμφοῖν. ἐπεὶ δὲ προῆλθον ὡς εἰς μεταίχμιον καὶ περὶ μεσημβρίαν ἦν ἡ ἡμέρα καὶ καιρὸς ἐδόκει συρρήγνυσθαι, ὁ μὲν Κοντοστέφανος τοῖς ἐκ δεξιοῦ καὶ λαιοῦ κέρως ἄγχιστα παρακολουθοῦσι τὰ τελευταῖα τῶν βαρβάρων κόπτειν ἐφῆκε, μάλιστα δὲ τοῖς ἱπποτοξόταις θαμὰ βάλλειν παρεκελεύετο. σκοπὸς δὲ ἦν ἐντεῦθεν τῷ στρατηγῷ κατασείσειν εἴτε μὴν ἐκκρούσειν τῆς συνεχείας B τὰς Παιονικὰς φάλαγγας· κατὰ γὰρ τὴν Ὁμηρικὴν καὶ τότε παράταξιν „ἀσπὶς ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ," καὶ ἴσας εἶχον οἱ ἵπποι τὰς κεφαλάς, ἔφριξε δ' ἡ μάχη ἐγχείῃσι φθισίμβροτος, καὶ κατὰ κινούμενον δράκοντα καὶ φρίσσοντα τὰς φολίδας ἐκύμαινον οἱ στρατοί. ὁ δὲ Διονύσιος ὡς τεῖχος ἀτίνακτον προύβαινεν, ἐς αὐτόν τε τὸν Κοντοστέφανον καὶ τὸ ἀμφ' αὐτὸν τεταγμένον τιταίνων τὸ ἔγχος. ὡς οὖν ἐδέξαντο τοῦτον Ῥωμαῖοι, διαδορατισμοὶ παρ' ἀλλήλων ἦσαν καὶ ὠθισμοὶ καὶ ἀντωθισμοὶ μέχρι τινός· ἐπεὶ δὲ τὰ δόρατα κατεάγει καὶ ἦν τὸ μεταίχμιον ἀποσχεδιασθὲν εἰς φραγμὸν τοῖς τῶν κοντῶν στοιβασμοῖς, τὰς ἐπιμήκεις ἐσέπειτα C μαχαίρας ἐσπάσαντο καὶ αὖθις συμπεσόντες ἐμάχοντο. ὡς δ' ἤδη καὶ αὗται τὰ στόματα ἠμβλύνθησαν διὰ τὸ τῶν στρατευμάτων πάγχαλκον καὶ πανσίδηρον, οἱ μὲν Παίονες ἠμηχάνουν τὸ ἀπὸ τοῦδε, μηδαμῶς κατὰ νοῦν θέμενοι ὡς ἐπιόντας αὐτοὺς Ῥωμαῖοι δέξονται, Ῥωμαῖοι δὲ μετὰ χεῖρας τὰς ἐκ σιδήρου κο-

9. ἀσπὶς] σκουτάριον μετὰ σκουταρίου, κοντάριον μετὰ κονταρίου καὶ ἄνδρα μετ' ἀνδρὸς B. 17. τὰ δόρατα] τὰ κοντάρια ἐτζακίσθησαν καὶ ἦν τὸ μέσον γεγεμισμένον τῶν τζακισμάτων B. 18. ἔπειτα A. 23. τὰς ἐκ σιδ.] τὰ τούτων ἀπελατίκια B.

hebant, sublime a ventis agitabatur. erat ea acies omnino horrenda visu, tota equestris et hastata. nec viri tantum armis egregie ad pedes usque muniti, sed et equorum pectora, et frontes ferro contra ictus armabantur. ad haec equorum hinnitus armorumque fulgor solis radiis everberatus, ut propius ventum est, utrique exercitui maiorem admirationem et terrorem afferebat. sub meridiem in medium processere. Contostephanus, ubi tempus visum est, dextri et sinistri ceras milites proximos extremum barbarorum agmen iussit caedere, sagittarios vero equites in primis crebras sagittas ut coniicerent hortatus est, eo consilio ut Pannoniorum continua phalanx dissolveretur. nam ut poeta noster ait, „arma armis, pede pes haeret, densusque viro vir." iuncta equi capita habebant; atrox pugna hastis horrebat; instar draconis squamas attollentis undabant exercitus. Dionysius vero velut turris firmissima procedens hastam in Contostephanum et eius exercitum vibrabat. ubi ad manus ventum est, primo hastis rem gerunt, urgent, urgen-

ῥύνας χειρισάμενοι (ἔθος δὲ αὐτοῖς καὶ τοιόνδε φέρειν ὁπλισμόν, ἡνίκα ἂν εἰς πόλεμον ἴοιεν) ἔπαιον τοὺς Παίονας δι' αὐτῶν· καὶ ἦν καίριον μάλα τὸ πλῆγμα, κατὰ κεφαλῆς καὶ προσώπων γινόμενον. πολλοὶ τοίνυν σκοτοδινιῶντες τῆς ἱππείας ἀνετρέποντο D ἕδρας· εἰσὶ δ' οἳ καὶ ἐλειφαίμουν τοῖς τραύμασι. καὶ οὕτω τοῦ ἀρραγοῦς ἐκείνου διασπασθέντος συντάγματος, οὐκ ἦν ὃς οὐκ ἦν τῶν Ῥωμαίων βάλλων καὶ καταβάλλων Παίονα, ἢ μὴ σκυλεύων τὸν πεπτωκότα, ἢ μὴ πανοπλίαν ἑτέραν ἐπενδυόμενος, ἢ ἵππου μὴ ἐπιβαίνων οὗ τὸν ἀναβάτην κατέκταιεν. ἐπειδὴ δὲ περὶ ὀψίαν ἦν ἡ ἡμέρα, τὸ μὲν ἀνακλητικὸν ἡ σάλπιγξ διατόρως συνεθημάτιζε, καὶ τὸ διαέριον ἐκεῖνο καθῃρεῖτο τῆς τοῦ Διονυσίου σημαίας δίαρμα, ὁ δ' Ἴστρος εἶχε τὰ πορθμεῖα καθειλκυσμένα, καὶ ὁ στρατὸς εἰς τὴν περαίαν ἀνήγετο. φήμη γὰρ ἀνὰ τὰ Ῥωμαϊκὰ στρατόπεδα V. 83 ἐπεφοίτα καὶ καταχρότους ἐτίθει τὰς τοῦ στρατηγοῦ μήνιγγας, ὡς οἱ Παίονες οὐκ ἀγεννῆ ξενολογίαν κατὰ τὴν μετ' ἐκείνην εἰσὶν ἐκδεχόμενοι. διὰ ταύτην οὖν τὴν ἀκοήν, μὴ πεφυκυῖαν ἐπίπαν ἀπόλλυσθαι, αὐτίκα μετὰ τέλος αἴσιον τοῦ πολέμου ἀπῆρεν ἐκεῖθεν Ἀνδρόνικος.

Ἀλλ' οὕτω μὲν κατεστρατήγηντο Παίονες, βασιλεὺς δὲ τὴν καλλίστην ταυτηνὶ νίκην ἐνωτισάμενος θύει θεῷ χαριστήρια, καὶ αὐτὸς ἦν ἐν κρότοις καὶ χαρμοναῖς. κοινούμενος δὲ

7. ante βάλλων cum A delevi μή. 9. κατέκταιεν. ἐπεὶ A. 10. τὸ μὲν ἀ.] τὸ ἀναπαυτικὸν B. 18. μετὰ τ. α.] μετὰ τὴν παράδοξον νίκην B.

tur aliquandiu. hastis fractis et tanquam sepes in medio exaggeratis, praelongos enses strinxerunt ac denuo congressi pugnaverunt. quibus hebetatis (nam tota acies utrinque ferrea erat et aerea) Pannonii aestuabant, quippe qui Romanos suum impetum minime toleraturos putarant. Romani ferreis clavis, quas in bellum ferre solent, arreptis Pannoniorum capita et facies opportune caedebant. unde multi oborta caligine equis devolvebantur, multi sanguinis profluvio exanimabantur. ita firmissima illa acie perrupta, Romanorum nemo erat qui non Pannonium feriret ac deiiceret, prostratumque spoliaret, nec aliam panopliam indueret, equumque conscenderet cuius sessorem occiderat. vesperi receptui canebatur, sublimi illo Dionysii vexillo sublato, et exercitus navibus impositi Istrum traiiciebant. fama enim per Romana castra vagata, Pannonios postridie auxilia firma expectare, ducem sollicitum reddebat. ob eam igitur famam, quae non prorsus inanis esse putabatur, post felicem pugnae eventum inde discessit Andronicus.

Pannoniis hoc modo superatis, imperator tanta victoria laetus et exultans, deo gratiis actis, statim rei bene gestae nuntios in urbem

τοῖς τῆς βασιλίδος οἰκήτορσι πόλεως ταῦτα δὴ τὰ εὐφρόσυνα
κατορθώματα, γράμματα εὐθὺς εὐάγγελα στέλλει, τὴν τρο- P. 103
παιουχίαν περισαλπίζοντα. μεθ' ἡμέρας δέ τινας καὶ αὐτὸς
τὴν μεγαλόπολιν εἰσιὼν κατάγει θρίαμβον ἀπὸ τῆς ἑῴας πύ-
λης, ἥτις ἀνέῳγε κατὰ τὴν ἀκρόπολιν. οἷα δ' ἐπὶ μεγίστῳ
τροπαίῳ καὶ ἀκραιφνεῖ κατορθώματι θριαμβεύειν μεγαλοπρε-
πῶς προθέμενος, καὶ τὰ τῆς πομπείας διασκευασθῆναι πρὸς
τὸ ὑπέρογκον διατέταχεν. ἅπας οὖν περιπόρφυρος πέπλος
καὶ χρυσίῳ κατάστικτος ἀπῃώρητο, καὶ οἱ ἀστυνόμοι ἄλλος
ἄλλοθεν ἐπὶ τὴν πρόοδον ἐκείνην μεταρρυέντες ὡς ῥεῦμα κα-
τὰ πρανοῦς ὀχετηγούμενον ἐξεκένωσαν ἀγορὰς οἴκους νεὼς
ἐργαστήρια καὶ ἄλλο μέρος ἅπαν τῆς πολυχανδοῦς πόλεως.
οὐδὲ τῆς τῶν αἰχμαλώτων συμμορίας ὁ θρίαμβος ἀπεστέρη- B
το, ἀλλὰ καὶ τούτων πολλοὶ διῆγον τοὺς παρόντας καὶ ἐσέ-
μνυνον τὴν πομπὴν παριόντες. αὐτὰ μέντοι τὰ καθ' ἑκάτερα
μέρη τῆς ἀγυιᾶς, καθ' ἣν ἔμελλε τελεῖσθαι ὁ θρίαμβος, πα-
ρυφιστάμενα δρύφακτα εἰς διώροφά τε καὶ τριώροφα παρυ-
ψούμενα πᾶσιν ἐνεποίουν θαυμασμόν, καὶ τὰ τέγη δ' οὐχ
ἥκιστα μάλιστα πολλοὺς τοὺς θεωμένους καὶ πάντας ἀνέχον-
τα ἐκκρεμεῖς. ἐπεὶ δὲ καὶ τοῦ τὸν αὐτοκράτορα παρελθεῖν
ἐπῆγε καιρός, προηγεῖτο μὲν ἀργύρεον ἐπίχρυσον τέτρωρον,
ἵπποις λευκοῖς ὡς αἱ χιόνων ἀποσπάδες ἑλκόμενον, ἵδρυτο
δ' ἐπ' αὐτοῦ ἡ εἰκὼν τῆς ἀπροσμάχου συμμάχου καὶ ἀκατα-
γωνίστου συστρατήγου τῷ βασιλεῖ θεομήτορος. οὐ μέγα δ' ἔβρα- C
χεν ἄξων, ὅτι μηδὲ θεὰν ἦγε δεινὴν τὴν ψευδοπάρθενον Ἀθη-

2. κατορθ] ἔργα A. εὐθὺς om. A. 6. θριαμβεύσειν A. 8. περιπόρφυρος] χρυσέοις βλατίοις καὶ ἐξαμίτοις B. 15. ἕτερα μέρη τῆς διόδου A. 17. εἰς διώροφα] μέχρι καὶ τῶν κεραμίων αὐτῶν B. 21. ἐπῆγε] ἐνειστήκει A. 23. αὐτῷ A.

mittit, ac post dies aliquot et ipse Cpolim ingressus triumphum ducit ab Orientali porta, quae ad arcem patet, eumque ob insignem et incruentam victoriam quam splendidissime et magnificentissime adornat. expansae sunt omnes purpureae et auratae vestes; et cives alii aliunde ad pompam illam confluentes instar torrentis ex monte decurrentis, fora aedes templa officinas et loca omnia urbis amplissimae deseruerunt. sunt et captivi in triumpho ducti. platea illa utrinque suggesta habuit ad binas et ternas contignationes educta; tecta quoque omnia spectatoribus referta fuerunt. imperatorem quadrigae argenteae auratae cum equis nive candidioribus praecedebant; quibus imposita erat imago invictae adiutricis et insuperabilis commilitonis matris dei. neque vero axis magnum sonuit, quia non vehebat acrem deam Minervam, quae falso virgo dicitur, sed veram virginem, quae

νῦν, ἀλλὰ τὴν ὡς ἀληθῶς παρθένον καὶ ὑπὲρ λόγον διὰ λόγου -ὸν λόγον λοχεύσασαν. μετὰ δὲ τοῦτο οἱ καθ' αἷμα τῷ βασιλεῖ περιώνυμοι, καὶ ὅσοι γερουσιάζοντες τὰς πολιτικὰς διεῖπον ἀρχάς, καὶ οἱ λαμπροὶ τοῖς ἀξιώμασι καὶ τῇ τοῦ βασιλέως εὐνοίᾳ περίκλυτοι. ἔπειτα δ' ὁ κρατῶν προήει αὐτός, ἵππῳ ὑψαύχενι ἔποχος, κύδιστος, μέγιστος καὶ κόσμους τοὺς βασιλικοὺς περιφανῶς περικείμενος. παρείπετο δέ οἱ καὶ ὁ τοῦ θριάμβου αἴτιος Κοντοστέφανος, ὑμνούμενος τῆς νίκης, τοῦ δεξιοῦ μακαριζόμενος ἀγωνίσματος. εἰς δὲ τὸν μέγαν νεὼν εἰσιὼν D καὶ τοῦ παντὸς ἐνώπιον λεὼ τὴν τοῦ κυρίου λαλήσας αἴνεσιν πρόεισιν ἐκεῖθεν εἰς τὰ βασίλεια. ὥσπερ δὲ τόξον ἀνιεὶς ἑαυτὸν τῆς ἄγαν τάσεως διεχεῖτο ἵππων ἁμίλλαις.

4. Καὶ τὸ ἐπιὸν δὲ ἔαρ εἰς ἄνεσιν ταμιευσάμενος σώματος, ἐπειδὴ παρίππευσε Καρκίνον καὶ παρῆλθε Λέοντα ἥλιος, ὅ τε Σείριος ὑπέληγε τῶν φλογώσεων, αἱ δὲ χειμέριοι τροπαὶ ἤδη παρεσκυθρώπαζον, ἔξεισι πρὸς τὰ ἑσπέρια καὶ κατὰ τὴν Φιλίππου ἐναυλίζεται. ἠκηκόει γὰρ ὡς ὁ τῶν Σέρβων σατράπης (ἦν δὲ τότε ὁ Νεεμᾶν Στέφανος) ὑπὲρ ὃ δεῖ θρασύτερος γέγονε, καὶ κακόσχολος ὤν τις ἥγηται σοφὸν τὸ περίεργον, καὶ τὴν ἐπιθυμίαν τρέφων ἀκόρεστον καὶ πρὸς τὰ ἐκεῖ πάντα διαπλωθῆναι φιλονεικῶν τοῖς ἐκ τοῦ αὐτοῦ φύλου βαρὺς ἐμπίπτει καὶ ξίφει τὸ γένος μέτεισι, μήτε μὴν τὰ οἰκεῖα εἰδὼς μέτρα Χορβατίαν ὑποποιεῖται καὶ πρὸς ἑαυτὸν ἐπισπᾶται τῶν Καττάρων τὴν κυριότητα. διὰ ταῦτα τοίνυν πεῖραν εἰληφέναι θέλων τοῦ ἐπὶ τούτοις τῷ Νεεμᾶν βουλή-

7. περιφανῶς om A. 9. ἀγωνίσματος] στρατηγήματος A. 10. κυρίου] θεοῦ A. 14. ἐπεὶ A. 18. νεεμὰν A. 23. χωρβατίαν A. 24. Καττ.] δ' ἑκατέρων A. 25. τῷ] τοῦ A.

verbum inexplicabili ratione per verbum peperit. eum currum imperatoris propinqui atque amici, senatus, viri magistratibus et dignitatibus insignes, pone sequebantur. deinde ipse imperator prodiit, equo feroci insidens, vir inclitus et maximus, ornamentis illustribus insignis, comitante Contostephano triumphi auctore, qui ob victoriam et rem bene gestam celebrabatur. magnum templum ingressus, deoque coram omni populo laudato, in palatium pergit, laxataque nimia bellorum contentione ludis equestribus recreatur.

4. Sequenti etiam vere in animi oblectationem insumpto, postquam sol Cancrum et Leonem permearat et aestus Caniculae desaevierat, bruma iam instante in Occidentem egreditur. audierat enim Serviorum principem, inquieto et insatiabili ingenio hominem, Stephanum Neemanem iusto audaciorem factum finitima quaeque invadere, ac populares suos graviter premere ferro grassantem, suae-

μενος, στέλλει μετὰ δυνάμεως τὸν Παδιάτην Θεόδωρον. τῷ δὲ τοπάρχῃ Νεεμᾶν οὕτως ἀναρσίου μετῆν φρονήματος ὡς P. 104 εὐθὺς ἐξενεγκεῖν ἀκήρυκτον πόλεμον καὶ Ῥωμαίοις ἐπεισπεσεῖν. βασιλέως δ' αὐτὸν μετελθεῖν κρίναντος, ὀλίγον τῇ μάχῃ παραφανεὶς ἀπεκρύψατο, τὰς τῶν ὀρῶν καὶ πάλιν ὑποδὺς καταδύσεις καὶ τὰς πέτρας θέμενος εἰς ἀποκρυβήν. ἀεὶ δέ τι περικόπτων τῆς προλαβούσης ὀφρύος καὶ ὑφαιρῶν, τέ- V. 84 λος τοῖς ἐκείνου ποσὶ τὴν οἰκείαν ὑποτέθεικε κεφαλήν, μέγας μεγαλωστὶ τεταμένος καὶ περὶ τοῦ μὴ παθεῖν κακῶς δεόμενος· ἠγωνία γὰρ μή πως αὐτὸς μὲν τῆς τῶν Σέρβων παραλυθῇ δυναστείας, τὸ δὲ κράτος μετενεχθῇ πρὸς τοὺς ἐκείνου ἄρχειν δικαιοτέρους, καὶ οὓς αὐτὸς κατασπάσας ἦν πρὸς τὴν ἀρχὴν ἀναχθείς. οὕτω δ' εὐμαρῶς μετῄει τοῦτον καὶ πρὸς τὴν ἐκείνου πίστιν μετέστρεφεν, εἴ ποτε ἀποπλα- B νώμενον ἑώρα τοῦ εὐθέος καὶ ἐλεύθερον βλέποντα, ἢ τῷ τῶν Ἀλαμανῶν ῥηγὶ προστιθέμενον ἢ τοῖς Οὔννοις προσνεύοντα καὶ κοινὸν ἐκείνοις βαλάντιον καὶ πήραν προσκτώμενον, ὡς οὐδὲ ποιμὴν ποίμνιον εὐπερίγραπτον. οὕτω δ' ἐδεδοίκει τοῦτον ὁ Νεεμὰν ὡς οὐδὲ τὸν βασιλικώτατον θῆρα τὰ κνώδαλα· ὅς γε καὶ τὰ ἱππάσιμα μόνα πολλάκις ἐπιφερόμενος καὶ τοῖς δορυφοροῦσιν εἰπὼν „ἕπεσθε," τὰ Ῥωμαίων παρήλλαττεν ὅρια, καὶ κατ' αὐτοῦ ἐξορμῶν πρὸς τὸ οἰκεῖον ἐφετὸν τὰ ἐκεῖθεν μετήμειβε πράγματα.

9. δεόμενος] δεδεημένος A. 20. μόνα φερόμενος A. 23. ἐκεῖθε A.

que fortunae oblitum Crabatiam et Cattarorum dominatum sibi vindicare. ut igitur Neemanis voluntatem exploraret, Theodorum Padiatem cum copiis ablegat. erat autem ea Neemanis ferocia ut bello non indicto statim Romanos invaderet. postquam autem ipse imperator eum ulcisci statuit, bello celeriter relicto in montes confugit et speluncas ac petras subiit; et subinde imminuta nonnihil superbia, tandem supplex ad pedes illius procumbit. angebatur enim animo, ne Serviae principatus alicui ex iis quos ipse everterat, qui esset eo dignior, tribueretur. eum igitur hominem imperator tanta arte tractabat et ad fidem sibi servandam convertebat, si quando a recta via aberrare et libertatem spectare videbat, aut cum Alemannorum rege se coniungere, aut ad Hunnos inclinare et manubias communicare, quanta diligentia nec opilio exiguum gregem custodire solet. Neemam vero illum non minus formidabat quam leonem caeterae animantes. nam cum imperator equitatu tantum educto et satellitibus sequi iussis Romanorum fines egressus contra illum ferebatur, Serviae statum suo arbitratu exemplo immutabat.

Ἀλλὰ τίνα τὰ ἐπὶ τούτοις; ἐρᾷ καὶ στρατείας ὑπερορίου, καὶ τὸ τῆς Αἰγύπτου ἐνωτιζόμενος πάμφορον, καὶ ὅσα C γεωργεῖ Νεῖλος ὁ καρποδότης καὶ εὔσταχυς, τοῖς πήχεσι μετρῶν τὸ εὔδαιμον, ἔγνω ἐν θαλάσσῃ θέσθαι χεῖρα αὐτοῦ καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ, εἴ πως τὰ δι' ἀκοῆς ἐρώμενα Αἰγύπτια ἀγαθὰ καὶ ὀφθαλμοῖς ἐντρανοῖς θεάσαιτο καὶ θείη ληπτὰ ταῖς χερσίν. ἐποίει δ' ἐκεῖνον ταῦτα φαντάζεσθαι τὰ ἐν ποσὶν ὑπεραλλόμενον, καὶ ταῦτα ἔτι ὠδίνοντα, καὶ τεμνόμενα μὲν καὶ κατακαιόμενα, οὐκ ἀφαντούμενα δὲ καὶ ἀμαυρούμενα ἀλλὰ παλιμφυῆ κατὰ τὴν ὕδραν γινόμενα, φιλοδοξία τις ἄκαιρος καὶ τὸ πρὸς βασιλεῖς ἀνθαμιλλᾶσθαι, οἷς τὸ κλέος πολὺ καὶ τὰ σχοινίσματα οὐκ ἀπὸ θαλάσσης μόνον ἕως θαλάσσης ὑφαπλούμενα πρὶν παρετέτατο, ἀλλ' ἐκ τῶν ἑῴων D ὁρισμάτων μέχρι τῶν ἑσπερίων διικνεῖτο στηλῶν. οὐκοῦν καὶ τὸ σκέμμα τῷ τῶν Ἱεροσολύμων ῥηγὶ Ἀμερίγῳ κοινωσάμενος, κἀκεῖνον εὑρὼν οὐκ ἀποπεμπόμενον τὸ ἐννόημα, μᾶλλον μὲν οὖν καὶ συλλαβέσθαι οἱ τοῦ ἐγχειρήματος ὑπισχνούμενον, στόλον καταρτύει βαρὺν κατὰ τοῦ Ταμιάθου εἰς νῆας μακρὰς διακοσίας καὶ ἔτι πρὸς ἀριθμούμενον, ἐν αἷς κατελέγοντο δέκα μὲν αἱ ἀπὸ τῆς Ἐπιδάμνου ἀναχθεῖσαι, ἓξ δὲ ταχυναυτοῦσαι ἅπασαι, ἃς ἐπλήρουν οἱ Εὐβοεῖς· ἀναδείκνυσι δὲ ναύαρχον τὸν μέγαν δοῦκαν τὸν Κοντοστέφανον Ἀνδρόνικον. ἀπὸ δὲ τουτωνὶ τῶν τριηρέων ἑξήκοντα τῷ Μαυροζούμῃ παραδοὺς Θεοδώρῳ πρὸς τὸν ῥῆγα ἐξέπεμψε, προκαταγγελοῦντα μὲν καὶ τὴν ὅσον οὐδέπω τοῦ λοιποῦ στόλου ἀναγωγὴν καὶ

4. τὸ εὔδαιμον] τὴν ἐπιτυχίαν B. 5. ἐρώμενα] αἱρόμενα A. 9. μὲν] δὲ A. 18. ταμιαθίου A. 22. δοῦκα A.

Post haec Manuel, audita Aegypti fertilitate et frugiferis Nili exundationibus, classe eam terram petere, et quae auribus acceperat, oculis intueri et contrectare manibus instituit. quamvis autem proxima quaeque adhuc in motu essent, et licet secarentur et urerentur, non tamen tollerentur, sed instar redivivae hydrae repullularent, tamen importuna ambitione impulsus, et veterum principum aemulatione ac gloria adductus, qui non modo a mari ad mare sed ab Oriente usque ad Occidentem dominati fuerunt, rebus magis urgentibus omissis longinquam expeditionem suscepit. consilioque suo cum Amerigo Hierosolymorum rege communicato, qui se ei praesto futurum pollicebatur, classem amplius CC longarum navium contra Tamiathum comparat, inter quas erant X Epidamniae et sex Euboicae expeditae naves. nauarchum designat Andronicum Contostephanum magnum ducem; et Theodorum Maurozumem cum LX triremibus ad

τὴν ἐκεῖσε τοῦ Κοντοστεφάνου ἄφιξιν, διαναστήσοντα δὲ κἀκεῖνον ὡς εἴη ἑτοιμασάμενος τὰ πρὸς τὴν ἔξοδον, ἅμα δ' ἀποκομίσοντα οἱ καὶ τὰ τῶν Ἱεροσολυμιτῶν ἱππέων ὀψώνια, ὅσοι συνεκστρατεύειν ἔμελλον τῷ ῥηγὶ συνεφαπτομένῳ τοῦ πολέμου καὶ κατ' Αἰγυπτίων τιθεμένῳ τὴν κίνησιν, καθ' ὧν P. 105 ὁ στόλος ὁ Ῥωμαϊκὸς συγκεκρότητο. μετ' οὐ πολὺ δὲ καὶ αὐτὸς ὁ Κοντοστέφανος ἔξεισιν (ἦγε δὲ τότε ὀγδόην μὴν ὁ Ἰούλιος), καὶ δὴ πρὸς τὸ Μελίβοτον καταχθείς, καὶ παρὰ τοῦ βασιλέως ἐκεῖσε ἀφιγμένου θεατοῦ τοῦ στόλου τὰ πρὸς τὸ ἔργον ὑφηγηθείς, μετὰ δύο ἡμέρας ἀνάγεται, καὶ κατάγεται εἰς τὰ Κοῖλα, ταῦτα δὴ τὰ περὶ Σηστόν τε καὶ Ἄβυδον, καὶ ἐντίθησι ταῖς τριήρεσι τὸ ἐκ Ῥωμαϊκῶν καὶ ἐθνικῶν ἰλῶν ἀποκριθὲν καὶ παραδοθέν οἱ στράτευμα. τὸ δ' ἐντεῦθεν, ὡς ἦν τὸ πνεῦμα φορὸν καὶ οὔριον, τὰ πρυμνήσια λύσας καὶ τὰ ἱστία διαπετάσας τὴν ἐς Κύπρον παρανελέγετο κέλευθον. κατὰ δὲ τὸν πλοῦν τοῦτον ἓξ ἐγκύρσας νανσὶν ἃς B ὁ τῆς Αἰγύπτου ἀμιρᾶς ἐπεπόμφει πρὸς κατασκόπησιν, τὰς μὲν δύο συλλαβὼν εἶχεν. αἱ δ' ἄλλαι, αἳ καὶ μὴ ἀγχώμαλα τὸν πλοῦν ἐτίθεντο, καταταχήσασαι διαδιδράσκουσιν.

5. Προσοκείλας δὲ τῇ Κύπρῳ τὴν ἄφιξιν αὐτοῦ παρίστησι τῷ ῥηγί, καὶ πυνθάνεται πρὸς ὅτῳ ἔχει τὸν νοῦν V. 85 ἐκεῖνος, καὶ εἰ προσμενεῖ αὐτὸν εἰς Κύπρον ἢ τὴν ἐπὶ Ἱεροσολύμων βαδιεῖται οὗτος. ὁ δὲ ῥὴξ κατὰ τὸν Ἐπιμηθέα, ᾧ τὸ μὲν μέλειν οὐκ εἶναί φασι τὸ δὲ μεταμέλειν, καὶ μάλα

8. καὶ] ἀνδρόνικος καὶ A. 17. σουλτάνος B, ἀμηρᾶς A. 18. καὶ μὴ] οὐδὲ A. 19. ἐτίθεντο] ἐπεποίηντο A. 22. ἐκεῖνος om A.

regem praemittit, qui reliquam classem et Contostephanum iamiam adfore praenuntiaret, atque eum hortaretur ut ipse expeditionem maturaret; simul etiam Hierosolymitanis equitibus, qui regem in Aegyptum secuturi essent, stipendia afferret. non multo post, VIII die mensis Iulii, Contostephanus ad Melibotum appulit, ubi ab imperatore, qui classis spectandae gratia aderat, quae in rem fore viderentur edoctus, biduo post Coela, quae circa Sestum et Abydum sunt, pervenit, et Romanas auxiliaresque copias sibi assignatas triremibus imponit. inde dum secundis ventis Cyprum versus navigat, in sex speculatrices naves ab Aegypti Amera missas incidit; quarum duabus captis, quatuor reliquae eminus accelerato cursu evaserunt.

5. Ad Cyprum appulsus regi suum adventum nuntiat, illiusque sententiam exquirit, utrum ipse in Cyprum venire an se Hierosolyma ire malit? at rex Epimethei more, quem post factum deliberare aiunt, cum plane poenituisset quod se imperatori opem laturum promisisset atque eius Aegyptiacam expeditionem approbasset, magnope-

τὴν καρδίαν μέσην ἐπλήττετο, ὅτι συναρήξειν ὅλως βασιλεῖ
C κατένευσεν ἢ γοῦν ἐπώτρυνε τὴν κατ' Αἰγυπτίων μελετῶντα κίνησιν. τῷ τοι καὶ ἀναβαλλομένῳ ἐῴκει καὶ σκεπτομένῳ πολλάκις τὸ ποιητέον. ὀψὲ δ' οὖν σημαίνει τῷ Ἀνδρονίκῳ τὴν ἐπὶ Ἱεροσολύμων ἵεσθαι, ὡς ἐκεῖσε συνελθόντες συνδιασκέψωνται ἀμφότεροι ὃ κοινῶς διαπράξονται. εἶχε τοίνυν ἡ μὲν Παλαιστίνη τὸν Κοντοστέφανον, τὸν δ' Ἀμέριγον αὖθις ἡ μέλλησις, καὶ ὁ μετάμελος πολὺς ἐγκείμενος ὑπέτυφε τὴν ψυχήν. πολλὰ δὲ καὶ ἄλλα Πάτροκλον πρόφασιν προτιθείς, οὐδὲν ἧττον ἐπὶ πᾶσι καὶ τὴν τῶν οἰκείων στρατευμάτων προυβάλλετο συλλογήν. Ἀνδρόνικος δ' ἐπὶ τούτοις ἤχθετο μὲν τοῦ καιροῦ τηνάλλως ἐκμετρουμένου, οὗπερ οὐκ ἦν εἰσαῦθις ἐπιλαβέσθαι ὡς μηδὲ κομῶντος ἐξόπισθεν· ὑπέθραττε δ' αὐτὸν πλειόνως ὁ τοῦ ναυτικοῦ πληρώματος ὀψωνιασμὸς διακενῆς ἀναλούμενος. ὁ γὰρ βασιλεὺς τριῶν μηνῶν τῷ στό-
D λῳ σιτηρέσιον ἐπεμέτρησεν ἐκ τοῦ Αὐγούστου μηνὸς ἀρξάμενος, ἦν δὲ τότε λήγων ὁ Σεπτέμβριος. ἐπεὶ δ' ἐδόκει ἀπαίρειν, τὴν διὰ ξηρᾶς πορείαν ὁ ῥὴξ τοῦ θαλαττίου προτίθησι πλοῦ, καὶ Ἀνδρονίκῳ οὑτωσὶ ποιεῖν ὑποτίθησι, φάσκων εὐμαρεστέραν εἰδέναι ταύτην πολλῷ καὶ ἀπαθεστέραν τῷ ἑλομένῳ, καὶ ὡς ἐσεῖται ἅμα οὕτως σφίσιν ἐξ ἐφόδου καὶ πάρεργον ὁδοῦ παραστήσασθαι τὸ Τούνιόν τε καὶ τὸ Τενέσιον. τὰ δέ ἐστι κωμύδρια τῷ τῆς Αἰγύπτου ἀμιρᾷ καθυπείκοντα, οὐ δυσπρόσοδα οὐδὲ δυσέμβολα, ἀλλ' ἐφ' ὑπτίου κείμενα πε-

5. συνδιασκέψωνται κοινῶς ὃ δ. A. 14. ὀψωνισμὸς A. 17. ὁ om A. 20. εἰδέναι] εἶναι A. 22. τὸ τύνιον B. τενέσιον AB: vulgo τενέβιον. 23 κωμύδρια] καστέλλια μικρὰ καὶ ἄπορα B. 24. ἐφ' ὑπτίου] ἐπὶ κάμπου B.

re angebatur. proinde rem procrastinat, ac subinde quid agendum sit deliberat. tandem Andronicum Hierosolyma accersit, ut ibi in commune consulant. quo cum Andronicus venisset, Amerigus denuo cunctatur, et poenitentia vehementer aestuans aliud atque aliud excusat, suarumque legionum convocationem causatur. Andronicus eam moram tum ob irrecuperabilis occasionis neglectum, tum vero propter frustra insumpta in classem stipendia aegre ferebat, quae imperator ad tres menses duntaxat numerarat, ab Augusto auspicatus, cum September tum exiret. cum autem rex terrestre iter tum ut commodius et tutius navigationi praetulisset, tum quod obiter Tunium et Te[illegible]m pagos aditu faciles et in planitie sitos, quorum habitatores Christiani plerique nominis Aegypti Amerae parerent, occupare liceret, Andronicus regis consilium sequitur. interiecto itinere citra molestiam confecto, et castellis quae diximus, quod iusto praesidio

δίου, καὶ τοὺς πλείστους τῶν κατοίκων ἔχοντα γνωριζομένους ἐξ ὀνόματος τοῦ Χριστοῦ. ὡς ἀγαθῇ γοῦν τῇ παραιφάσει τοῦ ῥηγὸς πεισθεὶς Ἀνδρόνικος, ἣν ᾕρεῖτο οὗτος, ἐτράπετο. τὴν δ' ἐν τῷ μεταξὺ πορείαν ἀλύπως ἀνύσαντες, οἷς εἴπομεν φρουρίοις προσέβαλον, καὶ ὁμολόγως αὐτὰ χειρωσάμενοι, ὅτι μηδ' εἶχον ἔνδοθεν ἀξιόμαχον δύναμιν καὶ χεῖρα ἱκανὴν εἰς ἀντίπαλον μοῖραν χωρεῖν, τοῦ πρόσω εἴχοντο. καὶ δὴ τῷ στόλῳ συμμίξαντες ἤδη τὰς κώπας ἐπὶ τοῦ Ταμιάθου σχάσαντι καὶ ἐφορμῶντι, τοῖς πρὸ τῆς πόλεως εὐθὺς ἐκχυθεῖσι P. 168 καὶ μεθ' ὅπλων ἐποφθεῖσι Σαρακηνοῖς συμμίγνυνται. οὕτω δ' ἐξέπληξαν αὐτοὺς Ῥωμαῖοι καὶ διετάραξαν τῷ ἀπτοήτῳ τῆς ἀντιτάξεως ὡς σὺν βοῇ τε καὶ ταράχῳ συνωθηθῆναι εἴσω πυλῶν, μηδὲ καθαρῶς ἀντιβλέψαι σφίσιν ὑπενεγκόντας. καὶ τοῦτο μὲν οὕτω τῆς ἡμέρας ἐκείνης πέπρακται, καθ' ἣν αἱ μὲν τριήρεις τῷ Νείλῳ προσώκειλαν, ὁ δὲ ῥὴξ πεζῇ παρεγένετο· τῇ δ' ὑστεραίᾳ πάλιν οἱ Σαρακηνοὶ συμπλακησόμενοι Ῥωμαίοις συνεληλύθεσαν κατὰ τὸ πρὸ τῆς πόλεως κοιλῶδες πεδίον καὶ ἐπικαμπὲς ἠρέμα περὶ τὸ τεῖχος. πλὴν οὐδὲ τότε Ῥωμαίους ὑπέστησαν. τῶν γὰρ πυλῶν ὅσον ἀποσχόντες B βραχὺ καὶ μηδαμῇ τοῦ προτειχίσματος ἀφιστάμενοι, οὕτω διετίθουν τὸν πόλεμον· ὡς δ' ἐπ' αὐτοὺς ὥρμηντο Ῥωμαῖοι μόνον, τὰ παθεῖν κακῶς φυλαττόμενοι ἐνέκλινον εἰς φυγὴν καὶ διὰ τῶν πυλῶν εἰσεχέοντο, μὴ εὐθύωρον ἄγειν εἰς τοὺς πολεμίους τὴν ἑαυτῶν ἀποθαρροῦντες φάλαγγα. καὶ τοῦτο ἐπὶ πολλὰς ἡμέρας ἐγίνετο. ἦν δὲ ἡ στρατηγία αὕτη μηδὲν ἄλλο δυναμένη, ὡς δέδεικται, ἢ Ῥωμαίους κατασοφίζεσθαι,

5. ὁμολογίαις cod. P. 8. ταμιαθίου A. 10. ἐπ.] ἐπαντέσι A. συμμίγνυνται] συμπλέκονται A. 12. ἀντιτάξεως] ἐμβολῆς A. 13. σφ.] γοῦν ῥωμαίοις A. 18. ἐπικαμπὲς] πλάγιον B.

non munita erant, in deditionem acceptis, pergunt; et cum classe, quae iam ad Tamiathum appulerat, congressi Sarracenos urbe effusos intrepida acie sic exceperunt, ut cum clamore et tumultu, vix aspectu Romanorum tolerato, intra portas refugerent. id eo die factum qua et triremes Nilum sunt ingressae, et rex pedes eodem venit. postridie Sarraceni denuo convenerunt, cum Romanis in campo sinuoso et leniter ad murum inflexo dimicaturi. sed ne tum quidem eis restiterunt. nam ita pugnabant, ut paulum a portis progressi nusquam a munitionibus discederent. Romanis autem irruentibus, salutem fuga quaerere contenti in portas irruebant, suam phalangem hostibus opponere non ausi. id per dies complures factum. quod eo pertinebat, ut res ostendit, ut Romani vana spe inducti tempus te-

ὅπως εἰκῇ χρονοτριβῶσιν, ἐλπίσι μὴ περαινομέναις ὑποσυλώμενοι. ἀμέλει τοι τὰς ἑλεπόλεις ἐς νέωτα προσαγαγὼν ὁ Ἀν-
C δρόνικος οὐκ ἀμογητὶ καὶ ἀκινδύνως τὸ τεῖχος ἔτυπτεν· οἱ γὰρ βάρβαροι τοὺς διαπειρωμένους τῶν μηχανημάτων ἔβαλλον ὑψόθεν καὶ τοῦ ἔργου ἀπεκώλυον, βέλη τε νιφάδων ἀφιέντες πυκνότερα καὶ ἀντεπινοοῦντες τὰ τῷ τείχει σωτήρια. ἴσχυσε δὲ καὶ οὕτω χόρσην κατερεῖψαι τείχους, ἐφ' οὗ κηώδες ἵδρυτο τέμενος τῇ θεομήτορι ἀνακείμενον. ᾔδετο δὲ τοῖς
V. 86 ἀστοῖς ἐκεῖ που παύσασθαι τοῦ πλάνου τὴν μητροπάρθενον σύναμα Ἰωσὴφ τῷ μνήστορι, ὁπότε εἰς Αἴγυπτον ὥρμηντο τὸν παιδοφόνον Ἡρῴδην ἐκκλίνοντες. οἱ τοίνυν Σαρακηνοὶ ἀπέσκωπτον ἐς Ῥωμαίους, καὶ ὕβρεσιν Ἀνδρόνικον ἔπλυνον οἷα
D μὴ φειδόμενον νεὼ καθ' οὕπερ ἐκκλησιάζοντες τὸ χριστώνυμον τὰ οἰκεῖα τελοῦνται μυστήρια, πῇ μὲν προσευκτήρια πῇ δὲ καὶ χαριστήρια ᾄδοντες. ὡς δὲ οὐδ' οὕτω τὰ κατὰ νοῦν Ἀνδρόνικος ἐξεπέραινε, διὰ προσβολῆς ἰσχυροτέρας ἔγνω πειράσασθαι τῶν ἐντός. καὶ δὴ τῷ ῥηγὶ πρὸς λόγους ἐλθὼν ἐνῆγε κἀκεῖνον, πολὺς ἐγκείμενος, ἐξαγαγεῖν τὴν στρατιὰν καὶ τὸ τεῖχος ἅπαν διαλαβεῖν, κἂν εἰ προχωροίη τὰ τοῦ ἔργου, καὶ κλίμαξι χρήσασθαι καὶ τοὺς ἀναρριχωμένους διαφεῖναι. ὁ δὲ ἐπῄνει μὲν τὰ λεγόμενα καὶ τῶν εὐμεθόδων βουλευμάτων ἀπεθείαζε τὸν Ἀνδρόνικον, οὐκ ἄλλως δὲ τῷ πράγματι ἐγχειρήσειν διεβεβαιοῦτο καὶ διετείνετο, τὸν τοῦ Χριστοῦ τάφον εἰς ὅρκον παραλαμβάνων, εἰ μὴ πρότερον πύργοι τεκτονηθή-

4. μηχανῶν A. 6. ἀντεπινοοῦντες] στήσαντες ξύλα καὶ μαγγανότζαγρας B. 7. κηώδες] ναὸς ἔνδοξος B.

rerent. aliquando post Andronicus muros ferire arietibus non sine labore et periculo coepit. nam barbari eos qui machinas admovebant, superne iaciendo et telis grandinis in modum ingerendis ab opere depellebant, aliaque comminiscebantur ad moenium defensionem. nihilominus partem muri deiecit, in quo celebris aedes dei genitricis extructa erat. nam ibi narrabant cives virginem matrem cum sponso Iosepho fugam stitisse, cum sanguinarii Herodis metu in Aegyptum fugerent. proinde Sarraceni Romanos irridebant et Andronicum insectabantur, quod aedi non pepercisset in qua Christiani deo preces offerrent et vota exsolverent et sua mysteria peragerent. sed cum ne sic quidem quicquam ex sententia succederet, maiore impetu hostes invadendos ratus regem adiit, vehementer instans ut et ipsi suis productis copiis urbem corona cingerent, et si res facultatem haberet, scalis admotis conscenderent. is vero etsi institutum et ...dentiam Andronici collaudabat, tamen salutare Christi sepulcrum ...tus se, eam rem prius aggressurum esse negavit quam ligneae

σονται ξύλινοι καὶ τούτους ἐπιστήσει τοῖς τείχεσι. καὶ ταῦτα λέγων ἐπέταττε τοὺς τῇ πόλει παραπεφυκότας φοίνικας καθαιρεῖν καὶ εἰς πύργων ἀποξέειν ὑψώματα. οἱ μὲν οὖν εὐυψεῖς καὶ ἀκρόκομοι φοίνικες ἀπετέμνοντο, καὶ τὰ ἄλση τῶν δένδρων ἀπεκενοῦτο, καὶ ἐψιλοῦτο ἅπας παράδεισος, τὰ δὲ τῶν πύργων δοκανώματα καὶ ἡ τούτων ἁρμογὴ καὶ ἀπάρτισις ἐξεπεραίνετο οὐδαμοῦ· ὁ γὰρ ῥὴξ ἐς ἡλίους μακροὺς ἀπετίθει τὸ γενησόμενον ἐς αὔριον ἀεί πως ἀναβαλλόμενος μηδὲ τὰ δεδογμένα πληρῶν. ταῦτα δ' ὁρῶν Ἀνδρόνικος ἤχθετο μέν, ὃ λειπόμενον ἦν, καὶ κατῴκτειρε τὴν στρατιὰν σιτίων ἤδη σπα- P. 107
νίζουσαν καὶ λιμῷ θανεῖν κινδυνεύουσαν, καὶ τοὺς μὲν μηδ' ὀβολοῦ εὐποροῦντας ὡς ἔχοιεν τὰ πρὸς τὸ ζῆν ἐξωνούμενοι, τοὺς δὲ δυσχεραίνοντας ὡς οἰκείαν μὴ ἔχοντες ἀγοράν, πλεῖστα τοῖς ἐπὶ τῆς σιτηγίας κατατιθέμενοι τοῦ ῥηγός, ὀλίγων ηὐπόρουν τῶν πρὸς ἑστίασιν. καὶ ὁ συντεθειμένος δὲ χρόνος τῇ στρατείᾳ πάλαι ἐκμετρηθεὶς σχετλιάζειν ἐποίει καὶ δυσφορεῖν, πρὸ δὲ πάντων ἡ κενὴ καὶ ἀνόνητος προσεδρεία, ἡμέρας ὑπερβᾶσα πεντήκοντα. εἰς ἑτέραν δὲ μὴ ἔχων ἀπιδεῖν ἐργασίαν, (6) ὅτι μηδὲ εἴων αὐτὸν τὰ τοῦ βασιλέως γράμματα ὅλως ἐγχειρεῖν ἃ μὴ εἴη ἀσπάσια τῷ ῥηγί, καθῆστο καραδοκῶν τὸ ἀπὸ τοῦ ῥηγὸς ἐνδόσιμον. ἐπεὶ δ' οὐδέν τι χρηστὸν οὐδὲ μέτριον ἐκ τῶν πραττομένων κατελάμβανε τὸν ἄνδρα διανοούμενον μήτε B
μὴν προσλαμβάνοντα καὶ συμμογοῦντα, καὶ εἰς δεινὰ δὲ καὶ ἀμήχανα πολλὰ ἐμπεπτωκέναι τὴν στρατιὰν ὁρῶν κινδυνεύουσαν οἷα τοῦ λιμοῦ ἐπιβρίθοντος καὶ δεινῶς ἐπιβοσκομένου,

11. τοὺς] οὓς A. 13. τοὺς] οὓς A. ὡς] εἰ οἷς A. an ἐφ' οἷς? οἷς solum est p. 131 b 1, 164 a 11, 167 b 8. 14. ὀλίγα τὰ π. ἑστ. ἀπεφέροντο A.

turres fabricarentur, quas moenibus admoveret. iussitque palmas suburbani agri in eum usum succidi. quod cum factum esset, turres nihilo magis extruebantur ob regis procrastinationem et tergiversationem. ea re tristis Andronicus exercitum miserabatur iam commeatu destitutum et fame periclitantem. nam alii ne obolum quidem ad emenda cibaria habebant: alii indignabantur quod peculiare forum non habentes a frumentatoribus regiis magna pecunia parum impetrarent. et militiae tempus iampridem elapsum querelas et molestias militum augebat. in primis tamen inanis et irritae obsidionis ultra dies quinquaginta prorogatae pigebat. (6) Cum autem nihil per imperatoris literas agere liceret nisi quod regi placuisset, illius sententiam expectavit. sed cum re ipsa comperisset eum nihil aequi animo agitare neque quicquam opis afferre, exercitum vero in multis aerumnis et periculis versari videret, quippe fame urgente, ut

ὡς ἅπτεσθαι τῶν ἀπηγορευμένων σιτίων τινάς, πάντας δ'
ὁμῶς ῥιζοφαγεῖν καὶ τὰς τῶν φοινίκων δρέπεσθαι κόμας καὶ
δεῖπνον ἕψοντας παρατίθεσθαι, οὐκ ἀγαθαὶ δὲ καὶ φῆμαι
προσέβαλλον, ὅσον οὔπω ξενολογίαν τοῖς πολιορκουμένοις
ἀφίξεσθαι ἔκ τε τοῦ σουλτάνου τῆς Αἰγύπτου καὶ τῶν πρὸς
ἀνίσχοντα ἥλιον Ἀράβων, καὶ Ἀσσυρίαν δὲ ἵππον ἐωνημένην
πολλὴν ἄγχιστα εἶναι, ἀφεὶς πρὸς οὓς νεκρῷ διαλέγεσθαι καὶ
C τὴν Λατινικὴν ἐξουδενώσας κόρυζαν ἐπαποδύσασθαι καὶ μό-
νος τὴν τοῦ πολέμου κέκρικεν ἅμιλλαν. ἐκκλησιάσας τοίνυν
τὴν στρατιὰν „καὶ τὸ ἐνθάδε" φησὶν „ἐπὶ πολὺ μένειν ἀνια-
ρόν, καὶ τὸ μηδέν τι δεδρακότας κακόν, καθ' ὧν ἐπήλθο-
μεν, χερσὶν ἐπανηκέναι κεναῖς αἴσχιστον· χεῖρον δ' ἀμφοῖν
τούτων καὶ μὴ νῷ διοικουμένων ἄντικρυς ἔργον τὸ πείθεσθαι
ἀνδρὶ οὐχ ὅπως κατ' οὐδὲν ξυγκειμένῳ τὴν γνώμην Ῥωμαίοις,
ἀλλὰ καὶ τῶν ἐχθρῶν οὔκουν διακειμένῳ ἄμεινον. οὐ συνίε-
τε ὅπως ὁ ῥὴξ τὸν οἰκεῖον χάρακα τοῦ ἡμετέρου βαλὼν ἄπο-
θεν πρόεισιν οὐδ' ὅλως ἐκεῖθεν ὁ συναγωνιστής, ὁ σύμμα-
χος, καθάπερ εἰς ἑόρτιον ἄνεσιν παρ' ἡμῶν καὶ θεατὴς προσ-
D ληφθείς, οὐκ ἐργάτης Ἄρεος ἔργων; οὐχ οὕτω καὶ οὗτοι
δρῶσιν οἱ ἀντίπαλοι, ὅταν τὴν μάχην ὑπέρθωνται, οὐδὲ μα-
χούμενοι ἔξίασι τῶν πυλῶν; ὥστε τὸ ἀπὸ τοῦδε οὐ τοῦτό
μοι ἔπεισι δεδιέναι, μὴ οὐδὲν χρηστὸν κατωρθωκότες ἀπίω-
V. 87 μεν, ἀλλ' εἴ πως οὐχ ἱκανοὶ ἐσοίμεθα τὰς ἡμετέρας ἐκσῶσαι
ψυχάς. ἀλλ' οὐδ' ἐκεῖνό μοι διὰ μελέτης καὶ σκέψεως, ὅπως

2. δρέποντας A. 5. σουλτὰν A. 13. μηδὲ A.

nonnulli cibis inusitatis uterentur, omnes vero radicibus et palmarum comis elixis vescerentur, accedebat fama parum secunda, a sultano Aegypti et orientalibus Arabibus iamiam auxilia submissum iri, et magna pecunia conductos equites Assyrios in propinquo esse. mortuo non in aurem insusurrandum ratus, contempto Latinorum fastu vel solus belli fortunam experiri decrevit. convocatoque exercitu ad hunc modum disseruit. „et hic diu commorari molestum est; et nulla clade iis illata quos oppugnatum ivimus, ac vacuis reverti manibus turpissimum. utroque vero peius est, summaeque dementiae, parere viro a Romanorum commodis prorsus abhorrenti et nihilo melius erga nos affecto quam ipsi hostes. non videtis ut rex vallum longe a nostro communierit, neque inde prodeat, socius et confoederatus noster, non secus ac si ad festum et spectaculum invitatus esset, non autem belli societatem nobiscum coiisset? nonne idem et hostes nostri faciunt, cum dilata pugna intra moenia se continent? itaque vereri mihi subit ne non modo rebus infectis discedamus, sed ne vitam quidem nostram tueri possimus. neque mihi cu-

σὺν ἡμῖν μαχεῖται ὁ ῥήξ, ἀλλ' ὅπως τὰς αὐτοῦ δολοφροσύνας διαδράντες, οὐκ ἐγκρυφιάζοντος ἤδη μήτε μὴν παραπετάσματι συσκιάζοντος τὰ ἐνδόμυχα, ἀπείρατοι κακῶν ἐνθένδε ἀπάρωμεν, τὸν ἐν ὀφθαλμοῖς διακρουσάμενοι κίνδυνον. τάχα καὶ νῦν Αἰγυπτίοις προσεξεύρηνται φάρμακα τῶν πάλαι παρ' αὐτοῖς ἰσχυρότερα, ἃ καὶ μὴ κοιμίζειν μόνον λύπας ἔχουσι καὶ τὸ δεδηγμένον τῆς ψυχῆς ἀπροσδοκήτοις διαιτᾶν διαχύσεσιν, ὡς ἐκεῖνο πρώην τὸ φάρμακον ὃ δεδώκει τῇ Λακαίνῃ Θώνου παράκοιτις νηπενθές, κακῶν ἁπάντων ἐπίληθες, ἀλλὰ καὶ πολεμικοὺς ἄνδρας ἐκθηλύνειν καὶ ποιεῖν ἀλκῆς P. 108 *ἐπιλήσμονας. καὶ τούτων, οἶμαι, τῶν φαρμάκων Ἀμερίγῳ προύτειναν σκύφον Αἰγύπτιοι, καὶ γοητευθείς, ὡς ἔοικε, τῷ ποτῷ καὶ μετασχὼν ἐς μέθην τῆς κύλικος πρὸς κάρον ἀποδεδόχμωται χρόνιον. τῷ τοι παρὰ πάσσαλον μὲν αὐτῷ ἡ ἀσπίς, τὸ δὲ ξίφος καθυπνώττει τῷ κουλεῷ, ἐπὶ δὲ σαυρωτῆρος τὸ δόρυ πέπηγεν. ἢ τοῦτο μὲν οὐδαμῶς, ἀργύρῳ δὲ φαρμαχθεὶς τὰς φρένας ἠλλοίωται καὶ χρυσίῳ τὰ ὦτα βέβυσται, καὶ τούτῳ κνώμενος πρὸς τὸ δυσήκοον μετεσκεύασται. καὶ νῦν φροῦδαι μὲν αἱ ξυνθῆκαι ἃς ὑπὲρ τοῦ συμμαχήσειν Ῥωμαίοις βασιλεῖ δέδωκε, χείλεσι μόνοις ἐκεῖνον τιμῶν, τῇ δὲ καρδίᾳ πόρρῳ φερόμενος· ἡμεῖς δὲ τηλίκοις δεινοῖς περιστοιχιζόμεθα, εἴγε πόλεμος ὁμοῦ καὶ λιμὸς ἡμᾶς δαπανᾷ, καὶ τὰ Ῥωμαίων ἐφ' ἡμῖν αὐχήματα οἴχεται, τὰ* B *δὲ λαμπρὰ τῶν κατορθωμάτων ἠφάνισται. κρεῖσσον ἦν μὴ ὅρμοις τοῖς ἐνταῦθα προσσχεῖν, διαμεμετρηκότας πελάγη*

2. διαδράσαντες A. 8. ἐκχύσεσιν A. 14 παρὰ] περὶ? 15. ἀφυπνώττει A. 20 Ῥωμαίοις om A. 25. προσχεῖν ἀλλὰ καταποντισθῆναι, καὶ μὴ ἀπρ. B.

rae est an rex opem nobis ferat, sed illud, quo pacto dolos eius effugiamus qui suas insidias iam ne dissimulare quidem studet, ac imminente periculo evitato incolumes hinc discedamus. fortasse nunc Aegyptii nova medicamenta invenerunt, veteribus illis efficaciora, quibus non modo animi tristitia pellatur, ut illo Helenae a Thoni uxore dato, sed fortes etiam viri effeminentur. huiusmodi poculo Amerigus ad ebrietatem hausto in diuturnum veternum incidisse videtur, ignavoque otio abiectis et neglectis armis torpescere, aut potius pecunia infectus mutasse animum et auro obturatis auribus obsurduisse. nunc inane foedus est quod cum imperatore icit; quem verbis duntaxat colit animo ab eo abhorrens. nos vero tantis malis circumventi et fame et bello absumemur. Romani frustra virtute gloriantur: res a nobis praeclare gestae interciderunt. praestitisset

ὡς ἅπτεσθαι τῶν ἀπηγορευμένων σιτίων τινάς, πάντας δ'
ὁμῶς ῥιζοφαγεῖν καὶ τὰς τῶν φοινίκων δρέπεσθαι κόμας καὶ
δεῖπνον ἕψοντας παρατίθεσθαι, οὐκ ἀγαθαὶ δὲ καὶ φῆμαι
προσέβαλλον, ὅσον οὔπω ξενολογίαν τοῖς πολιορκουμένοις
ἀφίξεσθαι ἔκ τε τοῦ σουλτάνου τῆς Αἰγύπτου καὶ τῶν πρὸς
ἀνίσχοντα ἥλιον Ἀράβων, καὶ Ἀσσυρίαν δὲ ἵππον ἐωνημένην
πολλὴν ἄγχιστα εἶναι, ἀφεὶς πρὸς οὓς νεκρῷ διαλέγεσθαι καὶ
C τὴν Λατινικὴν ἐξουδενώσας κόρυζαν ἐπαποδύσασθαι καὶ μό-
νος τὴν τοῦ πολέμου κέκρικεν ἅμιλλαν. ἐκκλησιάσας τοίνυν
τὴν στρατιὰν „καὶ τὸ ἐνθάδε" φησὶν „ἐπὶ πολὺ μένειν ἀνια-
ρόν, καὶ τὸ μηδέν τι δεδρακότας κακόν, καθ' ὧν ἐπήλθο-
μεν, χερσὶν ἐπανηκέναι κεναῖς αἴσχιστον· χεῖρον δ' ἀμφοῖν
τούτων καὶ μὴ νῷ διοικουμένων ἄντικρυς ἔργον τὸ πείθεσθαι
ἀνδρὶ οὐχ ὅπως κατ' οὐδὲν ξυγκειμένῳ τὴν γνώμην Ῥωμαίοις,
ἀλλὰ καὶ τῶν ἐχθρῶν οὐκουν διακειμένῳ ἄμεινον. οὐ συνίε-
τε ὅπως ὁ ῥὴξ τὸν οἰκεῖον χάρακα τοῦ ἡμετέρου βαλὼν ἄπο-
θεν πρόεισιν οὐδ' ὅλως ἐκεῖθεν ὁ συναγωνιστής, ὁ σύμμα-
χος, καθάπερ εἰς ἑόρτιον ἄνεσιν παρ' ἡμῶν καὶ θεατὴς προσ-
D ληφθείς, οὐκ ἐργάτης Ἄρεος ἔργων; οὐχ οὕτω καὶ οὗτοι
δρῶσιν οἱ ἀντίπαλοι, ὅταν τὴν μάχην ὑπέρθωνται, οὐδὲ μα-
χούμενοι ἐξίασι τῶν πυλῶν; ὥστε τὸ ἀπὸ τοῦδε οὐ τοῦτό
μοι ἔπεισι δεδιέναι, μὴ οὐδὲν χρηστὸν κατωρθωκότες ἀπίω-
V.87 μεν, ἀλλ' εἴ πως οὐχ ἱκανοὶ ἐσοίμεθα τὰς ἡμετέρας ἐκσῶσαι
ψυχάς. ἀλλ' οὐδ' ἐκεῖνό μοι διὰ μελέτης καὶ σκέψεως, ὅπως

2. δρέποντας A. 5. σουλτὰν A. 13. μηδὲ A.

nonnulli cibis inusitatis uterentur, omnes vero radicibus et palmarum comis elixis vescerentur, accedebat fama parum secunda, a sultano Aegypti et orientalibus Arabibus iamiam auxilia submissum iri, et magna pecunia conductos equites Assyrios in propinquo esse. mortuo non in aurem insusurrandum ratus, contempto Latinorum fastu vel solus belli fortunam experiri decrevit. convocatoque exercitu ad hunc modum disseruit. „et hic diu commorari molestum est; et nulla clade iis illata quos oppugnatum ivimus, ac vacuis reverti manibus turpissimum. utroque vero peius est, summaeque dementiae, parere viro a Romanorum commodis prorsus abhorrenti et nihilo melius erga nos affecto quam ipsi hostes. non videtis ut rex vallum longe a nostro communierit, neque inde prodeat, socius et confoederatus noster, non secus ac si ad festum et spectaculum invitatus esset, non autem belli societatem nobiscum coiisset? nonne idem et hostes nostri faciunt, cum dilata pugna intra moenia se continent? itaque vereri mihi subit ne non modo rebus infectis discedamus, sed ne vitam quidem nostram tueri possimus. neque mihi cu-

σὺν ἡμῖν μαχεῖται ὁ ῥήξ, ἀλλ' ὅπως τὰς αὐτοῦ δολοφροσύνας διαδράντες, οὐκ ἐγκρυφιάζοντος ἤδη μήτε μὴν παραπετάσματι συσκιάζοντος τὰ ἐνδόμυχα, ἀπείρατοι κακῶν ἐνθένδε ἀπάρωμεν, τὸν ἐν ὀφθαλμοῖς διακρουσάμενοι κίνδυνον. τάχα καὶ νῦν Αἰγυπτίοις προσεξεύρηνται φάρμακα τῶν πάλαι παρ' αὐτοῖς ἰσχυρότερα, ἃ καὶ μὴ κοιμίζειν μόνον λύπας ἔχουσι καὶ τὸ δεδηγμένον τῆς ψυχῆς ἀπροσδοκήτοις διαιτᾶν διαχύσεσιν, ὡς ἐκεῖνο πρώην τὸ φάρμακον ὃ δεδώκει τῇ Λακαίνῃ Θώνου παράκοιτις νηπενθές, κακῶν ἁπάντων ἐπίληθες, ἀλλὰ καὶ πολεμικοὺς ἄνδρας ἐκθηλύνειν καὶ ποιεῖν ἀλκῆς P. 108
ἐπιλήσμονας. καὶ τούτων, οἶμαι, τῶν φαρμάκων Ἀμερίγῳ προύτειναν σκύφον Αἰγύπτιοι, καὶ γοητευθείς, ὡς ἔοικε, τῷ ποτῷ καὶ μετασχὼν ἐς μέθην τῆς κύλικος πρὸς κάρον ἀποδεδόχμωται χρόνιον. τῷ τοι παρὰ πάσσαλον μὲν αὐτῷ ἡ ἀσπίς, τὸ δὲ ξίφος καθυπνώττει τῷ κουλεῷ, ἐπὶ δὲ σαυρωτῆρος τὸ δόρυ πέπηγεν. ἢ τοῦτο μὲν οὐδαμῶς, ἀργύρῳ δὲ φαρμαχθεὶς τὰς φρένας ἠλλοίωται καὶ χρυσίῳ τὰ ὦτα βέβυσται, καὶ τούτῳ κνώμενος πρὸς τὸ δυσήκοον μετεσκεύασται. καὶ νῦν φροῦδαι μὲν αἱ ξυνθῆκαι ἃς ὑπὲρ τοῦ συμμαχήσειν Ῥωμαίοις βασιλεῖ δέδωκε, χείλεσι μόνοις ἐκεῖνον τιμῶν, τῇ δὲ καρδίᾳ πόρρω φερόμενος· ἡμεῖς δὲ τηλίκοις δεινοῖς περιστοιχιζόμεθα, εἴγε πόλεμος ὁμοῦ καὶ λιμὸς ἡμᾶς δαπανᾷ, καὶ τὰ Ῥωμαίων ἐφ' ἡμῖν αὐχήματα οἴχεται, τὰ B
δὲ λαμπρὰ τῶν κατορθωμάτων ἠφάνισται. κρεῖσσον ἦν μὴ ὅρμοις τοῖς ἐνταῦθα προσσχεῖν, διαμεμετρηκότας πελάγη

2. διαδράσαντες A. 8. ἐκχύσεσιν A. 14 παρὰ] περὶ? 15. ἀφυπνώττει A. 20 Ῥωμαίοις om A. 25. προσχεῖν ἀλλὰ καταποντισθῆναι, καὶ μὴ ἀπρ. B.

rae est an rex opem nobis ferat, sed illud, quo pacto dolos eius effugiamus qui suas insidias iam ne dissimulare quidem studet, ac imminente periculo evitato incolumes hinc discedamus. fortasse nunc Aegyptii nova medicamenta invenerunt, veteribus illis efficaciora, quibus non modo animi tristitia pellatur, ut illo Helenae a Thoni uxore dato, sed fortes etiam viri effeminentur. huiusmodi poculo Amerigus ad ebrietatem hausto in diuturnum veternum incidisse videtur, ignavoque otio abiectis et neglectis armis torpescere, aut potius pecunia infectus mutasse animum et auro obturatis auribus obsurduisse. nunc inane foedus est quod cum imperatore icit; quem verbis duntaxat colit animo ab eo abhorrens. nos vero tantis malis circumventi et fame et bello absumemur. Romani frustra virtute gloriantur: res a nobis praeclare gestae interciderunt. praestitisset

ἀχανῆ καὶ ἀόριστα, ἢ ἀπράκτους ἀπιέναι κατάραντας, ὡς νῦν γε οὐχ ἱστίοις λευκοῖς τὰς ναῦς πτερῶσαι ἡμῖν, ὡς οἶμαι, γενήσεται, ὁποίοις ἐκ Βυζαντίδος ἀνήχθημεν, ἀλλὰ φαιοῖς ἀτεχνῶς διὰ τὸ τῆς αἰσχύνης μελάνωμα. ἀλλ' ἄνδρες ὁμογενεῖς καὶ συστρατιῶται, καὶ ὅσον ἐνταυθοῖ ξενικόν, ἀποκριθέντες τῶν Παλαιστίνηθεν ἱπποτῶν τῶν γαύρων τούτων καὶ ὑψαυχένων καὶ Ῥωμαίοις ὡς ἔδειξαν ἀπίστων προσβάλωμεν τοῖς βαρβάροις, τειχομαχίαν στησώμεθα, ἀγωνισώμεθα ὡς τὸ πόλι-
C σμα τοῦτο ληψόμεθα, καὶ ὡς ἤδη ἔχοντες ἐν χερσὶ τὸν ἔνδον πλοῦτον ἁμιλληθῶμεν. εἰ τεῖχος τοῖς βαρβάροις τὸ πρόβλημα καὶ ἀφ' ὕψους τῶν ἀμυντηρίων ἡ ἄφεσις, ἀλλ' εἰσὶ καὶ παρ' ἡμῖν ἀσπίδες, αἳ οὐκ ἀνδράσι ῥᾳδίως ἀνέχονται (ὑπὲρ γὰρ τὸ σάκος εἰσὶ τὸ Αἰάντειον ἐκεῖνο τὸ ἑπταβόειον) ἀλλ' ὡς πύργοι ἀντιπροβέβληνται, οὐ μόνον ἀτίνακτοι βέλεσι καὶ τοῖς ἀπὸ χειρῶν οὐτήμασιν ἀδιάρρηκτοι, ἀλλὰ καὶ τῶν ἀπὸ μηχανῶν ἀφιεμένων πάντων δήπουθεν στεγανώτεραι. ταύτας ἀντιστήσαντες ὡς πυργοβάρεις, ὀλίγα τοῦ τείχους καὶ τῶν ἀπ' αὐτοῦ μαχομένων φροντίσωμεν. εἰ δὴ δίκαια ποιεῖν αἱρεῖσθε, ὥρα μοι πείθεσθαι, ἐπεὶ καὶ αὐτὸς ὅ τι ἂν δέῃ σὺν ὑμῖν ἀσμένως πείσομαι· μηδὲ γὰρ εἴη τινὰ ἐρεῖν
D ὡς Ἀνδρόνικος ὑπαγαγέσθαι μὲν λόγοις καὶ παραθῆξαι πρὸς Ἄρεα ἱκανώτατος, ἀρχηγὸς δ' ἀχρεῖος μηδ' ἀποκρούσασθαι εἰδὼς τὸ πολέμιον. ἀλλὰ τὸ τῆς ἐμῆς κόρυθος μέτωπον ὄψονται πρὸ ὑμῶν οἱ ἀντίμαχοι. καὶ πρόμαχος ὤν, δέον οὕτω ποιεῖν, καὶ οὐραγὸς ἐσοίμην ὑμέτερος, εἰ καὶ τοῦτο δίδωσιν

18. ἀπ'] ἐπ' αὐτοῦ μ. φροντίσομεν A. 20. εἴη] ἂν εἴη A.

nos nunquam per tanta maria portus hos intrasse, quam infectis rebus discedere hinc. nunc albis velis, qualia Byzantio tulimus, rediro non licebit, sed fuscis naves operiemus ob ignominiae labem. verum nos, commilitones, sive populares sive peregrini, seiuncti a Palaestinis equitibus, hominibus superbis elatis et perfidis, barbaros invadamus, moenia oppugnemus, certatim oppidum hoc capiamus, itaque contendamus, quasi hostium divitiis iamiam potituri. si moenibus muniti sunt barbari et ex superiore loco tela coniiciunt, sunt nobis ingentes clipei, quos instar turrium opponamus, non telis modo et gladiis impervii, sed tormentorum etiam ictibus inviolabiles. quodsi officio fungi vultis, me sequimini, paratum una vobiscum perpeti quicquid sors dederit. neque enim committam ut quisquam dicat Andronicum solertem esse ad verba facienda et acuendos militum animos, sed ducem ignavum et ulciscendi hostis rudem. imo et in prima acie stabo, ut decebit, et extremum agmen claudam, ubi

ὁ καιρός. Θεὸς δὲ περαίνοι τὰ βεβουλευμένα, καὶ τράποιτο πᾶν ἀπαίσιον κατὰ κεφαλῆς ὧν τὴν χώραν κείρομεν."

7. Ταῦτ' εἰπὼν αὐτός τε ὡπλίσατο, καὶ οἱ λοιποὶ διαλυθέντες τοῦ συλλόγου τὰς πανοπλίας ἐνεδύσαντο. ἐπεὶ δὲ τό τε ἦμαρ ηὔξάνετο ὡς ἐς τρίτην ὥραν προβεβηκέναι καὶ τὰ τάγματα ἐξῄεσαν, ἄρας ἐκεῖθεν προῄει σὺν κόσμῳ, τοῦ παντὸς προαφεστὼς στρατεύματος. οἱ δὲ Σαρακηνοὶ τὰς πύλας διαλαβόντες κλεισὶ καὶ ὀχεῦσι, καί τινα προπετάσαντες μηχανήματα τούτων ἐρύματα, ἔμενον ἐπὶ τῶν τειχῶν, παντοίοις ὅπλοις τοὺς ἐπιόντας ἀποκρουόμενοι, καὶ τὸν βέλους ἐντὸς ἅπαντα χῶρον τιθέντες ἀδιεξόδευτον οἷς τε ἀπεσφενδόνουν ἐκ τῶν ἐπάλξεων καὶ οἷς ἐκ τόξων ἠφίεσαν. ἀλλὰ καίπερ οὕτω τῶν P. 109
ἔνδον ἀμυνομένων, αὐτός τε τὸν ἵππον ἐπελάσας κατὰ τῆς V. 88
πύλης Ἀνδρόνικος τὸ δόρυ ἴθυνε, καὶ οἱ τοξόται καὶ ἅπας ἕτερος ἐνεργεῖς ἐδείκνυντο, αἵ τε σάλπιγγες πυκνὰ ἐνεπνέοντο, τὸ παρακλητικὸν ἐς μάχην παρακελευόμεναι, καὶ ἐβαρυήχει τὰ κύμβαλα, ὡς τοὺς εἰς τὰ τείχη καὶ τὰς βάρεις ἐκπλαγῆναι τὴν τῶν Ῥωμαίων ἀθρόαν ἐμβολὴν καὶ ἐπέλευσιν καὶ τὰ ἐκ παντοίων ὀργάνων ἀφέματα. ἤδη δὲ τῶν κλιμάκων προσαγομένων καὶ κατὰ πολλὰ μέρη τοῦ τείχους ἐρειδομένων, ἡ τῶν γινομένων ἀγγελία παίει τὸν ῥῆγα διαμπαίαν πληγήν. ὁ δὲ ὡς αὐτός τι μέγα κακὸν καὶ ἀπαράκλητον πε- B

7. τὰς πύλας] τὰς πόρτας ἀσφαλίσαντες καὶ μετ' ἀσβέστου κτήσαντες B. 12. ἐκ] ἀπὸ τῶν A. 14. τὸ δόρυ] διηκόντισε A, ὅπερ ἔφερεν ἀνὰ χεῖρας ῥικτάριον ἐντὸς τοῦ κάστρου ῥίψας B. 16. ἐγκελευόμεναι A. 17. τὰ κύμβαλα] ἀνακαράδες B. ἐκπλαγῆναι] μὴ ἐνεγκεῖν τῶν στρατευμάτων τὴν ἀθρόαν ἀλαλαγὴν A.

oportuerit. deus consilia nostra fortunet, et calamitates in hostium capita vertat."

7. Haec locutus et ipse et caeteri dimissa concione arma ceperunt. et sub tertiam diei horam legiones instructas educit, primus ante omnem exercitum incedens. at Sarraceni portas serris et vectibus munierunt, et machinis quibusdam ad eas muniendas suspensis, de moenibus nostros omni telorum genere petebant, ut intra teli iactum nemini accedere liceret. sed Andronicus nihilominus equo concitato hastam in portam dirigit, sagittariis et caeteris omnibus strenuo sequentibus, et classicis continenter canentibus, et tympanis resonantibus, ut defensores urbis subito Romanorum impetu et tormentorum ictibus percellerentur. sed cum iam multis murorum partibus scalae admoverentur, rex eo nuntio perturbatus, quasi ipse magno malo affectus aut fulmine ictus esset, diu tacitus stetit. ac vix tandem pulsa illa caligine, conscenso equo cum delectis cohor-

πονθώς, ἢ τὸ λογιζόμενον πρηστῆρι παρακοπείς, ἐνεὸς ἦν ἐφ' ἱκανόν. μόλις δ' ἀνενεγκὼν τοῦ ἰλίγγου, αἰτήσας ἵππον καὶ ἀναπηδήσας ἐφίσταται τῷ Ῥωμαϊκῷ στρατεύματι μετὰ τῶν ὑπ' αὐτὸν ἐπιλέκτων, καὶ τὰς ἁπάντων ἀνακόψας ὁρμὰς ὑποτίθησι μὴ διαμάχεσθαι ἀνθρώποις πάλαι διαμεμηνυκόσιν αὐτῷ ὡς ἑαυτοὺς ἀναιμωτὶ καὶ τὴν πόλιν βασιλεῖ παραδώσουσι. καὶ ὁ μὲν λόγος οὗτος οἷά τις νάρκη τὰς Ῥωμαίων χεῖρας ἐπέδησε καὶ ἐγγὺς ἤδη τοῦ πορθεῖν τὴν πόλιν γεγενημένους ἔπαυσεν· αὐτὸς δὲ ὁ ῥὴξ ἐς συμβάσεις τραπόμενος ἀσπασίους μᾶλλον τοῖς ἐκ τῆς Ἄγαρ ἢ Ῥωμαίους κυδαινούC σας τὰς ξυνθήκας εἰργάσατο. οἱ δ' οὖν στρατιῶται μηδ' ὅλως ὁποῖα τὰ τῆς εἰρήνης κατεξετάσαντες, ἀλλὰ καὶ πρὸς μόνην τὴν ταύτης ἀκοὴν νόστου μνησάμενοι, τὴν ναυτικὴν ἀπαιδευσίαν πράγμασιν αὐτοῖς καθυπέδειξαν δραστικωτέραν πυρός, καὶ ἀταξίας εὐθὺς ἐνέπλησαν τὰ στρατόπεδα. αἵ τε γὰρ ἑλεπόλεις ὑπ' αὐτῶν ἐπυρώθησαν γνώμης ἄτερ τοῦ στρατηγοῦντος, καὶ τὰς πλείστας ἀποφορτισάμενοι τῶν ὁπλίσεων πρὸς ταῖς κώπαις ἐγένοντο καὶ ἐπὶ πόντον ἔβλεψαν τὸν ἀτρύγετον, μανικώτερον εἰς τὰς ναῦς ἐφορμῶντες, μηδὲ τὸ τοῦ καιροῦ δυσχείμερον καὶ τὸ τοῦ πλοὸς ἔξωρον ἐννοοῦντες· τετάρτην γὰρ ἦγεν ὁ Δεκέμβριος μήν. ἦν οὖν ἰδεῖν τὸν πο- D λύνεων ἐκεῖνον στόλον καὶ τὴν ἐπὶ λιμένων μίαν καταγωγὴν καὶ τὴν ἐκ τούτων αὖθις ἀναγωγὴν εἰς μυρία σκεδασθεῖσαν τμήματα, ἄλλων ἀγαπησάντων ἕτερον πλοῦν καὶ πάντων πρὸς τὰς πατρίδας οἰακοστροφούντων τὰς ναῦς, ὡς μόλις ἓξ ἔτι

1. παρακοπείς] διαφθαρείς A. 8. ἐπέδησε] ἐξέλυσε A, ἐμάργωσε B. 11. συνθήκας A. 14. δραστ.] ὡς εἴη τις δραστικωτέρα A. 16. ἑλεπόλεις] τετραρεῖαι καὶ μαγγανικὰ ξύλα B. 25. νῆας A.

tibus ad Romanum exercitum properat, monetque ne cum iis pugnent qui iam pridem sibi nunciarint se Romanorum imperatori deditionem facturos. ea oratio militum manus torpedinis instar alligavit et ab urbe iamiam capienda revocavit. pactione vero a rege facta, hostibus magis utili quam Romanis honesta, milites nulla ratione habita qualis ea pax esset, sed mentione eius duntaxat audita, reditus cupidi nauticam petulantiam igni esse atrociorem re ipsa monstraverunt, ac tumultu tota castra compleverunt. nam et arietes iniussu ducis incenderunt, et armis plerisque depositis in remos incubuerunt, furore quodam in naves irruentes, nihil hiberno tempore territi, ad navigationem minime apto: quartus enim Decembris dies tum agebatur. tum videre licebat ingentem illam classem ex una statione in varias diffundi tes, aliis aliam viam sequentibus, dum suam quique patriam pe-

ναυλοχεῖσθαι τριήρεις, αἳ ἤμελλον ἀνακομίσειν Ἀνδρόνικον. ὁ δὲ τὴν ἐπὶ Ἱεροσολύμων ἅμα τῷ ῥηγὶ τραπόμενος κἀκεῖθεν ἁρμοζόντως παραπεμφθείς, τὸ Ἰκόνιον παραλλάξας, ἐς Βυζάντιον παρεγένετο. τῶν δὲ πολλῶν ἐκείνων νηῶν αἱ μὲν ἀνέμων ἀντιπνοίαις περιπεσοῦσαι κατέδυσαν αὔτανδροι, αἱ δὲ κλύδωνι θαλαττίῳ διασπαρεῖσαι ὀψὲ καὶ ἔαρος ἐπιφαίνοντος τοῖς νεωσοίκοις τῆς πόλεως ἀπεδόθησαν. οὐκ ὀλίγαι δὲ καὶ τῶν ἐπιβατῶν κενωθεῖσαι καθάπαξ ἐπιλαβομένων τῆς γῆς ὡς Χαρώνεια πορθμεῖα τοῖς τῶν κυμάτων διαύλοις ἀφείθησαν φέρεσθαι, ὡς βραχείας περιλειφθῆναι, βρασμὸν θαλάσσης καὶ ναυτῶν διαδράσας ἀμέλειαν. οἱ δὲ Σαρακηνοὶ τὴν ἐφ' αὐτοὺς ὁδὸν τῶν Ῥωμαίων, ὡς ἔδειξαν, ἀποδειλιάσαντες καὶ τὸν ἐσέπειτα πλοῦν ἀποτρέποντες πρέσβεις ἐς βασιλέα ἔστειλαν, P. 110
καὶ δῶρα τὰ παρ' αὐτοῖς τιμώμενα ἔπεμψαν, καὶ τὴν εἰρήνην ἐκράτυναν.

8. Ἤδη δὲ ὠδινούσης τῆς βασιλίδος καὶ τεκεῖν ἐγγιζούσης σεσάρωτο μὲν τὸ οἴκημα καὶ διηυτρέπιστο ἀκριβῶς τὰ

2. τραπόμενος] πορευθεὶς A. 8. ὡς Χαρ.] εὔκαιρα ἐφέροντο B. 11. διαδράσας] διεκφυγούσας A. 13. ἀνατρέποντες A. 16. τῆς δὲ δεσποίνης πρὸς τὸ τεκεῖν ἐλθούσης ᾠκονομήθη μὲν ἡ πορφύρα καὶ ηὐτρεπίσθη πρὸς τὴν ὑποδοχὴν τῆς γεννήσεως· ὡς δὲ κατήπειγον αἱ ὀδύναι καὶ ἐντὸς τῆς πορφύρας ἡ δέσποινα ἦν, παρῆν καὶ ὁ βασιλεύς, βλέπων καὶ παρηγορῶν καὶ τὰς ὠδῖνας κουφίζων αὐτῆς. τὸ δὲ πλέον τοῦ βλέμματος εἶχε πρὸς τοὺς ἀστέρας καὶ τὸν καιρὸν καθ' ὃν ἔμελλε τὸ παιδίον τεχθήσεσθαι. ὡς δ' ἐγεννήθη τὸ παιδίον καὶ ἦν ἄρσεν, καὶ ἡ τέχνη τῆς ἀστρονομίας ἐδίδασκε πλούσιον εἶναι καὶ μονογενὲς καὶ τῆς πατρικῆς βασιλείας διάδοχον, θεῷ τε φωναὶ ἀπεπέμποντο χαριστήριοι, καὶ ἅπας τῆς βασιλείας ἄνθρωπος ἦν ἐν κρότοις καὶ χαρμοναῖς B. Wolfius, alter codex, inquit, rem paucioribus absolvit. ἐκ δὲ τῶν δευτέρων γάμων τοῦ βασιλέως τοῦδε παῖδα γειναμένου ἄρρενα θεῷ τε φωναὶ etc.

tunt, ut vix sex naves superessent, quae Andronicum domum reveherent. is vero Hierosolyma cum rege profectus, atque cum iusto comitatu Iconium praetervectus, Byzantium rediit. ex multis autem illis navibus alias adversi venti una cum vectoribus demerserunt; aliae fluctibus disiectae verno tempore demum in navalia urbana sunt reductae; neque paucae ubi vectores ad terram pervexerant, fluctuum arbitrio sunt permissae. ita perexiguae vel maris aestum vel nautarum negligentiam evitarunt. caeterum Sarraceni Romanorum impressiones metuentes, eorumque navigationes in posterum praecavere cupientes, legatis et amplis muneribus ad imperatorem missis pacem firmarunt.

8. Cum autem imperatrix partui propinqua esset, deprompta et adornata est purpura ad puerum suscipiendum. doloribus vero ur-

πρὸς τὴν κύησιν τοῦ παιδὸς καὶ τὴν ὑποδοχὴν τῆς μητρός· ὡς δὲ κατήπειγον αἱ Εἰλείθυιαι, ὁ πορφύρεος δόμος εἶχεν ἐντὸς τὴν ἐπίτοκον. ἠγωνία μὲν οὖν ἐπὶ τῇ γαμετῇ παρὼν βασιλεύς, καὶ τὰς ὀδύνας ἐκούφιζεν ὀπτανόμενος, τὸ πλέον δὲ τοῦ βλέμματος ἐχαρίζετο τῷ σκεπτομένῳ τοὺς ἀστέρας καὶ τοῖς κατ' οὐρανὸν διαχαίνοντι. ἐπεὶ δὲ τὸ τεχθὲν ἐξώλισθε τῆς νηδύος καὶ ἦν ἄρσεν καὶ ἡ τέχνη ἐδίδασκεν ὄλβιον καὶ μοιρηγενὲς καὶ V. 89 τῆς πατρῴας ἀρχῆς διάδοχον, θεῷ τε φωναὶ ἀπεδίδοντο B χαριστήριοι καὶ ἅπας ἦν ἐν κρότοις καὶ χαρμοναῖς. ὑπεξαίρων δὲ τὴν γενέθλιον καὶ ὀνομαστήριον τοῦ παιδὸς ἡμέραν, ὡς εἴθιστο παρὰ τοῖς βασιλεῦσι Ῥωμαίων τοὺς ἐντιμοτέρους τῶν πολιτῶν μετὰ κλάδων θαλιῶν εἰς τροφὴν ἐκάλει, καὶ Ἀλέξιον τὸν παῖδα ὠνόμασεν, οὐχ ἁπλῶς τὴν κλῆσιν ἀπολεξάμενος, οὐδὲ τὸν παῖδα τιμῶν τῷ τοῦ τεκόντος τὸν γεγεννηκότα ἐκεῖνον ὀνόματι, ἀλλὰ προσέχων τὸν νοῦν προρρήματι πρὸς τὴν ὑποβληθεῖσαν ἐρώτησιν ἐξενεχθέντι, ἥτις ἦν ἐς ὅσον ἡ τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ παραταθείη σειρά, τὸ C δὲ προαγόρευμα αἷμα, ὃ τῆς συλλαβῆς διιστάμενον καὶ κατὰ στοιχεῖον ἀναλεγόμενον διὰ μὲν τοῦ Α σαφῶς ὑπέγραφε τὸν Ἀλέξιον, διὰ δὲ τοῦ Ι τὸν Ἰωάννην, διὰ δὲ τῶν ἐφεξῆς δύο γραμμάτων τὸν Μανουὴλ καὶ τὸν ἐξ ἐκείνου πάλιν παραληψόμενον τὴν ἀρχήν. ὡς οὖν ὁ παῖς τὴν ἡλικίαν προέκοπτε καὶ κατὰ εὐθαλὲς καὶ πῖον νεόφυτον εἰς αὔξην ἀνέτρεχεν, ἕτερος σκοπὸς ἀνῆκε τὸν βασιλέα· καὶ δὴ μετατίθησι τοὺς ὅρκους πρὸς τὸν υἱόν, οὓς ἐπὶ τῇ θυγατρὶ Μαρίᾳ καὶ τῷ μνήστορι ταύτης Ἀλεξίῳ

11. τοὺς ἐντιμοτέρους] θαλίαις τοὺς ἀστυπολίτας εὐώχει A. 15. προρρήσει A. 16. ἐξενεχθείσῃ A. 24. πρὸς] εἰς A. 25. μνηστῆρι A.

gentibus, ea in purpura collocata, adest et imperator, suaque praesentia coniugem solatur et sublevat, magis tamen in stellas et punctum edendi fetus animo intentus. nato filio, quem astronomia docebat divitem fore atque unigenitum et paterni imperii successorem, deo gratiae agebantur, omnesque subditi plaudebant et laetabantur. ipse vero imperator, ut diem natalem celebriorem redderet, cives honoratiores, uti moris erat, ramos gestantes conviviis excepit, et puerum Alexium nominavit. idque non temere, nec tam ut eum proavi sui nomine honoraret, quam propter oraculum, quo ei per ambages responsum fuerat seriem Comneniae familiae duraturam tantum, quot litteras nomen Aima, hoc est sanguis, complecteretur. ac per A Alexius, per I Iohannes, per M et A Manuel et filius eius alter Alexius haud obscure significabantur. cum puer aetate procederet et instar fecundae plantae cresceret, aliud consilium capit im-

τῷ Παίονι πρώην εἶχε τετελεκώς. ὅθεν αὐτόν τε τὸν βασιλέα, καὶ ἐφ' ὃν οἱ ὅρκοι, καὶ τοὺς ἀποδώσοντας τούτους τὸ ἐν Βλαχέρναις εἰσεδέχετο τῆς θεομήτορος μέγα καὶ περίπυστον τέμενος. καὶ διὰ τῆς τελεσιουργίας τῶν ὅρκων εἰς τὸν D
ἐξ ὀσφύος αὐτοῦ τὴν σκηπτουχίαν, ὡς ᾤετο, μεταθέμενος, μετὰ βραχὺ τοῦ μνήστορος Ἀλεξίου τὸ θυγάτριον ἀποζεύγνυσι, καὶ αὐτῷ μὲν εἰς γυναῖκα ἐγγυᾶται τὴν τῆς γυναικός οἱ ὁμόσπορον, ἄρτι σὺν τῷ ἀδελφῷ Βαλδουίνῳ τῆς Ἀντιοχείας ἀπάρασαν. ὡς δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ὁ τῆς Οὐγγρίας ἀπέθανε ῥήξ, εὐτύχημα τὸν τούτου θάνατον ὁ Μανουὴλ ἡγησάμενος πέμπει τὸν Ἀλέξιον εὐθὺς μετὰ λαμπρᾶς δορυφορίας καὶ βασιλείου πλείστης παρασκευῆς, τὴν Παιονικὴν παραληψόμενον δυναστείαν καὶ βασιλεύσοντα τῶν ὁμοεθνῶν. καὶ εἶχε τοῦτον ἀταλαιπώρως ἡ Παιονία ταινίᾳ ῥηγικῇ διαδούμενον καὶ τοῦ γένους ὅλου ἀνενδοιάστως δεσπόζοντα. ὁ δὲ βασιλεὺς αὖθις ἀνηρεύνα ἐπιμελῶς τὸν τῇ ἐκείνου θυγατρὶ συζευξόμενον. καὶ Ῥωμαίων ἀθερίζων ὅσοι πρὸς γένους ἐπίδοξοι, ἐφιλοκρίνει τοὺς δυνάστας ἐθνῶν, ὁπόσοι μὴ ζυγῖται, καὶ τοὺς ὅσοι παίδων γονεῖς τὴν πατρῴαν διαδεξομένων μετὰ πότμον τῶν γειναμένων τούτους ἀρχήν. καὶ ἐπειδήπερ ἔπιπτε τὸ πρωτεῖον πρὸς τὸν κρατοῦντα Σικελίας Γιλίελμον, P. 111
ἄλλος ἐπ' ἄλλῳ πρέσβυς εἰς ἐκεῖνον ἐστέλλοντο, καὶ παρ' ἐκείνου αὖθις τὸ κῆδος πρεσβεύοντος ἐπάλληλα ἦν τὰ κηρύκεια,

6. μνηστῆρος A. 7. κατεγγυᾶται A. 9. ὡς δὲ] ἐπεὶ δὲ καὶ πέρας τότε τοῦ βίου κατειλήφει τὸν τὴν Οὐνναρχίαν τότε περιζωννύμενον, ἀπρόοπτον A. 17. γένους] γάμον A. 18. συζυγῖται A, ὅσοι γυναῖκας μὴ εἶχον B. 22. πρέσβεις A.

perator, et iusiurandum de imperii successione a Maria filia et eius marito Alexio Pannonio in filium transferre instituit. proinde cum filio et civibus in amplissimo templo genetricis dei convenit, et per iusiurandum imperii successione in filium, ut putabat, translata, paulo post filiam ab Alexio seiungit; eique uxoris suae sororem, recens cum Balduino fratre Antiochia profectam, despondet. ut autem sub id tempus Hungariae rex obiit, Manuel eius mortem peropportunam ratus Alexium statim cum splendido comitatu et maximo apparatu regio ad Pannoniae dominatum accipiendum ablegat. eo sine labore diademate ornato, et totius Hungariae rege citra controversiam declarato, imperator studiose maritum alterum filiae quaerit. ac nobilibus Romanis praeteritis, indagat qui exterarum nationum principes aut caelibes essent aut filios haberent paternis regnis successuros. cum autem Guilielmus Siciliae rex in eo genere principatum tenere videretur et ab illis nuptiis non abhorreret, crebrae legationes ultro citroque missae de matrimonii conditionibus frustra

καὶ ἦν ἐφ' ἱκανὸν τὰ τῶν γάμων λογολεσχούμενα προεισόδια. ἀμφιτάλαντον δὲ τὴν ἐπὶ τούτοις καὶ τὰ πρῶτα ἔχων ὁ βασιλεὺς ῥοπὴν καὶ οἷον κυμαίνουσαν καὶ πολλὰς μεταβολὰς λαμβάνουσαν καὶ τροπάς, ὀψέ ποτε μεθίσταται τοῦ σκοποῦ, Ῥωμαίοις κρίνας ἀσύμφορα τὰ μετὰ τοῦ ῥηγὸς Σικελίας μνηστεύματα. ἦν οὖν ἡ κόρη πολυμνήστη βασίλεια, καὶ κατὰ τὴν Ἀγαμεμνόνειον Ἠλέκτραν ἄλεκτρος ἐπὶ πολὺ τοῖς ἀνακτόροις B ἀλύουσα, καὶ κατ' ἀχερωΐδα ὑδρηλὴν ὑψηλὴ καὶ κοίτης ἀνδρῴας ἱμείρουσα. συνέζευκτο δ' οὖν ὅμως μετὰ πολλὴν τοῦ βασιλέως προμήθειαν ὕστερον ἑνὶ τῶν τοῦ μαρκεσίου Μόντης φεράντης υἱῶν, χαρίεντι τὴν ὄψιν καὶ ἰδεῖν ἡδίστῳ καὶ τὴν κόμην ἡλιῶντι καὶ εὐπρεπεῖ καὶ μήπω φύοντι γένειον, αὐτὴ τὸ τριακοστὸν ὑπεραναβᾶσα ἔτος καὶ ἀνδρικὴ τυγχάνουσα τὴν ἰσχύν.

9. Ἀλλ' ἐνταῦθα τῆς ἱστορίας γενόμενος καὶ ταῦτα τοῖς εἰρημένοις προσεπαγάγω. ἔστι τις θαλάττιος κόλπος ἑσπέριος, Ἀδρίας λεγόμενος, ἀναχωρῶν μὲν τοῦ Σικελικοῦ πελάγους καὶ οἷά τι ἐξέραμα τοῦ Ἰονίου ῥοῦ, καθ' ἑαυτὸν ἰδιά- V.90 ζων καὶ πρὸς Βορρᾶν ἄνεμον ἐπὶ πολὺ συρόμενος. τούτου C δὴ τὰ μυχαίτατα Ἐνετοὶ νέμονται, οὓς καὶ Βενετίκους εἴποι τις ἂν κατὰ γλώττης ἰδιότητα, ἄνδρες θαλάττης τρόφιμοι, κατὰ Φοίνικας ἀγύρται, πανοῦργοι τὸ φρόνημα. ἀλλ' οὗτοι Ῥωμαίοις εἰσποιηθέντες κατὰ χρείαν ἦν ὅτε ναυμαχικήν, κα-

2. δὲ] δὲ καὶ A. 11. χαρίεντι] τὴν ἡλικίαν ὄρθιον B. 12. τὴν κόμην] ξανθίζουσαν κόμην B. 16. προσεπαγάγω] προσθήσω A. 19. καὶ πρὸς B.] ὅτε δὲ βορρᾶς ἄνεμος γίνεται, ἁπλοῦται ἐπὶ πολύ B. 21. θαλασσομάχοι, ὀρθοὶ ὡς φοίνικες A. 23. εἰσποιηθέντες] εἰσδεχθέντες καὶ πραγματείας ποιοῦντες καὶ ἐγκουσάτοι ὄντες B, ποιηθέντες A.

agitabant. nam imperator a principio ambiguus, et animo diversis consiliis distracto subinde fluctuans, sententiam tandem mutat, affinitatem Siciliae regis non e re publica fore existimans. ita filia eius, quamvis a multis procis expetita, diu coelebs et moesta in palatio desedit. sed post longam patris circumspectionem, tandem uni ex filiis Montisferrati marchionis, adolescenti formosissimo suavissimoque, imberbi adhuc nubit, quamvis ipsa XXX annum excessisset, virili praedita robore.

9. Hoc loco illud etiam est inserendum. Occidentalis maris sinus, qui Adria dicitur, a Siculo pelago remotus et Ionii maris abscessus quidam separatus, Aquilone spirante late exaestuat. eius sinus intima Heneti, qui et Veneti appellantur, incolunt, homines maris alumni, vagi Phoenicum instar, callidis praediti ingeniis. hi

τὰ σμήνη καὶ φατρίας τὴν Κωνσταντίνου τῆς οἰκείας ἠλλάξαντο, ὅθεν ἁπανταχοῦ τῆς τῶν Ῥωμαίων ἐπικρατείας διασπαρέντες, καὶ μόνον τὸ ἀπὸ γένους ὄνομα παραμεμενηκὸς αὐτοῖς ἔχοντες, τὰ δ' ἄλλα σύμφυλοι ὄντες καὶ φίλοι πάνυ Ῥωμαίοις ηὔξάνοντό τε καὶ ἐχυδάϊζον. οὐκοῦν καὶ περιβαλλόμενοι πλοῦτον πολὺν αὐθάδειάν τε καὶ ἀναίδειαν μετεδίωκον, ὡς μὴ μόνον ἀναρσίως ἔχειν Ῥωμαίοις ἀλλὰ καὶ τῶν D
βασιλικῶν ἀνεπιστρόφως ἀπειλῶν τε καὶ ἐντολῶν. μεταλλοιοῖ τοίνυν τὰς ἐπ' αὐτοῖς ῥοπὰς βασιλεύς, καὶ νῦν μὲν τοῦ κατὰ Κέρκυραν μεμνημένος ἐμπαροινήματος, νῦν δ' ἄλλου πεῖραν λαμβάνων κακοῦ, αὖθις δ' ἑτέρου καὶ χείρονος πανουργεύματος τὴν ἐκείνου διαρριπίζοντος ψυχήν, εἰς θυμὸν ἐρρόχθησεν ὥσπερ ὑπὸ Καικίου ἢ ἀπαρκτίου ἅλμη καταιγιδῶδες καὶ ἄγριον πνέοντος. καὶ ἐπειδὴ τὰ τούτων ἀτοπήματα ὑπέραντλά οἱ ἐδέδοκτο, γράμματα ἐφοίτων κατὰ πᾶσαν ἐπαρχίαν Ῥωμαϊκὴν τὴν τῶν Βενετίκων κατάσχεσιν ἐπιτείνοντα, καὶ τὴν ἡμέραν διασημαίνοντα καθ' ἣν ἔδει τοῦτο γενέσθαι καὶ τὰ ἐκείνων ἔσεσθαι δημόσια χρήματα. ἐνστάσης οὖν τῆς προθεσμίας ἅπας συνείληπτο, καὶ τῶν κτημάτων ἐκείνοις τὰ μὲν εἶχε τὸ βασιλικὸν θησαυροφυλάκιον ξυνενεχθέντα ὁπόθεν, τὰ πλείω δὲ οἱ τοπαρχοῦντες ἐξιδιώσαντο. οἱ δ' ἐν τῇ πόλει τὰς οἰκήσεις ἔχοντες Βενέτικοι, καὶ τούτων μάλιστα οἱ μὴ γάμοις ὡμιληκότες, δρασμὸν βουλεύονται, καὶ ἐπειδὴ τοῖς νεωρίοις ἐπώρμει τῆς πόλεως ναῦς τῶν τριαρμενίων, ἧς δὴ πολυχαν-

4. ἑαυτοῖς A. τὰ δ' ἄλλα] κατὰ δὲ φιλίας καὶ συμπενθερίας ἀναμεμιγμένοι μετὰ τούτων B. 11. πανουργήματος A. 16. ξυνεπιτείνοντα A. 24. ναῦς μεγάλη τριάρμενος B.

aliquando a Romanis ob belli navalis necessitatem suscepti maximo numero Cpoli consederunt, et in omnibus Romanis provinciis dispersi, solo retento nomine veteri, affinitatibus amicitiis caeterisque rebus coniunctissimi Romanis, admodum creverunt; et magnas opes nacti contumaces et impudentes evaserunt; nec Romanos tantum odisse, sed etiam edicta et minas imperatoris negligere coeperunt. unde factum est ut is mutata benevolentia, nunc Corcyraeae insolentiae recordatus, nunc alia atque alia iniuria irritatus, vehementer illis irasceretur; eorumque grassationes intolerabiles ratus, literis in omnes provincias missis Venetos omnes certa die comprehendi eorumque bona publicari iuberet. quod cum ad constitutum tempus factum esset, eorumque bona partim in fiscum relata partim a praesidibus provinciarum occupata essent, Veneti qui in urbe habitabant, coelibes in primis, fugam adornant; navique tribus ornata velis noctu conscensa, qua nulla unquam maior aedificatum iri creditur, abierunt; quos cum imperatoriae naves ar-

καὶ ἦν ἐφ' ἱκανὸν τὰ τῶν γάμων λογολεσχούμενα προεισόδια.
ἀμφιτάλαντον δὲ τὴν ἐπὶ τούτοις καὶ τὰ πρῶτα ἔχων ὁ βα-
σιλεὺς ῥοπὴν καὶ οἷον κυμαίνουσαν καὶ πολλὰς μεταβολὰς
λαμβάνουσαν καὶ τροπάς, ὀψὲ ποτε μεθίσταται τοῦ σκοποῦ,
Ῥωμαίοις κρίνας ἀσύμφορα τὰ μετὰ τοῦ ῥηγὸς Σικελίας μνη-
στεύματα. ἦν οὖν ἡ κόρη πολυμνήστη βασίλεια, καὶ κατὰ τὴν
Ἀγαμεμνόνειον Ἠλέκτραν ἄλεκτρος ἐπὶ πολὺ τοῖς ἀνακτόροις
B ἀλύουσα, καὶ κατ' ἀχερωΐδα ὑδρηλὴν ὑψηλὴ καὶ κοίτης ἀν-
δρῴας ἱμείρουσα. συνέζευκτο δ' οὖν ὅμως μετὰ πολλὴν τοῦ
βασιλέως προμήθειαν ὕστερον ἑνὶ τῶν τοῦ μαρκεσίου Μόν-
της φεράντης υἱῶν, χαρίεντι τὴν ὄψιν καὶ ἰδεῖν ἡδίστῳ καὶ
τὴν κόμην ἡλιῶντι καὶ εὐπρεπεῖ καὶ μήπω φύοντι γένειον,
αὐτὴ τὸ τριακοστὸν ὑπεραναβᾶσα ἔτος καὶ ἀνδρικῇ τυγχάνουσα
τὴν ἰσχύν.

9. Ἀλλ' ἐνταῦθα τῆς ἱστορίας γενόμενος καὶ ταῦτα τοῖς
εἰρημένοις προσεπαγάγω. ἔστι τις θαλάττιος κόλπος ἑσπέρι-
ος, Ἀδρίας λεγόμενος, ἀναχωρῶν μὲν τοῦ Σικελικοῦ πελά-
γους καὶ οἷά τι ἐξέραμα τοῦ Ἰονίου ῥοῦ, καθ' ἑαυτὸν ἰδιά-
V.90 ζων καὶ πρὸς Βορρᾶν ἄνεμον ἐπὶ πολὺ συρόμενος. τούτου
C δὴ τὰ μυχαίτατα Ἐνετοὶ νέμονται, οὓς καὶ Βενετίκους εἴποι
τις ἂν κατὰ γλώττης ἰδιότητα, ἄνδρες θαλάττης τρόφιμοι,
κατὰ Φοίνικας ἀγύρται, πανοῦργοι τὸ φρόνημα. ἀλλ' οὗτοι
Ῥωμαίοις εἰσποιηθέντες κατὰ χρείαν ἣν ὅτε ναυμαχικήν, κα-

2. δὲ] δὲ καὶ A. 11. χαρίεντι] τὴν ἡλικίαν ὄρθιον B. 12. τὴν κόμην] ξανθίζουσαν κόμην B. 16. προσεπαγάγω] προσθήσω A. 19. καὶ πρὸς B.] ὅτε δὲ βορρᾶς ἄνεμος γίνεται, ἀπλοῦται ἐπὶ πολύ B. 21. θαλασσομάχοι, ὀρθοὶ ὡς φοίνικες A. 23. εἰσποιηθέντες] εἰσδεχθέντες καὶ πραγματείας ποιοῦντες καὶ ἐγκουσάτοι ὄντες B, ποιηθέντες A.

agitabant. nam imperator a principio ambiguus, et animo diversis consiliis distracto subinde fluctuans, sententiam tandem mutat, affinitatem Siciliae regis non e re publica fore existimans. ita filia eius, quamvis a multis procis expetita, diu coelebs et moesta in palatio desedit. sed post longam patris circumspectionem, tandem uni ex filiis Montisferrati marchionis, adolescenti formosissimo suavissimoque, imberbi adhuc nubit, quamvis ipsa XXX annum excessisset, virili praedita robore.

9. Hoc loco illud etiam est inserendum. Occidentalis maris sinus, qui Adria dicitur, a Siculo pelago remotus et Ionii maris abscessus quidam separatus, Aquilone spirante late exaestuat. eius sinus intima Heneti, qui et Veneti appellantur, incolunt, homines maris alumni, vagi Phoenicum instar, callidis praediti ingeniis. hi

τὰ σμήνη καὶ φατρίας τὴν Κωνσταντίνου τῆς οἰκείας ἠλλάξαντο, ὅθεν ἁπανταχοῦ τῆς τῶν Ῥωμαίων ἐπικρατείας διασπαρέντες, καὶ μόνον τὸ ἀπὸ γένους ὄνομα παραμεμενηκὸς αὐτοῖς ἔχοντες, τὰ δ' ἄλλα σύμφυλοι ὄντες καὶ φίλοι πάνυ Ῥωμαίοις ηὐξάνοντό τε καὶ ἐχυδάϊζον. οὐκοῦν καὶ περιβαλλόμενοι πλοῦτον πολὺν αὐθάδειάν τε καὶ ἀναίδειαν μετεδίωκον, ὡς μὴ μόνον ἀναρσίως ἔχειν Ῥωμαίοις ἀλλὰ καὶ τῶν D
βασιλικῶν ἀνεπιστρόφως ἀπειλῶν τε καὶ ἐντολῶν. μεταλλοιοῖ τοίνυν τὰς ἐπ' αὐτοῖς ῥοπὰς βασιλεύς, καὶ νῦν μὲν τοῦ κατὰ Κέρκυραν μεμνημένος ἐμπαροινήματος, νῦν δ' ἄλλου πεῖραν λαμβάνων κακοῦ, αὖθις δ' ἑτέρου καὶ χείρονος πανουργεύματος τὴν ἐκείνου διαρριπίζοντος ψυχήν, εἰς θυμὸν ἐρρόχθησεν ὥσπερ ὑπὸ Καικίου ἢ ἀπαρκτίου ἅλμη καταιγιδῶδες καὶ ἄγριον πνέοντος. καὶ ἐπειδὴ τὰ τούτων ἀτοπήματα ὑπέραντλα οἱ ἐδέδοκτο, γράμματα ἐφοίτων κατὰ πᾶσαν ἐπαρχίαν Ῥωμαϊκὴν τὴν τῶν Βενετίκων κατάσχεσιν ἐπιτείνοντα, καὶ τὴν ἡμέραν διασημαίνοντα καθ' ἣν ἔδει τοῦτο γενέσθαι καὶ τὰ ἐκείνων ἔσεσθαι δημόσια χρήματα. ἐνστάσης οὖν τῆς προθεσμίας ἅπας συνείληπτο, καὶ τῶν κτημάτων ἐκείνοις τὰ μὲν εἶχε τὸ βασιλικὸν θησαυροφυλάκιον ξυνενεχθέντα ὁπόθεν, τὰ πλείω δὲ οἱ τοπαρχοῦντες ἐξιδιώσαντο. οἱ δ' ἐν τῇ πόλει τὰς οἰκήσεις ἔχοντες Βενέτικοι, καὶ τούτων μάλιστα οἱ μὴ γάμοις ὡμιληκότες, δρασμὸν βουλεύονται, καὶ ἐπειδὴ τοῖς νεωρίοις ἐνώρμει τῆς πόλεως ναῦς τῶν τριαρμενίων, ἧς δὴ πολυχαν-

4. ἑαυτοῖς A. τὰ δ' ἄλλα] κατὰ δὲ φιλίας καὶ συμπενθερίας ἀναμεμιγμένοι μετὰ τούτων B. 11. πανουργήματος A. 16. ξυνεπιτείνοντα A. 24. ναῦς μεγάλη τριάρμενος B.

aliquando a Romanis ob belli navalis necessitatem suscepti maximo numero Cpoli consederunt, et in omnibus Romanis provinciis dispersi, solo retento nomine veteri, affinitatibus amicitiis caeterisque rebus coniunctissimi Romanis, admodum creverunt; et magnas opes nacti contumaces et impudentes evaserunt; nec Romanos tantum odisse, sed etiam edicta et minas imperatoris negligere coeperunt. undę factum est ut is mutata benevolentia, nunc Corcyraeae insolentiae recordatus, nunc alia atque alia iniuria irritatus, vehementer illis irasceretur; eorumque grassationes intolerabiles ratus, literis in omnes provincias missis Venetos omnes certa die comprehendi eorumque bona publicari iuberet. quod cum ad constitutum tempus factum esset, eorumque bona partim in fiscum relata partim a praesidibus provinciarum occupata essent, Veneti qui in urbe habitabant, coelibes in primis, fugam adornant; navique tribus ornata velis noctu conscensa, qua nulla unquam maior aedificatum iri creditur, abierunt; quos cum imperatoriae naves ar-

δεστέραν ἢ μᾶλλον τὸ μέγεθος προφερεστέραν οὔ ποτε καιροῦ
P. 112 ναυλοχήσειν ἐλέγετο, ταύτης νυκτὸς ἐπιβάντες τάς τε ἀγκύρας ἀνίμησαν καὶ τὰ λαίφη τοῖς ἀνέμοις διαπετάσαντες ἀπενόστησαν. κατεδίωξαν μὲν οὖν ὀπίσω τούτων νῆες πυρφόροι καὶ τριήρεις βασιλικαὶ πλήρεις ἀνδρῶν οἳ τοὺς ἑτεροστόμους πελέκεις ἐπὶ τῶν ὤμων ἀνέχουσι. καὶ προσήγγισαν μὲν τῷ πλοίῳ, οὐκ ἴσχυσαν δ' ὅ τι καὶ δράσαιεν, καὶ τοῦ πνεύματος μὲν τὴν νῆα ἐπείγοντος ὡς ἵπτασθαι δοκεῖν, οὐ ναυτίλλεσθαι, ἀπειπόντες δὲ μάλιστα πρὸς τὸ τῆς νηὸς ὕψος ἀτεχνῶς ἀναβαῖνον ἀέριον καὶ τὸ ἀπονενοημένον τῶν ἐμπλεόντων. καὶ τότε μὲν ἡ πατρὶς Βενετία εἶχε τούτους εὐθυπλοήσαντας·
B κατὰ δὲ τὸν ἐπιόντα ἐνιαυτὸν στόλον κρατύναντες τὰς νήσους ἐπήρχοντο, ἐς δὲ τὴν Εὔβοιαν εἰσπλεύσαντες ἐπολιόρκουν τὸν Εὔριπον, καὶ μέρος τι τούτου κατασχεῖν δεδυνημένοι πῦρ τοῖς οἰκοπέδοις ὑφῆψαν. ἔαρος δ' ὑποφαίνοντος ἐκεῖθεν ἀνήχθησαν καὶ πρὸς τὴν νῆσον τὴν Χίον κατῆραν. ἐπεὶ δὲ πύθοιτο ταῦτα ὁ βασιλεὺς Μανουήλ, στέλλει τὸν μέγαν δοῦκα τὸν Κοντοστέφανον Ἀνδρόνικον περί που τὰς ἑκατὸν καὶ πεντήκοντα τριήρεις ἔχοντα, ὅτι μηδὲ τῶν Βενετίκων ὁ στόλος ἦν ἐνδεέστερος ἢ ἄλλως τὸ κατεσπουδασμένον ἔχων καὶ μὴ κατηκριβωμένον ἐν ἅπασι· πρὸς γὰρ ἀγῶνα μέγαν καὶ ἀνταγωνιστὰς Ῥωμαίους ἑτοιμασάμενοι εὖ ἁπανταχόθεν ἡρμόσθησαν,
C σθησαν, καὶ συμμαχίδας οὐκ ὀλίγας νῆας ἐπήγοντο ἀπὸ τῆς τῶν Σθλαβίνων ἐκπορισθείσας χώρας ἐκείνοις. πρὸς δὲ τὴν

1. μᾶλλον om A. 2. τάς τε ἀγκύρας] τὰ σίδηρα λαβόντες ἡρμένισαν B. 4. νῆες πυρφ.] χαράβια καὶ κάτεργα βασιλικὰ γεμισμένα ἀνδρῶν βαράγγων τε καὶ παραμονῶν B. 7. οὐκ ἴσχυσαν] οὐδὲν δέ τι δρᾶσαι γενναῖον ἴσχυον A. 16. τὴν ante Χίον om A.

matis plenae, ancipites secures gestare solitis, persequerentur, adeptae quidem illos sunt: sed ob navis altitudinem et velocitatem secundo vento volantis magis quam currentis, et vectorum audaciam, re infecta domum redire sunt coactae. Veneti prospero cursu Venetias pervecti, anno sequente classe instructa, insulas invaserunt; ac Euboeam ingressi Euripum obsederunt, et parte quadam eius occupata ignem aedificiis iniecerunt. vere instante inde Chium appulerunt. qua re audita Manuel magnum ducem Contostephanum Andronicum, cum navibus circiter CL ablegat, quod nec Veneta classis minor erat, summaque diligentia et omni apparatu ut ad magnum bellum et contra hostes Romanos instructa erat, multis etiam auxiliaribus Sclavinorum navibus ascitis. caeterum ad primam famam expeditionis Romanorum turbati in naves se contulerunt, et in alias

πρώτην ἀποκναίσαντες ἀκοὴν τῆς τῶν Ῥωμαϊκῶν νηῶν ἀποπλοίας παρὰ κώπην ἵζανον πάντες καὶ κατεδάρθανον. τοίνυν λύσαντες ἐκ Χίου πρὸς ἑτέρας νήσους μετέβαινον, κἀκείνων ἀπανιστάμενοι καὶ ἀεὶ φεύγοντες ἄλλαις προσέπλεον, ὡς πράγματα ἔχειν κἀκείνους τὰς νήσους ἀμείβοντας, καὶ Ῥωμαίους ἐν δεινῷ τίθεσθαι ὅτι μὴ εὐρόησέ σφισιν ὁ πλοῦς ἢ γοῦν ἀντίπρωροι τοῖς Βενετίκοις ἐγένοντο. ὡς δὲ μέχρι καὶ αὐτοῦ Μαλέου πεφθακὼς Ἀνδρόνικος ἦν διώκων ἄντικρυς τὰ ἀκίχητα ἢ τῆς Ἀργοῦς ὀπίσω ποντοπορεύων, πρύμναν κρουσάμενος V. 91 τῷ λιμένι προσέσχε τῆς πόλεως. οἱ δὲ Βενέτικοι τὸ D διὰ πολέμων ἑαυτοῖς ἐπαμύνειν οὔκουν εἰς ἀγαθὸν προβαῖνον ὁρῶντες μετὰ τοῦ ῥηγὸς ἐσπείσαντο Σικελίας, ἵν' ἐντεῦθεν εὐθυωροῖτο τούτοις τὰ τῆς ἀμύνης καὶ ἔχοιεν τὸν ἐπικουρήσοντα, εἰ Ῥωμαῖοι κατ' αὐτῶν ἐπίοιεν. ὁ δὲ βασιλεὺς οὐκ ἀφροντιστήσας τούτων τῶν ἀκουσμάτων (ᾔδει γὰρ ὡς καὶ φαύλη αἰτία πολλάκις παρεμπεσοῦσα πολλῶν πραγμάτων ὠδινήκει μεταβολὰς καὶ συμφορὰς ἀπέτεκεν ὑπερόγκους) πρὸς τὰς προτέρας μετὰ τῶν Βενετίκων ξυνθήκας ἀπέβλεψεν, ὡς ἐνῆν μέν, ἠγωνισμένος ἀκυρῶσαι τὰς μετὰ τοῦ ῥηγὸς Σικελίας τούτων σπονδάς, τούτων δὲ μὴ ἀθετουμένων καὶ οὕτως αὐτοὺς ἐπισπασάμενος, καὶ ἀνεξικακίαν αἰτουμένοις καὶ φιλίαν προσεπινείμας. ὅσα τοίνυν ἔθιμα ἦν αὐτοῖς ἰσοπολίταις οὖσι Ῥωμαίοις, ἀνανεωσάμενος, οὐδὲ τοῦ ἀποδοῦναι γοῦν ἀπέσχετο ἅπερ τῆς οὐσίας σφῶν ἡ βασίλειος γάζα ἔστεγεν. οἱ δὲ τὴν κερδαλέαν ὡς ἔμποροι μηδ' αὐτοῖς καὶ βασιλεῖ ἀργαλέαν τραπόμενοι, τὸν μὲν ἀναδασμὸν τῶν οἰκείων

10. λιμένι] ναυστάθμῳ A. 20. τούτων στ.] ἐκείνων στ. A. 22. ἔθιμα τοῖς βενετίκοις ἰσοπ. A.

insulas subinde fugiendo transierunt, ut et ipsis mutationes laboriosae essent, et Romani aegre ferrent negotium minus feliciter succedere nec sibi pugnandi potestatem ab hoste fieri. Andronicus vero Maleam usque provectus, cum se ea sequi cerneret quae assequi non posset, converso cursu in portum Byzantinum rediit. enimvero Veneti, cum suos bello parum proficere viderent, cum rege Siciliae pacem fecerunt, ut si arma eis inferrentur, illius auxiliis contra Romanos defenderentur. ea fama impulsus imperator, non ignarus saepe ex levi causa magnas mutationes et ingentes calamitates esse ortas, antiquum foedus cum Venetis renovavit. et quanquam eos a pace Siciliensi avellere non poterat, tamen petentibus veniam dedit, eaque restituit omnia, quae de more, ut Romani cives, obtinuerant; et quicquid de eorum opibus in fiscum relatum erat, reddere non

P. 113 χρημάτων χαίρειν εἴασαν, σοφιστικόν τι καὶ δραστήριον ἐννοήσαντες, ἐκ δὲ συμφώνου συνῆλθοσαν δέκα πρὸς τοῖς πέντε χρυσίου λήψεσθαι κεντηνάρια ἀνθ' ὧν ἀπώλεσάν χρημάτων παντοδαπῶν. καὶ εἶχον ταῦτα οὐχ ἅμα, πολλάκις δὲ χορηγούμενα.

ΤΟΜΟΣ ΕΚΤΟΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ

ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ.

V. 92 1. Ἀλλ' οὕτω μὲν καὶ ταῦτα διήνυστο τῷ βασιλεῖ Μα-
B νουήλ· ὁ δὲ λόγος προβαινέτω τοῖς ἐφεξῆς, καὶ διδότω τῇ ἱστορίᾳ ὡς ἕκαστον ἔχει καὶ χρόνου καὶ πράγματος. ἐπεὶ γὰρ οὐκ ἦν ἡσυχίαν τὸν σουλτάνον ἀσπάσασθαι, ἅπαξ ἐπιτήδειον ἑαυτῷ πρὸς χρηματισμὸν καὶ τοῖς Τούρκοις δὲ ὅλως ἀνυσιμώτατον γνόντα τὸ ἀεὶ ἐπὶ τὰ Ῥωμαίων ὅρια ἐκκεχύσθαι, ἔξεισι καὶ πάλιν κατ' αὐτοῦ βασιλεύς. τὰ πλεῖστα μέντοι οὐδ' αὐτὸς εἴα τὸν Περσάρχην καθεύδειν, ἀλλ' ὅσα

4. οὐχ ἅμα] οὐ διὰ μιᾶς φορᾶς ἀλλὰ διὰ πολλῶν δόσεων B. 7. ΤΟΥ ΚΟΜΝΗΝΟΥ] ἐν ᾧ καὶ τὸν τῶν τούρκων διέξεισι πόλεμον B. 8. διήνυσται A. 10. πράγματος] τάξεως A. ἐπειδὴ A. 11. ὁ σουλτὰν ἀσπάζεσθαι A. 13. γνόντα] ὄντα A.

recusavit. sed ipsi aliam commodiorem et utiliorem rationem secuti, ut strenui et solertes mercatores, omissa pecuniae suae repetitione pepigerunt ut sibi quindecim auri centenarii pro confiscatis bonis darentur; quae summa non simul sed pluribus pensionibus eis persoluta est.

NICETAE CHONIATAE LIBER VI

RERUM A MANUELE COMNENO GESTARUM.

1. Hoc negotio confecto Manuel contra Sultanum educit copias, hominem inquieti ingenii, Romanarum provinciarum perpetuas incursiones suis Turcarumque opibus augendis utilissimas iudicantem. quare nihil otii concedendum ei, sed subinde armis vicissim lacessendum esse putavit. proinde nulla foedera, nullae indutiae, legationes nullae expeditiones eorum morabantur, cum uterque au-

καὶ θῆρα ὠμηστὴν ἐφυπνώττοντα ἐξηγρίαινεν ὑπονύσσων καὶ τοῦ κοίτου ἀνίστη καὶ πρὸς μάχην ἠρέθιζεν. ἀτὰρ οὐδ' ἀνακωχαὶ πολέμων οὐδ' ἐκεχειρίαι τῶν ἀντιτάξεων σπονδαί τε καὶ ξυνθῆκαι καὶ διακηρυκεύματα πρέσβεων ἀπεῖργον τὰς κατ' ἀλλήλων ἐπελεύσεις καὶ ἀπετείχιζον· ἀλλ' ἄμφω πρὸς θερμουργίαν ὄντες ἐπιρρεπεῖς καὶ πρὸς πόλεμον εὐπετεῖς καὶ μικρᾶς ἐνίοτε παρεισφρησάσης αἰτίας ἀλλήλοις ἀντεπεξῄεσαν, καὶ ἦν ἔργον αὐτοῖς τὰ μάλιστα περισπούδαστον ἡ πανοπλίας περίδυσις καὶ ἡ τῶν ταγμάτων συναγωγὴ καὶ τὸ ταῦτα συμ- P. 114 πεσόντα διαπληκτίζεσθαι. κατὰ τοῦτο δὲ ἀλλήλων διήλλαττον, ὅτι ὁ μὲν σουλτάνος ἀεὶ προμηθευτικὸς καὶ βουλευτικὸς ἐδόκει τις εἶναι καὶ τὰ ἔργα ποιῶν μετὰ σκέμματος, καὶ ἐτολύπευε τὰς μάχας διὰ τῶν ὑπ' αὐτὸν στρατηγῶν πεφυλαγμένως (οὐ γάρ πού τις αὐτὸν ἐθεάσατο ἐπὶ μετώπου ἱστάμενον φάλαγγος ἢ τὸν κάματον τοῖς στρατιώταις συνδιαφέροντα), ὁ δὲ βασιλεὺς γενναίαν ἔχων τὴν φύσιν ὀξύρροπος ἐν τοῖς πολέμοις ἐδείκνυτο, καὶ τὰς διὰ χειρὸς πράξεις δραστήριος ἦν, καὶ φήμης διαδοθείσης πολλάκις ἐσβαλεῖν που τοὺς πολεμίους καὶ κακῶς τιθέναι τὴν ὑπ' ἐκείνῳ ἀρχὴν πρῶτος τὸν ἵππον ἀνέβαινε καὶ ἀπεθάρρει τὴν ἔξοδον. θελήσας B οὖν τὸ Δορύλαιον ἀνακτίσαι, προσεξῆψέ τε καὶ παρέθηξε τὸ V. 93 βάρβαρον εἰς πόλεμον ἐντεῦθεν, ὅτε καὶ τὴν βασιλέως ἐς τὸ Δορύλαιον ἄφιξιν ἀγνοεῖν πλαττόμενος, διαπρεσβευσάμενος τὴν αἰτίαν ἐπυνθάνετο καὶ παρῃτεῖτο αὐτὸν ἐκεῖθεν ἀπαναστεῦσαι. ὁ δὲ κέρτομόν τι καὶ σεσηρὸς ἐνορῶν οἷς τὰ τοῦ

11. σουλτὰν A. 21. παρέθηξε] ἐπέθηρε τὸν β. ἐντεῦθεν πρὸς πόλεμον A. 25. ἐνορῶν] ἐννοῶν A.

dax et belli cupidus levissima de causa ad arma alteri inferenda moveretur. nihil igitur eis erat antiquius quam perpetuo in armis esse, legiones contrahere, inter sese decertare. hoc tantum inter eos intererat, quod Sultanus magno consilio et providentia omnia administrabat, nec temere in acie versabatur, sed per duces suos rem bellicam administrabat. at imperator generoso praeditus animo, acer in pugnis et manu strenuus, quoties hostes ingruere et provincias male tractare audiebat, primus equo conscenso in militiam egrediebatur. Dorylaeum autem instauraturus Sultanum ad bellum concitavit; qui quasi ignoraret quid ibi ageret, per legatos causam illius profectionis sciscitatur, oratque ut inde discedat. imperator, cui Sultani dissimulatio ex iis literis subolebat, vicissim se non parum mirari simulabat illum tantum suum iter eiusque itineris causam ignorare. urbis autem instaurationem aggressus ipse primus saxa humeris portare coepit; eaque re aliorum alacritatem ita excitavit, ut murus

σουλτάνου γράμματα διεξῄει, ἐν μέρει δὴ οὗ τοῦ τυχόντος ἐτίθετο θαύματος ὅπως τὸν μέχρι καὶ Δορυλαίου δρόμον ἐκείνου ἠγνόησε καὶ τὴν αἰτίαν πλάττεται μὴ εἰδέναι. ἐπεὶ δὲ καὶ τὴν πόλιν ἀνοικοδομεῖν ἐπεβάλετο, νωτοφορεῖν τοὺς λίθους ἀρξάμενος οὕτω καὶ τοὺς ἄλλους ἠρρένωσεν ὡς ἀπτέρῳ τάχει τὸ τεῖχος ἀνεγερθῆναι καὶ προσεπιβληθῆναί οἱ χαρά-
C κωμα ἔξωθεν καὶ ἀνορυχθῆναι φρεάτια ἔσωθεν εἰς πλείονας ὑδάτων ἀντλήσεις. ἐν δεινῷ δὲ οἱ Πέρσαι τιθέμενοι εἴπερ τῶν Δορυλαίου πεδίων ἀπανασταῖεν, ἐν οἷς ἐθέριζε τὰ τούτων αἰπόλια καὶ βουκόλια πόαις ἐνσκιρτῶντα ταῖς λειμωνίτισι, καὶ δομηθήσεται πόλις καὶ φρουρὸς ἐγκαθεσθείη φάλαγξ Ῥωμαϊκή, ὅλαις ἡνίαις κατὰ Ῥωμαίων ἐφέροντο, καὶ τὰς ἐπὶ σιτισμὸν ἐξόδους ἐκείνων τηροῦντες τὴν ξύλευσιν ἀνεῖργον καὶ ἀνῄρουν τοὺς ἐν χερσίν. ὁ βασιλεὺς δὲ τὸ δεινὸν τοῦτο ῥᾳδίως ἰάσατο· τακτὸν γὰρ ὁρίσας καιρὸν τοῖς ἐπὶ συλλογὴν ἐξιοῦσι τῶν ἀναγκαίων, αὐτὸς προσημαίνων τῇ σάλπιγγι πρῶτος τοῦ χάρακος ἀπανίστατο καὶ ἡγεῖτο τῆς ἐξόδου. οὐκοῦν οὐδὲ πρὸς βραχὺ τῶν τὰ ἐπιτήδεια διφώντων μεθιστά-
D μενος ἐνίοτε περὶ βουλυτὸν ἢ καὶ βαθεῖαν ἑσπέραν ἐπανέλυεν εἰς τὸ στρατόπεδον. Πέρσαις δ' ἔμελε μὲν καὶ πολέμων πρὸς ταῦτα, καὶ συνεχῶς ἐκονίζοντο· παρεδίδοσαν δὲ καὶ πυρὶ τοὺς καρποὺς καὶ τὰς σκηνὰς ἐνεπίμπρων, ὅπως μὴ εὐποροῖεν Ῥωμαῖοι δι' ὧν τραφήσονται. ὅτε δὲ πρὸς ἑστίασιν τρα-

4. νωτοφορεῖν] πρῶτος αὐτὸς ἐπὶ τῶν ὤμων πετρανθεὶς B. 6 προσεπιβληθῆναι] σούδαν ἔξωθεν τοῦ τείχους ποιῆσαι καὶ πηγάδια ἐντὸς τοῦ κάστρου πολλὰ B. 9. ἐθέριζε] ἐβόσκοντο καὶ ἐχείμαζον B. 12. τὰς ἐπὶ σιτ.] ἐπιτηροῦντες τὸν καιρὸν καθ' ὃν ῥωμαῖοι ἐξέρχονται ἐπὶ συναγωγὴν ξύλων καὶ ἑτέρων ἀναγκαίων B. 15. ῥᾷον A. ἐπὶ] πρὸς συλλ. ἀπιοῦσι A. 17. ὁδοῦ A.

celerrime in altum eductus vallo extrinsecus muniretur, et intra moenia putei complures, ut affatim aqua suppeteret, effoderentur. at Persae non ferendum esse rati, si Dorylaei campis pellerentur, in quibus greges et armenta eorum pascebantur, et in urbe praesidium collocaretur, laxis habenis contra Romanos ferebantur; observatoque eorum ad petenda necessaria egressu obvios quosque occidebant. id incommodum imperator facile avertit: nam certo tempore ad quaerendum commeatum praefinito datoque tuba signo, primus vallo relicto dux erat eorum qui necessaria conquirebant; ac minime ab eis recedens, aliquando vesperi et crepusculo demum in castra revertebatur. quam rem Persae moleste ferentes, et in bellum intenti, fructus et casas incendebant, ne hostibus cibaria suppeterent. accidit

πομένου τοῦ βασιλέως μῆλόν τε Περσικὸν μαχαιρίῳ ἀπολεπίζοντος ἐπιδρομή τις ἀπήγγελτο Περσικὴ κατὰ τῶν τὰ βιώσιμα συλλεγόντων, καὶ ῥίψας τὴν ὀπώραν αὐτίκα καὶ τὸν ἀκινάκην περιζωσάμενος καὶ περιδὺς τὸν θώρακα καὶ τὸν ἵππον ἀναβὰς ἐξώρμησε. καὶ οἱ βάρβαροι κατὰ φάλαγγας ἵστασθαι σχηματιζόμενοι μετ' οὐ πολὺ τούτου ἐποφθέντος τὴν τάξιν ἔλυον, εἶτ' ἀποδιδράσκειν πλαττόμενοι τοὺς ἐπιόντας ἔπληττον πάλιν ὑποστρεφόμενοι καὶ τὸν τῆς τροπῆς καιρὸν εἰς τὸ βάλλειν τὸ ἐπικείμενον καὶ καταβάλλειν διατιθέμενοι. ἵππος γὰρ συχνὰ κεντρίζεται παρὰ Πέρσαις· ὁ δὲ κόπτων P. 115 θαμὰ τὸ δάπεδον ῥαγδαίως φέρεται, καὶ ὁ Πέρσης τὸ βέλος ἔχων ἐν ταῖν χεροῖν ὀπίσω τοῦτο ἀφίησι, καὶ τὸν ὁρμῶντα φθάνειν φθάσας αὐτὸς ἀνῄρηκε, καὶ τὸν ἤδη καταληψόμενον κατέλαβεν, αἴφνης μεταμειφθεὶς ὁ διωκόμενος εἰς διώκοντα. ἐπεὶ δὲ ἀνεπόλισε τὸ Δορύλαιον καὶ τὰ εἰς φυλακὴν τούτου τελείως ἀπηκριβώσατο, ἐκ τῶν ἐκεῖσε μερῶν ἀπανίσταται, εἰς δὲ τὸ Σούβλεον ὡς εἶχε παραγενόμενος ἀνήγειρέ τε κἀκεῖνο καὶ φρουρᾶς μετέδωκε. καὶ τὰ λοιπά, ὡς ᾤετο, ἀρίστως διαπραξάμενος εἰς τὴν βασιλίδα πόλιν ὑπέστρεψεν.

Ἀλλ' οὔπω χρόνος συχνός, καὶ αὖθις κατ' ἀλλήλων τὰς γνώμας ἐφλέγμαινον. τῷ τοι καὶ ἀλλήλοις ἀντενεκάλουν τε B καὶ προσῆπτον, βασιλεὺς μὲν τὸ πρὸς τὸν εὐεργέτην ἀχάριστον καὶ τὸ ἀμνῆμον τῶν προηγησαμένων εὐποιιῶν καὶ τῆς εἰς τὸ ἄρχειν τῶν ὁμοφύλων ἐκείνῳ παντοίας συνάρσεως, ὁ

2. ἀγγέλλεται A. 3. καὶ ante ῥίψ. add A. 14. κατέβαλλεν A. 15. ἀνεπόλησε A. 17. σούβλαιον B. 20. αὖθις] πάλιν A.

autem aliquando ut imperatori cibum capturo, et malum Persicum cultello purganti nuntiaretur Persas in frumentatores fecisse impetum. quare pomo abiecto, et armis propere sumptis, equo conscenso egreditur. eo viso barbari, qui phalangis instar constiterant, paulo post acie dissoluta fugaque simulata, subito conversi eos qui persequebantur caedebant. solent enim subinde calcaribus equos pungere; qui cum impetu feruntur, sagittas a tergo emittunt; mutataque subito pugnae facie, qui fugiebat fugat et insequentem interimit. Dorylaeo instaurato, et quae ad eius defensionem pertinerent, rebus omnibus instructo, discessit; et Subleo quoque instaurato et munito, caeterisque rebus quam optime ordinatis, in urbem imperatricem rediit.

Nec multo post renovatis simultatibus, uterque cum altero expostulans, imperator Sultano immemorem et ingratum pro tantis beneficiis et auxiliis animum, quibus regnum in populares ei confirmasset, Sultanus imperatori violata pacta et in dissolvenda amicitia

δὲ σουλτὰν τὸ πρόχειρον εἰς παρασπόνδησιν, καὶ τὸ φιλίας εὐκόλως ἀποπηδᾶν καὶ συγχέειν ἐκ τοῦ παραυτίκα τοὺς ὑπὲρ εἰρήνης τεθέντας θεσμούς, καὶ τὸ πλείσταις μὲν ἐκεῖνον ἐπαίρειν φιλοδωριῶν ὑποσχέσεσι καὶ βασιλικαῖς ὑποσημαίνειν ταύταις γραφαῖς καὶ βαφαῖς, ὀλίγα δὲ χορηγεῖν. διὰ ταῦτα τοίνυν τάς τε οὔσας συνεκρότει δυνάμεις ὁ βασιλεύς, καὶ V. 94 νεωστὶ ἐπὶ ταύταις ἄλλας συνέταττεν· ἐστρατολόγει δὲ καὶ C ξενικὸν οὐκ ὀλίγον, καὶ τοῦτο ἐκ τοῦ γένους μάλιστα τῶν Λατίνων καὶ ἀπ' αὐτῶν δὴ τῶν παριστρίων Σκυθῶν. καὶ δὴ ἐς μυριάδας τὸ οἰκεῖον ἀριθμήσας στράτευμα ὡς ἀφανίσων ἐπῄει τὸ Περσικὸν καὶ αὐτοῖς ἀναρπάσων τείχεσι τὸ Ἰκόνιον, καὶ τὸν σουλτάνον ληψόμενος ὑποχείριον, καὶ κατὰ τοῦ τραχήλου τούτου πατήσων ἐν τῷ ὑποθεῖναι δίκην θρανίδος ταῖς βάσεσιν ἑαυτοῦ. ἀμέλει τοι τὰ πρὸς τὴν ἔξοδον ἑτοιμασάμενος εἴσεισι τὸν μέγαν νεὼν ὃς ἀπὸ τῆς θείας καὶ ἀρρήτου σοφίας ὠνόμασται, καὶ τὸ θεῖον ἐπικαλεῖται συνέριθον, καὶ τὴν νίκην αἰτεῖται μὲν ἐκεῖθεν, οὐ δέχεται δέ, ὡς τὸ τοῦ πολέμου πέρας ὑπέφηνε, μετατεθεῖσαν πρὸς τὸ ἀντίπαλον ἀνεφίκτοις ἡμῖν θεϊκοῖς κρίμασιν. ἀπάρας οὖν τῆς βασιλίδος D τῶν πόλεων, Φρυγίαν τε καὶ Λαοδίκειαν διελθὼν ἀφικνεῖται ἐς Χώνας, πόλιν εὐδαίμονα καὶ μεγάλην, πάλαι τὰς Κολασσάς, τὴν ἐμοῦ τοῦ συγγραφέως πατρίδα. καὶ τὸν ἀρχαγγελικὸν ναὸν εἰσιών, μεγέθει μέγιστον καὶ κάλλει κάλλιστον ὄντα καὶ θαυμασίας χειρὸς ἅπαντα ἔργον, ἐκεῖθεν ἐξελάσας εἰς Λάμπιν

1. τὸ πρόχειρον] τὸ γοργοσκανδάλιστον B. 8. ἐκ τοῦ γένους] ἔκ τε φράγγων καὶ κομάνων B. 11. τὸ Περσικὸν] τὴν ὅλην τουρκίαν B. 15. ἀπορρήτου A. 24. λάμπην B.

levitatem, et pacis conditionibus temere abrogandis, et inanes magnorum munerum pollicitationes, quae rubricatis quidem litteris inscriberentur sed exigua praeberentur, obiiciebat. his de causis imperator et veteres copias colligebat et novas conscribebat; et auxilia peregrina haud parva accersebat, a Latinis potissimum et Scythis ad Istrum incolentibus; coactoque ingenti exercitu ita se parabat, quasi Persicam gentem eversurus esset et Iconium cum ipsis moenibus abrepturus et Sultani caput pedibus conculcaturus. rebus ad expeditionem necessariis praeparatis, magnum templum divinae et ineffabilis Sapientiae ingressus numinis opem implorat; et victoriam orat ille quidem, sed non impetrat, ut belli eventus docuit, Persis iudicio dei nobis inexplicabili concessam. urbe digressus per Phrygiam et Laodiceam Chonas, olim Palassas, urbem magnam et beatam, patriam meam, pervenit; et aedem Archangeli magnitudine pulchritudine et mirabili artificio insignem ingressus, Lampin discedit, et Celaenas ingreditur, ubi Maeandri fontes sunt in quem Marsyas fluvius fluit; quo

ἵκετο καὶ πόλιν Κελαινάς, ἔνθα τοῦ Μαιάνδρου εἰσὶν αἱ ἐκδόσεις καὶ ὁ Μαρσύας ῥεῖ ποταμὸς ἐμβάλλων εἰς Μαίανδρον, καὶ ὁ Ἀπόλλων ἐκδεῖραι Μαρσύαν ἐκεῖ που λέγεται καθάπερ μύωπι οἰστρηθέντα βιαίῳ καὶ περὶ τῆς ἀοιδῆς ἐρίζειν ἀρξάμενον πρὸς Ἀπόλλωνα. κἀκεῖθεν εἰς τὸ Χῶμα ἐλθὼν τῷ Μυριοκεφάλῳ ἐφίσταται. φρούριον δὲ τοῦτο παλαιὸν καὶ ἀοίκητον, προκληθέν, οἶμαι, ὃ ἐγένετο, ἢ γεγονὸς ὃ προσεκλήθη· περὶ γὰρ αὐτὸ πολλάκις μυρίαις κεφαλαῖς Ῥωμαίων ἐβλήθη θάνατος, ὡς λέξων ἔρχομαι. ἀεὶ δὲ σὺν κόσμῳ καὶ τάξει τοὺς σταθμοὺς ὁ βασιλεὺς ἐτίθετο, βάλλων χάρακας καὶ τὰς ἀπάρσεις σὺν λόγῳ ποιούμενος καὶ μεθόδοις στρατη- P. 116
γικαῖς χρώμενος, εἰ καὶ τὴν πορείαν εἶχε σχολαίαν διὰ τὰ τὰς μηχανὰς ἀνέχοντα ὑποζύγια καὶ τοὺς ἐπὶ τούτοις τεταγμένους, πολλοὺς ὄντας καὶ ἀπομάχους πάντας. ἀλλὰ καὶ οἱ Πέρσαι παραφαινόμενοι δι' ἀκροβολισμῶν ἐπέκειντο, καὶ προϊππεύοντες τὴν πόαν ἔκειρον τὴν ἐνόδιον, ὡς μὴ εἶεν τοῖς Ῥωμαίων ἵπποις χιλοί, καὶ τα ὕδατα ἠχρείουν, ὡς μὴ καθαροῦ σπῷεν Ῥωμαῖοι ὕδατος. αὐτοὶ μέντοι Ῥωμαῖοι κοιλιακῷ συνισχόμενοι νοσήματι κακῶς ἔπασχον, καὶ ἦν νοσηλεία αὕτη ἐπιβοσκομένη μάλα τὸ στράτευμα. (2) ἐπὶ δὲ τούτοις ἐμέλησε μὲν τῷ σουλτάνῳ καὶ τοῦ πολέμου, καὶ

1. Μαιάνδρου] μέντρου B. 2. ἐσβάλλων A. 5. εἰς τὸ χῶμα ἔρχεται καὶ ἐν τῷ ποταμῷ τῷ λεγομένῳ μυριοκεφάλῳ παραγίνεται· ἦν γὰρ ἐκεῖ καὶ καστέλλιον ἐκτισμένον ποτὲ ἄοικον, ὀνομαζόμενον οὕτως B. 10. χάραγγας βάλλων καὶ τὰ κατουνοτόπια ἐμμέτρως ποιούμενος, πλὴν ὀλίγον τόπον ἀπερχόμενος διὰ τὰ βαρέμιατα καὶ τὰς μηχανὰς τῶν ξύλων, ἃς ἔφερε μετὰ τῶν ὑποζυγίων καὶ ἁμαξῶν B. 19. συνισχημένοι A. 20. αὕτη om A.

loco Marsyam Apollo excoriasse fertur, furore quodam de canendi peritia secum certare ausum. inde Choma et Myriocephalum transit. castellum vetus et desertum id est, cui vel nomen ex re est inditum, vel res nomen subsecuta est: nam ibi saepe multa millia Romanorum capitum perierunt, ut dicturus sum. semper autem caute instructaque acie procedebat et vallum communiebat, neque usquam fortunae temeritati se committebat. tamen ut tardius incederet, iumenta efficiebant, a quibus machinae trahebantur, et quae eas curabat imbellium hominum multitudo. caeterum Persae subinde se ostendentes levibus praeliis Romanos lacessebant; et gramen, qua eundum eis erat, demetebant, ut pabulum iumentis deesset; et aquas inficiebant. unde Romani morbo coeliaco magnopere affligebantur et absumebantur. (2) Post haec bello Sultanus intendit animum; et magnis auxiliis ex Mesopotamia et ab aliis popularibus suis comparatis per legatos ab imperatore pacem petiit, iis conditio-

ξυμμαχικὸν συνεπορίσατο ἱκανὸν ἀπό τε τῆς μέσης τῶν πο-
B ταμῶν καὶ τῶν ἄνω συμφύλων βαρβάρων· διαπρεσβευ-
σάμενος δὲ καὶ εἰς βασιλέα τὰς πρὸς εἰρήνην συνθήκας
ᾐτεῖτο, καὶ τῶν ἐκείνῳ βουλητέων, ὁποῖα ἂν καὶ ὦσιν, ἐπένευε
τὴν περάτωσιν. ἅπαντες τοίνυν ὅσοι πολέμων οὐκ ἀμελέτη-
τοι, καὶ μάλιστα δὴ τῶν Περσικῶν, καὶ χρόνῳ προήκοντες,
ἐξελιπάρουν τὸν Μανουὴλ ἁρπάσαι τὴν τοῦ Πέρσου πρεσβεί-
αν καὶ μὴ τῷ κύβῳ τοῦ πολέμου τὰς ἐλπίδας ὅλας ἀποχαρί-
ζεσθαι, ἀφορῶντα μὲν καὶ πρὸς τὸ τοῦ ἀγῶνος μέγιστον καὶ
τὰ μὴ βάσιμα ῥαδίως τῶν τόπων, ἃ οἱ ἀντίπαλοι προλοχί-
σουσιν, ὑποβλεπόμενον δὲ οὐχ ἧττον καὶ τὴν τῶν Τούρκων
ἀκμαιοτάτην πᾶσαν καὶ εὔιππον δύναμιν, μὴ παρατρέχοντα
C δὲ καὶ τὴν νόσον ἣ πιέζει τὸ στράτευμα. ὁ δὲ τοῖς παρὰ
τῶν πρεσβυτέρων λεγομένοις μηδ' ὅλως προσσχών, τὴν δ' ἀκο-
ὴν ὅλην ἀναπετάσας τοῖς ἐξ αἵματος αὐτῷ προσήκουσι, καὶ
τούτων μάλιστα ὁπόσοι σάλπιγγος ἐνυαλίου ἦσαν ἀπεριήχη-
τοι καὶ τὴν κόμην ἀγλαοὶ καὶ φαιδροὶ τὰ πρόσωπα καὶ κλοι-
οῖς χρυσέοις καὶ περιδερραίοις διαφανέσιν ἐκ λίθων τηλαυ-
γῶν καὶ μαργαρίδων τιμαλφῶν τοὺς τραχήλους περιδεόμενοι,
τοὺς πρέσβεις ἀπράκτους ἀπέπεμψεν. ὁ δὲ σουλτάνος οὐκ
ἀνῆκεν αὖθις τὰ πρὸς εἰρήνην διαλεγόμενος. ἐπεὶ δὲ ἑώρα
μὴ προχωρούσας τὰς συμβάσεις ἀλλὰ καὶ βασιλέα αὐτὸν κατὰ
V. 95 τὸ Ἰκόνιον ἀποκρινεῖσθαί οἱ μεγαλαυχοῦντα, προκαταλαμβάνει
D τὰς δυσχωρίας αἳ κλεισοῦραι τοῦ Τζυβρίτζη κατονομάζον-
ται, ἃς καὶ ἤμελλον Ῥωμαῖοι μετὰ τὴν ἀπὸ Μυριοκεφάλου
παριέναι ἄπαρσιν, κἀκεῖσε τὰς οἰκείας παραβύει φάλαγγας,

1. ἐπορίσατο A. 4. ὁποῖα καὶ οἷα εἰσὶν B. 10. ῥαδίως om A. προσλοχήσουσιν P 11. τὴν τ. Τ.] τὴν ξένην καὶ καλοαρμάτωτον στρατιάν. B. 23. ἀποκρίνεσθαι A. 24. τζιβρίτζη A.

nibus quas ipse praescriberet. quare omnes in bellis praesertim Persicis exercitati et aetate provectiores Manueli auctores erant Persicae legationis cupide admittendae, neque spem omnem incertae Martis aleae committendi: bellum esse ingens, loca ab hostibus occupata non facile transiri posse, Turcas validissimis equitum turmis florere; ad haec luem in exercitu grassantem considerandam esse. verum ille neglectis prorsus seniorum consiliis, cognatis vero suis cupide auditis, iisque potissimum qui classicum nunquam audierant, forma et auro gemmisque conspicui, legatos voti impotes dimisit. caeterum Sultanus cum denuo pacem petiisset, et imperator gloriatus esset se illi Iconii responsurum, in angustiis quae Clisura Zybrize appellantur, per quas Romanis Myriocephalo digressis transeundum erat, suas phalanges abdit, ut impetum in eos praetereuntes

ὡς ἀντιτάξαιντο Ῥωμαίοις αὐτίκα δὴ παριοῦσιν. ἔστι δὲ ὁ τόπος οὗτος ἐπιμήκης αὐλών, ἔχων ὀρῶν ὑπερβολάς, κατὰ μὲν τὸ βόρειον κλίμα ὑποκαταβαίνων τοῦ ἀνάντους ἠρέμα εἰς γήλοφα καὶ πρὸς εὐρείας κοιλαινόμενος φάραγγας, κατὰ δὲ θάτερον μέρος εἰς προτομὰς προνεύων πετρῶν καὶ εἰς κρημνώδεις σύμπας ἀναστάσεις περιερρωγώς. ἐπὶ τοιαύτης οὖν μέλλων ἐλαύνειν ὁδοῦ οὐδέν τι τῷ στρατῷ συνοῖσον προμηθευσάμενος φαίνεται· οὔτε γὰρ τὸ πολὺ τῶν σκευοφόρων ἀπεσκευάσατο, ἢ γοῦν τὰς ἁμάξας ἐκποδὼν ἔθετο αἳ τὰς τειχομάχους ἔφερον μηχανάς, οὔτε μὴν ἀπεπειράσατο σὺν εὐζώνῳ τάγματι ἀπώσασθαι τοὺς Πέρσας πρότερον ἐκ τῶν ἀμφιλαφῶν ἐκείνων καὶ ὀρείων παρόδων καὶ λειᾶναι οὕτω τῷ στρατῷ τὴν δίοδον. ἀλλ' ὡς εἶχεν ἐπὶ πεδινῶν ποιούμενος τὴν πορείαν, οὕτω κἀπὶ τῆς τρυμαλιᾶς ἐκείνης συνθλί- P. 117
βεσθαι εἵλετο, καίπερ ἀκοῇ προειληφώς, μετὰ βραχὺ δὲ ἔχων καὶ τοὺς ὀφθαλμοὺς αὐτοπείρως πιστουμένους τὰ ἀκουόμενα, ὡς οἱ βάρβαροι προκατειληφότες τὰς ἀκρωρείας ἐπίθωνται, καὶ ὡς πᾶσαν μὲν φαρέτραν ἐκπωματίσουσι πᾶν δὲ βέλος ἀφήσουσιν, ὅπως Ῥωμαίους τροπωσάμενοι τοῦ πρόσω προβαίνειν ἐπίσχωσιν. ἐπῆγεν οὖν οὕτω τὰς φάλαγγας βασιλεύς, ἦν δὲ τότε μὴν ὁ Σεπτέμβριος. προηγοῦντο δὲ τοῦ στρατοῦ μετὰ τῶν οἰκείων τάξεων οἱ δύο υἱοὶ τοῦ Ἀγγέλου Κωνσταντίνου, ὅ τε Ἰωάννης καὶ ὁ Ἀνδρόνικος, ὁ Μακροδούκας ἐπ' αὐτοῖς Κωνσταντῖνος καὶ ὁ Λαπαρδᾶς Ἀνδρόνικος. μετὰ δὲ τοὺ-

2. ἐπιμήκης] μακρὸς ὡσεὶ βούκινον, ἔχων βουνὰ B. 5. προτομὰς] προνομὰς A. 8. τὸ πολὺ] τὰ βαρέματα τὰ πολλὰ B. 12. ἀμφιλαφῶν] ὑψηλῶν καὶ δυσβάτων τόπων A. 24. λαμπαρδᾶς A.

facerent est autem is locus oblonga convallis, verticibus montium assurgens, quae ad Septentrionem paulo declivior in colles, in patentiores valles protenditur; ab altera vero parte altis rupium praecipitiis includitur. per talem viam transiturus Manuel nihil providit quod exercitui expediret: neque enim impedimentorum multitudinem, aut currus qui machinas vehebant, removit, neque expedita cohorte Persas ex montanis illis angustiis depulit, ut exercitui viam aperiret. sed ut in patentibus campis, ita etiam in faucibus illis iter fecit, quamvis ante audiisset, id quod paulo post vidit, barbaros iugis praeoccupatis omnes pharetras exhausturos, omne telorum genus coniecturos et nihil intentatum relicturos quo Romanos ulteriore progressu prohiberent. imperator (Septembri mense id factum) sic processit. Angeli Constantini duo filii, Iohannes et Andronicus, cum suis ordinibus antecedebant. eos Macroducas Constantinus et Lapartas Andronicus sequebantur. in dextro cornu Balduinus imperatoris sororius, in sinistro Maurozomes

B τοὺς τὸ μὲν δεξιὸν ἐπεῖχε κέρας ὁ τοῦ βασιλέως γυναικάδελφος Βαλδουῖνος, τὸ δ' ἀριστερὸν ὁ Μαυροζώμης Θεόδωρος. ἐπὶ τούτοις εἵποντο τὰ σκευοφόρα καὶ τὸ οἰκετικὸν τοῦ στρατεύματος αἵ τε φέρουσαι τὰς ἑλεπόλεις ἅμαξαι, μετὰ δὲ βασιλεὺς αὐτὸς καὶ ὅσον ἐπίλεκτον, μεθ' οὓς ὀπισθοφύλαξ ὢν Ἀνδρόνικος ὁ Κοντοστέφανος. ἐπεὶ δὲ ἥψαντο τῶν δυσβάτων πορειῶν, τὰ μὲν περὶ τοὺς υἱοὺς τοῦ Ἀγγέλου καὶ τὸν Μακροδούκαν καὶ τὸν Λαπαρδᾶν τάγματα διεληλύθεισαν ἀπείρατα κακῶν· αἱ γὰρ πεζικαὶ δυνάμεις προβεβλημέναι διεσόβουν τοὺς βαρβάρους ἐκ τῶν γηλόφων ἀνασειράζουσαι, ἐφ' ὧν ἀπὸ τοῦ ὄρους καθηκόντων ἐπιστάντες ἐμάχοντο, κἀπὶ τὸ ἄναντες C παλίμποδας ἀνεστοίβαζον. τάχα δ' ἂν καὶ τὰ ἐφεπόμενα τούτοις στρατεύματα παρῆλθοσαν ἀπαθῶς τὰς τῶν Περσῶν ἐπισυστάσεις, εἴπερ ἔργον ἔθεντο Ῥωμαῖοι συμφράξασθαι καὶ τοῖς προηγουμένοις συναπτῶς ἐφέπεσθαι τάγμασι, καὶ διὰ τῶν τοξοτῶν ἀνέκοπτον τῶν ἐπικειμένων Περσῶν τὰ ὁρμήματα. νῦν δὲ αὐτοί τε τῆς συνεχείας κατημελήκασι, καὶ οἱ Πέρσαι πλείονες ἐπιβρίσαντες, ἀπό τε τῶν ὑψηλῶν ἐπὶ τὰ ταπεινὰ καὶ πρὸς τὸ πρανὲς ἐκ τῶν γηλόφων ὑποκαταβάντες, διαζευγνύουσι τὰς τάξεις συρραγέντες παραβολώτερον, καὶ τρέπονται τοὺς περὶ τὸν Βαλδουῖνον, καὶ πολλοὺς μὲν τιτρώσκουσιν, οὐκ ὀλίγους δὲ ἀναιροῦσιν. ἔνθα δὴ ὁ Βαλδουῖνος πονηρὰ D τὰ καθ' αὐτὸν ὁρῶν πράγματα καὶ τὰ στρατεύματα ἀτονώτερα ὥστε διελεῖν τοὺς πολεμίους καὶ παρελθεῖν, καὶ πάντοθεν πιεζόμενος, ἀναλαβὼν ἱππέας τινὰς εἰς τὰς φάλαγγας διελᾷ

3. ἱκετικὸν A. τὰ σαγμάρια καὶ κατοῦναι καὶ οἱ ὑποχείριοι αἵ τε ἅμαξαι B. 5. ὢν] ἦν A. 8. διεληλύθασιν A. 19. διαζευγνύουσι] διαλύουσι A.

Theodorus curabat. hos secuta sunt impedimenta, lixae, calones, currus qui machinas vehebant. inde imperator ipse cum delecta manu. extremum agmen clausit Andronicus Contostephanus. impeditum illud iter cohortes filiorum Angeli, Macroducae et Lapardae incolumes transierunt, quod pedestres copiae barbaros e collibus, unde pugnabant, in montes repulerant. forsitan et reliquae legiones salvae transissent, si Romani testudinem egissent, et antegressas cohortes strenue consecutae essent, et per sagittarios Persarum impetum repressissent. sed quia eas commoditates neglexerunt, Persarum densum agmen ab editis locis in humilia et e tumulis in planitiem magna vi incubuit, et confidentius in nostros invectum perrupit aciem, et Balduini cornu in fugam verso multos vulneravit, multos occidit. ibi Balduinus suos laborare et undique premi videns, et imbe-

τῶν Περσῶν, κυκλωθεὶς δὲ ὑπὸ τῶν πολεμίων αὐτός τε καταχαίνεται καὶ οἱ σὺν αὐτῷ πίπτουσιν ἅπαντες, ἀλκῆς ἔργα καὶ χειρὸς γενναίας παράδειγμα ἐνδειξάμενοι. ἐκ δὲ τούτου πλεῖον ἐπαρθὲν τὸ βάρβαρον ἀπόρους πάντῃ Ῥωμαίοις ἐποίουν τὰς τροχιάς, καὶ βύζην νενησμένοι ἀπεῖργον τὴν πάροδον. οἱ δὲ Ῥωμαῖοι οἷα ἐν στενῷ χωρίῳ εἰλούμενοι καὶ ἀλλήλοις περιπίπτοντες οὐ μόνον δρᾶσαί τι κακὸν οὐκ εἶχον τοὺς V. 96 πολεμίους, ἀλλὰ καὶ τοῖς ἐπιπορευομένοις προσιστάμενοι ἀχρείους κἀκείνους ἐποίουν εἰς τὸ ἀμύνεσθαι. ὅθεν καὶ ῥᾷον ὑπὸ τῶν ἐπικειμένων αὐτοῖς ἔθνησκον, καὶ ἦν οὐδὲ μία τις ἐπιβοήθησις ἀπὸ τῶν οὐραγούντων ταγμάτων ἢ ἐκ βασιλέως αὐτοῦ, ἢ ὑποχώρησις καὶ παρέκκλισις ἐπὶ θάτερα· αἱ γὰρ ἅμαξαι κατὰ μέσον ἑλισσόμεναι ὑπονοστῆσαι μὲν οὐδαμῶς εἴων τὰς προηγουμένας τάξεις καὶ μετατάξασθαι πρὸς P. 118 τὸ χρήσιμον, τοῖς δὲ μετὰ τοῦ αὐτοκράτορος στρατεύμασιν ὥσπερ ἀντίφραγμα γινόμεναι τὴν ἐς τὰ πρόσω πορείαν ἀπετείχιζον. ἔπιπτε τοίνυν βοῦς ἐκ τοξεύματος Περσικοῦ, καὶ παρ' αὐτῷ βοώτης ἀπέψυχεν. ἵππος καὶ ἀναβάτης ὁμοῦ κατεβέβληντο. αἱ σήραγγες μεσταὶ σωμάτων προυφαίνοντο. τὰ ἄλση τῶν πεσόντων πεπλήρωτο. αἱμάτων ῥύακες προύβαινον κελαρύζοντες. αἷμα συνεφύρετο αἵματι, τῷ τῶν ὑποζυγίων τὸ βρότειον. οὕτως ἦν δεινὰ τὰ ἐκεῖ καὶ πᾶσαν ὑπερβαίνοντα συγγραφήν. ὡς οὖν οὔτε προχωρεῖν ἐξῆν καὶ τὸ ἀναζεῦξαι δὲ ἄλλως ἀδύνατον (οἱ γὰρ Πέρσαι καὶ κατὰ νῶτον ἐγέ-

3. παραδεῖγμα] παράστημα A. 5. ἀπεῖργ.] ἐπεζύγουν πᾶσαν π. A. 9. ἀχρείους] ἀχρησιμεύτους B. 10. ἐπικειμένων] ἐπιφυομένων A. 18. βοώτης] ὁ τὰς ἁμάξας σύρνων B. 24. κατὰ νῶτον ἐγίνοντο A.

cilliores esse quam ut Persarum phalangem perrumperent, cum aliquot equitibus in medios hostes invehitur: sed ab iis circumventus et ipse occiditur, et eius milites omnes fortissime dimicantes cadunt. eo successu elati barbari et conglobati omnes vias Romanis praecluserunt; qui ut in angustiis, inter se impliciti et alii alios impedientes, adversariis adeo nocere non poterant, ut et defensoribus suis obsisterent et urgentibus hostibus facilius interirent, nec ab extremo agmine aut ipso imperatore iuvari aut recedere aut ad alterutrum latus declinare possent. nam currus, qui in medio trahebantur, nec antecedentes legiones recipere sese aut aciem commodius instruere patiebantur; et imperatoris progressum tanquam vallo obiecto impediebant. iumenta pariter et homines telis Persicis sternebantur; valles plenae erant cadaveribus, saltus interfectis scatebant; manabant rivi sanguinis, cruore pecudum et hominum permisto, tanta atrocitate, quae nullis exprimi litteris possit. cum igitur neque progredi neque regre-

B νοντο καὶ τὰ πρόσω ἐποίουν ἄβατα), ὅσα καὶ θρεμμάτων ἀγέλαι Ῥωμαῖοι περὶ σταθμοὺς τὰς δυσχωρίας ἐκείνας ἐφθείροντο. ἀλλὰ καὶ εἴ τί που γενναίου φρονήματος ἐπῆν εἰσέτι αὐτοῖς ἢ θυμοῦ κατὰ τῶν ἀντιπάλων ὑπολέλειπτο ζώπυρον, καὶ τοῦτο σβεσθὲν ἀφῄρητο, καὶ ἀπέλιπεν αὐτοὺς τὸ πρόθυμον τέλεον, ἐκ τοῦ τοὺς πολεμίους ὑπ' ὄψιν ἄγειν αὐτοῖς ἕτερον συμφορᾶς ἐπεισόδιον, αἰχμῇ περιπαρεῖσαν τὴν τοῦ Ἀνδρονίκου τοῦ Βατάτζη κεφαλήν. ἦν δὲ οὗτος ἀδελφιδοῦς μὲν τῷ βασιλεῖ Μανουήλ, ἀπέσταλτο δὲ μετὰ στρατιᾶς ὅσηπερ ἐκ Παφλαγόνων καὶ τῆς ἐν Πόντῳ Ἡρακλείας ἐστρατολόγητο τοῖς Ἀμασεῦσι Τούρκοις ἀντιταξόμενος. φήμαις τοί-
C νυν τοιαύταις ὁ βασιλεὺς καὶ ἀπευκτέοις τοιοῖσδε θεάμασι τὸ λογιζόμενον συγχυθείς, καὶ τὴν τοῦ ἀνεψιοῦ προτεινομένην ὁρῶν κεφαλήν, καὶ τὸ τοῦ κινδύνου ἐν ᾧ συνείληπτο προορώμενος μέγεθος, ἀθυμίᾳ συνείχετο, καὶ ἀφασίᾳ πέσσων τὸ ἄλγος καὶ κωφοῖς (ὃ λέγεται) δάκρυσι τὸ πένθος ἀφοσιούμενος τὸ μέλλον ἐκαραδόκει, καὶ τὴν γνώμην ἀμφιρρεπὴς ἐδείκνυτο. τὰ δέ γε προπορευθέντα Ῥωμαίων τάγματα, τὰς ἐπισφαλεῖς ἐκείνας ἀτραποὺς ἀπαθῶς διελθόντα, ἐνηυλίσαντό που καὶ χάρακα ἔβαλον, γηλόφου λαβόμενα ἀσφάλειαν ἐκ μέρους βραβεύοντος.

3. Οἱ δὲ Πέρσαι τὸ πᾶν εἰσέφερον τῆς σπουδῆς τὰ
D περὶ τὸν βασιλέα καταπαλαῖσαι στρατεύματα, ὡς εἰ τὸ πλεῖ-

3. εἰσέτι σφισιν ἢ καὶ θ. A. 7. τὴν τοῦ om A. 15. καὶ ἀφασίᾳ] λαλῆσαι μὴ δυνάμενος διὰ μέσης ἐντὸς τῆς καρδίας ἔκλαιε B. 18. προπορευθέντα] προωδευκότα A.

di liceret (nam Persae a tergo etiam imminebant), in angustiis illis Romani ovium instar caedebantur. quodsi quid generosi animi, si quis audaciae fomes in hostem supererat, ea quoque deperdita et penitus extincta sunt. nam praeter caetera mala hostes caput Andronici Batazae hastae praefixum ostentarunt, qui Manuelis ex sorore nepos cum exercitu ex Paphlagonia et Heraclea Pontica collecto contra Turcas Amasenos missus fuerat. itaque Manuel imperator huiusmodi rumoribus et spectaculis perturbatus, tum quod nepotis caput videbat, tum quod periculi quo circumventus erat magnitudinem cernebat, animo aeger et dolorem silentio tegens, et mutis, quod aiunt, lacrimis luctum dissimulans, eventum expectabat; et inops consilii, quo se verteret, nesciebat. tamen Romanae legiones quae antecesserant, periculosis illis itineribus superatis, in colle quodam aliquid ad securitatem conferente vallum munierunt.

3. At Persae omni contentione copias, quae cum imperatore erant, debellare nitebantur, quod maxima et potissima parte pro-

στον [illegible] καὶ κράτιστον, κἀκεῖνα ῥᾳδίως παραλύσειν οἰόμενοι, καθὰ καὶ ἐπὶ δράκοντος ὁρῶμεν γινόμενον (τῆς γὰρ κεφαλῆς συντριβείσης καὶ ὁ λοιπὸς συννεκροῦται ὁλκὸς τοῦ σώματος) ἢ καὶ ἐπ' ἀκροπόλεως· ταύτης γὰρ ἐξαιρεθείσης καὶ ἡ λοιπὴ πόλις ὡς κατάκρας ἁλοῦσα τὰ οἴκτιστα πέπονθε. καὶ βασιλεὺς μὲν πολλάκις ἀπεπειράσατο τῶν ἐκεῖσε δυσπαρόδων ὁδῶν τοὺς βαρβάρους μεταστῆσαι, καὶ πολὺς ἦν ἐγκείμενος τοῖς ὑπ' αὐτὸν ἐξομαλίσειν τὴν δίοδον· οὐχ ὁρῶν δὲ τὰ κατὰ σκοπὸν προβαίνοντα, καὶ ὡς ἀπολεῖται οὐδὲν μεῖον μένων κατὰ χώραν οἷα τῶν Περσῶν ἐπικρατεστέρων ἀεὶ γινομένων ὡς ἐξ ὑπερδεξίων μαχομένων, ἐσβάλλει πρὸς τοὺς ἐνώπιον αὐτῷ πολεμίους μετ' ὀλίγων τῶν ἀμφ' ἐκεῖνον, καὶ τοῖς λοιποῖς δὲ ὑποτίθησι σώζειν σφᾶς ὡς ἕκαστος δύναται· μηδὲν γὰρ χρηστὸν ἐκ τῶν ἐν ὄψει κατανοεῖν. καὶ βασιλεὺς μὲν ὡς ἐκ γαλεάγρας τῆς τότε αὐτὸν διειληφυίας βαρβαρικῆς ἐξώλισθε φάλαγγος μετὰ τραύματα πολλὰ καὶ μώλωπας P. 119 συνεχεῖς, οὓς ἀπὸ ξιφῶν ἐπλήγη καὶ σιδηρέων κορυνῶν ὑπὸ τῶν περιστάντων αὐτὸν Περσῶν τυπτόμενος, ἐπεὶ καὶ οὕτω δι' ὅλου τοῦ σώματος τετραυμάτιστο ὡς τὸν μὲν θυρεὸν περί που τοὺς τριάκοντα ἔχειν ἐμπεπηγότας διψητικοὺς αἵματος οἰστούς, αὐτὸν δὲ μηδ' ἀνορθῶσαι ὅλως δύνασθαι περιτραπεῖσαν τὴν κόρυθα. πλὴν καὶ οὕτω παρὰ δόξαν τὰς τῶν V. 97 βαρβάρων διέδρα λαβάς, ὑπὸ θεοῦ φρουρηθεὶς τοῦ καὶ ἐπὶ κεφαλὴν πάλαι Δαβὶδ ἐν ἡμέρᾳ πολέμου ἐπισκιάζοντος, ὡς

3. ὁλκὸς] ὄγκος B. 8. ἐξομαλίσειν] ὁμαλὴν ποιῆσαι B. 22. τὴν κόρυθα] τὸ κασσίδιον B. 23. διέδρασε A.

fligata illas quoque se facile superaturos putabant, quemadmodum in serpentibus videmus capite contrito una etiam reliquum corporis tractum emori, et arce expugnata, urbem hostibus resistere non posse. imperator vero etsi saepe barbaros ex angustiis illis depellere est conatus et suis viam complanare, tamen cum eum conatum non succedere seque aeque periturum, crescentibus subinde Persarum viribus, ut qui e superiore loco pugnarent, si maneret, ac si progrederetur, cum paucis quos secum habebat, recta in hostes fertur; caeterosque monet ut quisque salutem quaerat, ut possit: se enim nihil boni sperare posse ex iis quae videat. atque ita post multa vulnera et vibices, ensibus et ferreis clavis facta, ex barbarica illa phalange, tanquam decipula, est elapsus, sic quidem toto corpore convulneratus, ut scuto eius circiter XXX sagittae inhaererent, et ipse cassidem decussam attollere non posset. tamen vel sic deo defendente, qui in die belli caput eius, quemadmodum olim Davidis, ut ipse in Psalmis fatetur, custodiebat, mirabiliter barbarorum manus

αὐτός φησιν ὁ φιλόψαλμος. τὰ δ' ἄλλα Ῥωμαϊκὰ τάγματα
B χειρόνως ἔπασχον ἀεὶ δόρασι περισταδὸν λελογχωμένοις νυσσόμενα καὶ βέλεσιν ἐκ τοῦ σχεδὸν διαμπερὲς ἐλαυνόμενα καὶ ὑπ' ἀλλήλων ἐν τῷ συμπίπτειν διαφθειρόμενα. εἰσὶ δ' οἳ καὶ ταύτην μὲν ἀπαθεῖς παρῆλθον τὴν φάραγγα καὶ τοὺς ἐπ' αὐτῆς ἱσταμένους Πέρσας ἐσόβησαν, προελθόντες δὲ καὶ τῆς μετ' ἐκείνην ἁψάμενοι σήραγγος ὑπὸ τῶν ἐκεῖσε πολεμίων ἀπώλοντο. εἰς γὰρ ἑπτὰ κοιλάδας ταφρώδεις πάσας καὶ ἀγχιτέρμονας ἡ πάροδος ἐκείνη διέσχιστο, εὐρυνομένη βραχὺ καὶ συμπτυσσομένη πάλιν πρὸς τὸ στενόπορον· καὶ ἦσαν αὗται παρὰ τῶν Τούρκων ἀκριβῶς ἐφεστώτων τηρούμεναι. ἀλλ' οὐδ' ὁ λοιπὸς χῶρος τῶν πολεμίων ἐσπάνιζε καθαρῶς, ἀλλ' ἅπας τούτων πεπλήρωτο. τότε δὲ καὶ ἀνέμου πνεύσαν-
C τος καὶ θῖνα βαθεῖαν ἐκ τῆς ἐκεῖσε ψαμμώδους μετεωρίσαντος γῆς σύρδην ἐμπίπτουσαν ἀμφότερα συμπεσεῖν ἐγένετο τὰ στρατεύματα, καὶ ὡς ἐν νυκτομαχίᾳ καὶ σκότει ψηλαφητῷ ἀλλήλοις προσφερόμενα τοῖς ἐχθροῖς τοὺς φίλους ἐπικατέσφαττον, καὶ οὐκ ἦν ἐξ ὁμοφύλου διακρίνειν ἀλλόφυλον, ἀλλὰ Πέρσαι καὶ Ῥωμαῖοι συμβεβλημένοι καὶ καθ' ὁμογενῶν ἐσπῶντο τὰ ξίφη καὶ τὸν προσιόντα κατέκαινον ὡς πολέμιον, ὡς τὰς τάφρους τάφον ἕνα γενέσθαι καὶ πάμμικτον πολυάνδριον καὶ σκήνωμα κοινὸν Ῥωμαίων τε καὶ βαρβάρων καὶ
D ἵππων καὶ βοῶν καὶ ὄνων ἀχθηφορούντων. ἔπεσον οὖν ἀριθμῷ πλείους Ῥωμαῖοι, καὶ μάλιστα τῶν ἐκ τοῦ γένους τῷ βα-

5. ἀπαθῶς A. 10. στενώτερον A. 17. προσφερόμενοι A. 23. βοῶν] κυνῶν καὶ ὄνων ἀχθοφορούντων A. 24. μάλιστα] πλεῖστοι μάλα A.

effugit. caeterae vero legiones subinde peius tractabantur. nam et ferratis hastis undique pungebantur et iaculis petebantur, et invicem ipsi sese prostrati conculcabant. quodsi qui has quoque fauces, barbaris qui eas insederant pulsis, superarant, in altera valle ab hostibus interibant. is enim transitus in VII profundas valles inter sese vicinas findebatur, et initio paulo latior rursus in angustias complicabatur. eae vero omnes accurate a Turcis custodiebantur, atque adeo caetera quoque loca Turcarum plena erant. ad haec procellis arenarum vento in eos impulsis ambo exercitus impetu congressi, veluti noctu et in densissimis tenebris pugnabant; nec ullo discrimine amici aut inimici, obvii quique trucidabantur; eodemque loco Turci et Romani, iumenta et homines iacebant, ut vallis illa nihil esset aliud nisi amplissimum quoddam et commune Romanorum barbarorum, iumentorum pecudumque sepulcrum. plures tamen Romani ceciderunt, praesertim illustrissimi quique imperatoris cognati. ut au-

αιλεῖ, καὶ τούτων οἷς πολὺ τὸ ἐπίσημον. ὡς δὲ ἥ κόνις ἐλώφησεν ἥ τε ἀχλὺς ἐκείνη καὶ ἀορασία διεσκέδαστο, ὠπτάνοντό τινες (φεῦ τοῦ ἀπευκτέου πράγματος καὶ δράματος) ἕως ἰξύος καὶ τραχήλου συνισχημένοι τοῖς πτώμασιν, οἳ καὶ χεῖρας μὲν ἱκέτιδας ὤρεγον καὶ σχήμασιν ἐλεεινοῖς καὶ φωναῖς γοερὸν ὑπηχούσαις προυκαλοῦντο τοὺς παριόντας εἰς ἀρωγήν, οὐδένα δὲ τὸν ἀμύνειν δυνάμενον εἶχον οὐδὲ τὸν σώζοντα· πάντες γὰρ οἷς ἔπασχον ἐκεῖνοι τὴν οἰκείαν προτυπούμενοι συμφοράν, τὸν περὶ ψυχῆς τρέχοντες, ἀκούσιοί τινες ἦσαν ἀνοικτίρμονες, καὶ ὡς τάχους εἶχον σώζειν ἑαυτοὺς ἔσπευδον. ὁ δὲ βασιλεὺς Μανουὴλ σκιὰν ὑπελθὼν ἀχλαδηφοροῦντος δένδρου ἀνελάμβανεν ἑαυτὸν καὶ καμοῦσαν συνέλεγε τὴν ἰσχύν, μὴ ἔχων ὑπασπιστὴν συνιστάμενον, μὴ δορυφόρον ἐπισπόμενον μηδὲ σωματοφύλακα ἐφεπόμενον. ἰδὼν δέ τις αὐτὸν καὶ οἰκτείρας ἐκ τοῦ τῶν ἱππέων τάγματος, καὶ οὗτος τῶν ἀφανῶν καὶ πολλῶν Ῥωμαίων, ἐφίσταταί οἱ προθύμως κατὰ προαίρεσιν καὶ διακονεῖν αἱρεῖται τὰ δυνατά, ὅθεν καὶ τὴν κυνέην ἑτέρωσε βαλλομένην τῇ ἐκείνου ἐφήρμοσε κεφαλῇ. ἐν ᾧ δὲ καθ' ὃ εἰρήκειμεν δένδρον ὁ βασιλεὺς ἀνεκώχευεν, P. 120 ἐπιδραμών τις Πέρσης ἐφεῖλκε τοῦτον τοῦ χαλινοῦ κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν· ὁ δὲ πλήξας αὐτὸν κατὰ κεφαλῆς τῷ τοῦ δόρατος τμήματι ὃ εἶχεν ἔτι ἐν ταῖν χεροῖν, εἰς γῆν ἔβαλλε. μετ' οὐ πολὺ δ' ἕτεροι Πέρσαι ζωγρίαν ἑλεῖν ὀριγνώμενοι ἐπ' αὐτὸν ἵενται, ῥᾳδίως δὲ καὶ τούτους

11. ἀχλ.] δένδρου ἀχλαδαίας B, ἀχλαδηφόρου A. 13. μὴ ἔχων τινα ἐν αὐτῷ ἢ βάραγγον ἢ παραμονήν, μὴ σωματοφύλακα ἀκολουθοῦντα B. 14. ἐπισπώμενον? σωματοφυλακοῦντα A. 16. καὶ πολλῶν Ῥωμαίων om A. 20. ἐφεῖλκε] ἔσυρνεν B.

tum turbo ille discussa caligine quievit, conspecti quidam sunt (heu miserum spectaculum) usque ad lumbos et colla cadaveribus circumsepti, qui supplices tendebant manus et gestu miserabili ac lugubri voce praetereuntium opem implorabant: sed nemo erat qui auxiliari posset. nam quique suam cladem illorum exemplis metientes, in vitae periculo haud sponte immisericordes erant et fuga salutem quaerere satagebant. imperator vero sub pyri sylvestris umbra vires exhaustas recipiebat, sine armigero, sine satellite, sine custode ullo. sed quidam gregarius eques eius misertus ultro accedit, eique pro virili ministrare studet, et galeam huc atque illuc cadentem capiti reponit. interea Persa quidam accurrit, et freno prehenso eum abstrahere studet, quod nemo erat qui obsisteret. sed eum Manuel impacto in caput hastae fragmine, quod adhuc reliquum habebat, humi prostravit. paulo post etiam alii Persae accurrunt, qui eum

ἐώσατο· βασιλεὺς μὲν γὰρ τὸ τοῦ συνεστῶτος ἱππότου δόρυ
ἀγκοινησάμενος διαπείρει ἕνα τῶν ἐπιόντων ἕως καὶ εἰς αὐτὸν
θάνατον, αὐτὸς δ' ὁ ἱππότης τὸ ξίφος σπασάμενος ἀποκαρατομεῖ
ἕτερον. συναλισθέντων δὲ καὶ περὶ τὸν βασιλέα ἑτέρων ὁπλο-
B φόρων δέκα Ῥωμαίων ἐκεῖθεν μετέβαινε, συμμῖξαι γλιχόμε-
νος τοῖς προηγησαμένοις τάγμασιν. ἀλλ' αὖθις μικρόν τι προ-
βὰς ὑπό τε Τούρκων τῆς πρόσω πορείας εἴργεται, καὶ τοῖς
τῶν πεσόντων οὐχ ἧττον νεκροῖς ἀπερύκεται, οἳ περὶ τὰς
ὁδοὺς αἰθριάζοντες ἀπέφραττον αὐτὰς σωρηδὸν προκείμενοι.
(4) μόλις δὲ τὰ ἐκεῖσε δυσπόρευτα χωρία καὶ τὸν ἐγγύς που
V. 98 παραρρέοντα ποταμὸν διελθών, ἐνιαχοῦ τῶν θνησιμαίων ἐπι-
βαίνων καὶ τούτων ὕπερθεν ἱππαζόμενος, ἀθροίζει καὶ ἄλλο
τι στῖφος Ῥωμαϊκὸν κατὰ θέαν αὐτοῦ συνδραμόν, ὅτε καὶ
ἀναβλέψας ὁρᾷ τοῖς ὀφθαλμοῖς τὸν ἐπ' ἀνεψιᾷ γαμβρόν, τὸν
Καντακουζηνὸν Ἰωάννην, ἕνα πρὸς πλείους διαμιλλώμενον
C καὶ ἀνδρείως αὐτοῖς προσφερόμενον, καὶ περιβλεπόμενον μὲν
εἴ τις ἐπαρήξων ἐκείνῳ ἐλεύσεται, ἐκ δὲ τοῦ μηδένα τὸν
ἀμύνοντα παρεστάναι μετὰ βραχὺ πίπτοντά τε καὶ σκυλευό-
μενον. οἱ δὲ τοῦτον ἀπεκτονότες Πέρσαι ὡς εἶδον παριόντα
τὸν αὐτοκράτορα (οὐδὲ γὰρ ἦν λαθεῖν), συγκροτηθέντες εἰς
σπεῖραν ὡς εἰς θήραμα μέγα τὸν βασιλέα ἐπῄεσαν· ᾤοντο
γὰρ αὐτίκα δὴ μάλα τοῦτον αἱρήσειν ἢ ἀναιρήσειν. ἦσαν δ'
οὗτοι πάντες Ἀραβίοις ἔποχοι ἵπποις καὶ κατὰ θέαν τῶν πολ-
λῶν ὑπερφέροντες· ὁπλισμοῖς τε γὰρ ἐκπρεπέσιν ἐκάζοντο,

7. ὑπό τε Τούρκων om A. 8. ἀπερύκετο A. 9. κείμενοι A. 11. ποταμὸν] χείμαρον A. 15. ἁμιλλώμενον A. 17. ἐλευσεῖται A. 19. ἀπεκτονότες] σκοτώσαντες B.

vivum capere conabantur: sed et illos facile propulsavit arrepta hasta assistentis sibi equitis et uno ex hostibus transfixo: ipse vero eques stricto ense alteri caput amputavit. deinde aliis X Romanis militibus accurrentibus inde digreditur, coniungere se cum legionibus quae antecesserant cupiens. sed rursus paulum progressus, et Turcarum occursu et cadaverum acervis in viis iacentium impediebatur. (4) Faucibus istis et praeterfluente amne aegre superatis, alicubi super cadavera equitando, aliam Romanam manum cogit, quae ad conspectum eius accurrit. ibi Iohannem Cantacuzenum neptis maritum unum cum multis strenue dimicare, et dum frustra auxilia circumspectat, sterni ac spoliari videt. Persae vero qui illum occiderant, ut imperatorem praeterire viderunt (neque enim latere poterat), in cohortem conglobati, imperatorem ut opimam praedam petebant; quem se mox aut capturos aut interfecturos opinabantur. erant ii viri eximii et armis insignes, et omnes equis Arabicis insidebant;

καὶ τοὺς ἵππους ἠσκημένους εἶχον ἄλλοις τε κόσμοις λαμπρο-
τάτοις, ἀλλὰ δὴ καὶ ἐπαυχενίοις ἀγλαΐσμασιν ἐκ τριχῶν συγ-
κειμένοις ἱππείων, ἐς ἱκανὸν καθιεμένων καὶ περιηρτημένους D
ἐχουσῶν ἠχητικοὺς κώδωνας. βασιλεὺς δ' ἀναστήσας τὰ τῶν
περὶ αὐτὸν φρονήματα τὴν τῶν πολεμίων ἐπέλευσιν εὐπετῶς
ἀποκρούεται, ἀεὶ δὲ κατὰ βραχὺ προβαίνων τοῖς ἔμπροσθεν,
καὶ νῦν μὲν πολέμου νόμῳ ἐνιαχοῦ δὲ καὶ ἀναίμωτι παριπ-
πεύων τοὺς Πέρσας, ἄλλους ἐπ' ἄλλοις συνιόντας καὶ πάν-
τας συλλαβεῖν αὐτὸν σπεύδοντας, τρισάσμενος ἐφίσταται καὶ
ἀσπάσιος τοῖς προωδευκόσι τάγμασιν, οὐ μᾶλλον περὶ αὐτοῖς
δυσχεραίνουσιν ἢ ἐπ' αὐτῷ μὴ φαινομένῳ ἀγωνιῶσιν. οὔπω
δὲ συμμίξας τούτοις, ἀλλ' ἐκεῖσε ἔτι ὢν ἔνθα ποταμὸν πα-
ραρρέειν ὁ λόγος εἴρηκε, δίψει συνέχεται, καὶ δὴ αἰτεῖται
τῶν παρεστώτων τινὰ λαβόντα ὑδρεῖον ὕδωρ ἀρύσασθαι καί
οἱ ἀποκομίσαι πιεῖν. σπάσας τοίνυν τοῦ ὕδατος ὅσον ἂν τὴν
ἐκείνου ἐδίανεν ὑπερῴην, τὸ λοιπὸν ἐξέχεεν οἷα μὴ τοῦ πο-
θέντος ἡδέως διὰ τοῦ οἰσοφάγου κατολισθαίνοντος. πολυ-
πραγμονήσας δὲ τὸ ποτὸν καὶ λυθρῶδες τοῦτο κατανοήσας
ᾤμωξε, καὶ εἶπε μὴ εὐτυχῶς ἀπογεύσασθαι τοῦ τῶν Χριστια-
νῶν αἵματος. παρεστὼς δέ τις ἀνὴρ ἰταμὸς καὶ θρασύς,
ὡς ἔδειξε, καὶ τοῦ τότε καιροῦ δυσκολώτερος, ἀνερυθριάστως
ἔφησεν „ἄπαγε, βασιλεῦ, οὔκουν ταῦτα, οὐχί· οὐ γὰρ νῦν P. 121
πρώτως, ἀλλὰ πάλαι καὶ πολλάκις καὶ εἰς κραιπάλην καὶ
ἀκραιφνῶς Χριστιανικῶν αἱμάτων κρατὴρ ἐκεράσθη σοι, κα-

1. καὶ τοὺς ἵππους] ἔχοντες ἐν τοῖς ἵπποις αὐτῶν σπαρτζάμια μετὰ κωδωνίων B. 12. ξηροπόταμον B. 16. οἷα] βρῶμον ἔχον αἱματώδη πολὺν B. 18. λυθρῶδες] κόκκινον B. 21. ἀνερυθριάστως] ἀδιαντρόπως B.

qui praeter alia ornamenta splendidissima prolixas tricas ex equinis pilis contextas et sonoras nolas de collis dependentes habebant. verum imperator, animis suorum excitatis, hostium impetum facile propulsat; ac subinde paulatim progrediendo, et nunc more belli nunc citra sanguinem Persas praetereundo, quorum alii atque alii ad eum capiendum properabant, exoptatus ad legiones quae antecesserant pervenit, non tam suam vicem dolentes quam illius periculo sollicitas. sed antequam eas adipisceretur, aquam e praeterfluente fluvio haustam afferri sibi iussit; qua summis labris gustata et effusa, quod ex insuavi sapore tabo infectam cognovisset, cum suspirio „infeliciter" inquit „Christianorum sanguinem libavi." ibi quidam audax et importunus homo, et illo acerbissimo tempore acerbior, „non nunc" inquit „imperator, non nunc primum sed olim et saepe et ad ebrietatem usque Christianorum sanguinem hausisti,

λαμωμένῳ τε καὶ ἐπιφυλλίζοντι τὸ ὑπήκοον." οὕτω δ' ἱλαρῶς τὸν κατήγορον ἐκεῖνον καὶ λοίδορον ὑπήνεγκεν ἄνθρωπον, ὡς εἰ μὴ ἦν ἀκούων μηδ' ἔχων ἐλεγμοὺς ἐν τῷ στόματι. ὁρῶν δὲ καὶ τοὺς θησαυροφύλακας θυλάκους διασπωμένους ὑπὸ Περσῶν καὶ κατὰ γῆς χεόμενον καὶ ἁρπαζόμενον τὸν εἰς νόμισμα κεκομμένον χρυσόν τε καὶ ἄργυρον, ἐνῆγε τοὺς συνόντας Ῥωμαίους ἐπεισπεσεῖν τοῖς βαρβάροις καὶ κτήσασθαι τὰ χρήματα Περσῶν δικαιότερον. συστὰς δὲ αὖθις ὁ λῆρος ἐκεῖνος ἀνὴρ διελοιδορεῖτο ἀναιδῶς βασιλεῖ τοιαῦτα κελεύοντι, B „ἐχρῆν" λέγων „ἑκουσίως καὶ πρότερον διδόναι Ῥωμαίοις ταυτί, οὐχὶ δὲ πάντως νυνί, ὁπότε ἡ κτῆσις δυσχερὴς καὶ μεθ' αἵματος. εἰ δ' αὐτὸς ἀνήρ ἐστιν ἰσχύος, ὁποῖος εὔχεται εἶναι, ἢ γοῦν ἀναξυρίδα περίκειται, τοῖς χρυσοσύλαις συρραγεὶς Πέρσαις καὶ συγκόψας τούτους θαρραλεώτερον ἐπανασωσάτω Ῥωμαίοις τὰ ἁρπαζόμενα." ἐσιώπα δὲ κἀπὶ τούτοις τοῖς ῥήμασι, μὴ ὑπ' ὀδόντα γρύζων μηδὲ τονθορύζων, ἀλλὰ φέρων τὴν τοῦ κερτόμου προπέτειαν ὡς Δαβὶδ πάλαι Σεμεεὶ τὴν αὐθάδειαν. ὀψὲ δὲ καὶ ὁ Κοντοστέφανος Ἀνδρόνικος ἀβλαβὴς παρῆν, ὃς ἡγεῖτο τῶν τελευταίων τάξεων, καὶ ἕτεροι τῶν δυναμένων μέγα παρὰ τῷ Μανουὴλ ἀπλῆγες συνδεδραμήκασιν.

C Ἐπεὶ δὲ νὺξ ἐπῆλθε καὶ σκότος ἡμέρας διάδοχον τὸν πόλεμον ἔπαυσεν, ἀδημονῶν ἅπας καθῆστο ὑπτίῳ τῷ τῆς χειρὸς κοίλῳ ῥίψας τὴν κεφαλήν, καὶ τὸν ἐνεστῶτα κίνδυνον

4. θυλάκους] βουλγίδια B. 19. ὃς ἡγεῖτο] ὃς ὀπισθοφυλάκει A.

dum pauperes subditos exactionibus vexas et deglubis." eum conviciatorem Manuel ita aequo animo tulit ac si surdus esset; et cum vidulos, in quibus signata pecunia erat, a Persis diripi et effundi videret, Romanos hortatus est ut impetu in barbaros facto pecuniam illam ipsis potius debitam arriperent. tum rursus idem ille impudenter in imperatorem invectus „ultro" inquit „ista prius Romanis danda fuit, non nunc, ubi cum difficultate et sanguine paranda est. quodsi vir fortis est, ut gloriatur et chlamys postulat, in raptores Persas impetum faciat, iisque fortiter caesis rapinas recuperet." tacuit et ad ea verba hominis importuni Manuel, sine ullo murmure, non secus atque olim David Semeis intemperias tulit. tandem Contostephanus quoque Andronicus incolumis advenit, qui extremum agmen ducebat; et alii quidam apud Manuelem gratiosi, vulnerum expertes, concurrerunt.

Ubi nox praelium diremit, omnes sederunt tristes, capita manibus sustinentes; et dum praesens discrimen reputant, se vivis non annumerabant, eo potissimum territi, quod barbari circum vallum

φανταζόμενος οὐ τοῖς ζῶσι συνέταττεν ἑαυτόν, καὶ μάλισθ' ὅτι τὸν χάρακα περιτρέχοντες διαπρυσίοις ἀνεκάλουν φωναῖς οἱ βάρβαροι τοὺς ὁμοεθνεῖς αὐτοῖς, οἳ κατὰ χρείαν ἢ μετάθεσιν πίστεως πρὸς Ῥωμαίους προυχώρησαν πάλαι, καὶ πα- V. 99 ρῃνοῦν ἐξελθεῖν αὐτονυχὶ τοῦ στρατηγίου ὡς ἀπολουμένων ἄρδην ἕωθεν αὐτίκα τῶν ἐν αὐτῷ. διενυκτέρευον οὖν Ῥωμαῖοι κατὰ φρήτρας καὶ λογάδας τοῖς φύλοις φῦλα συναγειρόμενοι, βαπτόμενοι πρὸς ὤχρον ὑπὸ δέους, εἰς οἷον τὰ πέταλα τῶν δένδρων κατὰ καιρὸν τὸν φυλλοχόον μεταμορφάζεται. (5) αὐτὸς δὲ ὁ κρατῶν ἀγενεστάτας βουλὰς D ὤδινεν. ὡς δὲ ταύτας ἀποτεκὼν εἰς ἀκοὴν τῶν σὺν ἐκείνῳ ἐξέφερε, καὶ ἦν τὸ ὑφηγούμενον λαθραία φυγὴ καὶ τοσούτων ψυχῶν εἰς αἰχμαλωσίαν καὶ θάνατον ἔκδοσις, ἐκπλήττει τοὺς ἀκροωμένους, καὶ μᾶλλον τὸν Κοντροστέφανον, ὡς ἀνδρὸς ἀλλοφρονοῦντος καὶ περιστρεφομένου σκοτοδίνῃ ἀτεχνῶς φθεγγόμενος ῥήματα. οὐ μόνον δὲ οἱ πρὸς σκέψιν τοῦ ποιητέου συνελθόντες βαρέως ἤνεγκαν τὰ ἠνωτισμένα, ἀλλὰ καί τις ἔξωθεν ἑστὼς τῆς σκηνῆς ἐκ τῶν ἀγνώστων καὶ τῶν πλείστων στρατιωτῶν, ὡς τὸ βασιλικὸν ἐς οὓς ἐδέξατο σκέμμα, ὑψώσας τὴν φωνὴν καὶ διωλύγιον ἀνοιμώξας „φεῦ" εἶπεν, „ὁποῖα δὴ καὶ ὁ βασιλεὺς Ῥωμαίων εἰς νοῦν ἐβάλετο." καὶ πρὸς ἐκεῖνον τὴν τοῦ λόγου στρέψας ὁρμὴν „οὐχὶ σύ" φησιν „ὁ διὰ τῆς ἐρήμης ταύτης καὶ στενῆς ὁδοῦ ἐκθλίψας ἡμᾶς καὶ εἰς P. 122 ἀπώλειαν διηθήσας, ἢ μᾶλλον οἱονεί τινι ὅλμῳ ἐκπιέσας τοῖς

14. μᾶλλον] πλέον A. 16. τοῦ ποιητέου om A. 20. καὶ διωλύγιον] μετὰ δακρύων ἐβόησε B. 21. δὴ καὶ] καὶ δὴ B. 24. διηθήσας A: vulgo διωθήσας. μᾶλλον] ὥσπερ εἰς ὄγδιν βαλὼν ἡμᾶς συνέσφιγξας B.

cursitantes populares suos, qui vel religione mutata vel aliis de causis olim ad Romanos se contulerant, cum maximis clamoribus hortabantur ut ea nocte castris excederent: mane enim omnes qui in iis essent perituros. eam noctem ita exegerunt Romani, metu pallentes, ut tribules cum tribulibus, amici cum amicis se coniungerent. (5) At imperator cum ignavissimum consilium de clandestina fuga et tot millibus neci obiiciendis proceribus aperuisset, auditores, et Contostephanus in primis, obstupuerunt, quasi verba hominis parum sani loqueretur. nec iis solum qui in consilium adhibiti fuerant, eam orationem graviter tulerunt: sed quidam obscurus miles, qui extra tabernaculum steterat, audito eius proposito, cum ingenti suspirio et alta voce „quid" inquit, „Romanorum imperatori in mentem venit?" et ad ipsum conversus „non tu" inquit „is es, qui in desertam et angustam istam viam nos intrusisti et in interi-

συμπίπτουσι τούτοις σκοπέλοις καὶ τοῖς πεσοῦσιν ἀτεχνῶς ἐφ' ἡμᾶς ὄρεσι; τί ἡμῖν καὶ τῇ κοιλάδι ταύτῃ τοῦ κλαυθμῶνος καὶ τῷ στομίῳ τοῦ ᾅδου ἄντικρυς καὶ τῷ παρελθεῖν τὰς ἀνωμάλους ταύτας καὶ τραχείας τροχιάς; ἢ τί ἴδιον ἐπάγειν τοῖς βαρβάροις ἐπίκλημα εἴχομεν, οἳ τοὺς χώρους τούτους τοὺς στενούς τε καὶ βιαίους καὶ σκολιοὺς περικαθίσαντες ἡμᾶς ἐσαγήνευσαν; καὶ νῦν ὅπως καταπροδίδως ὡς πρόβατα σφαγῆς τοῖς ἐχθροῖς;" τούτοις μαλαχθεὶς τὴν ψυχὴν εἴτ' οὖν ἕως καρδίας δηχθεὶς εἰς ἑτέραν ἐτράπετο καὶ τὴν κατὰ τὸν καιρὸν ἐκεῖνον ἐλᾶν εἵλετο.

B Ἀλλ' ὁ σπέρμα ἐγκαταλείπων πάλαι τῷ Ἰσραήλ, ἵνα μὴ εἰς τέλος ἀφαντωθείη τὸ ἐκείνου κληρούχημα ὡς Σόδομα γεγονὸς καὶ ὁμοιωθὲν ὡς Γόμορρα, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ πατάσσων καὶ ζῆν ποιῶν, ὁ μὴ τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων εἰς τέλος ἐῶν, οὗτος καὶ τότε τὸ ἅγιον ἔθνος κατοικτειρήσας καὶ μὴ ἀπώσασθαι θελήσας ἐπίπαν κάμπτει τὴν τοῦ σουλτάνου ψυχὴν εἰς ἀξύμφυλον ἔλεον τὸ καινότατον, καὶ ὃς τὴν τοῦ βασιλέως ἀρετὴν αἰδούμενος πρότερον, τότε καὶ ταῖς ἐκείνου συμφοραῖς ἐπικλᾶται. ἢ γοῦν ὁ διὰ Χουσὶ τὴν Ἀχιτόβελ ἀκυρώσας βουλήν, καὶ τὰς φρένας ἀλλοιώσας τοῦ Ἀβεσαλὼμ ὡς τοῖς καθ' ἑαυτοῦ καὶ χείροσιν ἐπαγγέλλεσθαι, αὐτὸς καὶ τότε τὸν Περ-
C σάρχην ἐξέκρουσε τοῦ καθήκοντος. παρασυρεὶς γὰρ οὗτος

12. ἐκείνου] οἰκεῖον A. 15. εἰς τέλος om A. 16. ἔθνος om A. 17. θέλων εἰς τέλος A. 18. καὶ ὃς] γοῦν ὅγε A. 23. ὑποσυρεὶς A.

tum praecipitasti? et concurrentibus istis scopulis et montibus nos omnino oppressuris veluti mortario contudisti? quid nobis rei est cum ista valle luctus et faucibus inferni? cur istos iniquos et asperos tramites penetramus? quid nos privatim de barbaris queri possumus, qui violentis istis anfractibus atque angustiis infestis nos irretiverunt? et tu nos tanquam oves mactationi destinatas prodis?" his verbis animo emollito ac potius consauciato consilium mutavit, et eam sequi viam instituit quam tempus pateretur.

Enimvero is qui olim Israeli semen reliquit, ne sua sors penitus, Sodomae et Gomorrhae instar, aboleretur; qui castigat et rursus medetur; qui percutit et vivere facit; qui baculum peccatorum non perpetuo in sortem iustorum grassari sinit, is tum quoque sancti sui populi misertus, quem non penitus repudiare volebat, Sultani animum ad inusitatam clementiam flectit, ut qui dudum Manuelis virtutem verebatur, nunc eius calamitate frangeretur. aut ut olim per Chusim Achitophelis consilia evertit, et animum Absolonis mutavit, ut ea sequeretur quae perniciem ei allatura erant, ita tum quoque Per-

ταῖς τῶν μεγιστάνων αὐτοῦ ὑποθημοσύναις, οἵπερ ἀπήντλουν ἀμφοτέραις ἐκ βασιλέως κατὰ τὸν τῆς εἰρήνης καιρὸν τὰ χρήματα, πέμψας πρεσβείαν εἰρηνικὰ διαλέγεται καὶ τὴν συνομολογίαν ὡς πρώην αὖθις ἐπιζητεῖ, προφθάνων οἷον προαιρετῶς, τοῦ κρείττονος ἐποτρύνοντος, τὸν ἀναγκαστῶς ἐς τὰς συμβάσεις βλέψαντα ἄνακτα. οἱ δὲ δὴ Πέρσαι μήπω τῶν κατὰ σκοπὸν τῷ σουλτάνῳ ἐκφανθέντων ἅμα ἕῳ προσήλαυνον ὡς κυκλωσόμενοι Ῥωμαίους καὶ ὥσπερ ὄψον εὐτρεπὲς καὶ καθ' ὁρμὴν μίαν, οἷα θῆρες, λαφύξοντες, ἢ ὡς ἐγκαταλελειμμένα ᾠὰ καὶ νοσσιὰν ἐρήμην ἀπάξοντες. περιστείχοντες τοίνυν τὸν χάρακα τοὺς ἐντὸς κατετόξευον, κύκλῳ περιελαύνοντες καὶ βαρβαρικῶς ἀλαλάζοντες. βασιλεὺς οὖν ἐγκελεύε- D
ται Ἰωάννῃ τῷ τοῦ Ἀγγέλου Κωνσταντίνου υἱῷ μετὰ τοῦ συνόντος ἐκείνῳ τάγματος τοῖς Πέρσαις προσβαλεῖν· ὁ δὲ κατὰ τὴν βασιλικὴν ἐπιταγὴν ἀναστελεῖν τοὺς Τούρκους πειρᾶται, οὐδὲν δέ τι καὶ δράσας γενναῖον παλίνστροφος γίνεται. ἐκ δὲ τούτου ὁ Μακροδούκας Κωνσταντῖνος τὴν ὑπ' αὐτὸν ἐξάγει στρατιὰν ἐκ τῶν ἑῴων στρατολογουμένην ταγμά- V. 100
των· ἀλλὰ καὶ οὗτος μικρόν τι φανεὶς ὑπενόστησεν. ὁ δέ γε σουλτάνος πέμπει πρὸς βασιλέα Γαβρᾶν τὰ πρῶτα τῶν παρ' αὐτῷ καὶ τετιμημένον τὰ μέγιστα· τὸ δ' ἀπὸ τοῦδε οἵ τε Τοῦρκοι ἐκ παραγγελίας τοῦ προσβάλλειν περιστάδην ἀπέ-

3. πέμψας ἀποκρισιαρίους πρὸς βασιλέα πάλιν περὶ εἰρήνης διαλέγεται καὶ ζητεῖ πληρῶσαι τὸν βασιλέα μετ' ἀνάγκης καὶ βίας ἅπερ πρότερον χωρὶς βίας πληρῶσαι οὐκ ἠθέλησεν B. 4. προαιρετικῶς A. 7. τῷ σουλτὰν ἀπεκφ. A. 10. περιστείχοντες] περιστοιχίσαντες A. 20. γαβρὰν τὸν τὰ πρῶτα τῶν παρ' αὐτῷ ᾠκειωμένων καὶ τετιμημένων μάλιστα A.

sarum principem transversum egit, ut procerum consiliis impulsus, quibus tempore pacis ab imperatore pecunia affluebat, per legatos ultro prior divinitus pacem imperatori offerret, quam is urgente necessitate petiturus erat, et pactiones rursus, ut ante, flagitaret. Persae vero, Sultani consilio nondum patefacto, castra diluculo oppugnatum ibant, uno impetu Romanos delendi spe concepta. itaque cum barbarico eiulatu obequitarent et milites intra vallum sagittis conficerent, Iohannes Constantini Angeli filius cum sua cohorte, iussu imperatoris, ad Turcorum impetum reprimendum egreditur. qui cum irrito conatu, nullo forti facinore edito, rediisset, Macroducas Constantinus orientales copias educit. sed is quoque non multo post in castra se recepit. interea Sultanus Gabram, honoratissimum inter suos satrapas, ad imperatorem mittit; cuius iussu Turci oppugnare vallum desistunt, et Romani clam subducere sese desinunt. is Ga-

στησαν καὶ Ῥωμαῖοι τοῦ ὑπεξέρχεσθαι λήγουσιν. ὀφθῆναι δὲ τῷ βασιλεῖ μέλλων Γαβρᾶς βαθεῖαν καὶ βαρβαρικὴν ἀπονέμει τιμὴν καὶ προσκύνησιν, καὶ ἅμα ἵππον προσάγει δῶρον P. 123 Νισαῖον ἀργυροχάλινον, ἐκ τῶν φατνιζομένων εἰς πομπάς, καὶ περιμήκη ἀμφήκη μάχαιραν, καὶ λόγον κινεῖ περὶ σπονδῶν, διομαλίσας πρότερον λόγοις ἁπαλοῖς τὴν ἐπὶ τοῖς συμβᾶσιν ὑπεμφαινομένην ἀχθηδόνα τοῦ βασιλέως, καὶ καταστείλας τὸ τοῦ πάθους φλεγμαῖνον οἷά τισιν ἐπᾴσμασιν, οἷς πρὸς τὸ οὖς ἐκείνῳ ὑπεψιθύρισε ῥήμασι. θεασάμενος δὲ Γαβρᾶς ἣν εἶχε στολάδα ἐπὶ τοῦ θώρακος βασιλεύς, τὴν χροιὰν χολοβάφινον, „οὐκ εὐσύμβολον τὸ χρῶμα τουτό" φησιν, „ὦ βασιλεῦ, ἀλλὰ καὶ λίαν κατὰ τὴν ὥραν τοῦ πολέμου ταῖς ἀγαθαῖς τύχαις ἀντιπρᾶττον." αὐτὸς δ' ἐπὶ τοῖς εἰρημένοις τούτοις βραχύ τι καὶ βεβιασμένον μειδιάσας, τὴν ἐπιθωράκιον στολὴν ἀποδὺς ἐκείνῳ δίδωσι πορφύρᾳ καὶ χρυσῷ διηνθισμένην. τὸν B δ' ἵππον καὶ τὸ ξίφος δεξάμενος ἐγγράφους τίθεται τὰς σπονδάς, καὶ τὴν χεῖρα τούτοις βραβεύει. ἐνῆν δὲ τῷ γραμματίῳ καὶ ἄλλα μὲν ὅσα ὁ καιρὸς ἐπέταττε κατὰ μηδὲν ἀκριβολογούμενος, ἀλλὰ δὴ καὶ τὸ καταστραφῆναι τὰ φρούρια τό τε Δορύλαιον καὶ τὸ Σούβλεον.

1. ἐπεξέρχεσθαι? 2. βαθεῖαν] προσκυνεῖ τοῦτον μέχρι καὶ γῆς B. 4. Νισ.] ἀραβικὸν B. 5. περιμήκη] σπάθιν δίστομον B. 10. ἐπιθωράκιον A. ἰδὼν δὲ καὶ τὸ ἐπανωκλίβανον, ὃ ὁ βασιλεὺς ἐπάνω τῶν ἁρμάτων αὐτοῦ ἐφόρει, ὁλόχρυσον ὄντα μετὰ σύρματος καὶ ἀπὸ τοῦ ἱδρῶτος καὶ κονιορτοῦ βεβαμμένον, εἶπεν οὐκ εἰς σημεῖον καλόν ἐστιν, ὦ βασιλεῦ, τοῦτο τὸ χρῶμα, ἀλλὰ καὶ πολλὰ ἐναντίον ἐν τῇ ὥρα τοῦ πολέμου τοῦτο τυγχάνει B. 12. κατὰ τὴν ὥραν] κατὰ καιρὸν A. 14. τὴν ἐπιθ.] τὴν ἐνσύσσημον ταυτηνὶ στ. A. 17. γράμματι A.

bras imperatori barbarorum more summisse adorato dono adducit equum Nisaeum, frenis argenteis ornatum, ex iis qui ad pompas aluntur; et longum ancipitem gladium, ac sermonem de pacificatione interiicit, animo eius ob acceptam cladem, ut apparebat, tristi, prius mollibus verbis quae in aurem illi dicebat delinito, et doloris acerbitate velut incantamentis quibusdam mitigata. cum autem thoracem imperatoris fulva veste tectum vidisset, „iste color" inquit, „imperator, pugnae tempore minime commodus est, sed plane inauspicatus." id dictum imperator exiguo et coacto risu excepit; eamque vestem purpura et auro intextam illi dedit, acceptoque ense et equo pacem conscribit suaque manu subsignat. inter caeteras conditiones, quas id tempus scrupulosius exquirere non sinebat, illa quoque erat, ut Dorylaeum et Subleum castella everterentur.

Οὕτως οὖν εὑρηκὼς τὸν βάρβαρον τὰ πρὸς εἰρήνην ἀληθῶς λαλήσαντα καὶ μὴ ἐπ' ὀργὴν δόλους διαλογιζόμενον, αἱρεῖται δι' ἄλλης ὁδοῦ πορευθῆναι καὶ μὴ τὴν αὐτὴν ἀναμετρήσειν αὖθις ἣν ἐβάδισε πρότερον, ἐκκλῖναι τοὺς πεσόντας βουλόμενος. οἱ δὲ τῆς ὁδοῦ ἡγεμόνες κατ' αὐτὸ τοῦτο μᾶλλον ἐπὶ τὴν ἐκεῖσε προῆγον, ἵν' ὀφθαλμοῖς οἰκείοις ἐπόψοιτο βασιλεὺς τὰ οἰκτρότατα ἐκεῖνα θεάματα. καὶ γὰρ ἦν ἀληθῶς δακρύων ἄξια τὰ ὁρώμενα, ἢ ἀληθέστερον εἰπεῖν μείζω τοῦ C ἀνακλαυσθῆναι διὰ τὸ τοῦ κακοῦ μέγεθος. αἵ τε γὰρ φάραγγες εἰς ἰσόπεδον ἀνέβαινον, καὶ αἱ κοιλάδες εἰς κολωνοὺς ἀνηγείροντο, καὶ τὰ ἄλση τοῖς θνησιμαίοις ἐκεκάλυπτο. ἅπας δὲ κείμενος ἀποσυρεὶς ἦν τὸ δέρμα τῆς κεφαλῆς, πολλοὶ δὲ καὶ τοὺς ἰθυφάλλους ἀπεκαυλίσθησαν. ἐλέγετο δὲ τοὺς Πέρσας τοῦτο τεχνάσασθαι, ἵνα μὴ τοῦ ἀκροβύστου ὁ ἐμπερίτομος διαστέλλοιτο καὶ ἡ νίκη οὕτως εἴη ἀμφιπαλὴς καὶ ἀμφήριστος, ὡς ἐξ ἑκατέρων τῶν στρατοπέδων καταβληθέντων πολλῶν. οὐδεὶς τοίνυν χωρὶς δακρύων καὶ στεναγμῶν ἀντιπαρῆλθεν, ἀλλὰ μέγα πάντες ἀνέκλαυσαν καὶ ὀνομαστὶ τοὺς ἀπολωλότας ἑταίρους καὶ συνήθεις ἐκάλεσαν.

Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος ἐκεῖνο ἔχω εἰπεῖν, D ὡς δυσφύλακτον τὸ μέλλον τοῖς ἀνθρώποις ἡμῖν, καὶ οὐκ ἄν τις ῥᾳδίως ἐξαναλύξῃ τὸ ἐπιόν, εἰ μή τῳ τὸ θεῖον ἐκ λιπα-

2. αἰτεῖται A. 5. οἱ δὲ τ. ὁδ. ἡγεμόνες] οἱ δὲ πρόβοδοι B. 11. ἅπας δὲ] ὅλα δὲ τὰ σώματα τὰ νεκρὰ ἐκδεδαρμένα ἦσαν τὰ κεφάλαια αὐτῶν, καὶ πολλοὶ καὶ τὰ μέρια αὐτῶν ἀποκεκομμένοι ἦσαν. ἐλέγετο δὲ τοὺς τούρκους τοῦτο ποιῆσαι, ἵνα οὐδὲν ἀποχωρίζῃ ὁ χριστιανὸς ἀπὸ τῶν τούρκων ἀλλὰ πάντες ὡς ῥωμαῖοι φαίνεσθαι· ἔπεσον γὰρ καὶ ἀπὸ τῶν τούρκων πολλοί B. 12. κεφαλῆς] κορυφῆς A.

Manuel cum pacem nihil insidiarum habere et sincere secum agere barbarum videret, alia via domum redire instituit, ut aspectum interfectorum declinaret. at viae duces ob id ipsum potissimum eodem eum reducebant, ut miserabilia illa spectacula oculis intueretur, quae quidem nullis lacrimis satis deplorari queant. nam fauces exaequatae erant, valles in tumulos assurgebant, saltus cadaveribus operiebantur. prostratis omnibus cutis capitis detracta erat, nonnullis pudenda etiam praecisa. ideo factum a Persis dicebatur, ut circumcisis a Christianis non distinctis victoria anceps esset: nam ex utroque exercitu multi ceciderant. nemo igitur praeteriit quin lamentaretur et nominatim familiares atque amicos suos interfectos compellaret.

Hoc loco illud in mentem mihi venit, res futuras difficulter ab hominibus posse praecaveri, neque facile quemquam pericula

ρίας ἱλεωθὲν ἀπώσαιτο τὰ δεινὰ ἢ ἐκ τούτου εἰς τοῦτο μεταχλινεῖ, καταμιγνύον τὸ τῆς κινήσεως ἀκραιφνὲς καὶ τῷ φιλανθρώπῳ καπηλεῦον τὸ ἄκρατον. βασιλεὺς γὰρ ἡνίκα ἦν κατὰ Περσῶν ἐκστρατεύειν προθέμενος, ἐδόκει καθ' ὕπνους ὁρᾶν ὡς εἰς στρατηγίδα νῆα ἐμβὰς αὐτός τε καὶ συχνοὶ τῶν ἐπιτηδείων τὴν Προποντίδα ἀνελέγετο, αἴφνης δὲ συμπεσεῖν τὰ ἐξ Εὐρώπης καὶ Ἀσίας ὄρη, ὡς ἀφανισθῆναι μὲν τῆς νηὸς θραυσθείσης τὸ ἐμπλέον ἅπαν, αὐτὸν δὲ μόλις ἐκδοθῆναι τῇ χέρσῳ ταῖς χερσὶ νηχόμενον. καθ' ἣν δὲ ἡμέραν τῶν ἐπισφαλῶν ἐκείνων ἐπέβαινε τρίβων, ἀνήρ τις προσελθὼν
P. 124 αὐτῷ δίγλωττος, τὸ γένος Ῥωμαῖος, τοὐπίκλην Μαυρόπουλος, δόξαι οἱ ἔφατο κατ' ὄναρ τὸν ἐκ τοῦ Κύρου παρώνυμον ναὸν εἰσελθεῖν, ἐν δὲ τῷ ἱλεοῦσθαί οἱ τὴν εἰκόνα τῆς θεομήτορος φωνὴν ἐξικνουμένην ἐκεῖθεν ἐνωτισθῆναι, λέγουσαν ὡς „ἀρτίως ἐν μεγίστοις μάλιστα κινδύνοις ὁ βασιλεύς,
V. 101 καὶ τίς ἀπελεύσεταί μοι τούτῳ συνέριθος;" εἰρηκότος δέ τινος ἀοράτως „ἀπελθέτω Γεώργιος" „νωθὴς οὗτος" εἰπεῖν, κἀκείνου δὲ πάλιν ἐπενεγκόντος „ἀπίτω Θεόδωρος" καὶ πρὸς τοῦτον ἀπανήνασθαι, τέλος δὲ μετὰ περιαλγείας φθέγξασθαι ὡς οὐδεὶς προφθάσει τὸ φυόμενον ἐκείνῳ κακόν. καὶ ταῦτα μὲν οὕτω.

B 6. Μετὰ δὲ τὸ ὑποκαταβῆναι τὰς δυσχωρίας ἐνέκειντο καὶ πάλιν οἱ Πέρσαι Ῥωμαίοις ἐκ τῶν ὄπισθεν ἐπιφαινόμε-

1. τοῦτο] τὸ A. 6. τὴν Πρ.] ἀνέβαινε κατὰ τὸ στενὸν τοῦ ἱεροῦ B. ξυμπεσεῖν A. 7. ἀφανισθείσης A. 15. μάλα A. 18. καὶ τοῦτον μὴ δύνασθαι εἶπε B.

evasurum, nisi numine exorato divinitus custodiatur malorumque levamen impetret. nam imperator cum Persis inferre bellum statuisset, in somnis sibi visus est conscensa imperatoria nave cum multis familiaribus Propontidis oram legere; subito vero Europae et Asiae montes concidisse, fractaque nave, caeteris omnibus sublatis, se vix manibus in litus enatasse. quo autem die periculosas illas vias ingressurus erat, homo quidam duarum linguarum peritus, natione Romanus, cognomento Mauropulus, ei dixit se visum in somnis Cyri aedem ingredi, et dum genitricem dei placaret, vocem ex ea editam audire, quae diceret „nunc in summo discrimine versatur imperator, et quis ei meo nomine opem feret?" cum quidam ex obscuro dixisset „abeat Georgius," illam respondisse „tardus hic est." illo iterum dicente „abeat Theodorus," eo quoque repudiato denique moestam exclamasse neminem malum illi imminens praecavere posse. atque haec hactenus.

6. Postquam autem ex angustiis evaserunt, Persae Romanos iterum a tergo sunt adorti. Persam enim poenituisse ferebant quod

κοι· μεταμέλῳ γὰρ ἐλέγετο πληγῆναι τὸν Πέρσην ὅτι τὸ ἐν χερσὶ παρῆκε θήραμα, κἀντεῦθεν ἐνδοῦναι τοῖς οἰκείοις ἐκεῖνα ἐπιοῦσιν ἐνδείκνυσθαι ὅσα καὶ πρὸ τῶν σπονδῶν ἐξῆν διαπράττεσθαι. οὐ πανσυδὶ δὲ καὶ ὡς ἡνίκα τὰ δυσέμβολα χωρία Ῥωμαῖοι διήρχοντο, οἱ Τοῦρκοι παρείποντο, ἀλλὰ κατὰ διαλειπούσας συμμορίας ἐπηκολούθουν· οἱ γὰρ κράτιστοι καὶ πλεῖστοι ταῖς τῶν σκύλων ὠφελείαις ἔμφορτοι γενόμενοι τῆς οἴκαδε φερούσης ἥψαντο. πλὴν καὶ οἱ παρεπόμενοι ἐκεῖνοι πολλοὺς διέφθειρον, καὶ τούτους μάλιστα ὁπόσοι τραυματίαι τε καὶ ἀπόμαχοι, καίπερ τοῦ βασιλέως τοὺς πολεμικοὺς τῶν ἡγεμόνων καὶ δραστηρίους οὐραγεῖν ἐπιτάξαντος. ὡς δὲ C κατὰ τὰς Χώνας παρεγένοντο, ἄσμενοι ἐκεῖσε τὸ γόνυ ἔκαμψαν, ὡς οὐκέτι τοὺς πολεμίους ὀψόμενοι. βασιλεῖ δὲ καὶ τούτου ἐμέλησεν, ἑκάστῳ καχεκτοῦντι στατῆρα διαδοῦναι ἀργύρεον, νοσοκομίας ἐφόδιον πρόσκαιρον. καταβὰς δὲ εἰς Φιλαδέλφειαν ἡμέρας τινὰς ἐκεῖσε διέτριψε, τὴν τοῦ σώματος διάθεσιν ἀνακτώμενος, καθῃρημένην οἷς ἐπεπόνθει κατὰ τὸν πόλεμον. προεκπέμψας δ' ἀγγέλους τὰ συμβεβηκότα ταῦτα τοῖς Κωνσταντινουπολίταις παρίστα, νῦν μὲν ταυτοπαθῆ πως ἑαυτὸν Ῥωμανῷ τῷ Διογένει κατονομάζων, ἐπεὶ καὶ οὗτος ὁ βασιλεὺς κατὰ τῶν Τούρκων ἐξενεγκὼν ποτε πόλεμον τό τε πολὺ τῆς στρατιᾶς ἀπεβάλετο καὶ αὐτὸς συλληφθεὶς ἀπήχθη D αἰχμάλωτος, νῦν δὲ τὰς μετὰ τοῦ σουλτάνου σπονδὰς ὑπεξ-

5. ἀλλὰ γενεαὶ γενεαὶ B. 12. τὸ γόνυ] εὐχαρίστησε τῷ θεῷ ὡς ὅτι οὐδὲν κακὸν αὐτῷ ὑπὸ τῶν πολεμίων ἐγίνετο B. 14. στατῆρα] ἀνὰ ⳩ δέκα B.

paratam praedam e manibus amisisset, et suis concessisse ut Romanis ostenderent ea quae etiam ante pacem facere potuissent. non tamen toto exercitu, ut tum cum angustias transirent Romani, assectabantur, sed ex intervallis et seiunctis cohortibus. nam plerique, optimi quique praesertim, manubiis onusti domos suas repetebant. nihilominus tamen illi qui tergis inhaerebant multos occidebant, vulneratos praesertim atque imbelles, quamvis imperator bellicosos et strenuos duces extremum agmen claudere iussisset. ubi Chonas pervenerunt, cupide quieverunt ut hostes non amplius visuri. imperator vero unicuique male habenti staterem viaticum dedit ad morbum pro tempore curandum. Chonis Philadelphiam descendit, atque ibi ad valetudinem a belli aerumnis recreandam aliquot dies commoratus, praemissis in urbem nuntiis acceptam cladem Cpolitanis per litteras significavit; in quibus nunc idem sibi quod Romano Diogeni accidisse querebatur, qui bello Sarracenis illato magnam copiarum partem amisisset et ipse captus fuisset: nunc Sultanicum foedus

αἴρων, καὶ κάτωθεν τῆς ἑαυτοῦ σημαίας μεγαλορρημονῶν αὐτὰς περατῶσαι, ἀνέμῳ ἀναπεπταμένης καὶ πρὸς τὸ τῶν ἀντιπάλων ἀφορώσης μέτωπον ὡς φόβον ἀντιπίπτειν καὶ τρόμον αὐτοῖς. οὐ μὴν ἀλλὰ τὸ μὲν Σούβλεον ἐπιπαριὼν κατὰ τὸ σουλτάνῳ δοκοῦν αὐτὸς καθαιρεῖ, τὸ δέ γε Δορύλαιον οὐδαμοῦ. ὅθεν στείλας ὁ σουλτάνος πρεσβείαν τῶν τε συνθηκῶν αὐτὸν ἀνεμίμνησκε, καὶ θαυμάζειν ἔλεγεν ὅπως μὴ ἐς δεῦρο καθῄρηται τὸ Δορύλαιον. ὁ δὲ ὀλίγα τοῖς κατ' ἀνάγκην γενομένοις τὸν νοῦν προσέχειν εἰπών, κατεδαφίσαι δὴ τὸ Δορύλαιον οὐδ' ἄκροις ὠσὶ παρεδέχετο, ἐκεῖνο ἀτεχνῶς τῶν τῆς Πυθίας πρὸς τὸν Ἐπικυδίδην ἐπῶν ἀποτεμόμενος καὶ
P. 125 αἰνέσας „ὄμνυ, ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα," τὰ δὲ ἐφεξῆς, ἅ φασιν οὕτω, παρεπισχών, „ἀλλ' ὅρκου παῖς ἐστὶν ἀνώνυμος· οὐδ' ἔπι χεῖρες οὐδὲ πόδες, κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα. ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων." ὁ δέ γε Πέρσης μοῖραν ἀπόλεκτον τῆς ὅλης αὐτοῦ στρατιᾶς ἀποδιελών, εἰς χιλιάδας εἴκοσι πρὸς ταῖς τέσσαρσι μετρουμένην, καὶ στρατηγὸν αὐτῇ τὸν Ἀτάπακον ἐπιστήσας πέμπει τὰς ἄχρι θαλάττης πόλεις καὶ χώρας πορθήσοντα, φείσασθαι μηδαμῇ μηδεμιᾶς ἐπισκήψας, ἀποκομίσαι τε αὐτῷ ὕδωρ θαλάττιον καὶ κώπην καὶ ψάμαθον. ὁ δὲ τὰ ἐπιτεταγμένα διδοὺς

9. εἰπὼν om A. 19. ἀτάπακα A, ἀττάπακαν B. 21. μηδαμῇ] μηδαμοῦ A. 22. κώπην] βρύα B.

extollebat, et Sultanum pacem expetiisse iactabat, aurea bulla consignatam pactionem ostentans, a Sultano subscriptam, quasi metu id fecisset. nihilominus tamen Subleum in transitu ex Sultani voluntate diruit, sed Dorylaeum neqvaquam. quare a Sultano per legatos pactionis est admonitus, mirari se dicente quod Dorylaeum nondum eversum esset. ille vero, se parum ea curare quae necessitate facta essent respondens, Dorylaei evertendi mentionem minime ferebat, illam opinor partem Delphici oraculi, quod Epicydidi est redditum, secutus:

iura. mors rapit hos etiam, qui foedera servant.

ea vero quae sequuntur neglexit:

iurisiurandi sed filia nominis expers,
trunca pedum manuumque, celerrima sed tamen instat,
persequiturque virum, dum stirpem funditus omnem
hauserit. at soboles servantis foedera floret
post obitum magis, in seros rediviva nepotes.

caeterum Persa Atapacum ducem cum delecta ex omni exercitu IV et XX millium manu ablegat, ut ad mare usque omnes urbes et provincias vastet ac nemini parcat, sibique aquam marinam, remum

πέρατι, τὰς Μαιανδρικὰς ἐπιὼν πόλεις ἐδῄου οἰκτρῶς, ἐσβολὰς B ἀκηρύκτους καὶ ἐφόδους ἀπροόπτους τιθέμενος. παρεστήσατο δὲ καὶ τὰς Τράλλεις τὴν πόλιν καὶ τὴν κατὰ Φρυγίαν Ἀντιόχειαν, τὰ Λοῦμά τε καὶ τὸν Πεντάχειρα καὶ ἕτερ' ἄττα V. 102 ἐρύματα κατάκρας ἑλὼν ἐσκύλευσεν. ὁδῷ δὲ προϊὼν καὶ τὰς παραθαλαττιδίους ἐλυμήνατο χώρας.

7. Βασιλεὺς δὲ ταῦτα ἐνωτισάμενος ἄλλαις τε πλείσταις μεθόδοις ἐχρήσατο καὶ δὴ καὶ τῷ μὴ ἐπὶ βυκάναις καὶ σάλπιγγι τῆς σκηνῆς προϊέναι, „οὐ χρεία" λέγων „τοιούτων ἄρτι τινῶν, ἀλλὰ τόξων καὶ δοράτων, ἵνα τοὺς μισοῦντας ἡμᾶς, οἳ (κατὰ Δαβὶδ εἰπεῖν) ἤχησαν καὶ ἦραν κεφαλάς, τῶν Ῥωμαϊκῶν ἀποπεμψώμεθα χωρῶν." καὶ αὐτὸς μὲν τὴν εἰς τοὺς πολεμίους ἀπᾶραι οὐδαμῶς ἐδικαίωσε, στέλλει δὲ τὸν ἀνεψιὸν C Ἰωάννην τὸν Βατάτζην, τῷ δραστηρίῳ ἐν δέοντι χρώμενον, καὶ τὸν δοῦκαν Κωνσταντῖνον, νεανίαν ἄρτι ὑπηνήτην καὶ κατὰ τῶν φυτῶν τὰ εὐγενῆ καρπογονεῖν πρὸ ὥρας ἐπαγγελλόμενον, ἔτι δὲ τὸν Ἀσπιέτην Μιχαήλ, πολλὰ παραινέσας αὐτοῖς σὺν εὐβουλίᾳ καὶ τάξει τὸ πραχθησόμενον ἅπαν ποιεῖν, πρὸ δὲ τούτων μὴ προσπελάσαι παντάπασι τοῖς βαρβάροις, εἰ μὴ πείρᾳ γνοῖεν ἀκριβεῖ πρότερον ὁπόσοι εἶεν τὸ πλῆθος καὶ ὡς νικῷεν αὐτοὺς μαχεσάμενοι. καὶ Πέρσαι μὲν πέρας τῆς ἐφόδου τὴν θάλατταν θέμενοι μετὰ πλείστης ὅτι λείας ἀνέλυον, κἀκεῖνα κείροντες οἷς κατὰ τὴν κάθοδον οὐ προσέβαλον· οἱ δ' ἀμφὶ τὸν Βατάτζην τὰς δυνάμεις ἀναλαβόντες, ὅσαις τε

12. τὴν om A. 22. θάλασσαν A.

et arenam apportet. is iussa exequens Maeandrias urbes subitis et improvisis incursionibus miserabiliter populatur, Tralles et Phrygiae Antiochiam deditione capit, Luma Pentachira et alias munitiones vi expugnatas spoliat, et ordine progressus oram maritimam quoque vastat.

7. Quibus rebus auditis imperator, cum aliis plurimis artibus usus est, tum sine buccinis et tubis e tentorio prodiit. nunc enim talibus rebus non esse opus, sed arcubus et hastis, ut insolentes hostes Romanis provinciis exigantur. ac ipse sibi non exeundum ratus, Iohannem Batatzem nepotem suum misit, virum cautum et strenuum, et Ducam Constantinum, adolescentem adhuc pene imberbem, sed virili maturitate praeditum, et Michaelem Aspietem, multum hortatus ut prudenter et tempestive omnia administrarent, nec prius barbaros invaderent quam numerum eorum cognovissent et victoriam penes se fore intellexissent. Persae vero, quorum excursionis terminus mare fuit, cum opima praeda recedentes ea quoque in reditu populati sunt, quae ante non attigerant. Batatzes vero cum copiis et ab im-

D αὐτοὺς ὁ βασιλεὺς ἐφωδίασε καὶ ὅσαι κατὰ πάροδον ξυνελέγησαν, ἤλαυνον εὐθὺ τοῦ Ὑελίου καὶ τοῦ Λειμμόχειρος τῶν πολιχνίων, καθ' ἃ περὶ ποταμῷ τῷ Μαιάνδρῳ πάλαι ποτὲ γέφυρα περιήγετο. ἐπεὶ δὲ οἱ σκοποί, οὓς ἄρα ὁ Βατάτζης κατέστησε κατὰ πάσας τὰς ὁποιοῦν φερούσας ὁδούς, ἀπήγγελλον τὴν τῶν Τούρκων ἀνάζευξιν καὶ ὡς οὐ πρόσω ἤδη εἰσὶν ἐφορμῶντες, εἰς δύο ἀποτμηματίσας τὴν στρατιὰν τὸ μὲν πλέον ταύτης εἰς λόχους καθίστησι κατὰ τὰς ὁδοὺς ἃς ἤμελλε τέμνειν τὸ πολέμιον, τὸ δὲ λοιπὸν ἐς τὰς μετὰ τὴν παλαιὰν γέφυραν ἐκβάσεις τοῦ ποταμοῦ διασπείρας προσμένειν ἐκέλευε μερίδος τινὸς ἀπὸ τῶν Τούρκων μετὰ τῆς αἰχμαλωσίας περαίωσιν, καὶ τηνικαῦτα μηδ' ὅλως κατορρωδεῖν ἀλλὰ θαρραλέως προσυπαντᾶν. καὶ ὁ μέν, ὡς ἄμεινόν οἱ δέδοκτο, P. 126 οὕτω δὴ τὸ οἰκεῖον διεσκεύασε στράτευμα· οἱ δὲ Τοῦρκοι ὡς εἴχοντο τοῦ διαβαίνειν, ἐξ ὑπερδεξίων βαλλόμενοι εἰς τὸν ποταμὸν συνωθοῦντο καὶ ἀπεπνίγοντο. ὁ δέ γε Ἀτάπακας μετὰ τῶν ἀμφ' αὐτὸν εὐοπλοτάτων εἰς λόχον συσπειραθεὶς καὶ συστραφεὶς ἀγχωμάλως Ῥωμαίοις συμπλέκεται, καὶ τὸ ἀντίμαχον ἐντεῦθεν κακῶσαι βουλόμενος καὶ τοῖς ὁμογενέσιν ἐκεχειρίαν διδόναι τῆς τοῦ ποταμοῦ περαιώσεως, ὡς μὴ φθάνειν ἑκάστου προθυμουμένου βραδεῖα μὲν ἡ διάβασις γίνοιτο, δεινὴ δὲ ἡ τῶν σφαλλομένων ἀπώλεια. ἐφ' ἱκανὸν μὲν οὖν ἀντισχὼν ἐκθύμως ἐμάχετο, ἀνδρείου φρονήματος καὶ χειρὸς γενναιοτάτης ἔργα δεικνύς. ὡς δὲ μάθοι καὶ κατὰ τὴν περαίαν τοῦ ποταμοῦ Ῥωμαίους ἐφεστάναι καὶ ἀναιρεῖν τὸ δια-

2. ὑελέου A. λειμάχειρος A, λειμόχειρος B. 8. λόχους καὶ ἐγχρύματα B. 14. διεσκέδασε A. 24. γενναίας A.

peratore acceptis et in itinere collectis recta Hyelium et Limmochirem oppida petierunt, qua olim Maeandri fluminis pons fuit. sed cum speculatores, quos in omnibus viis constituerat, Turcorum discessum, qui quidem in propinquo essent, significarent, exercitu in duas diviso partes maiorem in insidiis collocat, qua hostes transituri erant, alteram ultra fluvium iuxta veterem pontem dispersam expectare, et turmas Turcarum cum captivis traiecturas fortiter invadere iubet. cum vero Turci ex superiore loco telis petiti in flumine mergerentur, Atapacus cum fortissima cohorte cum Romanis congreditur, ut suis traiiciendi spatium praeberet, ne singulis antevertere cupientibus et longior mora intercederet, et qui vado aberrarent, crudeliter interirent. ita diu acerrime dimicando, et fortis animi promptissimaeque manus facinora egregia edendo, ut etiam ultra [illegible] Romanos stare cognovit, et quicquid Persarum transiret oc-

βαῖνον τοῦ Περσικοῦ στρατεύματος, καταχλᾶται τὸ πρόθυμον, B καὶ τοῦ ἀκμαίου ἐκείνου μεθαρμοσθεὶς λήματος τὴν σωτηρίαν ἑαυτῷ διατίθησι, καὶ δὴ τὴν προκειμένην παραλλάξας πορείαν ἀνωτέρω μεταχωρεῖ, ἀναδιφῶν ἑτέραν περαίωσιν. ὡς δὲ ἄπορος ἦν ὁ ποταμὸς πανταχόθεν, τοὺς ἐπιδιώκοντας δεδιώς, τὴν ἀσπίδα ὑποθεὶς τῷ ὕδατι ὡς κελητίῳ ταύτῃ ἐχρῆτο, ἀρίστως ἀντικαταστὰς τῷ τῆς ἀνάγκης ὀξεῖ. καὶ τοίνυν τῇ μὲν λαιᾷ τὸν ἵππον κατέχων παρανηχόμενον, τῇ δεξιᾷ δὲ τὴν σπάθην γυμνὴν δεδωκώς, καὶ προσποιῶν ἐν τῷ παραυτίκα ταύτην εἰς οἴακα, ἐσάλευεν οὕτω κατὰ βραχὺ τοῦ ποταμοῦ διαπλέων τὸ πέλαγος. οὐ μὴν ἐς τέλος ἐξέπλευσε τὸ θανεῖν. εἰς γὰρ τὸ ἀντιπέραν ἤδη γενόμενος ἐπί τι γήλοφον C ἄνεισιν, ἑαυτὸν ὅστις ἐστὶν εὐφημῶν καὶ μεγάλης γλώττης κόμπῳ χρώμενος, ὅπως συναχθῶσι καὶ ἕτεροι Τοῦρκοι μετ' αὐτοῦ· οὐδενὸς δὲ τῶν ἐπισήμων καὶ αὐτὸν εἰδότων Ῥωμαίων προσπελάσαντος, ἀλλά τινος τῶν ἐπικούρων Ἀλανῶν ἐπιδραμόντος ὅπου τὴν καινὴν εἰρεσίαν σχάζειν ἔμελλεν, ἀναιρεῖται ἀμφιστόμῳ κνώδοντι. ἐκ δὲ τούτου ἀκόσμως V. 103 τε Πέρσης ἕκαστος ἀπεδίδρασκε καὶ Μαίανδρος τοὺς πλείονας εἰσεδέχετο, ὡς βραχεῖς ἐκ τῶν τοσούτων χιλιάδων διασωθῆναι. καὶ τοῦτο τὸ ἔργον, εἴπερ τι ἄλλο, ἀνέρρωσε μὲν τὰ Ῥωμαίων πράγματα, καθεῖλε δὲ τὰ Περσῶν φρυάγματα· ὡς γὰρ οὐ δεξομένων σφᾶς τῶν Ῥωμαίων γεγηθότες ἐπῄεσαν, καὶ ὡς πᾶσαν ἀφανίσοντες μικροῦ τὴν Φρυγίαν καὶ φθεροῦντες D ὁπόσην ἔπεισι Μαίανδρος ἀγκυλορρόας, ἐσβάλλων εἰς θάλασσαν. πίπτει δὲ κατὰ τοῦτον τὸν πόλεμον Ἀσπιέτης ἐξ αἰτίας τοι-

8. περινηχόμενον vulgo. 17. Ἀλανῶν] σκυθῶν A, ἀλαμανῶν B.

cidere, fracta alacritate et generoso illo spiritu debilitato suae saluti consulit, et proposito itinere declinato superius abscedit, aliud vadum quaesiturus. quia vero flumen nusquam transiri poterat, capto ex tempore consilio scuto pro lintre utitur, laeva equum iuxta natantem ducit, et dextra gladium pro gubernaculo sustinens natando paulatim progreditur. mortem tamen evitare non potuit. nam cum in ulteriorem ripam evasisset, tumulo conscenso quis sit praedicat, et arrogantibus verbis semet ipsum celebrat, quo plures Turcae eo confluerent. verum non ab illustri aliquo et noto Romano, sed ab Alano quodam occiditur. ex eo Persae effuse fugientes plerique in Maeandro submerguntur, perpaucis ex tot millibus conservatis. id factum, si quid aliud, rem Romanam erexit et Persarum insolentiam repressit. alacres enim invehebantur, et Romanos terga daturos, se vero totam prope Phrygiam, quam late Maeander ad mare usque.

ὥσδε. Πέρσης ἀντικαταστὰς Ἀσπιέτῃ, πλήττειν οὐκ ἔχων κατὰ τοῦ σώματος (τὰ γὰρ ὅπλα ἦν ἰσχυρὰ καὶ ἡ ἀσπὶς ἐς πόδας καθήκουσα) ἐπὶ τὸν ἵππον ᾧ ἦν Ἀσπιέτης ἔποχος θυμῷ φέρεται· καὶ δὴ ὡς ἐπλήγη καιρίαν κατὰ τῶν προσώπων ὁ ἵππος, εἰς τοὐπίσω τε ἀναχάζεται, καὶ τοὺς πρόσθεν πόδας μετεωρίσας ἐπικαταβάλλει τὸν ἀναβάτην εἰς τὸν ποταμόν.

8. Ἐπὶ δὲ τῷδε τῷ ἔργῳ καὶ ἕτερον ὁ βασιλεὺς ἀνύσαι προθέμενος, ἔξεισι κατὰ μέρος κατὰ τῶν ἐν Λακερίῳ καὶ Πανασίῳ κατασκηνούντων Περσῶν. καὶ δὴ ἀναστήσας τοὺς κατὰ τὸ Πανάσιον, τοὺς ἐν Λακερίῳ μέτεισιν ἔπειτα. πρὸ δὲ τοῦ τῶν χώρων ἐντὸς γενέσθαι καθ' οὓς ηὐλίζοντο οἱ πολέμιοι, στέλλει τὸν Λαοδικέα Κατίδην ἐν οἷς ἐστὶ τὰ τῶν Τούρκων κατασκεψόμενον καὶ τάχος ἐκείνῳ ἀπαγγελοῦντα τὸ ὁραθέν.
P. 127 ὁ δὲ διασοβεῖ τοὺς Πέρσας, ἐς οὓς ἐξώρμα ὁ βασιλεὺς ὡς εἰς λείαν ἑτοίμην καὶ ὅτι ἐγγύτατον θήραμα, καὶ τὴν αὐτοῦ παρουσίαν δήλην ἐκείνοις τίθησι, διαθροῆσαι θέλων τοὺς Πέρσας τῷ βασιλέως ὀνόματι. καὶ τῷ μὲν χαλεπήνας ἐκεῖνος καὶ πρὸς ὀργὴν ἐξενεχθεὶς δίκην ἐπέθηκε τὴν ἐκτομὴν τῆς ῥινός· αὐτὸς δὲ μηδὲ βραχύ τι γοῦν ἀναδύς, ἀλλ' ἐπιταχύνας ὡς εἶχεν, οὐ κατόπιν ἧκει καὶ οὕτω τῶν πολεμίων. ἀλλὰ καὶ ἄλλοτέ ποτε δι' Ἀνδρονίκου τοῦ Ἀγγέλου τοῖς Τούρκοις ἐπέθετο, κἂν οὐχ ὡς ἄριστα καὶ τότε τὰ κατὰ τὸν πόλεμον αὐτῷ ὑπηντίασε. τῷ γὰρ ἀνδρὶ τούτῳ τῶν ἑῴων τα-

9. λακαρίω B. 10. ἀναστήσας] μὴ εὑρὼν τοὺς ἐν πανασίω οἰκοῦντας B, κατὰ τῶν ἐν τῷ λακαρίω ἀπέρχεται καὶ οὐδὲ ἐξ ἐκείνων πολλοὺς ἔβλαψε B. 13. κατίδιν A. 19. δίκην] τὴν αὐτοῦ μίτυν ἔκοψεν B. 22. Ἀγγέλου] δοῦκα A.

protenditur, deleturos putabant. in hoc praelio Aspietes cecidit hoc modo. Persa quidam cum ipsum ob firmitatem armorum et scutum ad pedes usque demissum vulnerare non posset, impetu in equum eius invehitur; qui letaliter in fronte percussus regreditur. et in posteriores pedes erectus sessorem in flumen praecipitat.

8. Post hunc successum Manuel bellum Persis infert, qui ad Lacerium et Panasium incolunt, et Panasianis profligatis Lacerianos invadit. sed priusquam ad hostes ventum esset, Catidem Laodicensem speculatum mittit, qui ut Turcarum res se haberent quam celerrime renuntiaret. is vero ut Turcis, contra quos imperator ut paratam praedam ibat, terrorem incuteret, imperatoris praesentia nuntiata facit ut diffugiant. quamobrem iratus imperator nasum illi praecidit: sed hostes nulla festinatione assequi potuit. alio quoque tempore Turcos per Andronicum Angelum aggressus parum prospere

γμάτων ὅ τί περ κράτιστον παραδοὺς, καὶ συνεκπέμψας αὐτῷ τὸν Καντακουζηνὸν Μανουὴλ, ἄνδρα περὶ τὰς πράξεις ἀγαθὸν καὶ γενναῖον, καὶ ἑτέρους τῶν ἐπὶ δόξης Ῥωμαίων, κα- B τὰ τῶν ἐν τῷ Χάρακι Τούρκων ἀφίησι· κεῖται δὲ ὁ Χάραξ οὗτος μεταξὺ Λάμπης καὶ τοῦ τῆς Γραὸς Γάλακτος. τὰς δυνάμεις τοίνυν ἀναλαβὼν Ἀνδρόνικος πρῶτα μὲν εἰς τὸ τῆς Γραὸς παρεμβάλλει Γάλα,· ἔπειτα δ' ἐκεῖσε τὰ ὑποζύγια καὶ τὴν ἄλλην ἀποσκευὴν καταθέμενος. ἄνεισιν ἐς νέωτα πρὸς τὸν Χάρακα, κούφως ὡπλισμένην ἔχων τὴν στρατιάν. οὐ γενναῖον δέ τι δράσας οὐδ' ἄξιον τοῦ τοσούτου στρατεύματος, ὃ τηνικαῦτα ἐπήγετο, ἀλλὰ συμμετρήσας τὸ ἔργον βοσκημάτων ἁρπαγαῖς καὶ ποιμνίταις ὀλίγοις Τούρκοις, περιδεὴς ἐκεῖθεν ἀπονοστεῖ. ἐπιφανέντων γὰρ ἐκ τῶν ὄπισθεν νυκτὸς βαρβάρων τινῶν καὶ βοησάντων, μὴ ἀναμείνας ἢ τὸ πλῆθος C τῶν ἐπιόντων κατεξετάσαι ἢ τοὺς ὑπ' αὐτὸν εἰς μάχην καταστησάμενος, ἀνεὶς τὸν ὑπεκφέροντα ἵππον καὶ χερσὶ καὶ ποσὶ καὶ φωνῇ πρὸς τὸ φέρεσθαι ὀξέως διήγειρεν, οὐ τὴν ἐς στρατήγιον φέρουσαν ὁδεύων ἀλλ' εὐθὺ τῆς τῶν Χωνῶν ὁρμηκὼς πόλεως. ἰδὼν δὲ τὸν ἵππον καὶ πορρωτέρω χωρεῖν ἔχοντα οὐδ' ἐκεῖσε τὸν δρόμον ἵστησιν, ἀλλ' ἐς τὴν ἐν Φρυγίᾳ Λαοδίκειαν ὅλον συντείνει τὸ πρόθυμον. τὸ δὲ στράτευμα πρὸς τὴν ἀθρόαν τοῦ ἡγεμόνος ἀφάντωσιν ἐκταραχθὲν διαλύεται τῆς συντάξεως καὶ σὺν οὐδενὶ κόσμῳ τρέπεται πρὸς φυγήν, τῶν θρεμμάτων καὶ τῶν αἰχμαλώτων ἀφέμενον. τάχα δ' ἂν καὶ ἑαυτοῖς συμπεσόντες ἐμαχέσαντο Ῥωμαῖοι νυ-

5. μεταξὺ τῆς λ. A. 11. ἀλλὰ συμμ.] ἁρπάξας ὀλίγα πρόβατα καὶ πιστικοὺς B. 12. ἁρπαγαῖς] ἀγέλαις A.

pugnavit. cui cum Orientalium copiarum partem optimam dedisset et legatum Manuelem Cantacuzenum adiunxisset, virum in rebus gerendis strenuum, una cum aliis illustribus Romanis, Turcos Characenos iussit invadere. is Charax inter Lampem et Graosgala situs est. Andronicus copiis assumptis in Graosgalacte primum castrametátur, deinde iumentis et reliquis impedimentis ibi relictis Characem cum levi armatura invadit. sed nullo facinore edito quod tanto exercitu dignum esset, raptis tantum pecudibus et paucis Turcis pastoribus abductis, trepidus inde refugit. nam cum se noctu Turcae cum clamoribus ostendissent, non quantus eorum esset numerus expectavit, non suos ad pugnam instruxit, sed equum et manibus et pedibus et voce ad velocissimum cursum incitavit, nec in castra sed Chonas properavit. et quia equum currere diutius posse videbat, ne ibi quidem cursum inhibet, sed Phrygiae Laodiceam contendit. enimvero exercitus inopinata ducis absentia consternatus acie soluta effuse fu-

κτὸς ἔτι οὔσης, εἰ μὴ ὁ Καντακουζηνὸς Μανουὴλ ὡς ἐξ ἀνα-
D τιπάλου συστὰς καὶ σπασάμενος μάχαιραν ἔπαιε τῷ ταύτης
πλατεῖ τοὺς δραπέτας, „στῆτε" λέγων· „οὐδένων ἐπικειμέ-
V. 104 νων ποῖ φέρεσθε;" καὶ οὕτως ἔληξάν ποτε πρὸς μικρὸν τῆς
ἀλόγου ἐκείνης ἀπάρσεως καὶ τοῦ ὅλῳ ῥυτῆρι κατά τε πρα-
νῶν κατά τε φαράγγων καὶ γηλόφων ἵεσθαι. πρὸς ἣν ἀκλεᾶ
τοῦ Ἀνδρονίκου φυγὴν βαρυαλγήσας ὁ βασιλεὺς ἐγγὺς ἦλθε
τοῦ διὰ τῶν ἀμφόδων τῆς πόλεως ἐκφαυλίσαι Ἀνδρόνικον
γυναικείαν στολὴν περικείμενον. φιλοικεῖος δ' ὢν καὶ ἀεὶ
ἐνδιδοὺς πρὸς τὸ αἷμα καθεῖλε τὸν χόλον, καὶ ἄλλως μαθὼν
ὡς βράχιστοι Ῥωμαίων ἐν τῷ πολέμῳ τούτῳ πεπτώκασιν.
ἠρίστευσαν δὲ οὐδένες κατὰ ταύτην τὴν ἔφοδον, οἷα τῆς
ἐς τοὺς βαρβάρους ἀνόδου γενομένης ὀξείας καὶ τῆς ἐς τοὐ-
πίσω αὖθις ὀξυτέρας μεταχωρήσεως. Πέρσης δέ τις τηνικαῦτα
τόπου ἀνάντους λαβόμενος κἀνταῦθα ὑφιζήσας πολλοὺς τῶν
παριόντων Ῥωμαίων ἀνῄρει, θανάσιμα πάντα καὶ κατάγοντα
P. 128 ἐς ᾅδου βέλεμνα πέμπων· διὰ γὰρ ἀσπίδος διῄει καὶ θώρακος,
καὶ ἦσαν ἀμαιμάκετον κακόν. ἐπὶ τοῦτον πολλοὶ μὲν ὅσοι
ἀρετῆς ἀντεποιοῦντο ἐπισυνέστησαν, καὶ ἀγχοτάτω παραγε-
νόμενοι ἔβαλλον βέλεσι καὶ ἔπειρον δόρασι, θυμῷ πολλῷ
χρώμενοι. ὁ δὲ πυρριχίζων ἄντικρυς ἐξωρχεῖτο πάντα τὰ ἐς
αὐτὸν φερόμενα βλήματα καὶ στροφάδην τοὺς ὑπαντιάζοντας
ἔκτεινεν, ἕως ὁ Ξηρὸς Μανουὴλ ἀπὸ τοῦ ἵππου κατεπήδησε
καὶ τὴν ἀσπίδα προβεβλημένος ξιφήρης τὴν χεῖρα τῷ Πέρσῃ
ἐπῆλθε, τὰ βέλη πάντα τῷ σάκει δεχόμενος, καὶ κατὰ κεφα-

11. βραχεῖς ἐκ τῶν ῥωμαίων A. 19. μετεποιοῦντο A. γενόμενοι A. 22. ὑπαντιάζοντας] ἐπιόντας A. 24. τῷ Πέρσῃ om A.

git, pecudibus et captivis omissis. forsitan etiam inter sese certassent Romani, quia nox adhuc erat, nisi Manuel Cantacuzenus stricto ense obstitisset, et fugitivos obliquo gladio perculisset, ac stare iussisset prosequente nemine. sic tandem foeda et praeceps illa fuga nonnihil compressa est. qua indignatus imperator parum abfuit quin Andronicum muliebri habitu per urbem circumduci iuberet. sed ut suorum amans, cognationis ratione habita, irae imperavit, praesertim cum in ea pugna paucissimi cecidissent. nihil in ea expeditione memorabile gestum est, quod et subito eductus est exercitus et celerius reductus. Persa vero quidam arduo loco occupato, multos praetereuntium Romanorum sagittis interemit, etiam thoraces penetrantibus. hunc multi viri fortes adorti et telis eminus et hastis cominus irati feriebant. verum ille agilitate corporis et tela in se excussa evitabat,

λῆς καιρίαν ἔπληξε, καὶ ἀνῄρηκεν. οὕτω δὲ τὸν Ξηρὸν ἀπέχοντα εὗρεν ὁ Πέρσης τοῦ ἐκεῖνον ἀπεκτονέναι καὶ πρὸς τὴν
αὐτοῦ περὶ τοῦ μὴ θανεῖν δέησιν ἀκαμπῆ καὶ σκληρὸν ἀλη- B
θῶς καὶ ἀνένδοτον, ὡς καὶ δευτέραν πληγὴν ἐπὶ τῇ προτέρᾳ λαβεῖν οἷς καὶ παρακαίρια ἔβαζε, φιλανθρώπων τυχεῖν δεόμενος ὧν αὐτὸς κακὸν ὀλέθριον ἦν.

Τότε καὶ ἐμὸς συγγενής, τῷ κλήρῳ μὲν τῆς πόλεως κατειλεγμένος Χωνῶν, Λευίτης τὴν τάξιν, λήματος δ' ἀνδρείου πλήρης, συνανελθὼν τῷ λοιπῷ στρατεύματι ἐς τὸν Χάρακα μετὰ σκευῆς πολεμικῆς, καὶ σκυλεύσας εἴ τί που ἐφεῦρεν ἡ χεὶρ ἐν τοῖς τῶν Τούρκων σκηνώμασιν, οὐκ ἀπεφορτίσατο κατ' αὐτὸ τὸ δεινὸν τὰ λάφυρα, ἀλλὰ ταῦτα φέρων, ἃ καὶ ἦσαν στολαὶ Περσικαὶ πήρας ἐντὸς καὶ ὄϊς πηγεσίμαλλος, βάδην ἐπορεύετο, ἐπιστρέφων τὰς ἁπάντων ὄψεις εἰς ἑαυτόν,
καὶ ὑπὸ μὲν τῶν ὡς ἀδεὴς ἐν τοῖς περιστατικοῖς καιροῖς εὐ- C
φημούμενος καὶ κορυφαῖος κρινόμενος ἄντικρυς τῶν κατ' ἐκεῖνο στρατευσάντων καιροῦ, ὑπὸ δὲ τῶν τωθαζόμενος ὡς προβατίου ἀρνύμενος θάνατον. αὐτὸς μέντοι καὶ οὕτω τὴν ὁδὸν ἤνυεν, ὅπῃ παρείκοι, τοὺς δραπέτας βάλλων ὀνείδεσιν ὡς μηδενὸς διώκοντος ἀγεννῶς ἀπαίροντας.

Οὐ πολλῷ δὲ ὕστερον χρόνῳ τὴν ἐκ Κλαυδίου Καίσαρος παρώνυμον πόλιν οἱ Τοῦρκοι περικαθίσαντες πρῶτα μὲν οὐδὲ προσελθεῖν ὅλως εἴων τοὺς ἀποτεταγμένους εἰς τὴν ταύτης

1. ἐπέχοντα — τῷ? 5. οἷς] ἧς παρακαίρια ἔβαψε A. 8. Λευίτης] διάκονος B. 13. ἦσαν δὲ τζουβαλα καὶ σαγία μαλιωτικά B. 17. ὡς διὰ προβάτων μαλλῷ προκρίνει τὸν ἑαυτοῦ θάνατον B.

donec Xerus Manuel equo desiluit, obiectoque scuto telis eius exceptis, stricto ense iterato ictu caput ei frustra mortem deprecanti, et ab iis petenti veniam in quos tanquam immanis fera grassatus fuerat, dissecuit.

Tum cognatus quoque meus, clericus urbis Chonarum, ordine Levita, sed animo forti praeditus, qui cum exercitu pro milite ad Characem iverat et spolia in Turcarum tabernaculis reperta legerat, in ipso periculo parta praeda non deposita (erant autem stolae Persicae et ovilla vellera in pera) pedetentim incessit, conversis in eum oculis omnium, aliis ut in rebus asperis interritum et primarium militem laudantibus, aliis deridentibus quod vitam ove commutaret. sed ille sic etiam iter conficiebat, et ubi res ferebat, fugam caeteris turpem persequente nemine exprobrabat.

Non multo post Turci Claudiopolim obsederunt, ac primo Romanorum praesidium exitu intercluserunt, deinde etiam moenia oppu-

φρουρὰν Ῥωμαίους, ἔπειτα δὲ καὶ πολιορκεῖν ἐπεβάλοντο. ὅθεν οἱ ἔσωθεν, εἰ μή τις αὐτοῖς ἐπαρήξειεν ἔξωθεν, σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν καταπροδώσειν ἠπείλουν, ὡς μὴ χρόνια λιμώττειν στέγοντες ἔτι, καὶ τοὺς πολεμίους ἀποτρέψασθαι
D ὅλως οὐκ ἔχοντες. μὴ ἀναμείνας οὖν τὴν τελείαν τοῦ κακοῦ ἀγγελίαν ὁ Μανουήλ, ἀναστὰς τὴν ὑστεραίαν, ᾗ τάχους εἶχεν, ἐπὶ τὴν Κλαυδίου διὰ τῆς Νικομήδους ἤλαυνε, μὴ αὐλαίαν ἀνακτορικήν, μὴ κλίνην, μὴ στιβάδα μήτε τινὰ ἄλλην σκευὴν τρυφῶσαν ἀρχικὴν ἐπαγόμενος, μόνα δὲ τὰ ἱππάσιμα φέρων καὶ στολὰς φολίσι σιδηραῖς ὑφαντάς. ἐπέτεινεν οὖν τοὺς σταθμούς. τοσοῦτον δ' ἦν ἐκείνῳ τὸ πρόθυμον φθάσαι τοὺς πολιορκοῦντας ποθοῦντι πρὸ τοῦ παθεῖν τι τοὺς ἔνδον δεινόν, ὁποῖον οὐκ ἔστι λόγῳ περιηγήσασθαι. οὐκοῦν τὰς νύκτας ἴαυεν αὔπνους καὶ πρὸς τὴν πορείαν ἐχρᾶτο φωτὶ ποιητῷ βαδίζων διὰ τῆς Βιθυνῶν· ἡ δὲ ὡς ἐπίπαν ταῖς ξυναγκείαις πεπύκνωται, καὶ ἄπορός ἐστι πολλαχῇ τῷ τῆς ὕλης συνηρεφεῖ. εἰ δέ που καὶ χρείας ἱκανούσης ἐδεῖτο διαναπαύεσθαι, γήϊνον εἶχε τὴν καθέδραν, καὶ κάρφη ὑποβεβλημένη καὶ φορυτὸς ὑποκείμενος ἐκείνῳ τὴν στρωμνὴν ἐσχεδίαζεν. ὅτε δὲ ὑετοῦ κατενεχθέντος καὶ τοῦ σταθμοῦ γενομένου κατὰ φάραγγα τεναγώδη ἄνωθέν τε ταῖς σταγόσιν ἐτέγγετο καὶ τὸν ὕπνον διεσπᾶτο τῷ τὴν στιβάδα ὑποτρέχοντι νάματι. κἀπὶ τοῖς τοιούτοις ἠγαπᾶτο μᾶλλον καὶ ἠγᾶτο ἢ ὅτε διαδήματι ἐταινιοῦτο καὶ περιέκειτο τὴν ἁλουργίδα καὶ

4. ἀποτρέψασθαι] ἐκεῖθεν ἐκδιῶξαι A. 10. ὑφαντάς] διαπλόκους A. 13. λόγῳ καὶ διηγήσασθαι A. 14. τὰς νύκτας] ὅλην τὴν νύκταν περιεπάτει μετὰ τῶν μαζαλάδων διὰ τῆς βιθυνίας B. ἐχρῆτο A. 16. πεπύκνωτο A.

gnare coeperunt. obsessi autem, nisi mature auxilia mitterentur, quod nec diuturnam famem perpeti nec hostes propulsare ullo modo possent, deditionem se facturos minabantur. Manuel igitur mali extremi nuntio non expectato, postridie, quanta celeritate poterat, per Nicomediam Claudiopolim maximis itineribus contendit, sine ullis aulicis deliciis, armis et equis duntaxat instructus; et ut hostium conatus anteverteret, insomnes noctes agit; et ad faces per Bithyniam, quae propter crebras valles et densas silvas multis in locis impedita habet itinera, pedes proficiscitur. quod sicubi quiescendum erat, cubile illi erat humus, lectus e paleis et foeno constabat. cum pluvio tempore in palustri loco diversabatur, nubes et subter fluentes rivi somnum ei interrumpebant. quae res maiorem ei hominum et benevolentiam et admirationem peperit, quam in imperii principio diadema purpura et equus aureis phaleris ornatus. ut pro-

τὸν ἵππον ἀνέβαινε τὸν χρυσοφάλαρον. ὡς δὲ ἤγγισεν οὗ P. 129
ἐπορεύετο καὶ ὤπτο τοῖς περὶ τὴν Κλαυδιούπολιν ἐσκηνωκόσι V. 105
βαρβάροις, οἱ μὲν ἐς φυγὴν ἐκεῖθεν αὐτίκα ὥρμησαν, ἐγνωκότες τὴν αὐτοῦ ἔλευσιν ἔκ τε τῶν σημείων τῶν ταγμάτων καὶ τῆς τῶν ὅπλων λαμπρότητος, αὐτὸς δ' ἐπέκειτο διώκων ἐς ὅσον ἦν ἐφικτὸν ὡς προσωτάτω τῆς μάχης. οὕτω δ' ἀσπάσιος ἐπέστη τοῖς ἐν ἐκείνῃ τῇ πόλει Ῥωμαίοις ἀπειρηκόσιν ἤδη πρὸς τὰ τῶν Τούρκων φρονήματα, ὡς οὐδὲ ναύταις οὖρος προσκεκμηκόσι ταῖς κώπαις καὶ πλεῖστον αὐταῖς ἐνιδρώσασι, καὶ ἔαρ ἥδιστον μετὰ χειμῶνος κατήφειαν, ἢ ἕτερόν τι τῶν ὅσα ἐκ λυπηρῶν ἀρχῶν εἰς χρηστοτέραν μεταβαίνει κατάστασιν.

ΤΟΜΟΣ ΕΒΔΟΜΟΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ.

1. Ἀστέον τῷ λόγῳ κἀκεῖνα. ὁ βασιλεὺς οὗτος μὴ ἔχων V. 106
νόμῳ πολέμου κατὰ τῶν ἐθνῶν ἐπελθεῖν ὁπόσα κόλπον ἀμ- B
φινέμεται τὸν Ἰόνιον, ἢ μᾶλλον τὴν κατὰ Ῥωμαίων ἔφοδον τούτων πρὸ ὀφθαλμῶν ἔχων ἀεὶ καὶ κρίνων φοβερὰν καὶ δυσ-

1. χρυσοχάλινον B. 16. κατὰ τῶν ἐθν.] τὴν τῶν φράγγων ὅλην στρατιὰν B.

pe Claudiopolim ventum est, barbari adventu eius ex vexillis et splendore armorum cognito fugae se mandarunt, illo quam longissime persequente. non minus autem eius adventu obsessi iamiam desperantes recreati sunt quam nautae post multum remigandi sudorem secundo vento, aut vere dulcissimo post asperrimam hiemem aut alterius mali principii laeto exitu homines exhilarari solent.

NICETAE CHONIATAE LIBER VII RERUM A MANUELE COMNENO GESTARUM.

1. Nunc illa etiam referenda sunt. imperator, quia gentes sinus Ionii bello petere non poterat, imo potius incursiones earum in Romanas provincias perpetuo timebat, haud ignarus copias Occi-

ἄντητον, οἷα εἰδὼς τὰς τῶν Ῥωμαίων δυνάμεις ἀπροσφυεῖς ἐξ ἀντιπάλου στῆναι ταῖς ἑσπερίαις καὶ ἄντικρυς χύτρας πρὸς λέβητας, ὡς ἐξὸν καὶ τὸ θέσθαι διαθήκην κατὰ Ῥωμαί-C ων καὶ συμφρονήσειν ὅλως τοὺς δυσμόθεν καὶ πρὸς μίαν τραπέσθαι σύμπνοιαν ὑπεβλέπετο, καὶ παντοίως ἀσφαλιζόμενος πόρρωθεν τοὺς μὲν κατὰ τὴν ἕω βαρβάρους ἐξεῖναί οἱ ἔφασκε χρήμασι πρὸς φιλίαν ὑπάγεσθαι καὶ διὰ μάχης συμπειθεῖν τῶν οἰκείων ὅρων μὴ ἐκκεχύσθαι, τήν γε μὴν ἑσπερίαν δεδιέναι πολλαχῶς ἐθνικὴν πολυσπέρειαν· ὑψαυχενεῖν τε γὰρ τοὺς ἄνδρας καὶ τὸ φρονεῖν εἶναι ἀταπεινώτους, τό τε φιλαίματον διὰ μελέτης ἔχειν ἀεί, καὶ μὴ μόνον πλοῦτον P. 130 περιβεβλῆσθαι πολὺν καὶ σιδηροφορεῖν πάντας εἰς πόλεμον, ἀλλὰ καὶ τὸ δύσνουν τρέφειν κατὰ Ῥωμαίων ἀκοίμητον καὶ φιλεχθρεῖν ἀεὶ κατὰ τούτων καὶ λοξὸν ὁρᾶν καὶ σφοδρύνεσθαι. ἀμέλει Βενετίαν καὶ Γένουαν Πίσαν τε καὶ τὸν Ἀγκῶνα, καὶ ὅσα παρὰ θάλατταν ἔθνη ἕτερα διακέχυται, φίλια Ῥωμαίοις ἐτίθει κατεμπεδῶν ὅρκοις καὶ παντοδαπαῖς φιλοφροσύναις ὑποποιούμενος, καὶ καταγωγαῖς αὐτὰ δεξιούμενος ἐν τῇ ἀρχούσῃ τῶν πόλεων. ὑφορώμενος δὲ μήπως τῶν παρ' αὐτοῖς λεγομένων ῥηγῶν ἰσχὺν τις περιδὺς μείζονα εἶτα κατὰ Ῥωμαίων ἐπίῃ, χρημάτων ἀνελάμβανε δόσεσιν, ἐσωμάσκει τε καὶ ἐπέθηγε πρὸς ἀνθόπλισιν τὸ B ὑποπίπτειν κινδυνεῦον γένος ἄρχοντι ὑπερέχοντι. Ἰταλιώτας οὖν πολλάκις κατὰ τοῦ ῥηγὸς Ἀλαμανίας τοῦ Φρεδερίχου

2. ἄντικρυς] εἶναι ὁμοίους γάστρινα σκεύη πρὸς σιδήρεα B. 7. ὑπαγαγέσθαι A. 9. δεδιέναι] ὑφορᾶσθαι A. idem om ἐθνικὴν. 10. φρονεῖν] φρονεῖν ἐπιεικῶς A. 14. σφοδρύνεσθαι] λυττᾶν A. 15. γενουβίσους B. 24. πολλάκις] πλειστάκις A. φερδερίχου B.

dentales Romanis esse longe superiores, praesertim vero formidabiles eas fore si in unum conspirarent, multo ante se quovis modo contra illas muniebat. nam Orientales quidem barbaros licere sibi et pecunia conciliare et armis intra fines suos continere: sed Occidentalium gentium multitudinem timere se, quod viri superbi sint, indomiti, sanguinarii, nec tantum opibus et armis abundent, sed irreconciliabili etiam odio Romanos persequantur. proinde Venetias Genuam Pisas Anconam et reliquos orae maritimae accolas Romanis conciliabat, iureiurando devinciebat, omnis generis officiis alliciebat et in urbe imperatrice hospitiis excipiebat. et quia verebatur ne quis Occidentalium regum opibus auctis Romanos invaderet, potentiorum iniuriis obnoxios populos pecunia reficiebat, in armis exercebat et ad resistendum animabat. ac Italos contra Alemaniae regem Fridericum, qui eos suae ditionis facere maxime cupiebat, saepe

ἀνθώπλισεν. ὁ μὲν γὰρ ὑποκλιθῆναί οἱ τούτους καὶ τὰ καθ' αὐτοὺς ἐπιτρέψειν ἐκείνῳ διὰ πλείστου ἐτίθετο· ὁ δὲ Μανουὴλ πέμπων ἐνίσχυεν ἐκείνους καὶ κραταιοῦσθαι ὑπετίθει, καὶ τὰς τοῦ ῥηγὸς δολοφροσύνας ἐνῆγε φυλάττεσθαι. ἀλλὰ καὶ τὴν πρεσβυτέραν Ῥώμην εἰσιέναι καὶ στεφθῆναι τὸν αὐτὸν ῥῆγα πολλάκις ἐπιβαλόμενον ἀπεῖρξε τοῦ ἐγχειρήματος, „μὴ δώσεις ἑτέρῳ τὴν δόξαν σου" γράφων τῷ πάπᾳ, „μηδὲ πατέρων ὅρια μέταιρε, μή πως τὸ ἀπρομήθευτον ὕστερον V. 107
ἔργοις αὐτοῖς ὁποῖόν ἐστιν ἐπιγνοὺς τηνικαῦτα πλήττῃ τὴν ψυχὴν μεταμέλῳ διὰ τὴν τοῦ εἰκότος ὀλιγωρίαν, ὁπότε τὸ κακὸν παντάπασιν ἀθεράπευτον." καὶ ἦν ἐκ τούτου τῆς με- C
γαλοδόξου Ῥώμης ἀποκλειόμενος, καθά τις ἄοπλος, ὁ μυριάσι γαυριῶν στρατευμάτων. ἔστι δ' ὅτε τὰ μὲν τείχη Μεδιολάνων ὑπ' Ἀλαμανῶν κατεστράφησαν, οἱ δὲ τῆς πόλεως ταύτης οἰκήτορες κατασοφισάμενοι τοὺς ἔνορκον ἀνάγκην σφίσιν ἐπενεγκόντας μὴ ἂν τὸ τεῖχος ἀναδομήσειν ποτέ, τὰ μὲν πρῶτα ἐπὶ τάφρῳ ᾤκουν βαθείᾳ καὶ ὀρυκτῇ, μὴ ἐπιορκεῖν ἐκ τοῦδε λέγοντες, ἔπειτα δὲ ὡς πρότερον τὰ τείχη ἀνεκαίνισαν τοῦ βασιλέως τοῦδε γενομένου συλλήπτορος. ἐπὶ τούτοις γε μὴν τὸν Μόντης Φεράντης μαρκέσιον, εὐγενείᾳ καὶ εὐτεκνίᾳ κομῶντα καὶ μέγα δυνάμενον, εἰς φίλον Ῥωμαίοις ἐγγράψας τοῦτο μὲν δωρήμασιν ἁδροῖς τοῦτο δὲ τῷ τὸν υἱὸν αὐτοῦ τὸν νεώτερον συνευνάσαι τῇ οἰκείᾳ θυγατρὶ τῇ Μα- D
ρίᾳ, ὡς ὀλίγῳ πρότερον εἴπομεν, ἔτι μᾶλλον ἠκύρου τὰ διαβούλια τοῦ ἀρχηγοῦντος Ἀλαμανῶν. ὥστε ὁ μὲν τὸν οἰκεῖον,

concitavit, per legatos hortatus ut fortes viros se praeberent et regis dolos caverent, quem coronae accipiendae gratia saepe veterem Romam ingressurum impediit, papa per litteras monito ne suam gloriam alteri daret neve limites patrum transferret, ne temeritatis et negligentiae tum demum poeniteret, cum accepta mala corrigi non possent. ita inclitae Romae aditu tanquam inermis exclusus est is qui armatis legionibus efferebatur. quondam tempore Mediolani moenia sunt ab Alemanis diruta: sed cives iureiurando adacti se nunquam ea instauraturos, ita victores eluserunt ut urbem principio profunda fossa munirent, se pacta et conventa violare negantes. deinde imperatoris auxilio freti ipsa moenia reposuerunt. ad haec Montisferrati marchione, viro nobilitate auctoritate et felici sobole insigni, tum amplis muneribus tum Maria filia, ut supra expositum est, eius filio desponsa ad Romanorum amicitiam adiuncto, magis etiam principis Alemanorum consilia fregit. qui Moguntino episcopo, cancellario suo, cum magnis copiis misso, Italicas urbes a papa avulsas

ὡς ἡ Λατίνων βούλεται φωνή, καγκελάριον, ὡς δ' Ἕλληνες εἴποιεν, λογοθέτην (ἦν δὲ οὗτος ὁ Μαγέντζης ἐπίσκοπος) πέμψας μετὰ πλείστης δυνάμεως τὰς Ἰταλικὰς ὑπεποιεῖτο πόλεις, ἀποσπῶν αὐτὰς ἐκ τοῦ πάπα καὶ κατὰ παρρησίαν ἀνεύθυνον ὑπονοσφιζόμενος· βασιλεὺς δὲ τὸν μαρκέσιον χρημάτων ὑποσχέσεσιν ἐλαφρίσας πείθει τῷ Μαγέντζης ἀντίπαλον διαφεῖναι τὸν οἰκεῖον υἱὸν Κορράδον, καλὸν ὄντα ἰδεῖν καὶ τὴν ὥραν εὐπρεπῆ, ἀνδρείας τε καὶ συνέσεως ἐς ὅτι κράτιστον καὶ ἀκρότατον ἥκοντα, καὶ ἀκμάζοντα ῥώμῃ σώματος. καὶ συμπλοκῆς γενομένης τοὺς Ἀλαμανοὺς ἀπεκρούσατο ἱππομαχίᾳ τρεψάμενος, ἐνίων δὲ καὶ κρατήσας, ἐν οἷς ἠριθμεῖτο καὶ ὁ Μαγέντζης ἐπίσκοπος. τάχα δ' ἂν οὗτος καὶ ἐς Βυζάντιον ἦν ἀναπεμφθείς, εἰ μὴ βασιλεὺς ἐξ ἀνθρώπων ἐγένετο. ἀλλ' οὐδέ τις ἦν τῶν
P 131 Ἰταλιωτίδων ἢ τῶν ἔτι πορρωτέρω πόλεων καθ' ἣν ὁ βασιλεὺς οὗτος οὐκ εἶχεν ὁμότην οἰκεῖον καὶ φρονοῦντά οἱ πιστά. ἀμέλει καὶ ὅσα εἰς τὰ ταμιεῖα τῶν ταμιείων εἰσιόντες ἐν κρύπτῳ ἐτύρευον καὶ ἐτύρβαζον ὁπόσοι τῶν ἐκεῖ Ῥωμαίοις ἀντίφρονες, ἀκουστὰ ἦν ἐκείνῳ καὶ ἔκπυστα. ἄλλοτε δέ ποτε κατὰ τὸν Ἀγκῶνα ἧκον ἐκ βασιλέως τινές, δεῆσαν οὕτω, κατὰ χρείαν πραγμάτων. οἱ μὲν οὖν τὰ κατὰ σκοπὸν ἐξεπέραινον καὶ τὰ διατεταγμένα σφίσιν ἐδίδοσαν πέρατι, εἴτε τὸ εἰς φιλίαν ἐκείνου ἑλκύσαι τινὰς ἦν, οὓς Λιζίους φασίν, εἴτε τι ἕτερον Ῥωμαίοις ὠφέλιμον· ὁ δέ γε ῥὴξ τῶν Ἀλαμανῶν θυμοῦ ὑποπίμπλαται, καὶ πέμπει τοὺς τὸν Ἀγκῶνα πορθήσοντας καὶ τισομένους τοὺς ἐκεῖ καὶ κολάσοντας, οἷς

1. καγκερλάριον A.

sine ullo metu subigebat. verum Montisferrati marchio largitionibus imperatoris impulsus Conradum filium, hominem formosum fortem cordatum, viribus et aetate florentem, cum copiis contra Moguntinum mittit. Commisso praelio Alemani ab equitatu profligantur; et inter alios ipse Moguntinus captus forsitan Byzantium missus esset, nisi imperator ante obiisset. nec ulla fuit urbs Italiae, aut etiam ab Italia remotior, in qua imperator non unum coniuratum et hominem sibi fidelem haberet. unde quae in conclavibus Romanorum adversarii clam consultabant, ea omnia resciscebat. aliquando eius legati negotii cuiusdam causa Anconam missi, sive ut quosdam ad imperatoris amicitiam attraherent quos Lizios vocant, sive ut aliquid aliud Romanis utile conficerent, cum id expedivissent, Alemanorum rex ira plenus copias ad vastandam eam urbem mittit et cives puniendos, qui cum imperatore foedus facerent, eiusque legatos in fraudem utique suam ad urbes a se alienandas recepissent. is exercitus Ancona

σπένδονται Ῥωμαίοις καὶ κατὰ τὴν ἑαυτῶν εἰσδέχονται πρέσβεις B οὐδὲν ἕτερον ὅτι μὴ τὰ κατ' αὐτοῦ δηλαδὴ μετιόντας καὶ πόλεις τὰς ἐκεῖ μεθιστῶντας τῆς ἐς αὐτὸν εὐνοίας καὶ πίστεως. καὶ τὸ μὲν πεμφθὲν ἐκ ῥηγὸς στράτευμα ὡς πολεμίους τοὺς Ἀγκωνίτας μετῄρχοντο, καὶ περιζώσαντες τὴν πόλιν ἀπῄτουν ἐκδοῦναί σφισι τοὺς πρέσβεις Ῥωμαίων· οἱ δ' Ἀγκωνῖται οὕτως ἦσαν εὐγνώμονες ἀκροαταὶ τῶν ἠπειλημένων ἢ τῷ βληθέντι παρὰ τῶν πολεμίων ἐξέστησαν χάρακι ἢ τῷ ἀρειΐκῷ ἐκείνῳ πρὸς δέος συνεπιλήθησαν περιζώματι, ὥστε οὐ μόνον οὐ προύδωκαν οὓς οἱ Ἀλαμανοὶ ἐπέκειντο ἐξαιτούμενοι, ἀλλὰ καὶ μακρὰν χαίρειν εἴασαν γενναίως τὸν παρόντα διαφέροντες κίνδυνον, ἐπιτεινομένης δὲ τῆς πολιορκίας καὶ χρονιζόντων τῶν πολεμίων ἥψαντο τῶν ἀήθων καὶ C πρὸς ἃ μὴ θέμις τρεχεδειπνεῖν σιτοφαγεῖν εἰωθότα ἄνθρωπον. οἱ τοῦ βασιλέως τοίνυν τὸ πλῆθος ἐκκλησιάσαντες, εἰ ἔξεστιν αὐτοῖς ἐπικουρίαν εἰσενεγκεῖν ἐπυνθάνοντο. τῶν δὲ εἰπόντων ἐξεῖναι μέν, χρημάτων δ' αὐτόθεν μὴ εὐπορεῖν, αὐτοὶ διετείνοντο καὶ θεὸν τοῦ λόγου πεποίηντο μαρτυρα καὶ μὴ μέλλειν ἐνῆγον, ὡς βασιλεὺς ἅπαν καταθήσει τὸ τοῦ πολέμου δαπάνημα, ἢ μὴν ἀπεκδέχεσθαι σφᾶς τὰ ἀνύποιστα προύλεγον ὑπὸ τῶν τὴν πόλιν διειληφότων, παίδων μὲν καὶ γυναικῶν V. 108 ἀπαγομένων, χρημάτων δὲ καὶ πραγμάτων ἁρπαζομένων. ἔνθεν τοι καὶ μετάπεμπτόν τινα τιθέασι κόμητα Γιλίελμον τοὔνομα καὶ γυναῖκα τῶν εὐγενῶν οὐ πρὸ πολλοῦ μὲν θανάτῳ σπανιζομένην τοῦ ὁμευνέτου, γενικὴν δὲ τὴν ἰσχὺν καὶ D

1. ἑαυτῶν χώραν εἰσδ. A. 2. τὰ om A. 9. πρὸς δ. σ.] ἠχθέσθησαν A. 14. εἰωθότα] αἱρούμενον A. 20. προύλεγον om A.

hostiliter circumsessa Romanorum legatos dedi sibi postulabat. Anconitani vero eas minas ita audiverunt, vallum obductum armatamque aciem ita timuerunt, ut legatos non modo non prodiderint, sed contemptis Alemanis periculum illud fortiter tolerarint, et ducta obsidione insolitos quoque cibos gustarint. imperatorii vero legati, populo pro concione interrogato an auxilia sibi accersere liceret, cum populus respondisset licere quidem, sed pecuniam in promptu non esse, ipsi deum testati affirmarunt imperatorem omnes belli impensas persoluturum, et ne cunctarentur hortati sunt: alioqui gravissima quaeque ab hostibus toleraturos, uxoribus et liberis in servitutem abductis, pecunia et rebus omnibus direptis. itaque a quodam comite Guilielmo et vidua nobili, quae nuper defuncti mariti opibus potiebatur, magno fenore accepta pecunia et auxiliis introductis liber-

τὴν ἐκείνου κληρουμένην ἀρχήν, καὶ τούτοις ἄθρα τὰ δόρατα στήσαντες, κἀντεῦθεν σὺν οὐδενὶ πόνῳ τὸ πολέμιον ἀποτρεψάμενοι, ὡς ἐκ βάθους θαλάσσης τῆς αὐτῶν ἀνανηξαμένης πόλεως ἔχαιρον τὴν ἐλευθερίαν ἀνασωσάμενοι. βασιλεὺς δ' ἐπὶ τούτοις ὅσα εἰκὸς εὐφρανθεὶς τούς τε Ἀγκωνίτας ἐπαίνοις τῶν γεγονότων ἀμείβεται, καὶ τοῖς ἰσοπολίταις τῷ γένει Ῥωμαίων ἐγκρίνας ἅπαντα ὑπισχνεῖται παρέξειν, ὅσα οἵ ἀμεμφῆ τε καὶ δυνατὰ κἀκείνους δέον αἰτεῖν. ἀλλὰ καὶ τὸ χρυσίον πολλαπλάσιον πέπομφε. καὶ εἰς τόδε μὲν τῶν Ἀγκωνιτῶν ἐτελεύτα τὰ πράγματα, φύσει τὸ πιστὸν ἔχειν δοξάντων καὶ μὴ πρὸς τὸ συμπῖπτον τῆς τύχης τὰς γνώμας μετακυβεύεσθαι. εἴπῃ γὰρ ἄν τις ὅπως τοῦ μὲν ἐκ γειτόνων αὐτρῖς δυνάστου καὶ κατάρχειν ἀξιωτέρου παρηγκωνίσαντο τὸ ἐπίταγμα, ὅς ἐστιν ὁ τῶν Ἀλαμανῶν ῥήξ, τὸν δὲ μετὰ πολλὴν ὀπτανόμενον γῆν καὶ ὄρη σκιόεντα Ῥωμαίων ἄνακτα ἠγα-
P. 132 πήκεσαν, εἰ μή τις αὐτοῖς ἐμπεφυκυῖα ἦν αὐτόφυτος συνείδησις τἀγαθοῦ κἀν τοῖς δεινοῖς ἀπτόητος ὅρμησις καὶ πρὸς τὸ τῶν πραγμάτων οὐχ ὅμοιον ἀεὶ βεβηκυῖα καὶ μὴ εὐτίνακτος. εἴη δ' ἂν ἕτερον τούτοις οὐκ ἀρεσκόμενον ἀνθυπενεγκεῖν ὡς ἥττονες ὄντες κέρδους οἱ Ἀγκωνῖται καὶ ἀγυρτεύοντες καὶ πρὸς τὸ λαβεῖν χεῖρα προτείνοντες ἀπέστησαν μὲν τοῦ χθές τε καὶ πρώην ἐς ἡγεμόνα σφῶν ἀποτεταγμένου, ὀπίσω δ' ἐπορεύθησαν ἄλλου, ὃς ἤνεγκεν αὐτοῖς τὴν ἐπιθυμίαν καὶ τὸ κερδαλέον καὶ κάπηλον ἐθεράπευσε τοῦ φρονήματος.

5. ἐνευφρανθεὶς A. 6. καὶ τοῖς] καὶ συνηρίθμησε καὶ αὐτοὺς εἰς τὴν τῶν ῥωμαίων κατάστασιν A. 13. τὸ ἐπίταγμα] τὴν ἐπιταγὴν ἀγκωνῖται A. 16. αὐτόφ.] αὐτῷ A, omisso antea αὐτοῖς. 19. ὡς ἥττονες] ὅτι οἱ ἀγγωνῖται πλέοντες καὶ πραγματείας ποιοῦντες καὶ εἰς τὴν χώραν τῆς βασιλείας εὐκουσάτοι ὄντες καὶ ἐν τούτῳ κερδαίνοντες B.

tatem suae civitati restitutam sunt gratulati. quo successu laetus imperator Anconitanos collaudat; et civitate Romana donatis omnia se praestare velle pollicetur, quae et ipse honeste dare et illi recte petere possint; aurique longe plus misit quam impenderant. atque hunc res Anconitarum exitum habuerunt, qui quidem natura esse constantes nec fidem cum fortuna mutare videbantur. nam cur alioqui vicini regis Alemannorum potentiam et edicta sprevissent, eique Romanorum imperatorem tantis marium et terrarum spatiis seiunctum praetulissent, nisi notionem honestatis innatam habuissent, magna animorum constantia praediti, nullis adversitatibus labefactanda? quanquam illud etiam Anconitanis obiici posse video, quod avaritia impulsi ab eo cui non ita pridem paruerant, ad illum defecerint qui cupiditatem eorum et sordes expleverit.

2. Τῷ δὲ βασιλεῖ ταῦτα οὕτω διοικουμένῳ χλευασμοὶ παρὰ Ῥωμαίων ἐπετρίβοντο ὡς ὑπερορίους δῆθεν ἐπιθυμίας διὰ τὸ φίλαυτον τρέφοντι καὶ ὀφθαλμοὺς ἐπ' ἄκρα γῆς ἐκ- B τείνοντι, καὶ ὅσα θερμὰ καὶ τολμηρά, ταῦτα διαπραττομένῳ, καὶ τῶν ἀξόνων βάλλοντι πόρρωθεν οὓς οἱ πρώην ἔτεμον βασιλεῖς, καὶ πρὸς χρήσιμον οὐδὲν ἀπαντλοῦντι τὰ χρήματα ἃ συλλέγει τὸ ὑπ' ἀρχὴν καλαμώμενος ἀπογραφαῖς τε καὶ φόροις ἐκδαπανῶν ἀσυνήθεσιν. οὐ καλῶς δὲ παντάπασιν ἐκείνῳ τὰ τοιάδε προσέρριπτον, ὅτι μηδ' ἦν καινοτομία τις ἄλογος ἐς τὸ παντελὲς τὰ πραττόμενα, ἀλλὰ τὰ τῶν Λατίνων γένη ὁρῶν ἄμαχον ἰσχὺν περικείμενα ἐδεδίει τὸ σύμπνουν, ὡς ἔφην, μὴ κατακλύσειε τὰ ἡμέτερα, ὥσπερ καὶ χείμαρρος ἐξ ὀλίγου μέγας φανεὶς παρασύρει γήδια γεωργῶν. διά τοι τοῦτο καὶ τὸ μικρὸν ὑφορώμενος ἔναυσμα ὡς πυρσοῦ παραί- C τιον, ἐνιαχοῦ δὲ καὶ εἰς μεγίστην προβαῖνον πυρκαϊὰν καὶ εἰς ἐμπρησμὸν ἔκτοτε, ἣν εὐπρήστου ὕλης τύχῃ λαβόμενον, καὶ πρὸς μόνην ὑποψίαν φυομένην τὴν τῶν λυπούντων ἀρχὴν ἀπεμάχετο κατὰ τοὺς ἀρίστους τῶν γηπόνων, οἳ τὰς ἀκάνθας τὰς τὴν πρασιὰν λυμαινομένας νεαρὰς ἔτι ἐκσπῶσι καὶ καταστρέφουσιν ἀρτιθαλῆ τῶν δένδρων τὰ μὴ κηπεύσιμα. καὶ τοῦτο σαφῶς ὑπέδειξε τὰ μετέπειτα, ἡνίκα τὴν μὲν ἐνταῦθα ζωὴν αὐτὸς μετηλλάχει, τὰ δέ γε πράγματα κυβερνήτην ἀποβαλόντα σοφὸν μικροῦ τὸ τῆς βασιλείας σκάφος ἐβάπτισε. τὸ δ' οὖν τῶν δασμῶν ἐπιτεταμένον οὐδ' αὐτὸς ὡς μετεδίωκεν ἀποκρύψομαι. ἀλλ' οὐδ' ὅτι αἱ ἀρχαὶ δημοσιώναις προυβέ-

5. βάλλοντα vulgo. 9. ἄλογος παντελῶς A. 12. χειμάρρους A. 23. τὸ ante τῆς vulgo deest.

2. At imperatori res ita administranti crimini dabatur a Romanis, quod ex ambitione longinqua desideraret et oculos in extrema terrarum extenderet, multa audacter, temere multa ageret, et ultra limites a superioribus imperatoribus praefinitos multum evagaretur, et pecuniam a subditis acerbe et per iniuriam exactam inutiliter dilapidaret. verum perperam ista reprehendebantur, non ab inani studio novitatis profecta, sed Latinarum gentium metu, quarum vires inexpugnabiles essent; quae si conspirassent, verebatur ne torrentis instar nostrum imperium vastarent. ea de causa vel exiguum fomitem ut magni incendii causam suspectum habebat; et suborientia incommodorum semina statim extirpabat, optimi agricolae more, qui spinas adhuc teneras et degeneres frutices runcare solet. atque hoc eius obitu declaratum est, cum sapienti gubernatore amisso rei publicae navis pene demersa est. ac eum tributa exaggerasse et magistratus publicanis vendidisse et fertilissimos agros suis aratris pro-

βληντο παραδράμοιμι, ὥσπερ καὶ τὸ ποθεῖν νεώματα ἐν ἀρούραις καὶ τῷ ἑαυτοῦ ἀρότρῳ διασχίζειν αὔλακας, ἐξ ὧν αὐτῷ D ἀνδρομεγέθης ἀνέβλαστεν ἄσταχυς. ἦν δὲ τὰ συλλεγόμενα χρήματα οὐ τοσοῦτον ἀποθήκαις ἀποτιθέμενα ἢ μυχῷ γῆς ἐγκατορυττόμενα, ὅσον ἀμφοτέραις ἀποκενούμενα καὶ ἀφειδῶς παρεχόμενα καὶ μοναῖς μὲν καὶ τεμένεσι καὶ Ῥωμαίοις ἐλασσουμένοις, τὰ δὲ πλεῖστα ταῖς τῶν ἐθνῶν μεταγγιζόμενα πανσπερμίαις, καὶ μάλιστα ταῖς Λατινικαῖς ἐκρέοντα ὁμηγύρεσι. V. 109 φιλοδωρίας γὰρ μεταδιώκων ἐπίδειξιν ἀσώτως ἐσκόρπιζε καὶ ἀνήλισκεν ἅπερ ἀμφοτέραις συνέλεγε, τοὺς ἄκρως κερματιστὰς φροντιστὰς τῶν οἰκείων ἐφιστῶν. μέρος δὲ τῆς δαπάνης καίριον ἦσαν καὶ ὅσοι καθ' αἷμα συνήπτοντο καὶ ἄλλως ᾠκείωντο. αὐτίκα τοίνυν ἡ ἀνεψιὰ Θεοδώρα, ᾗ καὶ (ὡς ἔφημεν) ἐπλησίαζε, βασιλικωτάτης μετεῖχε δορυφορίας, καὶ μὴν οὐ διαδουμένη, καὶ τῶν ἀρχείων βαρουμένων παριέναι ἤθελε, καὶ κατὰ φυσικὴν μὲν ἰδιότητα σοβαρὰν ἕλκουσα P. 133 τὴν ὀφρὺν καὶ ἄνω τὸ ὄμμα τείνουσα, τὸ δὲ πλέον ἀγέρωχον βλέπουσα. καὶ ὁ ἐκ ταύτης δὲ γενόμενος τῷ βασιλεῖ παῖς καὶ ἐφεξῆς ἕτεροι ὅλας θαλάσσας χρημάτων εἰς ἑαυτοὺς μετωχέτευον. εὔκολος δὲ ὢν καὶ εὐχείρωτος τοῖς κατευναστῆρσι καὶ θαλαμηπόλοις ἐκτομίαις, ἀλλὰ δὴ καὶ τοῖς ἀπὸ γενῶν ἑτερογλώττων ὑποβαρβαρίζουσιν ὑπηρέταις, ὧν ὁ σίελος τοῦ λόγου προηκοντίζετο, τοῖς ῥυηφενέσι καὶ τούτους ἐνέταττεν εὐπετῶς τὰ πολλὰ τὸ οὖς αὐτοῖς ὑποκλίνων, καὶ ἅπερ ᾐτοῦν-

11. τῆς] τὰ τῆς vulgo. 15. μὴν οὐ] εἰ μὴ φιλοκαλημένα ἦσαν τὰ μάρμαρα, ἐπάνω περιπατῆσαι οὐκ ἤθελεν B.

scidisse nec ipse dissimulare possum. sed pecunia hoc modo collecta non tam in thesauros referebatur quam utraque manu liberaliter effundebatur, partim in monasteria, sacras aedes et pauperes Romanos, partim vero, et maxima quidem ex parte, in varias gentes, Latinas praesertim. nam ex munificentiae ostentatione effuse spargebat et insumebat ea quae utraque manu collegerat, et acerbissimos exactores quaestores designabat. in iusta sumptuum parte illa etiam numerabantur quae in cognatos et familiares conferebat. nam neptis eius Theodora, cuius, ut dixi, consuetudine utebatur, quamvis expers diadematis, tamen comitatu plane regio utebatur, mulier superciliosa et arrogans, quae palatium nisi exquisite perpurgatum ingredi recusabat. sed et filio ex ea procreato et aliis pluribus tota maria pecuniae affluebant. Eunuchis quoque cubiculariis aliisque ministris ex peregrinis ortis nationibus, semibarbaris, qui expeditius spuebant quam loquebantur, erat facilis et benignus, eosque in divitum numerum referebat, ut acervis pecuniarum et omni genere

το, ῥᾳδίως ἐκπερατῶν. τισὶ τοίνυν ἐκ τούτων οὕτως εὐρόει τὰ κατὰ βίοτον ὡς σωρείαις χρημάτων ἐνευθηνεῖσθαι καὶ τοῖς κατὰ κόσμον πᾶσι περιρρεῖσθαι λαμπροῖς ἴσα καὶ μεγιστᾶσι B μεγίστων ἐθνῶν, καὶ ταῦτα παιδείας ἁπάσης ἐστερημένοις καὶ φωνῆς Ἑλληνίδος τὰ ἴχνη μεταδιώκουσιν ὡς αἱ σκοπιαί τε καὶ αἱ πέτραι πρὸς τὰ τῶν ποιμένων αὐλήματα τὸ τῆς ἠχοῦς ὑστερόφωνον. κἀπὶ τούτοις ὡς πιστοτάτοις αὐτοῦ καὶ θερμοῖς θεράπουσι μάλιστα πεποιθὼς οὐ μόνον αὐτοῖς τὰς μεγίστας ἀρχὰς ἐγχειρίζει, ἀλλὰ καὶ κρίσεσιν ἐφίστα δικαστικαῖς ὧν ὀψὲ καὶ νομοτριβεῖς ἄνδρες ἐφίκοιντο ἄν. δεῆσαν δὲ καὶ τῶν ἐπαρχιῶν τινὰς ἀπογράφεσθαι (τοῦτο δὲ συχνάκις ἐγίνετο) ὁ τοιόσδε χορὸς τοῦ λογίμου προυτίθεντο. εἰ δέ που καὶ παρεζεύγνυτό τις αὐτοῖς εὐγενὴς Ῥωμαῖος ἀνήρ, βάπτων ὅλος εἰς νοῦν καὶ γέμων φρονήσεως, κατὰ τοῦτο ξυνεπέμπετο, ὅπως ὁ μὲν ἀπογράφων ἔσται καὶ τολυπεύων τὰς ὑποθέσεις ἐξ ὧν ἤμελλον οἱ φόροι συνάγεσθαι, ὁ δὲ ὡς κερ- C δοσυλλέκτης προεδρεύει καὶ τὰ φασκώλια σφραγῖδι διασημαίνεται ἃ ἤμελλον εἰσφέρεσθαι βασιλεῖ. τὰ πλεῖστα μέντοι πρὸς τοὐναντίον αὐτῷ περιίστατο, καὶ ἠθέτητό οἱ ἐντεῦθεν τὰ σκέμματα· Ῥωμαίους γὰρ ὡς κλεμματιστὰς ἐκτρεπόμενος εἴτε ὑποβλεπόμενος, ἐλάνθανεν ἑαυτὸν ἐρασιχρημάτους ὀλβίζων βαρβάρους καὶ εὖ ποιῶν ἀνδράρια κακοδαίμονα, καὶ τοῦ κατὰ φύσιν καὶ παιδείαν χρηστοῦ καὶ πιστοῦ πρὸς τὴν ἀντικειμένην γνώμην τοὺς ἐνδαποὺς καθιστῶν, ἐπεὶ καὶ τὸ εἰς αὐτοὺς καχύποπτον

14. ὅλον A. 17. καὶ τὰ φασκ.] καὶ ἐβούλωνε τὰ σακούλια B. διασημήνηται A.

ornamentorum tanquam maximarum gentium proceres circumfluerent, idque cum omnis eruditionis expertes linguae Graecae vestigia ita persequerentur ut speculae et rupes extremum sonum pastoralium canticorum. his tanquam observantissimis et fidelissimis ministris non modo summos magistratus tradebat, sed pro tribunali iuris dicundi provinciam in causis difficillimis, quae vel peritissimis legum negotium facesserent, assignabat. cum aliqua provincia describenda erat (id autem fiebat saepius), istiusmodi coetus eruditis praeponebatur. quodsi quando nobilis aliquis Romanus eis adiungebatur, vir prudens et cordatus, is ea de causa mittebatur ut descriptionis munus obiret caeterosque labores colligendi tributi sustineret: barbarus vero pecuniam accipiebat, et saccos obsignatos ad imperatorem mittebat. sed pleraque contra eveniebant quam sperabat ille. nam dum Romanos peculatus suspectos cavebat, non animadvertit se avaros barbaros locupletare et homunciones infelices beare, atque interim Romanos a se alienare, ut fidei et natura insitae et doctrina com-

τοῦ βασιλέως ἐκεῖνοι γνωρίζοντες, καὶ ὡς ὑπηρέται πλέον καὶ D προαγωγοὶ λημμάτων ἤπερ ἀσφαλεῖς τὰ εἰς πίστιν κρινόμενοι τοῖς ἐθνικοῖς συντάττονται, κατὰ σύνδυο ἐκπεμπόμενοι, ἢ γοῦν ὡς πάκοροι καὶ παράσειροι τοῦ τῆς ἀρχῆς λογίζονται ἅρματος, τὸ διατεταγμένον μόνον ἐποίουν, θερίζοντες καὶ δεσμεύοντες ὡς δράγματα τὰ κέρματα, καὶ ὡς εἰς ἅλωνα συμφοροῦντες τὸν ἐπὶ πολλῶν καθιστάμενον ἐκεῖνον καὶ πλείστων ἄλλων Ῥωμαίων ἀντάξιον κρινόμενον βάρβαρον, τὰ δ' ἄλλα παρέβλεπον, ἵνα μὴ λέγοιμι ὡς βασιλεῖ μὲν βραχέα καὶ οἷοι ἀφαιρέματα τῶν ἄλλων εἰσήγετο, τὰ δὲ πλείω ἐκεῖνοι παρενοσφίζοντο, τοῦ ἀγαθοῦ καὶ πιστοῦ παρὰ βασιλεῖ δούλου ἐν πρώτοις ἑαυτῷ φύροντος ἐγκρυφίας ἐκ τῶν ἀλοωμένων πυρῶν εἴτ' οὖν χρυσίνων, καὶ μετέπειτα μεταδιδόντος καὶ τῷ συνάρχοντι.

3. Ἔργον τοῦ βασιλέως τούτου καὶ ὁ μὴ πολὺ τῆς θα-P. 134 λάσσης ἔνδον ἱστάμενος πύργος τῆς προσκλυζούσης τὴν χέρσον, ἥτις ὠνομάζετο Δάμαλις, τὰ νῦν δὲ Ἄρκλα καλεῖται. ἀλλὰ δὴ καὶ ὁ ἀντίπορθμος οὗτος πύργος τῆς τῶν Μαγγάνων ἄγχιστα δεδομημένος μονῆς. ἦν δὲ σκοπὸς τῷ τούτους V. 110 ἀνεγείραντι ἄνακτι κατὰ καιρὸν ἐπαγωγῆς πλοίων βαρβαρικῶν σιδηρᾶν ἐξ ἑκατέρων ἅλυσιν διατείνεσθαι, καὶ ἄβατον ἐντεῦθεν γίνεσθαι ὁπόσα περὶ τὴν ἀκρόπολιν μέρη τῆς πόλεως καὶ τὸν συρόμενον ἔσωθεν ὁλκὸν ἕως καὶ ἐς αὐτὰ τὰ ἐν

3. κατὰ σύνδυο] ἀνὰ δύο εἰς τὰς δημοσίας ἐνοχὰς καὶ κεφαλατίκια ἀπεστέλλοντο B. 10. τὰ δὲ πλείω] τὸν συναγόμενον πλοῦτον μετ' αὐτῶν ἀπεκέδρανον B. 17. ὀνομάζεται A, omissis τὰ νῦν δὲ Ἄρκλα καλεῖται.

paratae obliviscerentur. cognita enim imperatoris de se suspicione, quod ministri potius ac baiuli quaestus quam fideles procuratores iudicarentur, et bini in provincias mitterentur, servi magis quam gubernatores imperii, id solum agebant quod in mandatis acceperant, et extortam pecuniam tanquam in manipulos colligatam ad barbarum illum magna praeditum auctoritate et plurimis Romanis praelatum velut in aream congerebant, caetera vero negligebant: ne dicam ad imperatorem pauca et veluti quisquilias pervenisse, illos vero pleraque suffuratos esse. fidelis enim servi munus erat scilicet ex farina sibi primum panes conficere, deinde etiam collegae aliquid impertiri.

3. Ab hoc imperatore turris illa non procul a continente in mari extructa est, quae Damalis pridem, nunc Arcula dicitur, et altera turris e regione iuxta Manganium monasterium, eo consilio ut ferrea catena utrinque extenta barbaris navibus aditus in loca urbis

Βλαχέρναις βασίλεια. φιλοκαλίαν δὲ κατηγοροῦσι τοῦδε τοῦ βασιλέως καὶ οἱ κατ' ἄμφω τὰ ἀνάκτορα ἐπιμήκιστοι περίστυλοι ἀνδρῶνες, οὓς αὐτὸς ἀνήγειρεν, οἳ ψηφίδων χρυσῶν ἐπιθέσεσι διαυγάζοντες τυποῦσιν ἄνθεσι βαφῆς πολυχρόου καὶ τέχνῃ χειρῶν θαυμασίᾳ ὅσα οὗτος κατὰ βαρβάρων ἠνδρίσατο ἢ ἄλλως ἐπὶ βέλτιον Ῥωμαίοις διεσκευάκει. B ἀλλὰ καὶ τὰς πλείστας τῶν κατὰ τὸν πορθμὸν τῆς Προποντίδος λαμπρῶν οἰκοδομιῶν, ἐν αἷς οἱ βασιλεῖς Ῥωμαίων θερίζουσι τὰς εὐωρίας μεταδιώκοντες ὡς οἱ πάλαι κρατοῦντες Περσῶν τὰ Σοῦσά τε καὶ Ἐκβάτανα, οὗτος ἀνήγειρε καὶ πρὸς κόσμον ὑπεξῆρε πλείονα. καὶ πρὸς τοὺς πόνους γὰρ ἀντεῖχε μάλα, καιροῦ καλοῦντος μοχθεῖν, καὶ ψῦχος ἔστεγε καὶ πνῖγος ἔφερε καὶ πρὸς ὕπνον ἀπεμάχετο, καὶ ταῖς τρυφαῖς δὲ προσανεῖχε πολέμων ἄγων σχολὴν καὶ ἐνησμένιζε ταῖς ἀνέσεσιν. εἰ τοίνυν περιεργότερον τοῦτον ἠθρήκει τις, ὅπως ἔχαιρε καρυκείαις βρωμάτων καὶ τοῖς πρὸς λύριον καὶ κιθάραν καὶ συμφωνίαν ᾠδῶν ἔχουσιν οὐκ ἀπηχθάνετο, εἶπεν ἂν ὡς μόνοις ἐννεάσας ἔχει τοῖς τοιούτοις καὶ ἡδονὴν τὸ πέρας ἥγηται τῆς ζωῆς· C εἰ δὲ τοὐναντίον αὐτῷ προσέβλεψε πρὸς πᾶσαν ἀταπεινώτῳ γλυκυθυμίαν τυγχάνοντι καὶ τιθεμένῳ παρὰ φαῦλον ἡδυπάθειαν δυσκόλων ἐπιστάντων καιρῶν, ἐθαύμασεν ἂν ὅπως ἐξήλλακτο πρὸς ἀμφότερα. ἐπιβαλόμενος δὲ τὸν πρὸς θάλασσαν τῆς ἁγίας Εἰρήνης οἰκοδομήσειν νεών, ὃν μεγέθει μέγιστον καὶ κάλλει κάλλιστον πάλαι Μαρ-

13. ταῖς τρυφαῖς] πρὸς τρυφὰς καὶ ἀναπαύσεις ἔχαιρε, καὶ χαμαιτζίκια μετὰ αὐλῶν καὶ ὀργάνων καθ' ἡμέραν ποιῶν μετὰ τὸν ὑπ' αὐτοῦ λαὸν συνήσθιε καὶ συνέπινε καὶ ἠλευθερίαζε B.

arci vicina et tractum illum omnem usque ad Blacherniam regiam intercluderetur. magnificentiam eius testantur etiam maxima illa conclavia in utroque palatio structa, aureis laminis refulgentia et illustribus coloribus exornata, in quibus bella eius gesta cum barbaris aliaque ex utilitate Romani imperii administrata summo depicta artificio spectantur. ad haec pleraque splendida in freto Propontidis aedificia, in quibus imperatores propter aëris temperiem aestatem exigere solent, ut olim Persarum reges Susis atque Ecbatanis, exaedificavit et exornavit. nam et cum tempus postulabat, patientissimus erat laborum frigoris aestus insomniae; et cum a bellis vacabat, iucunditati se dabat et genio indulgebat. ac si quis accuratius observasset quantopere lautitiis ciborum et lyra, cithara, symphoniis delectaretur, eum in iis solis aetatem exegisse et voluptatem summum bonum statuisse iudicasset. sin duris temporibus omnem iucunditatem despicere et voluptatem in vitio ponere vidisset, ingenium ad utrumque paratum miratus esset. templum D. Irenae maximum et pulcher-

κιανὸς ὁ πάνυ ἀνήγειρε, πῦρ δὲ ᾐθάλωσε, μέρη τινὰ τοῦ τοιούτου τεμένους ἐκ βάθρων δειμάμενος τοῦ λοιποῦ τῆς ναοδομίας ἐπαύσατο. ἱδρύσατο δὲ φροντιστήριον ἱερόν περί που D τὸ τοῦ Πόντου στόμα, εἰς τόπον τινὰ Κατασκέπην λεγόμενον, εἰς ὄνομα τοῦ ἀρχιστρατήγου Μιχαήλ, καθ' ὃ τῶν τότε μοναστῶν ἠθροικὼς τοὺς ὀνομαστοτάτους τε καὶ ἀκρέμονας πάντῃ μοναδικὸν καὶ ἀπράγμονα μετιέναι βίον προεμηθεύσατο. εἰδὼς γὰρ τὸ κτηματικοὺς εἶναι καὶ τυρβάζεσθαι πάλιν περὶ πολλὰ τοὺς τὸν ἐρημικὸν βίον ἀνελομένους τῆς ἡσυχίας σφᾶς μεθιστᾶν καὶ τοῦ κατὰ θεὸν ζῆν ἀπάγον, τοῦτο δὴ τὸ οἰκεῖον αὐτοῖς ἐπάγγελμα, οὐδὲν κτησίδιον αὐτοῖς ἀπετάμετο οὔτε μὴν ἀγροὺς καὶ ἀμπελῶνας τῷ φροντιστηρίῳ ἀπέταξε, πᾶσαν δὲ τοῖς μονασταῖς δίαιταν ἐκ τῶν βασιλικῶν χρυσώνων ἐπιμετρήσας ἐκεῖθεν αὐτὴν ἐβράβευεν, ἀνακόπτων, οἶμαι, ἐντεῦθεν τὸν πολὺν ἔρωτα τῶν πλείστων περὶ τοῦ μονὰς συνιστᾶν, P. 135 καὶ παράδειγμα διδοὺς τοῖς μετόπισθεν ὅπως χρεὼν νεὼς ἀνιστᾶν καὶ οἵαν δέον ἑτοιμάζειν τράπεζαν τοῖς ἐρημικοῖς καὶ ἀβίοις καὶ τῆς ὕλης ἑαυτοὺς ἐκλύσασι. τοσοῦτον δ' ἀπεῖχε τοῦ τὴν νῦν κατάστασιν ἐπαινεῖν, οἳ μονάζειν μὲν ἐπαγγέλλονται, πολυκτήμονες δὲ καὶ πολυφρόντιδές εἰσιν ὑπὲρ τοὺς τῇ ἐνταῦθα φιληδοῦντας ζωῇ, ὥστε καὶ τὴν νεαρὰν νομοθεσίαν, ἣν ὁ βασιλεύτατος τῷ ὄντι Νικηφόρος ὁ Φωκᾶς, ὁ τὴν

1. ἤγειρε A. 2. δειμάμενος] οἰκοδομήσας A. τῆς ναοδομίας om A. 4. σκέπην B. 5. ἐπ' ὀνόματι τοῦ ἀρχαγγέλου A. 11. αὐτοῖς om A. 12. πᾶσαν] τὴν χρονικὴν αὐτῶν ζωὴν ἀπὸ τοῦ βασιλικοῦ βεστιαρίου καθ' ἕκαστον μῆνα B. 14. ὡς οἶμαι τὸν A. 21. φιληδονοῦντας A.

rimum a Marciano imperatore conditum et incendio absumptum instaurare aggressus, cum partes quasdam ex fundamentis extruxisset, destitit; et monasterium in Ponti faucibus, loco qui Catascepe dicitur, archiducis Michaelis nomine extruxit; in quo celeberrimos quosque et praestantissimos monachos collocavit, ea ratione ut solitariam et quietam vitam sine ulla solicitudine possent degere. cum enim monachos possessionibus et negotiis turbatos et tranquillitate animi et dei cultu excidere intelligeret, nullas eis vineas, nullos agros, nullas possessiones, quas nec eorum professio admittit, assignavit, sed ex fisco tantum pendi iussit quantum ad victum et cultum opus esset. videtur nimirum immodicam cupiditatem struendi monasteria improbasse, et exemplum prodere posteris voluisse, quo pacto templa condenda, et quae vivendi ratio eremitis pauperibus et a terrenis rebus se abstrahentibus proponenda sit. tantum autem abfuit ut eorum institutum laudaret, qui monasticam vitam professi et opibus affluunt et multitudine curarum magis distrahuntur quam

ἰσχὺν ἡρωϊκὸς καὶ πολὺς τὴν σύνεσιν, ἔθετο παύουσαν τὰς
μονὰς ἐμπλατύνεσθαι κτήσεσι, τεθνηκυῖαν πάλαι τῷ χρόνῳ
καὶ τὸ κῦρος ἀποθεμένην, τῷ ἐρυθρῷ τῆς βασιλείου βαφῆς
ὡς αἵματι ἀναθάλψας ἐζώωσεν. || οὐ μὴν δὲ ἀλλὰ καὶ τῷ
πατρὶ καὶ τῷ πάππῳ καὶ τοῖς καθ' αἷμα προσήκουσι λοιποῖς
ἅπασιν, ὁπόσοι μονὰς δειμάμενοι ὅλα πλέθρα γῆς καρπο-
φόρα καὶ λειμῶνας χλοεροὺς αὐταῖς προσεκλήρωσαν, ἐπεγ- B
καλῶν οὐκ ἐπαύετο, οὐ κατὰ τοῦτο μεμψιμοιρῶν ἢ μυκτῆρα
καταχέων πλατὺν τῶν ἀνθρώπων, ὅτι τῆς οὐσίας θεῷ τι
ἀπένειμαν, ἀλλ' ὅτι μὴ καλῶς τὸ καλὸν εἰργάσαντο. δέον V. 111
γὰρ ἐν τόποις δυσερευνήτοις καὶ χωρίοις πανερήμοις καὶ
σπηλαίων ὀπαῖς καὶ ὀρῶν περιωπαῖς τοῖς μονάζουσιν ἀποτά-
ξαι τὸ σκήνωμα, καὶ παριδεῖν ταυτηνὶ τὴν ἐφ' Ἑλλησπόντῳ
κειμένην καλλίπολιν ὡς τὸν λωτὸν Ὀδυσσεὺς καὶ Σειρήνεια
μέλη τὰ δυσαπόσπαστα, οἱ δὲ τὸν ἐξ ἀνθρώπων θηρώμενοι
ἔπαινον, καὶ τοὺς κεκονιαμένους ἑαυτῶν τάφους καὶ ψηφῖσι
πολυχρώσμοις διηνθισμένους εἰς θέαν τοῖς εἰσιοῦσι τοὺς νεὼς
προτιθέντες, καὶ νεκροὶ ἐρῶντες στεφανούμενοι δείκνυσθαι καὶ C
στιλπνοὶ καὶ φαιδροὶ τὰ πρόσωπα, ἐπ' ἀγορᾶς τε καὶ τριό-
δων τὰ θεῖα ᾠκοδόμησαν φροντιστήρια, ἐνλακκεύσαντες ἐν
τούτοις καὶ ἐνσηκάσαντες οὐκ ἐπιλέγδην τὸ ἀρεταῖνον, τὸ δὲ
μέχρι τριχῶν ἀποβολῆς καὶ τῆς τῶν ἐσθημάτων μεταβολῆς
καὶ τοῦ ἀφειμένου πώγωνος χαρακτηρίζον τὸν μοναστήν. διὰ
ταῦτα τοίνυν εἴτε τὴν μοναδικὴν ὑπερείδων σεμνότητα ἤδη
ἀφαντουμένην καὶ πρηνῆ ἐπὶ στόμα πίπτουσαν, εἴτε μὴν δε-

3. βασιλείου om A. 7. προσεκύρωσαν A. 8. τοῦτο] τι A.
16. καὶ ψ. π. διηνθισμένους om A.

ii qui huius vitae deliciis occupantur, ut sanctionem Nicephori Phocae, fortissimi et cordatissimi imperatoris, olim abolitam, de non augendis monasteriorum latifundiis, quasi postliminio revocarit, neque patrem avum caeterosque cognatos suos omnes, qui monasteriis amplissima praedia donarant, incusare destiterit, non quod de suis opibus deo aliquid consecrassent, sed quod rem bonam male administrassent. nam cum monachis habitationes in abditis et desertis locis, in antris et montium cacuminibus assignandae essent, et Cpolis tanquam Sirenum cantus vitanda, gloriola ductos incrustata sua sepulcra et vario marmore exornata iis qui templa ingrediantur spectanda proposuisse, et mortuos quoque coronari se et hilari splendidoque vultu conspici voluisse, et in foro ac triviis monasteria aedificasse, et ibi nullo cum delectu virtutis velut in cavea conclusisse eos, qui monachos non ultra tonsum capillum et mutatum habitum promissamque barbam exprimerent. his igitur de causis, sive ut monasticam sanctimoniam nutantem ac potius humi fere prostratam fulciret, sive metuens ne

διὼς μὴ ἐσεῖται μέσος ληφθεὶς ὡς χαίρων οἷς διεβέβλητο, ἑτέραν ἐτράπετο ἧς οἱ ἐξ αἵματος ἐκείνῳ ἐβάδισαν.

4. Θεσμοῦ δὲ παρὰ Ῥωμαίοις κειμένου, οἶμαι δὲ καὶ παρὰ βαρβάροις αὐτοῖς κρατοῦντος, ὀψώνια τοῖς στρατευο-
D μένοις παρέχεσθαι, καὶ τούτων πολλάκις ἔκταξιν γίνεσθαι, εἰ εὐοπλοῦσιν, εἰ τῶν ἵππων ἐπιμεμέληνται, ἀλλὰ καὶ τοὺς νεωστὶ στρατευομένους πρότερον ἐξετάζεσθαι, εἰ εὐρώστως ἔχουσι τῶν σωμάτων, εἰ τόξων εἰσὶν εἰδήμονες, εἰ κραδαίνειν δόρυ ἐπήσκησαν, εἶθ' οὕτω τοῖς καταλόγοις ἐγγράφεσθαι, ὁ βασιλεὺς οὗτος τὰ τοῖς στρατιώταις διδόμενα σιτηρέσια ὡς εἰς δεξαμενὴν ὕδωρ τὰ ταμιεῖα συσχών, ἰᾶτο τὸ δίψος τῶν στρατευμάτων ταῖς λεγομέναις τῶν παροίκων δωρεαῖς, ἔργῳ καταχρησάμενος παρὰ τῶν πρώην ἐφευρημένῳ βασιλέων καὶ σπανίως ἐπί τισι γινομένῳ τοὺς πολεμίους πολλάκις συγκόψασιν. ἔλαθεν οὖν ἐντεῦθεν καὶ τὸ στρατιωτικὸν ἀτονώτερον ἐργασάμενος καὶ χρημάτων ἀβύσσους εἰς ἀργὰς γαστέρας ὀχετηγήσας καὶ τὰς Ῥωμαϊκὰς ἐπαρχίας κακῶς διαθέμε-
P. 136 νος· οἵ τε γὰρ ἀγαθοὶ στρατιῶται τὸ ἐν τοῖς δεινοῖς φιλότιμον ἐνθένδε καταλελύκασιν, οὐκέτι τοῦ ὑπονύσσοντος πρὸς ἀρετῆς ἀρεϊκῆς ἐπίδειξιν ἰδίου σφίσιν ὡς πρώην μένοντος ἀλλ' εὐπορίστου προκειμένου τοῖς ἅπασι, καὶ οἱ τὸν δημόσιον πάλαι δεσπότην λαχόντες τῶν ἐπαρχιῶν οἰκήτορες ὑπὸ τῆς στρατιωτικῆς ἀπληστίας πεπόνθασι τὰ οἰκτρότατα, οὐκ ἀρ-

1. ὡς χαίρων om A. 5. πλειστάκις A. 8. εἰ κραδαίνειν] εἰ μετὰ κονταρίου ἐγκράζειν ἐπίστανται B. 11. τὰ ταμιεῖα] εἰς τὸ βεστιάριον κρατήσας A. 15. καὶ om A.

ea ipse facere diceretur quae reprehenderet, rationem a suis maioribus diversam est secutus.

4. Iam quia Romanis, ac barbaris etiam, ut opinor, est in more positum ut stipendia militibus solvantur, et ii saepe in medium producantur, ut exquiratur an armis instructi sint, an equos probe curatos habeant; item ut tirones, priusquam in catalogos referantur, explorentur an corporibus valeant, an sagittare sciant, an vibranda hasta se exercuerint; hic imperator stipendia militaria in fiscum tanquam aquas in cisternam coegit, et exercituum cupiditatem donativis quae incolarum dicuntur levavit, abusus re a veteribus imperatoribus inventa et raro usurpata in eos qui hostes saepe ceciderant. hinc factum est ut et milites enervarentur, et maximum pecuniae flumen in ignavos ventres effunderetur, et Romanae provinciae male tractarentur. nam et strenui milites, cum non amplius id expectarent quo peculiariter ad virtutem bellicam excitabantur, quod tum promiscue omnibus idem praemium propositum erat, ala-

γύριον μόνον καὶ ὀβολὸν ἀφαιρούμενοι ἀλλὰ καὶ τοῦ τελευταίου χιτῶνος ψιλούμενοι, ἐνίοτε δὲ καὶ τῶν φιλτάτων αὐτῶν ἀποσπώμενοι. ἦν τοίνυν διὰ ταῦτα τὸ στρατολογεῖσθαι παντὸς τοῦ βουλομένου, καὶ πολλοὶ ταῖς ῥαφίσι χαίρειν εἰπόντες ὡς ἐπεισκομιζούσαις αὐτοῖς τὰ χρειώδη στενῶς καὶ δυσεκβιάστως, ἄλλοι τὸ ἱπποκομεῖν λάξαντες, καὶ τὴν ἐκ πλινθείας B ἰλὺν ἀπονιψάμενοι ἕτεροι, εἰσὶ δ' οἳ καὶ τὴν τῶν χαλκείων ἀσβόλην ἀπομορξάμενοι τοῖς στρατολογοῦσι παρέστησαν, καὶ παρενεγκόντες ἵππον Περσαῖον ἢ χρυσίνους ἀριθμῷ βραχεῖς καταθέμενοι ταῖς στρατιώτισι κατελέγησαν ἴλαις ἀβασανίστως, κἀκ τοῦ παραυτίκα βασιλικοῖς ἐφωδιάσθησαν γράμμασι πλέθρα γῆς δροσερὰ καὶ ἀρούρας σιτοφόρους καὶ Ῥωμαίους ὑποφόρους βραβεύουσιν, ὡς ὑπηρετεῖν ἐν σχήματι δούλων, ἐνίοτε δὲ καὶ κατατιθέναι φόρους ἀνδραρίῳ μιξοβαρβάρῳ, μηδὲ εἰ ἔστιν ὅλως ἐγνωκότι παράταξις, Ῥωμαῖον ἄνδρα γεραρὸν τὸ εἶδος καὶ οὕτως εὖ εἰδότα πολέμων καὶ τοσοῦτον τοῦ φορολογοῦντος αὐτὸν ὑπερφέροντα ὡς Ἀχιλλέα πρὸς ἐκεῖνον δοκεῖν, ἢ διτταῖς χερσὶν ὁπλιζόμενον κρίνεσθαι πρὸς τὸν μηδετέραν ἀπὸ πάθους ὀρέγοντα. C ἐπαξίως οὖν τῆς ἀκοσμίας ταύτης τῶν στρατευμάτων αἱ Ῥωμαϊκαὶ πεπράγασιν ἐπαρχίαι, αἱ μὲν πρὸ τῶν ὀφθαλμῶν ἡμῶν ὑπὸ τῶν ἀλλοφύλων σκυλευόμεναι καὶ εἰς ἀρχὴν αὐτοῖς ἰδιούμεναι, αἱ δὲ ὡς ἀλλότρι- V. 112

4. ταῖς ῥαφίσι] τὴν ῥαπτικὴν καὶ τζαγγαρικὴν ἀφέντες καὶ ἄλλοι τὴν βαλμαδικήν, καὶ ἕτεροι τὸν πηλὸν ἀπὸ τοῦ προσώπου νίπτοντες, ὡσαύτως καὶ οἱ ἀπὸ τοῦ ἐργαστηρίου τοῦ χαλκέως ἐξερχόμενοι καὶ τὴν μούντζην τοῦ μαυριασμοῦ ἀπὸ τοῦ προσώπου ἐκπλύνοντες B. 6. λάξαντες] ἐκλακτίσαντες A. τὸν ἐκ πλινθ. βόρβορον A. 12. ὑποφόρους] παροίκους B. 16. πολέμου A.

critatem illam in periculis adeundis abiecerunt; et provinciales, qui olim fisco pecuniam numerabant, a militari avaritia pessime sunt tractati, erepta non pecunia tantum sed et intima tunica, aliquando etiam a liberis et uxoribus avulsi. proinde quilibet militiae nomen dabat, et multi ignavissimi et sordidissimi opifices, vel equo Persico donato vel paucis aureis datis, nullo delectu acto in militum catalogos relati litteris imperialibus irrigua prata et rura fertilia et Romanos tributarios accipiebant, ut eis aliquando servili habitu ministrarent; et vir Romanus gravi vultu, rei militaris peritus, et tanto excellentior ut illi comparatus Achilles videretur, aut duabus manibus armatus cum eo compararetur qui neutram incolumem haberet, tributum penderet homuncioni semibarbaro, qui instructam aciem nunquam viderat. enimvero perturbationis huius Romanae provinciae graves poenas dederunt, quarum aliae ante oculos nostros a barbaris

αι τοῖς ἡμετέροις ἀφαντούμεναι καὶ δῃούμεναι. ἀλλ' ἕως πότε, κύριε, τῆς σῆς ἐπιλήσῃ κληρονομίας, καὶ τὸ σὸν ἀποστρέφων ἀφ' ἡμῶν πρόσωπον ὁδοποιήσεις τρίβον τῇ ὀργῇ σου; πότε ἐπόψει ἐξ ἁγίου ἐπιβλέψας κατοικητηρίου σου, καὶ ἰδὼν ἴδῃς τὴν ἡμετέραν συνοχήν τε καὶ κάκωσιν, καὶ ῥύσῃ τῶν ἐφεστώτων κακῶν, ἀπαλλαγὴν δὲ παρέξεις καὶ τῶν πολὺ τούτων ἐλπιζομένων χαλεπωτέρων;

5. Πρὸς δὲ τοῖς εἰρημένοις κἀκεῖνα δοτέον τῇ ἱστορίᾳ. D τοῖς πλείοσι βασιλεῦσι Ῥωμαίων οὐκ ἀνεκτόν ἐστιν ὅλως ἄρχειν μόνον καὶ χρυσοφορεῖν καὶ χρῆσθαι τοῖς κοινοῖς ὡς ἰδίοις καὶ διαδιδόναι ταῦτα καθὼς ἄρα καὶ οἷς βούλονται, οὐδὲ μὴν ὡς δούλοις τοῖς ἐλευθέροις προσφέρεσθαι, ἀλλ' εἰ μὴ καὶ σοφοὶ δοκοῖεν καὶ θεοείκελοι τὴν μορφὴν καὶ ἥρωες τὴν ἰσχὺν καὶ ὡς Σολομῶν θεόσοφοι καὶ δογματισταὶ θειότατοι καὶ κανόνες τῶν κανόνων εὐθέστεροι καὶ ἁπλῶς θείων καὶ ἀνθρωπίνων πραγμάτων ἀπροσφαλεῖς γνώμονες, δεινὰ οἴονται πάσχειν. ἔνθεν τοι καὶ δέον τοῖς ἀπαιδευτοτέροις καὶ θρασυτέροις ἐπιτιμᾶν ἐπεισάγουσι νέα καὶ ἀσυνήθη τῇ ἐκκλησίᾳ δόγματα, ἢ γοῦν ἀνατιθέναι ταῦτα οἷς ἐπάγγελμα τὰ περὶ θεοῦ εἰδέναι καὶ λέγειν, οἱ δὲ οὐδὲ κατὰ τοῦτο τὸ μέρος δευτερεύειν οὑτινοσοῦν ἀνεχόμενοι οἱ αὐτοὶ δογμάτων εἰσ- P. 137 ηγηταὶ καὶ δικασταὶ τούτων καὶ ὁρισταί, πολλαχοῦ δὲ καὶ κολασταὶ τῶν μὴ συμφωνούντων αὐτοῖς γίνονται. καὶ ὁ βασιλεὺς τοιγαροῦν οὗτος εὐγλωττίαν εὐτυχηκὼς καὶ λόγου ἔμφυτον χάριν πεπλουτηκὼς οὐ λαμυρῶς ἐπέστελλε μόνον,

22. καὶ δικασταὶ om A.

spoliatae et occupatae sunt, aliae a nostris tanquam alienae vastatae et eversae. sed quousque, domine, hereditatis tuae oblivisceris, aversaque a nobis facie irae tuae locum dabis? quando ex sancta aede tua prospectans nostras aerumnas et calamitates intueberis, malisque nos urgentibus liberabis? eaque avertes quae longe graviora impendere videntur.

5. Nunc illud etiam addendum est. plerique Romanorum imperatores imperare, aurum gestare, communibus ut privatis uti, eaque suo arbitratu quibus volunt donare non contenti, nisi sapientes, forma diis, robore heroibus similes, et, ut Salomon, divinitus edocti et doctores divinitatis et normae rectissimae, denique divinarum humanarumque rerum interpretes verissimi habeantur, iniuriam sibi fieri censent. unde fit ut, cum immodestiores et audaciores, qui nova dogmata in ecclesiam introducunt, coercere aut id munus iis qui theologiae scientiam profitentur mandare deberent, nec in hac parte ullo inferiores esse volentes, iidem dogmatum et auctores et arbitri ac disceptatores

ἀλλὰ καὶ κατηχητηρίους ὤδινε λόγους, οὓς φασι σελέντια, καὶ εἰς κοινὴν ἀνέπτυσσεν ἀκοήν. ὁδῷ δὲ προϊὼν καὶ δογμάτων ἥπτετο θείων καὶ περὶ θεοῦ διελέγετο. ἀμέλει καὶ κατασχηματιζόμενος πολλάκις τὸν ἀποροῦντα γραφικὰς εἰσῆγε ζητήσεις, καὶ περὶ τῶν λύσεων τουτωνὶ διεπυνθάνετο ξυναγείρων ὅσον ἔχαιρε λογιότητι. ἀλλ' ἦν ἂν ἐπαινετέος κἂν τούτοις, εἰ μέχρι τούτων τὴν λιχνείαν ἐκτείνων τοῖς δυσεφίκτοις οὐδ' ὅλως προσέβαινε δόγμασιν, ἢ καὶ τούτοις ἐφι- B στάνων τὸν νοῦν οὐκ ἦν ἰσχυρογνώμων, οὐδὲ τὸν νοῦν τῶν γραφομένων πρὸς τὴν οἰκείαν μεθεῖλκεν ἐν πολλοῖς πρόθεσιν, ὁρίζων καὶ προσεπάγων ἐξηγήσεις ἐν οἷς πρὸς ὀρθὴν ἔννοιαν οἱ πατέρες ἐφθέγξαντο, ὡς εἴπερ ὅλον αὐτὸν συνειλήφει τὸν Χριστὸν καὶ ὑπ' αὐτοῦ μεμύηται τὰ περὶ αὐτοῦ τρανότερον καὶ θειότερον. ζητήσεως οὖν γενομένης περὶ τοῦ γραφικοῦ ῥητοῦ ὅ φησι τὸν σεσαρκωμένον θεὸν προσφέρειν τε ὁμοῦ καὶ προσφέρεσθαι, καὶ τῶν τότε λογίων ἀνδρῶν εἰς ἐναντίας μοίρας ἀποκριθέντων, ἐφ' ἱκανὸν τὰ τῆς ἐξετάσεως παρετάθησαν, ῥήσεις τε καὶ ἀντιρρήσεις ἐξ ἑκατέρων ἐχύθησαν τῶν μερῶν. ὀρθοτομηθέντος δὲ τοῦ ζητουμένου, καὶ τῇ δόξῃ προστεθέντος τοῦ βασιλέως τῇ θεοφιλεῖ τε καὶ κρείττονι, καθαίρεσιν ὑπέστησαν ὡς ἀντίφρονες ὁ Ὑποψήφιος τῆς Θεουπόλε- C ως, μεγάλης Ἀντιοχείας Σωτήριχος ὁ Παντεύγενος, ὁ Δυρραχίου Εὐστάθιος, ὁ τῆς Θεσσαλονίκης Μιχαὴλ τὸν ῥητορικὸν

12 οἱ om A. 18. ἐχέθησαν A.

existant, saepe etiam dissentientes multent. hic quidem imperator natura facundus et suavis sermonis affluentia ornatus non elegantes tantum epistolas scribebat, sed et religionis institutiones parturiebat ac publice declamabat. tandem etiam de divinis dogmatibus et ipso deo disserebat. saepe etiam dubitationem prae se ferens, quaestiones e scripturis proponebat, earumque solutiones eruditis omnibus convocatis requirebat, quanquam in his etiam laudari potuisset, nisi curiositate ingenii eas etiam quaestiones agitasset quae attingi se nullo modo patiuntur, aut saltem omissa pertinacia scripturarum sententiam in multis ad suam opinionem novis interpretationibus non accommodasset, veris declarationibus veterum repudiatis, quasi ipse totum Christum comprehendisset et ab ipso de natura eius dilucidius ac divinius edoctus esset. orta igitur quaestione de illo dicto, quo dicitur incarnatum deum simul et offerre et offerri, et eruditis inter se dissentientibus, disceptatio longo tempore est extracta, multis et confirmationibus et confutationibus utrinque allatis. verum imperatore piae et verae sententiae post solertem controversiae explicationem assenso, adversarii loco moti sunt ut perperam sentientes, Hypopsephius Theopolitanus, Sotérichus Panteugenus Antiochenus, Dyrrachi-

κηρυκικῷ θρόνῳ καὶ τῶν εὐαγγελικῶν ἀναβαθμῶν ἐπιβεβηκότα, ὁ Βασιλάκης Νικηφόρος τὰς τοῦ Παύλου ἀναπτύσσων ἐπ' ἐκκλησίας ἐπιστολὰς καὶ διαλαμπρύνων τῷ τῆς καλλιρρημοσύνης φωτὶ ὅσαι τῶν ἀποστολικῶν ῥήσεων τῇ ἀσαφείᾳ ὑποσκιάζονται καὶ τῷ βάθει τοῦ πνεύματος ἐπιρρέουσιν. λέγεται δὲ ὡς τοῦ δόγματος τούτου ὑποκινουμένου καὶ εἰς κοινὴν ἐκφερομένου προτεθῆναι βάσανον, ἐξαίφνης ἐκραγῆναι βροντὴν ἐξαισίαν, ὑφ'
D ἧς καὶ περιηχηθῆναι τὰς ἀκοὰς τὸ σύνολον ἅπασι τῷ βασιλεῖ κατὰ Πελαγονίαν διατρίβουσι τότε, ὡς ἀπὸ τοῦ κτύπου πολ-
V. 113 λοὺς εἰς γῆν καταπίπτειν· καί τινα τῶν λόγου τροφίμων, Ἠλίαν τοὔνομα, τὴν τύχην ὑπὲρ τοὺς πολλούς, τοῦ στρατοῦ φύλακα, βίβλον ἀναπτύξαντα περὶ βροντῶν καὶ σεισμῶν διεξιοῦσαν, καὶ τὰ περὶ τὸν καιρὸν ἐκεῖνον καθ' ὃν ἐβρόντησεν ἐπελθόντα, φάσκοντα εὑρεῖν οὑτωσὶ „πτῶσις σοφῶν.” οὐ μόνον τοίνυν οἱ ῥηθέντες ἄνδρες, τῶν τηνικαῦτα σοφῶν ὄντες οἱ κράτιστοι, τῆς ἐκκλησίας ἀπεσφενδονήθησαν καὶ πάσης ἱερᾶς ὑπηρεσίας ἐξεστρακίσθησαν, ἀλλὰ σὺν αὐτοῖς καὶ ἕτεροι τῶν ἱερῶν καὶ θείων περιβόλων ἀποσκορακισθέντες ἠλάθησαν. μετὰ χρόνους δέ τινας τὴν „ὁ πατήρ μου μείζων μού ἐστι” τοῦ θεανθρώπου φωνὴν προθεὶς εἰς ἐξέτασιν, ὀλίγα
P. 138 ταῖς τῶν πατέρων προσσχὼν ἐξηγήσεσι, καὶ ταῦτα διαφόροις οὔσαις καὶ ἱκαναῖς πρὸς τὴν τοῦ ζητουμένου παράστασιν καὶ σαφήνειαν, ἑρμηνεύσεις οἰκείας εἰσήνεγκε, φιλονείκως τῶν ἅπαξ δοξάντων περιεχόμενος, καὶ πρὸς τὸ οἰκεῖον ἀνθέλκων

9. ὡς — καταπίπτειν om A. 10. λέγω A. 18. ἱερῶν καὶ om A. 24. δοξάντων] δεδογμένων A.

nus Eustathius, Michael Thessalonicensis concionator, Nicephorus Basilaces, qui Paulinas epistolas interpretabatur et lumine eloquentiae Apostolicorum scriptorum obscuritatem altissimo spiritu refertam illustrabat. ferunt, cum haec controversia agitaretur et publice disceptanda proponeretur, alieno anni tempore ingens erupisse tonitru, et auribus eorum omnium qui tum Pelagoniae cum imperatore erant ita insonuisse ut nonnulli humi prolaberentur. et Eliam quendam hominem eruditum et celebrem, aperto libro qui de tonitribus et terraemotibus dissereret, et iis lectis quae ad tempus illud pertinerent, scriptum invenisse „casus sapientum.” itaque non ii modo quos diximus, doctorum eruditissimi, ecclesiis pulsi et omnibus sacris ministeriis interdicti sunt, sed alii quoque una cum illis. aliquot annis post quaestione de dei hominis dicto „pater maior est me” proposita, parum curatis patrum explicationibus, iisque variis et ad [illegible]roversiae explicationem et declarationem sufficientibus, suas in[illegible]tationes attulit, easque pertinaciter defendit; et ad suam vo-

βούλημα, καὶ ὃ κυρώσειν προέθετο, τὰς μηδὲν τῇ ἀληθείᾳ λυμαινομένας ἀλλὰ θεοσόφως λεχθείσας ῥήσεις τῶν μακαρίων διδασκάλων τῆς οἰκουμένης. τῶν μὲν γὰρ λεγόντων τῷ αἰτίῳ εἰρῆσθαι μείζονα, τῶν δὲ κατὰ τὸ ἀνθρώπινον ἐξειληφότων καὶ τῷ προσλήμματι, οὐ τῷ λόγῳ τὴν φωνὴν ταύτην ἀπονειμαμένων, ὥσπερ καὶ τὸ πρὸς τὸν πατέρα πορεύεσθαι καὶ τὸ ἔρχεσθαι τοῦ κόσμου τὸν ἄρχοντα καὶ ἐρευνῶντα μηδὲν ὅλως εὑρίσκειν ἐν αὐτῷ, τινῶν δὲ περὶ τοῦ λόγου τὸ μεῖζον ἐκλαβομένων, οὐχ ἁπλῶς δὲ καὶ κατ' οὐσίαν ἀλλὰ διὰ B τὴν ἐν τῷ ἐνανθρωπῆσαι ἄκραν κένωσιν καὶ ταπείνωσιν, καὶ ἄλλων ἄλλως εὐσεβῶς μέντοι ἐκδεξαμένων, ταύτας οὐκ οἶδ' ὅπως ἀποστέρξας ὡς οὐχ ἱκανῶς περὶ τοῦ προκειμένου εἰπούσας, καὶ ἑτέρως αὐτὸ διηρμήνευεν. ἀμέλει καὶ σύνοδον συγκροτήσας καὶ ἅπαν ὅσον τοῖς θείοις ἔχαιρε δόγμασι συναθροίσας, ἐνῆγεν ἕκαστον ἐν τόμῳ δογματικῷ ὑπογράφειν ὁρίζοντας οὑτωσὶ „ἀποδέχομαι μὲν καὶ τὰς περὶ τοῦ ὁ πατήρ μου μείζων μού ἐστι τῶν θεοφόρων πατέρων φωνάς, λέγω δὲ εἰρῆσθαι τοῦτο καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν καὶ παθητὴν σάρκα." τοῦτο δὲ οὐκ οἶδ' ὅπως τὸ ἔλαττον πρὸς τὸν πατέρα τῷ υἱῷ σαρκοφορήσαντι περιτίθησιν, ὡς εἴπερ ἀπωλίσθησε τῆς ἰσότητος διὰ τὴν τῆς ἀνθρωπίνης C φύσεως πρόσληψιν καὶ τὴν πρὸς ἡμᾶς ἐπιδημίαν, μὴ τὴν ἰδίαν καὶ οὕτως ἀνασώζων δόξαν, τοῖς δὲ τῆς κενώσεως μέτροις ἐναπομείνας, ἢ μὴ θεώσας καὶ ὑψώσας τὸ τα-

10. κένωσιν] ἕνωσιν A. 21. ἰσοτομίας B. an ἰσοτιμίας?

luntatem et sententiam universalium doctorum sententias, non modo veritati non adversantes sed divinitus editas, accommodavit. nam cum alii dicant patrem ut filii auctorem dici maiorem, alii de natura humana id intelligant, et id dictum non verbo sed assumptae carni attribuant, ut et illa de profectione ad patrem, de adventu principis mundi, qui nihil in ipso inveniat; alii, etsi de verbo vocem *maior* accipiant, non absolute tamen et essentialiter, sed ob inhumanationis summam extenuationem et humilitatem; atque alii aliter, pie tamen, explicent: iis, nescio quomodo, ut propositae quaestioni non satisfacientibus improbatis, aliam attulit interpretationem, indictoque concilio et omnibus sacrarum litterarum studiosis convocatis singulos hortatus est ut ei decreto hoc modo subscriberent: „equidem etiam S. patrum voces de illo dicto *pater maior est me* amplector: aio tamen id dictum pertinere ad carnem in eo conditam et passibilem." quod nescio quomodo filio incarnato minus tribuit quam patri, perinde ac si ob naturae humanae assumptionem et peregrinationem in terram pari dignitate excidisset, ac suam au-

πεινὸν καὶ τῶν οἰκείων αὐχημάτων μέτοχον ἀναδείξας ἐξ αὐτῆς τῆς ἑνώσεως, ἀλλ' ὑπ' αὐτοῦ τοὐναντίον ταπεινωθείς, ὅπερ ἄτοπον. ἀμέλει καὶ γραφαῖς ἐρυθραῖς ὡς φλογίνῃ ῥομφαίᾳ τὸ δόγμα τοῦτο διειληφώς, ἀπειλούσαις θάνατον καὶ ἀποκήρυξιν πίστεως τῷ προσεμβλέψαι ὅλως ἔνδον τολμήσαντι καὶ κατὰ πρώτην τοῦ νοῦ κίνησιν, πολλῷ δέω εἰπεῖν ἐπιλαβομένῳ καὶ ὑποτονθορύσαντι, ἔπειτα καὶ λιθίναις πλαξὶν ἐγχαράξας ὑποθήκαις τινῶν τῶν ἐπακολουθούντων αὐτῷ καὶ κο-
D λακευόντων ἐπὶ νεῷ τοῦ μεγίστου ἀνέθετο. ὑφωρῶντο γὰρ τὴν τῶν κυρωθέντων ἀνάλυσιν ὡς εἰς αὐτὸν τὸν λόγον διὰ μέσης τῆς σαρκὸς ἀποφερόντων τὸ ἔλαττον, καὶ μάλισθ' ὅτι τὴν κένωσιν καὶ τὸ κατὰ τὸ ἀνθρώπινον νοούμενον παρεβλέψαντο.

6. Οἷον δὲ καὶ τόδ' ἔρεξεν ἀνὴρ οὑτοσὶ περὶ τὸ πέρας τῆς αὐτοῦ βιοτῆς. ἔγκειται τῷ κατηχητικῷ πυκτίῳ μεθ' ἑτέρων ἀφορισμῶν καὶ τὸ ἀνάθεμα τῷ θεῷ τοῦ Μωάμετ, περὶ οὗ λέγει „οὔτε ἐγέννησεν οὔτε ἐγεννήθη," καὶ ὅτι ὁλόσφυρός ἐστι. τὸν τοιοῦτον τοίνυν ἀναθεματισμὸν ἀπαλεῖψαι τῶν ὅλων κατηχητηρίων βίβλων προέθετο, ἀπ' αὐτῆς τῆς ἐν τῇ μεγάλῃ ἐκ-
P. 139 κλησίᾳ πυκτίδος ἀρξάμενος. καὶ ἡ πρόφασις ὡς μάλα εὐπρόσ-
V. 114 ωπος· ἔφασκε γὰρ ὡς εἰς σκάνδαλον πρόκειται τῶν μετατιθεμένων Ἀγαρηνῶν εἰς τὴν καθ' ἡμᾶς θεοσεβῆ πίστιν τὸ

8. τῶν — κολακευόντων om A. 15. τῷ κατηχ.] ἐν τῷ κατηχητικῷ τόμῳ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας B, τῷ κατηχητηρίῳ π. A.

ctoritatem amisisset, et intra limites extenuationis constitisset, ac non deificasset et extulisset humilia, et sua gloria per unionem illam ornasset potius quam ea re ipse depressus esset. quod absurdum est. atque etiam rubra scriptura tanquam ense flammeo decretum hoc munivit, quo mortem minitabatur et excommunicationem ei qui, non dico prima impulsione animi reprehendere et submurmurare, sed tantum introspicere ausus esset. deinde idem decretum de quorundam assensorum vel assentatorum potius consilio lapideis tabulis insculptum in maximo templo dedicavit. verebantur enim ne sanctio illa, ut quae praetextu carnis ipsi verbo derogaret, abrogaretur, praesertim cum extenuationem et humanitatis rationem praeteriissent.

6. Eiusdem generis illud etiam est quod Manuel sub vitae finem fecit. extat inter caeteras catecheticae tabulae sanctiones anathema in Machometi deum, quem nec genuisse nec genitum sed holosphyron esse affirmat. id anathema ex omnibus catecheticis libellis aboleri voluit ab ipsa magnae ecclesiae tabula auspicatus, idque ratione probabili scilicet. aiebat enim blasphemiis in deum qualibus-

βλασφημεῖσθαι ὅλως θεόν. οὐκοῦν μετάκλητον τίθησι τὸν μέγιστον Θεοδόσιον, ὃς διεῖπε τηνικαῦτα καὶ ἐκόσμει θρόνον τὸν πρώτιστον, καὶ τῶν κατὰ τὴν πόλιν ἐνδημούντων ἀρχιερέων τοὺς λόγῳ καὶ ἀρετῇ διαπρέποντας, καὶ κοινοῦται τούτοις τὸ σκέμμα μετ' ὀγκηρῶν προεισοδίων τῆς ὑποθέσεως. ἀνανεύοντας δὲ πάντας εὑρὼν καὶ μηδ' ἄκροις παραδεχομένους ὠσὶ τὰ εἰσηγούμενα ὡς ἀπόφημα καὶ τῆς εἰς θεὸν ἀληθεστάτης δόξης ἀπάγοντα, ἐξηγουμένους δὲ θεοφιλῶς τὸ εἰς σκάνδαλον δῆθεν καὶ πρόσκομμα κείμενον, καὶ διασαφοῦντας μὴ ὅλως θεὸν οὐρανοῦ καὶ γῆς ποιητὴν καθυποβάλλεσθαι ἀναθέματι ἀλλὰ τὸν B παρὰ τῷ λήρῳ καὶ δαιμονιώδει Μωάμετ ἀναπλαττόμενον ὁλόσφυρον θεὸν καὶ μήτε γεννηθέντα μήτε γεννήσαντα (παρὰ Χριστιανοῖς μὲν γὰρ δοξάζεσθαι πατέρα θεόν, αὐτὰ δὲ τὰ ἀπόβλητα τοῦ Μωάμετ ληρήματα τοῦτο ἀπαγορεύειν ὅλως· καὶ ἄλλως δὲ μὴ συνιέναι ἀκριβῶς ὁποῖόν τί ἐστι τὸ ὁλόσφυρον), αὐτοὺς μὲν φθινύθειν εἴασεν ἐν στήθεσιν ἔχων νόον ἀκήλητον, καθ' ἑαυτὸν δ' ἐκτίθησι τόμον, ὑπουργοῖς εἰς τοῦτο χρησάμενος οὓς ᾔδει τῶν ἐκ τῆς βασιλείου αὐλῆς τὸν καιρὸν κολακεύοντας καὶ λόγου μετέχοντας, ὑπερηγοροῦντα μὲν τῆς τοῦ Μωάμετ μωρολογίας (οὐ γὰρ ἂν εἴποιμι θεολογίας), καθαπτόμενον δὲ λαμπρῶς τῶν πρότερον βασιλέων καὶ τῶν C ἐκ τοῦ καταλόγου τοῦ ἱεροῦ ὡς ἀμαθῶς καὶ ἀπερισκέπτως ἀνεχομένων ὑπὸ ἀνάθεμα τίθεσθαι θεὸν τὸν ἀληθινόν. καὶ τοῦτον εἰς κοινὴν ἀκρόασιν ἐπὶ τῶν ἱερῶν ἀρχείων ἐκδίδωσι,

21. προτέρων A.

cunque offendi Agarenos, qui ad piam nostram religionem deficerent. proinde maximo Theodosio accersito, qui principem sedem curabat atque ornabat, et primariis sacerdotibus, qui tum in urbe erant eloquentia et virtute praestantes, quaestionem cum tumido exordio proponit. qui cum omnes refragarentur, nec ullo modo illa admitterent ut absurda et a vera de deo sententia abducentia, atque anathema illud offensionis plenum pie explicarent (nec enim deum caeli et terrae conditorem ullo modo anathemate notari, sed holosphyrum illum deum, quem delirus et furiosus Machometus nec genitum nec gignentem confingeret: nam apud Christianos deum patrem celebrari, quod detestandis Machometi nugamentis plane prohibeatur. deinde se non satis intelligere quid sit illud holosphyrum), eis animo nihil mitigato contemptis, suapte auctoritate, et aulicorum eruditorum, quos tempori servire norat, ministerio, decretum proponit, quo et Machometi delirium (cur enim theologiam dicam?) defendebatur et superiores imperatores sacrorumque antistites aperto taxabantur, qui deum verum inerudite et inconsiderate anathemato

συνεκπεπομφὼς οἷον τοῦ τόμου προοδευτὰς καὶ νεολαίαν κροτοῦσαν τὰ γεγραμμένα ὅσοι τῆς συγκλήτου βουλῆς καὶ τῆς γερουσίας ἦσαν κεφάλαιον, καὶ τοὺς ἐκ γένους ἐκείνῳ λογιότητι χαίροντας. τοσοῦτον δὲ τὸ πιθανὸν ὁ λόγος ἐπλούτει, οὐκ ἐν διδακτοῖς πνεύματος βρίθων ῥήμασιν ἀλλ' ἐν πειθοῖ σοφίας ἀνθρωπίνης κομῶν, ὡς μικροῦ δεῖν ἀπαιωρῆσαι τῶν ὤτων μὴ μόνον ὅσον ἀφεώρα πρὸς τὴν ποικίλην τούτου πε- D ριβολὴν καὶ τὸ ἐπίχαρι τοῦ πτερώματος, ἀλλὰ καὶ αὐτὸ τὸ μεταλλεῦον τῶν γεγραμμένων τὸν νοῦν. καὶ τάχ' ἂν ἦν ὡς ἀληθὴς θεὸς δοξαζόμενος ὁ παρὰ τῷ Μωάμετ ὁστισοῦν κληρούμενος ὁλόσφυρος θεός, εἰ μὴ ὁλοσχερῶς ὁ πατριάρχης ἀντέβη· οὔτε γὰρ οὗτος τοῖς γραφομένοις τὸν νοῦν προσέσχηκεν ὡς ἐπισφαλῆ καὶ νέα ἐπεισάγουσι δόγματα, καὶ τοὺς λοιποὺς δὲ ὡς δηλητηριώδη ταῦτα ὑφορᾶσθαι παρέπειθεν. ὁ δὲ ὥσπερ τι δεινὸν πεπονθὼς ὀνείδεσιν ἔπλυνε τοὺς ἀρχιερεῖς, καὶ μωρὰ τοῦ κόσμου τούτους ὠνόμαζεν, ἄλλως τε καὶ νόσῳ τότε προσπαλαίων δεινῇ, ὑφ' ἧς καὶ τὸν βίον ἀπέλιπε, καὶ ἐπίχολος ἐντεῦθεν γινόμενος. οὐκοῦν ὅσα τῷ προτέρῳ τόμῳ ἐμπλατυνόμενος εἴρηκεν, ἀπηρτισμένῃ κατασκευῇ καὶ μεθόδοις ῥητορικαῖς χρησάμενος, ταῦτα ἐπιτεμὼν καὶ τὸ τοῦ δόγματος P. 140 αὖθις περιθεὶς δέλεαρ ἕτερον τόμον ἐξέθετο. καὶ ἐπεὶ ἔτυχε τότε τοῖς κατὰ Δάμαλιν ἀρχείοις ἐναυλιζόμενος, ἃ Σκουτάριον ὀνομάζονται, τὴν τοῦ ἀέρος εὐκρασίαν μεταδιώκων

8. τὸ ante μεταλλ. vulgo deest. 10. ἀληθῶς A. 21. ἔτυχε add A. 22. ἐναυλιζόμενος om A.

notari passi essent. et id decretum in sacro palatio publice recitandum curat, principibus senatus et cognatis suis litterarum studiosis, qui veluti viam praepararent atque applauderent, praemissis. erat autem oratio adeo probabilis, non spiritualium verborum gravitate sed humanae sapientiae suavitate, ut aures non eorum duntaxat qui variam eius compositionem et iucundam vanitatem spectabant, sed eorum etiam qui ipsius scripti sententiam indagabant, propemodum suspensas teneret. ac forsitan veri dei gloria Machometano illi deo, quisquis est, nisi patriarcha strenue adversatus nec ipse id scriptum curasset, quo nova et periculosa dogmata introducerentur, et caeteros, ut id tanquam venenum suspectum haberent, monuisset. at imperator, quasi gravi affectus iniuria, pontifices conviciis insectabatur et homines omnium mortalium stultissimos appellabat, quippe ex morbo gravissimo, qui exitium ei attulit, pronior ad iram factus. proinde iis quae priore decreto fusius, oratoriis ornamentis adhibitis, scripserat, in compendium redactis et dogmatis illecebris adornatis, aliud decretum promulgavit. cum autem tum in palatio ad

καὶ τῆς πολυοχλίας ἀπανιστάμενος καὶ ἅπας τῆς νοσοκομίας γινόμενος, διαπλωΐζονται ἐκεῖσε βασιλικῷ ἐπιτάγματι ὅ τε τῶν ἀρχιερέων σύλλογος καὶ ὅσοι τὸ πρεσβεῖον ἐκ τῶν λόγων ἐκτήσαντο. ἀλλ' οὔπω καθαρῶς τῶν λεμβαδίων ἀπέβησαν, καί τις τῶν παρὰ τῷ βασιλεῖ παρρησίαν ἐχόντων καὶ τὰ μέγιστα δυναμένων ὑπογραμματέων ἐφίσταται. ὁ Ματζούχης ἦν οὗτος Θεόδωρος, καὶ πρός τε τὸν πατριάρχην καὶ τὴν τῶν ἀρχιερέων ὁμήγυριν τὸν λόγον ἀποτεινάμενος τὴν μὲν ἐς τὸν βασιλέα B πάροδον μὴ εἶναι ἔφησε νυνὶ ἐφικτὴν διά τι παρεισφρῆσαν V. 115 ἐκ τῆς νόσου ἐμπόδιον, τῇ δὲ τούτων ἀναγνώσει προσέχειν χρεών, τοὺς χάρτας δείξας αὐτοῖς τοὺς ἐν χερσῖν. ἦν δὲ ὁ μὲν περὶ τοῦ προκειμένου δόγματος διαλαμβάνων, ὅν, ὡς εἰρήκαμεν, ὑπογράψαι τοὺς συνελθόντας ἀρχιερεῖς διὰ σπουδῆς ὁ αὐτοκράτωρ ἐτίθετο· ὁ δ' ἕτερος τὸν βασιλέα ἔχων διαλεγόμενον τῷ ἀρχιποίμενί τε Θεοδοσίῳ καὶ τῇ συνόδῳ οὐδὲν μέτριον οὐδὲ χάριεν διεξῄει, ἀλλὰ καὶ τῇ ἐνστάσει τοῦ πατριάρχου καὶ τῶν σὺν αὐτῷ ἀρχιερέων ὡς μὴ κατὰ λόγον γενομένῃ ἐπιμεμφόμενος διηπειλεῖτο μείζονος συνόδου συγκρότησιν, καὶ τὴν μετ' αὐτοῦ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης τῶν προκειμένων ἐπώμνυτο διάσκεψιν. „ἀγνώμων C γὰρ ἂν εἴην" ἔλεγε „καὶ ἀλόγιστος, εἰ μὴ πολλοστὸν ἀντιδοίην μέρος τῷ ἐμῷ βασιλευτῇ καὶ βασιλεῖ τῶν ὅλων θεῷ, ὧν ἐκεῖθεν κρειττόνως ἔσχηκα, πᾶσαν σπουδὴν εἰσενεγκὼν ὥστε μὴ τοῦτον ἀναθέματι καθυποβάλλεσθαι ἀληθινὸν ὄντα θεόν." τοσοῦτον δὲ τοῦ διαθροηθῆναι τοῖς τοιούτοις ἀπεῖ-

5. τὰ] τῶν vulgo. 6. ματζουκάκης A. 15. Θεοδοσίῳ om A. 25. τοῖς τοιούτοις om A.

Damalim, quod Scutarium dicitur, tum ad vitandam turbam tum ob aëris temperiem versaretur, totus curandae valetudini intentus, iussu eius pontificum collegium et eruditissimi quique eo traiiciunt. qui cum vix ex lintribus descendissent, Theodorus Mazuca, homo apud imperatorem gratiosus et inter scribas auctoritate princeps, adest; et oratione ad patriarcham et pontificum collegium instituta imperatorem nunc adiri posse negat ob morbi quandam accessionem, litteras vero quas manu teneret, esse audiendas. agebant autem alterae de proposito dogmate, quibus a pontificibus subscribi cupiebat imperator; alterae sub persona eiusdem cum summo pastore Theodosio et pontificibus ob praeposteram adversationem expostulantes, maius concilium minabantur, et controversiae disceptationem ipso veteris Romae papa adhibito iureiurando testificabantur. „ingratus" inquit „universitatis rerum deo, a quo praeter imperii fastigium aliis illustribus praerogativis sum ornatus, et insanus essem, nisi pro te-

χον οἱ ἀκροώμενοι κομπάσμασιν, ὥστε καὶ ὁ τῆς Θεσσαλονίκης πρόεδρος, ὁ πολὺς καὶ μέγας ἐν λόγοις Εὐστάθιος, ζήλου ἐπὶ τοῖς ἀνεγνωσμένοις πλησθεὶς καὶ μὴ ἐνεγκὼν θεὸν ἀληθινὸν δοξάζεσθαι ὁλόσφυρόν τι διανοίας ἀνάπλασμα κακοδαίμονος, „ἐσοίμην ἂν" ἔφη „καταπεπατημένον τοῖς πτέρναις φορῶν τὸν ἐγκέφαλον; καὶ τοῦ σχήματος τούτου παράD
D παν ἀνάξιος" τὸν ἐπὶ τῶν ὤμων δείξας μανδύαν, „εἰ θεὸν ἡγοίμην ἀληθινὸν τὸν παιδεραστὴν καὶ καμηλώδη καὶ πάσης πράξεως μυσαρᾶς ὑφηγητὴν καὶ διδάσκαλον." ἐπεπήγεσαν οὖν ἐπὶ τοῖς εἰρημένοις τούτοις οἱ ἀκηκοότες μικροῦ· ἦν γὰρ καὶ διατόρως ταῦτα φθεγγόμενος καὶ προδήλως χαρακτηρίζων τὸν ζήλῳ εὐσεβείας πυρούμενον. ὁ δὲ τοῦ γράμματος ὑπαγορευτής, στὰς ἐπὶ βραχὺ ἐννεὸς καὶ τὰ χείλη μύσας, παλίμπους εἶτα εἰς τὸν αὐτοκράτορα εἴσεισι. καὶ ὃς τὰ λαληθέντα ἐνωτισάμενος, οἷον περιψοφηθείς, ποικίλος ἦν τὸν ἀπόλογον, τὸ μακρόθυμον ἐπῃνεκὼς ὡς οὐδέποτε. καὶ ἑαυτὸν γὰρ τοῖς ἄγαν ὀρθοδοξοῦσι Χριστιανοῖς ἐνέταττε, καὶ πατέρων ὡμολόγει πανευσεβῶν προελθεῖν, τοὺς φιλαιτίους ἐκκλίνων καὶ φιλοσκώμμονας. καὶ τὴν μετὰ τοῦ Θεσσαλονίκης κρίσιν πολὺς ἐνέκειτο ἐξαιτούμενος· ἢ γάρ, φησί, δικαιωθεὶς ὡς
P. 141 μὴ θεῷ πιστεύων παιδεραστῇ μηδὲ εἰσάγων παραχάραγμα πί-

1. κομπάσμασιν] ἀπειλήμασιν A. 4. δοξάζεσθαι] ὀνομάζεσθαι A. 8. τὸν παιδεραστὴν] τὸν παρὰ τοῦ λαοπλάνου ἀρσενοκοίτου B. 13. στὰς — μύσας] ἐκπλαγεὶς A. 21. παιδεραστῇ] ἀρσενοκοίτῃ B.

nuitate mea qualecunque illi studium meum declararem, et summis in id viribus incumberem, ne is verus deus anathemate notaretur." caeterum auditores ea magniloquentia adeo non percellebantur, ut vir doctissimus et eloquentissimus, Eustathius Thessalonicae archiepiscopus, ea oratione vehementer commotus, verum deum aliquid holosphyrum, infelicis ingenii commentum, perhiberi nullo modo ferret. „enimvero" inquit „insanirem et hoc habitu" ostenso pallio „indignus essem, si deum verum iudicarem brutum illum paediconem et omnis obscoenitatis et sceleris doctorem." quae cum clara voce et magno verae pietatis affectu dixisset, auditores pene obstupuerunt. scripti vero illius recitator, paulisper velut attonitus, compressis labiis astitit, deinde ad imperatorem reversus est; qui ea oratione perturbatus varia defensione usus est; et patientia, ut nunquam antea, laudata, ut querulos et cavillatores vitaret, se quoque integerrimis Christianis annumerabat, et religiosissimis natum esse parentibus asserebat, et contra Thessalonicensem iudicium vehementer efflagitabat. aut enim, si absolveretur ut qui deo paediconi non crederet, nec de religione perperam

στεως δικαίαν ἐπιθήσει δίκην τῷ κατὰ Χριστοῦ κυρίου ἐρυγγάνοντι βλάσφημα, ἢ κατακριθεὶς ὡς ἕτερον δοξάζων θεὸν παρ' ὃν οἱ ἐκ Χριστοῦ καλούμενοι σέβονται μεταμαθήσεται τὴν ἀλήθειαν, καὶ χάριν εἴσεται οὐ μικρὰν τῷ τῆς χείρονος αὐτὸν μεταστήσαντι δόξης καὶ μυήσαντι τὴν ἀλήθειαν. μετὰ βραχὺ δὲ τοῦ πατριάρχου εἰς θέαν ἐκείνῳ ἐληλυθότος καὶ κατεπᾴσαντος τὰ εἰκότα τοῦ τε θυμοῦ ἔληξε, καὶ τῷ Εὐσταθίῳ συγγνώμην παρέσχετο ἐφ' οἷς παρεφθέγξατο, ἐνδεδωκὼς αὐτῷ ὅσα ᾕρεῖτο ἀπολογήσασθαι, τελευταῖον δὲ καὶ αὐτὸς ἐπειπὼν ὡς „δεῖ σε σοφὸν ὄντα μὴ αἰσχρορρήμονα δείκνυσθαι μηδὲ θρασυστομεῖν παρακαίρια.“ ἐπὶ δὲ τούτοις εἰς κοινὴν δοθέντος ἀκρόασιν τοῦ περὶ τοῦ δόγματος τόμου, καὶ B πάντων ἐπαινεσάντων τὰ γεγραμμένα ὡς εὐσεβῶς ὀρθοτομηθέντα, καὶ περιχαρῶς ἐν αὐτῷ ὑπογράψαι καταθεμένων, ὁ σύλλογος διελέλυτο. καὶ οἱ μὲν ἀπῄεσαν ἀγαλλόμενοι ὡς τῇ οἰκείᾳ ἐνστάσει τὸν βασιλέα νενικηκότες· ὁ δὲ ἔχαιρεν ὡς τῇ ἑαυτοῦ καθυποκλίνας τούτους βουλῇ, καὶ σχὼν διὰ βραχυλογίας οὗπερ διὰ τοῦ πολυστίχου πρότερον τόμου οὐδαμῶς ἐφίκετο. κατὰ δὲ τὴν μετ' ἐκείνην ἡμέραν εἰς τὴν πατριαρχικὴν ἑστίαν ἡ σύνοδος ἀθροισθεῖσα, ὅπως κατὰ τὰ συμφωνηθέντα δράσωσιν (ἅμα γὰρ ἕῳ παρῆσαν οἱ ἐκ βασιλέως αὐτοὺς εἰς V. 116 ἕνα ἀθροισμὸν συναγείροντες), οἱ δ' οὐκέτ' ἦσαν οἱ αὐτοί, ἀλλ' ἀνένευον πάντες πάλιν καὶ ἀπεπήδων ὡς τῇ ὑπηγορευμένῃ γραφῇ ἔτι ἐγκειμένων ἐπιληψίμων ῥημάτων τινῶν, καὶ C

8. παρ. οἷσπερ ἐφθέγξατο A. 16. νικήσαντες A. 20. κατὰ συμφωνοῦντα A. 23. ὑπαγορευθείσῃ γραφῇ καὶ ἔτι A.

sentiret, se iustas poenas de eo sumpturum, qui contumeliosa verba in unctum domini effutiret; aut, si condemnatus esset quasi alium quam Christiani deum coleret, veritatem velle discere, et gratiam ei non parvam habiturum, qui sibi errorem extorsisset et veritatem explicasset. paulo post patriarcha in eius conspectum venit, et quae res postulabat locutus, effecit ut iracundia placata veniam habitae orationis et defendendi sui potestatem Thessalonicensi daret, cum hac tamen castigatione, oportere eum, ut virum sapientem, ab obscoenitate verborum sibi temperare, nec effutire temere quae nihil ad rem pertinerent. postea cum scriptum de eo dogmate publice recitaretur, et ab omnibus ut pie explicatum laudaretur, se libenter subscripturos pollicentibus, consilium est dimissum. ac illi abibant laeti, quod adversatione sua imperatorem vicissent: is vero gaudebat, quod eos ad suam voluntatem flexisset, ac paucis verbis id consecutus esset quod antea verboso scripto impetrare non potuisset. postridie concilium prima luce iussu imperatoris in patriarchae aedi-

ἤθελον καὶ ταῦτα ὀβελισθῆναι καὶ ἕτερα ἐντεθῆναι τῷ ὀρθῷ κατὰ μηδέν τι προσιστάμενα δόγματι. ἣν οὖν αὖθις παροξυνόμενος ὁ κρατῶν καὶ ὡς ἀνοηταίνουσι καθαρῶς ἐπεγκαλῶν τὸ τῆς γνώμης ἄστατον καὶ ἀγχίστροφον. ὀψὲ δὲ καὶ μόλις συνῆλθοσαν, ἵνα τὸ μὲν ἀνάθεμα τῷ θεῷ τοῦ Μωάμετ τῶν κατηχητικῶν βιβλίων ἀπαλειφθῇ, ἐγγραφῇ δὲ ἀνάθεμα τῷ Μωάμετ καὶ πάσῃ τῇ αὐτοῦ διδαχῇ καὶ διαδοχῇ. καὶ τοῦτο δογματίσαντες καὶ κυρώσαντες τῶν πολλῶν ἐκείνων συνόδων καὶ συλλόγων ἔληξαν.

7. Ἀλλὰ γὰρ οὐχ ὑπερβήσομαί τι καὶ ἄλλο τῶν ἀξίων εἰρῆσθαι, τοῦ ἱστορεῖν ἐνταῦθα γενόμενος. ἦν τις εὐνοῦχος ἀρχιερατικῶς προεδρεύων τῆς τῶν Χωνῶν πόλεως, Νικήτας D τοὔνομα, πάσης ἀρετῆς καταγώγιον, οὕτω δὴ προφητικὸς καὶ προβλέπων τὰ ἔμπροσθεν ὡς τοῖς μεγίστοις τῶν ὁρώντων ἐγκρίνεσθαι καὶ εἰς θαῦμα κεῖσθαι παρ' οἷς ὁ ἀνὴρ ἐγνώριστο, εἴπερ ἡ καθ' ἡμᾶς γενεὰ πονηρὰ οὖσα καὶ μοιχαλὶς τοιοῦτον ηὐτύχησεν ἀγαθόν. ἀμέλει καὶ τοῦ βασιλέως τούτου ἐξ Ἀρμενίας παριόντος τὰς Χώνας ἀρτιστεφοῦς καὶ τῆς πατρῴας διαδόχου ἀρχῆς, καὶ τὸν ἀρχαγγελικὸν νεὼν εἰσελθόντος καὶ χειρὶ τοῦ ἀρχιερέως τούτου εὐλογηθέντος, ἐπειδὴ καὶ περιώνυμος ἦν ἐκ τῆς ἀρετῆς καὶ τοῖς ἅπασι διὰ στόματος, ἦσαν οἱ τῶν ἐντρόφων τοῦ βήματος, καὶ τούτων οἱ ἐς

6. κατηχητηρίων A. 7. καὶ διαδοχῇ om A. 10. ἄλλο] ἕτερον A. 18. παριόντος] ἄρτι π. τ. χ. νεοστεφοῦς A. 22 βήματος] ῥήματος A.

bus convenit, ut facerent quemadmodum promiserant. verum illi omnes sententia mutata subscriptionem recusabant, quod in illo scripto adhuc verba quaedam reprehendenda laterent, quibus erasis alia reponenda essent, quae cum vera sententia congruerent. rursus igitur commotus imperator eorum vaecordiam inconstantiam et levitatem aperte insectatus est. sed illi tandem aegre assenserunt, ut anathema a deo Machometi in ipsum Machometum et omnem eius doctrinam et sectam in catecheticis libellis transferretur. quo post multos congressus decreto et confirmato tandem quieverunt.

7. Adiiciam etiam aliud memoratu dignum, postquam huc progressus sum. fuit eunuchus Nicetas, Chonarum episcopus, omni genere virtutis ornatus, futurarum rerum ita praescius ut inter maximos vates haberetur et omnibus qui eum norant admirationi esset, quod nostrae aetati improbae atque adulterae tantum bonum contigisset. cum autem hic imperator recens diademate redimitus, paterni imperii successor, ex Armenia revertens Chonis Archangeli aedem

νοῦν βάπτοντες, ἐν ἀπόρῳ ἐτίθεντο εἰ νέος ὢν ὁ Μανουὴλ P. 142 καὶ ἄρτι πρώτως χνοάζων τὸν ἴουλον διακυβερνήσειν ὅλως τὴν βασιλείαν δυνήσεται, ἥτις τὸ πολὺ δεῖται ἀνδρὸς πολιοῦ μὲν τὸ φρονεῖν λαχνήεντος δὲ τὸν πώγωνα, ἔτι γε μήν. εἰ τὸν κασίγνητον καταπαλαίσειεν Ἰσαάκιον δικαιότερον ὄντα πρὸς τὴν ἀρχὴν καὶ τῆς βασιλίδος τῶν πόλεων ἔνδον ἱζάνοντα. ὁ δὲ μέγας ἐκεῖνος ἀνὴρ καὶ ὄντως ἄνθρωπος τοῦ θεοῦ, λύων τὸ ἄπορον καὶ διασαφῶν τὸ παρ' ἐκείνοις ἀμφιγνοούμενον, „ναί" φησι, „καὶ τὴν βασιλείαν ὁ μεῖραξ οὗτος διιθυνεῖ, καὶ αὐτῷ ὑποπεσεῖται ὁ ἀδελφός· οὕτω γὰρ θεῷ δέδοκται καὶ προώρισται. ἵνα δὲ εἰδῆτε καὶ περὶ ὧν οὐδ' ὅλως με ἤρεσθε, τὸν οἰκεῖον πάππον, λέγω δὴ τὸν αὐτοκράτορα Ῥωμαίων καὶ προπάτορα ἐκείνῳ Ἀλέξιον, ὑπερβήσεται οὗτος βραχύ τι κατὰ τοὺς τῆς ζωῆς χρόνους. τῆς δὲ τελευτῆς αὐτῷ B ἐγγιζούσης μανήσεται." ἦν οὖν ἡ πρόρρησις αὕτη καὶ ἐμοὶ τῷ συγγραφεῖ Νικήτᾳ σὺν ἄλλοις πλείστοις γνώριμος, ὅτι καὶ ἐμὸς ὁ προφάντωρ ἀνάδοχος ἐκ τοῦ θείου βαπτίσματος. τίς δὲ ἄρα ἔσται ἡ μανία καὶ οἷος ὁ τρόπος αὐτῆς, οὐδεὶς εἶχεν ἀκριβῶς συμβαλέσθαι τῶν εἰδότων τὸ προαγόρευμα· οἱ μὲν γὰρ ἐς τὸ χρυσομανὲς ἀνέφερον τὸ προφοίβασμα, οἱ δ' ἐς ἄλλο τι σαρκικὸν ἐλάττωμα ᾐχμαλώτιζον. τοῦ δὲ προσεχῶς εἰρημένου δόγματος κινηθέντος, καὶ παραβόλως ἐνισταμένου τὰ πρῶτα τοῦ βασιλέως ἀληθῆ δοξάζειν θεὸν

2. ἄρτι] νῦν A. 17. ἐμὸς] ἐξ ἐκείνου τὸ θεῖον βάπτισμα ἔλαβον B. 23. δοξάζεσθαι A.

ingressus faustam comprecationem ab hoc pontifice accepisset ut ob virtutem ubique gentium celeberrimo, quidam sacerdotes, iique prudentissimi, dubitabant an Manuel adhuc adolescens ac pene imberbis tantum imperium administrare posset, quod virum senili prudentia praeditum et maturum postularet. deinde an fratrem Isaacium, qui urbem imperatricem obtineret, superaturus esset, cui meliore iure imperium deberetur. tum magnus ille vir et vere divinus homo in hunc modum respondit: „omnino adolescens iste et imperium gubernabit et fratrem superabit: sic enim a deo decretum et constitutum est. ut autem ea quoque sciatis de quibus non interrogastis, avum Alexium aetate paulum superabit: sed instante obitu insaniet." id praesagium et mihi et aliis plurimis fuit notum: is enim vates ex divino baptismate me suscepit. quae autem ea insania et cuiusmodi futura esset, nemo tum recte coniicere potuit: nam alii id praesagium ad insanam auri cupiditatem, alii ad libidinis intemperantiam detorquebant. sed cum haec, quam dixi, controversia agitata esset, imperatore temere principio contendente holosphyrum illum Machometi

καθ' ὑγρῶν τυπουμένας καὶ τὴν προθεσμίαν ἀνυπεξάλυκτον ἐφεστῶσαν ὀλίγα περὶ τοῦ παιδὸς Ἀλεξίου τοῖς περιεστῶσι διείλεκται, κεράσας οἰμωγαῖς τὰ ῥήματα ἐκ τοῦ προορᾶν οἷον τὰ μετὰ τὴν ἐκείνου συμβησόμενα ἔξοδον. ἀλλὰ C καὶ περὶ τῆς ἀστρονομίας ὑποθήκῃ τοῦ πατριάρχου βραχύν τινα χάρτην ὑπεσημήνατο, πρὸς τὴν ἐναντίαν δόξαν μεθαρμοσθείς. τέλος δὲ καὶ αὐτὸς τῇ ἀρτηρίᾳ προσάγων τὴν χεῖρα καὶ τὰς κινήσεις τοῦ σφυγμοῦ γνωματεύων, βύθιόν τι στενάξας καὶ πλήξας τῇ χειρὶ τὸν μηρὸν τὸ μοναδικὸν σχῆμα ᾔτησε. θορύβου δέ, ὡς εἰκός, ἐπὶ τῷ ῥήματι τούτῳ ἀρθέντος, καὶ τῆς πνευματικωτέρας ἀμφιάσεως ἐχούσης τὸ ἀπαράσκευον, τριβωνίου μέλανος οἱ περὶ τὸν βασιλέα ὅθενοῦν εὐπορήσαντες περιδύουσι μὲν αὐτὸν τὰ μαλακὰ καὶ ἀρχικὰ ἄμφια, ἐπενδύουσι δὲ τὸ τραχὺ τῆς κατὰ θεὸν πολιτείας ἔνδυμα, εἰς ὁπλίτην μετημειφότες πνευματικὸν κράνει τε θειοτέρῳ καὶ θώρακι σεμνοτέρῳ, τῷ οὐρανίῳ στρατολογήσαντες D ἡγεμόνι. τὸ δὲ ῥάκος μὴ ποδῆρες ὂν μήτε μὴν δι' ὅλου τοῦ ἡρωϊκοῦ ἐκείνου καταβαῖνον σώματος εἴα τὰς κνήμας ἀκαλυφεῖς, ὡς μηδένα τῶν ὁρώντων εἶναι ἀδάκρυτον, ἐν νῷ βαλλόμενον τὴν ἀνθρωπίνην ἀσθένειαν καὶ τὴν ἐν τῷ τελευτᾶν τὸν βίον τοῦ σώματος ἀχρειότητα, ὅπερ ἡμῖν ὡς ὄστρεον περιπλάττεται καὶ συμφύεται τῇ ψυχῇ. τοῦ βίου γοῦν οὕτω καὶ τῆς βασιλείας μεθίσταται, τριάκοντα καὶ ὀκτὼ χρόνους

9. τὸν μηρὸν] τὸ αὐτοῦ γόνατον B. 11. καὶ τῆς] καὶ ῥάσα γυρεύοντες B. 21. τὸν βίον om A. 22. περιπλάττεται] περιπλέκεται A.

concuterentur, acuebant. sed morbo, ut dixi, ingravescente, balneo usus cognovit spem vitae evanescere et terminum instare inevitabilem; ac pauca cum astantibus de Alexio filio locutus, oratione suspiriis interpolata, quia praevidebat quae post suum obitum tempestates impenderent, patriarchae monitu brevi chartae de astrologia subscripsit, mutata pristina sententia. denique admota ad arteriam manu et pulsu pertentato, cum alto suspirio femur percussit, et monasticum habitum postulavit. quo dicto cum, ut fieri solet, tumultus esset ortus, et spiritualem vestem nigro panno, omnis ornatus expertem, ministri nescio ubi nacti, mollibus et regiis vestibus detractis, et aspero illo divinae vitae indumento illi inducto, in spiritualem eum convertunt militem, et galea thoraceque insigniore ornatum in caelestis imperatoris catalogum referunt. ea lacerna, quippe brevior, crura heroici illius corporis non tegebat, ut nemo qui id cernebat a lacrimis sibi temperaret, humanae imbecillitatis cogitatione et vilitate corporis in morte, quo animus tanquam testae

γεγονὼς ἐν τῇ βασιλείᾳ, λειπόντων μηνῶν τριῶν. πρὸς ἣν οἶμαι παράτασιν τῆς ἀρχῆς καὶ τὸ παλαίτατον ἐκεῖνο λόγιον ἀφορᾶν, ὃ διέξεισιν οὑτωσί, „ἀλλ' ὑστάτη σε κερδανεῖ λαβὴ V. 118 λόγου·" ἡ γὰρ τελευταία τοῦ ὀνόματος συλλαβὴ τὸν ὀκτὼ καὶ τριάκοντα διασημαίνεται ἀριθμόν. τέθαπται οὖν παρὰ πλάγιον πλευρὰν τῷ τὸν νεὼν εἰσιόντι τῆς τοῦ Παντοκράτορος μονῆς, οὐκ ἐν αὐτῷ τῷ τεμένει ἀλλ' ἐν τῷ περὶ τοῦτον ἡρῴῳ. τοῦ δὲ τοίχου τοῦ νεὼ εἰς ἀψῖδα περιαχθέντος ἡ περὶ τὴν σορὸν εὐρεῖα διαστέλλεται εἴσοδος. συνέχει δὲ τοῦ- P. 144 τον λίθος τὴν μελανίαν ὑποκρινόμενος καὶ διὰ τοῦτο στυγνάζοντι ἐοικώς, ὃς καὶ εἰς ἑπτὰ διέσχισται λοφιάς. παράκειται δέ οἱ ἐπὶ κρηπῖδος καὶ προσκύνησιν δέχεται λίθος ἐρυθρὸς ἀνδρομήκης, ὃν εἶχε πρότερον μὲν ὁ κατ' Ἔφεσον τὴν πόλιν ναός, ἐκεῖνον εἶναι διαθρυλούμενον ἐφ' οὗ Χριστὸς μετὰ τὴν ἀπὸ σταυροῦ καθαίρεσιν νεκροταφίοις εἱληθεὶς ἐσμυρνίσθη. ὁ δὲ βασιλεὺς οὗτος διακομίσας ἐκεῖθεν, καί οἱ τὸν νῶτον ὑποστρώσας ὡς ὁμόθεον σῶμα καὶ γεγονὸς ὅπερ τὸ χρῖσαν βαστάσαντι, ἐκ τοῦ κατὰ τὸν Βουκολέοντα λιμένος εἰς τὸν ἐν τῷ φάρῳ τοῦ μεγάλου παλατίου νεὼν τοῦτον ἀνήγαγε. μετ' οὐ πολλὴν μέντοι ἐν ὑστέρῳ χρόνου περίοδον τοῦ βασιλέως τὸν βίον ἀπολιπόντος καὶ ὁ λίθος οὗτος ἐξήρθη τῶν

5. τέθαπται] ἐτάφη εἰς τὸ πλάγιον μέρος τοῦ ναοῦ τοῦ παντοκράτορος, ἐν αὐτῷ τῷ ναῷ, τοῦ τείχους εἰς ἀψῖδα γενομένου διὰ πλατείας εἰσόδου ἀπὸ τοῦ ναοῦ B. 6. τῷ τὸν νεὼν εἰσιόντι om A. 13. τὴν πόλιν om A. 16. μετακομίσας A. βαστάσας αὐτὸν ἐπὶ τῶν ὤμων αὐτοῦ ἀπὸ τοῦ λιμένος μέχρι καὶ τοῦ παλατίου, θήσας αὐτὸν ἐν τῷ ναῷ τῆς ἐκκλησίας. B. 20. πολὺν vulgo. χρόνῳ A.

inclusus coalescit. sic igitur et vita et imperio cedit, quod annos triginta octo gubernavit, tribus mensibus demptis. ad quod imperii spatium vetustissimum illud oraculum alludere videtur, „tui prehendet te postrema nominis." nam ηλ, postrema syllaba nominis Manuelis, apud Graecos tantum numerum complectitur. sepultus est in obliquo latere monasterii Pantocratoris, iuxta templi fores, in sacello adiuncto, qua templi muro in fornicem circumflexo latus circa tumulum ingressus distinguitur. lapis eum tegit nigricans et moestum aliquid prae se ferens, qui in septem vertices assurgit. non procul inde basi impositus adoratur lapis purpureus, viri magnitudine, qui ante fuit Ephesi; et is esse dicitur, in quo Christus de cruce sublatus et fasciis involutus conditus fuerit. eum lapidem imperator inde advectum humeris suis, quippe qui divinum corpus ipsumque Christum gestasset, a portu Bucoleontis usque ad aedem

ἀνακτόρων, καὶ μετενήνεκται ἔνθα δὴ ἀρτίως ἐμνήσθην, κεκράξων, οἶμαι, καὶ διατρανωσόμενος ὁπόσα ὁ τῇ σορῷ σιωπῶν εἰργάσατό πως καὶ ἠγωνίσατο.

quae in turri palatii est pertulit. sed non multo post imperatoris obitum saxum illud e palatio ad sepulcrum illius est translatum, ut clara voce defuncti res gestas et certamina proclamet.

ΒΑΣΙΛΕΙΑ

ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ

ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ.

---

1. Καὶ οὕτω 'μὲν ὁ βασιλεὺς Μανουὴλ ὁ Κομνηνὸς P. 146
καταλύει τὸν βίον, βασιλεύει δὲ μετ' αὐτὸν ὁ ἐκείνου παῖς V. 115
'Αλέξιος, οὔπω καθαρῶς τῆς ἥβης ἁψάμενος, ἀλλ' ἔτι παιδοκόμων καὶ τιθευτρίας δεόμενος. πλημμελῶς τοίνυν καὶ V. 120
ἀχρείως τὰ Ῥωμαίων ἐφέρετο πράγματα, καὶ χειρόνως ἢ ὅτε ὁ Φαέθων τὴν ἐν ἄστροις οὐρανοῦ τέμνειν ὁδὸν ἐπεβάλλετο, τοῦ πατρικοῦ καὶ χρυσοκολλήτου ἐπιβὰς ἅρματος. αὐτὸς μὲν γὰρ ὁ κρατῶν διὰ τὸ τῆς ἡλικίας ἀτελὲς καὶ τοῦ τὰ συνοί-

2. ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ om B. 3. post ΜΑΝΟΥΗΛ B τοῦ κομνηνοῦ. 4. μὲν ὁ κομνηνὸς μανουὴλ καταλ. A. 6. τῆς ἥβης] τοῦ δωδεκάτου χρόνου B. παιδ. καὶ τιθ.] βαϊούλου καὶ βυζαστρίας B.

IMPERIUM

ALEXII COMNENI

PORPHYROGENITI

MANUELIS FILII.

---

1. Manuele Comneno ad hunc modum defuncto, filius Alexius fere impubis adhuc et puer, qui paedagogi et nutricis opera non satis commode carebat, successit. itaque Romana res publica perperam administrabatur, et peius se habebat quam cum Phaethon paternum currum per caelum regere conatus est. nam imperator ob immaturam aetatem et inopiam consilii nullam officii rationem ha-

σοντα φρονεῖν ἐνδεὲς οὐδενὸς ἦν τῶν καθηκόντων ἐπιστρεφόμενος, κούφοις δὲ μόνον τρεφόμενος πνεύμασι καὶ τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μήπω μεμαθηκὼς ἀκριβῶς κυνηγεσίοις B προσανεῖχε καὶ ἱππηλασίοις προσέκειτο, παιδαρίοις συμπαίγμοσι συγγινόμενος καὶ τὸ ἦθος ἐν τοῖς χειρίστοις τυπούμενος. οἱ δέ γε πατρῷοι τούτῳ ἑταῖροι καὶ οἱ καθ' αἷμα δή που προσήκοντες, ἑτέροις τὸν νοῦν προσέχοντες, τῆς τούτου καλλίστης κατημέλουν ἀγωγῆς καὶ τροφῆς καὶ τὰ κοινὰ φθειρόμενα παρεβλέποντο. οἱ μὲν γὰρ τῆς βασιλίδος ἤρων καὶ ἐπείρων μάλα λαμπρῶς, ἐπαφροδίτως βοστρυχιζόμενοι, καὶ τὸν ταύτης ἀντέρωτα θηρώμενοι ἐμυροῦντο νηπιωδῶς καὶ ἐμιτροῦντο γυναικωδῶς περιδεῤῥαίοις λιθοκόλλοις, καὶ ὅλοις ὀφθαλμοῖς εἰς αὐτὴν ἐνητένιζον· οἱ δὲ χρηματιστικοὶ ὄντες καὶ δημοβόροι C παρενοσφίζοντο τὰ δημόσια, ταῖς τε ἐφευρημέναις δαπάναις ἀφειδέστερον χρώμενοι καὶ νέας προσεφευρίσκοντες, ἵν' ἔχοιεν οὕτω τὸ χθὲς κενὸν καὶ σύσπαστον βαλάντιον πλῆρες καὶ διῳδηκὸς σήμερον· οἱ δὲ τοῦ βασιλεύειν ἔχοντες ἔφεσιν πρὸς τοῦτο τὸν οἰκεῖον σκοπὸν συνέτεινον ἅπαντα. ὡς γάρ τινος παιδαγωγοῦ γενναίου καὶ ἐμβριθοῦς ἐκποδὼν γενομένου ἀταξίας τὸ πᾶν ἐπεπλήρωτο, ἑκάστου τὸ οἰκεῖον μεταδιώκοντος ἐφετὸν καὶ ἀλλήλοις ἁπάντων ἀντιπραττόντων, ἢ κίονος ὑποσπασθέντος ἑδραίου καὶ ἀστραβοῦς πρὸς ἐναντίαν φορὰν ἀπονενεύκεισαν ἅπαντα. τῆς δὲ ἰσοτιμίας ἀτιμασθείσης παρὰ τοῖς τότε τὰ μέγιστα δυναμένοις καὶ κατὰ γένος συναπτομέ-

2. δὲ μόνον om A. 6. δή που] τούτῳ A. 9. τῆς βασιλίδος] ἐπεθύμουν βασιλεῦσαι B. 12. λιθοκόλλοις] χρυσοκολλήτοις A. 13. αὐτὴν] ἐκείνην A. 23. τῆς δὲ] καὶ τοίνυν A.

bebat, inani superbia elatus, et vix satis gnarus quae res tristes aut iucundae essent, venationi et equitationi incumbebat; puerorum cum quibus colluderet, familiaritate utebatur, vita pessime instituta. paterni vero eius cognati et amici, aliis rebus intenti, illius educationem aliis rebus omnibus antevertendam negligebant, nec interitum rei publicae curabant. nam alii imperatricis amore flagrabant et eius pudicitiam haud dissimulanter tentabant; calamistris, unguentis puerilibus, mitris muliebribus, aureis torquibus ornati, defixos in illam oculos habebant et mutuum illius amorem captabant. alii, homines avari et rapaces, cum luxuriosissime viverent, fiscum depeculabantur, ut crumenam immodicis sumptibus exhaustam pecunia resarcirent. alii ad imperii cupiditatem omnia referebant. denique tanquam strenuo et gravi paedagogo sublato, confusa erant omnia, dum suum quisque negotium agit et alteri adversatur; aut velut columna firma revulsa, in partem contrariam omnia inclinabant. proinde cum

τοις τῷ βασιλεῖ, αἵ τε ὑπὲρ τῶν κοινῶν φροντίδες ἐξέλιπον καὶ αἱ συνδρομαὶ καὶ σύνοδοι ἠφανιώθησαν. καὶ τοῦ πρωτοσεβαστοῦ δὲ καὶ πρωτοβεστιαρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ὃς P 147
ἀνεψιὸς ἦν πρὸς πατρὸς τῷ βασιλεῖ Μανουήλ, τὴν τοῦ παιδὸς καὶ βασιλέως μητέρα ὑποποιησαμένου καὶ θαμὰ αὐτῇ ὁμιλοῦντος καὶ ὑπὲρ πάντα ἰσχύοντος ἕτερον, οἱ τοῦ αὐτοῦ μεταλαχόντες αἵματος καὶ ἰσοκρατεῖς εἶναι παρὰ τοῦ βασιλέως Μανουὴλ ἐαθέντες καὶ ἀξιώμασι μεγίστοις ἐμπρέποντες ἔστιν ᾗ ἀπεπνίγοντο τοῖς γινομένοις, ἔστι δ' ᾗ καὶ τυραννίδα φυομένην ὁρῶντες τὸν πρωτοσεβαστὸν ὑπεβλέποντο, οὐ τοσοῦτον μὴ ὁ βασιλεύων Ἀλέξιος ἀηδές τι πάθοι περὶ πλείστου ἔχοντες, ὅσον μὴ αὐτοὶ συλληφθεῖεν ὑφορώμενοι. καὶ διὰ ταῦτα καραδοκοῦντες τὸ μέλλον, τὸ καθ' αὐτοὺς ἀσφαλὲς τοῦ πέλας προυτίθεσαν. ἤδη γὰρ ἡ φήμη λάλος ἦν καὶ διαρρήδην κραυγάζουσα ὡς Ἀλέξιος B
τῇ μητρὶ τοῦ βασιλέως σύμφυτος μικροῦ καὶ σύμπνους γενόμενος μέτεισι τοὺς πολλοὺς φιλίᾳ καὶ χρήμασι, καὶ καθελεῖν μὲν αὐτὸν τῆς βασιλείας ἐν νῷ τίθεται, ἑαυτὸν δ' ἐπιβήτορα ταύτης, ὥσπερ δὴ καὶ τῆς τεκούσης, γενήσεσθαι σκέπτεται. καὶ οὕτω μὲν τὰ κατὰ τὴν βασίλειον αὐλὴν πάσης ὄντα συγχύσεως καὶ παντοίου χειμῶνος ἔμπλεα, καὶ τὸ τοῦ μυθικοῦ δράκοντος πράγμασιν αὐτοῖς ὁρώμενον ἦν, ὃς κακῶς διετίθετο κωφῷ καὶ τυφλῷ μέρει τῷ οὐραίῳ διεξαγόμενος. ἢ τὸ τέρας πέρας ἐλάμβανεν, ὃ τὸν βίον τελευτῶντος ἐπεφάνη τοῦ

4. τὴν τοῦ παιδὸς] ὡς ἐλέγετο, ἐπλησίαζε τῇ μητρὶ τοῦ βασιλέως καὶ παιδός B. 8. ᾗ] οἷ A. 15. μικροῦ om A. 19. βασιλείαν αὐλὴν A.

potentissimi quique, et cognati imperatoris, aequalitatem spernerent, rei publicae cura defecit, congressus et concilia deserta sunt. cum autem protosebastus et protovestiarius Alexius Comnenus, Manuelis patruelis, pueri imperatoris matrem sibi conciliasset, et crebro eius consuetudine uteretur, caeterosque omnes auctoritate vinceret, ii qui eadem orti erant familia et Manuele imperante parem potestatem obtinuerant, maximis dignitatibus praediti, molestissime illa ferebant. quidam etiam cum tyrannidem suboriri cernerent, protosebastum suspectum habebant, non tam de imperatoris Alexii salute solliciti, quam ne ipsi comprehenderentur metuentes. quapropter expectatione rerum futurarum suspensi, modo ipsi tuti essent, caeteros minus curabant. fama enim, ut loquax est, iam vociferabatur Alexium imperatrici adhaerere cum eaque conspirasse, multos sibi officiis et largitionibus conciliare, et imperatore eiecto regnum affectare et matris eius nuptias ambire. atque ita sese res imperii habebant, confusionis et turbarum plenae, non aliter quam in fabulis de serpente illo traditur, qui cauda surda et caeca non sine multis

αὐτοκράτορος Μανουήλ· γυνὴ γάρ τις κατὰ τὴν Προποντί-
C δα λαχοῦσα τὴν οἴκησιν παιδίον ἀπέτεκεν ἄρρεν, τὸν μὲν λοιπὸν ἄνθρωπον ἐξησθενημένον καὶ λίαν βραχυμερέστατον, τὴν δέ γε κεφαλὴν χρῆμά τι ἐπὶ τῶν ὤμων ἀνέχον μέγα τι καὶ ἐξαίσιον, ὃ καὶ συλλελόγιστο πολυαρχίας εἶναι σημαντικόν, ἥτις μήτηρ ἀναρχίας ἐστίν.

V. 121 2. Ὁ δὲ Κομνηνὸς Ἀνδρόνικος ὁ τοῦ βασιλέως ἐξάδελφος Μανουήλ, περὶ οὗ τὸ λέγειν ἐν τῇ κατὰ τὸν βασιλέα τοῦτον ἱστορίᾳ κατέρρευσεν ἱκανώτατα, διατρίβων τηνικαῦτα κατὰ τὸ Οἴναιον, ἐπεὶ πύθοιτο τὸν τοῦ Μανουὴλ θάνατον καὶ διαστασιάζειν ἔγνωκε τὰ βασίλεια, τὸν παλαιὸν τῆς τυραννίδος ἀνασκάλλει ἔρωτα. ἀλλὰ μήπω περὶ τούτων, καθ' εἱρμὸν δὲ προϊὸν τὸ λέγειν ἐκεῖθεν τῆς ἱστορίας τῶν κατὰ τὸν
D ἄνδρα τοῦτον ἐχέσθω, ὁπόθεν ἄρχεσθαι ἄμεινον συναφείας ἕνεκα καὶ τοῦ μὴ παραλιπεῖν τι τῶν ῥηθῆναι ἀξίων. ὁ Ἀνδρόνικος τοίνυν οὗτος τὰς λαβὰς ἐκφεύγων τοῦ Μανουὴλ ἀειφυγίαν εἵλετο, καὶ πόλεις ἀμείψας συχνὰς καὶ πλεῖστα ἐθνῶν ἄστεα κατιδὼν τέλος, ὡς εἰπόντες ἔχομεν, καταλύει παρὰ τῷ Σαλτούχῳ· τοπάρχης δ' ἦν οὗτος εἰς ἀρχὴν ἔχων ἐξαιρεθεῖσαν τὴν τῇ Χαλδίᾳ προσεγγίζουσαν χώραν, Ῥωμαίοις μὲν πάλαι ὑπόφορον, τότε δὲ τοῖς Τούρκοις καὶ τοῖς τούτων ὑπείκουσαν ἔθεσι. καὶ παρειληφώς τι φρούριον αὐτοῦ ἑκόντος, καὶ τῇ φυσικῇ τούτου ἐρυμνότητι τὴν ἀπὸ τῆς

2. ἔτεκεν A. τὸν μὲν λοιπὸν] τὸ μὲν ὅλον σῶμα καὶ λίαν μικρὸν ὄν, τὴν δὲ κεφαλὴν μεγάλην τοσοῦτον ὡς παρὰ πάντων θαυμάζεσθαι B. 9. ἔρρευσεν ἱστορία A. 10. ἐπεὶ] ἐπειδὴ π. τὸν τοῦ βασιλέως θ. A. 14. ἄρχεσθαι] ἔχεσθαι A.

offensionibus progrediebatur. is rerum status monstro illo sub Manuelis obitum edito praesignificatus fuit. nam mulier quaedam in Propontide habitans puerum peperit, caetera perexilem et imbecillem, sed capite ingenti. id principatus multorum, quem omnis imperii et disciplinae contemptus sequitur, omen habitum.

2. At Comnenus Andronicus imperatoris Manuelis patruelis, de quo in illius historia copiose scripsimus, cum imperatoris mortem et aulae dissidia Oenaei audivisset, veterem tyrannidis amorem renovat. sed haec suo loco commodius referentur: nunc vero, ne ordo historiae interrumpatur neque quicquam memoratu dignum praetermittatur, paulo altius exordiamur. hic Andronicus, ut Manuelis casses evitaret, cum perpetuum sibi ipsi exilium indixisset, multis urbibus, multis provinciis peragratis, tandem ad Saltuchum, ut diximus, divertit. toparcha is erat, cui regio Chaldaeae vicina in portionem cesserat, olim Romanis tributaria, tum autem Turcicae ditio-

τέχνης προσθείς, ἐκεῖσε προσέμενε, συμπλανῆτιν ἔχων ἑαυτῷ καὶ συνέκδημον τὴν Κομνηνὴν Θεοδώραν, ἥτις ἀθεμίτως αὐτῷ συνηυνάζετο θυγάτηρ Ἰσαακίου οὖσα τοῦ σεβαστοκράτορος· ἐξ ἀδελφῶν δ' ἔφυσαν ἄμφω, Ἰσαάκιος καὶ Ἀνδρόνικος. P. 148 ὁ τοίνυν αὐτοκράτωρ Μανουὴλ συνειληφέναι οὐκ ἔχων Ἀνδρόνικον, ἀλλ' ὅσα καὶ Ἰξίων Ἥρας τούτου ἀποπλαζόμενος, ὡς γοῦν νεφέλην τὴν ἀνεψιὰν Θεοδώραν περισχεῖν διὰ φροντίδος ἐτίθετο, καὶ τοῦ κατὰ σκοπὸν ἐπιτυχὴς γεγονὼς διὰ τοῦ τότε τὴν ἀρχὴν τῆς Τραπεζοῦντος ἀνεζωσμένου Νικηφόρου τοῦ Παλαιολόγου, μετὰ βραχὺ καὶ αὐτὸν ἐπισπᾶται Ἀνδρόνικον, ὅσα καὶ δελητίῳ τῇ Θεοδώρᾳ κατασπώμενον καὶ τῷ ταύτης ἀγκιστρευόμενον ἔρωτι, οὐ μικρῶς καὶ τῷ τῶν παίδων πυρὶ δαπανώμενον οὓς ἀπέτεκεν αὐτῷ Θεοδώρα. στείλας τοίνυν πρέσβεις εἰς βασιλέα αἰτεῖται ὧν πεπαρῴνηκεν ἀμνηστίαν, πρὸς δὲ καὶ ἀσφάλειαν ὡς οὐδέν τι πείσεται δυσμαλγὲς ἀφικόμενος. καὶ τοῦ βασιλέως πρὸς ἄμφω οὐκ ἀπατηλῶς B κατανεύσαντος μετά τινα καιρὸν προσχωρεῖ. πολυμήχανος δ' ὢν Ἀνδρόνικος καὶ παντοίοις δόλοις καζόμενος ἁλύσει σιδηρέᾳ πολυταλάντῳ διαλαμβάνει τὸν τράχηλον, καὶ ταύτην ἔνδον συσχὼν καὶ περιθάλψας τῷ ἱματίῳ ἐς τὰ τῶν ποδῶν ἔσχατα καταβαίνουσαν, ὡς εἴη βασιλεῖ τε ἀφώρατος καὶ τοῖς τὸ βῆμα τούτου πληροῦσιν ἀθέατος, λαβὼν τοῦ ὀφθῆναι τῷ αὐτοκράτορι καὶ θεάσασθαι τὸ ἐνδόσιμον, ἐπεὶ καθά-

4. ἐξαδέλφου πρώτου ὄντος τοῦ Ἀνδρονίκου B. 8. κατὰ τὸν σκ. ἐπ. φανεὶς A. 19. πολυταλάντῳ] βαρυταλάντω A.

nis et religionis; et castello illius voluntate occupato, atque ad naturalem loci situm artis munitione adiuncta, ibi se tenebat, Theodora Comnenia, Isaacii sebastocratoris filia, quam incesto amore prosequebatur, fugae comite: orti autem fratribus erant Isaacius et Andronicus. Manuel vero cum eum non magis comprehendere quam Iunonem Ixion posset, Theodoram, tanquam ille nubem, capere studuit; atque eius voti per Trapezuntis principem Nicephorum Palaeologum compos factus, paulo post ipsum etiam Andronicum, Theodorae amore tanquam esca illectum et non mediocri filiorum, quos illa ei pepererat, desiderio flagrantem, attraxit. missis enim ad imperatorem legatis delictorum veniam et fidem publicam postulavit; et utraque re impetrata, aliquanto post in urbem reversus, ut erat solers et callidus, gravi catena ferrea collo circumvoluta et sub veste ad pedes usque demissa, ne vel ab imperatore vel ab astantibus cerneretur, cum in eius conspectum venisset, humi porrectus quantus erat, prolata catena et lacrimis oppletus offensarum veniam magna contentione, supplici et miserabili gestu, flagitavit. imperator

παρ' ἐκείνῳ εἰς θέαν κατέστη, μέγας μεγαλωστὶ κατὰ τοῦ δαπέδου ἐκτείνεται προτείνας τὴν ἅλυσιν, καὶ δακρύοις τέγγων τοὺς ὀφθαλμοὺς ἐδεῖτο θερμότερον καὶ περιπαθῶς καθικέτευε συγγνώμην εὑρεῖν ἐφ' οἷς δή που παραλελύπηκεν. ὁ δὲ βα- C σιλεὺς ἐπὶ τοῖς δρωμένοις ἔκθαμβος γεγονὼς αὐτός τε πρὸς δάκρυα προήχθη καὶ τοὺς ἐξεγεροῦντας ἐπέταξεν. ὁ δὲ οὐκ ἀναστῆναι τῶν κάτω διισχυρίζετο, εἰ μὴ βασιλέως ἐπιτεταχότος αὐτόν τις τῶν παρεστηκότων διὰ τῆς ῥυμοτομίας ἑλκύσει τοῦ βήματος, λαβόμενος τῆς ἁλύσεως, καὶ προσουδίσει τῷ θρόνῳ τῷ βασιλείῳ. ἀμέλει καὶ γέγονεν ὡς ἐδεῖτο Ἀνδρόνικος. ὑπουργήκει δὲ πρὸς τοὔργον τοῦτο Ἰσαάκιος ὁ Ἄγγελος ὁ καθελὼν τῆς τυραννίδος Ἀνδρόνικον ὕστερον· καὶ θαυμάσας ἄν τις τὸ τελεσθὲν τηνικάδε καιροῦ οὐκ εἰς ἄλογον συγκυρίαν ἢ αὐτόματον ἀπολύσει τοῦτο περίπτωσιν. τῷ δ' οὖν τότε λαμπρότατα προσδεχθεὶς ὁ ἀνὴρ καὶ φιλοφροσύνης μεγαλοπρεποῦς ἀξιωθείς, ὡς ἔδει τηλικοῦτον ἄνδρα χρόνιον ἐπανήκον- D τα, πρὸς τὸ Οἴναιον ἀποστέλλεται, ἐκεῖσε τὰς διατριβὰς τελέσων καὶ τὴν μακρὰν ἀνακωχεύσων περιοδείαν καὶ τὸν πολυετῆ καταπαύσων πλάνον. ᾔδεσαν γὰρ ἀμφότεροι τὰ τῆς ἐν ταὐτῷ συνουσίας εἰς τὰς προτέρας ἐπαναλύσοντα συμφοράς· μηδὲ γὰρ ἂν ἠρεμήσειν ὅλως τὸν φθόνον καὶ οἷς ἔργον V. 122 τῷ φιλαιτίῳ τὴν παρὰ τοῖς κρατοῦσιν οἰκείωσιν ἄρνυσθαι καὶ ταῖς τῶν ἄλλων διαβολαῖς ἑαυτοὺς ἐπικρατύνειν καὶ εἰς μείζους προσεπαίρειν τιμάς.

3. Ἦν οὖν Ἀνδρόνικος Διός τε πόρρω καὶ κεραυνοῦ,

8. διὰ τῆς ῥ.] δήσῃ ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν B. ἐφελκύσει A. 10. βασιλικῷ A. 12. Ἀνδρ.] αὐτὸν A.

eo spectaculo stupefactus et ipse in lacrimas erupit, eumque levari iussit. ille vero se surrecturum esse negavit, nisi iussu imperatoris ab aliquo ex astantibus catena ad tribunal imperatorium attraheretur atque procumberet. factum est ut petiit Andronicus, Angelo Isaacio, a quo post et imperio et vita privatus est, ministro: admiratione digna res, quaeque non fortuito accidisse videri queat. tum autem splendidissime et magnificentissime susceptus et humanissime tractatus, ut decebat tantum virum ex diuturna peregrinatione reversum, Oenaeum ablegatur, ut ibi habitaret et ex longinquis erroribus se recrearet. ambo enim norant, si una degerent, fore ut veteres simultates recrudescerent. neque enim quieturam invidiam, neque otium acturos eos quibus studio est criminando principum captare benevolentiam, et alios calumniando suas opes firmare et ad altiorem dignitatis gradum ascendere.

3. Erat igitur Andronicus procul a Iove et a fulmine, in volun-

παρὰ τοσοῦτον οὐ τὸν πρώην ἕλκων πονηρὸν βίοτον παρ' ὅσον οὐ τῆς Ῥωμαίων ἐπλάζετο ὑπερόριος καὶ δωρεῶν ἐνεφορεῖτο βασιλικῶν. ἐκεῖσε τοίνυν ὢν τὸν τοῦ Μανουὴλ ἠνωτίσατο θάνατον καὶ τὰς ἐν τοῖς βασιλείοις νόσους ἠκρίβωκε, καὶ ὡς ὁ βασιλεὺς Ἀλέξιος ἱππασμοῖς διαχεῖται καὶ προστέτηκε παιδιαῖς ὁπόσαις φιληδοῦσιν οἱ παιδαριώδεις τὴν P. 149 φρόνησιν, τῶν δὲ παιδοκομούντων αὐτὸν εὐπατριδῶν οἱ μὲν κατὰ τὰς μελίσσας συχνὰ πρὸς τὰς ἐπαρχίας λύουσι τὸ πτερὸν καὶ ὡς μέλι τὰ χρήματα τιθαιβώσσουσιν, οἱ δὲ κατὰ τὰς αἶγας τοῦ τῆς βασιλείας ἐρῶσι θαλοῦ καὶ συνεχῶς ἐρωτιῶσι τουτονὶ δρέπεσθαι, ἔνιοι δὲ τὰς ὗς μιμούμενοι ἐκ τῶν ῥυπαρωτέρων προσόδων λιπαίνονται, πρὸς μὲν τὸ ἐπαινετὸν καὶ τῆς κοινῆς πατρίδος ὠφέλιμον οὐδ' ἀναθρεῖν ὅλως οὐδ' ἀνακύπτειν αἱρούμενοι, ταῖς δὲ μυσαραῖς ἐγκυλινδούμενοι πράξεσι καὶ συωδῶς πρὸς ἅπαν ἐγκυπτάζοντες χείριστον. αἰτίαν οὖν ἐφιλοκρίνει καὶ ἀνηρεύνα περιεργότερον, δι' ἧς εὐαφόρμως τῇ βασιλείᾳ ἐπίθοιτο· καὶ πολλοὺς λογισμοὺς ἀνελίξας καὶ πᾶσαν μηχανὴν μετελθὼν τέλος τὸ τοῦ ὅρκου βιβλίον ἔπεισιν ὃν τῷ Μανουὴλ καὶ τῷ υἱῷ ἐκείνου Ἀλεξίῳ εἶχεν B ὀμωμοκώς, καὶ μεθ' ἑτέρων εὑρὼν ῥημάτων καὶ ταῦτα ἐγκείμενα —. χρεὼν δὲ μὴ ὑπονοθεύειν ἑτέρᾳ φράσει τὰ ῥήματα, ἀλλ' ὡς ἐπὶ λέξεων εἶχον, οὑτωσὶ καὶ δηλοῦν. διεξῄεσαν δὲ ὧδε „καὶ εἴ τι δὲ ἴδω ἢ νοήσω ἢ ἀκοῇ παραλήψομαι εἰς ἀτιμίαν ὑμῶν καὶ λύμην τοῦ ὑμετέρου φερόμενον στέμματος,

5. ἱππασμοῖς] παιγνιδίοις καὶ ἐγχράσμασι μετὰ παιδίων ἀνοήτων παίζει B. 11. τὰς ὗς] τὰς μίγιας B. ῥυπαρωτέρων] λιπαρωτέρων A, παχυτέρων καὶ λιπαρωτέρων B. 20. εὑρηκὼς A.

tario exilio, sed aerumnis illis errorum liber, et imperatoria munificentia fruebatur. eo loco degens cum Manuelis obitum et palatina dissidia et Alexii equitationes et lusus, quibus puerilia ingenia capiuntur, audisset, curatores vero eius patricios partim ut apes crebro in provincias evolare et pro melle pecuniam congerere, partim, ut caprae frondes, ita imperium continenter appetere, partim porcorum imitatione sordidis proventibus pinguescere, laudis vero et rei publicae nullam prorsus rationem habere, sed in turpitudine et flagitiis omnibus volutari comperisset, speciosam invadendi regni causam quaeritat. ac post varias cogitationes et multiplices conatus iurisiurandi libellum, quod Manueli et filio eius Alexio dederat, legit. in quo cum verba non in alium sensum detorquenda essent, sed in sua nativa significatione accipienda, ille huic clausulae „si quid videro aut intellexero aut audivero, quod honori imperio et saluti

καὶ ὑμῖν τὴν περὶ τούτου διδοὺς ἐσοίμην εἴδησιν, καὶ αὐτὸς δέ, ὡς ἐξόν μοι, τοῦτο κωλύω." καὶ τοῖς ῥήμασι τούτοις ἐπικαθίσας ὡς αἱ μυῖαι τοῖς μώλωψι, πάνυ χρησίμοις οὖσι πρὸς ἣν πάλαι ὤδινε τυραννίδα ἐμβριθέστερον ἔχων τὸ ἦθος καὶ τὸ φρόνημα ἀρχικώτερον, ἐπάλληλα τὰ γράμματα ἔστελ-
C λε πρός τε τὸν ἀνεψιὸν καὶ βασιλέα Ἀλέξιον καὶ τὸν τῆς μεγίστης ἱερωσύνης κοσμήτορα Θεοδόσιον καὶ τοὺς λοιποὺς οἷς ζώπυρον φιλίας ὑπῆν πρὸς τὸν κατοιχόμενον βασιλέα τὸν Μανουήλ, ἐν δεινῷ τιθέμενος τὰ τῆς ἀσχήμονος φήμης περιλαλήματα, καὶ τὸν ἀγανακτοῦντα ὑποκρινόμενος εἰ μὴ ὁ πρωτοσεβαστὸς τῆς δυναστείας παραλυθείη καὶ τὴν μετριωτέραν τύχην εἴη μετειληφώς, καὶ διὰ τὸν προσέρποντα μὲν ἐντεῦθεν καὶ ἤδη καθιστάμενον προδηλότατον τοῦ βασιλέως Ἀλεξίου ὄλεθρον, ἀλλὰ δὲ καὶ τὴν ἀπρεπῆ οὐχ ἥκιστα φήμην καὶ ὠσὶν ἡμετέροις οὐκ εὐπαράδεκτον, ἥτις ἐπ' ἄκρων τειχέων κηρύσσεται καὶ πύλαις δυναστῶν ἐφεδρεύει καὶ πρόεισι παγκόσμιον περιήχημα. καὶ ταῦτα λέγων καὶ γράφων μεθ' οἵας
D οὐκ εἴποι τις ἂν πειθανάγκης καὶ λαμυρότητος (ἦν γάρ, εἴ καί τις ἄλλος, γραμμάτων ἔμπειρος καὶ ἀνὰ στόμα φέρων ἀεὶ τοῦ πνευματορήτορος Παύλου τὰ ἐπιστόλια) εἶχε πάντας τῇ αὐτοῦ γνώμῃ προστιθεμένους καὶ πρὸς ἐκεῖνον νενευκότας μονώτατον ὡς φιλορώμαιον ἄνδρα καὶ χρόνῳ μακρῷ καὶ πείρᾳ πολιωτέρᾳ τὰ κάλλιστα συλλεξάμενον. καὶ αὐτὸς δὲ τοῦ Οἰναίου ἀπάρας πρὸς τὴν τῶν πόλεων βασιλίδα μετέβαινε,

4. τὸ utrumque om A. 14. τὴν ἀπρεπῆ] τὸν — λόγον — ὅστις A.

vestrae fraudi sit, id et vobis indicabo et ipse pro virili mea prohibebo" ut muscae ulceribus inhaesit, opportunae admodum ad tyrannidem, quam iam olim parturiebat. et ut homo acer erat et imperiosus, crebras litteras ad imperatorem et nepotem Alexium et ad patriarcham Theodosium ac caeteros, in quibus aliqua scintilla amoris erga Manuelem defunctum apparebat, mittit, in quibus infamiam exaggerabat, seque indignari simulabat, quod protosebastus non adempta potentia ad moderatiorem fortunam redigeretur, tum quod haud dubium imperatori exitium iamiam inde impenderet, tum ob turpissimum rumorem et ipsis auribus gravem, qui in summis moenibus clamitet, et in foribus principum versatus totum orbem terrarum pervagetur. haec cum summa gravitate et splendore loquendo et scribendo (erat enim litterarum apprime peritus, et divini oratoris Pauli epistolas subinde in ore habebat) omnes in suam sententiam pertraxit; atque id consecutus est, ut tanquam rei publicae studiosissimus et longo tempore ac usu rerum diuturno perpolitus sum-

τὸν οἰκεῖον καθ' οὓς ἐπισταίη ὅρκον ἀναπτύσσων, καὶ τοῖς πυνθανομένοις διεξιὼν τὸ τῆς κινήσεως αἴτιον. καὶ περὶ ἐκεῖνον ὅσα καὶ ἀετὸν ὑψινεφῆ καὶ γαμψώνυχα κολοιοὶ ἐγάρυον ἄκραντα, οἱ πραγμάτων νεωτέρων τρέφοντες ἔφεσιν, καὶ οἷς ἡ πάλαι φήμη περιεσπούδαστο, ἣ δή που βασιλεύσειν Ἀνδρόνικον προηγόρευε. καὶ εἶχεν αὐτὸν οὕτω μεταβάντα ἡ τῶν Παφλαγόνων μερίς, καὶ ὅσα καὶ σωτῆρα καὶ κατὰ θεῖον P. 150 ἥκοντα προσδεχόμενον ἐριτίμως.

4. Ὁ δὲ πρωτοσεβαστὸς Ἀλέξιος τὴν τῶν ὅλων διοίκη- V. 123 σιν εἰς ἑαυτὸν ἐπεσπᾶτο, τῷ ἰδίῳ φυσιούμενος κράτει καὶ τῇ παραδυναστείᾳ τῆς δεσποίνης καταχρώμενος, ὥσπερ καὶ ὁ πολλὰ πολλάκις ἐδηδοκὼς φάρμακα δράκων καὶ γενόμενος δυσαντίβλεπτος. οὐκοῦν οὐκ ἦν τι τῶν ἁπάντων ὃ μὴ δι' αὐτοῦ ἐπεραίνετο. εἰ δέ τι καὶ διεπεπράχει λαθὼν ἕτερος, ἢ τῆς βασιλίσσης δεηθείς, ἢ τὸν βασιλέα καρυατιζόμενον εὑρὼν ἢ ῥιμμῷ λιθιδίων καταλαβὼν προσανέχοντα καὶ τῷ καιρῷ πρὸς πεκράτωσιν τοῦ αἰτουμένου χρησάμενος, οὐδὲ τοῦτο τῶν B ἐκείνου ἐκπεριίστατο ὀφθαλμῶν· σκεψάμενος γὰρ τρόπον δι' οὗ τὰ παρ' ἄλλων διηνυσμένα πρὸς ἐκεῖνον ἐπαναλύσουσιν ὡς εἰς στροφάλιγγα περιδινούμενα ῥεύματα, δόγμα ἐκ βασιλέως ἐξήνεγκε μὴ ἄλλως εὐπαράδεκτα οἴεσθαι ὅσα ἡ βασιλικὴ χεὶρ ὑποσημαίνεται γράμματα, εἰ μὴ πρότερον ὀφθεῖ-

2. καὶ περὶ ἐκ.] καὶ ἠκολούθουν αὐτὸν καθάπερ γαγῖλαι ἀετὸν ὑψιπετῆ B. 10. φυσιούμενος] πεποιθὼς A. 11. καταχρώμενος] ἀκρατῶς ἔχων A. 15. καρυατιζόμενον] ὅτε τὰ καρίδια ἔπαιζε B, καρυαντιζόμενον A. 21. οἴεσθαι] κρίνεσθαι A.

mam auctoritatem obtineret. itaque Oenaeo relicto Cpolim proficiscitur; et quocumque venit, iusiurandum suum profert; rogatus profectionis suae causam exponit. homines autem novarum rerum cupidi, et qui veteri famae Andronico regnum vaticinanti credebant, ad illum tanquam ad aquilam monedulae confluentes irrita verba fundebant. hoc modo usque in Paphlagoniae partes pervenit, et ubique ut servator divinitus missus honorificentissime excipitur.

4. Caeterum Alexius sebastocrator, sua potentia et imperatoris gratia fretus, summam rerum sibi vendicabat et insolenter se gerebat, ut draco, cuius aspectum post multa venena devorata nemo sustineat. neque quicquam erat rerum omnium quod per eum non gubernaretur. quodsi quis alius clam aliquid vel ab imperatrice exorasset, vel occasione usus ab imperatore, nucibus aut lapillis ludere impetrasset, ne id quidem inexploratum relinquebat. eam enim rationem iniit, qua per alios confecta ad se referrentur, aquarum instar in vorticem redeuntium, impetrato edicto quo continebatur, ea quibus manus imperatoris subscripsisset non aliter rata fore, nisi

εν τῷ Ἀλεξίῳ καὶ οὗτος τὴν δεξιὰν τῷ βατραχείῳ ἐπιδοὺς χρώματι τὴν τοῦ „ἐτηρήθησαν" ἐπισημασίαν βραβεύσειεν. ἦγεν οὖν ὡς ᾑρεῖτο πάντα καὶ μετεπέπτευεν, καὶ ἅπερ οἱ ἐκ Κομνηνῶν πρότερον βασιλεῖς ἱδρῶσι πολλοῖς, εἴσω δὲ καὶ τοὺς πένητας καλαμώμενοι, συλλογιμαίως ἀπεθησαύρισαν
C χρήματα, ταῦτα τῷ πρωτοσεβαστῷ καὶ τῇ βασιλίσσῃ πρὸς ἀποχέτευσιν προὔκειτο, καὶ τὸ τοῦ Ἀρχιλόχου ἄντικρυς ἐπεραίνετο, ὅ φησιν, εἰς ἔντερον πόρνης πολλάκις μεταρρυΐσκεσθαι τὰ χρόνῳ καὶ πόνῳ συλλεγέντα μακρῷ. ἐντεῦθεν ἡ πᾶσα πόλις πρὸς Ἀνδρόνικον ἔβλεπε, καὶ ἡ ἐκείνου ἄφιξις ὡς ἐν σκοτομήνῃ λαμπτὴρ καὶ ἀστὴρ ἀρίζηλος ἐδοξάζετο. τῷ τοι καὶ ἐνῆγον διὰ γραμμάτων κρύβδην πεμπομένων οἱ μέγα τότε δυνάμενοι καταταχῆσαι τὴν εἴσοδον, ὡς ἀντιταξομένων οὐδένων, οὔτε μὴν πρὸς τὸ ἀντωπὸν τῆς ἐκείνου στησομένων σκιᾶς, ἀλλ' ὑπτίαις ὅλων προσδεξομένων χερσὶ καὶ ἀναπετασόντων ἀσμένως τὰς τῆς καρδίας περιπτυχάς. διαφερόντως δὲ αὐτὸν παρεκρότει καὶ θαρραλέως προσιέναι διένυττεν ἡ
D πορφυρογέννητος Μαρία ἡ τοῦ βασιλέως Ἀλεξίου ἑτεροθαλὴς ἀδελφή, καὶ ὁ παριαύων ταύτῃ Καῖσαρ ἐξ Ἰταλῶν ὁρμώμενος. αὕτη γὰρ ἀποπνιγομένη μικροῦ τῷ τὴν πατρῴαν βασιλείαν ὑπὸ τοῦ πρωτοσεβαστοῦ συλᾶσθαι, καὶ ἄλλως δὲ θερμουργίαν ἀσπαζομένη καὶ ἀνδρικὴ τὸ φρόνημα οὖσα, προσκτωμένη δὲ καὶ τὸ φύσει πρὸς τὴν μητρυιὰν βαρύζηλον, οὐχὶ στέγουσα δὲ καὶ τὸ παρευδοκιμεῖσθαι καὶ ὡς ἀντικαθι-

1. οὗ A, οὕτω PW. ἐπιδιδοὺς A. 18. ἑτεροθαλὴς] ἀπὸ ἑτέρας μητρὸς B.

prius Alexius ea vidisset et colore viridi subscripsisset „rata sunt." itaque suo arbitratu versabat omnia; et quas pecunias Comnenii imperatores multis sudoribus atque etiam deglubendis pauperibus in thesauros retulerant, eas in se et imperatricem derivabat. ut plane id fieret quod Archilochus scribit, ea saepe in scorti pudenda confluere, quae longo labore et tempore sint congesta. hinc tota civitas Andronicum spectabat: eius adventus ut fax in tenebris et stella radians expectabatur. proceres eum clam per litteras ad accelerandum iter hortabantur: neminem enim fore qui ei adversetur aut umbrae eius se opponat, sed omnes supinis manibus eum excepturos, et intimos cordium recessus ei libenter revelaturos. in primis vero Maria Porphyrogenita, imperatoris Alexii germana sed non uterina soror, eum confirmabat, et Caesar eius maritus natione Italus. quae cum aegerrime pateretur paternum imperium sebastocratori praedae esse; et alioqui iracundia mulier et virago, naturali etiam in novercam odio incitata, praeterea superioris impatiens et se ut

σταμένη τις ὑποβλέπεσθαι, τὸν Ἀνδρόνικον τοῖς γράμμασιν
ἐμυώπιζεν ὡς ἵππον ἐφ' ὕσπληγγος ἑστῶτα καὶ δρόμον καμ-
πτῆρος πνέοντα, ἑὸν κακὸν ἀμφαγαπῶσα καὶ τὸν οἰκεῖον ὄλε-
θρον ἐπισπέρχουσα. τὴν δὲ πρὸς τὸν πρωτοσεβαστὸν οὐχ οἵα
τε οὖσα περιστέλλειν ἀπέχθειαν εἰς τοὐμφανὲς αὐτῷ ἀντεφέ-
ρετο, καὶ οὐδ' ὁπωσοῦν διελελοίπει, ὅσα οἱ πρὸς λύμην,
βυσσοδομεύουσα. ἀμέλει καὶ ὑποποιησαμένη τῶν πρὸς γένους
ἐκείνῃ τινάς, ὁπόσους δηλαδὴ τῷ Ἀνδρονίκῳ ᾔδει προστιθε-
μένους φιλεχθροῦντας δὲ τῷ πρωτοσεβαστῷ (ἦσαν δ' οὗτοι ὁ P. 151
Κομνηνὸς Ἀλέξιος, ὃς ἐκ νοθείας ἀπετέχθη τῷ βασιλεῖ Μα-
νουήλ, ὁ Λαπαρδᾶς Ἀνδρόνικος, οἱ δύο τοῦ Ἀνδρονίκου υἱοὶ
ὅ τε Ἰωάννης καὶ ὁ Μανουήλ, ὁ τῆς πόλεως ἔπαρχος Ἰωάν- A
νης ὁ Καματηρὸς καὶ συχνοὶ ἕτεροι), καὶ διὰ συνωμοσίας
τὴν μὲν ἐς τὸν ἀδελφὸν καὶ βασιλέα πίστιν κρατυναμένη τὸν
δὲ τοῦ πρωτοσεβαστοῦ κυρώσασα θάνατον, ἐκαιροφυλάκει
τὴν τούτου καθαίρεσιν. εὔκαιρον δὲ πρὸς τὴν μελετωμένην
πρᾶξιν εὑρηκέναι καιρὸν οἰηθεῖσα τὴν εἰς τὸν Βαθὺν Ῥύακα
μετὰ τοῦ βασιλέως ἐξέλευσιν τοῦ πρωτοσεβαστοῦ ἐπὶ τῷ τε-
λεσθῆναι τὰ ὅσια Θεοδώρῳ τῷ χριστομάρτυρι κατὰ τὴν ἑβδό-
μην τῆς πρώτης τῶν νηστειῶν, τὴν μὲν ἐγχείρησιν ἡτοιμά-
σατο καὶ τοὺς σφαγέας τοῦ ἀντιπάλου ἐπήγετο τὸ φονουργὸν V. 124
παραγυμνοῦντας σιδήριον, ἐκ δέ τινος περιπετείας τοῦ οἰκεί- B
ου ἐκκρούεται σκέμματος. καὶ τῆς βουλῆς ὁμοῦ καὶ τῆς ἐπι-
βουλῆς μικρῷ ὕστερον φωραθείσης τοὺς μὲν λοιποὺς τοῦ συ-

11. λαμπαρδᾶς A. 12. ὁ τῆς] καὶ ὁ τῆς A. 14. μὲν om A. 16. καθαίρεσιν] κατάλυσιν A. 17. οἰηθεῖσα καιρόν, omisso εὑρηκέναι, A.

adversariam suspectam esse aegre ferens, litteris Andronicum, ut equum in carceribus stantem et ad metam aspirantem, veluti flagellis incitabat; idque suo malo, accelerato sibi interitu. et quia sebastocratoris odium dissimulare non poterat, aperte ei adversabatur, et nihil non in eius perniciem conabatur, conciliatis etiam cognatis suis, quos favere norat Andronico, et Protosebasto inimicos esse. hi erant Comnenus Alexius, nothus Manuelis filius ex nepte Theodora susceptus, Andronicus Lapardas, duo Andronici filii, Iohannes et Manuel, praefectus urbis Iohannes Camaterus, et alii complures. ita sua in fratrem et imperatorem fide per coniurationem firmata, et morte protosebasti destinata, eius aggrediendi tempus cupide observabat. quam ad rem cum eius in profundum Rhyacem egressum cum imperatore ad celebrandam Theodori martyris memoriam septimo primi ieiuniorum opportunum fore putaret, facinus instruxit, et percussores subornavit, qui ferrum in eius sanguine tinge-

στρέμματος εἶχε βῆμα βασιλικόν, καὶ σκέψις τοῦ ἀτοπήματος προὔκειτο σχήμασι μόνοις ἀλλ' οὐχὶ πράγμασιν· ἐφωμάρτει γὰρ ἡ καταδίκη εὐθύς, καὶ ὡς ἄφωνοι ἰχθύες οἱ συσχεθέντες ἀπήγοντο, μηδ' ὅλως δεξάμενοι τὸ ἐνδόσιμον εἰς τὸ τὰ δοκοῦντά σφισιν ἀπολογήσασθαι· (5) αὐτὴ δὲ ἡ πορφυρογέννητος σὺν τῷ ἀνδρὶ τῷ Καίσαρι τῷ μεγίστῳ ναῷ προσρύεται, βαρυμηνιῶσαν κατ' αὐτῆς ἐκδιδράσκειν φάσκουσα μητρυιὰν καὶ τὸν ταύτης κάρταμον ἐραστήν. οἶκτον οὖν οὐ τῷ C πατριάρχῃ μόνον ἐμπεποιήκει καὶ τοῖς ὅσοι τῆς ἱερᾶς κιγκλίδος ἐντός, ἀλλὰ καὶ πλείστους τῶν ἐκ τοῦ ξύγκλυδος δήμου καὶ σύρφακος οὕτω κατέκαμψε καὶ μετέφερεν ὡς μικροῦ καὶ δακρυρροεῖν ἐπ' αὐτῇ. ἔνθεν τοι καὶ ταῖς τῶν πολλῶν ἀναθερμανθεῖσα περιπαθείαις, ἐν τῷ μέρει δὲ καὶ αὐτὴ διαδόσεσι στατήρων χαλκέων πρὸς ἀποστασίαν τὸ πτωχεῦον πλῆθος ἐξαγριαίνουσα, τὰ τοῖς πρόσφυξιν ἠδόξει βραβευόμενα ἔθιμα, καὶ προτεινομένης ἀμνηστίας ὧν ἑάλω δρῶσα κακῶς οὐδ' ἐπαΐειν ὅλως ἠνείχετο, ἀλλ' ἀπῄτει παλινδικίαν τῶν ταύτης συνωμοτῶν καὶ ἄνεσιν τῶν καθείρξεων. τόν τε πρωτοσεβαστὸν τῆς τῶν κοινῶν ἔχεσθαι διοικήσεως οὐδαμῶς φέρουσα D ἦν, ἀλλ' ἀποφλαυρίζουσα τουτονὶ πόδα ὑπερβάθμιον τείνειν ἔφασκε τοῖς οὐκ ἐφικτοῖς καὶ κατολισθαίνειν εἰς πράξεις μηδαμῇ θεμιτάς, καὶ τὸ γένος οἱ ἐντεῦθεν ἐπιθολοῦν. ὁδῷ δὲ

3. οἱ om A. 7. κατ' αὐτῆς] ἑαυτῆς A. 8. ἐραστήν] προασπιστήν A. 10. τοὺς πλείστ. A. 16. καὶ προτειν.] καὶ συμπαθείας παρὰ τοῦ βασιλέως πεμφθείσης οὐκ ἤθελεν δέξασθαι B. 21. ἐφικτοῖς] θεμιτοῖς A. εἰς πράξεις] εἰς τὰ ἀθέμιτα A.

rent. sed casu quodam eo consilio frustrata est. nam insidiis paulo post deprehensis caeteri ad tribunal imperatoris adducti sunt, ut sententia de eo scelere ferretur; idque specie duntaxat, non re vera. statim enim condemnatio sequebatur; et illi ut muti pisces, non data defendendi sui potestate, in vincula abducebantur. (5) Ipsa vero Porphyrogenita cum Caesare marito ad maximum templum confugit, iratam novercam et eius acerrimum defensorem et amatorem se fugere vociferans. non igitur patriarcha solum et collegium sacerdotum eius sunt miserti: sed plebem quoque promiscuam, quae eo confluxerat, ita commovit ut vix a lacrimis temperarent. quo populi affectu freta, et paupere turba aereorum staterum largitione ad seditionem concitata, consuetudinem supplicum contempsit; et veniae mentionem, quae ei offerebatur, audire nolens, postulabat ut coniuratis carcere eductis denuo causae dictio daretur; neque ullo modo ferebat ut sebastocrator rem publicam administraret: eum enim limites transilire et in multas res nefarias impingere et tenebras suis maioribus offundere querebatur. nec his contenta, ut palatio exige-

προϊοῦσα καὶ τῶν βασιλείων ἀποσκορακισθῆναι τοῦτον ἐνέκειτο ἐξαιτοῦσα, καὶ οἷά τι παρεκφυὲν ζιζάνιον τῆς εὐγενοῦς ἀποσπασθῆναι φυταλιᾶς καὶ ζημιωθῆναι ὀλέθρῳ, συναναβαῖνον καὶ συμπνῖγον ὡς σῖτον τὸν αὐτοκράτορα. ἦν δὲ ἄντικρυς ὀριγνωμένη ἃ μὴ τελέεσθαι ἔμελλεν· ὁ γὰρ ἀνὴρ οὗτος τοῖς ἀνακτορικοῖς θαλάμοις ὡς πολύπους ταῖς πέτραις καθάπαξ ἐμφὺς καὶ τὰς κοτυληδόνας κύκλῳ διαφεὶς οὐδ' ὅλως μεταβαίνειν ἐκεῖθεν ἠβούλετο. καὶ δήποτε τοῦ βασιλέως καὶ ἀδελφοῦ διηπειληκότος τῇ κασιγνήτῳ Καισαρίσσῃ τὴν ἐκ τοῦ νεὼ ἀφαίρεσιν καὶ κατάσπασιν, εἰ μὴ ἐκσταίη ἑκοῦσα τοῦ ἱεροῦ, (βασιλέα δὲ λέγων τὰ τοῦ πρωτοσεβαστοῦ φημὶ ἐπιτά- P. 152
γματα καὶ τῆς τοῦ βασιλέως μητρός), τὸ ἑκοῦσα εἶναι μηδαμῶς προελθεῖν ἀντηπείλησεν. ἔνθεν τοι καὶ δεδοικυῖα μὴ συλληφθείη, ταῖς τε πύλαις τοῦ νεὼ ἐφίστησι φύλακας καὶ πάσας τὰς εἰσόδους διαλαμβάνει φρουραῖς, τὸν τῆς προσευχῆς οἶκον διασκευάζουσα πρὸς ληστήριον ἢ φρούριον ἐχυρὸν καὶ ἀπότομον, δυσάλωτον τοῖς προσβάλλουσιν. ἀεὶ δ' ἐπεκτεινομένη τοῖς χείροσι καὶ προβαίνουσα τοῖς οὐκ ἐπαινετέοις, καὶ ξυμμαχικὸν τάγμα ξενολογεῖ καὶ τίθησι στρατόπεδον τὸν θεῖον περίβολον· καὶ Ἰταλιώτας γὰρ συναγήοχεν ὁπλομάχους, καὶ μεγαθύμους ἑῴους ἐστρατολόγησεν Ἴβηρας κατ' ἐμπορίαν τῇ πόλει παραβαλόντας, καὶ Ῥωμαίων ὁπλιτεύουσαν ἐπεσπάσατο φάλαγγα, ἐμπαζομένη μηδενὸς τὰ πρὸς εἰ- B

5. τελ.] πέρας λαβεῖν A. 6. ὡς πολύπους] ὡς οὐδὲ ὀκταπόδιν εἰς πέτραν B. 8. ἠβούλετο] ᾑρέτιστο A. 11. δ' ἔλεγον τὰ τοῦ πρωτ. ἀπαξάπαντες ἐπιτ. A.

retur, postulabat, et veluti ramum adulterinum ex nobili stirpe revelli et perdi; qui si una adolesceret, imperatorem suffocaturus esset. caeterum ea desiderabat mulier quae eventura non erant: nam ille vir imperatricis thalamo ut polypus petris adhaerens, acetabulis passim expansis, nequaquam inde sibi discedendum putabat. caeterum imperatore sorori Caesarissae comminato, nisi ultro templo excederet, vi abstractum iri (cum imperatorem dico, protosebasti et matris imperatoris edicta dico), illa se ultro excessuram pernegat; et verita ne comprehenderetur, custodes in portis collocat et omnes aditus praesidiis munit, domo precationis in speluncam latronum aut castellum munitissimum et inexpugnabile conversa. ita subinde progressa in deterius et res illaudatas aggressa copias auxiliares conscribit, et templi ambitum castra facit. nam et Italicos gladiatores coegit, et magnanimos Iberes ex Oriente conscripsit, qui negotiandi causa in urbe erant; et armatam Romanorum phalangem ascivit, contemptis omnibus qui ad pacem hortabantur, nec ipsum patriar-

ρήνην αὐτῇ κατεπᾴδοντος, μήτ' αὐτὸν τὸν πατριάρχην ὑπο-
στελλομένη· ἐμβριθῶς ἐγκείμενον καὶ μάλα πρακτικῶς ὑποτι-
θέμενον τὸ πρακτέον, πολλάκις δὲ καὶ πρὸς ὀργὴν ἐπιπλήττοντα.
καὶ ξύμπαν μὲν οὖν ἑτέρας πόλεως τὸ λαῶδες πλῆθος ἀλο-
γίᾳ χαίρει καὶ τὴν ἐπί τι ῥοπὴν δυσμαχώτατόν ἐστι· τὸ δὲ
τῆς Κωνσταντίνου ἀγοραῖον φιλοταραχώτατον μάλιστα, προ-
πετείᾳ χαῖρον καὶ σκολιάζον ταῖς ὁδοῖς, ὅσῳ καὶ ἐκ διαφόρων
πολιτεύεται γενῶν καὶ τῇ τῶν τεχνῶν ποικιλίᾳ συμμεταποι-
V 125 οῦται, ὡς εἴπῃ τις, τὸ φρονεῖν. ἐπειδὴ δὲ ἀεὶ τὰ χείρω
νικᾶν εἴωθε καὶ ἐν πολλοῖς ὄμφαξι μίαν ῥᾶγα πεπανθεῖσαν
μόλις εὑρήσει τις, διὰ τοῦτο οὔτε σὺν λόγῳ τὸ τοῦ πολιτεύ-
C ματος ἀγοραῖον ἐφ' ὁτιοῦν χωρεῖ οὔτε μετὰ προθυμίας ἐφί-
σταται οἷς ἐφορμήσειεν οὐ προσηκόντως, ἀλλ' ὅπῃ μὲν πρὸς
στάσιν καὶ φήμῃ μόνῃ μεθαρμοζόμενον πυρός ἐστι δραστι-
κώτερον, χορεῦον οἷον κατὰ ξιφῶν καὶ προβλῆσι καὶ κύμα-
σι κωφοῖς ἀνθιστάμενον, ὅπῃ δὲ κατεπτηχὸς ὡς ψοφοδεὲς καὶ
τὸν αὐχένα παντὶ τῷ βουλομένῳ παρέχει πατεῖν. εἰκότως οὖν
ὡς ἀστασίαν ἤθους νοσοῦν καὶ παλιμβολώτατον διαβέβληται.
οὔτε οὖν ἑαυτοῖς ποτὲ τὰ κάλλιστα πεφώρανται πράξαντες οἱ
τῆς Κωνσταντίνου σύγκλυδες ὄχλοι, οὐθ' ἑτέροις εἰσηγουμέ-
νοις τὰ κοινωφελῆ καὶ σωτήρια ἐπειθάρχησαν, ἀεὶ δὲ τἀναν-
τία ταῖς εὐδαιμονούσαις παρακαθιστάντες πόλεσιν, ὅσα γῆ
καὶ θάλασσα τούτοις δωροφορεῖ, ἐπ' ἀνηνύτοις εἰς ἑτέρας

4. τὸ λαῶδες] ἀλογία χαίρει τὸ πλῆθος A, omisso λαῶδες. 6. προπετείᾳ] στοματάδες ὄντες καὶ κακότροποι B. 7. ὅσα A. 10. ἐν πολλοῖς] εἰς βότρυν ἀγουρίδος μόλις ἵνα εὕρῃ τις μίαν ῥῶγαν ὥριμον B. 11. σὺν et τὸ τοῦ πολ. ἀγ. om A. 19. ποτὲ om A. 22. παρακαθίσαντες A.

cham verita, qui acriter instabat, et graviter monebat quid agendum esset, et saepe etiam iracunde obiurgabat. est profecto morbus hic omnium civitatum, ut plebs sit temeraria et magno impetu feratur. sed Cpoli turba circumforanea omnium turbulentissima est, et rectis consiliis eo minus gaudet quo ex pluribus gentibus constat, et artium varietate quodammodo ingenia mutat. et quia peiora vincere solent et in multis immaturis uvis vix unus maturus acinus reperitur, neque consilio quicquam aggreditur, neque aequo animo ab inhonestis conatibus desistit; et interdum fama tantum seditionis impulsa, igni magis exaestuat, in enses, in praecipitia, in marinos scopulos caeco furore ruit. contra, cum perterrita est, ad quemvis strepitum expavescit, cuivis collum calcandum praebet. recte igitur inconstantiae et temeritatis nomine reprehenditur. nam colluvies illa populi neque ipsa sibi recte consulere neque aliis bene praecipien-

πόλεις ἀλλοεθνῶν διαφεροῦσι καὶ μεταγγίζουσι. τὸ δὲ πρὸς τοὺς κρατοῦντας ἀδιάφορον ὡς ἔμφυτον αὐτοῖς κακὸν συντε- D τήρηται· ὃν γὰρ ὡς ἐννόμως σήμερον ἐξαίρουσιν ἄρχοντα, τοῦτον ὡς κακοεργὸν ἐς νέωτα διασύρουσι, τοῦτό τε κἀκεῖνο παριστῶντες μὴ σὺν λόγῳ ποιεῖν, ἀνεπιστημοσύνῃ τοῦ κρείττονος καὶ τῷ εὐριπίστῳ τοῦ φρονήματος. (6) Ἦν οὖν τηνικαῦτα ὁρᾶν καὶ κατὰ συλλόγους ἀθροιζομένους καὶ ἀγειρομένους κατὰ συστήματα, οἳ καὶ πρῶτα μὲν ἠλευθεροστόμουν, τὴν μὲν πορφυρογέννητον Μαρίαν δῆθεν οἰκτείροντες ὡς παρ' ἀξίαν πάσχουσαν, τοῦ δὲ πρωτοσεβαστοῦ καταβοώμενοι ὡς μὴ σὺν λόγῳ εὐπραγοῦντος μηδ' ὡς χρὴ τῇ τύχῃ χρωμένου. καὶ κατὰ τῆς τοῦ βασιλέως ἠγανάκτουν μητρός. κατὰ μικρὸν δὲ προϊόντες καὶ εἰς στασιασμὸν ἀνερρώγεσαν, καί τις P. 153 τῶν ἱερέων ἔκτυπον τοῦ Χριστοῦ ἐπ' ἀγορᾶς ἐνεγκὼν καὶ ἄλλος ἄρας σταυρὸν ἐπωμάδιον καὶ ἕτερος σημαίαν ἱερὰν ἀνεμώσας ὡς γλάγος μυίας τοὺς στασιαστὰς ἐπεσπάσαντο. καὶ ὥσπερ ὑφ' ἑνὶ συνθήματι κινηθέντες· τὸν μὲν βασιλέα εὐφήμοις ἐδεξιοῦντο φωναῖς, τοῦτο δὲ τὸ τῶν ἐς νεώτερα χωρούντων ἔργα τεκμήριον, ἐκ καλλίστης καταρχομένων ἀρχῆς τα μέντοι τελευταῖα βλεπόντων εἰς ἐπανάστασιν, τὸν δὲ πρωτοσεβαστὸν καὶ τὴν δέσποιναν καθυπέβαλλον ἀναθέματι. οὐκ ἐς αὐτὸ δὲ μόνον ἕδρων ἀθροιζόμενοι ταῦτα τὸ Μίλιον, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν τῆς λαμπρᾶς ἱπποδρομίας σφενδόνην πα-

3. ἔννομον A. 8. ἠλευθεροστόμουν] ἐστομάτευον B. 10. καταβοῶντες A. 14. παρενεγκὼν A. 15. σημαίαν ἱερὰν] μεγάλην ποδέαν ἱερὰν ἐπὶ ξύλου κρεμαμένην B. 19. ἀρχομένων A.

tibus auscultare solet; et contra fortunatarum urbium consuetudinem, quicquid terra marique importatur, nullo cum fructu in peregrinas urbes effundit. levitas vero et perfidia erga imperatores natura eis insita est. quem enim hodie ut legitimum magistratum extollunt, eum perendie pro malefico traducunt. unde satis apparet eos nihil cum ratione agere, sed temeritate quadam et levitate ingenii. (6) Tum igitur in manipulos et cohortes centuriari; ac primum Mariam miserari, quod alia fortuna esset quam eius dignitas postularet; et in protosebastum vociferari, quod praeter meritum felix fortuna abuteretur; imperatoris etiam matri succensere, ac paulatim in seditionem erumpere. et quidam sacerdos Christi imagine in forum allata, alter cruce in tergum sublata, alius sacro vexillo arrepto, seditiosos attraxerunt ut Caecias nubes, ut velut ex composito omnes imperatorem laudarent, et qui seditiosorum mos est, a bono principio ad malum finem delapsi, protosebastum et dominam execrarentur. hoc non in Milio duntaxat fecerunt, sed nec in circo equestri, palatium

ῥαγενόμενοι καὶ ἀφορῶντες εἰς τὰ ἀνάκτορα τὰ οὕτως ἀπρε-
B πῆ διεπράττοντο. καὶ τοῦτο ἐφ' ἡμέρας συχνὰς γινόμενον
ἐξεκύμαινε τὸν δῆμον καὶ εἰς στάσιν ἀνέφλεγε. καὶ εἰς αὐ-
θάδειαν οἱ πολλοὶ τραχυνόμενοι οἴκους λαμπροτάτους κατέσπα-
σαν καὶ τὰ ἐντὸς τούτων διήρπασαν, οἷς διαφερόντως ἔβλε-
πον ἥμερον ὅ τε πρωτοσεβαστὸς καὶ ἡ δέσποινα· σὺν οἷς
καὶ τὸ τοῦ Παντεχνῆ Θεοδώρου περικαλλὲς οἴκημα, ἐπάρχου
ὄντος τῆς πόλεως καὶ τὸ τῶν οἰκειακῶν διέποντος σέκρετον,
τῷ δικαιοδοτικῷ τε θρόνῳ ἐμπρέποντος. καὶ αὐτὸς μὲν ἐξή-
λυξε δρασμῷ τὸ πεσεῖν· τὰ δ' ἐνόντα διαρπασάμενοι οὐδ'
αὐτῶν τῶν δημοσίων τόμων ἀπέσχοντο, οἳ τὰ δίκαια τῆς πο-
C λιτείας παρὰ τῶν πρώην βασιλέων ἔχουσιν ὑπογεγραμμένοι καὶ
τὸ μὲν χρήσιμον κοινῇ διαβαῖνον πρὸς ἅπαντας ἢ τοὺς πλείο-
νας, ἀφαυρὸν δὲ τὸ ἐκ τοῦ ἰδιώσασθαι κέρδος, καὶ μηδ'
ὅσον τὸν ἐκείνων ἐδίανεν ἂν οἰνοποτάζοντα φάρυγγα. οἱ περὶ
τὸν πρωτοσεβαστὸν τοίνυν ὁρῶντες ἀεὶ τὰ χείρω προβαίνοντα,
σκέπτονται βουλὴν καθιζήσαντες ὅπως τὴν λύμην στήσωσι
ταυτηνί. καὶ ἐπεὶ κατ' οὐδένα τρόπον ἑώρων τὴν Καισάρισ-
σαν Μαρίαν τῶν οἰκείων βουλευμάτων μεθισταμένην ἢ βρα-
χύ τι γοῦν ὑπενδιδοῦσαν τῶν ὑπερόγκων ζητημάτων ἃ πρου-
τείνετο, ἔγνων διὰ πολέμου ἐπ' ἐκείνην χωρεῖν καὶ ὡς ἀπό
τινος ἐρύματος τοῦ θείου ἐξελάσαι ταύτην νεώ. συλλεγέντος
V. 126 τοίνυν οὐκ ὀλίγου στρατεύματος ἐκ τῶν ἐῴων τε καὶ ἑσπερίων

2. γινόμενον] τελούμενον A. 4. τραχυνόμενοι] ἐκτρεπόμενοι A. κατέσπασαν] ἐχάλασαν B. 8. καὶ τὸ τῶν οἰκ.] καὶ τὸ ἀξίωμα τῆς δικαίας κρίσεως ἔχοντος B. 9. δικαιωτικῷ A. 11. οἳ — χρήσιμον] οἷα τὸ μὲν χρήσιμον ἐχόντων A. 20. ἃ] ἅπερ A.

intuentes, a tanta foeditate abhorruerunt. quod diebus compluribus continuatum populum ad seditionem concitavit. proinde vulgus omni metu posito splendidissimas aedes eorum quos protosebasto et dominae in primis caros esse norant diripuit et diruit; inter quas insignis domus Theodori Pantechni, praefecti urbis, domestici secretarii et praetoris, destructa est. ac ipse quidem fuga salutem quaesiit: sed instrumento omni direpto, nec publicis commentariis, quibus iura civitatis a veteribus descripta imperatoribus continebantur, abstinuerunt; quorum utilitas cum publice permanet ad omnes aut plurimos, privata eorum possessio tantam cupiditatis sitim nullo modo possit extinguere. protosebastus igitur cum malum subinde crescere videret, consilium tumultus illius comprimendi init; et quia Mariam Caesarissam ab instituto non recessuram neque de arrogantibus et immodicis istis postulationibus quicquam remissuram providebat, bello controversiam dirimere statuit eamque sacra aede velut

ταγμάτων, καὶ πάντων ὡς εἰς ἓν συναθροισθέντων στρατό- D
πεδον τὸ μέγα παλάτιον, ὁ ἐπιτήδειος χῶρος ἀνεδιφᾶτο καθ' ὃν ἂν τοῖς ἐπὶ τοῦ νεὼ ἐπίθωνται. ἤδη γὰρ καὶ ἡ Καισάρισσα πρὸς τὴν ἀντίταξιν ἡτοιμάσατο, διακριθῆναι πολέμῳ τὰ καθ' αὐτὴν ἐθέλουσα. οὐκοῦν ὅσαι τῷ μεγίστῳ ἱερῷ οἰκίαι κατὰ τὸν Αὐγουστεῶνα συνήπτοντο, παρὰ τῶν ὑπ' αὐτὴν ἀπερράγησαν, καὶ τῆς μεγίστης ἁψῖδος ἄνωθεν, ἥτις κατὰ τὸ Μίλιον ἵσταται, οἱ ἀπ' αὐτῆς ἀνήλθοσαν τοῖς βασιλικοῖς ἀντιπλακησόμενοι στρατεύμασι. καὶ τὸν νεὼν δὲ ὃς τοῦ Ἀλεξίου κατονομάζεται, τῇ δὲ τοῦ Αὐγουστεῶνος αὐλαίᾳ προσήνωται, στρατιῶται εἰσιόντες ἐφύλαττον. αὐτοὶ μέντοι οἱ βασιλικοὶ καθ' ἡμέραν ἑβδόμην, δευτέραν τοῦ Μαΐου μηνός, τῆς πεντεκαιδεκάτης ἰνδικτιῶνος, ἐκ τοῦ μεγάλου παλατίου κατὰ τὸ περίορθρον ἐκθορόντες εἰσίασι τὰ πρῶτα τὸν τοῦ Θεολόγου Ἰωάννου ναόν, ᾧ τὸ ἐπίκλην Διίππειον, στρατίαρχον ἔχοντές τινα Σαββάτιον Ἀρμένιον. ἔπειτα τοῦ τεμένους ἄνωθεν γενόμενοι ἀσήμους λαλαγὰς ἠφίεσαν. ὡς P. 154
δ' ἐνειστήκει καιρὸς τοῦ μάχεσθαι, περὶ τρίτην ὥραν οὔσης τῆς ἡμέρας καὶ πληθούσης μάλιστα τῆς ἀγορᾶς, οὐ μετρίως τοὺς ἐκ τῆς ἁψῖδος τοῦ Μιλίου καὶ τοὺς ἀπὸ τοῦ νεὼ τοῦ Ἀλεξίου μαχομένους ὁπλίτας τῆς Καισαρίσσης ἐσίνοντο οὗτοι, ἐξ ὑπερδεξίων μαχόμενοι καὶ ὡς ἀφ' ὕψους σκηπτοὺς ἐπαφιέντες κάτω τὰ βέλεμνα. ἀλλὰ καὶ ἑτέρων καταλόγων εὐοπλοτάτων τοῦ παλατίου ἐξιόντων καὶ τὰς διόδους πληρω-

4. ἡτοιμάζετο A. 7. ἄνωθεν om A. 12. καθ' ἡμέραν] κατὰ τὴν δευτέραν τοῦ μαΐου μηνός. ἡμέρα σάββατον. τῆς B. δευτέραν om A. 15. Δίιππον A. 24. διόδους] ῥυμίδας A.

arce eiicere. itaque ex Orientalibus copiis exercitu non exiguo collecto, et in magnum palatium ut una castra convocato, locus idoneus quaerebatur ex quo templum invaderent. iam enim etiam Caesarissa ad vim bello propulsandam se parabat, et aedes maximo templo iuxta Augusteonem contiguas illius milites everterunt: et maximo fornice, qui est in Milio, conscenso ad propulsandos imperatorios se parabant. Divi quoque Alexii aedem, Augusteonis atrio iunctam, custodierunt. verum imperatoris milites mensis Maii die VII, indictione XV, diluculo palatio egressi, Iohannis theologi aedem cognomento Diippum, Sabbatio Armenio duce occupant, eaque conscensa confusum clamorem tollunt. hora diei tertia cum pugna esset auspicanda, foro pleno hominibus, Caesarissae milites, qui e Milii fornice et Alexii aede pugnabant, telis e superiore loco tanquam fulminibus coniectis non mediocriter laeserunt. cum autem aliae quoque cohortes armis instructissimae palatio educerentur, et omnes

σάντων καὶ τοὺς στενωποὺς διειληφότων ὁπόσοι πρὸς τὸ μέγα τέμενος φέρουσιν, ὅ τε δῆμος τοῦ ἐπιβοηθεῖν τῇ Καισαρίσσῃ ἐπαύσατο διὰ τὸ πᾶσιν ἔφοδον τοῖς ὅπλοις ἀποταφρεύεσθαι, καὶ οἱ ἐκ τοῦ ἱεροῦ ἐπεξιόντες καὶ τὴν αὐλαίαν τοῦ B *Αὐγουστεῶνος ὑπερβαίνοντες καὶ τοῖς βασιλικοῖς στρατοῖς κατὰ τὰς ἀγυιὰς συμπλεκόμενοι, ὀλίγοι πρὸς πλείους διαμιλλώμενοι, δῆλοι ἦσαν κάμνοντες ἤδη καὶ κατὰ βραχὺ τοῦ θαρραλέου ὑπεκλυόμενοι λήματος. καὶ οὕτω δ' οὖν τὰ τῆς συμπλοκῆς ἐνειστήκει λαμπρῶς, καὶ μάχη συνέρρωγε καρτερά, ἡ μὲν ἀπὸ τόξων βολῆς ἡ δὲ καὶ ἐν χερσὶν ἀγχώμαλος, καὶ στόνος μὲν τῶν πληττομένων ἐπικελευσμὸς δὲ τῶν ἀναιρούντων ἑκατέρωθεν ἐξηκούετο. ἕως μὲν οὖν σταθερᾶς μεσημβρίας ἦν ἡ μάχη ἀμφιπαλὴς καὶ ἡ νίκη ἀμφήριστος, ἐπ' ἴσης τῶν ἀμφοτέρων στρατευμάτων ταλαντεύουσα τὰς πλάστιγγας, κλίνουσά τε ἀνὰ μέρος καὶ αὖθις ἀνάγουσα τὸ τότε μαχόμενον· τῆς δ' ἡμέρας ἤδη ὑποληγούσης περιφανὴς ἡ νίκη τοῖς ἐκ βασιλέως προσέρρεψεν. ὠσάμενοι γὰρ τοὺς* C *ἐκ τοῦ νεὼ εἴσω τοῦ Αὐγουστεῶνος κατέκλεισαν, ἐκ τῶν ἀμφόδων ἀποκρουσάμενοι· τούτων δὲ συνειληθέντων ἐντός, καὶ οἱ ταῖς ἀψῖσιν τοῦ Μιλίου ἐφεστῶτες καὶ οἱ ἐκ τοῦ νεὼ τοῦ Ἀλεξίου μαχόμενοι πρὸς τροπὴν ἔβλεψαν. καὶ ὡς ἐπελάβοντο τῶν χώρων τούτων, ὁ τοῦ βασιλέως στρατὸς τὰς μὲν σημαίας τῶν ἀψίδων ἄνωθεν ἔστησαν αἳ τοὺς βασιλεῖς εἰκονίζουσιν, αἱ δὲ πύλαι τοῦ Αὐγουστεῶνος ἐν πελέκει καὶ λαξευ-*

1. *διειληφότων*] *διαλαβόντων* A. 3. *ἔφοδον*] *πάροδον* A. 12. *σταθηρᾶς* A. 20. *οἱ ἐν τῇ ἀψῖδι* A. 22. *χωρίων* A. 24. *ἐκ πελέκει κ. λ.*] *μετὰ ἀξιναρίων καὶ σηστῶν* B.

vicos, omnes angulos, omnes angiportus, qua ad templum itur, occuparent, populi ad Caesarissam concursus compressus est. Caesarianos quoque milites relicto templo et Augusteonis vestibulo cum imperatoriis exercitibus in vicis congressos, paucos cum multis, fatigari et paulatim remollescere apparebat. ita manifeste ad manus ventum est, et pugna magna vi commissa, eminus sagittis et comminus manu. gemitus cadentium et cohortationes occidentium utrinque audiuntur, ancipiti in ipsum usque meridiem victoria. die vero iam inclinante imperatorii haud obscure superiores evaserunt, Caesarianis ex biviis in Augusteonem compulsis. deinde etiam ii qui in fornice Milii stabant et ex aede Alexii pugnabant, fugam spectarunt. quibus locis occupatis imperatorius exercitus vexilla cum imaginibus in fornicibus erexit, et fores Augusteonis securibus et malleis perrupit. Caesariani vero quia resistere non poterant, cum et ex fornicibus superne et comminus in Augusteone a globo militum pessime tractarentur, paulatim dilabe-

τηρίῳ κατερράγησαν· καὶ τὸ τῆς Καισαρίσσης ὁπλιτικὸν οὐκ-
έτι ἀντιπλήττειν ἔχον ὡς τοῖς ἀνιοῦσι τὰς ἀψῖδας κατὰ κο-
ρυφὴν βαλλόμενον, κἀκ τῶν εἰσχεθέντων εἰς τὴν αὔλειον
στρατιωτῶν ταῖς κατὰ χεῖρα συμπλοκαῖς πάσχον τὰ χείριστα,
κατὰ μικρὸν ὑπέκλεπτε τὴν φυγήν, βραχείας ἀρωγῆς ἀπολαῦ-
ον διά τε λίθων βολῆς καὶ βελῶν ἀφέσεως ἐκ τῶν ὕπερθεν
ἐπαμυνόντων σφίσι Ῥωμαίων ἀπό τε τοῦ ἀνδρῶνος τοῦ κα- D
λουμένου Μάκρωνος ἐς τὸν Αὐγουστεῶνα προνεύοντος, καὶ
τοῦ συνημμένου τούτῳ Θωμαΐτου δόμου. τέλος δὲ τοῖς πάν-
τοθεν βάλλουσιν ἐκ τοῦ νεὼ πιεζόμενοι ἀφίστανται τῆς τοῦ
Αὐγουστεῶνος αὐλαίας καὶ εἰσίασι τὸ πρόναον, καθ' ὃ δὴ ὁ
πρώτιστος καὶ μέγιστος τῶν παραστατούντων ἀρχαγγέλων
θεῷ Μιχαὴλ ἐσπασμένος ῥομφαίαν ἐστήλωται ψηφίδων λε-
πταῖς ἐπιθέσεσι, φύλαξ προβεβλημένος τοῦ ἱεροῦ. ἐκ δὲ τού-
του οὔτε οἱ τοῦ βασιλέως προσωτέρω βαίνειν ἠδύναντο, ὑφο-
ρώμενοι τοὺς τοῦ ναοῦ στενωπούς, οὔτε οἱ τῆς Καισαρίσσης
ὑπερπονοῦντες ἐκεῖθεν ἐξῄεσαν ὡς μαχούμενοι.

7. Ὁ δὲ Καῖσαρ καὶ ὁ πατριάρχης αὐτός, ὁ μὲν δεί- V. 127
σας περὶ ἑαυτῷ τε καὶ τῇ ἀλόχῳ μὴ συλληφθεῖεν ἀγεννῶς
ὑπὸ τῶν διαφόρων, ὁ δὲ μή πως ἔνδον τοῦ ἱεροῦ παρεισίω-
σιν οἱ πολέμιοι καὶ ποσὶ μὲν οὐχ ὁσίοις τὸ ἅγιον πατήσωσι
δάπεδον, χερσὶ δ' ἀνάγνοις καὶ θερμὸν ἔτι σταζούσαις τῷ
λύθρῳ τὰ παναγῆ ληστεύσωσιν ἀναθέματα, ὁ μὲν τὴν ἀρ- P. 155

2. ἀντιπλήττειν ἔχον] ἀντιπίπτον A. ὡς τοῖς ἐκ τῶν ἀψίδων κατὰ κορυφὴν οὖσι β. A. 3. αὔλειον] αὐγουστεῶνα A. 7. ἐπαμυνόντων κατά τε τὸν ἐν τοῖς κατηχουμένοις ἀνδρῶνα τὸν λεγόμενον μάκρωνα ἐς τὸν αὐγουστεῶνα προσνεύοντα καὶ τὸν θωμαΐτου αὐτόν. τέλος A. 10. ἐκ] οἱ ἐκ A. 15. ὑφορώμενοι] ὑποπτεύοντες A. 17. ἐπεξῄεσαν A. 22. σταζ. αἷμα τὰ π. συλήσωσιν A

bantur, parum adiuti ab iis qui ex Macronis, ubi Catechumeni instituuntur, et Thomaitae superioribus locis saxa et tela iaculabantur. tandem armis undique circumventi ex Augusteone in templi vestibulum irruunt, ubi princeps et maximus dei apparitor, archangelus Michael, stricto gladio pro templi custode statuam habet tenuibus calculis interpunctam. ex eo neque imperatorii ulterius progredi potuerunt ob suspectos templi angiportus; neque Caesarissae defensores inde ad pugnam prodibant.

7. At Caesar de se ipso et coniuge sollicitus, ne turpiter ab inimicis caperentur, patriarcha metuens ne hostes in templum penetrarent, et profanis pedibus sacrum solum calcarent, et impuris et calidum adhuc sanguinem stillantibus manibus sanctissima donaria ra-

χιερατικὴν στολὴν ἐπενδὺς καὶ τὰ θεῖα μετὰ χεῖρας δεξάμενος λόγια κάτεισιν εἰς τὸ προσκήνιον τοῦ νεώ, ἐν ᾧ οἱ τῆς Καισαρίσσης ὑπερμαχοῦντες ἠλίσθησαν φεύγοντες, ὃ καὶ πρωτεκδικεῖον κικλήσκεται· ὁ δὲ Καῖσαρ τοὺς τὰς εἰσόδους τῆς ἐκκλησίας τηροῦντας ὁπλομάχους ἀγηοχώς, καὶ ὅσον περὶ αὐτὸν ἀκραιφνὲς ἔτι Λατινικὸν δορυφορικόν, καὶ τὸ περὶ τὴν ὁμόλεκτρον αὐτοῦ θεραπευτικὸν καὶ οἰκίδιον, καὶ περὶ τοὺς ἑκατὸν πεντήκοντα πάντας ἠριθμηκώς, ἐπί τινος μετεώρου σκιμποδίσκου κατὰ τὸν Μάκρωνα παρευρεθέντος στὰς αὐτός, καὶ περιστήσας τοὺς παρεσκευασμένους εἰς πόλεμον, ἔφησε τοιάδε. „ἐχρῆν μὲν μὴ καθ' ὁμοφύλων καὶ ὁμοπίστων ἀλλὰ B κατὰ τῶν ἐχθρῶν τοῦ σταυροῦ τὰς πολεμικὰς ταύτας περιβεβλῆσθαι στολὰς καὶ τὰς χεῖρας τοῖς φασγάνοις καθωπλίσθαι· ἐπεὶ δὲ οἱ τὰ τῆς βασιλείας Ῥωμαίων μοχθηρῶς διέποντες τοῦτο μὲν ἀφείλοντο, ἀναγκαστῶς δὲ καὶ οὔκουν προαιρετῶς τὰς ἡμετέρας λόγχας καθ' ἑαυτῶν ἀκονήσαντες ἔχουσι, μὴ δὴ ἀγεννῶς ἐπιστῶμεν τοῖς ἐπιοῦσι, μηδ' ὅτι ταυτόπιστοι καὶ τὴν αὐτὴν οἰκοῦντες ἀναλογισώμεθα, ἀλλ' ὡς πολεμίους θεῷ πρότερον, οὗ τὸ ἱερὸν τόδε εἰσίασιν ἀναιδῶς, ἔπειτα δὲ καὶ ἡμῶν αὐτῶν ἀπεχθεῖς ἀμυνώμεθα. πάντως δέ εἰσι τὰ τῆς ἀμύνης ἀνεύθυνα· οἷς γάρ τι οὐ προσέστημεν ὅλως καὶ καθ' ὧν ὅπλα οὐδ' ὅλως ἠράμεθα, ἀνερυθριάστως οὗτοι προσίασιν ἡμῖν ὡς ἐπιθανατίοις τισὶ καὶ ἐσχάτοις, καὶ κειμένων

2. τὸ προσκ.] τὸ πρόναον, omissis τοῦ νεώ, A. 4. κικλ.] φασὶν A. 8. μετεώρου σκιμπ.] ὑψηλοῦ σουπεδίου B. 11. καὶ] μηδ' A. 13. ὁπλίζεσθαι A. 15. προαιρετικῶς A. 17. δὴ om A. ταυτόπ. καὶ ὁμογενεῖς ἀναλ. A. 18. θεοῦ A. 20. ἀπεχθεῖς] ἀντιπάλους A. 22. οὗτοι ἀνερυθριάστως ἡμῖν προσθέουσιν ὡς ἐπιθανατίων καὶ A.

perent, pontificia stola ornatus et divina oracula manibus gestans, in templi vestibulum, quod et protecdiceum dicitur, quo se Caesariani fuga receperant, descendit. Caesar vero gladiatores, qui ecclesiae fores tuebantur, et Latinos satellites adhuc viribus integros, et uxoris suae ac domesticos ministros circiter CL secum adduxit; et sublime subsellium in Macrone nactus orationem huiusmodi habuit. „etsi non contra populares et eadem religione initiatos, sed contra crucis inimicos arma sumi decuisset, tamen quia ii qui Romanum imperium male administrant, illud nobis ademerunt, et quantumvis invitos hastas nostras in se acuere coegerunt, hostes haud timide propulsemus, neque religionis neque nationis ratione habita: sed primum ut hostes dei, cuius templum impudenter ingrediuntur, inde ut nostros adversarios ulciscamur. neque nos eo nomine quis- reprehendet. hi enim quos nunquam offendimus, contra quos

ἀδαημοσύνῃ κατεπεμβαίνουσι τοῦ καλοῦ, καὶ προσρυομένους C θεῷ ἐκ τοῦ νεὼ τούτου ἀποσπᾶν ἐθέλουσι, χρεὼν μὴ οὕτω δρᾶν, ὅτι τε οὐδὲν ἀχαρὶ ἐπεγκαλεῖν ἡμῖν ἔχουσι, καὶ ὅτι τῆς ἐσχάτης ἐστὶν ἀπονοίας ἐπιτιμᾶν ὅλως ἢ ὡς δεινὰ δρῶσιν ἀρειμανίους σφᾶς ἐπιέναι τοῖς εἰς θεὸν καταφεύγουσι καὶ μεσίτην τοῦτον προβαλλομένοις καὶ λυτῆρα τῶν διενέξεων. οὔτε οὖν ὑφορᾶσθαι δέον ὡς ἀνόσιον τὸ ὑπερ μάχεσθαί τινα ἑαυτοῦ καὶ σπεύδειν κατὰ τοῦ πλήττc:τος αὐτὸν ἐπιστρέφειν τὸν ἐκεῖθεν ἐπαγόμενον θάνατον, οὔτε τὸν μετὰ ξίφους ἐπιόντα καὶ ἀναιροῦντα ὁμογενῆ ἀπλῆγα δεῖ παριέναι, ἀλλ' ἅπας κακῶς διατιθεὶς κρινέσθω πολέμιος καὶ ὁ ἀναιρήσων πιπτέτω. ἡμῖν δὲ καὶ τὸ θεῖον εἴσεται δήπουθεν χάριν, εἰ ἐκ τοῦ ἱεροῦ τοῦδε τοὺς μιαιφόνους ἀποσοβήσομεν, εἴτε μὴν D κεχηνόσιν, ὡς ὁρᾶτε, κατὰ τῶν ἁγίων καὶ διαρπάσαι ταῦτα προθυμουμένοις ἀντιβαίημεν. εἰ μὴ γὰρ τοῦτ' ἦν ἀ..ὰ διέστελλον ἀνὰ μέσον βεβήλου καὶ ἱεροῦ, πάλαι ἂν τὴν ἐνδοτέρω τῶν προνάων παρῆκαν λίχνευσιν, ὡς ἤδη τὸ νικᾶν ἔχοντες. οἱ δὲ οὕτω τοί εἰσιν ἀναιδέστατοι ὡς οὐ μόνον σκυλεῦσαι φαντάζεσθαι τὰ ἡμέτερα, ἀλλὰ καὶ τὰ τοῦ θεοῦ ἰδιώσασθαι οἱ ἀβέλτεροι. ἀλλ' οὐ μὰ τὸν παγέντα σταυρῷ καὶ τὴν λόγχην ταύτην, οὔκουν αὐτοῖς ἐσεῖται πέρας ἐπιθεῖναι τοῖς ἐγχειρήμασιν, ἐπεὶ καὶ θεῷ τὰ οἰκεῖα χερσί κεχραμμέναις ἄψαυστα διαφυλαχθήσονται καὶ ἡμεῖς ἐσοίμεθα ἂν ἀπρονόμευτοι." τούτοις καὶ

3. δρᾶν] ποιεῖν A. 4. δρ. οὐκ ἐνδιδόναι τοῖς A. 16. τὴν ἐνδοτέρω] παρῆκαν τὴν ἐνδ. τῶν προνάων εἰσβιάζεσθαι πάροδον ὡς A. 23. ἀπρονόμευτοι] ἀπρομήθευτοι A.

arma non cepimus, contra nos veluti capitis damnatos impudenter accurrunt, nullo respectu honestatis; nosque deo supplices, contra omnem aequitatem ex aede avellere contendunt, nulla a nobis iniuria lacessiti. est enim extremae insaniae eos vel obiurgare vel ut iniurios lacessere, qui ad deum confugiunt, eoque intercessore et defensore persecutionum remedium quaerunt. quare nemo nefas putare debet suam salutem propugnare et ictum hostilem antevertere. neque populari suo, stricto ense mortem minitanti, parcendum est. quisquis nocet, hostis habeatur. qui occisum it, occidatur. imo deus ipse gratiam nobis habebit, si templum suum contra istos carnifices defenderimus, qui hianti ore, ut videtis, ad sacra diripienda veniunt. quod nisi in animis haberent, et sacra profanaque iuxta aestimarent, iampridem quippe victores, ultra templi vestibulum vi penetrare destitissent. verum tanta est eorum impudentia, ut non modo nos sed ipsum etiam deum spoliatum velint. sed cruci affixum et hanc hastam testor, haud quaquam ad exitum coepta perducent. nam et deo donaria haec a pollutis manibus intacta conservabimus,

τοιούτοις χρησάμενος ῥήμασιν αὐτός τε κάτεισιν εἰς τὸν πρόναον ἔνθα ὁ λόγος εἴρηκε ῥομφαίαν ἐσπασμένον ἵστασθαι τὸν τῶν P. 156 ἄνω καὶ θείων ταγμάτων κατάρχοντα Μιχαήλ, καὶ οἱ λοιποὶ δὲ ὡς ἡγεμόνι τούτῳ παρείποντο, ἀσπιδηφόροι πάντες καὶ μαχαίρας ἀμφήκεις ἐγχειριζόμενοι καὶ ἀτεχνῶς ἀνδριάντες χάλκεοι. κἀκεῖσε εἰς τάξιν τὸ περὶ αὐτὸν καταστήσας ὁ Καῖσαρ καὶ τῷ σταυρικῷ σημείῳ φραξάμενος τῶν ἄλλων προεκπηδᾷ. οἱ δ' ἐπὶ τῆς τοῦ Αὐγουστεῶνος αὐλαίας, καὶ πρὸς τὴν πρώτην ὁρμὴν ἐκθαμβηθέντες τοῦ Καίσαρος, διὰ V. 128 τῶν εἰσόδων θλιβόμενοι ἐξεχέοντο, ὅτε καὶ τραυματίαι μὲν ἐκ τῶν τοῦ βασιλικοῦ τάγματος πολλοὶ γεγόνασιν, εἷς δέ τις καὶ ἐτεθνήκει τῷ ξίφει διελαθείς. τὸ δ' ἀπὸ τοῦδε ὁ μὲν Καῖσαρ ἐπάνεισιν αὖθις ὅθεν ἐξώρμησεν, οἱ δ' ἐκ τῶν τοῦ B βασιλέως τάξεων οὐκέτι παρελθεῖν ἐθάρρησαν εἰς τὴν αὔλειον, ἀλλὰ δι' ἀκροβολισμῶν ἠγάπων μαχόμενοι. ἤδη δὲ τῆς ἡμέρας ὑποκλινούσης αὐτοί τε οἱ μαχόμενοι καμόντες ἐνέδωκαν, καὶ τοῦ πατριάρχου στείλαντος εἰς τὴν δέσποιναν τὸν ἑαυτοῦ ὑπηρέτην, ὃς ἐκ τοῦ παραβάλλειν εἰς τὰ ἀρχεῖα καὶ διαπορθμεύειν τοῖς βασιλεῦσι τὰ βουλητέα καὶ τὰς ἀποκρίσεις αὖθις ἐκεῖθεν μεταφέρειν Παλατῖνος ὠνόμασται, καὶ πρῶτα μὲν τὴν θείαν ἐπεμβριμησαμένου ταύτῃ ὀργὴν οὕτως ὀξυδερκοῦσαν καὶ καθορῶσαν ἐν ἀκαρεῖ τὰ ὁπουδήποτε δρώμενα ἄθεσμα, ἔπειτα δὲ τὰς περὶ σπονδῶν τῆς Καισαρίσσης διαμεμηνυκότος φωνάς, ἀφικνεῖται λυτὴρ τῶν μηνιμάτων ἀμφοτέ-

1. τὸν] τὸ A. 2. ἵστασθαι] ἀνεστηλῶσθαι A. 9. ἐκθαμβηθέντες] διαταραχθέντες A. 14. ἐθάρρουν τὴν A. 18. παραβάλλειν ἀρχείοις καὶ διαπ. βασ. A.

et nostram salutem haud negligemus." huiusmodi oratione habita in templi vestibulum descendit, ad Michaelis archangeli statuam, caeteris eum ut ducem sequentibus, qui omnes clipeos et longos ancipites enses gestabant, plane aeneis statuis similes. ibi Caesar acie instructa, signo crucis munitus, ante alios prosiluit. qui vero in Augusteonis atrio erant, primo illius impetu perturbati foribus, alii alios urgentes, effunduntur; ac multi ex imperatoria legione vulnerati sunt; unus etiam ense traiectus est. post hoc Caesar eo redit unde venerat, imperatoriis ultra atrium prodire non audentibus, sed eminus tela ingerere contentis. die iam ad occasum vergente milites utrinque fatigati pugnare destiterunt. patriarcha ministro ad dominam misso, qui quod palatium ingredi et imperatorem adire et nuntios ultro citroque perferre solet, Palatinus dicitur, principio divinam ei iram comminatus est, quae acutissimis oculis, quicquid ubique nefarie fiat, in ictu oculi intueatur. deinde Caesarissae verba de paci-

ροις τοῖς μέρεσιν ὁ μέγας δοὺξ Ἀνδρόνικος ὁ Κοντοστέφανος, C
ὁ μέγας ἑταιρειάρχης Ἰωάννης ὁ Δούκας, καὶ συχνοὶ ἕτεροι τὸ γένος ἀριπρεπεῖς καὶ μεγίστοις περίβλεπτοι ἀξιώμασι. καὶ τότε μὲν νυκτὶ μᾶλλον πεισθέντες ἢ ταῖς καταλλαγαῖς τεθαρρηκότες τὸν ἀγῶνα διέλυσαν, τῇ δ' ὑστεραίᾳ καὶ αὖθις πρὸς πόλεμον διῃρρένωντο. τῶν δ' αὐτῶν καὶ πάλιν παραγενομένων ἀνδρῶν, καὶ πίστεις δόντων τῇ Καισαρίσσῃ καὶ τῷ ταύτης ἀνδρί, καὶ ὅρκοις κρατυναμένων αὐτάς, καὶ πληροφορίαν παρασχομένων ὡς οὐκ ἂν τι πάθοιεν ἀηδὲς οὔτε μὴν ἀφαιρεθεῖεν τὴν οἰκείαν ἐπιτιμίαν πρὸς τοῦ ἀδελφοῦ καὶ βασιλέως ἢ τῆς μητρυιᾶς δεσποίνης ἢ τοῦ πρωτοσεβαστοῦ Ἀλεξίου, ἀλλὰ δὴ καὶ ἀμνηστίας κακοῦ δοθείσης οἷπερ αὐτοῖς προσεχώρησαν καὶ εἰς συμμάχους ἐνεγράφησαν, οὕτω δὴ τῆς δευ- D
τέρας ἀπέσχοντο συμπλοκῆς. καὶ οἱ μὲν ἀπῄεσαν εὐθὺς μετὰ τὴν τῶν ὅρκων καὶ τῶν σπονδῶν ἐκπεράτωσιν, νυκτὸς δ' ἐπιστάσης ὁ Καῖσαρ καὶ ἡ τούτου ξύνευνος ἔξίασι τοῦ νεὼ καὶ ἀφικνοῦνται πρὸς τὸ μέγα παλάτιον, καθ' ὃ τότε οἱ κρατοῦντες διέτριβον.

8. Τοιοῦτό μὲν οὖν τὰ κατὰ τὸν Καίσαρα πέρας εἰλήφασι, καὶ δι' αἰτίας ταύτας ὁ δυσκλεὴς ἐκεῖνος συνέστη πόλεμος, καὶ τὴν θείαν ἐπενέγκας καθ' ἡμῶν κίνησιν δι' ὅσα κατὰ τὸ ἱερὸν ἐπισυνέβησαν ἄθεσμα. οὔτε γὰρ τὴν προσρυεῖσαν Καισάρισσαν ἀφίημι τοῦ ἐγκλήματος, εἰς ἀτάσθαλα ἔργα ῥέψασαν καὶ διακυκήσασαν τὸ πολίτευμα· καὶ

17. πρὸς] ἐς A. 19. εἰλήφεσαν A. 21. ἐπενέγκας] ἐπισπάσας A.

ficatione nuntiavit. magnus itaque dux Andronicus Contostephanus, magnus haeteriarcha Iohannes Ducas, et alii complures, viri nobiles et maximis ornati dignitatibus, ad iras utrinque componendas adsunt. ac tum quidem ob noctem magis, quam quod invicem crederent, ab armis discesserunt. postridie ad redintegrandam pugnam incitati, cum iidem viri iterum adessent, et Caesarissae ac marito eius fidem dedissent nihil eis mali timendum esse vel a fratre imperatore vel a domina noverca vel a protosebasto Alexio, neque dignitatem eis ereptum iri, ita demum, data etiam sociis et adiutoribus eorum venia, secundo praelio abstinuerunt. ac alii iureiurando dato et pacificatione peracta statim abierunt: Caesar vero et Caesarissa noctu templo excesserunt et in magnum palatium se contulerunt, in quo tum imperatores degebant.

8. Hunc Caesaris res exitum habuerunt, et his de causis ignominiosum illud bellum est conflatum, quo divina indignatio propter sacra polluta contra nos commota est. neque enim Caesarissam sup-

γε τοὺς μὴ καθυφέντας βραχὺ πρὸς τὰ τῆς δεομένης ταυτησὶ ῥήματα, τὴν δ' οὐκ ἀγαθὴν ἔριν ἀνελομένους καὶ τὸν τῆς προσευχῆς οἶκον ἐντεῦθεν φονίου πλήσαντας αἵματος, εἴποι P. 157 ἄν τις ἐνόχους παρανομήματος. εἰ γὰρ ὁ τῶν Ῥωμαίων στρατηγὸς Τίτος, ὁ πάλαι τῇ Ἱερουσαλὴμ βαλὼν χάρακα, τοσοῦτον ἐφείδετο τοῦ Σολομωντείου νεὼ καὶ οὕτω τοῦ ἐκείνου ἐξείχετο σώζεσθαι ὡς ἑλέσθαι βάλλεσθαι μᾶλλον ὑπὸ τοῦ ἐκεῖθεν ἐκπηδῶντος Ἰουδαϊκοῦ τάγματος καὶ κακῶς πάσχειν τὸ οἰκεῖον στράτευμα ἢ γοῦν τι θεομισὲς ἐπὶ τῷ πολυτελεῖ ἐκείνῳ καὶ θαυμασίῳ ἔργῳ βουλεύσασθαι, ἀνὴρ καὶ ταῦτα μὴ εἰδὼς θεὸν οὗ τὸ τέμενος ὑπεστέλλετο, ἀλλὰ θεοῖς ἀπονέμων σέβας κακῶς οἳ τὸν οὐρανὸν οὐκ ἐποίησαν, ποίαν οὐκ ἂν ἔδει τιμὴν θεοσεβοῦντας ἀπονεῖμαι Χριστιανοὺς τῷ καλλίστῳ τῷδε καὶ θείῳ ναῷ, ὅνπερ ἀτεχνῶς θεοῦ χεῖρες ἠρχιτεκτόνησαν B καὶ ὕστατον καὶ πρῶτον ἐκαλλιτέχνησαν ἔργον ἀμίμητον καὶ ἄντικρυς ἐπὶ γῆς οὐράνιον σφαίρωμα;

Κατὰ δὲ τοῦ πατριάρχου Θεοδοσίου βαρύμηνις ὢν ὁ πρωτοσεβαστὸς ὡς τοῖς αὐτοῦ βουλήμασιν ἀνθισταμένου λαμπρῶς καὶ τὰς οἰκείας ἐφέσεις ἐγκόπτοντος, καὶ πρότερον μὲν κατ' αὐτοῦ πολλοὺς τῶν ἀρχιερέων ἐπισυνέστησε χρυσίῳ καὶ συμποσίῳ διαφθείρας, καὶ καθαιρέσει τοῦτον καὶ ἀπόντα ὑπέβαλεν ὡς δῆθεν τῇ Καισαρίσσῃ κατὰ τοῦ βασιλέως V. 129 ἐπαναστάσῃ προσθέμενον καὶ ὡς ἀφ' ὁρμητηρίου τοῦ ἱεροῦ

5. ὁ πρὶν ἐπὶ τὴν A. 6. νεὼ] ναοῦ A.

plicem absolvo, quae temeritate sua rem publicam turbavit; neque eos qui verba supplicis aspernati in contentionem haud sane laudabilem descenderunt et domum precationis caedibus impleverunt, piaculi expertes esse statuo. nam si Titus imperator, urbis Hierosolymorum oppugnator, Salomonio templo usque adeo pepercit, et ei defendendo ita studuit, ut ab erumpente inde Iudaica cohorte telis peti et male tractari suum exercitum quam sumptuosum et mirandum illud opus violari maluerit; idque homo eius dei ignarus cuius templum reverebatur, et eorum deorum cultor qui caelum non fecerunt, quis honos a religiosis et a Christianis huic pulcherrimo et plane divino templo habendus non fuit, quod omnino dei manibus fabricatum est, primum ac postremum opus, pulcherrimum atque inimitabile, nec in terris aliud quam orbis quidam caelestis extitit?

At protosebastus patriarchae Theodosio iratus ut suis cupiditatibus aperte adversanti, principio multos primarios sacerdotes auro et conviviis corruptos contra illum subornavit. deinde etiam de absente iudicium fieri iussit, quod Caesarissae contra imperatorem seditiosae

στασιοκοπεῖν αὐτῇ μεθ' ὅπλων ἐνδύντα καὶ νεωτεροποιεῖν ἀφρόνως καὶ ἀλογίστως. τάχα δ' ἂν καὶ τοῦ πατριαρχικοῦ θρόνου ἀτίμως τοῦτον κατέσπασεν, εἴπερ ἡ Καισάρισσα μὴ ἀμφοτέραις προσίστατο, τῷ μὲν πρωτοσεβαστῷ μὴ χώραν C διδοῦσα τὸν πατριάρχην καταγαγεῖν καὶ ἀντεισαγαγεῖν ἕτερον, αὐτὸν δὲ τὸν ἱερώτατον ἄνδρα ἐπιμελῶς φρουροῦσα, μήπως ὑποχωρήσας ἑαυτὸν μὲν ἀπαλλάξῃ πραγμάτων ἐν τῷ καθ' ἡσυχίαν ζῆν εἰς ἣν ἐδομήσατο μονὴν κατὰ τὴν νῆσον τὴν Τερέβινθον, ἑαυτῇ δὲ ἀπωλείας ὀφθήσεται πρόξενος εὐθὺς ἐκ τοῦ ναοῦ ἁρπαγησομένη καὶ πεισομένη τὰ χείριστα. τότε δὲ καιρὸν εὑρὼν τῷ θυμῷ χαρίσασθαι, τῶν ἱερῶν ἀρχείων ἀπελαύνει τὸν ὅσιον καὶ τῇ τοῦ Παντεπόπτου περιορίζει μονῇ. πλείστας γε μὴν ὁδοὺς τεμὼν καὶ πολλαῖς ἀντιπαλαίσας ἐννοίαις, καὶ τοῖς τότε πονηροτάτοις τῶν ἐκ τῆς συγκλήτου βουλῆς συγγενόμενος, καὶ ὁπόσοι τῶν ἐντρόφων τοῦ βήματος μήτε θεοῦ ὄπιν μήτ' ἀνθρώπων ὑφωρῶντο νέμεσιν συμβούλοις χρησάμενος, ὅπως εὐσχημόνως ὁ ἱερὸς οὗτος καὶ εὐπροσώπως ἀποβληθείη ἀνήρ, οὐκ ἔσχεν ἐπιτελῆ τὰ κατὰ σκοπὸν καὶ διὰ τὸ καθαιρέσει μὲν εὐλόγως οὐδ' ὁτιοῦν ὑπάγον ἐν αὐτῷ εὑρίσκεσθαι, ἀλλὰ δὴ καὶ τὸ τὴν δέσποιναν καὶ τοὺς πλείους σχεδὸν ἢ τοὺς ἅπαντας τῶν ἐκ τοῦ βασιλείου αἵματος ὑπερβαλλόντως τὸν ἄνδρα τιμᾶν. ἄκων οὖν ὁ σκολιὸς ὄφις τῶν ἑλίξεων ἀποστάς, καὶ τὸν ἰὸν αὖθις κατεσπακὼς ὃν ἐμημεκέναι κατὰ τοῦ ἁγίου [αὖθις] προητοι-

1. στασιοσκοπεῖν codices. 3. ἀτ. τοῦτον] τηνικαῦτα ἀτ. A. μὴ χερσὶν ἀμφ. A. 5. καταγαγεῖν] κατενεγκεῖν A. 9. ὀφθήσεται] γενήσεται A. 20. αὐτῷ] τούτῳ A. δὴ om A.

faverit, et e templo quasi arce quadam tumultus cum armis excitandi et novis studendi rebus occasionem impudenter ac temere suppeditarit. forsitan etiam patriarchico solio tum eum detraxisset, nisi Caesarissa manibus pedibusque obstitisset, nec ei tantum otii concessisset ut hoc patriarcha pulso alium substitueret, et virum sanctissimum diligentissime observasset, ne a turbis negotiorum in otium monasterii, quod in Terebintho insula struxerat, se clam subduceret ipsique causa interitus esset, statim e templo abripiendae et gravissimo supplicio afficiendae. tunc autem opportunitatem explendi animi nactus, virum sanctum sacro palatio pulsum in Pantepopti monasterium relegat, plurimis viis ante tentatis et variis rationibus excogitatis, improbissimorum senatorum et sacerdotum consiliis usus, qui nec deum nec homines metuebant, ut id facinus honesta specie fucaret. non tamen successit negotium, tum quod nihil in eo comperiebatur propter quod pellendus esset, tum quod domina et alii plurimi, atque adeo fere omnes

μάκει, ἐπευδοκεῖ καὶ αὐτὸς τῇ ἐς τὸν πρότερον θρόνον αὖθις τοῦ πατριάρχου ἐπανελεύσει. ἐπεὶ δὲ ἡ κυρία τῆς ἀνόδου ἐνειστήκει, ὁπόσοι τῶν [ἐν τέλει καὶ ὅσοι τοῦ βήματος τοῦ καλοῦ ἔτρεφον ἔρωτα, καὶ ὁ τῆς πόλεως ἅπας δῆμος εἰς τὸ P. 158 ἱερὸν φροντιστήριον συνδραμόντες λαμπροτάτην ἐκείνῳ συντελοῦσι τὴν πρόοδον, μύροις τὰς ἀγυιὰς τέγγοντες καὶ τοῖς Ἰνδικοῖς ξύλοις καὶ καρυκευτοῖς ἀρώμασι τὸν ἀέρα εὐωδιάζοντες. οὕτω δὲ ἡ προπομπὴ μυριάνθρωπος ἦν ὡς μόλις περὶ βαθεῖαν ἑσπέραν ἐπαναζεῦξαι τὸν προπεμπόμενον ἐς τὸν μέγαν τῆς σοφίας θεοῦ ναόν, ὑποφαινομένης ἡμέρας ἐκ τῆς τοῦ Παντεπόπτου μονῆς ἀπάραντα. τοσαύτη δ' αἰσχύνη τὰ τῶν θεμένων αὐτὸν ὑπόδικον ἀρχιερέων ἐκάλυψε πρόσωπα, ὡς μὴ μόνον τὰς δημοσίους παρόδους ἐκτρέπεσθαι διὰ τὸ ἐς τὸν ἀρχιθύτην ἀμπλάκημα καὶ τὸ ἐκεῖνον ἐντεῦθεν παγκαταγέλαστον, ἀλλὰ δὴ καὶ τὸ θανεῖν ὑποβλέπεσθαι. καὶ ταῦτα μὲν εἶχεν οὕτως.

9. Ὁ δ' Ἀνδρόνικος τῇ ἐφέσει τῆς ἀρχῆς κουφιζόμε- B νος, καὶ τοῖς ἐπιστολίοις πτερούμενος ἅπερ αὐτῷ συχνάκις ἐπεποτῶντο τηλεβολούμενα ἐξ οἴκων λαμπρῶν, ὡς ἤδη ἐρρέθη μοι, τέλος καὶ αὐτὴν τὴν θυγατέρα Μαρίαν δραπέτιδα πρὸς αὐτὸν ἀφιγμένην, ἐπεὶ καὶ τοιούτου πατρὸς εὔχετο εἶναι, διδάσκαλον ἀπαράγραπτον τῶν κατὰ τὰ ἀρχεῖα τελου-

6. ἐν μύροις καὶ ἀρώμασι μετὰ ξυλαλόων καὶ καπνισμάτων καὶ ῥοδοσταμάτων τοὺς δρόμους καὶ τὸν ἀέρα καπνίζοντες καὶ μυρίζοντες B. 7. καρυκευτικοῖς A 19. ἐξ οἴκων λαμπρῶν] ἐκ τῶν μεγάλων προσώπων B. 22. post τελουμένων cum A omisi κατὰ τὸ θεῖον.

imperatoris consanguinei, virum illum summopere venerabantur. invitus igitur obliquus iste anguis, voluminibus omissis, et veneno quod in virum sanctum evomendum curarat rursus devorato, ipse quoque assentitur ut patriarcha in pristinam sedem reponatur. die reditus instante omnes magistratus, omnes sacerdotes honestatis amantes, et tota urbis multitudo, concursu ad monasterium facto, progressionem cives splendidissimam effecerunt: vici unguentis delibuti, suffitus ex lignis Indicis et aromatibus facti, tanta multitudine comitante, ut vesperi demum in magnum Sophiae templum perveniret, cum primo diluculo monasterium egressus esset. sacerdotes vero qui ei dignitatem abrogarant, ita facti puduit, ut non modo publicas vias declinarent ob admissum facinus et derisum, sed mortem etiam optarent.

9. Interim Andronicus spe principatus elatus et crebris illustrium virorum litteris confirmatus, quae, ut dixi, ex longinquo ad eum advolabant, denique Maria quoque filia, quae haud ab ipso

μένων ηὐτύχησε, καὶ μυωπισθεὶς οἷς παρ' αὐτῆς ἠκηκόει θυμήρεσι ῥήμασιν ὡς ἵππος σταδιευτής, τὰ μὲν τῶν Παφλαγόνων μεθίησιν ὅρια, εἰς δὲ τὴν κατὰ Πόντον Ἡράκλειαν παραγίνεται, κἀκεῖθεν προσωτέρω χωρεῖ, τῇ πολυτρόπῳ μεθοδείᾳ καὶ τῷ τοῦ ἤθους ὑποκαθειμένῳ καὶ τῷ σεσοφισμένῳ φρονήματι ἐξομιλῶν τοὺς ἐν ποσὶ πάντας καὶ οἰκειούμενος, ἐπεὶ καὶ τίς ἐκ πέτρας ἀγελάστου οὕτως ἦν προϊὼν ἢ καρδί- C αν σιδηρέῳ χαλκευθεὶς ἄκμονι, ὡς ἄτεγκτος εἶναι τοῖς Ἀνδρονίκου δακρυρροήμασι καὶ τῇ αἱμυλίᾳ τῶν ῥημάτων ὁπωσοῦν ἀγοήτευτος, ἅπερ κατὰ κρήνην μελάνυδρον ἔχεε καὶ οἷς ἀπατηλῶς τε ἅμα καὶ ἐφολκῶς ἐστωμύλλετο, τὸν ὑπὲρ τοῦ καλοῦ ζῆλον προφέρων καὶ τὴν τοῦ κρατοῦντος ἐλευθερίαν ὑποκρινόμενος; ἀλλ' οὐδ' ὁ πρωτοσεβαστὸς ἐπὶ τούτοις ἠμέλει παντάπασιν, καίτοι γύνανδρος ὤν, καὶ μὴ μόνον τὴν ἕω V. 130 εἰς τὸ νήγερτον ὑπνώττειν καταναλίσκων ἀλλὰ καὶ πολὺ τῆς ἡμέρας πρὸς τοῦτο ἐκδαπανῶν, καὶ ἵνα μὴ τὸ ἀσπασιώτατον τοῖς ἄλλοις ἡλίου βλέφαρον τὰς ἐκείνου κόρας ὑπανοίγῃ διαφωτίζον, παραπετάσμασι στεγανωτέροις ἐκζοφῶν τὸ δωμάτιον ἐν ᾧ ἐκάθευδε, καὶ καθ' ἕτερόν τι σημαινόμενον ἀποκρυβὴν D ἑαυτοῦ τὸ σκότος τιθέμενος. εἰ δὲ δεῖ ἀληθέστερον εἰπεῖν, τὰ μὲν νυκτὸς ἔργα τρυφῶν φωτὶ ποιητῷ τὸ νύκτερον διέλυε ζόφωμα, ἡλίου δὲ τὸν ἑῷον ὁρίζοντα ἀναβαίνοντος κατὰ τὰ θηρία τὸν κοῖτον μεταδιώκων τάπησι καὶ πέπλοις τὸ φῶς ἀντέφραττε. τοίνυν καὶ σμήχων τοὺς σαπριῶντας τῶν ὀδόντων

3. τὴν ποντοηράκλειαν B. 6. ἐξομαλῶν A. 7. καὶ om A.

degenerabat, fuga ad eum elapsa et diserte omnem palatii statum referente, suavibus illius verbis ut equus cursor flagellis concitatus, Paphlagonum finibus relictis Ponti Heracleam proficiscitur. atque inde longius progressus multiplici calliditate, obscuro ingenio et simulandi ac dissimulandi artificio obvios quosque praeparavit et conciliavit. nam quis ex dura adeo rupe natus esset et corde adeo ferreo praeditus, ut Andronici lacrimis et verborum praestigiis atque illecebris, quae fontis instar exuberabant, non moveretur? iactabat enim honesti studium, et imperatoris libertatem curae sibi esse profitebatur. caeterum nec protosebastus ista negligebat, quanquam homo effeminatus, qui non auroram tantum stertendo consumebat, sed magnam diei quoque partem somno tribuebat; et ne iubar solis, aliis optatissimum, radiis oculos ei aperiret, velis densioribus cubiculum obscurabat; quae res eo quoque pertinebat ut in tenebris delitesceret. quod si verius dicendum est, opera nocturni luxus facibus accensis peragebat, factitio lumine discussis tenebris. sole vero in nostrum hemisphaerium ascendente, more ferarum cubile petens,

καὶ καταπιττώμασι ἀναπληρῶν τοὺς ὑπὸ χρόνου ἐκκρουσθέντας, θηλυδρίας τε ὢν καὶ ὑπόνωθρος τοὺς πλείστους τῶν τηνικαῦτα εὐγενῶν ἀνδρῶν ἑαυτοῦ καινοπρεπῶς ἐξηρτήσατο, χρώμενος μὲν καὶ προτειχίσματι ἢ ἀληθῶς εἰπεῖν μειλίγματι ἀμάχῳ τῇ τοῦ βασιλέως μητρὶ (αὕτη γὰρ τῷ τῆς θέας λαμπρῷ καὶ τῷ τῆς ὄψεως μαργαρώδει καὶ τῷ τοῦ ἤθους ὁμαλῷ καὶ τῷ τοῦ φρονήματος ἀσυμπλόκῳ καὶ τῷ ἐπαγωγῷ τοῦ P. 159 φθέγματος ὡς ἀπὸ μηρίνθου πάντας ἐφείλκετο), τὰ πλεῖστα μέντοι τοῖς χρήμασιν ὑπαγόμενος καὶ τῇ φιλοδωρίᾳ κατακοιμίζων τοὺς ἐν δευτέρῳ τιθεμένους ἐκείνου φέρειν τὰ δεύτερα. ὅθεν οὐδεὶς τῶν ἐπιταχθέντων ἀντιτάξασθαι Ἀνδρονίκῳ πρὸς Ἀνδρόνικον μετετάξατο τὸν ἤδη λαμπρῶς τῆς τυραννίδος ἁπτόμενον, ἀποπτύσας τὸν πρωτοσεβαστὸν καὶ τῷ προσωπείῳ τοῦ μισοτυράννου Ἀνδρονίκου δελεασθείς. ἥ τε οὖν προκαθημένη τῶν Βιθυνῶν μεγίστη πόλις ἡ Νίκαια οὐδ' ὅλως Ἀνδρονίκῳ προσέθετο, καὶ ὁ τὴν ταύτης ἐμπιστευθεὶς φυλακὴν Ἰωάννης ὁ Δούκας τοῖς Ἀνδρονίκου γράμμασι μεμένηκεν ἀστυφέλικτος, καίπερ τὰς γνώμας πλήττουσιν ἑλεπόλεων ἀκριβέστερον καὶ τειχομαχείου ξύμπαντος ἰσχυρότερον. ἀλλὰ καὶ B ὁ μέγας δομέστικος Ἰωάννης ὁ Κομνηνὸς τὴν ἐπαρχίαν διέπων τῶν Θρᾳκησίων οὐ μόνον ἔβυε τὰ ὦτα πρὸς τὰ τοῦ Ἀνδρονίκου ἐπᾴσματα, ἀλλὰ καὶ ὡς τύραννον διετώθαζεν, οἷα κατόπτρῳ τοῖς λεγομένοις προσκύπτων λείῳ καὶ ἀποστίλβοντι,

1. καταπιττώμασι] καταπάσσων πάσματι B. 4. καὶ] τὰ πολλὰ A. 9. χρ. κατεμάλθασε καὶ τῇ φ. κατεκοίμιζε τοὺς A. 13. τὸν codices om. 16. ὁ τὴν ταύτης] ὁ ταύτην κεφαλατικεύων B. 23. λεγομένοις] γραφομένοις A. προκύπτων codices.

tapetibus et peplis lumen excludebat. proinde cum putrescentes dentes abstergeret, et qui ob aetatem exciderant, picatione expleret, mollis homo et ignavus plurimos viros nobiles nova sibi ratione conciliavit, imperatoris matre plerumque propugnatrice aut potius conciliatrice insuperabili utendo; quae splendore et elegantia vultus, aequabilitate morum, animi candore et suavitate verborum veluti funiculo attrahebat omnes. plerumque tamen pecunia placavit et munificentia delinivit eos, qui se posteriores ferre iniquis animis patiebantur. itaque nullus Andronico resistere iussus a protosebasto ad eum defecit, iam haud obscure regnum affectantem; neque persona illa, qua se is velabat ut hostem tyrannidis, est deceptus. Nicaea enim princeps ac maxima Bithyniae urbs plane repudiavit Andronicum; nec eius urbis praefectus Iohannes Ducas litteris illius se de gradu deiici passus est, licet acrius ferientibus quam moenia ulli arietes aliaeve machinae. praeterea magnus domesticus Iohannes Comnenus, Thraciae praefectus, non solum aures contra Andronici

καὶ διαφαινόμενον ἐν τούτοις ὁρῶν τὸν πολύμορφον Πρωτέα καὶ τυραννικὸν τὸν τρόπον Ἀνδρόνικον. ἐπεὶ δὲ τῇ Ταρσίᾳ ὁ Ἀνδρόνικος ἤγγιζε καὶ τῶν περὶ τὴν Νικομήδους πόλιν οἱ πλείονες αὐτῷ προσεχώρουν, στέλλεται κατ' αὐτοῦ μετὰ δυνάμεως ἱκανῆς Ἀνδρόνικος ὁ Ἄγγελος, οὗπερ οἱ υἱεῖς ἐς ὕστερον Ἰσαάκιός τε καὶ Ἀλέξιος μετ' Ἀνδρόνικον ἐπέβησαν τῆς ἀρχῆς. ὁ δὲ περὶ τὸν Χάρακα τὸ χωρίον πόλεμον συγκροτήσας ἡττᾶται λαμπρῶς, καίπερ οὐκ ἰσοπαλεῖ συμπλακεὶς στρατιᾷ ἢ τὸν ἀνταγωνιστὴν εὑρὼν ἀξιόμαχον, ἀλλ' ἐκτομίᾳ τινὶ συμμίξας ἀχρείους στρατολογήσαντι γεωργοὺς καὶ μοῖραν C συνεπαγομένῳ Παφλαγόνων στρατιωτῶν. εἰς τὴν πόλιν τοίνυν εὐθὺς μετὰ τὴν ἧτταν εἰσιὼν ἀκλεῶς ἀπῃτεῖτο καταθέσθαι τὰ χρήματα, ὅσα οἱ πρὸς τὰς κατὰ πόλεμον δαπάνας βεβράβευτο. ὁ δὲ βασανιζομένην ὁρῶν τὴν αὐτοῦ κατάσχεσιν, ὅτι φίλια φρονῶν τῷ Ἀνδρονίκῳ τὰ πράγματα χειρόνως διέθετο ἅπερ εὐμαρίσειν ἀπέσταλτο, ἐναγόμενος παρὰ τῶν υἱέων ἓξ ὄντων καὶ πάντων ὁπλοτέρων τὰς φρένας καὶ κατὰ χεῖρα γενναίων, ἐπεβάλετο μὲν τὸν οἰκεῖον οἶκον διακρατύνειν καὶ κατασκευάζειν ἐπιτειχίσματα κατὰ τὸν ἔξω Κιόνιον διακείμενον, καὶ τῶν ἐκ τοῦ δήμου τινὰς ἐπεσπάσατο πρὸς ἑαυτόν· ὁρῶν δὲ ὡς οὐκ ἀκμαῖός ἐστι πρὸς βασίλειον πλεονεκτοῦσαν ἀνθόπλισιν καὶ ὡς οὐκ ἂν σχοίη περιγενέσθαι τῶν διαφόρων, D πρὸς φυγὴν μεθαρμόζεται, καὶ τοὺς ἓξ υἱοὺς παραλαβών,

6. μετ' Ἀνδρόνικον om A. 8. προσπλακεὶς A. 15. φίλα A. 18. ἐπικρατύνειν A. 20. πρὸς ἑαυτόν] πρὸς σύναρσιν· ὁρῶν δὲ τὰ καθ' ἑαυτὸν ὑποβαίνοντα πρὸς βασίλειον ἀνθόπλισιν A. 23. καὶ τοὺς] τοὺς γὰρ A.

carmina obturavit, verum etiam ut tyrannum insectatus est, perspecto in eius litteris multiformi Proteo, tyrannico Andronici ingenio velut in claro speculo relucente. qui cum Tarsiae appropinquaret et Nicomedensium maximam partem sibi adiunxisset, Andronicus Angelus, cuius filii Isaacius et Alexius post ad imperii fastigium ascenderunt, cum iustis copiis contra eum mittitur, et circa Characem castellum commisso praelio succumbit, quamquam neque cum pari exercitu neque cum duce bellicoso, sed cum spadone quodam congressus, qui rusticos inutiles et cohortes aliquot militum Paphlagonum adduxerat. post acceptam cladem cum statim in urbem venisset, repetita est ab eo pecunia quam ad bellum administrandum acceperat. videns igitur casum eum sic accipi quasi ex amicitia Andronici rem de industria peius gessisset, a sex filiis impulsus, qui omnes cordati et manu strenui viri erant, domum suam in exteriore Cionio sitam firmare praesidiis instituit, aliquot ex plebe adiutoribus ascitis. sed cum res suas eo vergere cerneret, ut ab imperatore op-

τὴν δ' ὁμόλεκτρον τοῦ δόμου ἀπαγαγών, νηὸς ἐπιβὰς τῆς ἐς Ἀνδρόνικον ἅπτεται. ὁ δὲ ἰδὼν προσιόντα τὸν Ἄγγελον λέγεται εἰπεῖν „ἰδού, ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώ- V. 131 που σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου." θάρσος οὖν ἐπὶ τῇ τοῦ ἐξαδέλφου παρουσίᾳ λαβὼν Ἀνδρόνικος καὶ τὰ κατ' ἔφεσιν ὁρῶν προβαίνοντα, τῶν ἐνοδίων ἐκτροπῶν ἀφέμενος καὶ χαίρειν ἐάσας τὰς πόλεις Νίκαιάν τε καὶ Νικομήδειαν καὶ τὸ τῇδε ἢ ἐκεῖσε μεταστρέφεσθαι, πρὸς τὴν Κωνσταντίνου τὸν δρόμον ἀκλινεῖ συνέτεινε νεύματι, ὡς ὁδοῦ Φιλιστιείμ τῆς ἐς αὐτὴν φερούσης ἐχόμενος. καὶ δὴ κατὰ τὰ Πευκία ἐναυλισάμενος (τόπος δέ ἐστι ταῦτα ἐν τοῖς ἄνω Χαλκηδόνος διακείμενος μέρεσι καὶ οὕτως ὀνομαζόμενος) P. 160 καὶ πυρὰ πολλὰ καύσας τὴν νύκτα ὅλην ἐκείνην, μὴ κατὰ λόγον τῆς συνούσης αὐτῷ στρατιᾶς ἀλλ' ἐς δόκησιν στρατεύματος πλείονος, ἐκκρεμεῖς ἑαυτοῦ τοὺς Βυζαντίους ἔθετο ὡς τὰ ἀνὰ χεῖρας προεμένους ἔργα εἰς τὴν περαίαν τείνειν τὸ ὄμμα, ἀκταῖς τε καὶ γηλόφοις προσιόντας τῆς πόλεως, καὶ πόρρωθεν ὄντα Ἀνδρόνικον ἐπισπᾶσθαι οἷον τοῖς νεύμασιν. ὧδε μὲν οὖν ἐχώρει τὰ κατὰ τὸν ἀναφαλαντίαν καὶ πολιοκόρσην Ἀνδρόνικον.

10. Ἀλέξιος δὲ ὁ πρωτοσεβαστὸς μὴ ἔχων διὰ πεζῆς φάλαγγος ἀποσοβῆσαι τὸν ἐπιόντα οἱ πολέμιον (ἤδη γὰρ οἱ μὲν μετέβαινον ταῖς γνώμαις κρυφιωδῶς πρὸς Ἀνδρόνικον, ὁπόσοις οὐκ ἦν ὅλως ἀκίνδυνος ἡ πρὸς ἐκεῖνον τοπικὴ μετάβα-

10. δὴ τοῖς πευκίοις A. 12. ἄνω τῆς χ. A.

pugnaretur et adversariis resistere non posset, mutato consilio, sex filiis et uxore in navim impositis, ad Andronicum abit. qui eo viso dixisse fertur „ecce mittam Angelum meum ante faciem tuam, qui viam tibi praeparet." resumpta igitur ex praesentia consobrini fiducia, et successu consilii sui confirmatus, itineris ambagibus omissis et urbibus Nicaea et Nicomedia contemptis, recta Cpolim pergit. et Peuciis diversatus (locus is est supra Chalcedonem) et multis pyris incensis, non pro magnitudine exercitus, sed ut maiores copias habere videretur, omnes Byzantinos suspensos reddidit, ut suis operibus omissis littus oppositum intuerentur, et collibus ac tumulis conscensis Andronicum adhuc procul ab urbe remotum nutibus veluti attraherent. ita res recalvastri et cani Andronici procedebant.

10. Alexius vero protosebastus cum ingruentem hostem pedestribus copiis propulsare non posset (iam enim alii animis clam ad Andronicum inclinabant, quibus ad eum transire pedibus tuto non licebat; alii se fidem suam imperatori satis probasse putabant, si domi sederent, neutri parti addicti: sic enim animi calliditas, et

σις, τοῖς δὲ ἀρκετὸν ἐς τὴν πρὸς τὸν κρατοῦντα πίστιν λελό- B γιστο τὸ ἐπ' οἴκου καθῆσθαι καὶ μηδενὶ προστίθεσθαι τῶν μερῶν· οὕτω γὰρ φρονεῖν τε καὶ λέγειν τοὺς πολλοὺς ἐξεπαίδευσε τὸ τῆς γνώμης κερδαλεόφρον καὶ τὸ διὰ φόνων ἀεὶ καὶ προχύσεως αἵματος τοὺς πλείους τῶν βασιλέων τῆς Ῥωμαϊκῆς ἐπιβαίνειν ἀρχῆς) διὰ ναυμαχίας ἐπειρᾶτο τὸν προσέρποντα κίνδυνον ἀποκρούσασθαι. τριήρεις τοίνυν τὴν Προποντίδα ἐκάλυπτον, αἱ μὲν Ῥωμαίους ἔχουσαι τοὺς ἐρέσσοντας καὶ τοὺς ἐκ τῶν καταστρωμάτων διαμαχέσασθαι μέλλοντας, αἱ δὲ τῶν κατὰ πόλιν διαφορογενῶν Λατίνων ὅ τί περ κράτιστον μέρος καὶ μαχιμώτατον, οἷς καὶ τὰ χρήματα ποταμηδὸν ἐπεχέοντο, ἐπεὶ καὶ τούτοις ἐπεποίθει μᾶλλον ὁ χρώμενος πρωτοσεβαστὸς ἤπερ τοῖς Ῥωμαίοις αὐτοῖς ὡς ἀρήξουσιν. ὥρμησε μὲν οὖν τοὺς πιστοτάτους ἑαυτῷ ἐπιστῆσαι C τριηράρχας καὶ παραδοῦναι τὸν στόλον τοῖς ἐκείνῳ κατὰ γένος ἐγγίζουσι· τοῦ δὲ μεγάλου δουκὸς τοῦ Κοντοστεφάνου ἀντιπνεύσαντος καὶ τῆς στολαρχίας παντὶ τρόπῳ ἐξεχομένου ὡς αὐτῷ καὶ οὐχ ἑτέρῳ δήπουθεν προσηκούσης, ἀναγκαστῶς τὴν βούλησιν μετατίθησι. καὶ δὴ ὁ μὲν Κοντοστέφανος Ἀνδρόνικος κύριος καθειστήκει τοῦ στόλου παντός, καὶ κατάπλους ἅπας τοῖς ἀπὸ τῆς ἕω περαιουμένοις ἀποτετείχιστο· συνῆν δὲ τῷ Κοντοστεφάνῳ καί τι τοῦ πρωτοσεβαστοῦ συγγενικὸν καὶ οἰκίδιον. μετὰ βραχὺ δὲ καὶ πρέσβις ἀπὸ τοῦ βασιλέως ἐς Ἀνδρόνικον στέλλεταί τις τῶν ἐντρόφων τοῦ βήματος. ὁ Ξιφιλῖνος ἦν οὗτος Γεώργιος, ὃς καὶ εἰς ὄψιν τῷ τυράννῳ ἐληλυθὼς τά τε γράμματα ἐνεχείρισε καὶ τὰ δια-

8. ἐρέσοντας A. 18. δήπουθεν] δή τινι πρ. A.

consuetudo illa ut plerique caedibus et sanguine imperio potiantur, vulgus et sentire et loqui docuit), navali pugna imminens discrimen avertere conatur. igitur triremibus occupata est Propontis, in quibus partim Romani remigabant et ex tabulatis pugnabant, partim diversae nationes Latini nominis, pars fortissima et pugnacissima copiarum, quibus, quia plus quam Romanis fretus erat, pecuniam ingentem numerabat. cum autem sibi fidissimos trierarchas deligere et cognatos suos classi praeficere in animo haberet, Contostephano magno duce adversante et praefecturam classis sibi quovis modo vendicante, coactus consilium mutat et Contostephanum universae classi praeficit, adiunctis etiam cognatis et domesticis suis. ita Orientalibus navibus aditu intercluso, paulo post quidam ex ordine sacerdotum, Georgius Xiphilinus, ab imperatore ad Andronicum mittitur. qui cum in tyranni conspectum venisset, litteras reddidit, et quae in

D μηνυθέντα οἱ ἀπήγγειλεν. ἦν δὲ ταῦτα δωρεῶν ἐπαγγελίαι μειζόνων καὶ ἀξιωμάτων ἀνάβαθμοι καὶ χάρις ἀπὸ τοῦ πρυτανεύοντος εἰρήνην θεοῦ ἀποστάντι μὲν τοῦ προκειμένου σκέμματος, ἐξ οὗπερ ἐμφύλιοι συμβήσονται πόλεμοι, πρὸς δὲ ἤθη τὰ πρότερον ἐπανήκοντι. ὁ δὲ τοῦ πρεσβευτοῦ, ὥς φασι, Ξιφιλίνου τὴν πρεσβείαν ὑπονοθεύσαντος, καὶ μὴ ἐνδοῦναι ὅλως ἢ βραχύ τι γοῦν καθυφεῖναι παρακελευσαμένου τῷ Ἀνδρονίκῳ, τήν τε αἴτησιν ἀποπέμπεται καὶ τὴν προσλαλιὰν ποιεῖται τοῖς διαπρεσβευσαμένοις ὑπέρογκον, φάσκων πρὸς ὀργὴν ὡς εἰ Ἀνδρόνικον βούλοιντο παλίνορσον ἀναζεῦξαι ὅθεν ἐλήλυθεν, ἀποσκορακισθήτω μὲν ἐκ μέσου ὁ πρωτοσεβαστὸς
P. 161 καὶ δότω λόγους ὧν πεπαρῴνηκεν, ἡ δὲ τοῦ βασιλέως μήτηρ καθ' ἑαυτὴν βιοτευέτω, τὴν τρίχα κειραμένη καθάπαξ τὴν κοσμικήν, ὁ δὲ βασιλεὺς κατὰ τὴν πατρῴαν διαθήκην ἀρχέτω, μὴ ὡς στάχυς αἴραις τοῖς παραδυναστεύουσι συμπνιγόμενος. ἀλλ' οὔπω ἡμέραι συχναὶ παρῆλθοσαν, καὶ
V. 132 μεταχωρεῖ ἐς Ἀνδρόνικον καὶ ὁ μέγας δοὺξ Ἀνδρόνικος, τὰς μακρὰς νῆας παρειληφώς, ὁπόσας ὁ Ῥωμαίων ἐπλήρου κατάλογος. καὶ τοῦτο τὸ ἔργον ἐπῆρε μὲν ὑπὲρ ἅπαν ἄλλο τὸν ἀποστάτην Ἀνδρόνικον, τὸν δὲ πρωτοσεβαστὸν ἠφάντωσε τέλεον, πάσας τὰς ἐλπίδας ἀπεγνωκότα καὶ κατακλασθέντα τὸ πρόθυμον. οὐκέτι γὰρ λαθραῖαι σύνοδοι τῶν Ἀνδρονίκῳ

1. ἦσαν A. 7. παρακελευσαμένου] ὑποθεμένου A. 9. ὑπέρογκον] ὑπέροπτον πρὸς ὀργὴν ἀνταπαγγελίας ὡς ἦν A. 10. βούλοιντο ἐπαναζεῦξαι A. 11. ἀποσκορακισθήτω] ἂς ἐξέλθῃ B. ἐκ τοῦ μέσου A. 12. δότω] ἂς δώσει B. ἡ δὲ τοῦ β.] ἂς κουρευθῇ δὲ καὶ ἡ δέσποινα καὶ ἂς ἀπέλθῃ εἰς μοναστήριον B. 19. ἄλλο om A.

mandatis acceperat, exposuit. ea erant promissio magnorum munerum et amplioris dignitatis et gratiae dei pacem procurantis, si a proposito desisteret, unde bella civilia oritura essent, et ad pristinum vitae genus reverteretur. Andronicus vero, cum legatus Xiphilinus, ut aiunt, mala fide munus suum obiisset eumque monuisset ne vel minimum cederet, postulationem illam reiicit. et legatos superbe dimissos vicissim nuntiare imperatori iussit, si Andronicum eo reverti velint unde discesserit, protosebastum in primis pellendum esse et ad reddendas facinorum suorum rationes adigendum, imperatoris matrem in ordinem cogendam et tonso capillo in monasterium abdendam, imperatori ex testamento paterno capessendum imperium; neque committendum ut aliorum potentia tanquam spica lolio suffocetur. verum paucis diebus post magnus dux Andronicus cum omnibus longis navibus, quas Romanorum catalogus continebat, ad Andronicum defecit. quae res seditiosum Andronicum super omnia ex-

προσκειμένων ἐγίνοντο, ἀλλ' ἀνέδην τὸν πρωτοσεβαστὸν ἐρεσχελοῦντες οἱ ταῖς τῶν πραγμάτων μεταβολαῖς χαίροντες ἐς Χαλκηδόνα διεπλωΐζοντο, καὶ τῷ Ἀνδρονίκῳ κατὰ φατρίας συγ- B γινόμενοι φυὴν ἐκείνου καὶ εἶδος ἀγητὸν καὶ γῆρας σεμνὸν ἀπεθαύμαζον, καὶ τὸ τῆς ἐκείνου γλώττης τρυγῶντες μελίκηρον, καὶ ὡς ἄγρωστις ὄμβρον ἢ δρόσον Ἑρμωνῖτιν τὰ ὄρη Σιών, ἃ ἦν ὑψηγορῶν προσιέμενοι, μετὰ πλείστης ἐπανέστρεφον χαρμονῆς, ὡς εἴπερ τὰς ᾀδομένας χρυσᾶς ἔννας καὶ τὴν ἀληλεσμένην τοῦ μήλου δίαιταν ἢ τὴν λεγομένην ἡλίου τράπεζαν παρακειμένην εὕραντο καὶ κατακορεῖς αὐτῆς ἐγεγόνεισαν. ἦσαν δ' οἳ κἀκ πρώτης ὄψεως εὐθὺς τὸν ἐν δέρματι προβάτου κεκρυμμένον λύκον ἐγνώρισαν, καὶ τὸν ὅσον οὔπω μετὰ θάλψιν ἐπιθησόμενον ὄφιν καὶ κακῶς τοὺς ὑπὸ κόλπον φέροντας δράσοντα.

11. Ἐπὶ τούτοις ἀνίενται μὲν τῆς εἱρκτῆς αὐτοῦ τε τοῦ C Ἀνδρονίκου οἱ παῖδες ὁ Ἰωάννης καὶ ὁ Μανουὴλ καὶ οἱ λοιποὶ οὓς καθεῖρξεν ὁ πρωτοσεβαστός, ἐγκλείονται δ' ἕτεροι, οἷς οὗτος προσέβλεπεν ἥμερον, καὶ ὅσον τῆς αὐτοῦ μερίδος καὶ συγγενείας. καὶ αὐτὸς δὲ κατὰ τὰ ἀνάκτορα συλληφθεὶς ὁ πρωτοσεβαστὸς καὶ φρουρᾷ διαληφθεὶς Γερμανῶν, οἳ κατωμαδὸν τοὺς ἑτεροστόμους πελέκεις ἀνέχουσιν, ἀπρόσιτος ἔμενεν. αὖθις δὲ τῶν μὲν βασιλείων λαθραίως καὶ περὶ μέσας νύκτας ἐξάγεται, τοῖς δὲ κατὰ τὸ ἱερὸν ἀνάκτορον οἰκήμασι

9. μήλου] μύθου A. 15. εἱρκ. αὐτοῦ τε] εἱρκτῆς οἱ τοῦ Ἀνδρ. A. 17. καθεῖρξεν] ἐφυλάκισε B. 20. φρουρᾷ] ὑπὸ τῶν βαράγγων φυλάττεται B. 21. ἀπρόϊτος codices.

talit, et protosebastum adeo depressit, ut rebus desperatis omnem animi alacritatem amitteret. neque enim amplius dissimulanter concursabant Andronici studiosi, sed protosebastum impudenter irridentes, qui novis rebus gaudebant, Chalcedonem traiiciebant, et turmatim Andronicum adeuntes staturam eius et formam pulcherrimam et venerabilem senectutem mirabantur. et suavitate orationis eius magnificentia pollicentis capti alacres et laeti domum redeunt, non secus ac si in fortunatis insulis omni deliciarum genere expleti fuissent. fuerunt etiam qui sub pelle ovina delitescentem lupum ex primo congressu perspexerunt, et serpentem statim a refocillatione grassaturum in eos quorum sinu foveretur.

11. Post haec duo Andronici filii, Iohannes et Manuel, caeterique quos protosebastus in vincula coniecerat, carcere emittuntur; et alii eo coniiciuntur, quibus idem favebat, atque adeo omnis eius factio atque cognatio, et ipse protosebastus in palatio comprehensus a custodia Germanorum ancipites secures in humeris gestantium exi-

δίδοται, ὧν δομήτωρ ὁ πατριάρχης γέγονε Μιχαήλ, μετὰ τῆς αὐτῆς καὶ πάλιν καὶ πλείονος ἀσφαλεστέρας φρουρᾶς. ὢ
D πραγμάτων παλινστρόφου φορᾶς, καὶ θᾶττον ἢ λόγος μετακλινομένης ἐνίοτε! ὁ κατὰ τῆς ἐκκλησίας χθὲς εἰσενεγκὼν ἀκήρυκτον πόλεμον ὡς πολὺς τὸ γένος καὶ τὴν τύχην ὑπέραυχος, καὶ τοὺς φυγάδας ἐκεῖθεν ἀποσπῶν ὡς οὐκ ἔδει, καὶ μυριάσιν ὄχλων περιβομβούμενος, σήμερον δέσμιος καὶ ἀνέστιος, μηδένα ἔχων ὀπαδὸν καὶ συλλήπτορα ἢ τὸν σώζοντα καὶ λυτρούμενον. ὁ δὲ ἐδυσχέραινε μὲν κἀπὶ τούτοις, ἐπαθαίνετο δὲ μειζόνως ὅτι μὴ εἰῷτο ὑπνώττειν ὑπὸ τῶν φυλάκων ἀεὶ ἐπιπιπτόντων αὐτῷ πρὸς ὕπνον τρεπομένῳ καὶ βιαζόντων ἱστᾶν τοὺς ὀφθαλμοὺς ὥσπερ κέρας ἢ σίδηρον. ὁ δὲ πατριάρχης μὴ μνησικακῶν ἀλλ᾽ οἰκτείρων τῆς μεταβολῆς
P. 162 τὸν ἄνθρωπον θεραπείας τε ἱκανῆς μετεδίδου καὶ συγγινόμενος τὸ ἄχος ἐκούφιζε, καὶ μετρίως ἐκείνῳ προσφέρεσθαι παρῄνει τοῖς φύλαξι μηδὲ γίνεσθαι βαρυτέρους τύχης τῆς ἐνεστώσης. οὐ μὴν ἀλλ᾽ ἡμερῶν τινῶν διαλιπουσῶν ἑῷος ἀπάγεται τοῦ νεὼ ἵππῳ βραχυτάτῳ ἐπικαθήμενος καὶ προοδεύουσαν ἔχων σημαίαν ἐπὶ καλάμῳ ἠνεμωμένην, καὶ παροινούμενος οὕτω κατῄει πρὸς θάλασσαν. κἀκεῖθεν παρρριφεὶς ἁλιάδι ἐς τὸ πέραν ἀνάγεται πρὸς Ἀνδρόνικον, ἔπειτα καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται, κοινῶς ἁπάντων τῶν ἐν ὑπεροχῇ συνελθόντων καὶ μετ᾽ Ἀνδρονίκου τὴν τοιαύτην πρᾶξιν κυρωσαμέ-

2. πλειόνως A. 5. ὡς] καὶ A. 6. ἀποσπᾶν πειρώμενος ὡς A. 15. ἄχθος A. 17. διαλιπουσῶν] διαγενομένων A. 20. παραρριφεὶς] εἰς βάλκαν ἐμβάλλουσι B.

tu prohibetur. sed sub mediam noctem clam palatio eductus in aedes sacrae curiae, quas patriarcha Michael struxit, perducitur, cum eadem et maiore ac firmiore custodia. o vicissitudinem rerum aliquando dicto citius ingruentem. is qui pridie bellum atrocissimum ecclesiae intulerat, amplissima familia ortus, in summo fastigio collocatus, qui contra officium supplices inde abstrahere studuerat, quem multa millia circumsonabant, is perendie vinctus, extorris, nullum pedissequum, nullum adiutorem, nullum vindicem habuit. quae cum aegre ferret, illud magis querebatur, quod a custodibus dormire prohiberetur, subinde irruentibus et immotis oculis astare cogentibus. at patriarcha oblitus iniuriarum, et mutatae fortunae misertus, non parvam eius curam gessit, et onus illud suo colloquio levavit, hortans ut moderate cum custodibus ageret, neque arrogantius quam pro fortuna loqueretur. aliquot diebus elapsis matutino tempore ex templo abducitur, et minutissimo equulo impositus, vexillo, quod in calamo ventilabatur, praeeunte, per ludibrium ad mare deductus et in lintrem coniectus ad Andronicum defertur. post etiam

νων. καὶ τοιοῦτο μὲν τὰ τῆς τοῦ πρωτοσεβαστοῦ παραδυναστείας ἢ μᾶλλον οὔπω παγείσης ἀκριβῶς τυραννίδος καὶ τῆς τῶν κοινῶν πραγμάτων διοικήσεως πέρας εἰλήφεσαν. εἶχε B μὲν οὖν τὰς χεῖρας εἰς παράταξιν ἱκανὰς καὶ τοὺς δακτύλους πρὸς πόλεμον ἐδεδίδακτο, ἴσως δ' ἂν καὶ πλείονι πολέμου παρασκευῇ καὶ ὁρμῇ ὀξυτέρᾳ χρησάμενος τῷ τε Ἀνδρονίκῳ τὴν εἰς τὴν πόλιν πάροδον ἀπετείχισε καὶ ἑαυτὸν ἀπείρατον διεφύλαξε τοῦ ἐφεστῶτος κακοῦ· ποιεῖν γὰρ ἐπὶ τοῖς βασι- V. 133 λείοις ἠδύνατο θησαυροῖς ὁπόσα ἠβούλετο, καὶ ταῖς τριήρεσιν ἐνῆν χρήσασθαι πρὸς τὴν τοῦ ἀνθισταμένου καταπολέμησιν αἳ τὸ ἐκ Λατίνων εἶχον ὁπλιτικόν, οὕτω μὲν ἐπικρατέστερον ὂν τοῦ Ῥωμαϊκοῦ παντάπασι ναυτικοῦ, οὕτω δὲ πάγχαλκον καὶ ὅλον αἱμοχαρές. ἀλλὰ τοῦ μορσίμου, ὡς ἔοικεν, ἀντικρούσαντος ὁ μὲν τὸ πρόθυμον ὑπεχάλασεν, Ἀνδρόνικος C δ' ἐπιτείνας ὑπεσκέλισε τουτονὶ καὶ ὑπέδραμεν ἀντιτρέχοντα, καὶ τὴν νίκην λαμπρὰν ἀπηνέγκατο. ὃς καὶ κατὰ τὴν περαίαν ἔτι διατρίβων, στείλας τριήρεις ὅσαι ὀπίσω τοῦ μεγάλου δουκὸς ἠκολούθησαν κἀκ τῶν συνακολουθησάντων αὐτῷ κατὰ πάροδον στρατιωτικῶν καταλόγων ἅπαν ἐπίλεκτον, πόλεμον συγκροτεῖ κατὰ τῶν ἐν τῇ πόλει Λατίνων. καὶ δὴ καὶ τοῦ δήμου τῆς πόλεως ἀναθαρρήσαντος κατ' αὐτῶν καὶ ἀλλήλους ἐς συνασπισμὸν παραθήξαντος θαλάττιος ὁμοῦ καὶ ἐπίγειος ἔρις φύεται. καὶ πρὸς ἄμφω τὰ πλήθη κυκλωσά-

3. εἶχε δ' ἄν, εἰ τὰς χεῖρας ἠκρίβωτο εἰς παράταξιν καὶ τοὺς δακτύλους πρὸς πόλεμον ἐδίδακτο καὶ μὴ ἦν μαλθακὸς αἰχμητὴς καὶ Βάτταλος καὶ πρὸς ἦθος τυπούμενος ἥμερον, τῷ τε — ἀποκλείσας καὶ ἑαυτὸν ἀπείρατον διαφυλάξας τοῦ τότε κακοῦ A. 19. κατὰ πάροδον om A.

de sententia omnium procerum, iussu Andronici excaecatur. hic exitus fuit potentiae ac potius nondum firmatae tyrannidis et administrationis protosebasti; qui si, ut erat homo rei bellicae peritus et non ignavus, ita maiores copias comparasset et maiore vigilantia rem gessisset, tam Andronicum urbis ingressu prohibere quam ipse illa mala evitare potuisset. nam de imperatoriis thesauris sumere licuisset quantum libuisset; et triremibus ad debellandum adversarium uti potuisset, in quibus Latini milites erant, tota Romana classe potiores, toti ferrei et cruenti. enimvero eum, fato adversante, segniorem Andronicus factus alacrior evertit, illustri victoria potitus; qui dum ultra fretum adhuc versaretur, missis triremibus quae magnum ducem sequebantur, et delectis ex suo exercitu cohortibus, bellum Latinis in urbe versantibus infert. cum autem urbana quoque multitudo animos contra eos sumpsisset et invicem ad strenue

μενά τε καὶ περιζώσαντα μὴ ἀντιπαλαίειν σθένοντες οἱ Λατῖνοι, ὡς εἶχον, ἕκαστος σώζειν ἑαυτοὺς ἐπεβάλοντο, τὰς οἰκίας ἀνέντες πλήρεις πλούτου παντὸς καὶ πολυειδῶν ἀγαθῶν, D ὁπόσα μεταδιώκουσιν ἄνθρωποι, τοῖς βουλομένοις προνόμευμα· οὐδὲ γὰρ μένειν κατὰ χώραν ἐτόλμησαν, ἢ κατὰ Ῥωμαίων ἐπήλθοσαν αὐτοί, ἢ ὅλως ἐπίοντας ὑπέστησαν. ἐντεῦθεν οἱ μὲν κατὰ πόλιν διασπαρέντες ὡς ἔτυχεν, ἄλλοι προσρυέντες οἴκοις ὑπερηφάνοις, οἱ δὲ καὶ τῶν μακρῶν ἐπιβάντες νηῶν ἃς ἐπλήρουν οἱ ὁμόφυλοί σφισιν, ἐξέφυγον μόλις τὸ μαχαίρᾳ περιπεσεῖν. ὁπόσοι δὲ συνελήφθησαν, θανάτῳ ὑπεδικάσθησαν. πάντες μέντοι τὰς οὐσίας ἀπεβάλοντο. αἱ δὲ πλήρεις τῶν δραπετευσάντων τριήρεις τῶν τῆς πόλεως ἀναχθεῖσαι λιμένων καὶ βλέψασαι πρὸς Ἑλλήσποντον, τὸ μὲν λεῖπον τῆς ἡμέρας ἐκείνης ταῖς νήσοις προσωρμηκυῖαι ἐξεπέραναν, ὁπόσαι μικρὸν ἄποθεν τῆς βασιλίδος ἀμφιρρέονται πόλεως μὴ πάνυ πελάγιαι, φημὶ δὴ τὴν Πρίγκιπον καὶ τὴν P. 163 Πρώτην καὶ ὅσαι περὶ αὐτὰς ἀνίσχουσι τοῦ βυθοῦ· τὴν δ' ἐπιοῦσάν τινα τῶν ἐν αὐταῖς ἱερῶν φροντιστηρίων πυρπολήσασαι ἐξῆραν ἐκεῖθεν κώπαις ἁπάσαις καὶ διαπετασθεῖσι λαίφεσι. μηδενὸς δ' ἐπιδιώκοντος, ἔνθα ἦν πρὸς βουλῆς καταίρουσαι, ἔδρων ὅ τι καὶ εἶχον κακὸν τοὺς ἐκεῖσε Ῥωμαίους.

12. Κατ' ἐκείνας δὲ τὰς ἡμέρας καὶ κομήτης ἐφάνη

6. αὐτοὶ ἐπελθεῖν A. ὑπέστησαν] ὑποστῆναι καὶ δέξασθαι A. 10. κατεδικάσθησαν A. 23. ἐν ἐκείναις δὲ ταῖς ἡμέραις A.

pugnandum cohortati essent, terra marique simul pugnatum est; et Latini a duobus exercitibus circumventi, quia se defendere non poterant, ut quisque potuit, salutem quaesiverunt, apertis ad diripiendum aedibus, quae plenae divitiarum omnis generis eorumque bonorum fuerunt quae mortales expetere solent. neque enim consistere neque Romanos invadere neque eorum impetum sustinere audebant. itaque alii, quo sors tulit, in urbe sunt dispersi; alii in magnatum aedes evaserunt; alii longis navibus suorum popularium conscensis ferrum vix evaserunt. qui comprehensi fuere, capitis sunt damnati; omnes rei familiaris iacturam fecerunt. triremes vero fugitivis plenae, ex portubus urbis in Hellespontum provectae, eo die ad insulas Principis et Protam caeterasque urbi vicinas, non in alto sitas, appulerunt. postridie, nonnullis earum monasteriis incensis, velis remisque discesserunt. nemine autem persequente, ubi placuit descensu facto, Romanis quicquid potuere nocuerunt.

12. Diebus illis cometa in caelo conspectus est, qui gravissi-

κατ' οὐρανόν, ὑποσημαίνων τὰ ἐσόμενα χείριστα καὶ αὐτὸν ἀτεχνῶς διαχαράττων Ἀνδρόνικον· ὄφεως γὰρ σχῆμα καὶ ἕλιγμα ἡ τοῦ φανέντος ἀνάμματος ὄψις διατυποῦσα νῦν μὲν διετέτατο, μετὰ βραχὺ δ' ἀμφιπεριειλίσσετο εἰς ὁλκούς, ἄλλοτε εἰς χάσμα ἀνοιγομένη στόματος φόβον ἐνεποίει τοῖς δεωμένοις οἱονεὶ καταχάσκουσα ἐξ ὕψους τῶν κάτωθεν καὶ ἀνδρομέου γλιχομένη αἵματος. ἡμέρας οὖν ἐκείνης τὸ μήπω ἐκμετρηθὲν B καὶ τὴν ἐπιοῦσαν νύκτα διαρκέσας ἠφάντωται. ἀλλὰ καὶ ἱέραξ τοῦ θηρεύειν ἐθάς, λευκὸς τὴν πτίλωσιν, τοὺς πόδας λωροπεδούμενος, κἀπὶ καλιᾶς πτερορρυήσας πολλάκις καὶ αὖ πάλιν ἀνηβηκώς, ὥρμησεν ἐκ τῆς ἕω πρὸς τὸ τοῦ λόγου μέγιστον τέμενος, καὶ τὸν Θωμαΐτην εἰσιὼν δόμον πολλοὺς κατὰ φήμην θεατὰς ἐφειλκύσατο. ἦσαν δ' οἳ καὶ διετεχνῶντο συλλαβεῖν αὐτόν. ὁ δ' ἐκεῖθεν ἀρθεὶς κατέπτη πρὸς τὸ μέγα βασίλειον, καὶ ἄνω τοῦ οἰκήματος καταπαύσας ἐν ᾧ τοὺς ὑπογυίως τοῦ ἄρχειν ἐπειλημμένους εἴθισται πρὸς τοῦ δήμου παντὸς ἀνευφημεῖσθαι στεφανηφόρους, μετ' οὐ πολὺ ἐπάνεισι πάλιν πρὸς τὸν νεών. καὶ τὴν τοιαύτην περιοδείαν τρισσῶς C σταδιεύσας ὕστερον παρά του θηρεύεται καὶ εἰσάγεται τῷ βασιλεῖ. τοῖς μὲν οὖν πλείστοις μέλλειν αὐτίκα Ἀνδρόνικον συλληφθῆναι οἰωνίζετο ἐνθένδε καὶ δίκας γενναίας ὑφέξειν, V.134 ἐπεὶ καὶ ἐς αὐτὸν ἔφασκον ἀτεχνῶς τὸ οἰώνισμα ἀφορᾶν, πλειστάκις ἐνειρχθέντα δεσμωτηρίῳ καὶ τὸ τῆς κεφαλῆς

4. μετὰ βραχὺ] νῦν A. 9. ἱέραξ] ἱεράκιν κυνηγετικὸν μετὰ ποδόλουρα ἄσπρον B. 16. τοῦ αρχ.] τῆς ἀρχῆς A. 17. στεφηφοροῦντας μετὰ βραχὺ A. 21. οἰωνίζετο om A.

mas clades, quae consecutae sunt, portendit, atque ipsum adeo Andronicum expressit. nam serpentem sinuosum repraesentans nunc porrigebatur, nunc in spiras se colligebat, nunc cum horrore intuentium, quasi inferiores ex alto devoraturus esset humani sanguinis avidus, vastum rictum aperiebat. sed cum non ultra diei illius reliquum et secutam noctem durasset, evanuit. accipiter quoque aucupio exercitatus, albus, vincula pedibus gestans, qui pennis in nido saepe amissis repubuerat, ab Oriente in Verbi maximum templum tetendit, ac Thomaiticam aedem ingressus multos ad sui spectaculum attraxit. erant etiam qui eum comprehendere studerent: verum ipse inde in magnum palatium pervolavit, et super eo conclavi consedit in quo recens imperio potitos, diademate redimitos, ab omni populo celebrari moris est. paulo post ad templum revertitur; et hoc circuitu ter peracto tandem a quodam captus ad imperatorem affertur. id auspicium quidam plane ad Andronicum referentes, qui et saepissime in carcerem coniectus et canus esset, eum statim poenas

τρίχωμα χιονούμενον. οἱ δέ γε σοφώτερόν τι προβλέποντες καὶ τὸ φρονεῖν ὑψιβάμονες τριετὲς ἕλιγμα χρονικὸν τὴν τριττὴν εἰς τὸ αὐτὸ κατάντημα πτῆσιν ἰσχυρίζοντο προσημαίνειν, καὶ τελευταῖον αὖθις Ἀνδρόνικον φρουρὰν καὶ ποδοκάκας καθυποδέχεσθαι Ῥωμαίων κατάρξαντα.

Πάντων δ' ἐς Ἀνδρόνικον διαπορθμευομένων, λοῖσθος ἐς αὐτὸν περαιοῦται ὁ πατριάρχης Θεοδόσιος μετὰ τῶν λογίμων τοῦ βήματος. ὁ μὲν οὖν εἰς τὴν ἑαυτοῦ ἐγγίζειν σκηνὴν τὸν μέγαν ἀρχιερέα ἐνωτισάμενος ἔξεισιν εὐθὺς πρὸς ὑπάντησιν, στολὴν ἠμφιεσμένος σχιστὴν ἰοβάφινον ὑφῆς τῆς Ἰβηρικῆς, εἰς γόνατα καὶ γλουτοὺς καταβαίνουσαν καὶ πυκάζουσαν τὰ ἕως βραχίονος, καὶ πυραμιδουμένην καλύπτραν τῇ κεφαλῇ περικείμενος, καπνηρὰν τὴν χροιάν· καὶ πρὸς τῶν ἱππείων χηλῶν βαλὼν ἑαυτὸν ἔκειτο τετανυσμένος μέγας μεγαλωστί. μετὰ μικρὸν δ' ἀνίσταται, καὶ τῶν τοῦ πατριάρχου ποδῶν περιλιχμᾶται τὰ πέλματα, σωτῆρα τοῦ βασιλέως ἀποκαλῶν, ζηλωτὴν τοῦ καλοῦ, τῆς ἀληθείας ὑπέρμαχον, τῷ χρυσῷ τὴν γλῶτταν Ἰωάννῃ ἀνθάμιλλον, καὶ πᾶσαν αὐτῷ προσηγορίαν
P. 164 περιτιθεὶς ἀγαθήν. ὁ δὲ τότε πρώτως Ἀνδρόνικον θεασάμενος, ἐπεὶ κατηθρήκει περιεργότερον βλέμμα γοργόν, ὑποκαθειμένον φρόνημα, σοφιστικὸν καὶ περίεργον ἦθος, ἡλικίας ἀναδρομὴν ἐς πόδα δέκατον μικροῦ ἀνατείνουσαν, ἀγέρωχον βάδισμα, ὀφρὺν ἐπιλλώπτουσαν ὑπεροψίαν, φροντιστικόν τε

10. στολὴν] φορῶν αἴγιον βεβαμμένον, ὑφασμένον ἐκ τῶν ἰβήρων B. 12. πυραμιδουμένην] μαῦρον καπάσιν ἰβηρικόν B. 14. τεταμένος A. 22. μικρὸν codices.

gravissimas daturum interpretabantur. sed prudentiores et sublimioribus praediti ingeniis, volatum illum ter repetitum triennium significare asserebant, quo in imperio exacto Andronicus rursus in custodia et compedibus futurus esset.

Omnibus autem ad Andronicum navigantibus, postremus omnium etiam patriarcha Theodosius cum primariis sacerdotibus traiicit. qui cum pontificem ad suum tentorium accedere audivisset, statim ei obviam processit, veste indutus fissa violacei coloris, telae Ibericae, usque ad genua et cubitos pertinente, pileum in capite gerens, in acutum pyramidis instar desinentem, pulli coloris; et quantus erat, se ad equi ungulas prosternit. paulo post assurgit, et patriarchae plantas deosculans eum imperatoris servatorem, honestatis amatorem, veritatis propugnatorem vocat et Iohanni Chrysostomo comparandum, nullo honorifico titulo praetermisso. patriarcha vero, qui tum primum Andronicum videbat, accuratius eo perlustrato, animadversoque visu truci occulto ingenio, callidis et affectatis moribus, statura ad decem fere pedes assurgente, superbo incessu, arrectis su-

καὶ ἐπὶ συννοίας ἀεὶ ἄνθρωπον, ταλανίσας τοὺς ἀφρόνως ἄνδρα τοιοῦτον εἰσοικισαμένους ἐπ' ἀνηκέστοις ἑαυτῶν συμφοραῖς, „ἀκοῇ μὲν" φησιν „ἤκουόν σου τὸ πρότερον, νῦν δὲ καὶ ἑωράκειν καὶ ἐγνώκειν σαφῶς." καὶ αὖ πάλιν τὸ τοῦ Δαβὶδ ἀποκναίσας εἶπε „καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν," αἱμύλως καθαπτόμενος Ἀνδρονίκου οἷς τὰ τῆς ὑπαντήσεως ἐκείνῳ τῷ σκηνικῷ ὑπεξῆρε τῆς γνώμης, ἑαυτὸν ἐδαφίζων B καὶ κυνηδὸν προσκνυζόμενος, ἀναφέρων ἅμα τὰ ὀφθέντα πρὸς ἅπερ αὐτῷ ἀπήγγειλεν ὁ βασιλεὺς Μανουήλ, διαζωγραφῶν τῷ λόγῳ Ἀνδρόνικον καὶ οἷον ἀγνοοῦντι τιθεὶς ὑπόψιον. ἀλλ' οὐκ ἔλαθε τὸ τῶν ῥημάτων ἀμφοτερίζον τὸν πολύμητιν Ἀνδρόνικον· ὅθεν καὶ τῇ τῶν λεχθέντων διπλόῃ ὡς οἷα διπάλτῳ ξίφει τρωθεὶς τὴν ψυχήν, καὶ τὴν σκυζομένην οἷον καὶ συνηρεφῆ τῶν ὀφρύων τοῦ πατριάρχου γραμμὴν τῶν ἔνδον καὶ περὶ ψυχὴν κινημάτων εὑρὼν προμνήστριαν, „ἴδε" φησὶ „βαθὺς Ἀρμένιος," ἐπεὶ καὶ τὸ πατρῷον γένος ἐξ Ἀρμενίων ἕλκειν ἐλέγετο. τοῦτο δὲ καὶ ἄλλοτέ ποτε ἐπέσκωψεν ἐς αὐτὸν Ἀνδρόνικος, ὅτε ὁ μὲν πρὸς τὸν πατριάρχην τὸν λόγον ποιούμενος ἀχθομένῳ ἐῴκει καὶ μόνος ὑπολελεῖφθαι C τοῦ βασιλέως Ἀλεξίου κηδεμὼν ἔλεγε, μηδένα ἔχων τὸν συμπονοῦντά τε καὶ συγκάμνοντα, μηδ' αὐτὴν τὴν ἐκείνου ἁγιότητα, καίπερ τοῦ βασιλέως Μανουὴλ καὶ πατρὸς τῷ βασιλεῖ Ἀλεξίῳ ἐς αὐτὸν ἀναθεμένου τὸν πατριάρχην τὴν τοῦ υἱοῦ

5. ἀποκνίσας A. 6. ὑπαντῆς A. 8. κυνηδ.] ἀτεχνῶς A. 9. ἀπήγγελεν A. 10. ἀγν. τῷ πατριάρχῃ τιθ. A. 11. τὸ τῶν ῥημ.] ἡ διπλότης τῶν λόγων αὐτοῦ B. 14. γραμμὴν κατιδὼν τοῖς ὀφθαλμοῖς ἐπινεύουσαν καὶ τῶν περὶ ψ. A. 21. τε om A.

perciliis, severitate et tristitia perpetua, miseratus eos qui talem virum in perniciem suam accersivissent, „hactenus" inquit „audivi: nunc etiam vidi et palam cognovi." ac Davidicum illud non sine dolore adiicit „ut audivimus, ita quoque vidimus." quibus verbis salse perstringebat simulatum Andronici occursum et submissionem. simul etiam memoria repetebat verba Manuelis imperatoris, qui Andronicum oratione depinxerat et ignorantis patriarchae veluti oculis subiecerat. sed illae verborum ambages Andronici sagacitatem non latuerunt, qui ambiguis illis verbis tanquam ancipiti gladio vulneratus, visa superciliorum patriarchae subtristi et densa serie ad oculos vergente, quae affectionum animi index esset, „ecce" inquit „occultum Armenium." nam patre Armenio natus esse ferebatur. eodem dicterio eum alias quoque perstringit, cum in colloquio dolenti similis diceret se unum imperatoris Alexii curatorem superesse, sine ullo molestiarum et laborum socio, ne sanctitate quidem eius

τημελούχησιν καὶ τὴν τοῦ κράτους αὐτῷ κυβέρνησιν ὑπὲρ τοὺς τούτῳ κατὰ γένος προσήκοντας· ὁ δ' ἔφησεν ἀποφροντίσαι πάλαι τὸν βασιλέα, εἴτ' οὖν τοῖς τεθνεῶσιν ἔχειν ἐνάριθμον, ἐξ ὅτου περ αὐτὸς Ἀνδρόνικος τὴν βασιλίδα πόλιν εἰσεληλύθει καὶ τὰ κοινὰ διαχειρίζει πράγματα. πρὸς ἣν ἀπόκρισιν τοῦ πατριάρχου ἐρυθριάσας Ἀνδρόνικος ἤρετο τί ἐστι τὸ ἀποφροντίσαι καὶ πρὸς ὃ σημαινόμενον ἐκτετόξευται, τὸν μὴ συνιέντα πλαττόμενος, καίτοι ἐγνωκὼς ἀληθῶς ὡς
D τὸν τοῦ παιδὸς καὶ βασιλέως θάνατον ᾐνίξατο δι' ὧν ὁ θεῖος οὗτος ἀνὴρ ἐφθέγξατο. ὁ δὲ τὸν θῆρα μὴ ἐκμαίνειν ἐθέ-
V. 135 λων καὶ ἄλλως κατ' αὐτοῦ ὠρυόμενον, ἢ τὴν κάμηλον ἀναστομοῦν εἰς ἐξέραμα πρὸς ὅπερ εἴθιστο, οὐ κατὰ τὴν ἀληθῆ καὶ πρὸς ἣν ἐρρέθη ἐξήγησιν τὸν τοῦ ῥήματος νοῦν ἡρμήνευσεν, ἀλλὰ μηκέτι ἔφησε φροντίζειν τοῦ βασιλέως καὶ τὸ τούτου πάλαι παριδεῖν τημελὲς καὶ διὰ τὸ τοὺς κανόνας μὲν καὶ τὸ γῆρας μὴ ἐγχωρεῖν αὐτῷ τοῖς κατὰ κόσμον συμπλέκεσθαι πράγμασι, τὸ δὲ πλέον αὐτὸν τὸν Ἀνδρόνικον αὐτάρκη καὶ μονώτατον εἶναι τὸν βασιλέα παιδοκομεῖν.

13. Τῶν μέντοι κατὰ τὰ ἀρχεῖα πραγμάτων οὑτωσὶ διῳκημένων ὡς Ἀνδρόνικος ὑπέθετο τοῖς υἱεῦσιν αὐτοῦ καὶ τοῖς φίλοις καὶ οἳ τῶν καθ' αἷμα ᾠκειωμένων τῷ βασιλεῖ

2. ἔφησε πρὸς Ἀνδρόνικον ἀπ. A. 5. πρὸς ἅπερ Ἀνδρόνικος ἐρυθριάσας ἤρετο τὸν πατριάρχην ὅ τι περ A. 19. Τῶν μέντοι — ὑποφθεγξάμενος A: vulgo Τῶν δὲ κατὰ τὰ ἀρχεῖα πραγμάτων, ὡς Ἀνδρονίκῳ ἐδόκει καὶ ἀρίστως εἶχε, διῳκημένων παρά τε τῶν υἱέων ἐκείνου καὶ ὅσοι περ αὐτῷ προσέθεντο, ὀψὲ καὶ οὗτος μεταχωρεῖ τῆς Δαμάλεως, ὑποψήλας τὸ τοῦ Δαβὶδ ἐν τῷ τὸν πορθμὸν διαβαίνειν καὶ φθεγξάμενος.

adiuvante, quamquam ei Manuel Alexii filii curam mandasset, et imperii administrationem etiam prae cognatis commisisset. cui patriarcha respondit se iam olim sollicitudinem de imperatore deposuisse, hoc est inter mortuos eum numerare, posteaquam Andronicus urbem ingressus rerum administrationem susceperit. quo responso confusus Andronicus, et se intellexisse dissimulans, rogavit quid sibi vellet ea oratio, quamvis satis sciret divinum virum pueri imperatoris mortem designasse. at ille, ne feram alioqui contra se rugientem magis irritaret aut camelum ad solitum vomitum provocaret, dictum illud alio detorsit, ac se iam olim, et canonibus et senio rerum administratione interdicentibus, imperatorem curare desisse, neque licere sibi mundanis rebus implicari. praeterea ipsum Andronicum vel solum parem esse imperatori educando.

13. Caeterum palatii rebus ex Andronici sententia per filios et amicos eius quam rectissime constitutis, et imperatoris etiam amicis

ἀνεύθυνον ἐκ βασιλέως καὶ τὸ ὅλον ἀνέγκλητον εἶχον τὸ προσιέναι Ἀνδρονίκῳ καὶ τοῖς ἐκείνου προσανέχειν βουλεύμασιν, ὀψέ ποτε καὶ αὐτὸς Ἀνδρόνικος ὑποχωρεῖ τῆς Δαμάλεως εἰσιὼν τριήρη καὶ ὑποψήλας τὸ τοῦ Δαβὶδ ἐν τῷ τὸν πορθμὸν P. 165 διαβαίνειν τῆς βασιλίδος τῶν πόλεων καὶ ὑποφθεγξάμενος μετὰ διαχύσεως „ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐηργέτησέ σε, ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος." τοῦ δὲ βασιλέως Ἀλεξίου καὶ τῆς ἐκείνου μητρὸς Ξένης ἐξιόντων μὲν ἐκ τῶν βασιλείων κατὰ τὴν Ἀνδρονίκου βούλησιν, εἰς δὲ τὰς ἐν τῷ Φιλοπατίῳ βασιλικὰς μετασκηνησαμένων οἰκοδομὰς αἳ τοῦ Μαγγάνη ἐλέγοντο, πρόσεισιν ἐκεῖσε Ἀνδρόνικος, καὶ τῷ μὲν βασιλεῖ βαθεῖαν ἀπονέμει προσκύνησιν ἐπὶ γόνυ πεσών, καὶ τοὺς ἐκείνου πόδας προσπτύσσεται, ὡς εἰώθει, κοψάμενος καὶ δάκρυα χεάμενος, τῇ δὲ τούτου μητρὶ Ξένῃ ὅσα καὶ ἀπούσῃ τὴν τι- B μὴν ἀφοσιωσάμενος καὶ τῆς ἐκεῖσε παρουσίας πάρεργον ἀπονείμας τὴν προσαγόρευσιν, καὶ ταύτην ὑποψίας μεστὴν καὶ τοῦ μίσους ἐνδεικτικὴν ὅπερ κατ' αὐτῆς ἐκ μακροῦ τῇ ψυχῇ ἐναπέθετο, βραχύ τι προσδιατρίψας μεταχωρεῖ. καὶ κατὰ τὴν προητρεπισμένην αὐτῷ ἐκεῖ που σκηνὴν ἀφικόμενος εἶχε περὶ αὐτὸν τὰς αὐλαίας πηξαμένους, ὃν τρόπον αἱ ὄρνεις ὑπὸ τὰς ἑαυτῶν ἐπισυνάγουσι πτέρυγας τὰ νεόττια, πάντα ἄνδρα εὐγενῆ καὶ περίδοξον, ὅτε καί τις ἀνὴρ Ἶρος ἄλλος Ὁμηρικός, μολοβρὸς καὶ ἀνέστιος, τὰς τῶν πλουσίων θύρας

14. ἐπὶ γόνυ πεσών om A. 16. ξένῃ τραχεῖαν ἀπονείμας προσηγορίαν A. 20. τι] τι γοῦν A.

eius accedendi et eius voluntati se accommodandi potestate data, tandem ipse quoque Andronicus Damali discedit. ac triremi conscensa, dum per fretum in urbem traiicit, Davidicum illud hilariter succinuit: „revertere anima mea in requiem tuam, quoniam dominus tibi benefecit, erepta vita mea ex morte, oculis meis a lacrimis, pedibus meis a lapsu vindicatis." imperatore Alexio et matre eius Xene e palatio, ut voluerat Andronicus, in Manganicas regales aedes ad Philopatium digressis: eo se confert; ac imperatore submisse adorato pedes eius amplectitur cum solito planctu et fletu. matre vero eius obiter et contemptim salutata, sine dissimulatione veteris in eam odii, citra moram longiorem in tentorium non procul inde paratum discedit, ubi omnes viri nobiles et honorati sua quoque tabernacula erexerunt, quemadmodum pulli sub gallinae alas confugiunt. tum homo quidam, alter Irus Homericus, teter, sine domo,

ἐκτρίβων. καὶ θεραπεύων τὴν γαστέρα τοῖς τῶν ἄρτων τεμάχεσιν, ἑάλω τὰ βιώσιμα αἰτῶν ἀωρὶ τῶν νυκτῶν περὶ τὴν
C Ἀνδρονίκου σκηνὴν εἰλούμενος, ἐξωμίας ἄνθρωπος καὶ παραβλώψ, καὶ τὰ μὲν πρῶτα ὑπὸ τῆς θεραπείας Ἀνδρονίκου ὡς γοητείαις εὐθύνεται χρώμενος, ἔπειτα καὶ τῷ δήμῳ τῆς πόλεως ἐκδίδοται παραλόγως. οἱ δὲ ὅσα καὶ θείας ὄψεως τῆς Ἀνδρονίκου θέας ἐχόμενοι, ἀνεξελέγκτως αὐτὸν εἰς τὸ θέατρον ἀπαγαγόντες καὶ κραῦρα ξύλα καὶ φακιόλους φορυτῶν ξυναγείραντες κατακαίουσιν Ἀνδρονίκῳ χαριζόμενοι.

Συχνὰς δ' ἐκμετρήσας ἡμέρας Ἀνδρόνικος σὺν τῷ βασιλεῖ κατὰ τὸ Φιλοπάτιον, ἔσχεν ἔρον εἰς τὴν μεγαλόπολιν εἰσιέναι καὶ τὸν τοῦ βασιλέως ἐξαδέλφου Μανουὴλ τάφον ἰδεῖν. ὅθεν κατὰ τὴν τοῦ Παντοκράτορος μονὴν γεγονώς, καὶ
D ποῦ τέθαπται ὁ νεκρὸς ἐρωτήσας, καὶ ἐπιστὰς τῷ σωματοφυλακοῦντι μνήματι πικρῶς ἐπεδάκρυσε καὶ περιπαθῶς ὠλοφύρετο, ὡς καὶ πολλοὺς τῶν παρεστώτων μὴ τὸν κρυψίνουν ὅλως διορᾶν Ἀνδρόνικον ἔχοντας θαυμάσαι λίαν, καὶ εἰπεῖν „ὢ τοῦ θαύματος, πῶς ἐφίλει τὸν προσγενῆ ἄνακτα, καίπερ διώκτην ὄντα θερμὸν καὶ φιλανθρώπως αὐτῷ μὴ χρησάμενον." τινῶν δὲ τῶν ἐκ τοῦ γένους ἀποσπώντων αὐτὸν τῆς σοροῦ καὶ ἀρκούντως ὑποφωνούντων τεθρηνηκέναι, οὐδ' ὅλως καθυπεῖξε ταῖς παραιφάσεσιν, ἀλλ' αἰτήσας καὶ ἔτι μικρὸν ἐνδοθῆναί οἱ προσκαρτερῆσαι τῷ τάφῳ, ἔχειν γάρ τι τῷ κει-

3. σκηνὴν om A. παραβλώψ] μονόφθαλμος B. 8. ἀπαγαγόντες καὶ om A. κραῦρα ξύλα] ξύλα ξηρὰ καὶ τζάκνα B. 10. ἅμα βασιλεῖ A. 12. εἰσιέναι] εἰσελθεῖν A. 14. σωματοφυλακοῦντι om A.

divitum limina terens ut frustis panis famem sedaret, captus est, cum intempesta nocte iuxta Andronici tabernaculum victum mendicaret, vir procerus et strabus. ac primum ab Andronici ministris pro mago insimulatur, deinde urbanae plebi praeter opinionem deditur. ea vero spectando Andronico, ut divino vultui intenta, eum indicta causa, congestis in theatro lignis aridis et sarmentis, in Andronici gratiam exurit.

Qui dies complures cum imperatore in Philopatio commoratus, magnam urbem intrare desideravit et Manuelis patruelis sepulcrum spectare. cum in Pantocratoris monasterium venisset, quaesivit ubi situs esset imperator; eiusque sepulcro astans acerbe flevit, miserabiliter eiulans, ut quidam ex astantibus artium Andronici ignari, prae admiratione dicerent „o rem miram! ut imperatorem cognatum, quamvis acrem et inhumanum persecutorem, dilexit!" cum autem quidam ex cognatis eum a tumulo avellerent, et luctui satis esse datum dicerent, monitis eorum nequaquam acquievit, sed petiit ut

μένῳ κατὰ μόνας διαλεχθῆναι, τὰς χεῖρας ὡς πρὸς ἱκεσίαν διασκευάσας καὶ διαπετάσας τὰς παλάμας καὶ διάρας τοὺς ὀφθαλμοὺς πρὸς λίθον τὸν νεκροδέγμονα, καὶ τὰ χείλη μὲν κινῶν φωνὴν δ' οὐδαμῶς ἐξικνουμένην εἰς ὦτα τῶν παρεστώτων οὐμενοῦν ἀφιείς, διάλεξίν τινα λαθραίαν ἐπεποίητο. τοῖς P. 1 μὲν οὖν πλείστοις ἐπῳδή τις βαρβαρικὴ λελόγιστο τὰ ὑποψαλλόμενα· ἦσαν δ' οἵ, καὶ τούτων μάλιστα οἱ τὴν εὐτρα- V. 1 πελίαν μεταδιώκοντες, ἐπικερτομεῖν Ἀνδρόνικον ἔφασκον τῷ βασιλεῖ Μανουήλ, καὶ ἀτεχνῶς κειμένῳ ἐπεμβαίνοντα λέγειν „ἔχω σε τὸν διώκτην καὶ πολλὰς ἐμοὶ πλάνας προυξενηκότα, καὶ ὑφ' οὗ παγκόσμιον μικροῦ γεγένημαι περιλάλημα, πᾶσαν δυστυχῶς ἐπιὼν ὁπόσην ἥλιος ἔπεισιν ἅρματι. καὶ σὲ μὲν ὁ ἑπτακόρυμβος οὑτοσὶ συνέξει λίθος ὅσα καὶ ἄφυκτον δεσμωτήριον, νήγερτον καθεύδοντα ὕπνον καὶ τῆς τελευταίας σάλπιγγος ἐπιδεᾶ· ἐγὼ δὲ τὸ σὸν μετελεύσομαι γένος οἷα καὶ λέων μεγάλῳ ἐπεγκύρσας θηράματι, καὶ δίκας ὧν ὑπὸ σοῦ κακῶς ἐπεπόνθειν γενναίας εἰσπράξομαι, τὴν ἑπτάλοφον ταυ- B τηνὶ καὶ λαμπρὰν εἰσιὼν μεγαλόπολιν."

14. Ἐκ δὲ τούτου πάντα οἶκον ἐπιὼν περιφανῆ καὶ λαμπρόν, καὶ σταθμοὺς ἐν αὐτοῖς τιθέμενος ὥσπερ οἱ παροδεύοντες, ἐχρῆτο τοῖς κοινοῖς ὡς ᾕρεῖτο πράγμασι, τῷ μὲν βασιλεῖ Ἀλεξίῳ κυνηγεσίοις ἐφιεὶς προσανέχειν καὶ κούφοις τῷ τέως τρέφεσθαι πνεύμασι μετὰ τῶν φυλάκων οὓς αὐτῷ

4. συνεστώτων A. 13. ἑπτάτρουλος B. 20. προοδεύοντες A. 23. τῷ] τὸ A.

se paulisper adhuc sepulcro inhaerere paterentur: habere enim quod cum defuncto seorsim colloquatur. itaque manibus et palmis supplicis in modum compositis, et oculis in sepulcri saxum intentis, labia movit, editaque voce, quae a nemine exaudiretur, occultum colloquium habuit. at plerique murmur illud incantationem barbaricam esse, facetiores autem Andronicum Manueli insultare et manes eius exagitare dicebant, his verbis „habeo te, persecutor, a quo multis actus sum erroribus et totius pene mundi factus fabula, universo orbe pererrato ac te quidem sepulcrum istud in septem vertices assurgens et inevitabilis carcer profundo somno oppressum tenet, ex quo nonnisi ultimae tubae clangore excitaberis: ego vero tuum genus ulciscar, ut leo praedam opimam nactus, et poenas iniuriarum tuarum graves exigam, postquam hanc splendidam urbem sum ingressus, quae septem una sibi muro circumdedit arces."

14. Deinceps omnes domos illustres et splendidas pervagando, et viatorum instar in eis diversando, rem publicam suo arbitratu administrabat. imperatori Alexio venationes et alia ludicra indulsit,

ἐπέστησεν, οὐ μόνον τὴν εἴσοδον αὐτοῦ καὶ τὴν ἔξοδον ἐφορῶντας τοῦ μυθικοῦ πολυομμάτου Ἄργου περιεργότερον, ἀλλὰ καὶ μηδένα τῶν ἁπάντων παρεῶντας μόνῳ ἐντυγχάνειν αὐτῷ ὑπέρ τε οὑτινοσοῦν διομιλεῖσθαι πράγματος, ἑαυτὸν δὲ
C ὅλον ἐπιδοὺς ταῖς μερίμναις, οὐχ ὅπως εὖ πράττοιεν τὰ Ῥωμαίων, ἀλλ' ὅπως ἀφελεῖ ἐκ τῶν βασιλείων καὶ σύμβουλον ἀγαθὸν καὶ κατὰ χεῖρα γενναῖον ἄνδρα καὶ ἀρειμάνιον καὶ ὕποπτον ἐκείνῳ καὶ πρὸς ἀρχὴν ἐπιτήδειον. ἀμειβόμενος δὲ τῆς πρὸς αὐτὸν εὐνοίας τοὺς Παφλαγόνας καὶ πάντα ἄλλον συνεφαψάμενον αὐτῷ τῆς ἀποστασίας, ἀξιώμασι τούτους ἐτίμησε καὶ δωρεαῖς φιλοτίμοις ἐδεξιώσατο. καὶ τὰ λαμπρὰ δὲ τῶν ἀξιωμάτων καὶ τὰ τῶν ὀφφικίων μεγαλοπρεπῆ, ὡς ἐκείνῳ ἐδόκει, μετατιθεὶς ἐπὶ τινῶν μὲν τοὺς ἑαυτοῦ παῖδας προυβάλετο, ἄλλοις δ' ὑπεξῆρεν ἑτέρους, ἐκείνους δήπουθεν οἳ ὀπίσω αὐτοῦ ἐπορεύθησαν ὡς τοῦ Βάαλ πρότερον οἱ ἀποστάντες ζῶντος θεοῦ, καὶ οἳ τὴν παρ' ἐκείνῳ δόξαν προέθεντο
D τῆς ἐπαινετῆς καὶ προτέρας τιμῆς καὶ τῷ δικαίῳ μερίδα παρεχομένης. οἱ μὲν τοίνυν τῶν ἐπισήμων ἀνδρῶν ἀπηλαύνοντο οἴκου καὶ πατρίδος καὶ τῶν φιλτάτων ἀποδιίσταντο, οἱ δὲ εἱρκταῖς καὶ χειροπέδαις σιδηραῖς παρεδίδοντο, ἄλλοι τοὺς ὀφθαλμοὺς ἐξεκόπτοντο, αἰτίαν οὐδεμίαν πρόδηλον ἐπαγομένην σφίσιν εὑρίσκοντες, τὸ δ' εἶναι τῶν εὐπατριδῶν σιωπηλῶς ἐγκαλούμενοι, καὶ κατὰ πόλεμον πολλάκις εὐδοκιμῆ-

5. εὖ] μὲν εὐτυχῶς A. 6. ἀφελεῖ δὲ κἀκ, omissis ἀλλ' ὅπως, A. 7. καὶ ἀρειμάνιον om A. 11. δωρεαῖς] δεξιαῖς A. 12. ὡς ἐκείνῳ] ὥσπερ οἱ ἐδ. A. 13. τινῶν] τισὶ A. 14. δήπουθεν] δὴ πάντως οἳ ὄπισθεν A. 17. μερίδος A. 19. πατριάς A. 21. ἐξεκεντοῦντο A.

custodibus adhibitis, qui non modo ingressum et egressum eius diligentissime observarent, sed etiam neminem omnino ulla de re cum eo colloqui paterentur: sibi curam rerum vendicavit, non in id intentus, ut Romana res floreret, sed ut omnes tam consilio quam manu pollentes et imperio idonei, diversae factionis, palatio exigerentur. Paphlagones caeterosque omnes quorum opera et studiis regnum occuparat, et honoribus et largitionibus est remuneratus. dignitates et officia magnifica pro libito partim in filios suos, partim in alios transtulit, eos utique qui ipsum secuti erant, ut olim ii qui a deo vivente ad Baalem defecerunt, quique ipsius gloriam priori laudabili dignitati cum iustitia coniunctae praetulerunt. proinde clari viri partim domo et patria pellebantur, a carissimis suis avulsi, partim oculis privabantur, partim in carcerem et ferreas manicas coniiciebantur, nullius sibi sceleris conscii, sed illius criminis tacite

σαι, ἢ φυῆς σώματος γενναιοτάτης ἢ ὥρας ἱκανωτάτης μεταλαχεῖν, ἤ τι ἕτερον φέρειν ἐπαινετόν, ὑποκνίζον Ἀνδρόνικον οὐδ' ἀγαθὰς ἐκείνῳ τὰς ἐλπίδας ὑποβάλλον, εἴτε μὴν παλαιᾶς μικρολυπίας ὑποτῦφον ἐμπύρευμα καὶ φρυκτεῦον κατὰ βραχὺ τὸ πρώην λεληθὸς καὶ σποδιούμενον τοῦ θυμοῦ. ἦν τοίνυν ἀνύποιστος ἡ τοῦ τότε καιροῦ φορά, καὶ ἡ πρὸς ἀλλήλους καὶ τῶν πάνυ γνησιωτάτων οὐκ εὐπιστία κακὸν P. 167 ἀφόρητον ἦν. οὐ γὰρ μόνον ἀδελφὸς παρεώρα κασίγνητον καὶ πατὴρ υἱέα παρέτρεχεν, ἂν οὕτως ἤρεσκεν Ἀνδρονίκῳ· ἀλλὰ καὶ τοῖς καταπροδιδοῦσι τούτους συνέπραττον τὰ ἀνήκεστα, καὶ τὴν τοῦ γένους συνδιετίθουν ἀπώλειαν. εἰσὶ δ' οἳ καὶ κατεμήνυον αὐτότατοι τοὺς οἰκείους ὡς ἢ τὰ παρ' Ἀνδρονίκου χλευάζοντας δρώμενα ἢ γοῦν τῷ τὴν πατρῴαν ἄρχοντι ἀρχὴν Ἀλεξίῳ προσκειμένους, Ἀνδρονίκου δὲ ἀπαυχενίζοντας ἑαυτούς. πολλοὶ δὲ κὰν τῷ ἄρτι κατηγορεῖν κατηγόρηντο, καὶ διελέγχοντες ἑτέρους ἐπ' Ἀνδρονίκῳ τέκτονας κακῶν ὑπ' αὐτῶν ἐκείνων τῶν κατηγορουμένων ἢ καὶ ἄλλων παρεστώτων προσηγγέλλοντο, καὶ εἶχε τούτους κἀκείνους συναπαγομένους μία φρουρά. καὶ πιστοῦταί μοι τὸν λόγον ὁ B Καντακουζηνὸς Ἰωάννης παλαμναιοτάταις πυγμαῖς παίων ἐκτομίαν τινὰ Τζίταν καλούμενον καὶ τοὺς ὀδόντας ἐκριζῶν V. 137 καὶ τὰ χείλη ἀφαιματῶν, ὅτι πεφώραται ὅλως Ἀλεξίῳ τῷ βασιλεῖ περὶ τῶν κοινῶν διαλεχθεὶς συμφορῶν, παραχρῆμα

6. ἀνύποιστος] ἀνιαρὰ λίαν ἡ τῶν ποτε κακῶν ἐπεισκώμασις A.
7. κακὸν] δεινὸν A.

condemnati, quod ex nobilitate essent et in bello saepe fortiter se gessissent, aut proceritate corporis et elegantia formae, aut alia quapiam re quae morderet Andronicum et spe haud bona aleret, antecellerent; aut ob residuas veterum offensarum scintillas, quae hactenus velut ignis sub cinere latuerant, resuscitatas, multabantur. itaque peracerba fuit illorum temporum conditio, et coniunctissimorum inter se perfidia malum intolerabile. nec enim frater duntaxat fratrem, pater filium negligebat, si Andronico ita visum esset: sed proditores eorum infestissimos ad internecionem familiae adiutabant. erant etiam qui ipsi suos deferrent, ut aut Andronici acta irridentes, aut spreto Andronico paternum imperium gerenti Alexio addictos. multi quoque inter accusandum sunt accusati; et dum alios arguunt ut Andronici insidiatores, ab ipsis reis aut circumstantibus sunt delati, et in eandem custodiam utrique abducti. orationem meam confirmat Iohannes Cantacuzenus, qui pugnis in spadonem Zitam ita saevilt, ut dentes ei excuteret et labia discinderet, quod cum imperatore Alexio de communibus miseriis esset collocutus;

δὲ συλλαμβανόμενος καὶ αὐτὸς ἐξομματούμενός τε καὶ εἱρκτῇ ζοφώδει παραρριπτούμενος οἷς προσηγορίαν διὰ τοῦ δεσμοφύλακος πέπομφεν ἑνὶ τῶν γυναιχομαίμων Ἀγγέλῳ δεσμώτῃ ὄντι τῷ Κωνσταντίνῳ. οὐκοῦν διὰ ταῦτα ἦν εἰς πόνον ἅπασα κεφαλή, καὶ παρρησίαν ἦγον ὥς οὔ ποτε, τοῖς ἔργοις αὐτοῖς πιστούμενα, ὅσα τὸ Ἐμπεδόκλειον νεῖκος τερθρεύεται C τέρατα. οὐ γὰρ ἐκλεκτὸς μόνον ἅπας καὶ ὑψηλὸς τῆς ἐναντίας ὢν Ἀνδρονίκῳ μερίδος ἔπασχε τὰ οἰκτρότατα, ἀλλὰ καὶ περὶ τοὺς οἰκείους θεραπευτῆρας ἀπιστότατος ὤν, οὓς χθὲς ἐψώμιζε στέαρ πυροῦ καὶ οἷς τὸν μόσχον παρετίθει τὸν σιτευτὸν καὶ τὸν ἀνθοσμίαν ἐκίρνα ζωρότερον καὶ τῷ κύκλῳ τῶν περὶ ἐκεῖνον ἐνέγραφε, τούτους διετίθει χειρίστως σήμερον. ἦν δὲ καὶ τὸν αὐτὸν ἐπὶ τῆς αὐτῆς ἡμέρας πολλάκις ὁρᾶν στεφανούμενόν τε ἅμα κατὰ τὸν τοῦ Ξέρξου ναύαρχον καὶ δειροτομούμενον, ὑμνούμενόν τε καὶ βλασφημούμενον. ὥστε καὶ πολλοὶ τῶν ἐπιγραφομένων Ἀνδρόνικον, οἱ ὅλως ἐς νοῦν βάπτοντες, τὸν ἐξ ἐκείνου ἔπαινον καταβολὴν ἐνόμιζον ὕβρε-D ως, καὶ τὴν ἀγαθοῦ τινὸς ἀνθρωπικοῦ παροχὴν ἔμεσιν τῶν προσόντων ᾤοντο εἶναι καὶ καταστροφὴν τὴν ἐπιστροφήν. ὁ δ' αὐτὸς φαρμακὸς ὢν ὀλοώτατος ἐλελήθει πρότερον, ἡνίκα τυραννεῖν ἐπεβάλλετο· ἡμερῶν δέ τινων διαλειπουσῶν ᾔδετο παρὰ πᾶσιν (εἰ δὲ καὶ ἀληθῶς, οὐκ ἔχω λέγειν) καὶ θανασίμους κεραννύειν ἐπίστασθαι κύλικας, καὶ τῆς ὀλεθρίας ταύτης ἐς ᾅδου καταγωγῆς πρώτην τῶν ἄλλων πειραθῆναι

2. οἷς] ὅτι A. προσηγορίαν] χαιρετισμὸν B. διά τινος A. 6. πιστούμενα A: vulgo ἀπιστούμενα. 7. μόνον om A. 9. ἀπιστότατος] πικρότατος A. 15. ὑμνούμενόν] εὐλογούμενόν A.

idemque mox comprehensus et oculis erutis in obscurum carcerem est coniectus, quod per quendam carceris custodem fratri uxoris suae Angelo Constantino salutem dixerat. nemo igitur aerumnarum erat expers; et si nunquam alias, tum certe re ipsa monstra illa apparebant, quae Empedocles de contentione fabulatur. neque enim proceres duntaxat Andronici adversarii, sed eius etiam cultores crudelissime tractabantur. nam quos heri humanissime exceperat et inter intimos habuerat, in eos hodie atrociter saeviebat. ita videre erat eundem eodem die, ut de navarcho Xerxis est memoriae proditum, et coronari et securi percuti, laudari et conviciis proscindi. itaque prudentiores Andronici laudationem iniuriae principium, et beneficentiam eius facultatum rapinam, benignitatem eius interitum iudicabant. neque vero constabat, cum regnum affectaret, eum veneficum esse atrocissimum et letalia pocula miscendi peritum: sed

τὴν Καισάρισσαν Μαρίαν τὴν θυγατέρα τοῦ βασιλέως Μανουήλ, τὴν καὶ πρώτω; καὶ παρὰ πάντας μάλιστα τὴν Ἀνδρονίκου κάθοδον ἐς τὴν πατρίδα γλιχομένην ἰδεῖν· ὑποφθαρῆναι γὰρ χρησταῖς ὑποσχέσεσιν ἐκτομίαν τινὰ πατρῷον ὑπηρέτην τῇ γυναικί, τοὐπίκλην Πτερυγιονίτην, καὶ λυγρὸν ἐγχεθῆναι τῇ ἀνθρώπῳ διὰ τούτου φάρμακον, εἶναι δὲ μὴ τῶν αὐτίκα θανατούντων τὸ ποθὲν δηλητήριον ἀλλὰ τῶν κατὰ βραχὺ παρακατατιθεμένων θανάτῳ καὶ ὑπεξαγόντων τοῦ ζῆν σχολαίτερον. οὐ πολὺς ὁ ἐν μέσῳ καιρός, καὶ τῷ τῆς γυναικὸς μόρῳ καὶ ὁ ταύτῃ συζυγεὶς Καῖσαρ ἐπηκολούθησε. πλὴν οὐδ' οὗτος φυσικῶς ἐλέγετο τελευτᾶν, ἀλλ' ὕπο- P 168 πτος ἦν κἀν τούτῳ Ἀνδρόνικος, καὶ κύλιξ ἐτεκμαίρετο μία ζωῆς κατευνάστρια δύο ἀμαυρῶσαι τέκνα πιότητος.

15. Βουληθεὶς δὲ τὸ ἐκ τῆς ἀνεψιᾶς Θεοδώρας ἀποτεχθὲν αὐτῷ θυγάτριον τὴν Εἰρήνην εἰς γάμον ἁρμόσαι τῷ Ἀλεξίῳ, ὃν ἡ Κομνηνὴ Θεοδώρα τῷ βασιλεῖ ἐγείνατο Μανουήλ, βιβλίον λακωνίζον ξυντίθησι πρὸς τὴν ἱερὰν σύνοδον, καὶ τοῦτο ὑποσημηνάμενος κάτωθεν διὰ μέλανος τῷ οἰκείῳ ὀνόματι ἐπὶ κοινῆς ἀκροάσεώς τε καὶ σκέψεως ἀναδίδωσιν. ἦν δὲ τῶν γραφομένων ὁ νοῦς, εἰ συγχωρηθήσεται προβῆναι συνάλλαγμα γαμικὸν βραχὺ μὲν ἢ οὐδὲν παρυπεμφαῖνον τὸ ἄσεμνον, γενησόμενον δ' ὅμως εἰς ἁρμογὴν τῆς ἑῴας καὶ

5. πτερυγεωνίτην B. 6. φαρμάκιν B. 10. ταύτης σύζυγος A. 13. ζωῆς κατευνάστρια om A. 21. συνάλλαγμα] συνοικέσιον B. ἢ οὐδὲν om A. 22. ἁρμογὴν] ἕνωσιν A.

aliquot diebus post id omnibus in ore erat, vere necne, haud scio; ac eius nefariae artis prima fecisse periculum Maria Caesarissa, Manuelis imperatoris filia, ferebatur, quae et princeps et prae caeteris omnibus Andronici reditum expetiverat. nam pollicitationibus ab eo corruptum paternum eius spadonem, cognomento Pterygionitem, lentum illi venenum miscuisse. nec multo post Caesar uxoris obitum est consecutus, qui nec ipse naturali morte decessisse, sed unus calix duos praestantes homines, Andronici insidiis, confecisse putabatur.

15. Cum autem filiam Irenen, ex consobrina Theodora Comnena contra leges susceptam, Alexio, Manuelis ex incesto concubitu Theodorae filio, despondere vellet, breve scriptum ad sanctum concilium componit, idque suo nomine atramento subscriptum publice recitandum et deliberandum proponit. cuius haec erat sententia, utrum ferendum esset matrimonium, quod cum parum aut nihil potius incommodi prae se ferat, tamen ad Orientis et Occidentis coniunctionem et captivorum redemptionem pertineret, ac plura alia commoda rei publicae allaturum esset. id breve scriptum veluti ahe-

ἑσπερίου λήξεως καὶ ἀνάρρυσιν αἰχμαλώτων καὶ χορηγὸν B πλείστων ὅσων ἑτέρων συνοισόντων κοινῇ. καὶ τὸ βραχυσύλλαβον τοῦτο γραμμάτιον, καθά τις εὐρυχανδὴς ζωμήρυσις ἢ Ποσειδώνιος τρίαινα ἢ γοῦν τὸ εὐφυὲς τῆς Ἔριδος μῆλον, τήν τε σύνοδον διεκύκησε καὶ τῆς συγκλήτου μέρος ὁπόσον περὶ τὸ κρίνειν διέστησεν, ἢ ἀληθέστερον εἰπεῖν κατ' ἀλλήλων ἐφώπλισε καὶ εἰς μοίρας ἐναντίας ἀπέκρινε. χρήμασι γὰρ οἱ πλεῖστοι τούτων καθυπαχθέντες καὶ τιμῶν ἀναβάσεσι μαλαχθέντες ἐπευδόκουν, ὡς οὐκ ὤφελον, οἷα μὴ κεκωλυμένῳ τῷ γάμῳ. οἱ δὲ θρασύτεροι τῶν δικαστῶν καὶ ψηφοφαγεῖν εἰωθότες καὶ κατὰ τοὺς περιφανεῖς ἀγυρτεύοντες οἴκους, καὶ οἱ C φιλόχρυσοι τῶν ἐκ τῆς συνόδου καὶ θεοκάπηλοι, μηδὲ συγ- V. 138 γένειαν ἐπισύρεσθαι διετείνοντο τὰ συναφθησόμενα πρόσωπα διὰ τὸ ἐξ ἀθεμίτων ἑνώσεων ἀμφότερα γεγενῆσθαι καὶ τοῖς νόμοις τὰ τοιάδε κυήματα ἀνεπικοινώνητα συγγενείας καὶ ἐκ διαμέτρου ἀφεστῶτα λογίζεσθαι· καὶ ἀμαθὲς δὲ ἔλεγον εἶναι καὶ τὸ οἴεσθαι ὅλως δεῖν ὑπ' ἐξέτασιν πίπτειν ἐκδηλοτέραν ἡλίου ὑπόθεσιν. οἱ δ' οὐδ' ἄκροις ὠσὶ παραδεχόμενοι τὰ φθεγγόμενα, καὶ ὡς ἀγχωμάλοις ὅπλοις τοῖς νόμοις τὰς προσβολὰς αὐτῶν ἀπρακτοῦντες, μηδὲ συγχωροῦντες τῇ πράξει ὡς ἀθεμιτογαμίας μεστῇ ἀντέπιπτον γενναιότερον. ἦσαν δ' οἱ τὴν καλλίστην ταύτην εἰσηγούμενοι γνώμην, καὶ τῆς πάλης τῆς κρείττονος, βραχεῖς. ἐκ τῶν ἀρχιερέων καὶ τῶν D ἐντρύφων τοῦ βήματος καί τινες εὐσύνοπτοι τῶν τῆς συγκλή-

3. τούτου A. 5. καὶ τὸ τῆς A. 10. δικαστῶν] κληρικῶν B. 11. οἴκους οὓς καὶ ἐπισκοπιανοὺς ὀνομάζουσι B. 12. ἐκ om A. 16. δὲ om A. 18. οἱ δ'] ἕτεροι δὲ μηδ' A. 19. τὰ — νόμοις om A. 20. ἀπρακτοῦντες] ἀποκρουόμενοι μηδὲ συγχ. προβῆναι τὸν γάμον ὡς ἀθεμιτογαμίας μετέχοντα A.

num ebulliens aut Neptunius tridens, aut ingeniose confictum illud contentionis pomum, concilium permiscuit; et inter senatorios iudices omnes dissidium effecit, aut ut verius dicam, alios in alios armavit et in contrarias velut acies distraxit. nam eorum maxima pars corrupta largitionibus, et amplificandae dignitatis promissionibus, id coniugium ut licitum (quod utinam factum non esset) approbavit. iudices vero audaciores, qui procerum aedes frequentare ac suffragia conviviis eorum condonare solent, et homines avari et res divinas cauponari soliti, eas personas inter se cognatas esse negabant, propterea quod ex illicitis nuptiis procreatae nihil cum iure cognationis commune haberent ac alienissimae putarentur. esse autem inscitiae, causam sole illustriorem in quaestionem vocari. alii vero argumentis istis plane repudiatis fortiter adversabantur, et nuptias istas, quae incestae essent, procedere nequaquam patiebantur. eius pul-

του βουλῆς. καὶ αὐτοὺς δὲ ὁ τοῦ πατριάρχου ζῆλος ἐπισυνίστη τε καὶ ἐπήλειφεν, οὐκ ἐῶν ἑτεροζυγεῖν καὶ οἴκοθεν ἄλλως σπεύδοντας. οὔτε γὰρ ἡ Ἀνδρονίκου τοῦτον ἐξέλυσε μεγαλειότης οὔθ' ἡ τῶν αὐτοῦ λόγων ἐστυφέλιξε δύναμις οὔθ' αἱ ἀπειλαὶ διετάραξαν, ἀλλ' ἦν ἀτίνακτος ὡς ἐκεῖνος ὁ πρόβολος περὶ ὃν ἀεὶ κῦμα ὀρθὸν ἵσταται καὶ ἅλμη περιμορμύρουσα· ὁ δὲ εἰς ἀφρὸν διαλύων καὶ μακρὰ κλάειν ἐῶν τὴν ἠχήεσσαν θάλασσαν ἐπὶ τῆς αὐτῆς ἐστήρικται βάσεως. ἀμέλει τοι καὶ ἰδὼν ὡς οὐδὲν ὠφελεῖ ἀλλ' ἀνακαλύπτως ἔπεισι τὰ δεινὰ καὶ νικᾷ τὰ χείρονα, τῶν ἱερῶν ἀπανίσταται ἀρχείων καὶ πρὸς τὴν νῆσον ἀφικνεῖται Τερέβινθον, καθ' ἣν αὐτῷ τὴν καταγωγὴν καὶ τὴν τοῦ σκήνους ηὐτρεπίκει κατάθεσιν. ὁ δὲ Ἀνδρόνικος τὴν τοῦ Θεοδοσίου ὑποχώρησιν δεξίω- P. 169 μα τύχης κάλλιστον ἡγησάμενος ὡς παρὰ δόξαν ἅμα καὶ κατὰ γνώμην ἐκείνῳ γεγενημένην, τό τε συνάλλαγμα ἐξεπέρανε τῶν γάμων, εὐλογητὴν ἀναδείξας τὸν ἀρχιποίμενα τῶν Βουλγάρων παρόντα τηνικαῦτα τῇ πόλει, καὶ περὶ τοῦ τὸν πατριαρχικὸν θρόνον διαδεξομένου καὶ αὐτῷ πληρώσοντος τὰ κατ' ἔφεσιν διασκέπτεται. καὶ ἐπικρίνεται Ἀνδρονίκῳ εἰς τὴν οἰκουμενικὴν προεδρίαν ὁ Καματηρὸς Βασίλειος, ἢ τὸ ἔμπαλιν, ὡς ἐλέγετο, αὐτὸς Ἀνδρόνικον ἐφειλκύσατο πρὸς τὴν τοιαύτην ἐπιλογὴν οἷς μονώτατος ἐξ ἁπάντων Ἀνδρονίκῳ ἐγγράφως συνέθετο ἐκεῖνα ἐν τῷ ἀρχιερατεύειν διαπράττεσθαι B ὅσα φιλητὰ Ἀνδρονίκῳ, κἂν εἴησαν παναθέμιτα, κἀκεῖνα πάλιν ἀποστυγεῖν ὁπόσα οὐχ ἥδυνει Ἀνδρόνικον.

1. καὶ αὐτ. δ. ὁ] πλὴν καὶ τούτους ὁ A. 9. ἀπερικαλύπτως A.

cherrimae sententiae auctores erant pauci ex ordine pontificum et sacerdotum, et ex patribus conscriptis aliquot, qui et ipsi patriarchae studio incitati et auctoritate confirmati in recta sententia, quamvis eam domo non attulissent, permanebant. hunc enim neque Andronici maiestas debilitavit neque vis eloquentiae evertit neque minae perturbarunt, quominus instar marinae petrae inconcussus maneret. qui cum se nihil proficere et mala manifeste ingruere et partem meliorem a maiore vinci cerneret, e sacro palatio in insulam Terebinthum, ubi sibi diversorium et sepulcrum struxerat, discedit. Andronicus vero, ut desideratum, ita inopinatum eius discessum instituto suo commodissimum ratus, nuptias perficit, Bulgarorum episcopo, qui tum forte in urbe erat, caeremonias matrimonii peragente. cum de successore suae factionis patriarchae dando deliberaret, Camatero Basilio oecumenicum pontificatum defert; aut potius illius syngrapha impulsus vendit, qua is promiserat se quicquid cordi esset Andronico, quantumvis illicitum, facturum, et ea declinaturum quae illi displicerent.

16. Οὐ μόνον δὲ τὰ κατὰ τὴν πόλιν οὕτως ἐνόσουν, ἀλλὰ καὶ τὰ ἔξω χειρόνως ἔπασχον, ἀντιπεριάγοντος οἶμαι τοῦ δαιμονίου τὴν ὑπὸ Ῥωμαίους εἰς πᾶν ἀξύμφορον. ὁ γὰρ τοῦ Ἰκονίου σουλτάνος, ὃν ἐδείμαινε πέτρον ἀεὶ κατὰ Τάνταλον ὑπὲρ κεφαλῆς ἀνατέλλοντα, φημὶ δὴ τὸν ἄνακτα Μανουήλ, εἰς ᾅδου μετακεχωρηκέναι μαθὼν τήν τε Σωζόπολιν πολέμου νόμῳ κατέσχε, καὶ τὰς πέριξ κωμοπόλεις ληϊσάμενος ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ τὴν Ἀττάλου δὲ λαμπροτάτην πόλιν πολιορκίᾳ χρονίᾳ ἐκάκωσε, καὶ τὸ Κοτυάειον ἐξεπόρ-
C θησε, καὶ ἑτέρας συχνὰς χώρας παρεστήσατο. καὶ ὁ μέγας δὲ δομέστικος Ἰωάννης ὁ ἐκ Κομνηνῶν, ᾧ τὸ ἐπώνυμον Βατάτζης, ἀνὴρ οὐ φαῦλος τὰ τακτικά, πολλὰς δὲ νίκας πολλάκις ἐπανῃρημένος κατὰ Περσῶν, τῇ Φιλαδελφείᾳ ἐνδιατρίβων ἀντεκάθητο γενναίως τῷ Ἀνδρονίκῳ καὶ ὀλιγώρως τῶν τούτου εἶχεν ἐπιταγῶν, καὶ ἀπειλοῦντι δεινὰ ἀντενεβριμᾶτο δεινότερα, καὶ κακῶς ἀκούων ὡς τυραννίδι ἐπιχειρῶν τῷ ἤδη τετυραννηκότι λαμπρῶς ἐπετίμα τε καὶ ἐπέπληττεν ὡς ἐνστάτῃ δαίμονι, τὸ βασίλειον γένος ἐκτρίβοντι. ὅθεν ἐμφυλίων στάσεων καὶ πολέμων αἱ Ἀσιάτιδες ἔγεμον πόλεις. καὶ ἦν τὰ ἐντεῦθεν δρώμενα πολλῷ δυσαχθέστερα τῶν ἐξ ὁμό-
D ρων συμβαινόντων ἐθνῶν, ἢ καὶ οὕτως εἰπεῖν, ᾧ χεὶρ οὐκ ἐπεξῆλθεν ἀλλόγλωττος, τοῦτο ἡ ἐγχώριος ἐθέριζε δεξιά, καὶ κατ' ἀλλήλων ἐκπεπολέμωτο τὸ ὁμόφυλον βαρβαρωθὲν ἅπαν

1. τὴν om A. 2. ἔξω] θύραθεν A. 4. σουλτὰν A. 6. μετακεχωρηκότα A. 9. ἐξεπόρθησε] ἐξεκάστρισε B. 14. ἀντεκάθητο] ἀντέπιπτε A.

16. Hoc tam afflicto civitatis statu provinciae peius etiam habebant, nescio quo fato Romanum imperium labefactante. nam Iconii Sultanus audito Manuelis imperatoris obitu, quem ut Tantalus saxum iamiam capiti imminens formidarat, Sozopolim belli iure capit, oppida circumiacentia direpta suae ditionis facit, et splendidissimam Attali urbem longa obsidione affligit; Cotyalium vastat, et alias complures provincias in deditionem accipit. ad haec magnus domesticus Ioannes Comnenus, cognomento Batatzes, vir rei bellicae non ignarus, multis victoriis contra Persas insignis, tum Philadelphiae degens, acriter Andronico adversatur, eius edicta negligit, minas eius gravioribus minis eludit. et cum ob affectati regni crimen male audiret, eum qui id iam invaserat obiurgat, et ut malum genium, genus imperatorium extirpantem, execratur. unde Asianae urbes seditionibus et intestinis bellis gravius quam a finitimis hostibus affligebantur. imo, quem barbari non violarant, eum cives trucidabant; et concitati contra sese populares, obliti necessitudinis, barbarico

καὶ τοὺς τῆς συγγενείας νόμους ἠγνοηκός. καὶ Ἀνδρόνικος V. 139 μὲν ὁπλίζειν ἔγνω κατὰ τοῦ Βατάτζη τὸν Λαπαρδᾶν Ἀνδρόνικον, ἄνδρα βραχὺν μὲν τὸ δέμας, δραστήριον δὲ τὰ πολέμια, οὐκ ὀλίγον αὐτῷ στρατολογήσας ὁπλιτικόν· ὁ δὲ Κομνηνὸς Ἰωάννης νόσῳ τότε συνισχημένος καὶ περί που τὴν Φιλαδελφέων πόλιν ἐσκηνημένος ἀντεξάγει τῷ Λαπαρδᾷ τοὺς υἱεῖς, τόν τε Μανουὴλ καὶ τὸν Ἀλέξιον. τοῦ δὲ πολέμου συχνὰς μεταλαβόντος τροπὰς ὁποίας αὐτὸς ἴσησι, καὶ πολλῶν ἐξεκατέρωθεν ἀναιρουμένων ταῖς ἐμφυλίοις συμπλοκαῖς, βαρυπενθὴς ἦν ὁ Βατάτζης τῇ ἐνσκηψάσῃ καχεξίᾳ ἐπιστυγνάζων ὡς ἀμφοτέραις αὐτὸν συσχούσῃ καὶ καταβαλούσῃ δυστυχῶς ἐπὶ κλίνης, ὅτε δημοσιεύειν ἔδει καὶ παριστᾶν ὃ τρέφει περὶ τὰ πολεμικὰ γενναῖον, καὶ τὰς ἐπὶ νίκῃ νενομισμένας P. 170 φωνὰς πρὸς τῶν ἑῴων πόλεων δέχεσθαι, ἔτι δὲ πιστοῦσθαι τοῖς ἔργοις πρὸς οἷον ἀντιφέρεται ἀρχηγὸν ὁ βαρυγέρων Ἀνδρόνικος. πράγμασι δὲ καθυποδεικνὺς ὡς προθυμία καὶ νεκροὺς ἀνίστησι καὶ ὡς οὐδὲν καρδίας αἰσθητικῆς ἰσχυρότερον, αἴρειν αὐτὸν ἐπὶ κλινιδίου αὐτοσκεύου προτρέπεται, καὶ στῆσαι φέροντας ἐν γηλόφῳ, ὅθεν ὁρατά οἱ τὰ κατὰ πόλεμον ἔσοιτο. οὗ δὴ γεγονότος, καὶ τοὺς υἱεῖς αὐτοῦ τὴν στρατιὰν κατὰ τὸν δοκοῦντά οἱ τρόπον ἐκτάξαι κελεύσαντος, ἡ νίκη περιφανῶς πρὸς τὸ ἐκείνου μετέβη στράτευμα, τὸ δὲ τοῦ Λαπαρδᾶ τὰ νῶτα μεταβαλὸν ἐπὶ πλεῖστον ἦν χρόνον διωκό-

2. λαμπαρδᾶν A. 3. βραχὺν] τὴν μὲν ἡλικίαν κοντὸν B. 8. μεταβαλόντος A. 9. ἐξ ἑκατέρων A. 13. τοὺς πολέμους A. 15. βαρυγέρων A: vulgo βαθυγέρων. 17. αἴρειν] μετὰ τοῦ κραββάτου σηκῶσαι αὐτὸν B. 21 τὸ δοκοῦν ἐκείνῳ ἐκτάξαι A. 22. μετέβη] ἔβλεψε A.

more alii in alios grassabantur. ac Andronicus in animo habuit Andronicum Lapardam iustis copiis datis cum Batatze committere, virum parvum illum quidem sed bellicosum. at Ioannes Comnenus oppressus morbo, circa Philadelphiam castrametatus, filios Manuelem et Alexium contra Lapardam mittit. cum autem vario eventu pugnaretur et multi utrinque civilibus armis caderent, in magno luctu erat Batatzes, ac fortunas suas miserabatur, quod tum infeliciter in lecto decumberet, cum in publico et in acie versandum et bellica virtus declaranda ac Orientalium urbium voces ob victoriam audiendae essent, ut re ipsa intelligeret senex Andronicus, cum quali sibi adversario res esset. sed quid non facit alacritas et animus in re mala bonus? iubet se in tumulum, unde pugna conspici posset, in lectulo deferri, et filiis ut instruenda sit acies praecipit. sic victoria illustri potitur eius exercitus, et Lapardanos longe persequitur ac caedit.

B μενον καὶ κτεινόμενον. μετὰ βραχείας δ' ἡμέρας τὸν βίον καταστρέψαντος τοῦ Βατάτζη, οἱ Φιλαδελφεῖς πικρῶς ἐπ' αὐτῷ καὶ βύθιον ὀλολύξαντες προσχωρεῖν ἐγνώκεισαν Ἀνδρονίκῳ, ὡς μὴ εἶναι ὅστις οὐχὶ τῶν ἁπάντων. οἱ δὲ καὶ ἐς αὐτὴν τὴν βασιλεύουσαν πόλιν τὸ τῆς προθυμίας πτερὸν ἔλυον, καὶ Ἀνδρόνικον θεραπεύοντες κατὰ τοῦ ἀετιδοῦς ὄρνιθος τοῦ Βατάτζη καὶ τῶν ἐκείνου νεοττῶν ἔκρωζον ὡς κορῶναι λακέρυζαι, ἢ γοῦν ὡς 'κηφῆνες περιεβόμβουν ἀγυιὰς καὶ ἀνάκτορα, ὁποῖον δὴ τῶν κακοσχόλων τὸ ἐπιτήδευμα καὶ τῶν δικρόαν τρεφόντων γλῶτταν ἐπὶ τοῦ στόματος. οἱ δὲ τοῦ μεγάλου δομεστίκου υἱοὶ δείσαντες μὴ συσχεθεῖεν καὶ καταπροδοθεῖεν Ἀνδρονίκῳ, μεθίστανται ἐκεῖθεν καὶ τῷ Ἰκο-
C νιεῖ σουλτάνῳ προσρύονται· οἳ καὶ ὕστερον, ἐξ ὧν ἔπαθον, προδήλως ὑπέδειξαν μὴ ἐξεῖναί τινι τὰς πάγας ὑπεραλέσθαι ἢ τὸ ἀμφίβληστρον διεκδῦναι ὃ ἡ ἄνωθεν ἐξέτεινε πρόνοια. δυσχεράναντες γὰρ ἐπὶ τῇ μετὰ τοῦ σουλτάνου χρονίᾳ διατριβῇ, ὡς οὐκ ἀμύνειν τοὺς ἐχθροὺς ἐκείνοις ἐθέλοντος, εἰς Σικελίαν ἀπαίρειν κεκρίκασι, καὶ δὴ νηὸς ἐπιβάντες καὶ οὐρίῳ τὰ πρῶτα πνεύματι χρώμενοι τὸ Κρητικὸν διαπλωΐζονται πέλαγος. κατὰ δὲ τοῦτο τοῦ πνεύματος ἀντιστάντος ἀναγκαστῶς τῇ Κρήτῃ προσίσχουσι, καὶ γνωσθέντες παρά τινος ἐκεῖσε φυλάσσοντος (γένους οὗτος τοῦ πελεκυφόρου καὶ Κελ-
D τικοῦ) συλλαμβάνονται καὶ τῷ τῆς Κρήτης δασμολόγῳ καταμηνύονται. ὁ δὲ ᾔρεῖτο μὲν τοὺς ἄνδρας ἐκσῶσαι καὶ τῆς

2. πικρὸν A. 6. ἀετώδους? an ἀετοειδοῦς? 15. ἢ τὸ ἀμφ.] ἐκ τῶν δικτύων ἐγλυτῶσαι B. ἐκτείνει A. 16. μετὰ τοῦ Σ.] πρὸς τὸν σουλτὰν A. 19. διαπλωΐζονται] παραναλέγονται A. 22. φυλάσσοντος] βαράγγου B.

paucis diebus post Batatzis interitus magnum Philadelphiensibus luctum attulit, et animos eorum omnium ita immutavit ut cum Andronico se coniungere statuerent, et missis Cpolim legatis, ad captandam Andronici benevolentiam, Batatzem et filios eius summa animi levitate criminarentur. proinde magni domestici filii, metuentes ne comprehensi Andronico proderentur, ad Iconiensem Sultanum confugiunt; quorum calamitate declaratum est laqueos et retia divinae providentiae neminem posse evadere. nam cum Sultani cessationem in ferendis contra hostem auxiliis moleste ferrent, abire in Siciliam decreverunt; et navi conscensa, principio prospero flatu Cretici pelagi oram legunt. ibi vero adverso vento coorto ad Cretam appellere coacti, et a quodam praesidiario Gallo, ex eorum ordine qui secures gestant, cogniti comprehenduntur, et apud Cretae quaestorem deferuntur. qui cum eos incolumes et commeatu instructos ex

νήσου ἀρτεμέας ἐκπέμψαι, ἄλφιτα αὐτοῖς ἐπισιτισάμενος καὶ οἶνον ὑδρευσάμενος καὶ τἆλλα τὰ πρὸς τὸν πλοῦν ἐπιτήδεια χορηγήσας, οὐκ ἔχων δ' ὅπως περανεῖ τὰ κατὰ σκοπὸν (καταφανεῖς γὰρ ἤδη τοῖς ἅπασιν ἐγεγόνεισαν) δῆλα τίθησιν Ἀνδρονίκῳ τὰ κατὰ τούτους τοὺς τάλανας Κομνηνούς. καὶ οὗτος μισοφαὴς ὢν καὶ ταῖς τῶν ἀνδρῶν κόραις ἀκορέστως ἀντικαθήμενος τοῦ φωτὸς τούτους ἀποστερεῖ.

Τότε δ' οὖν Ἀνδρόνικος θείαν ἐπισκοπὴν τὸν τοῦ Βατάτζη θάνατον ἡγησάμενος, καὶ προστιθεὶς ταῖς λοιπαῖς ἑαυτοῦ δολοφροσύναις καὶ ἕτερον τοῦ τρόπου προκάλυμμα, στεφθῆναι αὐτοκράτορα εἰσηγεῖται τὸν βασιλέα Ἀλέξιον. καὶ δὴ ἐπὶ τῶν ὤμων ἄρας αὐτὸν καὶ μετὰ δακρύων θερμῶν εἰς τὸν τῆς μεγάλης ἐκκλησίας ἀνακομίσας ἀνάσταθμον ἐπὶ μάρτυσι μυριάσι πολλαῖς πλήθους ἀστυκοῦ καὶ ἀλλοίου, καὶ πάλιν ὁμοίως ἐκεῖθεν κατενεγκών, ἔδοξε φιλοστοργότερος εἶναι πατρὸς καὶ χεὶρ δεξιὰ ἐπιστῆναι τῷ νεαρῷ τῆς βασιλείας ὅρπηκι. ὁ δὲ τὸ τοῦ Δαβὶδ ἄντικρυς διδοὺς πέρατι ὅ φησιν „ἐπάρας κατέρραξέ με," διενοεῖτο ταῦτα καὶ ἐπετέλει. (17) P. 171
τῷ τοι καὶ πάντας ἐκποδὼν θέσθαι προθυμηθεὶς διεξῆγεν ὡς V. 140
ᾕρεῖτο τὰ κατὰ τὴν βασιλείαν πράγματα, τῶν ὅλων κύριος καθεστώς. καὶ πρῶτα μὲν τὴν τοῦ βασιλέως μητέρα τοῦ υἱοῦ καὶ βασιλέως ἀποστῆσαι βουλόμενος, οὐκ ἔληγεν αὐτῆς καταβοώμενος καὶ τὸν ἀπονοστοῦντα πλαττόμενος, φάσκων ἀντικαθίστασθαί οἱ ταυτηνὶ προδηλότατα καὶ πρὸς πᾶσαν πρᾶξιν

6. μισοφανὴς A. 10. κάλυμμα A. 12. τὸν ὦμον A. 13. ἀνάσταθμον] ἄμβωνα A. 14. πολλαῖς om A. 18. κατέρραξάς A. ἀπετέλει A.

insula dimittere in animo haberet, nec tamen suum exequi consilium illis iam agnitis posset, rem Andronico indicat. qui ut lucis inimicus et oculis infestissimus, miseros illos Comnenos excaecat.

Ac Batatzis obitum divinum beneficium interpretatus, caeteris dolis etiam hunc adiecit ingenii sui dissimulandi causa. auctor est coronandi Alexii, eumque in humeros elatum lacrimans in magnae ecclesiae ambonem pertulit; atque inde retulit, ut patrem pietate superare videretur et adolescentis imperatoris praesidium haberetur, cum ipse aliud in animo haberet, ac Davidicum illud agitaret, elatum me allisit. (17) Quare omnibus aulae proceribus amotis, summaque rerum in se translata, imperium suo arbitratu gerebat; ac principio matrem imperatoris, ut aperte sibi et imperatoris ac rei publicae commodis adversantem, criminari non destitit, seque discessurum iterum simulavit; et populo ad eam conviciis lacerandam concitato, suis artibus effecit ut in sacro palatio conveniret, et patriar-

καὶ μηχανὴν τῷ κοινῷ τῆς πολιτείας καὶ τῷ βασιλεῖ συνοίσουσαν ἀντιπολιτεύεσθαι, καὶ τὸν δῆμον εἰς τὰς κατ' αὐτῆς ἐξεκύμαινεν ὕβρεις, ὡς πολλάκις εἰς τὸ ἱερὸν ἀρχεῖον ἐκδημαγωγηθέντα συναθροισθῆναι, καὶ πρὸς τὴν κατὰ τῆς δεσποίνης B σκέψιν τε καὶ προβούλευσιν ἐξαρπάσαι καὶ μὴ ἑκόντα τὸν πατριάρχην τὸν πάνυ τὸν Θεοδόσιον, καὶ παραβιάσασθαι κἀκεῖνον εὐδοκῆσαι δι' ὑπομνήματος τὴν ἐκ μέσου ταύτης μετάστασιν καὶ τὴν ἐκ τῶν βασιλείων ἄπαρσιν. τάχα δ' ἂν καὶ τῶν γενείων αὐτοῦ ἐπελάβοντο τῶν ἀγοραίων οἱ κυνογνώμονες, παρ' οὐδὲν τὴν ἐμπρέπουσαν ἐκείνῳ θέμενοι ὁσιότητα, εἰ μὴ κατένευσε πρὸς τὰ παρ' Ἀνδρονίκου αἰτούμενα, ἐπὶ τὸ εὖ διατιθεὶς τὴν τοῦ κινδύνου σφοδρότητα. μικροῦ δὲ ἐδέησε κινδυνεῦσαι περὶ τὸ ζῆν κἀκ τῶν τοῦ Βήλου κριτῶν τὸν Τορνίκην Δημήτριον, τὸν Μοναστηριώτην Λέοντα καὶ Κωνσταντῖνον τὸν Πατρηνόν, οὔπω τῷ κύκλῳ ἐγγραφέντας C τῶν Ἀνδρονίκῳ προσθεμένων, μηδὲ πρὸς πᾶν ἐράσμιον ἐκείνῳ δουλογραφηθέντας τρανότερον καὶ τὸ γόνυ βαθέως κάμψαντας. οἱ μὲν γὰρ ἀπαιτούμενοι τὸ παριστάμενον εἰπεῖν πρὸς τὰ κατὰ τῆς δεσποίνης εἰσαγόμενα ἐθέλειν πρώτως ἔφασαν μαθεῖν εἰ ὁ σύλλογος ἐκεῖνος καὶ ἡ συνέλευσις καὶ ἡ περὶ τῶν προκειμένων ἐξέτασις κατὰ γνώμην γίνεται τοῦ κρατοῦντος καὶ ὁρισμόν· ὁ δ' Ἀνδρόνικος ὡς βουκέντρῳ τῷ λόγῳ τούτῳ τρωθεὶς „οὗτοί εἰσιν" ἔφησεν „οἱ τὸν πρωτοσεβαστὸν ἐνάγοντες εἰς τὸ τὰ ἄτοπα δρᾶν· συλλάβετε αὐτούς." καὶ τὸ ἀπὸ τοῦδε οἱ μὲν δορυφόροι τὰ ἐπὶ τῶν ὤμων

3. ἐξεκύμηνεν A. 5. ἀφαρπάσαι A. 7. ἐκ τοῦ μ. A. 9. κακογνώμονες A. 17. τρανότερον] ἀριδηλότατα A. 19. πρότερον ἔφασκον A. 25. οἱ μὲν δορυφόροι] οἱ βάραγγοι τὰς μανάρας κατεβίβασαν ἐπάνω αὐτῶν B.

cham Theodosium importunis flagitationibus et crebris conviciis perpelleret ut in imperatricis eiectionem e palatio consentiret. tanta enim circumforaneae turbae vaecordia erat, ut timendum esset ne in barbam eius involarent, nihil elucentem in eo sanctimoniam reveriti, ni Andronici postulatis, ut ab iniuria esset tutior, annuisset. Beli quoque iudices, Monasteriotes Leo, Tornicius Demetrius et Constantinus Patrenus, nondum in album eorum inscripti qui Andronico studebant, nec apertissime illius cupiditatibus mancipati, vitae periculum adierunt. nam de imperatrice sententias rogati responderunt se prius velle cognoscere, an id concilium de imperatoris sententia coactum esset. qua oratione tanquam stimulo vulneratus Andronicus „isti sunt" inquit, „qui protosebastum ad illa facinora impellunt: comprehendite eos" statim igitur satellites gladios quos

ἱερόθηκτα ξίφη ὡς καθιξόμενοι κατήνεγκαν, ὁ δὲ δῆμος τῇδέ τε κἀκεῖσε τῶν χλαμύδων λαβόμενοι περιέφερον τοὺς ἄν- D δρας μεθ' ὕβρεως, ὡς μόλις ἐκφυγεῖν τὸ θανεῖν. τοῦτο δ' ἀνύσας Ἀνδρόνικος τοῖς μεγιστᾶσι μετέπειτα ἐπεφύετο. οἱ δὲ ὡς οὐκ ἀνεκτὰ τὰ τοιαῦτα ἔργα ὑφορώμενοι καὶ τὴν Κυκλώπειον ἄντικρυς πρὸ ὀφθαλμῶν ἔχοντες καταθοίνησιν, ἀλλήλοις πίστεις δόντες τε καὶ λαβόντες, καὶ τὴν ὁμόνοιαν κρατυνάμενοι καὶ ὅρκοις τὸ ὁμόπνουν φρικώδεσιν ἐμπεδώσαντες, συνέθεντο μὴ δοῦναι ὕπνον τοῖς ὀφθαλμοῖς, μηδὲ τοῖς κροτάφοις, εἰ δυνατόν, παρασχέσθαι ἀνάπαυσιν, ἕως οὗ θανεῖται Ἀνδρόνικος καὶ τὸ τούτου αἷμα πρὸ τοῦ τῆς κόγχης χρώσειεν αὐτόν, ἐξ ἧς βάψαι τὴν οἰκείαν στολὴν ἱμειρόμενος πᾶσαν τὴν βασίλειον φυταλιὰν ἐκριζοῖ καὶ ὡς μονιὸς διαλυμαίνεται ἄγριος. ἦσαν δὲ οὕτω συνομοσάμενοι Ἀνδρόνικος ὁ υἱὸς τοῦ Ἀγγέλου Κωνσταντίνου, ὁ μέγας δοὺξ Ἀνδρόνικος ὁ Κοντοστέφανος, καὶ οἱ τούτων υἱεῖς ἑκκαίδεκα ὄντες, πάντες ἀκμαῖοι καὶ ῥομφαίαν ἐσπασμένοι πρὸς πόλεμον, ὁ τοῦ P. 172 δρόμου λογοθέτης ὁ Καματηρὸς Βασίλειος, καὶ συχνοὶ ἕτεροι κατὰ γένος αὐτοῖς συναπτόμενοι καὶ ἄλλως τὸ ἐπίσημον ἔχοντες. ἀλλ' οὐκ ἔλαθε τὸ σύστρεμμα τὸν Ἀνδρόνικον, οὐκ εἰς τέλος ἄφθεγκτον καὶ κρύφιον διαμεῖναν. διὸ καὶ αὐτίκα ὅγε κατὰ τοῦ υἱοῦ τοῦ Ἀγγέλου ὁρμήσας, μικρὸν ἄποθεν αὐλιζομένου τῶν χερσαίων πυλῶν τῆς πόλεως τηνικαῦτα,

5. ὑφορώμενοι] οἰόμενοι A, omisso ὡς. 7. ἔδοσάν τε καὶ ἔλαβον καὶ τὴν ὁμ. ἐκράτυνον A. 13. ἐκριζοῖ] ἀναιρεῖ καὶ ὡς θὴρ A. 16. ἑκκαίδεκα] ἕνδεκα B. 19. συναπτόμενοι] συνταιτόμενοι A.

humeris sustinebant in illos vibrarunt; et populus clamydibus eorum apprehensis viros per contumeliam huc et illuc traxit, ut mortem aegre effugerent. his peractis Andronicus proceres invasit; qui cum ea facinora ferenda non ducerent, et Cyclopiam coenam ante oculos haberent, fidem inter sese dederunt et acceperunt, et concordiam sanctissimo iureiurando firmaverunt, pacti se nec oculis somnum visuros nec capitibus quietem daturos, ni prius Andronicum, si fieri posset, sustulissent, ut suopte potius quam conchae sanguine (qua vestem suam tingere cupiens, omnem imperatoriam stirpem evellere et tanquam immanis bellua devorare conaretur) purpurasceret. coniurati erant Andronicus Angeli Constantini filius, magnus dux Andronicus Contostephanus, et horum filii sedecim, omnes viri robusti et bellicosi; Logotheta Dromi Camaterus Basilius, et alii complures iuncti genere eis, viri illustres. sed ea conspiratio prodita non diu latuit Andronicum; qui impetu facto in Andronicum Angeli filium, tum-

ἐκεῖνον μὲν φυγάδα μετὰ τῶν υἱέων τίθησιν, ἀσπασίως διεκδράντα τὴν σαγήνην ἣν οἱ ὁπλοφόροι Ἀνδρονίκου αὐτῷ διεπέτασαν, ἐκ τοῦ μόλις ἀκατίῳ περιτυχεῖν ἀμφορέων πλήρει κενῶν, καὶ αὐτὰ μὲν ἐκτινάξαι εἰς θάλασσαν ὅσα καὶ ἀμφιβλήστρου σκύβαλα, αὐτὸν δ' ἐν τούτῳ διεκπλεῦσαι μετὰ τῶν παίδων μόλις τὸν κίνδυνον· τὸν δέ γε Κοντοστέφανον συνει- B ληφὼς καὶ τέσσαρας τῶν παίδων καὶ τὸν Καματηρὸν Βασί- V. 141 λειον πάντας ἐξομματοῖ, πρὸς δὲ καὶ ἄλλους, ὁπόσους οὐ μετ' ἔλεγχον προφανῆ ἀλλὰ κατὰ φήμην ψιλήν, καὶ ταύτην ἀμφίλογον, ἠκηκόει κοινωνῆσαι τοῖς εἰρημένοις τοῦ σκέμματος. οὕτω τοίνυν θύσας καὶ ἀπολέσας Ἀνδρόνικος οὓς πάλαι μὲν συλλαβεῖν ὤδινεν, εἰς καιρὸν δ' ἀνεβάλλετο τὴν ἐπίθεσιν, τινὰς δὲ καὶ δεσμωτηρίοις παραδούς, τῇ ὑπερορίᾳ δὲ καταδικάσας ἑτέρους καὶ ἄλλους ἄλλως διαφθείρας, ὁρῶν δὲ καὶ ὅσοι περ κατελείφθησαν εὔγνωστοί τε καὶ εὐαρίθμητοι, εἰς τοὔμπαλιν ἰέναι πρώην τοῖς πλείοσιν ἐπιχειροῦντες, κατὰ τοὺς πλανωμένους τῶν ἀστέρων κἀκείνους μεταθεμένους τὰς C γνώμας καὶ τὸν αὐχένα παρεχομένους Ἀνδρονίκῳ πατεῖν καὶ τῷ ἐκείνου ἅμα συμφερομένους ἄξονι, τὸν τῆς δεσποίνης ἐπέσπευδεν ὄλεθρον, καὶ διαφόρους αἰτίας ξυνθέμενος τέλος καὶ προδοσίας κρίνει τὴν ἄνθρωπον, συναγαγὼν τὸ ἐκείνῳ φίλον συνέδριον καὶ τῶν δικαστῶν οἳ κατακρινεῖν, οὐ κρινεῖν

3. ἀμφορέων] ὅπερ μαγαρικὰ ἔγεμεν B. 4. ὅσα καὶ] ὥσπερ A. 5. ἐν τούτῳ] ἐμβάντα A. 7. παίδων] υἱέων A. 11. θύσας καὶ ἀπ.] παγιδεύσας A. 14. ἄλλως] ἄλλοις κακοῖς περιβαλὼν A. 15. ὅσοι] εἴ τινες κατελείφθησαν εὐαρίθμητοι καὶ εὔγνωστοι εἰς τοὔμπαλιν ἰόντες τοῖς πλείοσιν, κατὰ A. 19. ἅμα σ.] ποθοῦντας ἅμα συμφέρεσθαι A. δεσπ. εἶτα ἐδίψα A. 20. ξυνθεὶς A. 21. προδοσίας] ὡς προδότριαν A.

non procul a terrestribus moenibus habitantem, illum cum quatuor filiis in exilium agit: nam sagena satellitum Andronici cupidissime evitata, conscensaque cum filiis navicula, vacuis amphoris quae in ea erant eiectis, periculum vix evitavit. Contostephanus cum IV filiis et Camaterus Basilius comprehensi omnes excaecantur. item alii non convicti, ex fama duntaxat eaque ambigua coniurationis, easdem poenas dederunt. ad hunc modum iis quos olim comprehensos cupiebat, per occasionem in potestatem redactis, et aliis in carcerem coniectis, aliis in exilium actis, aliis aliter multatis, cum paucos admodum reliquos esse cerneret, qui omissa pertinacia, errantium stellarum more, cursu in contrarium mutato sibi studerent, dominae perniciem molitur; ac post varias criminationes miseram mulierem concilio suorum, et eorum iudicum coetu coacto, qui non iudicaturi

τὴν ἐν γυναιξὶ ταλαίπωρον ἤμελλον. καὶ ἡ μὲν ὡς τὸν ἐπ' ἀδελφῇ γαμβρὸν τὸν ῥῆγα Οὐγγρίας τὸν Βελᾶν ἀνασείουσα καὶ πορθεῖν τὰ κατὰ Βρανίτζοβαν καὶ Βελάγραδα γραφαῖς ἐνάγουσα καὶ ἁδραῖς ἐπαίρουσα ὑποσχέσεσιν, εἰς τὴν τοῦ ἁγίου Διομήδους μονὴν περί τινα ἐκεῖ που στενωτάτην οὖσαν εἱρκτὴν ἀκλεῶς ἀπάγεται, ἔνθα δὴ καὶ ἐφ' ἱκανὸν παρὰ τῶν φυλάκων ἐρεσχελούντων παροινουμένη καὶ λιμῷ καὶ δίψει τετρυχωμένη τὸν σφαγέα διηνεκῶς ἐφαντάζετο ἐκ δεξιῶν D
ἑστῶτα τομώτατον. ὁ δ' Ἀνδρόνικος οὐδὲ βραχὺ γοῦν τοῦ ἀγριαίνειν ὑποκεχάλαστο, ἀλλὰ τὸ τοῦ Δαβίδ, πόνον καὶ θυμὸν κατανοῶν καὶ παραδοῦναι σπεύδων αὐτὴν εἰς θάνατον, καιρὸς οὔπω πολὺς καὶ τοῖς ζῶσιν ὅτι σύνεστι δυσχεραίνων ἀθροίζει πάλιν τοὺς τῇ ἀδικίᾳ βραβεύοντας δικαστάς, καὶ ὧν ἡ δεξιὰ δεξιὰ ἀδικίας, καὶ ἐρώτησιν προτεινάμενος ὁποία τις ἐκ τῶν νόμων ἐπήρτηται ποινὴ τοῖς προδόταις πόλεων καὶ χωρῶν, καὶ ἀπόφασιν ἔγγραφον θανάτῳ ὑποδικάζουσαν τοὺς οὕτω δρῶντας ἀνὰ χεῖρας δεξάμενος, ἦν τὸ ἐκ τούτου κατὰ τῆς ἀνάσσης ἄσχετος τὴν ὁρμήν. τοίνυν καὶ τὴν φωνὴν ὑψωσάντων καὶ διατόρως βοησάντων τῶν παρανόμων ἐκείνων ψηφηφόρων δεῖν ἐκ τοῦ βίου γενέσθαι τὴν δύσποτμον ἐκείνην ἐν βασιλίσσαις, χάρτης εὐθὺς παρὰ τοῦ παιδὸς καὶ βασιλέως ὑποσημαίνεται, ἀτεχνῶς ψεκάδι τοῦ μητρικοῦ διεκτυπούμενος αἵματος, ταύτην μετατιθεὶς τῆς ζωῆς. ἐκλέγονται τοίνυν εἰς τὸ

3. κατὰ τὴν βρ. καὶ βελέγραδα A. 6. ἐφ' ἱκανὸν om A. 9. γοῦν om A. 11. σπεύδων] θέλων A. 15. ἐπήρτηται] ἐπαναιρεῖται A. 21. βασιλίσσαις A, γυναιξὶ PW. 22. διεντυπούμενος PW. 23. τοίνυν τῆς μυσαρᾶς ταύτης καὶ ἀνοσιωτάτης διάκονοι πράξεως ὁ A.

sed damnaturi erant, proditionis accusat: eam ad Belam Hungariae regem, sororis maritum, crebras dedisse litteras, et magnis pollicitationibus eum impulisse ut Branizobam et Belligradum vastaret. itaque in angustissimum carcerem prope S. Diomedis monasterium ignominiose abducitur. ubi et custodum ludibriis ac contumeliis et fame sitique afflicta, saevissimi carnificis manum continenter expectabat. Andronicus vero nihil imminuta feritate, nihil nisi atrox et crudele cogitans et vivere illam graviter ferens, non multo post iniuriarum ministros iudices convocat, quae poena legibus in urbium et provinciarum proditores statuta sit rogat. accepto scripto, quo respondebatur capitale id esse facinus, cohiberi non potuit quin impetu in imperatricem ferretur. cum autem iudices illi iniqui clara voce exclamassent miserrimam illam imperatricem e medio tollendam esse, statim chartae ab imperatore, filio eius, quasi gutta materni

P. 173 καθυπουργῆσαι τῇ μυσαρᾷ ταύτῃ καὶ ἀνοσίῳ πράξει ὁ τοῦ Ἀνδρονίκου πρωτότοκος υἱὸς Μανουὴλ καὶ ὁ σεβαστὸς Γεώργιος ὁ τῆς τοῦ Ἀνδρονίκου γυναικὸς ἀδελφός. ἄμφω δὲ καὶ πρὸς μόνην ἀπεπήδησαν τὴν ἐπιλογὴν ταύτην δυσχεράναντες, καὶ τὸ τοῦ βασιλέως ἐξεφαύλισαν δόγμα, εἰπόντες μήτε πρότερον τῇ ἀναιρέσει τῆς βασιλίδος συνευδοκῆσαι ὅλως, ἀλλὰ τὰς χεῖρας φέρειν ἁγνὰς τοῦ μιάσματος, καὶ νῦν δὲ πολλῷ πλέον μὴ ἀνέξεσθαι αὐτῶν θεωμένων σῶμα διεκσπᾶσθαι δίκαιον, κἂν Ἀνδρόνικος ὡς σκηπτῷ τοῖς λεγομένοις τούτοις πληγείς, παρὰ δόξαν πᾶσαν ἀπηντηκόσι, τάς τε τοῦ γενείου τρίχας πυκνὰ περιειλισσε τοῖς δακτύλοις, πῦρ τῶν ὀμμάτων βλέπων, καὶ τὸ κάρη κλίνων τε καὶ ἀνάγων ἑαυτὸν ἱκανῶς ἐταλάνισε καὶ μέγ' ᾤχθησε πολλάκις οἷς οὐκ εἶχε τὸ φίλιον
B αἱμοχαρὲς καὶ πρὸς φονουργίαν μόνῳ ἐκπυρούμενον νεύματι. τότε μὲν οὖν τῆς ὁρμῆς ἀνασειρασθεὶς ὡσεὶ καὶ ἵππος θερμὸς καὶ δυσκάθεκτος, ἢ ὅσα καὶ καπνὸς φλόγα περὶ αὐτὴν εἱληθείς, τὸν οἰκεῖον ἀποσβέσας μὴ ὑπεξιόντα θυμόν, ὑπερέθετο τὴν ἀναίρεσιν· μετὰ δὲ βραχείας ἡμέρας τῷ διὰ πνιγμονῆς ἐλεεινῷ μόρῳ ὑποδικάζει τὴν κακοδαίμονα, ἐπιστατησάντων τῷ ὑπουργήματι τοῦ Τριψύχου Κωνσταντίνου, ὃς τὴν τῆς ἑταιρειαρχείας ζώνην εἶχε, καὶ τοῦ ἐκτομίου Πτερυγιονίτου, ὃς διεθρυλλεῖτο παρὰ πᾶσι καὶ τὸν τῆς πορφυρογεννήτου Μαρίας διὰ φαρμάκου κακουργῆσαι θάνατον. καὶ

5. ἐκφαυλίσαντες δόγμα καὶ εἰπόντες εὐπαρρησιαστότατα μήτε πρώην A. 8. ἀνέξεσθαι] ἀνασχέσθαι A. διεσπάσθαι A. 11. περιείλησε A. 14. φονουργίαν] ἀνοσιουργίαν A. 20. φονουργήματι A. 22. ὃς διεθ.] ὃν εἰπεῖν ἔφθημεν καὶ A.

sanguinis, qua illa mori iubebatur, subscribitur. illius crudelissimi et nefarii facinoris ministri Manuel primogenitus Andronici, et Georgius Augustus Andronici affinis, deliguntur. ii vero ad solam eius rei mentionem consternati, neglecto imperatorio mandato, libere dixerunt se nec ante in imperatricis necem consensisse, et ab eo piaculo puras habere manus, et nunc multo minus commissuros ut in conspectu suo corpus innocens lanietur. quibus verbis Andronicus plane inopinatis turbatus barbam digitis subinde implicuit; et ardentibus oculis caput subinde attollendo et demittendo suam miseriam deploravit, crebro indignatus, quod amicissimi sui a crudelitate abhorrentes solo nutu ad facinus atrocissimum non impellerentur. ac tum represso impetu, ut equus ferox et contumax, supressaque iracundia, ut ignis fumo involutus occulitur, paucis diebus post miseram suffocari iubet, eius mandati Constantino Tripsycho hetaeriarcha et spadone Pterygionite, cuius veneficio Mariam Porphyrogenitam

τὴν μέν, τὸ γλυκερὸν φάος καὶ καλὸν ὅραμα ἀνθρώποις, εἶχεν ἡ ἐκεῖ που ἀκτὴ τῇ ψάμμῳ καταχωσθεῖσαν. ἥλιε τοῦ V. 142 μιάσματος, καὶ λόγε θεοῦ προάναρχε, τῆς ὑπὲρ κατάληψιν C σῆς ἀνοχῆς!

18. Ὁ δ' Ἀνδρόνικος ἐπὶ τούτοις ἐσκίρτα, πῶς ἂν εἴποι τις; καὶ διεχεῖτο τὸ τῆς ψυχῆς ἡδόμενον, τοῦ γένους ἐκτριβομένου τοῦ Μανουὴλ καὶ δενδροτομουμένου κήπου τοῦ βασιλείου, ὡς μόνος οἰκήσων τὴν ὑπὸ Ῥωμαίους καὶ τῶν ταύτης σκήπτρων ἐπιληψόμενος ἀδεῶς. ἐνστάντος δὲ τοῦ Σεπτεμβρίου μηνὸς τῆς δευτέρας ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἔτους τῇ ἀναρρήσει ἐπιβάλλει. οὐκοῦν οἱ ἐκ τῆς φαύλης συμμορίας, κατὰ γνώμην δήπουθεν Ἀνδρονίκου, κἂν περιέκρυπτε τὴν ἑαυτοῦ βούλησιν, λόγον εἰσήνεγκαν τῷ συνεδρίῳ περὶ τῆς νεοχμωθείσης τοῖς Βιθυνοῖς ἐπαναστάσεως καὶ τῆς ἐντὸς τῆς πόλεως Νικαίας παραδοχῆς Ἰσαακίου τοῦ ἐξ Ἀγγέλων D καὶ Θεοδώρου τοῦ Καντακουζηνοῦ, ἀλλὰ δὴ καὶ ὅσα κακουργοῦσιν οἱ Προυσαεῖς, εἰσοικισάμενοι Θεόδωρον τὸν Ἄγγελον καὶ ταὐτὰ τοῖς Νικαεῦσι φρονήσαντες. καὶ φάμενοι μὴ οὐκ ἂν ἄλλως ἠρεμήσειν τοὺς στασιώδεις, εἰ μὴ Ἀνδρόνικος βασιλεύσειεν ὁ διὰ τὴν ὑπαργυρίζουσαν τῷ χρόνῳ τρίχα τῶν νέων ἔχων λέξαι σοφώτερα, καὶ ἐπὶ θρόνου καθίσας τοῦ διαλίθου καὶ τῇ βασιλείῳ ταινίᾳ διαδηθεὶς συναυτοκρατοροίη τῷ

1. φάος καὶ αὐτοκαλονὴν ἄντικρυς καὶ A. 6. διεχ. τὴν ψυχὴν τοῦ A. 9. ἀδεέστατα A. τοῦ om A. 10. ϛχ B. 13. λόγον] εἰς σκέψιν προύθηκαν τὰ A. 20. ὁ διὰ] ὁ χρυσόγηρως καὶ χρυσόμαλος B.

extinctam esse supra dixi, executoribus. sic illud eximium formae decus iucundissimae lucis aspectu privatum in littore arena obruitur. heu tantum nefas solem intueri? o dei verbum omni principio prius, eamne esse tuam lenitatem incredibilem?

18. Andronicus vero exultabat ac laetabatur, cum familia Manuelis exscinderetur et imperatorii horti arbores exscinderentur, quasi solus Romanis provinciis potiturus et imperium sine ullo periculo occupaturus. igitur Septembri mense, indictione II, anno a mundi exordio sexies millesimo et sexcentesimo, designationi suae adiicit animum; ac improbus ille grex et mercenaria manus, quanquam Andronico voluntatem suam dissimulante, de Bithynica seditione deque Isaacio Angelo et Theodoro Cantacuzeno Nicaeae receptis, et de improbis Prusaensium conatibus, qui Theodorum Angelum Nicaeenses imitati recepissent, concilio indicto asserit nullum fore seditionum finem, nisi Andronicus imperaret, qui ob venerabilem senectutem prudentia superet adolescentes, et in solio gemmato considens et imperatorio diademate redimitus pari potestate cum

παναφήλικι βασιλεῖ καὶ διορφύῃ τὸ γενησόμενον καὶ πέρατοῖ τὸ πραχθησόμενον μετ' ἰσχύος μείζονος καὶ ἐξουσίας ἀρχικωτέρας, εἶχον εὐθὺς τοὺς περιεστῶτας, καὶ ὅσοι περ ἐκείνῳ P. 174 συνήδρευον διὰ γένους λαμπρότητα καὶ ἀξιωμάτων σεμνότητα, ὁμοφώνως ἀνακραγόντας πάλαι αὐτοῖς εἶναι τὸ προβληθὲν δι' ἐφέσεως, καὶ μηκέτι καιρὸν εἶναι τοῦ ἀναδύεσθαι· ἢ γὰρ ἂν καὶ βίαν συμμίξωσι, προχωροῦσαν οὐκ ἔχοντες τὴν πειθώ. ἀμέλει καὶ τῆς εὐφημίας κατάρχονται, καὶ οὑτωσί πως διατιθέασι τὴν ἀνάρρησιν, „Ἀλεξίου καὶ Ἀνδρονίκου μεγάλων βασιλέων καὶ αὐτοκρατόρων Ῥωμαίων τῶν Κομνηνῶν πολλὰ τὰ ἔτη" πλατέσι καὶ ἀνεῳγόσιν ᾄδοντες στόμασι καὶ μικροῦ διαρρηγνύμενοι ταῖς φωναῖς. διαδοθέντος δὲ τοῦ καλοῦ τοῦδε πράγματος τοῖς ἐν τῇ πόλει ἀβελτέροις (οὕτω γὰρ χρεὼν τὸν Κωνσταντινουπολίτην δῆμον καλεῖν), ὡς μελισσῶν B σμήνη τῶν σίμβλων, ἀπαναστάντα τὰ πλήθη συνείλεκτο ἐκ παντὸς γένους καὶ τέχνης ἁπάσης καὶ πάσης ἡλικίας τῆς συνόδου γεγενημένης, ὅτε καί τις τῶν τοῦ Βήλου κριτῶν (τὸ δὲ ὄνομα ἑκὼν ὑπερβήσομαι) εἰς τὸ τοῦ ἐπὶ τῶν δεήσεων ὀφφίκιον ἀναβὰς ὡς θεράπων Ἀνδρονίκου θερμότατος, καὶ ἄλλος δέ τις πρωτονοτάριος τιμηθεὶς γλωττογάστωρ καὶ μηδενὸς ἀγενέστερος τῆς τυραννίδος ὑποδρηστήρ, τῆς κατὰ τὴν ἀνάρρησιν τοῦ Ἀνδρονίκου φήμης ἁπανταχῇ διατρεχούσης καὶ αὐτῶν δὲ τῶν φαυλοκολάκων τὰ ὦτα περικτυπησάσης, ὥσπερ ἐν ἑνὶ

2. μετ' ἰσχύος] μετὰ μεγαλωτέρας δυνάμεως B. 3. ἐκ.] ἀνδρονίκῳ A. 4. λαμπρ.] σεμνότητα καὶ ἀξ. λαμπρότητα A. 11. καὶ μικροῦ] καὶ τὰ αὐτῶν σχίζοντες στόματα B. 16. πάσης om A. 20. γλωττογάστωρ] γλωσσώδης ἀνὴρ B.

immaturo imperatore uteretur, oculis atque animo in rerum omnium administrationem et executionem maioribus viribus et auctoritate intentus. corona vero circumstans, et Andronici ob splendorem generis et dignitatum excellentiam assessores, una voce exclamarunt eam rem sibi iam olim in votis esse, nec tergiversationi locum relinqui. quod nisi cum gratia impetrarent, vim minitantes, acclamationem hanc (Alexius et Andronicus Comneni, magni imperatores et principes Romanorum, multos annos vivunto) hianti ore et plenis faucibus cecinerunt, ut parum abesset quin clamoribus rumperentur. cum ea praeclara res ad simplicis populi aures pervenisset (sic enim Cpolitana plebs vocanda est), omnis generis aetatis opificii multitudo velut apum examina alvearibus effusa convenit; et quidam Beli iudex, cuius nomen libens praetereo, ut observantissimus Andronici famulus supplicum libellorum officium adeptus, et alius quidam protonotarius, homo tumidae linguae et praecipuus tyrannidis minister,

πνεύματι τὸ τυραννεῖον καταλαβόντες καθ' ὃ ἐτελεταρχεῖτο τάδε τὰ ἄθεσμα (τοῦτο δὲ ἦν ὁ τοῦ Μιχαηλίτζη λεγόμενος οἶκος), τὰ συγκλητικῶς ἐξυφασμένα τῶν κεφαλῶν ἐξενεγκόν- C τες καλύμματα καὶ τῶν κατὰ νώτου κεχυμένων λευκολίνων λαβόμενοι διεῖλον αὐτὰ ὡς σφαίρας, χοροστατοῦντες τοῖς ἐκ τριόδων καὶ τῆς τότε τελετῆς προεξάρχοντες, πρὸς μέλος τε κεκλασμένον μετερύθμιζον τὴν φωνήν, καὶ πανικῶς ἐξαλλόμενοι καὶ τὰς χεῖρας ὡς ἐς κρότον ξυμβάλλοντες τὼ πόδε ὑπεσάλευον, καὶ κατὰ μέσον ἐδίνευον, μολπῇ τ' ἰυγμῷ τε τὴν γῆν ἐκρότουν ὑπορχούμενοι. ὢ τῆς ἀναιδείας καὶ τῆς μικρογνώμονος φρενὸς καὶ κουφότητος! τοῦ δ' Ἀνδρονίκου καταβάντος ἀπὸ τοῦ τυραννείου ἐς τὸ ἐν Βλαχέρναις βασίλειον, καὶ γενομένου κατὰ τὸν ἐντὸς τούτου ὑψηρεφῆ δόμον ὃς Πολύτιμος λέγεται, ἐφίσταται καὶ ὁ βασιλεὺς Ἀλέξιος ἐκ τῶν ἔξωθεν, D ὁμοῦ παιάνων τε καὶ στεναγμάτων (οὐ γὰρ πάντες τῷ καιρῷ παρεσύρησαν) εὑρὼν μεστὰ τὰ ἀνάκτορα, καὶ αὐτὸν Ἀνδρόνικον ὡς βασιλέα σχεδὸν παρὰ πάντων καταλαβὼν εὐφημού- V. 143 μενον. ἑκὼν τοίνυν ἀέκοντί γε θυμῷ τοῖς τελουμένοις ἐπευδοκήσας ἐκολάκευε κἀκεῖνος ἐν τοῖς λοιποῖς τὸ γερόντιον, Ἀνδρόνικον εἰς τὸ συμβασιλεύειν ἐπεγείρων, καὶ προθυμοποιῶν εἰς τὸ ἐνεστὸς ἔργον τὸν ἀκρατῶς εἰς τοῦτο πάλαι φερόμε-

1. ἐτ. τὰ εἰρημένα τοῦτο A. 3. τὰ συγκλητικῶς] ἅτινα εἰς τὰς κεφαλὰς αὐτῶν ἐφόρουν περιφτάρια ἄσπρα ὡς συγκλητικοί, ἐκβαλόντες αὐτὰ καὶ ἀπὸ τῶν ἐξόπισθεν εἰς τὰς ῥάχας αὐτῶν κρεμαμένων πανίων ἐντετυλιμένων ἄσπρων ἐγύριζον αὐτὰ εἰς τὰς χεῖρας αὐτῶν ὡς σφαίρας B. 7. ἐξαλλόμενοι] ἐξήλλοντο A. 10. ἀναιδείας] ἀδιαντροπίας B. 17. σχεδὸν om A. 18. ἐπευδοκῶν A. 19. ἐν τοῖς] σὺν τοῖς ἄλλοις A, omissis τὸ γερόντιον. 21. εἰς] ἐπὶ A.

rumore qui de Andronici designatione passim vagabatur audito, improbi assentatores uno spiritu in tyrannicam domum quae Michaelizae dicitur, ubi ista tractabantur, properarunt; et senatoriis capitum tegminibus detractis, albas sindones ex humeris dependentes in orbem convolverunt; et coetibus in triviis coactis, ut praesultores choreae, fractum et molle canticum auspicati exultarunt, cum plausu manuum, ad numerum saltantes. o impudentiam singularem et vaecordis animi levitatem! cum autem Andronicus ex tyrannicis aedibus in Blachernium palatium descendisset et Polytimi sublimes aedes ingressus esset, etiam Alexius imperator acclamationibus et suspiriis hominum excitus (neque enim omnes eae intemperiae agitabant) ubi palatium hominibus refertum et Andronicum ab omnibus pro imperatore celebrari vidit, tempori serviendum ratus seni cum caeteris adulatus est, eumque ad imperii societatem vocavit, ad quod iam olim magno

νον. τὸ δὲ τῆς Ἀνδρονίκου φατρίας θερμότερον καὶ ἀκκιζόμενον Ἀνδρόνικον καὶ τὴν συνεδρίαν εἰρωνευόμενον ἀμφοτέραις συσχόντες εἰς τὴν χρυσόπαστον κλίνην ἐφῆκαν ἐφ' ἧς ὁ βασιλεὺς ἵζανεν. ἄλλοι δὲ τὴν καπνηρὰν καὶ πυραμοειδῆ ἐρέαν τῆς κεφαλῆς ἀφελόμενοι πυρσὴν αὐτῷ περιέθεντο, καὶ στολὴν βασιλικὴν ἐνέδυσαν ἕτεροι. τῇ δὲ ὑστεραίᾳ ἐπὶ τῆς μεγάλης ἐκκλησίας ἀρξαμένης τῆς τῶν βασιλέων ἀναρρήσεως γίνεσθαι Ἀνδρόνικος ἀνηγορεύετο πρότερον, ὁ δὲ Ἀλέξιος
P 175 ὑπεβέβαστο, μεταπεσούσης τῆς τάξεως. καὶ ἡ αἰτία ὡς καλλίστη καὶ εὐπρεπής· οὔ φασι δεῖν τὸν ἴνφαντα καὶ ἐς μέτρον οὔπω ἡλικίας ἱκόμενον λειογένειον προαναγορεύεσθαι τοῦ πολιότριχος Ἀνδρονίκου καὶ γεραροῦ τὸ φρονεῖν καὶ ἅμα πρόσω καὶ ὀπίσω τὸ ὁρᾶν ἔχοντος τῷ ἐσθλῷ τῆς φύσεως. ἐπεὶ δὲ καὶ αὐτὸς Ἀνδρόνικος τὰ ἱερὰ ἐσαφίκετο μέλαθρα στεφθησόμενος, τότε πρώτως ὤφθη τοῖς ἀνθρώποις διαχυθεὶς καὶ τὸ τοῦ βλέμματος ὁ θὴρ μεταθέμενος βλοσυρὸν καὶ τὴν ἐπὶ τὸ κρεῖττον τῶν πραγμάτων ἀλλοίωσιν πολλοῖς τῶν δεομένων καθυποσχόμενος. ἦν δὲ ταῦτα φενάκη πρόδηλος καὶ ψευδὴς ἐπαγγελία τοῦ ἀπατεῶνος, καὶ τὸ τοῦ προσώπου ἱλαρόν, φιλανθρωπίας παρυφιστῶν ἰσχνότατον ἴνδαλμα πρόσκαιρον συ-
B σκιάζον τὴν ἔνδοθεν ἀγριότητα. εἰσελθὼν δὲ τὸ ἱερὸν καὶ τελεσθεὶς ὁπόσα τοῖς στεφομένοις εἴθισται ἄναξι, πρόσεισι δεῆσαν τῶν ἀχράντων ἁγιασμῶν μετασχεῖν, καὶ τὸν οὐράνιον ἄρτον

4. τὴν καπν.] τὸ μαῦρον ἰβηρικὸν καπάσιν B. 5. πυρσὴν] τὴν χρυσὴν καλύπτραν B. 8. ἀνηγόρευτο A. 10. ἴφαντα A.

impetu ferebatur. ac factionis pars acrior Andronicum tergiversantem et consessum recusantem scilicet, ambabus manibus comprehensum, in aurata sella collocavit: alii pullo et acuto pileo detracto, rubram mitram eius capiti imposuerunt; alii stola imperatoria eum induerunt. postridie cum in magna ecclesia imperatores proclamarentur, ordine mutato Andronici nomen priore, Alexii posteriore loco est pronunciatum, ob causam nimirum honestam et speciosam: non decere infantem, immaturae aetatis, levibus malis, celebrari ante Andronicum, virum canum, prudentia venerabilem, excellenti praeditum ingenio. postquam vero ipse Andronicus in sacram aedem pervenit ut coronaretur, tum primum hilarior visus est truci aspectu posito; et multis supplicantibus spem rerum meliorem fecit, manifesta utique fraude et falsa pollicitatione impostoris. nam illa vultus hilaritas, tenuissimam humanitatis speciem ad tempus prae se ferens, abstrusam in eo immanitatem obtegebat. templum ingressus, coronationis caeremoniis peractis, cum sacrosancta mysteria percipienda essent, cum caelesti pane percepto ad calicem pretiosi et vivifici sanguinis

δεξάμενος ἐν τῷ ἐγγίζειν τῷ ἐκπώματι τὰς χεῖρας ἀνέσχε, καὶ σχηματίσας ἑαυτὸν εἰς παθαινόμενον κατὰ τῶν φρικωδῶν ἐπόμνυσι μυστηρίων, ἀκροωμένων σχεδὸν ἁπάντων ὁπόσους τὸ ἱερὸν συνεῖχεν ἄδυτον, μὴ δι' ἕτερόν τι βασιλεύσειν αἱρετίσασθαι ἢ τὸ θελῆσαι βοηθῆσαι τούτῳ καὶ τῷ τούτου κράτει, δείξας τὸν συνεστῶτα βασιλέα καὶ ἀνεψιὸν Ἀλέξιον, ὃν μεθ' ἡμέρας ἀπηγχόνησε καὶ τῷ τῆς θαλάσσης βυθῷ παρέπεμψεν. ἐξιὼν δὲ τοῦ ἱεροῦ μετὰ δορυφορίας ὡς ἐνῆν μάλιστα λαμπροτέρας καὶ πλείστων ὑπασπιστῶν (τὸ γὰρ δειμαίνειν ἄκρως C τοιαῦτα ὑφηγεῖτο ἐκείνῳ) καὶ διελθὼν τὸν ἐν τῇ Χαλκῇ νεὼν τοῦ σωτῆρος Χριστοῦ, τὴν πορείαν ἐπέτεινεν, οὐ βάδην προβαίνων καὶ ἔστιν οὗ ἐμβραδύνων, ὡς ἔθος τοῖς θριαμβεύουσιν αὐτοκράτορσιν, ἀλλ' ἀνεὶς τὸν ἵππον ἐλευθέρῳ ποδὶ πορεύεσθαι. ἦν οὖν τὸ γεγονὸς τοῦτο εἰς ἀμφίλογον· οἱ μὲν γὰρ δειλίαν τὸ ποιητικὸν αἴτιον τοῦ δρωμένου ἀπεφοίβαζον, οἱ δὲ ἄλλο τι ὑπενόουν. γενόμενος δὲ κατὰ τὸ μέγα παλάτιον καὶ ᾄσας τὰ ἀναγορευτήρια, ἐφ' ἕτερα τρέπει τὸν νοῦν ἐναγῆ ἔργα. ἐκποδὼν γὰρ θέσθαι τὸν βασιλέα βουληθεὶς Ἀλέξιον, τὴν φίλιον καὶ πάλιν ἀθροίζει πνύκα καὶ τὴν ἑταιρεί-

1. δεξάμενος, ἐν δὲ τῷ προσεγγίζειν τῷ ἐκπώματι ἵν' ἐκπίῃ τοῦ ἐν αὐτῷ τιμίου καὶ ζωοποιοῦ αἵματος, τὰς χεῖρας ὡς πρὸς τὸ ποτήριον διάρας καὶ ἑαυτὸν εἰς παθαινόμενον σχηματίσας κατὰ τῶν φρικωδῶν ἐπόμνυσι μυστηρίων, ἁπάντων ἐφεστώτων σχεδὸν καὶ ἀκροωμένων ὁπόσους B. 4. τὴν βασιλείαν αἱρ. ἢ τὸ βουληθῆναι A. 11. βάδην] ταχτικῶς B. 13. πορεύεσθαι] φέρεσθαι A. 16. οἱ δὲ] ἄλλοι δὲ ἔλεγον ὅτι ὑπὸ τοῦ κόπου καὶ τοῦ βάρους τῶν βασιλικῶν παρασήμων μὴ δυνάμενος κρατεῖν τὰ ἐν τῇ κοιλίᾳ τῆς γαστρὸς αὐτοῦ βρώματα τὴν βράκα αὐτοῦ τὸ γερόντιον ἔχεσε. B. 17. ᾄσας] θύσας ἐφ' ἱκαναῖς ἡμέραις A, ὀλίγας ἡμέρας χαμαιτζύκια ποιήσας B.

bibendum accederet, manibus tanquam ad poculum prehendendum extentis et vultu ad tristitiam composito, per veneranda mysteria, fere omnibus illis stantibus et audientibus qui in sacro adyto erant, iurat se non alia de causa imperium accepisse nisi ut Alexium imperatorem et consobrinum iuvaret, eiusque potentiam stabiliret, quem paucis diebus post laqueo praefocatum in maris fundum demersit. templum cum splendidissimo comitatu et plurimis armigeris egressus (eam enim rationem dictabat illi metus acerrimus) ubi per servatoris Christi aedem in Chalcem transiit, non pedetentim processit nec alicubi immoratus est, qui triumphantium imperatorum mos est, sed equum libero pede incedere passus est. id factum in quaestione fuit utrum a metu proficisceretur, an aliam causam haberet. postquam in magnum palatium pervenit et compluribus diebus pro imperii auspiciis rem divinam fecit, ad alia scelera convertit animum. nam cum Alexium imperatorem e medio sublaturus esset, se-

αν ἀγείρει τὴν ἐκείνου συνοργιάζουσαν τὰ μὴ ὅσια. καὶ τοί-
D νυν τὸ Ὁμήρειον ἔπος ἅπαντες φωνήσαντες, ὃ διέξεισιν „οὐκ
ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω, εἷς βασιλεύς," καὶ
ὡς ἀετοῦ γῆρας κορύδου νεότης, ψηφίζονται ἰδιωτεῦσαι τὸν
βασιλέα Ἀλέξιον, οὐκέτι λόγων οἰκονομίας ἀδήλων τοῖς πολ-
λοῖς μεμνημένοι παιδοκομίας τε καὶ διαμονῆς τοῦ κράτους
καλλίονος, ταῦτα δὴ τὰ χθές τε καὶ πρώην ἐπὶ πολυανθρώ-
πων συνελεύσεων προβαλλόμενα καὶ τοῖς ἐρωτῶσι τὴν αἰτίαν
τῶν γινομένων εἰς ἀπολογίαν προκείμενα, εἴ τις τέως παροι-
V. 144 κῶν ἀτεχνῶς ἐν τῇ λαμπροτάτῃ πόλει τοῦ Κωνσταντίνου οὐκ
ἦν εἰδὼς τὰ γινόμενα καὶ τὸν λόγον ὅλως ἠγνοηκὼς δι' ὃν
ἐπεραίνοντο. ἀλλ' οὔπω ἀκριβῶς τὸ βράβευμα τοῦτο τῇ πο-
P. 176 λιτείᾳ ἐγνώριστο, καὶ κρίμα θανάτου κατὰ τοῦ βασιλέως
ἐξάγεται παρὰ τῆς φατρίας ἐκείνης τῆς πονηρᾶς, τὸ τοῦ Σο-
λομῶντος ἄντικρυς ἐπαινεσάντων τῶν συνειλεγμένων τότε καὶ
φθεγξαμένων ἀναιδῶς „δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος
ἡμῖν ἐστὶ καὶ βαρύς ἐστι καὶ μόνον βλεπόμενος." καὶ νυκτὸς
ἐπεισπεσόντων αὐτῷ τοῦ Ἁγιοχριστοφορίτου Στεφάνου, τοῦ
Τριψύχου Κωνσταντίνου καί τινος Δαδιβρηνοῦ Θεοδώρου,
προεστῶτος τῶν ῥαβδοφόρων, τὴν διὰ τόξου νευρᾶς καθυπο-
δέχεται πνιγμονήν. ἀρθεὶς δὲ ὁ νεκρὸς καὶ ἀχθεὶς εἰς Ἀν-
δρόνικον κατὰ τοῦ κενεῶνος τῷ ἐκείνου ποδὶ τύπτεται, καὶ
B τῶν τοκέων τῷ κειμένῳ ὁ μὲν ὡς ἐπίορκος ἐκείνῳ καὶ ἐπη-
ρεαστὴς διατωθάζεται, ἡ δὲ ὡς περιλεσχήνευτον ἑταιρικὸν

5. ἀδήλου A. 13. ἔγνωστο A. 16. ἀναιδῶς om A. 17. καὶ ὡς β. A. 18. ἐπιπεσόντων A. 20. προεστῶτος] ὁ τοὺς βαρβαριώτας κρατῶν B. διὰ τόξου] μετὰ κόρδας τοξαρίου B. 24. ὡς π.] ὡς πόρνην καὶ ἀκατάστατον B.

natum suum convocat et sodalitium scelerum ministrorum cogit. hi vero Homericum illud statim uno ore exclamant „est mala res multos dominarier: unicus esto rex dominusque;" item aquilae senium esse corydali iuventam. ac decernunt privatam vitam agendam esse Alexio; nec iam ambagibus involvunt orationem, omissa mentione educationis et conservationis imperii, quae non ita pridem in maxima populi frequentia iactarant, quaeque rerum illarum ignaris pro defensione facinorum responderi solebant. vix iam decretum erat in re publica cognitum, cum imperator Alexius ab improbo illo coetu capitis damnatur, tantum non Salomonium illud elocuto „vinciamus iustum: quia non est nobis commodus: conspectus eius nobis est gravis." itaque Stephanus Hagiochristophorita, Constantinus Tripsychus et Theodorus quidam Badibrenus, lictorum praefectus, noctu eum adorti nervo arcus strangulant. Andronicus cada-

καταμωκᾶται γύναιον, ἔπειτα τιτρᾶται ὀβελίσκῳ τὸ οὖς, καὶ κρόκης ἐξαφθείσης κηρὸς περιπλασθεὶς τῷ Ἀνδρονίκου σφραγιστηρίῳ ἐνσημαίνεται δακτυλίῳ. καὶ τὸ μὲν λοιπὸν σῶμα καταδικάζεται ῥιφῆναι βυθῷ, ἡ δὲ κεφαλὴ ἀποτμηθῆναι καὶ αὖθις Ἀνδρονίκῳ προσενεχθῆναι. καὶ πέρας εἰληφότος τοῦ ἐπιτάγματος ἡ μὲν ἐν παραβύστῳ κατὰ τὴν λεγομένην Καταβατὴν διαφίεται, τὸ δὲ σκῆνος κεράμῳ μολιβδίνῳ ἐνειληθὲν τοῖς θαλαττίοις κόλποις ἐκδίδοται, τῆς ἁλιάδος, ἥτις τὸν οἰκτρότατον τοῦτον φόρτον ἀνεῖχε, δυσὶν ἀναγομένης ἐνδόξοις ἀνδράσι μετὰ μολπῶν καὶ ᾠδῶν, δηλαδὴ τῷ ἐπὶ τοῦ κανικλείου Ἰωάννῃ τῷ Καματηρῷ, ὃν καὶ ὕστερον ἀρχιποίμενα ἡ τῶν Βουλγάρων προεδρεύουσα ἔλαχε, καὶ Θεοδώρῳ τῷ Χούμνῳ, ὃς τετίμητο χαρτουλάριος.

1. καταμωκᾶται] περιυβρίζεται A. ἔπειτα] εἶτα τρυπᾷ αὐτὸν εἰς τὸ ὠτίον καὶ βάλλει σχοινίον λεπτόν, καὶ βουλώνει αὐτὸν μετὰ τοῦ δακτυλιδίου αὐτοῦ B. 2. ἐπιπλασθεὶς A.

veris latus pede tundit; et parentum eius alterum ut periurum et iniurium, alteram ut vulgati corporis mulierculam contumeliose insectatur. deinde veru auris ei perforatur, traiectoque filo appensa sera Andronici annulo signatur: reliquum corpus in profundum maris abiici, caput vero a cervice revulsum ad Andronicum referri iubetur. peractis mandatis caput clam in Catabaten (loci nomen id est) abiicitur, truncus arcae plumbeae involutus in mare demergitur. cymba, qua miserrima illa sarcina vecta erat, a duobus claris viris cum carminibus et tripudiis, Iohanne Camatero Caniclaei praefecto, qui post Bulgariae patriarcha extitit, et a Chartulario Theodoro Chumno, est reducta.

εὐόρκοις ἐδίδοσαν ἀπαξάπασιν. ὁ δὲ ὡς θαυμαστήν τινα παρέχει τὴν ἀμοιβὴν τοῖς τῶν ἐπιταγμάτων αὐτοῦ πληρωταῖς.
D ἡ δὲ ἦν καὶ τῶν τότε μὲν αἰτηθέντων ῥᾳδία τερμάτωσις, ἃ μικρὰ δήπουθεν ἦσαν καὶ περὶ μικρῶν ὑφηγούμενα· ἡ δὲ μεγίστη τὸ συνεδρεύειν ἐκείνους αὐτῷ σκιμποδίσκων παρατιθεμένων καὶ παρεισφερομένων τῷ βασιλείῳ θρόνῳ, ὃ καὶ οὐχ ἧττον εἰς γέλωτα τῶν ἑλομένων καὶ καταδεξαμένων ἀρχιερέων οὐκ ἐπὶ συχναῖς ἡμέραις συμβὰν ἥπερ φαντασίαν τιμῆς καὶ δόξης ἴνδαλμα, ἐπὶ τὴν προτέραν ἐπανῆλθε συνήθειαν, καθὰ καὶ ξύλον ἐπικλινὲς βίᾳ πρὸς τὴν προτέραν ἕξιν ἐπάνεισιν ἀνεθέν. μᾶλλον μὲν οὖν καὶ ταύτης πολὺ παρεσπάσατο· ἵνα γὰρ μὴ δοκῇ Ἀνδρόνικος παλιμβολώτατος ἀνθρώπων καὶ ἀστασίαν ἤθους ἐπὶ ταῖς ἑαυτοῦ πράξεσι νοσῶν, τὸ εἰς ὄψιν ἐκείνῳ ἐλθεῖν οἱ ἀρχιερεῖς οὗτοι οὐχ εὕρισκον εὐχερὲς ἐπὶ βήματος καθημένῳ μετέπειτα λαμπροῦ. καὶ οἱ
P. 179 πρὸ μικροῦ τῇ βασιλικῇ συνεδρίᾳ σεμνυνόμενοι, καὶ γέρας εἰληφέναι τοῦτο Δαυιδικῶς ὡς πιστοὶ τῆς γῆς βρενθυόμενοι, τότε ὑπενόστουν ἐγκαλυπτόμενοι καὶ ταλανίζοντες ἑαυτούς, οἷς θεοῦ ἀπέστησαν τὰ ἄλυτα λύοντες καὶ τὸν ἐμπαίκτην Φιλαχενῆς Ἀνδρόνικον θεραπεύοντες.

1. ἐδίδοσαν. ὁ δ' ἀνδρόνικος ὡς — τοῖς τῶν ὅρκων λύταις ἀρχιερεῦσιν. ἦν δὲ αὕτη — καὶ περὶ ἀλύτων τινῶν προτεινόμενα, τὸ δὲ μέγιστον συνεδρεύειν τούτους ἐκείνῳ — παρενηνεγμένων καὶ παρεντιθεμένων τῷ βασιλείῳ βήματι A. ὅθεν καὶ ἀμοιβὴν ἀμισθίας δίδωσιν αὐτοῖς τὸ συγκαθῆσθαι πάντας μετ' αὐτοῦ ἐν τοῖς σελίοις αὐτῶν πλησίον τοῦ θρόνου τοῦ βασιλικοῦ καὶ ἕτερά τινα μικρὰ δωρήματα B. 8. συμβὰν] κρατῆσαν ἧπερον φ. A. 9. ἐπὶ] πρὸς A. 10. ξύλον] λόγος ἐπικλινῆς βίᾳ πρὸς τὴν οἰκείαν ἀνεθεὶς ἕξιν ἐπάνεισιν A. 11. πολὺ καὶ παρ. A. 12. δοκοίη ἀνδρόνικος παλίμβολος τὴν γνώμην καὶ ἀστασίαν ἤθους ἐπὶ τοῖς δεδογμένοις νοσῶν A. 17. τοῦτο] ταύτην A.

retulit? ea fuit ut quaedam levicula eorum postulata fierent; maximus vero is honos fuit ut subselliis ad solium imperatoris collocatis ei assiderent; qui cum paucos dies durasset, umbra potius honoris quam verus honos, materiam eos ridendi praebuit pristina consuetudine revocata, instar vi curvati ligni, quod laxatum ad suam naturam revertitur. imo ea res dignitatem eorum multum imminuit. nam Andronicus ne omnium mortalium levissimus et in actis suis parum constare sibi videretur, pontifices illos in splendido solio sedens non facile admittebat. ita qui paulo ante imperatorio consessu gloriabantur, idque sibi praemium ut fidelibus ministris datum verbis Davidicis iactarant, tum involutis capitibus recedentes sese miserabantur, quod iis solutis quae solvenda non essent, a deo defecissent et derisorem Andronicum frustra coluissent.

Ὡς δὲ τὰ κατὰ τὴν ἀνάρρησιν τοῦ Ἀνδρονίκου καὶ τὴν ἀναίρεσιν Ἀλεξίου τοῦ βασιλέως δῆλα ἦσαν Ἀλεξίῳ τε τῷ Βρανᾷ καὶ Ἀνδρονίκῳ τῷ Λαπαρδᾷ τοῖς τῶν ταγμάτων στρατηγοῖς ἅπερ ἀντεφέρετο κατὰ τὸν Νίσον καὶ τὴν Βρανίτζοβαν τῷ τῆς Οὐγγρίας ῥηγὶ τῷ Βελᾷ, πορθοῦντι τὰ ἐκεῖ πάντα καὶ ποιοῦντι κακῶς τοῖς ξίφεσιν, ἅτερος μὲν τῶν ἀρχηγῶν ὁ Λαπαρδᾶς ἀπειρητέαν κέκρικε τὴν ζωὴν καὶ τὴν εὐρυχανδῆ γένυν Ἀνδρονίκου διὰ παντὸς ὑπεβλέπετο καταχάσκειν ἔκτοτε B
μέλλουσαν καὶ αὐτοῦ, ὁ δέ γε Βρανᾶς ἀσμένως τὴν μετάθεσιν τῆς βασιλείας ὑπέφερεν, ἤδη τῷ χορῷ ἐγγραφεὶς οἷς Ἀνδρόνικος προσέβλεπεν ἥμερον. πολλὰς οὖν ὁ Λαπαρδᾶς Ἀνδρόνικος ὁδοὺς τραπόμενος ἐνθυμήσεων, καὶ κατὰ κύνα Λάκαιναν ἣν θυσεῖται ἰχνηλατήσας, μίαν εὕρισκε σώζουσαν ἀτραπὸν τὸ τῆς ὄψεως καὶ ἐξουσίας ἀποπλάζεσθαι Ἀνδρονίκου. καὶ εἶχεν ἂν ἑαυτὸν ἀπαθῆ κακῶν διατηρήσας, εἰ τῇ βουλῇ ταύτῃ ἐπέμενε καὶ μὴ πρὸς πρᾶξιν ἑτέραν μετακεχύβευτο. ἐρασθεὶς δὲ κακῶς δρᾶσαι Ἀνδρόνικον καὶ τῆς εἰς τὸν κύριον καὶ βασιλέα παρανομίας ἀμύνασθαι, θαρρεῖ τὴν ἀπόστασιν, καὶ τὴν δυσμὴν ὁρῶν οὐ χωρήσουσαν αὐτὸν μήτε μὴν παραδεξομένην τὴν κατ' C
Ἀνδρονίκου ὁρμὴν διὰ τὸν παρόντα καὶ συστρατηγοῦντα Βρανᾶν, τὴν ἕω φαντάζεται καὶ πρὸς ἐκείνην ἐκτείνει τοὺς ὀφθαλμούς, καὶ ὡς συνηθεστέραν μὲν ἑαυτῷ ἄρξαντι κατ' αὐτὴν πολλάκις τὰς μεγίστας ἀρχάς, καὶ ὡς θερμὰ δὲ πρὸς ἀντι-

4. οἵπερ ἀντεφέροντο A. 6. ποιοῦντι] τιθέντι A. 8. ὑπεβλ. ὡς καταχαίνειν ἔκτοτε κἀκείνου μέλλουσαν A. 15. ἐπέμεινε A. 19. προσδεξομένην A. 20. ὁρμὴν] κίνησιν A. 22. καὶ et μὲν om A. κατ' αὐτὴν π. τ.] πολλάκις ἐκεῖσε τὰς A. 23. δὲ om A. ἀντιστασίαν] ἀπόστασιν A.

Ut autem Andronici designatio et Alexii imperatoris suffocatio Alexio Branae et Andronico Lapardae legionum ducibus, qui ad Nisum et Branizobam Hungariae regi Belae resistebant loca illa omnia ferro et igni vastanti, significata est, Lapardas vitae spe abiecta vastas Andronici maxillas perpetuo formidabat, ut iamiam ab iis devorandus, Branas vero iam in numerum amicorum Andronici assumptus imperii mutationem alacri animo ferebat. alter vero variis rationibus apud animum suum initis, et more Laconici canis vestigata via quam insisteret, in eo salutem suam esse positam animadvertit, ut e conspectu et potestate Andronici quam longissime abiret. quod consilium si persecutus esset nec aliis rebus animum adiecisset, evasisset incolumis. verum cum nocere cuperet Andronico et imperatoris parricidium ulcisci, deficit. et quia videbat in Occidente locum sibi non futurum, nec collegam Alexium Branam passurum moveri

ἐμπίπτων ἃς ἀπεδίδρασκεν, ἢ τὸν ἐξόπισθεν καταλήψεσθαι προσδοκώμενον ὡς ἐπιδιώκοντα κατὰ στόμα προσυπαντῶντα εὑρίσκων καὶ ἐνώπιον συμπλεκόμενον καὶ συνέχοντα. καὶ ὁ μὲν μετ' οὐ πολύν τινα χρόνον τοῦ βίου θανάτῳ ἀπάγεται, ὁ δ' Ἀνδρόνικος οὕτω τῇ ἀποστασίᾳ τούτου κατεπτοήθη ὡς παρ' ὅλην τὴν ἐκείνου φυγὴν τὴν οἰκείαν ὡς ἤδη ἐφεστῶσαν φαντάζεσθαι κατα-
D στροφήν· ἐδεδίει γὰρ ὡς περὶ τὰς μάχας ὀξύρροπον καὶ λήματος ἀνδρείου μέτοχον τὸν Λαπαρδᾶν. ἀμέλει καὶ μὴ προχωροῦσαν ὁρῶν τὴν δι' ἐπιδιώξεως ἢ μεθ' ὅπλων τούτου καταπολέμησιν, πρὸς τὴν διὰ γραμμάτων μεθαρμόζεται πανουργίαν, καὶ τὸν τρόπον καινὸν ὁ σοφιστὴς ἀνεπλάσατο. βασιλικὰ γὰρ ξυνθέμενος γράμματα ἐκπέμπει ταῦτα πρὸς τοὺς τῶν ἑῴων ἐπαρχιῶν πρωτεύοντας· ἐλάλουν δὲ πονηρίαν ἀληθῶς τὰ γραφόμενα, καὶ διετείνοντο, ὁμιλοῦντα ἔχοντα τὸν Ἀνδρόνικον, παρ' αὐτοῦ σταλῆναι κατὰ τὴν Ἀσίαν τὸν Λαπαρδᾶν, καὶ πᾶν ὅπερ ἂν οὑτοσὶ διαπράξηται κατ' οἰκονομί-
V. 148 ας ἄγνωστον τοῖς πολλοῖς τρόπον ὑπὲρ τῆς αὐτοῦ βασιλείας μέλλειν τοῦτο διαπραχθήσεσθαι, καὶ ἐνῆγε πάντας εἰς τὴν ἐκείνου ἀνενδοίαστον παραδοχήν. ἦν δὲ ὁ σκοπὸς Ἀνδρονίκῳ ἐντεῦθεν ἐγκόψαι τὴν ὁρμὴν τῶν πολλῶν, ὑφορωμένων ἐφ' ὅτῳ δὴ αὐτὸς μὲν ὁ Λαπαρδᾶς κατ' Ἀνδρονίκου ἐξῆρκε τὸ φρόνημα καὶ ὡς ἀντίφρων τὰς τῶν ἀνδρῶν στίχας ἐπιπορεύεται, ὁ δ' Ἀνδρόνικος τῷ ἀποστάτῃ τὴν ἐς αὐτὸν πίστιν ἐπιμαρτύρεται καὶ ὡς παρ' αὐτοῦ πεμφθέντα τὸν πεφευγότα
P. 181 δέξασθαι διορίζεται. καὶ τί μὲν ἂν ταῦτα τὰ καινοφανῆ

5. τοῦδε A. 11. καὶ τρόπον σοφιστικώτατον ἀνεπλ. A. 18. πάντας] τούτους A. 22. ἐπιπορεύεται] ὑποποιεῖται A. 25. τὰ κενοφανῆ ταῦτα A.

fronte et adversarium et victorem habuit obvium, nec multo post moritur. Andronicus vero eius defectione ita consternatus fuit, ut toto tempore fugae illius exitium capiti suo imminere putaret. metuebat enim Lapardam ut et ducem acerrimum et virum magnanimum; et quia videbat eum persequendo et armis debellari non posse, ad litterarum solertiam convertitur; et callidissimo consilio epistolas ad primarios Orientalium provinciarum praesides dolo plenas mittit, quibus asseverabat Lapardam a se in Asiam missum esse; qui quicquid acturus esset, certis de causis, aliter quam plerique suspicarentur, pro stabiliendo ipsius imperio acturus esset. quae eo pertinebant, ut vulgi impetum reprimeret, suspicantis subesse dolum, quod Lapardas se pro Andronici adversario gerens manum faceret, Andronicus vero desertoris fidem praedicasset, atque ut a se missum

ἔδρασάν τε καὶ ἴσχυσαν γράμματα, ἡ ὀξεῖα τοῦ ἀνδρὸς κατάσχεσις οὐ παρῆκε διαγνωσθῆναι.

2. *Τότε δὲ καὶ τὴν πτοίαν ταύτην παρὰ δόξαν Ἀνδρόνικος ἀποκρουσάμενος ἰάνθη τὸ ψυχίδιον ὡσεί τε περὶ σταχύεσσιν ἐέρση, καὶ τῆς πόλεως ἔξεισι, καὶ ὁμαλαῖς κινήσεσι καὶ σταθμοῖς βραχέσι καταλαμβάνει τὰ Κύψελλα, καὶ τοῖς ἐκεῖσε κυνηγεσίοις ἐνευφρανθεὶς κατὰ τὴν πατρῴαν ἀφικνεῖται μονὴν τὴν ἐν τῇ Βήρᾳ διακειμένην, καὶ τῷ τοῦ φύσαντος ἐφίσταται μνήματι μετὰ δορυφορίας καὶ δόξης βασιλικῆς, ἧς κἀκεῖνος πάλαι ποτὲ ἐρῶν οὐκ ἐφίκετο, ἐπεὶ καὶ τὸ βασι- B λειῶν πατρόθεν Ἀνδρόνικος ὡς κλῆρον καταβὰν διεδέξατο. καὶ κατ' ἐκείνας τὰς ἡμέρας σχάσας τὸ κακῶς τινὰς τιθέναι, ὡς Ἁλκυονίδας πρὸς πολλῶν ὀνομάζεσθαι, μετὰ μικρὸν ἐπάνεισιν αὖθις εἰς τὰ βασίλεια, τῶν γενεθλίων ἐπιστάντων Χριστοῦ. καὶ ἁμίλλαις ἵππων καὶ θεωρίαις προσσχών, ἔαρος ὑποφαίνοντος τὸ στρατιωτικὸν ἅπαν συνήθροισε, ὅσον τε ἑσπέριον καὶ τοῦ ἑῴου ὁπόσον οὐκ ἀφηνίασε· καὶ αὐτὸς μὲν τὴν εὐθὺ τῆς πόλεως Νικαίας ἵεται, τὸν δὲ Βρανᾶν Ἀλέξιον ἐκ τῶν κατὰ Βρανίτζοβαν ἐπανεληλυθότα μερῶν ἐκπέμπει μετὰ στρατιᾶς ἱκανῆς τοῖς περὶ τὸ Λοπάδιον ἀντιταξόμενον· ἤδη γὰρ καὶ οὗτοι τοῖς ὁμόροις Νικαεῦσί τε καὶ Προυσαεῦσιν ἐς τὸ αὐτὸ ἥκοντες ἀπέστησαν φρόνημα. καὶ ὡς εὐρόησεν αὐ- C*

4. τὸ ψυχίδιον] τὴν ψυχὴν A. 8. βηρᾷ A. φύσαντος ἐκεῖνον ἐφ. A. 13. ἁλκυονείους A, ἁλκυωνίτιδας B, additis his: ἡ ἁλκυὼν γὰρ ὅτε ἐπὶ θαλάσσης γεννᾷ, γαλήνην καὶ ἠρεμίαν μεγάλην ἔχει ἡ θάλασσα. 14. τῶν γενεθλίων] τῶν χριστοῦ γέννων A. 15. ἁμίλλαις] παραβιβασμοῖς ἀλόγων B. θεωρείοις A. 19. ἐπανελθόντα A. 21. οὗτοι] οἱ λουπαδιῶται B.

suscipi iuberet. quid autem speciosae istae litterae ponderis habiturae fuerint, accelerata Lapardae captivitas cognoscere non sivit.

2. Timore illo praeter expectationem propulsato, summa laetitia affectus lentis itineribus Cypsella contendit; ibique venationibus recreatus in paternum monasterium Berae se confert, ac patris monumento cum regio comitatu et splendore astat, cuius is quoque cupiditatem frustra aluerat: nam regni affectionem Andronicus hereditariam a patre acceperat. ubi cum per dies aliquot suppliciis abstinuisset, unde illi a multis Halcyonii vocabantur, paulo post ad Christi natalem in palatium reversus, cum ludis Circensibus et spectaculis se recreasset, vere adventante copiis omnibus coactis quae vel in Oriente vel Occidente fidem servarant, recta ad Nicaeam contendit. Alexium vero Branam Branizoba reversum cum iusto exercitu contra Lopadianos mittit, qui Nicaeenses et Prusaenses imitati

τῷ ἡ στρατήγησις καὶ τέλος τῷ πολέμῳ ἐπέθηκε δεξιώτατον, ἄρας ἐκεῖθεν πρὸς τὴν Νίκαιαν παραγίνεται καὶ συμμίγνυσιν Ἀνδρονίκῳ, καὶ περὶ ἓν στρατόπεδον ἀμφοτέρων συνδραμόντων τῶν στρατευμάτων ἔγνω προσβαλεῖν τῇ πόλει Ἀνδρόνικος. οἱ γὰρ ἔνδον οὐκ ἀπόντος μόνον Ἀνδρονίκου ἐφρονηματίζοντο, ἀλλὰ καὶ παρόντα ἐξουθένουν, καὶ ὅπλοις ἠμύνοντο παντοίοις τῶν τειχῶν προεκφαινόμενοι, καὶ λόγοις ἀσχήμοσιν ἔπληττον, μηδενὸς φειδόμενοι καὶ βλήματος καὶ ῥήματος. καὶ ἦσαν αἱ μὲν πύλαι τῆς πόλεως μεμυκυῖαι καὶ ὀχεῦσιν ἀραρότως ἐνηρ-
D μοσμέναι, αἱ δὲ γλῶσσαι, ὅσα καὶ πυλῶν τῶν χειλέων διαιρομένων, καὶ ὡς ἐκ θωρακίων τῶν ὀδόντων ἐκπίπτουσαι, βολίδας αἰσχρορρημοσύνης ἠκόντιζον ἐς Ἀνδρόνικον. ὁ δὲ τοιούτῳ βλήματι καιρίως πληττόμενος πῦρ ἀπέπνει θυμοῦ ἐκπυρηνίζον ἄσθμα Τυφώνειον, οἷα μηδὲ στέγειν ἔχων τὸν ἔνδον τάραχον· ἐπεὶ καὶ πόλις ἡ Νίκαια αὐχεῖ μὲν καὶ τὸ ἐκ κραταιῶν τειχῶν ἀνάλωτον ἢ δυσάλωτον γοῦν, ἐκ πλίνθου ᾠκοδομημένη πᾶσα ὀπτῆς· τότε δὲ καὶ στρατιωτῶν εἰς αὐτὴν εἰσρυέντων ὁπόσοι ἀπεστύγουν Ἀνδρόνικον, καὶ τοῦ Ἀγγέλου δὲ Ἰσαακίου, ὃς μετ' Ἀνδρόνικον Ῥωμαίων ἐκράτησε τῆς τυραννίδος παραλύσας Ἀνδρόνικον, καὶ τοῦ Καντακουζηνοῦ Θεοδώρου, καὶ Περσῶν ἐκ προσκλήσεως εἰσδεδεγμένων ἔνδοθεν, οὐκ ἀγαθὰ τοῖς πορθοῦσι τὰ τοῦ πολιορκεῖν ἐφαντάζετο. πλείστας οὖν ἡμέρας παριππεύσας Ἀνδρόνικος οὐδὲν ἤνυσεν, ἀλλ' ἄντικρυς ἐῴκει ὄρεσιν ἀποτόμοις προσφερόμενος ἢ πετρῶν ῥαχίαις συμπλεκόμενος παραλόγως, καὶ πρὸς

12. τοιούτῳ βλ.] τοῖς βλήμασι τούτοις καιρίως τιτρωσκόμενος A. 13. ἐκπυρηνίζων ἄσθμα τυφώνειον καὶ κακὰ τοῖς Νικαεῦσι προβλέπων οἷα A. 16. ἐκ πλίνθου] ἐκτισμένη ὅλη μετὰ τούβλων στερρῶς B.

defecerant. qui cum bello finem felicem imposuisset, ad Nicaeam contendit; ubi Andronicus illis copiis auctus urbem invadere statuit, cuius incolae non absentem modo parum timebant, sed praesentem etiam contemnebant, et moenia oppugnantem cum armis ulciscebantur; tum indecoris verbis lacessebant, nullo dicto et ictu praetermisso. portae quidem urbis clausae erant et vectibus munitae; linguae vero, labiis tanquam portis apertis et dentibus tanquam pinnis emissae, obscoenissimis dicteriis Andronicum lacerabant. quibus inflammatus animi dolorem celare non poterat. moenia Nicaeae cocto latere constant, eaque firmitate sunt ut vi aut non capi aut difficulter posse capi videantur. tum autem milites eo confluxerant Andronico infesti, et Angelus Isaacius, qui everso Andronico imperium occupavit, et Theodorus Cantacuzenus; accersita erant et Persica au-

Ἄρβηλα καὶ τείχη διαμιλλώμενος Σεμιράμεια, ἢ βέλεμνα P. 1 πέμπων πρὸς οὐρανόν. οἱ γὰρ ἔνδον ἐκθύμως ἐμάχοντο, καὶ ὅπλοις μὲν τὰς δι' ὅπλων ἀπεκρούοντο προσβολάς, μηχανῶν V. 1 δὲ κατασκευαῖς ἀπηχρείουν τέλεον τὰ τῶν πετρῶν ἀφετήρια, ἅπερ ὁ βαθύνους Ἀνδρόνικος ἐτεκταίνετο, τειχομάχια ἱστῶν βελοστάσιά τε καὶ ὀρυκτῆρας ἐπιτεχνώμενος, καὶ εἴ τι ἕτερον διαλύειν ἔχει περίβολον πόλεως ἐργαζόμενος, καὶ φιλοτιμούμενος πρὸς τοὺς παρόντας, ὡς πολὺ τὸ κατὰ τὰς τῶν πόλεων ἁλώσεις ἐνδέξιον ηὔχησεν. ὁ μὲν γὰρ ἐπήγνυε τὰς ἑλεπόλεις, καὶ τὴν σφενδόνην περιειργάζετο, τὸν λύγον τε καὶ τὸν στρόφαλον καὶ τὸν τειχεσιπλήτην κριὸν σιδήρῳ ἐφράγνυεν· B οἱ δὲ Νικαεῖς ποτὲ μὲν ἀπὸ πυλίδων ἀδήλων ἐκθρώσκοντες τῆς πόλεως πυρὶ παρεδίδοσαν καὶ χερσὶ κατέσπων τὰ μηχανήματα, ποτὲ δὲ προσαγόμενα τείχεσι δι' ἑτέρων ὁμοίων ὀργάνων ὡσεὶ καὶ ἀράχνης διέλυον νήματα, ὥστε καὶ Ἀνδρόνικος εἰς κενὸν σχάζοντα ὁρῶν τὰ ἑαυτοῦ διαβούλια ἐννοεῖ τι ἀπάνθρωπον καὶ ὀλίγοις πάλαι καταπραχθὲν πολιορκοῦσί τε καὶ πολιορκουμένοις ἔξωθεν. τὴν γὰρ Ἰσαακίου τοῦ Ἀγγέλου μητέρα τὴν Εὐφροσύνην ἐκ Βυζαντίου ἀνακομίσας νῦν μὲν ὡς πρόβλημα προυτίθει τῶν ἑλεπόλεων, νῦν δὲ τῷ κριῷ ἐπαναβάλλων ὡς ἐν ὀχήματι προσῆγεν οὕτω τῷ τείχει C τὸ μηχάνημα. τῷ τοι καὶ ἦν δακρύειν ἐν ταὐτῷ καὶ θαυμάζειν, δακρύειν μὲν διὰ τὸ τοῦ δράματος καινότροπον καὶ τὸ τοῦ θυμοῦ πάντα ῥᾷον ποιεῖν, καὶ μηδεμίαν τῶν ξενακού-

1. ἄρβυλα A. 5. τειχομαχεῖα A. 8. τὸ πρὸς τὰς πόλεων ἁλώσεις εὐτυχεῖ A. 12. πυλίδων] παραπορτίων B. 19. ἀνακομίσας] φέρων ἐπάνω τῶν ἑλεπόλεων καὶ τοῦ κριοῦ ἐκάθισε δεδεμένην, καὶ οὕτω προσέφερε τὰ τείχη τὰ μηχανήματα. B. 22. τὰ μηχήματα A. 23. καινότροπον] ξενότροπον B.

xilia. quae cum omnia difficilem redderent expugnationem, et Andronicus diebus compluribus frustra obequitasset, non aliter quam si praeruptas rupes et Arbela aut moenia Babylonis oppugnaret, aut sagittas in caelum eiacularetur, obsessis fortiter repugnantibus, et arma armis, machinas machinis, quae variae ab Andronico solertiam suam urbes oppugnandi ostentante excogitabantur, propulsantibus. occultis enim portis erumpentes arietes disturbabant et incendebant; et cum moenibus admoverentur, similibus machinis, ut araneae telas, perrumpebant. quare Andronicus, cum sua consilia successu carere videret, inhumanum facinus molitur, a paucis ante usurpatum. matrem Isaacii Angeli Euphrosynam, Byzantio accersitam, nunc ut propugnaculum machinis apponit, nunc ea arieti imposita moenia ferit, ut eodem tempore et spectaculi novitas et iracundiae immanitas a nullo scelere abhorrens miserationem, et mulierculae toleran-

στων καὶ τῆς ἀνθρωπίνης φύσεως ἀλλοτρίων ὑποστελλόμενον πρᾶξιν, ἐκπλήττεσθαι δ' ὅπως οὐκ ἐτεθνήκει τῷ δέει τὸ γύναιον ἄνω τῶν μηχανημάτων καθήμενον καὶ τοῖς τείχεσι τῆς πόλεως προσαγόμενον, ὅτε καὶ πρώτως τεθέανται ἄνθρωποι σαρκίον ἁπαλὸν καὶ τοῦτο γυναικεῖον εἰς ἔρυμα σιδήρου προβεβλημένον, καὶ τὴν τάξιν ἐνηλλαγμένην καὶ μεταπηδῶσαν ἐς
D τὸ ἀνόμοιον, ὡς δέμας μὲν εὐπαθὲς καὶ ἀνθρώπινον τῶν ἀντιτύπων προσκεῖσθαι μηχανημάτων εἰς ἀποσόβησιν τοῦ χαλκὸν ἐγχρίπτειν χαλκῷ, σίδηρον δὲ περιστελλόμενον ἀνθρώπου σώματι. τοῖς δ' ἐκ τῶν τειχῶν οὕτως ἀτεχνῶς τὰ βέλη ἐφρένωτο ὡς ἀφίεσθαι μὲν καθὰ καὶ πρότερον καὶ πλήττειν τοὺς ἐπιόντας καὶ καταπλήττειν, αὐτὴν δὲ τὴν εὐγενῆ γυναῖκα κακῶν ἀπαθεστάτην τηρεῖν, ὡς εἴπερ καὶ χερσὶ καὶ νεύμασιν ἐξ ἑαυτῆς μετῆγε τὰ βέλεμνα, εἰς δὲ τὰς τῶν ἀντιθέτων καρδίας αὐτὰ κατέπησσεν. οὐ μόνον τοίνυν ἐς οὐδὲν χρήσιμον τὴν ἀπάνθρωπον ταύτην ἐπίνοιαν καταλήξασαν εἶδεν Ἀνδρόνικος, ἀλλὰ καὶ νυκτὸς ἐξιόντες οἱ Νικαεῖς τάς τε μηχανὰς πυρὶ παρέδοσαν καὶ τὴν γυναῖκα διὰ μηρίνθου ἀνιμήσαντο ἢ ὡς Ἅρπυιαι ἀνηρείψαντο, Ἀνδρόνικον δὲ ὡς Φινέα ἄλλον παρῆκαν ἄχθεσθαι μὴ ἔχοντα ὃ πεινῶντι τῷ θυμῷ παραθήσεται. καὶ κλέος ἐντεῦθεν μέγα ἐπ' ἀνδρείᾳ παρὰ τοῖς ἐναντίοις κτησάμενοι οἱ Νικαεῖς ἔτι μᾶλλον ἠρρενώθησαν τὰ φρονήματα καὶ τῆς μάχης ἥπτοντο εὐθαρσέστερον. οὐκ ἀπὸ τῶν τειχῶν δὲ μόνον προφαινόμενοι ἔργα γεν-

5. γυναικεῖον ἔρυμα πολέμου προβ. καὶ τάξιν μετελλ. A. 7. ἀπαθὲς ἀνθρώπινον A. 8. εἰς — σώματι] ἵν' ἀπαθεῖς εἶεν οἱ ἀπ' αὐτῶν μαχόμενοι A. 13. τηρεῖν] ἐᾶν A. 19. δὲ Φινέως δίκην παρῆκαν κόπτεσθαι A. 21. τῷ θυμῷ] τῷ θηρίῳ τοῦ θυμοῦ A. 22. τοῖς ἐναντ.] τοῖς ἐγκυκλωσαμένοις τὴν πόλιν A. 24. ἀπὸ] ἐκ A.

tia non ipso metu exanimatae in tanto tamque periculoso impetu admirationem haberet. ac tum primum videre mortales teneram mulierculam defensionis ergo ferro praepositam, ac mirabiliter inverso ordine, fragile corpus hominis firmissimis machinis adiunctum, ut qui ex iis pugnabant incolumes manerent. tela vero e moenibus aeque ac prius, sed tanta cautione iaciebantur, ut illaesa nobili muliere, quasi illa nutibus et manibus iacula a se aversa in hostium corda defigeret, hostes et ferirent et terrerent. immane istud facinus adeo nihil Andronico profuit, ut Nicaeenses facta noctu eruptione et machinas incenderent, et muliere fune in urbem attracta eum tanquam Phineum ab Harpyis spoliatum plorare sinerent, non habentem quo famem iracundiae suae expleret. ita Nicaeenses ab ipsis hostibus laudem fortitu-

ναῖα ἐπεδείκνυντο, καὶ Ἀνδρόνικον σκώμμασιν ἔπλυνον, μακελλάριον αὐτὸν ἀποκαλοῦντες καὶ κύνα φιλαίματον καὶ σαπρόγηρον καὶ κακὸν ἀθάνατον καὶ ἀνθρώπων Ἐριννὺν καὶ φιλογύνην καὶ Πρίηπον Τιθωνοῦ τε καὶ Κρόνου πολυετέστερον, καὶ εἴ τι αἴσχιστον ἄλλο πρᾶγμα καὶ ὄνομα, ἀλλὰ κὰκ P. 183
τῶν ἐπάλξεων, ὡς εἴρηκε τὸ λέγειν, κατακηδῶντες διεξεχέοντο τῶν πυλῶν. Ἀνδρόνικος δὲ τῷ ὑπωχριῶντι τοῦ προσώπου καὶ τῷ μὴ κατὰ φύσιν τοῦ βλέμματος καὶ τῷ πολλάκις ὡς ἐν ἱστῷ ὑφαινούσης τῷ δακτύλῳ περιελίττειν τὸ καταπεχυμένον καὶ βοστρυχῶδες τῆς γενειάδος θυμομαχῶν προδήλως ἐδείκνυτο καὶ δόλους ὑφαίνων κατὰ τῶν Νικαέων. ἀμέλει μηδὲ φέρειν ἔχων τὸ τῶν ἔνδον αὔθαδες, λιμώττων δὲ ὡς κύων Δαυιδικῶς εἰπεῖν ἐκ τοῦ μὴ ἔχειν τὸ κατὰ θοινησόμενον, περιεκύκλου τὴν πόλιν τῆς ἡμέρας πολλάκις, καὶ ὡς ἠπορημένη ἄρκτος τῇδε κἀκεῖσε μεταχωρῶν κατεστέναζε τῶν ταγμάτων, καὶ τοῖς ταξιάρχαις ἐπέπληττεν ὡς δήπου βλακευομένοις περὶ τὸν πόλεμον καὶ τὴν παράταξιν ὑπεκκλίνουσι. (3) τολμη- B
τίας δ' ὢν ὁ Καντακουζηνὸς Θεόδωρος, καὶ τῇ ἀκμῇ τῆς V. 150
ἡλικίας ὅσα καὶ οἶνος ζέων νεωστὶ ληνοβατηθείς, ἰδὼν ποτε τὸν βασιλέα Ἀνδρόνικον τὴν πόλιν περιιόντα μετὰ ὅλης συχνῆς καὶ εὐίππων ταγμάτων, ἐνθουσιωδῶς πλησθεὶς ὁρμήματος καὶ διὰ τῶν ἐῴων πυλῶν ἀνακλιθεισῶν ὡς εἶχεν εὐθὺς ἐκθορών, ἑφεπομένων αὐτῷ καί τινων εὐαρίθμων, κατ' Ἀν-

2. κύνα] σκύλον A. 4. Πρίηπον] πόρνον A. 9. περιελίττειν] περιειλεῖν A. τὸ κατακεχυμένον] τὸ κεκλωσμένον γένειον αὐτοῦ B. 11. ἀμέλει — αὔθαδες om A. 15. ἄρκτος ἐπιπορευόμενος κατ. A. 17. ἀντίταξιν A.

diais consecuti maiores animos conceperunt atque audacius pugnaverunt, non moenia tantum strenue defendendo et Andronicum dicteriis incessendo ut lanium, canem sanguinarium, putre silicernium, malum immortale, hominum Furiam, mulierosum, Priapum Tithono et Saturno annosiorem, denique nullo turpissimae rei vocabulo abstinendo, sed etiam relictis propugnaculis portis erumpendo. Andronicum vero pallor vultus et oculorum distorta acies et crebra promissae ac in cincinnos distinctae barbae implexio ira esse percitum et dolos struere Nicaeensibus manifeste declarabant. sed quia famem crudelitatis suae saturare non poterat, urbem saepius eodem die corona cingebat; et ut ursa catulis suis spoliata huc atque illuc transeundo, legiones suspiriis, tribunos verbis castigabat, quod bellum segnius administrarent, hostium congressum reformidantes. (3) At Cantacuzenus Theodorus, aetate atque audacia fervidus, cum Andronicum cum multis cohortibus et equitum turmis urbem circumire vidisset, quasi numine afflatus Orientali porta cum paucis erum-

δρονίκου τιταίνει τὸ δόρυ διὰ τῶν προμάχων χωρῶν. σφοδροτέραν δὲ ποιούμενος τὴν ἐπέλασιν καὶ συνεχῶς κεντρίζων τὸν ἵππον καὶ βιάζων ἄντικρυς ἵπτασθαι, οὐχὶ φέρεσθαι ὡς ἡ φύσις τοὺς πόδας ἐπτέρωσεν, ἔλαθεν ἑαυτὸν ἀπολωλεκώς·
C τοῦ γὰρ ἵππου κενεμβατήσαντος καὶ κακῶς ὑπὸ βέλους παθόντος κἀντεῦθεν ἐπὶ γόνυ κλιθέντος, τῆς ἕδρας ἀποβάλλεται ἐπὶ βρεγμὸν κατώκαρα πεσών, καὶ τῶν μυῶν τῶν νωτιαίων παθόντων κακῶς ἔκειτο ὀλιγοδρανέων, σκοτοδίνης ὑποπλησθείς. κἀντεῦθεν ἐπιδραμόντες ξιφήρεις τῶν Ἀνδρονίκου συχνοὶ ἀποδειροτομοῦσι τὸν Θεόδωρον, εἰσὶ δ' οἳ καὶ τὸν λοιπὸν ἐκρεανόμουν Θεόδωρον, Ἀνδρονίκῳ δρῶντες τὰ καταθύμια. μετὰ μικρὸν δὲ καὶ τοῖς οἰκήτορσι τῆς Κωνσταντίνου ἡ τοῦ Κανταχουζηνοῦ προσάγεται κεφαλή, κοντῷ μετέωρος ταῖς ἀγυιαῖς τῆς πόλεως ἐμπομπεύουσα. οἱ Νικαεῖς τοίνυν τὸν θαρσαλέον πολεμιστὴν καὶ ἄμαχον πρόμαχον ἀποβαλόντες οὐ μικρῶς, ὡς εἰκός, ἐπωδύραντο τοῦτον πεσόντα, καὶ ἀθυμότε-
D ρον διετέθησαν. βλέψαντες δὲ πρὸς τὸν Ἰσαάκιον Ἄγγελον ἤθελον ὑπείκειν τούτῳ καὶ ὡς σφῶν ἀρχηγῷ προσφέρεσθαι. οὗτος δὲ τὴν γνώμην ὑπόνωθρος ὢν καὶ κατ' Αἰνείαν τοῦ μάχεσθαι ἀφιστάμενος, ὡς ἔοικε, τὸ μέλλον εἰδὼς καὶ τὴν ἀποκειμένην αὐτῷ βασιλείαν ὡς ἐκεῖνος τὴν τοῦ γένους εὔκλειαν φανταζόμενος, οὐ περὶ πολλοῦ τὸν ἡγεμόνα ἐτίθετο. ἀμέλει τοι τὸ στρατιωτικὸν ὑπεκλυόμενον κατὰ βραχὺ τοῦ προθύμου ἐς ξυμβάσεις ἤθελε χωρεῖν, καὶ τὸ γενναῖον ἐκεῖνο

2. συνεχῶς] συχνὰ πτερνιστηρίζων αὐτὸν ὡς πετᾶν φαίνεσθαι B. 7. τῶν μυῶν] θλιβέντων A, τοῦ ἐγκεφάλου αὐτοῦ ζαλισθέντος B. 15. ἀποβαλόμενοι A. 17. τὸν et Ἄγγελον om A. 18. σφῶν αὐτῶν προσφ. ἀρχηγῷ A.

pit, perruptaque prima acie hastam in Andronicum vibrat. sed dum maiore impetu fertur et calcaribus subditis equum tantum non volare cogit, in exitium ruit. nam cum equus impegisset et ex vulnere in genu concidisset, sella excussus et in caput praecipitatus musculis dorsi graviter collisis, oborta vertigine semianimis iacuit. Andronici vero milites ei caput amputant, alii etiam truncum in Andronici gratiam in frusta dissecant. caput eius conto praefixum per vicos Cpolis circumlatum est. Nicaeenses fortis bellatoris et invicti propugnatoris interitu tristes et consternati Isaacio parere voluerunt. sed is segniore ingenio praeditus, evitata pugna ut Aeneas, et fortasse futurorum praescius, ac in debitum sibi imperium ut ille in posteritatis suae nobilitatem intentus, ducatum non magni fecit. milites quoque alacritate animorum paulatim exolescente transactionem spectant, extincto penitus generoso illo et pene divino impetu. ita-

λῆμα καὶ ἐνθεάζον ἀπέσβεστο τέλεον. σύνοδοι γοῦν κατὰ φατρίας γινόμεναι εἶχον ἐκτραγῳδούμενα καὶ οἷον πρὸ ὀφθαλμῶν παριστάμενα ὅσα οἱ πολιορκηθέντες δεινότατα πάσχουσι. καὶ τὴν Ἀνδρονίκου δὲ κατὰ νοῦν ἀπήνειαν φέροντες, καὶ τὰς παντοδαπὰς κακώσεις ἀναπεμπάζοντες ταῖς φρεσὶν ὅσας πείσονται πολέμου νόμῳ ἁλούσης τῆς πόλεως, κατέπτησσον ὡς λαγῴδια, ἀπεναντίας τῷ Καινεῖ πεπονθότες· ὁ μὲν γὰρ ἐκ γυναικὸς εἰς ἄνδρα, ὡς ὁ μῦθος βούλεται, ἥρμοστο, οἱ δὲ ἐξ ἀνδρῶν εἰς μαλακότητα γυναικείαν ἐξενευρί- P. 184 σθησαν, μηδενὸς ἔτι ὄντος τοῦ διὰ τῆς οἰκείας θερμῆς ὁρμῆς εἰς ἔργα ἀρετῆς ἀναθάλποντος, ἀλλὰ πάντων μετὰ τὸν τοῦ Καντακουζηνοῦ μόρον συννεκρωθέντων οἷον τὸ θάρσος καὶ τὸ περὶ τὰς μάχας ἀποθεμένων πρόθυμον. ἃ πάντα κατανοήσας ὁ τότε τῆς Νικαίας ἀρχιερεὺς Νικόλαος τὴν ἀνάγκην ἐς τὸ φιλότιμον διατίθησι, καὶ δὴ τὸν λαὸν ἐκκλησιάσας ὑποτίθησιν ἐνδοῦναι τῷ καιρῷ καὶ τοῖς πράγμασι, καὶ ἕως ἡ πόλις τοῖς κύμασι τῆς μάχης ἀβάπτιστος, ἐγχειρίσαι φέροντας Ἀνδρονίκῳ· ὁρᾶν γὰρ Ἀνδρόνικον μὴ ἄν ποτε κεναῖς (ὅ φασιν) ἐπαναζεύξοντα χερσίν, ὅτι μηδ' ἑπόμενά εἰσιν αὐτῷ τὰ ἀνθέλκοντα καὶ ἀντιπερισπῶντα ἑτέρωθι, καὶ ἑαυτοὺς δὲ κατὰ μικρὸν καὶ τῆς φυλακῆς ἀφισταμένους τῆς πόλεως B καὶ πρὸς τὸ τῆς εἰρήνης οἰκουρὸν ἀπονεύοντας. καὶ ὡς εὗρε πάντας ἀγαθὴν τὴν παραίφασιν οἰομένους καὶ ἀμφοτέραις τοῦ

1. σύνοδοι] συνάξεις οὖν γενεῶν ἐγένοντο B. 2. οἷον τοῖς ὀφθαλμοῖς προσκείμενα A. 3. δεινὰ A. 5. κακώσεις] βασάνους A. 6. ἁλούσης] ἡλωκυίας A. 21. κατὰ μικρὸν] κατὰ καιρὸν A.

que per contubernia conventus agitari, obsidionis aerumnae velut oculis subiici, Andronici crudelitas animis obversari, varia tormenta in conspectu esse, si urbs vi expugnata fuerit; trepidare omnes veluti lepusculi, aliter quam Caeneus. is enim, ut est in fabulis, ex muliere vir factus est: illi a virili robore ad muliebrem mollitiem degenerarunt, cum nemo superesset qui fervore suo frigus eorum foveret, una cum morte Cantacuzeni omni fortitudine, omni pugnandi alacritate emortua. quibus rebus Nicaenus pontifex Nicolaus perspectis, necessitate in liberalitatem conversa populum monet ut rebus et tempori serviens urbem, priusquam belli procellis demergatur, Andronico ultro dedat. videre se non commissurum Andronicum ut vacuis manibus discedat, praesertim cum nihil sit quod eum ab obsidione abstrahat, et ipsi cives urbis custodia paulatim deserta ad rem domesticam, ut tempore pacis, curandam declinent. eo consilio ab omnibus approbato, et commoda pacis utraque manu amplexis, sacra veste indutus, et divinis oraculis in

ἐκ ταύτης καλοῦ περιδραττομένους, τὴν ἱερὰν ἐρέαν ἐνδὺς
καὶ ἀνὰ χεῖρας τὰ θεῖα δεξάμενος λόγια ἕπεσθαί οἱ τοὺς ζα-
κόρους κελεύει καὶ τὸ λοιπὸν τῆς πόλεως πλήρωμα, ὡς μηδὲ
γυναῖκας ἢ νηπιάχους ἀπολειφθῆναι τῆς ἐξελεύσεως, πάντας
γυμνητεύοντας ὅπλου παντός, κλάδους ἱκετηρίους σείοντας,
ἀκαλυφεῖς τὴν κάραν, ἀκρηπιδώτους τοὺς πόδας, τὰς χεῖρας
λελυμένους τῶν ἱματίων, κατὰ μηδὲν τὸν ὡς ἀληθῶς ἱκέσιον
ψευδομένους, ἀλλὰ καὶ σχήμασιν ἐλεεινοῖς καὶ ὑφειμένοις
C φθέγμασιν ἐπισπωμένους τὸν οἰκτιζόμενον. καὶ οἱ μὲν οὕτω
V. 151 τῆς πόλεως ἐξεχύθησαν, ὁ βασιλεὺς δ' Ἀνδρόνικος τῷ τῆς
θέας ἀέλπτῳ καταπλαγεὶς πολλάκις τοὺς ὀφθαλμοὺς εἰς ἀκρι-
βῆ τῶν θεωμένων διεσάλευεν ὅρασιν· ἀτεχνῶς γὰρ ὄναρ
ἐδόκει βλέπειν τὰ τότε τελούμενα. ἐπεὶ δὲ ἀληθῆ τὴν ὄψιν
καὶ πρὸς μηδὲν πλανῶσαν εἶχε καταμαθών, τὸ τοῖς βασιλεῦσι
προσῆκον ἐλευθέριον φρόνημα καὶ τὸ τῆς γνώμης ἀκαπήλευ-
τον παρωσάμενος ὑπονοθεύει τὸν ἔλεον, καὶ τὴν λεοντῆν οὐκ
ἔχων τῷ τέως ἀνακαλύπτειν τὴν ἀλωπεκῆν ὑποδύεται. καὶ
τοίνυν οὐ μόνον τὸν ἀσμένως προσδεχόμενον πλάττεται, ἀλλὰ
D μικροῦ καὶ κατήχθη πρὸς δάκρυα, τοῦτο δὴ τὸ ἀρχαῖον Ἀν-
δρονίκῳ τῆς ἀληθείας συσκίασμα, τῶν τῆς ψυχῆς κινημάτων
προσκίασμα. πλὴν οὐκ ἐπὶ πολὺ τὸ δρᾶμα ὑποκρινάμενος,
ἀλλὰ μετὰ καιρὸν ἀποδὺς ὡς ῥάκια τὰ ἁπαλὰ καὶ ὑπὲρ

1. τὴν ἱερὰν] τὴν ἀρχιερατικὴν στολὴν ἐνδυθεὶς καὶ τὸ θεῖον καὶ ἅγιον εὐαγγέλιον εἰς χεῖρας λαβὼν ἀκολουθεῖν προσέταξεν αὐτῷ τούς τε διακόνους καὶ κληρικοὺς ἅπαντας B. 4. πάντες ἀσκέπαστοι καὶ ἀνυπόδετοι, δεδεμένοι τὰς χεῖρας, κλάδους καὶ βαΐα κατέχοντες, καὶ παρακλητικαῖς φωναῖς ἐλεεινῶς ἀνακράζοντες, αἰδούμενοι αὐτομολῆσαι πρὸς τὸν ἀνδρόνικον B. 20. τῆς] τὸ τῆς A.

manus sumptis, sacerdotes et omnem urbanam multitudinem se sequi iussit, ne mulieribus quidem et pueris exceptis, sine ullis armis, supplices frondes manibus gestantes, apertis capitibus, nudis pedibus et manibus, nullo vere supplicum miserabili gestu praetermisso, submissa voce misericordiam flagitantes. qui cum hoc modo urbe effunderentur, Andronicus imperator inexspectato spectaculo attonitus subinde huc atque illuc deflexit oculos, ut certius perspiceret quid rei esset: nam plane somnium videre sibi videbatur. ubi vero animadvertit se absque errore rem veram cernere, repudiata liberalitate et candore digno regibus clementiam adulterat; et quia pellem leoninam tum proferre haud licebat, vulpinam induit, seque non modo libenter recipere supplices fingit, sed vix a lacrimis temperat, quibus iam olim veritatem involvere atque animum suum dissimulare consueverat. enimvero fabula illa non diu acta, aliquanto post si-

ἔλαιον λεῖα ῥήματα, ἐμφανῶς τοῖς Νικαεῦσιν ὑπέδειξε, καὶ μάλιστα τοῖς κατ' ἀξίωσιν καὶ γένους σεμνότητα ὑπερέχουσιν, οἷαν ὁ γέρων ἐπιγουνίδα τρέφει ὀργῆς καὶ ὅσον τὸν μετόπισθεν ὑποτύφων κότον καὶ τὸ ἐχθραντικὸν καὶ μνησίκακον εἰς καιρὸν ἐταμιοῦχει τὴν ἀνταπόδοσιν. πολλοὺς τοίνυν μετέπειτα τῆς πατρίδος μετανάστας εἰργάσατο, τινὲς δ' ἀπὸ τῶν τειχῶν κύμβαχοι καταρριφέντες οἰκτρότατον ὑπέμειναν θάνατον. τότε δὲ τοὺς Πέρσας ἀνασκολοπίσας κύκλῳ τῆς πόλεως, καὶ τὸν Ἄγγελον Ἰσαάκιον ἐπαινέσας ὧν ἔδρασε καὶ ὧν εἴρηκε, μὴ μόνον τοὺς ὀδόντας εἰς ὅπλα καὶ βέλη οὐ μεταποιήσας ἐπ' ἴσης τῷ Καντακουζηνῷ Θεοδώρῳ, ἀλλὰ κἀκείνῳ ἐπιπλήξας πολλάκις κατὰ χριστοῦ κυρίου θρασυστομοῦντι καὶ ὡς ἐκ κουλεοῦ τοῦ στόματος μάχαιραν ὀξεῖαν τὴν γλῶτταν ἕλκοντι, καὶ χρηστῶν ἐμπλήσας προσδοκιῶν, τὸ δ' P. 185 ἀληθέστερον εἰπεῖν τὸν ἑαυτοῦ φονέα καὶ τῆς ἀρχῆς παραλύσοντα τρέφων κατὰ θεῖον καὶ περιθάλπων εἰς τὸν τῇ προνοίᾳ δοκοῦντα καιρόν, (4) ἐκεῖνον μὲν ὀπίσω ἀποπέμπει πρὸς τὸ Βυζάντιον, αὐτὸς δὲ πρὸς τὸ τῶν Προυσαέων μεταβαίνει πόλισμα μετὰ τῶν ἐφεπομένων αὐτῷ στρατιωτικῶν τάξεων.

Καὶ δὴ κατὰ τὸ πρὸς μεσημβρίαν μέρος τῆς πόλεως βαλὼν χάρακα, καθὸ δὴ καὶ προσιτὸν ἐδόκει τὸ τεῖχος διὰ τὸ τοῦ χώρου ἰσόπεδον, μὴ ὡς ἡ λοιπὴ πόλις εἰς πετρῆεν καὶ περιφερὲς αἰρόμενον γήλοφον καὶ ἀπότομον προφαινόμενον, τῇ ἑξῆς ἔχεται τοῦ πολιορκεῖν. καὶ αἱ μὲν μηχαναὶ καὶ B οἱ ἄνδρες οὐκ ἀεργῶς εἶχον ἀλλ' ἔδρων τὸ πρόσφορον· αὐ-

2. μᾶλλον A. 5. ἐταμιούλχει A. 9. ὧν ἔδρ.] οἷς ἔδρασε καὶ οἷς A. 17. αὐτὸν μὲν — ἐκεῖνος δὲ A.

mulatione deposita et mollibus oleoque lenioribus verbis omissis, Nicaeensibus, nobilitate praesertim et dignitate praestantibus, ostendit quantum irae aestum animo celasset, dum se ultionis offerret occasio. multos enim in exilium egit, nonnullos de moenibus miserabiliter praecipitavit, et Persas circum urbem palis affixit. Isaacium vero Angelum ob dicta et facta eius collaudavit, quod Theodori Cantacuzeni maledicentiam non modo non imitatus esset, sed etiam castigasset; ac spe bona implevit, aut verius ut dicam, percussorem suum et imperii eversorem fato quodam et providentia numinis aluit. (4) Ac illo Byzantium misso Prusam transiit; munitoque versus meridiem vallo, qua ob planitiem adiri posse moenia videbantur (nam aliae partes urbis rotundae et praeruptae rupi impositae sunt), postridie oppugnationem orditur.

Machinis et viris operi intentis, ipse plurimas litteras sagittis annexas in urbem iaculatur, quarum haec sententia erat, se eis defectio-

τὸς δ' Ἀνδρόνικος ῥέων τὸ λέγειν, ἀτράκτους βελῶν πετασίμους τιθεὶς λόγοις πτερόεσσιν ἐπηφίει κατὰ τῆς πόλεως. ἦσαν δὲ ἃ ἐδήλου τὰ φερόμενα ἐκεῖνα διαέρια γράμματα μεταβολῆς παραίφασις καὶ ἀμνηστία κακῶν, εἰ αὐτὸν μὲν εἴσω προσδέξονται τὰς πύλας ἀναπετάσαντες, Θεόδωρον δὲ τὸν Ἄγγελον καὶ τὸν ἀγοραῖον Λαχανᾶν καὶ τὸν ἀσύνετον Συνέσιον, ἵνα ταῖς αὐτοῦ ἐκείνου χρησαίμην λέξεσι, καὶ οἳ τούτοις ὁμόφρονες, θανάτῳ καταπροδώσουσι συσχόντες. καὶ τοῦτο ἐφ' ἱκαναῖς ἐποίει ἡμέραις. οὐδὲ γὰρ ὁ κατὰ Προῦσαν C συγκροτούμενος πόλεμος τοῦ κατὰ Νίκαιαν συστάντος τὸ ἔλαττον ἀπεφέρετο κατά τε ἀλκὴν ἀνδρῶν συμπλεκομένων τοῖς βασιλείοις τάγμασι καὶ μῖσος τὸ ἐς Ἀνδρόνικον, ὃ καὶ τοῦ πολέμου αἴτιον ἦν. καὶ αὐτὴ δὲ ἡ πόλις ἡ Προῦσα πᾶσα καλλίπυργός ἐστι καὶ ἰσχυρὸν περιβεβλημένη περίβολον, καὶ τοῦτον ἀμφίδυμον κατὰ τὸ κλίμα τὸ νότιον. ἐν ᾧ καὶ ἐκδρομαὶ πολλάκις τῆς ἡμέρας γινόμεναι συνῆπτον πρὸς ἄλληλα τὰ στρατεύματα, καὶ ἔπιπτον ἐξ ἀμφοτέρων συχνοί. ἐπεὶ δὲ ἔδει καὶ τὴν πόλιν ταύτην ὑποκύψαι τῷ Ἀνδρονίκῳ καὶ τοὺς πλείστους τῶν ἐν αὐτῇ χειρωθέντας παθεῖν τὰ ἀνήκεστα, τοῦ τείχους τι ἀπελεπίσθη τῇ ἑλεπόλει συνεχῶς δρυπτόμενον. πρὸς δὲ τούτῳ καὶ τὸ κατ' ἐκεῖνο τὸ μέρος προσεπίκτισμα D καὶ ἱμάντωμα τοῦ παλαιοῦ περιβόλου καταβληθὲν φαντασίαν

1. ῥέων τὸ λέγειν] πιτάκια γράφων ἔριπτε ταῦτα μετὰ σαγιτῶν ἐντὸς τῆς πόλεως B. 4. εἰ αὐτὸν] εἴπερ A. 7. χρήσωμαι A. οἳ τούτοις] τοὺς τούτοις ὁμόφρονας συσχόντες καταπροδώσουσι A. 10. τὸ ἔλαττον] μειονεκτῶν ἦν A. 13. καλλίπυργός] καλόκτιστος B. 14. ἐχυρὸν περίβολον ἔχουσα A. 18. καὶ πολλοὺς τῶν A. 20. τῇ ἑλεπόλει] ὑπὸ τῆς τετραρείας B. 21. πρὸς δὲ τούτῳ] καὶ ὅπερ ἦν ἐκεῖσε παλαιὸν δέμα μετὰ ξύλων κατέπεσε B.

nis dare veniam, si apertis portis reciperetur, et Theodorus Angelus et circumforaneus Lachanas et temerarius Synesius (his enim titulis eos ornabat) eorumque coniurati sibi traderentur. idque diebus compluribus repetitum est. nam Prusaense bellum Nicaeo nec fortitudine militum imperatorios invadentium, nec odiis in Andronicum, quae et belli causa erant, quicquam concedebat; et ipsa urbs undique pulchris turribus adornata et robustis moenibus, iisque versus Austrum conduplicatis, firmata est. unde cum excursiones fierent, multi utrinque cadebant. sed cum hanc quoque urbem Andronico dedi oporteret, et multos qui in ea erant subactos in cruciatum agi, pars muri quaedam crebris arietum ictibus labefactata, et muro veteri adiuncta crepido prostrata, opinionem obsessis attulit murum universum, quem machina feriebat, corruisse. rumor igitur confusus

τοῖς ἔνδον παρέσχετο τοῦ τὸ τεῖχος ἅπαν, ὁπόσον ἡ ἑλέπο-
λις ἔτυπτεν, ἐπὶ γόνυ κλιθῆναι κατασεισθέν. θρούς οὖν ἐπὶ V. 152
τῷ γενομένῳ τούτῳ ἄσημος αἴρεται, καὶ δέος τὰς ἁπάντων
ἐκταράττει καρδίας. ὅθεν μὴ περιεργασθέντος τοῦ κακοῦ,
ἀλλ' ὅλων καὶ πρὸς μόνον τῶν ἐκτιναχθέντων λίθων τὸν δοῦ-
πον ἐναποψυξάντων τῷ δέει μικροῦ, ἔρημα μὲν τὰ τείχη
τῶν ἐπ' αὐτῶν ἀμυνομένων εἰάθησαν, αἱ δ' ἀγυιαὶ εἶχον
ἀλιζομένους ὡς ἐπ' ἀμηχάνοις τοὺς ὑποκαταβάντας ἐκ τῶν
τειχῶν. καὶ τὸ ἐντεῦθεν ἄνετος μὲν τοῖς πολεμίοις ἡ διὰ
πυλῶν καὶ τείχους κλιμάκων ἐπενηνεγμένων εἰς τὴν πόλιν
εἴσοδος ἦν, αὐτοῖς δὲ τοῖς Προυσαεῦσι καταλαμβανομένοις
ἀνηλεὴς ἀναίρεσις καὶ τῶν προσόντων διαρπαγὴ καὶ τοῦ βο-
σκημάτων κατακοπή, ἃ δὴ κατὰ πώεα καὶ ὅλα βουκόλια εἰσ-
ηλάθησαν, ὡς ἔχοιεν ᾧ τραφήσονται οἱ ἐντὸς ἐπιτεινομένης
τῆς πολιορκίας. καὶ τότε μὲν ἐν τοιούτοις ἦσαν δεινοῖς τὰ
τελούμενα· ἐπεὶ δὲ καὶ ὁ βασιλεὺς Ἀνδρόνικος εἰσεληλύθει
τὸ πόλισμα καὶ ἐνηυλίσατο ἔνδοθεν, οὐθ' ὡς βασιλεὺς πραῢς
καὶ σώζων ὑπηκόοις οὖσι πάλαι καὶ αὖθις ἐσομένοις, κἂν
πρὸς καιρὸν ἀπέστησαν, τοῖς Προυσαεῦσιν ἐχρήσατο, οὐθ' P. 186
ὡς ἁπλῶς ἄνθρωπος ὁμοφυέσιν ἀνδράσιν ἡμέρως προσενήνε-
κται· ἀλλ' ὡς θὴρ ἀρχικὸς ἀπόσιτος ἱκανῶς ἀσηκάστοις
ἐμπεσὼν καὶ ἀποιμάντοις θρέμμασι τοῦ μὲν αὐχένα κατέαξεν,
ἄλλου δ' ἐλάφυξεν ἔγκατα καὶ ἄλλως ἔθετο χειρίστως ἕτερον,
τὰ δὲ λοιπὰ κρημνοῖς καὶ ὄρεσι καὶ βαράθροις διασπαρέντα
παρέπεμψεν, οὕτω καὶ τότε Ἀνδρόνικος μὴ προηγησαμένης

4. καρδίας] ψυχάς A. 6. ἔρημοι μὲν οἱ περίβολοι τῶν προφυ-
λάκων A. 8. ἀλιζομένους] τῇδε κἀκεῖσε φερομένους ἐπ' ἀμ.
τοὺς ὑποκαταβαίνοντας A. 23. ἄλλου] ἑτέρους δὲ ἐξεντέρισε B.

tollitur, omnibus territis nec malum datum accuratius explorantibus, sed ad sonitum duntaxat excussorum saxorum metu pene exanimatis. moenia destituta sunt a defensoribus, et vici urbis trepidis eorum discursationibus repleti. inde scalis appositis muroque superato, portis apertis liber urbis ingressus hosti patuit. Prusaenses direptis aedibus crudeliter interfecti, et pecudes mactatae, quarum greges et armenta in urbem coacta erant, ut ducta obsidione haberent unde viverent. quae dum fiebant, urbem ingressus Andronicus, non ut clemens imperator et eorum qui et olim subditi fuerant et rursus futuri erant, quamvis ad tempus defecissent, conservator, Prusaenses tractavit, nec ut hominum qui iisdem elementis constent rationem habuit: sed ut famelicus leo incustoditos greges adortus aliis colla frangit, aliarum viscera devorat, alias aliter miserrime conficit, reliquas in montes et praecipitia agit, ita tum Andronicus, quod Prusa non deditio-

ὁμολογίας τε καὶ σπονδῆς μετὰ τοῦ τῶν Προυσαέων πληρώματος ἢ ἑκουσίας προβάσης παραδοχῆς, ἀλλὰ πολέμῳ
B ἡλωκυίας τῆς πόλεως, πλείστους ὅτι μάλιστα διέφθειρε καὶ ἠφάνισεν, εἰς πολυειδεῖς καὶ πολυτρόπους κολάσεις τὸ τοῦ θυμοῦ καταμερίσας ἀλλόκοτον. Θεόδωρον μὲν γὰρ τὸν Ἄγγελον ἤϊθεον ὄντα καὶ τὸν ἴουλον πρώτως χνοάζοντα τίθησιν ἐξόμματον, καὶ ὄνῳ ἀναβληθέντα καὶ τῶν Ῥωμαϊκῶν ὁρίων ὑπερέκεινα ἀπαχθέντα εἶτα κελεύει διαφεθῆναι, ἵνα ὅπῃ τὸ ὑποζύγιον ὁρμῴη αὐτόματον φερόμενος πλάζοιτο. καὶ τάχ' ἂν θηρίοις ἐγεγόνει κατάβρωμα, ὃ καὶ ὁ τὴν τιμωρίαν ταύτην ἐκείνῳ ἐπιθεὶς Ἀνδρόνικος προεσκέψατο, εἰ μὴ
C Τοῦρκοι ἐγκύρσαντες ᾤκτειράν τε τὸν μείρακα καὶ εἰς τὰς αὐτῶν σκηνὰς ἀπαγαγόντες θεραπείας ἠξίωσαν. τὸν δὲ Συνέσιον Λέοντα καὶ τὸν Λαχανᾶν Μανουὴλ καὶ συχνοὺς ἄλλους τοῖς τῶν παραπεφυκότων τῇ Προύσῃ δένδρων ἀκρέμοσιν ἀπεκρέμασε, τὸν δέκατον τετραπλῶς ἀποσώζοντας ἀριθμόν. πολλαπλασίονας δ' ἑτέραις ὑποβεβλήκει ποιναῖς· ὧν μὲν γὰρ χεῖρας ἀπέτεμεν, ὧν δὲ δακτύλους ὡς ἀμπέλων περιέκειρε κλάδους, τινῶν δὲ πόδας ἀφῄρηκε. πολλοὶ δὲ χειρῶν καὶ ὀφθαλμῶν ὑπέστησαν στέρησιν· ἦσαν δ' οἳ καὶ ὀφθαλμὸν δεξιὸν καὶ πόδα εὐώνυμον ἐζημίωντο, καὶ αὖ τοὐναντίον ἐπεπόνθεισαν ἕτεροι. καὶ οὕτως ἀπανθρώπως τὸ ἐν
D ῥώμῃ σώματος καλλιστεῦον καὶ στρατιωτικῇ ἐξαίρετον ἐμπειρίᾳ τὴν οἰκείαν ζημιώσας βασιλείαν Ἀνδρόνικος μεταίρει πρὸς τὸ Λοπάδιον. κἀκεῖ τὰ ὅμοια δράσας, καὶ τῶν ἐπισκό-

3. διέφθειρε] κακῶς διέθετο A. 4. τὸ τῆς γνώμης καταμερίζων αὐτόνομον καὶ αὐθαίρετον A. 9. αὐτόιατον μονάζον πλ. A. 12. ἐγκύρσαντες] ἐντυχόντες A. 14. καὶ συχνοὺς] καὶ ἑτέρους δέκα εἰς τὰ εὑρισκόμενα ἐντὸς δένδρα ἐφούρκισε B. 16. δέκατον] δέκα? 25. τὸν ἐπίσκοπον ἀδρανοῦς ἀποστερήσας A

ne sed vi potitus erat, plurimos pessimo exitio perdidit, multiplices cruciatus et varia tormenta commentus. Angelum Theodorum, adolescentem pene adhuc imberbem, effossis oculis asino impositum et ultra limites Romanorum eductum dimitti iubet, ut quocunque impetus iumentum tulisset, ibi solus oberraret. ac forsitan a feris devoratus esset, quod Andronici consilium fuit, nisi Turci viatores eius miserti essent et in tabernacula sua abductum curassent. Leonem Synesium et Manuelem Lachanam et alios complures, XL numero, de summis arboribus iuxta Prusae moenia suspendit; et longe plures aliis suppliciis affecit, aliorum manibus, aliorum digitis, quorundam pedibus amputatis. multi et manibus et oculis privati sunt, nonnulli oculo dextro et pede sinistro mutilati, alii contra. robustissimis et

πων ἕνα στερήσας τῶν ὀφθαλμῶν ὡς μὴ κατὰ τῶν ἐκ τῆς ποίμνης ἐκείνου ἀγανακτοῦντα στασιωτῶν, ἀλλὰ πράως οὕτω καὶ ὁμαλῶς τὴν κατὰ τοῦ βασιλέως Ἀνδρονίκου φορὰν ἐκείνων προσιέμενον καὶ ἀνεπεγκλήτως θεώμενον, ἐπάνεισιν εἰς τὰ βασίλεια τοιούτοις γεγανωμένος τροπαιουχήμασι, τὰς τῶν Προυσαέων ἡμερίδας καταλιπών, αἳ περιπλέγδην τὰ δένδρα ἀνέτρεχον, βαρυνομένας τοῖς τῶν κρεμασθέντων σώμασιν ὡς ἄλλοις βότρυσι, καὶ μηδένα τῶν ἀνασκολοπισθέντων ἀφεὶς ὡς ληνοῖς δοθῆναι τοῖς σήμασιν, οὓς καὶ τερσήνας ἥλιος ἀνέμοις περιφέρεσθαι ἀνῆκε κατὰ τὰ ἐν συκιηλάτοις ὑπὸ τῶν ὀπωροφυλάκων αἰωρούμενα φάσματα.

Εἰς δὲ τὴν Κωνσταντίνου πόλιν ἐπανιὼν καὶ παρὰ τοῦ δήμου φωναῖς εὐφήμοις δεξιωθείς, καὶ ταῖς τῶν κολάκων προσλαλιαῖς, οὓς ἀεὶ παρατρέφουσι τὰ ἀνάκτορα, τὸ μεγαλόφρον πλεῖον κτησάμενος, εἰς θεωρεῖα καὶ ἁμίλλας ἵππων θερείας οὔσης τῆς ὥρας ἐτράπετο, ὅτε καί τινων ἐκ τῶν κα- V. 153
τὰ τὸ βασιλικὸν ἑδρίασμα δρυφάκτων καταβληθέντων καὶ περὶ τοὺς ἓξ ἄνδρας ἀνῃρηκότων, καὶ τοῦ θεατρομανοῦς ὄχλου ἐπὶ τῷ συμβάντι τούτῳ διαθροηθέντος, ὥρμησε τοῦ θώκου ἐξαναστῆναι καὶ μεταχωρῆσαι πρὸς τὰ βασίλεια, τῷ δέει P. 187
ἀλλοιωθεὶς καὶ τοὺς δορυφόρους συνηθροικώς, εἰ μὴ τὸ περὶ ἐκεῖνον εὔνουν ἱκέτευσαν ἀποστῆναι ὡς ἀτόπου τοῦ τοιούτου βουλεύματος, καὶ ἐμπέδως ἱζάνειν παρέπεισαν ὡς αὐτίκα εἰ

2. στρατιωτῶν A. 9. μνήμασιν A. 10. κατὰ] ὡς κατὰ A. 16. ὅτε καί] κιόνια δύο μικρὰ πλησίον ὄντα τῆς καθέδρας αὐτοῦ κάτωθεν ἔπεσον καὶ ἓξ ἄνδρας ἐφόνευσαν B. 17. καταλυθέντων A. 21. εἰ μὴ τὸ] τὸ μέντοι A. 23. ἱζάνειν ἐμπέδως μᾶλλον παρ. A. ὡς αὐτίκα] εἰπόντες ὡς ἐξαναστὰς ἀπολεῖται αὐτίκα A, εἰ ἀπὸ τῶν ἐνταῦθα ἐξέλθοις, οἱ πάντες χανόμεθα B.

fortissimis ac rei militaris peritissimis viris adeo inhumaniter interfectis, atque imperii viribus imminutis, Lopadium transit Andronicus; eodemque modo ibi quoque grassatus, et episcopo oculis privato, quod seditiosorum sui gregis motum contra Andronicum non castigasset sed aequo et leni animo tulisset ac spectasset, talibus triumphis ornatus in palatium revertitur, relictis Prusaensium vitibus, quae arbores amplectebantur, suspensorum cadaveribus ut uvis oneratus; ullum neque sepeliri passus est, sed a sole arefactos ut terriculamenta volucrum, ne poma devorent, a ventis agitari voluit.

Cpoli laetis populi acclamationibus exceptus, et adulatorum laudationibus, quos semper alere solent aulae, maiori superbia inflatus, spectaculis et ludis Circensibus aestivo tempore intentus fuit. cum autem aliquando tabulata aliquot iuxta imperatoriam sedem collapsa

ἐξαναστωίη ἀπολούμενον, τοῦ δήμου συσπειραθέντος εἰς ἓν καὶ κατ' ἐκείνου καὶ τῶν ὅσοι περὶ αὐτὸν ἐφορμήσαντος. μικρόν τι γοῦν ἐπιμείνας τὸν ἱππικὸν μόνον καὶ γυμνικὸν τετέλεκεν ἄεθλον, τῶν δ' ἐπεισοδίων θεαμάτων ἀπέσχετο τέλεον, ἐν οἷς διαχέουσι τὸ θεώμενον οἱ διὰ μηρίνθων εἰς ὕψος ἀναρριχώμενοι καὶ ὑπὸ μικρῷ καὶ λεπτῷ τῷ συνέχοντι καλωδίῳ ἐπορχούμενοι διαέριοι, ἔτι δὲ οἱ πτηνόποδες λαγίναι καὶ B κύνες αἱ θηρευτικαί, φιλοτοιούτους ἀποδεικνύντα τοὺς ἀήθεις θεατροβάμονας. καὶ ταῦτα μὲν ὧδέ πῃ ἐφέρετο.

5. Ἦν δέ τις ἀνὴρ τοὔνομα Ἰσαάκιος, γένους ἄριστα ἥκων, ἕτερος παρὰ τὸν Ἄγγελον Ἰσαάκιον, θυγατρὸς παῖς Ἰσαακίου τοῦ σεβαστοκράτορος, ὃν ὁ λόγος τῆς ἱστορίας ἁπτόμενος κασίγνητον τοῦ βασιλέως εἴρηκε Μανουήλ. ἀλλ' οὗτος δὴ ὁ Ἰσαάκιος παρὰ τοῦ πρὸς πατρὸς θείου καὶ βασιλέως, τοῦ Κομνηνοῦ Μανουήλ, τὰ κατ' Ἀρμενίαν διέπειν λαχὼν καὶ ἄρχειν Ταρσοῦ καὶ στρατηγεῖν ὁπόσα τοῖς ἐκεῖ προσκεκλήρωται, συρρήγνυσι μετὰ τῶν διαφόρων Ἀρμενίων πόλεμον, καὶ ἁλοὺς ἐν φρουρᾷ καθείργνυται (φθάνει δὲ θανὼν καὶ ὁ βασιλεὺς Μανουήλ), καὶ τοῦτο ἐς ἡλίους πολλούς. Ὀψὲ δὲ πρὸς τῶν Ἱεροσολυμιτῶν λυθεὶς οὓς φρερίους φασίν, ἔσχεν εὔθετον τὴν πρὸς τὴν πατρίδα ἐπάνοδον, Ἀνδρονίκου συναραμένου πρὸς τὰ λύτρα ὑποθημοσύνῃ Θεοδώρας,

6. ὑπὸ] ἐπί? 7. λαγίναι] λαγῦναι A. 8. φιλοτοιοῦτον ἀποδεικνύντα τὸ μὴ τῆς πόλεως ἐξιὸν ἀστικόν A. 13. τοῦ βασ.] προσείρηκε τοῦ βασ. A. 14. πατρὸς] πάππου A. 15. τὰ κατ'] πεμφθεὶς εἰς κεφαλὴν τῆς ταρσοῦ B. 16. προσκεκλήρωται] Ῥωμαίοις ὑπήκοα A. 22. πρὸς] εἰς A.

viros VI oppressissent, vulgo eo casu consternato perterritus satellites convocavit et in palatium abire voluit: sed ab amicis exoratus mansit, quod si surrexisset, statim periturus esset, populi globo in ipsum et satellites eius impetum facturo. paulisper igitur moratus, dum equestre et gymnicum certamen absolveretur, reliquis spectaculis prorsus abstinuit, cuiusmodi sunt funambulorum et venationum; quibus in urbe manere solita turba ut rebus novis impense capitur. et haec ita se habuerunt.

4. Erat autem vir quidam nobilissimus, nomine Isaacius (non Isaacius Angelus), Isaacii sebastocratoris, quem fratrem fuisse Manuelis diximus, ex filia nepos. is Armeniae vicinisque locis Romanae ditionis et Tarso a maiore patruo Manuele praepositus, commisso cum hostibus Armeniis praelio captus, Manuele iam defuncto, in custodiam datur. in qua cum longo tempore fuisset, tandem ab Hierosolymitis, quos Frerios dicunt, redemptus commodum in patriam reditum habuit, Andronico redemptionis adiutore; idque de Theo-

ἧπερ ὁ μὲν Ἀνδρόνικος, ὡς πολλάκις εἴπομεν, ἐπλησίαζεν, ὁ δ' Ἰσαάκιος οὗτος ἀδελφιδοῦς ἦν. ἐνῆγον δὲ Ἀνδρόνικον εἰς τὸ προσδέξασθαι τὸν Ἰσαάκιον καὶ τῆς χρονίου κατοικτεῖραι ἀποδημίας ὁ Μακροδούκας Κωνσταντῖνος τῇ πρὸς μητρὸς Ἰσαακίου θείᾳ συνευναζόμενος, καὶ Ἀνδρόνικος ὁ Δούκας συνήθης ὢν ἐκ παίδων Ἰσαακίῳ καὶ κατὰ γένος αὐτῷ προσεγγίζων. οὗτος τοίνυν ὁ Ἰσαάκιος Ἀνδρονίκῳ τῷ βασιλεῖ οὐχ ὑπείκειν ἐθέλων καὶ τὴν πατρίδα ὡς ἐν ἀστράσι φανταζόμενος καὶ συγγενείας ἢ ἐρατεινῆς ὁμηλικίας οὐδένα λόγον τιθέμενος, τυραννίδος δ' ἐρῶν καὶ ἀρχῆς ἔφεσιν τρέφων, D οὐ μὴν ὑποκύπτειν ἀνεχόμενος ἄρχουσιν, ἐφοδίοις χρῆται καὶ συνερίθοις τοῖς πεμφθεῖσιν αὐτῷ ἐκ Βυζαντίου χρήμασιν εἰς τὸ κακοβούλως ἀρχὴν ἑαυτῷ μνηστεύσασθαι. τοίνυν μετὰ χειρὸς συχνῆς καταπλεύσας ἐς Κύπρον τὰ μὲν πρῶτα τὸν ἔννομον καὶ πρὸς βασιλέως ἀπεσταλμένον δυνάστην ὑπεζωγράφει, βασιλικὰ ὑποδεικνύων τοῖς Κυπρίοις γράμματα, ἅπερ αὐτὸς συνέθετο, καὶ διαταγὰς ἀναγινώσκων αὐτοκρατορικὰς ἐπιπλάστους, τὸ ποιητέον δῆθεν ὑποτιθεμένας ἐκείνῳ, καὶ τἄλλα διαπραττόμενος ὅσα οἱ ὑφ' ἑτέρων ἄρχειν ταχθέντες πρὸς ἀνάγκης ποιεῖν ἔχουσι, μετ' οὐ πολὺ δὲ τὸν τυραννοῦντα παραγυμνώσας, καὶ ἣν ἔτρεφεν ἀπήνειαν ἐκκαλύψας, ἀπανθρώπως τοῖς ἐκεῖ προσφέρεται. καὶ τοσοῦτον ἐς τὸ τοῦ ἤθους ἀκαμπὲς καὶ ἀμείλικτον Ἀνδρόνικον ὑπερέβαλεν, ὅσον οὗτος τοὺς πώποτε διαβοήτους ἀνεπιεικεῖς. εἰς τὸ P. 188

9. ὁμιλίας A. 24. εἰς om A.

dorae sententia, cuius, ut saepe diximus, consuetudine utebatur, hic vero frater patruelis erat. ut autem Andronicus Isaacii curam susciperet ac diuturnae eius captivitatis misericordia tangeretur, Macroducae Constantini, qui materteram Isaacii in matrimonio habebat, opera est effectum, et Andronici Ducae cognati eius et familiaris a puero. is igitur Isaacius cum Andronico cedere ac in patriam redire nollet, nec ullam cognationis aut suavis consuetudinis rationem haberet, sed imperare quam imperio carere mallet, pecuniae Byzantio missae subsidiis ad improbum affectandi regni consilium abutitur, et Cypro cum magna manu occupata principio se pro legitimo praetore, qui ab imperatore missus esset, gerit, litteris imperatoriis ostensis, quas ipse composuerat, et commentitiis mandatis recitatis, quae quid ipsi agendum esset scilicet praescribebant; ac caetera agit, quae iis necessario facienda sunt qui alienis imperiis subsunt. verum non multo post se tyrannum professus, innata crudelitate retecta, insulares inhumanius tractat; ac pertinacia saevitiaque tantum superat Andronicum, quantum Andronicus caeteros omnes qui unquam

προσκεκρουκὸς ὑπερήλασεν. οὐ γὰρ διέλιπεν, ἐξ ὅτου περ ἀσφαλῶς ἤδη ἄρχειν ᾤετο, μυρία ἄττα ἀνόσια ἐπὶ τοῖς οἰκήτορσι τῆς Κύπρου ἐργαζόμενος. φόνοις τε γὰρ καθ' ὥραν ἀναιτίοις ἐχραίνετο, καὶ δηλήμων σωμάτων ἀνθρωπίνων ἐγίνετο, ποινὰς ἐπάγων καὶ τιμωρίας οἷά τι συμφορῶν ὄργανον, ὁπόσαι κατῆγον εἰς θάνατον. καὶ κοίταις δὲ ἀθεμίτοις καὶ
V. 154 φθοραῖς παρθένων ὁ παναισχὴς καὶ ἐξάγιστος ἠκολάσταινεν, οὐσίας τε ἁπάσης τοὺς εὐδαίμονας πρώην οἴκους ἀνυπευθύνως ἐστέρησε, καὶ τοὺς χθές τε καὶ πρότριτα περιβλεπομένους αὐτόχθονας καὶ κατὰ τὸ πολυκτῆμον τῷ Ἰὼβ ἀντερί-
B ζοντας διαφῆκεν ἀγυρτεύειν λιμώττοντας καὶ γυμνητεύοντας, καθ' ὅσων τέως οὐκ ἐχρήσατο τῷ ξίφει ὁ ἀκρόχολος. φεῦ φεῦ ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται! εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα. ἐφύτευσας αὐτοὺς καὶ ἐρρίζωσας· ἐτεκνοποίησαν καὶ ἐποίησαν καρπόν. ταῦτα δὴ ἃ καὶ ὁ προφήτης ἀπολογεῖται πρὸς κύριον λαλῶν κρίματα. οἷα γὰρ ἡ τότε γενεὰ ἐξέφυσε κώνεια πρὸς οὐδὲν ἕτερον ἁδρυνθέντα ἢ θάνατον τοῖς προσφερομένοις καὶ ἀπώλειαν τῶν πλείστων πόλεων, ὧν τῆς ἀρχῆς παναθέσμως ἐπέβησαν. ταῦτα ὡς εἰς ἀκοὴν ἐλήλυθε βασιλέως Ἀνδρονίκου, οὐκ ἦν ὁπωσοῦν καθεκτός, ἀλλ' ὁρῶν αὐτῷ ἐπερχόμενον ὃν πάλαι πεφόβητο φόβον (ἣν

1. προσκ. γινόμενος ὑπ. A. 2. μυρία δεινὰ καὶ ἀνόσια ἐπὶ τ. τῆς νήσου τελῶν A. καθ' ἑκάστην ἀνθρώπους ἀναιτίους ἐφόνευε καὶ ἐφαρμάκου, καὶ τιμωρίας θανασίμους ἐποίει, καὶ γυναῖκας ἄνδρας ἐχούσας ἐμίαινε, καὶ παρθένους ἔφθειρε, καὶ τοὺς πλουσίους καὶ ἐνδόξους τῆς πόλεως τῶν χρημάτων ὑστέρει. B. 9. περιβλέπτους A. 12. ἐχρῆτο A. 14. ἀθέτημα A. ἐρρίζωσαν A. 17. ἕτερον om A. 20. ἐλήλυθεν Ἀνδρονίκῳ A. 21. ἐπερχόμενον] προσελαύνοντα A.

atrocitate in hostes celebre nomen consecuti sunt. neque enim, ubi primum tyrannidis fundamenta iecisse videbatur, infinita immanitate in subditos grassari desistebat, sed et caedibus innocentum in horas polluebatur, et humana corpora lacerabat tormentis in exitium mortalium excogitatis. praeterea in stupris virginum et adulteriis homo nefarius volutabatur; et beatas dudum familias sine ullo crimine omnibus opibus spoliabat, ut indigenae paulo ante conspicui divitiis famelici et nudi oberrarent, si quibus homo iracundus ensem abstinuerat. hei, hei, cur via improborum prospera est? florent facinorosi: plantasti eos et firmasti: procrearunt liberos et fructus tulerunt, ut propheta cum domino expostulat. illa enim aetas velut aconita genuit, quae adulta non ad aliud nisi ad perimendos homines et plurimarum urbium excidium valuerunt, quarum dominatum per vim invaserant. quae cum ad Andronici aures pervenissent,

γὰρ ὑφορώμενος ἀεὶ τὸ ἰῶτα ὡς τὴν αὐτοῦ παραλῦσον ἀρχὴν) ἐζήτει τρόπον δι' οὗ ἂν συλληφθῇ Ἰσαάκιος καὶ γενηθῇ ἐξ ἀνθρώπων ὁ ἐκείνῳ προσδόκιμος ὄλεθρος· ἐδεδίει γὰρ μήπως Κυπρόθεν καταπλεύσας καθελεῖ τοῦτον τῆς ἀρχῆς, εἰδὼς ὡς ἀσμένως προσδεχθήσεται παρὰ πάντων, ἐπεὶ καὶ τὸ πόρρω κακὸν τοῦ ἐν χερσὶν ἀλυπότερον, καὶ τοῦ θλίβοντος ἄρτι κουφότερον τὸ ἐλπιζόμενον χείριστον· ἀγαπητῶς γὰρ παρακερδαίνειν ἐοίκαμεν ἄνθρωποι καὶ τὴν βραχεῖαν τοῦ ἀλγοῦντος ἄνεσιν. C

6. Μὴ ἔχων δ' ὅπως τὸν ἀπόντα ἐχθρὸν χειρώσεται, ἐπὶ τοὺς ἐγγὺς τρέπει τὸν θυμόν, ταὐτόν τι δρῶν ὃ καὶ κύνες πολλάκις ποιεῖν εἰώθασι· τοῦ γὰρ βάλλοντος ἀφιστάμενοι τοῦτον μὲν ἀμύνονται ὑλακαῖς, τῷ δ' ἀφεθέντι λίθῳ τοὺς ὀδόντας ἐγχρίπτουσιν. ἀμέλει καὶ ὑπὸ κρίσιν ἤγαγε τόν τε θεῖον Ἰσαακίου τὸν μακροδούκαν Κωνσταντῖνον, καὶ τὸν Δούκαν Ἀνδρόνικον, οἳ ξυνέθεντο μὴ ἀχρεῖον Ἀνδρονίκῳ τὰ ἐς πίστιν ὀφθῆναι τὸν Ἰσαάκιον λυθέντα καὶ πρὸς τὴν πατρίδα ἐπαναζεύξαντα. μετ' οὐ πολλὰς δ' ἡμέρας καὶ καθοσιώσεσιν οἱ ἄνδρες ὑπάγονται, καίπερ τῶν τῆς μερίδος ὄντες Ἀνδρονίκου οἱ μέγ' ἔξοχοι πάντων καὶ τῆς ἑταιρίας οἱ κράτιστοι, εἴγε ὁ μὲν Μακροδούκας, ἐκτὸς τῶν ἄλλων φιλοφροσυνῶν αἷς ἐπιμελῶς Ἀνδρόνικον ἐθεράπευε, καὶ ἀδελφῇ τῆς Θεοδώρας κατὰ συνάφειαν συνήρχετο γαμικήν, ἣν ὁ λό- D

1. τὴν αὐτοῦ] τῆς ἀρχῆς αὐτὸν παραλῦσον A. ἦν γὰρ χρησμοδοτημένον ὡς τὸ ἰῶτα τὴν αὐτοῦ καταλύσει βασιλείαν B. 4. ἀρχῆς] τυραννίδος A. 7. καὶ χείριστον ὂν A. 11. ἔγγιστα A. 15. Ἰσ.] ἐκείνου A. 19. οἱ ἄνδρες] οὗτοι A.

nullo cohiberi modo potuit: sed quia id praesto esse videbat quod olim formidarat (semper enim litteram I ut imperii sui eversionem suspectam habuerat), principio quaerebat qua ratione comprehendi posset Isaacius, et tolli e medio is a quo exitium immineret. verebatur enim ne Cypro advectus et alacriter susceptus ab omnibus se principatu deturbaret. remota enim mala minus molesta sunt quam propinqua; et quod expectatur, etsi pessimum fuerit, levius eo ducitur quod urget in praesentia. id enim est mortalium ingenium, ut exiguum doloris levamen in lucro deputemus.

6. Sed cum hostem absentem in potestatem suam redigere non posset, ira in eius propinquos conversa, canes imitatus qui hominem allatrare contenti lapidem ab eo coniectum mordicus arripiunt, Macroducam Constantinum et Ducam Andronicum in ius vocat; qui confirmarant Isaacium, si redemptus in patriam rediret, fidelem et utilem illi operam navaturum. paucis diebus post maiestatis rei fiunt, quamvis principes factionis Andronici et summi amici eius: nam Macroducas praeter caetera offi-

[illegible] γινώσκειν ἀθεμίτως Ἀνδρόνικον· ὁ γας πλ[illegible] Ἀνδρόνικος καταπύγων ὢν καὶ γλοιὸς καὶ τὴν δὲ Δούκας [illegible] ἀναίδειαν ἐπὶ τοῦ προσώπου προβεβλημένος καὶ αὐτοῦ δὲ [illegible] ὑπὲρ Ἀνδρονίκου προμηθέστερος εἶναι
p. 189 Ἀνδρόνικος [illegible] μέν τινος ἐκπερονᾶν ὀφθαλμοὺς ἀπεφαί- ἐκλάττετο, ὁ δὲ [illegible] οὗτος Ἀνδρόνικος, ὡς εἰ διδακτὸς ἦν τοῦ [illegible]οκτόνου καὶ ταῖς τῶν μερόπων χαίροντος [illegible] καὶ χειρῶν προσεψηφίζετο στέρησιν ἢ ἀνασκολό- [illegible]ευε, βλασφημῶν ἐν πολλοῖς Ἀνδρόνικον καὶ [illegible]ως αὐτοῦ καθαπτόμενος ὡς μὴ καταλλήλους [illegible]μασι τὰς κολάσεις ἐπάγοντος. ἐπιστάσης τοίνυν [illegible]άτης καὶ εὐσήμου ἡμέρας καθ' ἣν ἡ μετὰ τοῦ [illegible]ματος εἰς οὐρανοὺς ἄνοδος τοῦ κυρίου καὶ σωτῆρος [illegible]άζεται, ἀθροισμὸς ἐκ προσκλήσεως γίνεται τῶν περὶ [illegible]λειον σχεδὸν ἁπάντων αὐλήν· καὶ ἦν διὰ τοῦτο τοῖς ἐκ [illegible] γένους καὶ ἔθνους συνδρομὴ καὶ ὁρμή, ἔνθα ὁ βασιλεὺς [illegible]ος ἐνηυλίζετο· ἦν δὲ τότε σκηνούμενος κατὰ τὸ ἔξω [illegible]ον Φιλοπάτιον. ὥσπερ δὲ παλινῳδίαν οἱ συνερχόμενοι [illegible], ἢ ἐν τῷ ἄλλην τρέχειν ἑτέραν βαδίζοντες, εἶχον τὸ [illegible]ατημα τῆς ὁδοῦ περὶ τὰ λεγόμενα τοῦ Μαγγάνη παλά- [illegible], ἃ καὶ αὐτὰ κατὰ τὸ ἐντὸς Φιλοπάτιον ᾠκοδόμηντο, [illegible]ερον δ' Ἀνδρόνικος κατηδάφισε. καὶ ἐπεὶ πολυάνθρω- [illegible] ἦν ἡ συνέλευσις, πάνυ μέντοι πολυάνθρωπος, καὶ ἀπῆν

1. ἱστόρησε A. 2. καταπύγων] ἀδιάντροπος ἦν καὶ πονηρὸς καὶ ἀπηνής, ὡς εἴπερ ἐξ ἀρχῆς τὸ φονεύειν ἀνθρώπους ἐμάνθανε B. 3. δὲ] δὴ A. 5. ἐκπερονᾶν] τυφλώνειν ὁρίζειν B. 8. ἀνασκολόπισιν] φουρκισμοὺς B. 11. τοίνυν om A. 13. κυρίου καὶ θεοῦ καὶ A. 15. σχεδὸν om A.

cia, quibus Andronicum observantissime colebat, Theodorae amicae eius sororem in matrimonio habebat; Andronicus vero Ducas, homo depygis et sordidus ac perfrictae frontis, maiori sibi curae esse Andronici salutem quam ipsi simulabat. quodsi Andronicus aliquem caecare volebat, Ducas iste, quasi ab improbo illo magistro, hoste humani generis, edoctus, etiam manus ei amputandas aut in crucem agendum esse decernebat, obiurgato saepe Andronico et inhumaniter castigato, quod in suppliciis sumendis infra delictorum atrocitatem subsisteret. igitur ad celebre festum eius diei quo memoria reditus in caelos una cum assumpto corpore domini et dei et servatoris nostri celebratur, omnes aulici, ut denuntiatum erat, convenerunt, atque omnis generis et nationis homines diversis itineribus eo contendebant ubi imperator diversabatur. erat autem tum in exteriori Philopatio. caeterum per errorem in Manganicum palatium fa-

οὐδεὶς ὃν παρεῖναι ἐχρῆν, ἐξάγονται παρὰ δόξαν τῶν συνειλεγμένων ὁ Δούκας τε καὶ ὁ Μακροδούκας ἐκ τῶν ἐκεῖ που ἐπιπέδων οἰκημάτων, καὶ πρὸς τὴν αὔλειον ὡς κατάκριτοι θριαμβεύονται. καὶ οἱ μὲν ὡς ὑπὸ δίκην ἀχθησόμενοι ἢ τὸν βασιλέα ὀψόμενοι τῶν ὑπερῴων ἐκκύπτοντα διεσκευάζοντο, ἄνω τὰ ὄμματα αἴροντες καὶ τὼ χεῖρε πρὸς τὸ τοῦ σχήματος σεμνὸν περιβάλλοντες· ὁ δὲ Ἁγιοχριστοφορίτης Στέφανος, ὃν καὶ Ἀντιχριστοφορίτην οἱ τότε ὠνόμαζον ἄνθρωποι, ἐς τὸ κατάλληλον τῶν ἔργων τὴν κλῆσιν μετάγοντες (ἦν γὰρ ὁ τῷ ὄντι ἀναιδέστατος τῶν Ἀνδρονίκου ὑπηρετῶν καὶ πάσης ἀνοσιουργίας ἀνάμεστος), λίθον ἄρας χειροπληθῆ καὶ τοῦ Μακροδούκα στοχασάμενος τοῦ καὶ προφερεστάτου κατὰ κῆδος βασιλικὸν καὶ τὸ γεραρὸν τῆς ἡλικίας καὶ τὴν τοῦ πλούτου βαθύτητα, παρῄνει πᾶσιν ὡς ἐς παράδειγμα αὐτὸν ἀφορᾶν, περιβλεπόμενος ἅπασαν τὴν ὁμήγυριν καὶ τὸν μὴ λαϊβολοῦντα ἐρεσχελῶν καὶ ὡς ἄπιστον ἐς βασιλέα κακολογῶν καὶ τὴν αὐτὴν καταδίκην μετὰ μικρὸν ὑποστῆναι μέλλοντα. ἦραν οὖν διὰ τὴν ἀπειλὴν ταύτην ὁ ἀθροισμὸς ξύμπας χερμάδια, καὶ κατέβαλον τῶν ἀνθρώπων, ἐλεεινὸν καὶ ἄπιστον μετὰ τὸ πάθος θέαμα, ὡς ἀρθῆναι τοὺς λίθους ἐς κολωνόν. ἔτι δ' ἐμπνέοντας τοὺς ἄνδρας ἀράμενοί τινες, οἷς τὰ τῆς ὑπηρεσίας ταύτης ἐπετέτραπτο, καὶ τάπησιν ἐνειλήσαντες

V. 155 / C / D

3. οἰκημάτων] διαιτήσεων A. 5. ἐκκύψοντα διηυθέτιζον ἑαυτοὺς A. 9. μετάγοντες] μεταγραμματίζοντες A. 18. χερμάδια] λίθους καὶ βώλους B. 22. τάπησιν] ἐντυλίξαντες μετὰ ἀγαπλίων A.

ctus est concursus, quod est in interiore Philopatio, post destructum ab Andronico. cum frequens esset conventus eorum omnium quos adesse decebat, Macroducas et Ducas praeter omnium opinionem ex aedibus in planitie sitis producti et in vestibulo triumphati, tanquam in iudicium abducendi, aut imperatorem e superiore coenaculo prospecturum visuri, gestu corporis ad gravitatem confirmato et manibus suppliciter compositis suspexerunt. at Stephanus Hagiochristophorites, qui tum Antichristophorites vulgo dicebatur nomine pro moribus nonnihil immutato (erat enim impudentissimus omnium Andronici ministrorum et omnium scelerum sentina), lapide quantum vola capiebat sublato, et in Macroducam destinato, qui et affinitate imperatorios et aetate et amplissimis opibus antecellebat, omnes hortabatur ut suum exemplum imitarentur, totum concilium circumspectans, et qui lapidatione abstinebat, dicteriis et conviciis incessens ut imperatori infidelem et paulo post idem supplicium subiturum. iis minis territi omnes saxa in illos coniecerunt, ut supplicio peracto (o

ἐφ' ὧν αἱ τοῖς ἡμιόνοις ἀνατιθέμεναι στρωματοθῆκαι σκέπονται, τὸν μὲν ἐς τὴν περαίαν ἢ τοῖς Ἰουδαίοις εἰς ταφὴν ἀποτέτμηται ἄγουσι, τὸν δὲ Μακροδούκαν κατὰ τὴν ἀντίπορθμον τῇ μονῇ τῶν Μαγγάνων ἀποκομίζουσι λοφώδη ἀκτήν, καὶ ἀνασκολοπίζονται ἀμφότεροι. καὶ τότε πρώτως οἱ τῆς Κων-
P. 190 σταντίνου πολῖται τεθέανται τὰ καὶ ἀκοαῖς αὐταῖς δυσπαράδεκτα, καὶ ὧν ἀφηγουμένων πρότερον ἔβυον τοὺς ἀκουστικοὺς πόρους, τηνικάδε τοῖς ὀφθαλμοῖς προκειμένων ἀπωλοφύροντο, καὶ τὸ πραχθὲν ἀναλογιζόμενοι ἀμηχανίᾳ συνείχοντο, καὶ διπλῆν ἐπὶ τοῖς γινομένοις δίκην ὑφίσταντο· καὶ τῶν ξυμφυλετῶν γὰρ ἐδάμαζον αὐτοὺς τὰ παθήματα, καὶ εἰς αὐτοὺς ὅσον οὔπω προσπελάζειν τὸν κίνδυνον φανταζόμενοι χρονιωτέραν εἶχον τὴν βάσανον τῶν ἐν μέσοις ἤδη ἐνσχεθέντων τοῖς ἀχθεινοῖς, καθ' ὅσον οἱ μὲν τῆς πονηρᾶς ἐλπίδος ὑπέληγον ἤδη τοῦ κακοῦ ἐπιστάντος ὃ πάλαι κατὰ νοῦν ἔστρεφον, τοῖς δὲ τὸ προορᾶν ἀεὶ τὸ δεινὸν καὶ τὸ οἴεσθαι τὸ μέλλον ὡς ἐφεστὼς καὶ νυκτὸς ἀφῄρει τὸν ὕπνον καὶ ἡμέρας πλέον μά-
B στιγος πάσης ἐμυώπιζε τὴν συνείδησιν. καὶ τὸ καινότατον, οὐ μόνον ταῦτ' ἔπασχον ὁπόσοι τὸ ἔνδον κριτήριον εἶχον ὑποθρᾶττον ὡς οὐκ ἀγαθὰ τῷ Ἀνδρονίκῳ εὔχονται καὶ βουλεύονται, ἀλλὰ καὶ οἷς ἐκεῖνος προσέχειτο καὶ ἀεί τινος μετεδίδου χρηστοῦ· τὸ γὰρ ἐς ἅπαν ἄπιστον ἦθος καὶ τὸ τῆς γνώμης παλίμβολον ὑφορώμενοι, ἔτι δὲ τὸ πρὸς κόλασιν

2. ἀφώρισται A. 8. τηνικαῦτα A. ὠλοφύροντο A. 18. καὶ τὸ] τὸ δὲ A. 22. γὰρ ἐμβριθὲς ἦθος A. 23. παλίμβολον] δυσμείλικτον A.

miserabile et incredibile spectaculum) lapides in tumulum exurgerent. ii vero quibus id munus datum erat, eos adhuc spirantes sublatos, et tapetibus quibus sarcinae mulorum tegi solent involutos, Ducam in Iudaeorum coemeterium, Macroducam in littus editius, quod est e regione Manganii monasterii, transvehunt, atque utrumque palis affigunt. ac tum primum Cpolitani ea cum luctu viderunt, a quorum commemoratione prius aures abhorrebant; atque id facinus reputantes, attonitis similes, quo se verterent nesciebant, duplices poenas luentes. nam et popularium calamitate movebantur; et quia idem periculum iamiam sibi quoque imminere putabant, longiore cruciatu afficiebantur quam ii qui iam in mediis tormentis erant. nam hi quidem mala timere desierant, oppressi malo, quod animus pridem augurabatur: illi vero, quia malum subinde providebant, et futura tanquam praesentia cernebant, neque noctu somnum capere nec interdiu quietis animis esse poterant, conscientiae quasi flagellis excruciati. neque vero ii solum sic affecti erant, qui animi parum amici erga Andronicum sibi erant

ἑτοιμότατον δεδιττόμενοι, οὐδ᾽ οὗτοι τὸ τοῦ κινδύνου ὀξὺ σφῶν αὐτῶν ἀπετρέποντο.

Ἀλλὰ γὰρ μηδὲ τοῦτο παραδραμέτω ὁ λόγος. αἰτοῦνταί τινες Ἀνδρόνικον, οἷς μετῆν παρρησίας, τὰ τῶν κρεμασθέντων καθαιρεθῆναι σώματα. ὁ δὲ μὴ ἀηδῶς τὸν λόγον δεξάμενος ἠρώτησεν εἰ πάλαι ἀπέθανον· καὶ γνοὺς ἐκ τῶν ἀναρτησάντων κακοὺς κακῶς καταστρέψαι τὸν βίον, συμπαθείας εἶπε τοὺς ἄνδρας καταξιοῦν, καὶ ἐπεδάκρυσε τούτῳ τῷ C ῥήματι, ἰσχυροτέραν φάμενος εἶναι τῆς οἰκείας ὁρμῆς καὶ προθέσεως τὴν τῶν νόμων αὐστηρίαν καὶ αὐθεντίαν, καὶ τὴν τῶν δικαστῶν ἀπόφασιν ὑπερκεῖσθαι τῆς αὐτοῦ προαιρέσεως. ὢ δάκρυον τοῖς πάλαι μὲν καὶ ἡμῖν ἐν συνοχῇ ψυχῆς ὡς ἐκ νέφους ὄμβρος τῆς καρδίας ἐπιψεκαζόμενον! ὢ λύπης σφοδροτέρας V. 150 σύμβολον καὶ τῶν ἔνδον πιεζόντων τεκμήριον ἀναμφήριστον, ἐνίοτε δὲ καὶ ὑπὸ χαρᾶς συλλειβόμενόν τε καὶ σταλαττόμενον ὡς ἐξ ἀμάρας τῶν ὀφθαλμῶν, παρ᾽ Ἀνδρονίκῳ δὲ μὴ ταὐτὸ σθένον, ἀλλ᾽ ἑτέραν φύσιν λαχὸν καὶ τεκμαίρεσθαι παρέχον ὄλεθρον ἐν τῷ ἀμαρεύεσθαι, εἰπεῖν δὲ καὶ τὴν ὁδὸν ἐπανοῖγον τῆς ἐς Ἀχέροντα διαπλώσεως, ὅπου τὸ Στυγὸς ὕδωρ τὸ κρυερὸν ὡσεὶ καὶ φρικῶδες κἀκ μόνης ἀκοῆς ἀποτρόπαιον. ὢ πόσων ἔσβεσας κόρας, θερμότερον D προχεθέν! ὢ πόσους εἰς ᾅδου παρέσυρας πέταυρον λάβρον ἐπιρρυέν! ὢ πόσους κατέκλυσας! ὢ οἵους ἄνδρας εἰς τύμ-

1. ἕτοιμον A. 5. ὁ δὲ τῇ τῶν χειλέων περιψοφήσει τὸ παθηνάμενον ὑποφήνας A, ὡς ὁ πιλάτος ἐπὶ τοῦ θεανθρώπου χριστοῦ B. 15. συλλ. καὶ ἀποσταζόμενον A. 19. ὑπανοῖγον A. 23. κατέλυσας A.

conscii, sed quod magis mireris, ii quoque quibus favebat Andronicus et subinde aliquod bonum impertiebat.

In causa erat, quod acerbitatis implacabilitatis et saevitiae hominis gnari periculi aciem ne se quidem evitaturos metuebant. est et hoc memoratu dignum. quidam homines apud Andronicum gratiosi petebant ut suspensorum corpora tollerentur. is vero iis verbis non offensus, rogavit num pridem essent mortui. ubi ex carnificibus audivit malos male periisse, se dolere vicem illorum dixit. ac id dictum lacrimis prosecutus, adiecit legum severitatem et auctoritatem sua voluntate et proposito plus valere, et iudicum sententias suo iudicio praepollere. o lacrimae, quae et olim et a nobis in animi moerore fundebamini, ex corde tanquam imber e nubibus destillantes! o gravioris tristitiae signa, et eorum quae intus urgent argumenta certissima, quamvis aliquando etiam prae gaudio ex oculis veluti guttae exuberetis! alia vestra natura est apud Andronicum: internecionis estis praenuntiae, et in Acheronteam et Stygiam palu-

βον παρέπεμψας, εἰς τὰ ὕστατα νίπτρα παραληφθὲν ἢ ὡς χοὴ ἐπιτάφιος καὶ λοιβή τις λοίσθη ἐκκενωθέν!

Καὶ ὧδε μὲν ἐξ ἀνθρώπων ἔθετο τὸν Μακροδούκαν Κωνσταντῖνον καὶ τὸν Δούκαν Ἀνδρόνικον, κἀπὶ τοιούτοις οὗτοι Ἀνδρόνικον εἴδοσαν ἀντιμετροῦντά σφισι τῆς εὐνοίας τὰ ὀφειλήματα· μετ' οὐ πολὺ δὲ καὶ τοὺς Σεβαστειανοὺς ὁμαίμονας, δυάζοντας τὸν ἀριθμόν, ἐς τὴν ἀντιπέραν ἀναρτᾷ τοῦ πορθμοῦ ὃς κικλήσκεται Πέραμα, διὰ τὸ δῆθεν ἐπιβουλεύειν αὐτοῦ τῇ ζωῇ.

Ἀλλ' ἐν τοιούτοις μὲν καὶ παραπλησίοις ἄλλοις καὶ P. 191 *χείροσιν οὐκ ὀλίγοις ἀεὶ ἐνηυκαίρει Ἀνδρόνικος· (7) ὁ δ' ἐκ Κομνηνῶν Ἀλέξιος, ὃς ἐπὶ τοῦ κεράσματος ἐτέτακτο τῷ βασιλεῖ Μανουὴλ ἐκ τῆς αὐτοῦ φύτλης γεγενημένος (ἐκ γὰρ ἀδελφόπαιδος προελήλυθεν), ὑπερορίαν ἐς τοὺς Σκύθας Ἀνδρονίκῳ καταχριθεὶς κἀκεῖθεν φυγὰς γενόμενος, εἴποι ἄν τις ὄφις πετόμενος εἰς Σικελίαν κατέλυσε, καὶ τῷ ταύτης τυραννεύοντι Γιλιέλμῳ εἰς ὄψιν ἐλθών, καὶ ἑαυτὸν ὅστις εἴη καταφανῆ θέμενος, σὺν αὐτῷ δὲ καὶ ὁ ἐκ τῆς Φιλίππου ἐπαρχίας ὁρμώμενος Μαλεῖνος, ἀνὴρ οὐ τὸ γένος ἐπίσημος, οὐ τὴν τύχην λαμπρός, οὐ γνώριμος τὸ ἐπιτήδευμα, ὃν συνέ-*

7. *ἀναρτᾷ*] *φουρκίζει* B. 10. *ἐν τούτοις καὶ* A. 12. *ἐπὶ τοῦ κερ.*] *πιγγέρνης ἦν* B. 13. *ἐκ τ. α. φύτλ.*] *ἐκ τοῦ αὐτοῦ ἐκείνῳ κατηγμένος αἵματος* A. 14. *Σκύθας*] *κομάνους* B. 19. *μαλεῖνος ὄνομα, ἀνὴρ ἐκ γένους λαμπροῦ καὶ ἐνδόξου κατὰ τοῦ ἀνδρονίκου μανείς. καὶ ἴσως μὲν ὁ κομνηνὸς δικαίως ἐφαίνετο μαίνεσθαι, ὁ μαλεῖνος δὲ διὰ τὴν τοῦ κομνηνοῦ φιλίαν αὐτῷ ἐπακολουθῶν. κατὰ τῆς πατρίδος καὶ τῆς χώρας τῆς αὐτῶν ὥρμησαν, ἐκεῖνα* B. *ἀνὴρ — χόλον* A post 385, 4 *πραγματευόμενος*, omissis *καὶ ὠδίνων — ὁ δὲ Μαλεῖνος.*

dem vel ipso nomine detestabilem demanatis. o quam multorum pupillas vestrum profluvium extinxit! o quam multos in Orcum adegistis! o quot demersistis! o quales viros in sepulcrum coniecistis et ultimo lavacro abluistis, tanquam inferiae effusae!

Ad hunc modum Macroduca Constantino et Duca Andronico e medio sublatis, quemadmodum remunerari amicorum benevolentiam soleret Andronicus constabat. non multo post II fratres Sebastianos in altero freti littore, quod Perama dicitur, suspendit, quod scilicet vitae eius insidiati essent.

Huiusmodi atque aliis deterioribus rebus et suppliciis Andronicus subinde occupabatur. (7) At Comnenus Alexius, Manuelis imperatoris ex fratre nepos et pocillator, ab Andronico in Scythiam relegatus atque inde profugus, draconis volantis instar in Siciliam pervectus, Gilielmo insulae tyranno quis esset aperuit; atque una cum ipso ex Philippica provincia oriundus Maleinus, vir non illustri

λαβὸν ἄμφω χόλον καὶ ὤδινον ἐπὶ πλεῖστον κατ' Ἀνδρονίκου, B ὁ μὲν καὶ δικαίως ἴσως ἐπεγκαλῶν, ὁ δὲ Μαλεῖνος τῷ Κομνηνῷ χαριζόμενος καὶ δοκεῖν τις εἶναι τῶν αἰδοῦς ἀξίων παρὰ τοῖς οὐκ εἰδόσι πραγματευόμενος, τοῦτον κατὰ τῆς πατρίδος ἀπέτεκον, ἐκεῖνα μὴ πρὸς οὓς τοῦ ῥηγὸς ἀλλ' ἐπὶ πολλῶν εὐπαρακλήτως λαλήσαντες ἐν τῷ μικροῦ τῶν ἐκείνου ποδῶν τὰ πέλματα καταψᾶν καὶ κυνηδὸν ταῖς ἑαυτῶν γλώτταις περιλιχμάζειν, οὐχ ὅσοις κακῶς παθεῖν Ἀνδρόνικος ἔμελλεν, ἀλλ' οἷς ὡς ἐπὶ θήραμα πρόχειρον τὴν ἅλωσιν τῶν Ῥωμαϊκῶν χωρῶν διερεθίσειν εἶχον τὸν τῶν Σικελῶν τύραννον. ὁ δὲ τοῖς τούτων λόγοις ἀναρριπισθείς, καὶ ἄλλως ἔχων ἀναφέρειν τὰ ἐπᾳδόμενα ἐς τὸ σύμφωνόν τε καὶ ταυτοδύναμον οἷς καὶ παρὰ ταυτογενῶν ἐκείνῳ Λατίνων πολλάκις ἀκήκοε, C πάλαι μὲν ἐπὶ μισθῷ συνόντων Ῥωμαίοις καὶ τὴν αὐτοκρατορικὴν ἐκτριβόντων αὔλειον, τότε δὲ διασπαρέντων ἄλλων ἄλλοσε διὰ τὸν παρὰ σφίσιν ἀτεράμονα καὶ ἄτεγκτον Ἀνδρόνικον καὶ τὸ ἐξ αὐτοῦ ἀκηδές, τάς τε οὔσας πολεμικὰς δυνάμεις ἐς τὸ ἐπικρατὲς διατίθησι, καὶ τὸ ξενολογικὸν ἐκ πολλῶν ὁπλιτῶν ἀποκρίνας καὶ ἁδροῖς ἐπάρας μισθώμασι καὶ μείζοσι φυσήσας τοῖς ἐπαγγέλμασιν ἐς χιλιάδας τὴν ἵππον καταριθμεῖ. καὶ τὴν μὲν πεζὴν στρατιὰν ἐς Ἐπίδαμνον διαβιβάσας καὶ ταύτην αὐτοβοεὶ κατασχών, τὴν δὲ ναυτικὴν δύναμιν εὐθυπλοήσασαν σχὼν ἐς τὰ τῆς Θεσσαλονίκης ἐπί-

3. τῶν οὐκ αἰδοῦς A. 7. τὰ πέλμ.] θωπευτικῶς A. 13. παρ' ὁμογενῶν A. 15. ἐντριβόντων A. 16. τὸν παρὰ] τὸ δέος τοῦ ἀνδρονίκου A. 22. κατασχὼν] ἑλὼν A.

genere, non splendida fortuna, non rebus gestis clarus. hi quam bilem ambo contra Andronicum conceptam longo tempore parturierant, alter fortasse non sine causa, alter vero in Comneni gratiam, et ut aliquo nomine dignus videretur iis a quibus ignorabatur, eam tandem contra patriam pepererunt, illa non in aurem regis locuti sed palam, multis audientibus, fere plantas eius demulcentes et linguis suis canino more deosculantes, non quae Andronico nocitura erant sed per quae tyrannum Siculum ad Romanarum provinciarum vastationem tanquam ad paratam praedam concitarent. is vero iis verbis incitatus, eoque magis quod cum popularium suorum oratione consentirent, qui cum olim in aula Cpolitana stipendia mererent, tum Andronici metu et neglectu sui, alii alio dispersi, eadem saepe dixerant, et copias quas habebat coegit, et magnis stipendiis, maioribus promissis tam pedestrium quam equestrium auxiliorum multa millia accivit. peditatu Dyrrachium traiecto urbem primo impetu capit. navalibus copiis recta in Thessalonicensem portum delatis inter-

D νεια, τὰς ἐν τῷ μεταξὺ χώρας ὁμολογίᾳ αἱρεῖ. ὁμοῦ δὲ τῶν
στρατευμάτων κατά τε γῆν κατά τε θάλατταν τὴν λαμπρὰν
ἐν πόλεσι Θεσσαλονίκην διαλαβόντων μίτρᾳ Ἄρεος καὶ δια-
ζωσάντων, ἑάλω αὔτη πολιορκίᾳ καὶ εἴσω μεθ' ἡμέρας δέχε-
ται τὸ πολέμιον, οὔκουν διὰ τὸ τῶν ἔνδον ἀμυνομένων ἀπά-
λαμνόν τε καὶ ἀπειρόμαχον, τὴν δὲ μαλακίαν μᾶλλον τοῦ
στρατηγοῦντος Δαβὶδ τοῦ ἐκ Κομνηνῶν. οὗτος γὰρ ἐς οὐδὲν
χρήσιμος τοῖς Θεσσαλονικεῦσιν ὀφθείς, δεξιώτατος δὲ μόνον
γενόμενος ἀεὶ δεδιέναι Ἀνδρόνικον καὶ τρόπον ἐπιζητεῖν δι'
V. 157 οὗ δὴ τὰς ἀάπτους ἐκείνου χεῖρας διαφευξεῖται, δέον κῦμα
θαλάσσης ὑπελθεῖν ἢ κατὰ πετρῶν ἠλιβάτων βαλεῖν ἑαυτὸν
ἢ ὄρεσι καὶ σπηλαίοις εὑρέσθαι ἀποκρυβὴν. ἢ κατὰ προφήτην
φυγάδα κήτει θαλαττίῳ καταποθῆναι, ὁ δὲ τοιοῦτο μὲν οὐ-
δέν τι ποιεῖν ἐπεβάλετο, ἐπὶ κακῇ δὲ μοίρᾳ τὴν τῶν Θεσσα-
λονικέων χειρίζων ἀρχὴν καὶ τὴν ἀρχηγίαν ὁ καὶ γυναικῶν
P. 192 θηλύτερος καὶ τῶν ἐλάφων δειλότερος οὐκ εὐκλεῶς κληρωσά-
μενος, ἔλαθε τοὺς συλληψομένους αὐτόν τε καὶ τὴν πόλιν
Θεσσαλονίκην καὶ πόρρωθεν ὄντας μεταπεμπόμενος ἄντικρυς,
καὶ ἑαυτὸν ἐκείνοις ἐγχείριον ἑκούσιον ζώγρημα θέσθαι διὰ
παντὸς μελετῶν. οὐκοῦν καὶ τοῦ τῆς μάχης ἐνστάντος και-
ροῦ καὶ παντοίων ὅπλων καὶ μηχανῶν κινουμένων κατὰ τῆς
πόλεως θεατὴς τῶν πολεμίων μάλιστα ἦν αὐτός, οὐκ ἀντί-
παλος. οὔτε γὰρ δι' ὅλης τῆς πολιορκίας ὤφθη ἐπεκδραμών,

6. μαλακίαν] ἀνδρίαν A. τοῦ στρ.] τῆς ἐντὸς εὑρισκομένης κεφαλῆς B. 10. δὴ] περ A. 15. ὁ] ταύτης ὁ A. 16. θηλύτερος] γυναικώτερος B. 22. αὐτός om A.

iectas regiones in deditionem accepit, Thessalonicam vero illustrem urbem terra marique obsessam corona cepit, ac post dies aliquot obsidionis exercitum introduxit, eo successu non tam ob defensorum timiditatem et imperitiam rei militaris quam ob Davidis Comneni, praefecti urbis, ignaviam usus. qui cum Thessalonicensibus nihil commodaret, sed metuendo Andronico et crudelibus eius manibus cavendis ingeniosissimus esset, aut fluctus marinos subire aut de summis rupibus se praecipitem dare aut in montibus et speluncis abdere aut fugitivi illius prophetae exemplo a ceto deglutiri debuisset. verum illi horum nihil fecit, sed malo Thessalonicensium fato urbis praefecturam parum honeste adeptus, vir muliere corruptior et cervis timidior, tantum non eos a quibus et ipse et urbs caperetur longe adhuc remotos accersivit; atque in id operam ultro dedit, ut in eorum manus perveniret. nam cum pugnandum esset et omnis generis arma et machinae contra urbem expedirentur, se pro spectatore hostium, non pro bellatore gessit. nunquam certe totius

καίπερ διανιστώντων αὐτὸν οὐ μετρίως πρὸς τοῦτο οἱ τῆς πόλεως προησπίζοντο, οὔτε δράσειν οὕτως αὐτοῖς ἐνέδωκεν, ἀλλ' ἦγχε τὸ τῶν πολιτῶν πρόθυμον οἷα καὶ σκυλάκων γενναῖον ὅρμημα θηρατὴς ἀχρειότατος. τοίνυν οὐδενὶ τῶν ἁπάν- B
των ὤπτο πανοπλίαν ἀμφιασάμενος, ἀλλ' ἀπεῖχε κράνους καὶ θώρακος καὶ κνημίδων καὶ θυρεοῦ κατὰ τὰς ἐσκιατραφημένας τῶν γυναικῶν καὶ μηδὲν εἰδυίας πλέον γυναικωνίτιδος, καὶ περιῄει τὴν πόλιν ἡμιόνῳ ἔποχος μετ' ἀναξυρίδος συνεπτυγμένης ὀπισθίῳ δεσμεύματι καὶ πεδίλων κομψῶν ἐστιγμένων χρυσῷ, ἐς αὐτὸν ἀπολῃγόντων ἀστράγαλον. τῶν δὲ μηχανημάτων τὰ τείχη τυπτόντων καὶ βαλλόντων τοὺς λίθους ἔραζε, αὐτὸς εἰς γέλωτα εἶχε τὰ τῶν ἀφιεμένων πετρῶν ῥοιζήματα καὶ τὰ τοῦ περιβόλου ἐν τῷ πλήττεσθαι μυκήματα· κἂν τῷ ἐρείπεσθαι ῥήγματα „ἐνωτίζεσθε γοῦν" ἔφασκε τοῖς ἐκείνῳ συνοῦσι φαύλοις ἀνδραρίοις, ὑπὸ ἁψῖδα ἰσχυρὰν τοῦ τείχους παραβυόμενος, „τὰ τῆς γραίας μυκήματα," ὁ τιθηνοῦ εἰσέτι C
δεόμενος· ἐκάλει δ' οὕτω τὴν μεγίστην τῶν ἑλεπόλεων, ὑφ' ἧς ἠχρειοῦτο τὸ τεῖχος τῆς πόλεως, τῶν λίθων ἐκπηδώντων τῆς ἁρμογῆς. τοιοῦτον τοίνυν προδότην ἡ Θεσσαλονικέων τότε κληρωσαμένη φύλακα δυστυχῶς, καὶ κυβερνήτην λαχοῦσα τὸν καταποντιστὴν καὶ ἰατῆρα τὸν φαρμακέα, ἐπ' ὀλίγον ἀντισχοῦσα τοῖς ἐχθροῖς ὑπέκυψε.

7. περιῄει] περιήρχετο τὴν πόλιν μετὰ σκιαδίου χρυσοῦ καὶ ῥούχων λαμπρῶν ἐστολισμένος ὡς ἂν αἱ γυναῖκες, καβαλλικεύων καὶ μούλαν καὶ φορῶν μακριμάνικα ὄπισθεν ἔχων δεδεμένα τὰ μανίκια αὐτοῦ, ὑποδεδεμένος καὶ ὑποδήματα χρυσοχλαβαρικὰ μέχρι τῶν ἀστραγάλων αὐτοῦ B. 13. τοῦ περ.] τῶν περιβόλων A. 16. μυκήματα] βοήματα A, μουγγρίσματα B.

obsidionis tempore ullam eruptionem fecit, quamvis non paucis, qui in praesidio erant, exhortantibus. neque id ipsos facere passus est, sed civium alacritatem, ut ignavus venator canum impetum cunctando suffocavit. neque armatum quisquam eum aut galeatum vidit: sed galeam thoracem ocreas ita vitavit ut delicata muliercula, quae praeter umbram conclavis sui nihil novit. mulo quidem per urbem vehebatur cum pallio, quod a tergo nodus astringebat, et elegantibus calceolis auro usque ad talos interpunctis. cum autem machinae muros quaterent et saxa humi deciderent, excussorum saxorum bombos et moenium cum ferirentur mugitum et ruinas ridebat, et familiaribus suis nequam hominibus sub tuta crepidine muri stans „audite" inquit „aniculae mugitum." sic autem machinam maximam vocabat, qua saxa compage sua elidebantur, homo ipse adhuc nutricis egens. igitur Thessalonica talem proditorem pro duce, piratam pro gubernatore, veneficum pro medico sortita hostibus non diu restitit.

Τὰ δ' ἐπὶ τούτοις γεγενημένα ἄλλη τίς ἐστι κακῶν Ἰλιάς, καὶ τραγικὰς ὑπερβαίνουσα συμφοράς· ἅπας γὰρ οἶκος τῶν ἐνόντων ἠρήμωτο, οὐδ' ἦν οἰκία τις σώζουσα, οὐ στενωπὸς τῶν ἀναιρούντων λυτρούμενος, οὐ κατάδυσις ἐπὶ πολὺ ἀποκρύ-
D πτουσα. ἀλλ' οὐδὲ σχῆμα ἠλεεῖτο ἐλεεινόν, οὐδ' ἐδυσωπεῖτο δυσώπησις, ἀλλὰ διὰ πάντων ἐχώρει τὸ ξίφος, καὶ θυμοῦ λῆξις ἦν ἡ ἀπάγουσα τοῦ βίου πληγή. κενὴ δὲ καὶ ἡ κατὰ τοὺς ἱεροὺς νεὼς συνδρομὴ τῶν πολλῶν ἐδείκνυτο, καὶ ματαία ἡ ἐπὶ ταῖς εἰκασίαις ταῖς θείαις πεποίθησις. οἱ γὰρ βάρβαροι καὶ θεῖα καὶ ἀνθρώπινα συγχέοντες πράγματα τιμᾶν οὐκ ᾔδεσαν τὰ θεοῦ, οὔτ' ἀσυλίαν παρεῖχον τοῖς εἰς τὰ τεμένη προστρέχουσιν· ἀλλ' ὃ ἦν ἐπὶ τοῖς κοινοῖς δόμοις κατάντημα, τὸ μαχαίρᾳ δηλονότι παραυτίκα πεσεῖν ἤγουν τῆς οὐσίας ἁπάσης ψιλωθέντα τινὰ διαφεθῆναι, ὃ παρὰ τοῖς πορθηταῖς ἐς μεγίστην εὐποιίαν συνελογίζετο, τοῦτο καὶ οἱ ἐν τῷ νεῷ καταφεύγοντες πέρας εὕρισκον, ἵνα μὴ προσθείην καί τι βαρυσυμφορώτερον ἕτερον, τὸ ἐκθλίβειν ἐκεῖσε κακῶς τὴν ψυχὴν τῇ τῶν μυριάδων συνδρομῇ τε καὶ συμπιλήσει, αἳ τοὺς θείους δόμους εἰσέδυσαν· κἂν τοῖς ἱεροῖς γὰρ μεθ' ὅπλων ἐπεισπηδῶντες οἱ ἐναντίοι τὸν ἐν ποσὶν ἀνῄρουν ἀεί,
P. 193 καὶ ὡς θύματα τοὺς καταλαμβανομένους ἀνηλεῶς ἐκεραΐζον. πῶς δὲ ἀνθρώπων ἤμελλον φείδεσθαι οἱ τοῖς θείοις ἐμπαροινοῦντες καὶ μηδ' ὅλως θεοῦ ἐμπαζόμενοι; ἀλλ' οὐ τοσοῦ-

9. ἐπὶ ταῖς θείαις εἰκόσι A. 14. πορθ.] μεγίστη εὐποιία λελόγιστο A. 15. ἐν τῷ νεῷ] ἐν τοῖς ἱεροῖς καταφ. οἴκοις A. 19. ἱεροῖς] σηκοῖς A.

Deditionem ingens malorum pelagus est consecutum. omnes aedes sunt desertae, nulla fuit domus quae servaret, nullus angiportus ab homicidis defendebat; nulla caverna erat quae diu celaret: nullae preces, nulli gestus miserabiles misericordiam impetrabant; grassatur ubique ferrum; ira non nisi letali ictu lenitur; frustra vulgus in templum concurrit, frustra sacris imaginibus fidit. nam barbari divinis humanisque rebus confusis nulla religione movebantur, neque in sacras aedes confugientibus parcebant. illud saltem proficiebant miseri, ut aut statim gladio caderent aut bonis omnibus ereptis dimitterentur; quod vastatores illi summum beneficium iudicabant. idem exitus manebat eos qui in fana se conferebant. et accedebat malum gravius, quod infinitae multitudinis concursu multi et ex compressione exanimabantur; et ab hostibus in sacra irruentibus trucidabantur, et obvii quique pro hostiis crudeliter mactabantur. et qui pepercissent hominibus qui divinis rebus insultabant et deum plane contemnebant? neque vero tam illud erat novum, quod sacra

τον καινὸν εἰ τὰ τῷ θεῷ ἀνατεθειμένα ἱεροσύλουν καὶ χερσὶ
βεβήλοις καὶ ὀφθαλμοῖς κυνείοις ἥπτοντο τῶν ἀψαύστων καὶ V. 158
τοῖς μὴ θεατοῖς ἐνητένιζον, ὅσον δὴ ἀνόσιον εἰ τὰς παναγεῖς
Χριστοῦ εἰκόνας καὶ τῶν αὐτοῦ θεραπόντων ἠδάφιζον, καὶ
τούτων κατεπεμβαίνοντες, εἴ τις μὲν κόσμος ἐξ ὕλης προσῆν
τιμαλφοῦς, τοῦτον ἀφῄρουν ἐκσπῶντες ὡς ἔτυχεν, αὐτὰς δ'
εἰς τὰς τριόδους ἐξέφερον τοῖς παροδεύουσιν ἐσομένας εἰς κα-
ταπάτημα, ἢ τῷ τῆς διαίτης πυρὶ παρεδίδοσαν. ἀνοσιώτα-
τον δὲ μάλιστα καὶ ὠσὶ δυσήκουστον τῶν πιστῶν, εἴ τινες B
ἦσαν οἵ τῆς θυωροῦ καὶ ἀγγέλοις αὐτοῖς αἰδεσίμου ἄνωθεν
ἀνιόντες τραπέζης ἐπ' αὐτῆς ὠρχοῦντο μεταφερόμενοι ἀσχη-
μόνως, καί τινα βάρβαρα ἀπηχέστατα ᾀσμάτια πάτρια ἔψαλ-
λον, εἶτα τὴν αἰδῶ ἀνακαλύψαντες καὶ τὸν ποδεῶνα τοῦ τῆς
κοιλίας ἀσκοῦ ῥέειν ἀνέντες ἐνούρουν κύκλῳ κατὰ τὸ ἅγιον
ἔδαφος, περιρραντήρια ταῦτα τελοῦντες δαίμοσι καὶ λουτρὰ
θερμὰ τοῖς ἀλάστορσι σχεδιάζοντες, οἷς οὗτοι μετὰ κάματον
διανήχονται, ὃν διήνεγκαν ἀνθρώποις συμφορὰς μηχανώμε-
νοι καὶ δεινὰ διαθλοῦντες ἀνήκεστα. ἐπεὶ δέ ποτε τὰ δεινὰ
δόξαν τοῦ λῆξαι εἴληφε καὶ εἰς ἀνοχὴν ἀπεῖδεν ὁ πόλεμος,
μέσον ὀφθέντων οἵπερ εἰς ἀρχηγοὺς τῶν Σικελῶν ὑπερανε- C
στήκεσαν, καὶ τὴν τῶν πολλῶν ἐπισχόντων ὁρμὴν εἰς ἀναί-
ρεσιν, ὧν ἅτερος ἔφιππος σιδήρῳ κατάφρακτος τὸν τοῦ μυ-

9. δυσάκουστον A. 10. αἰδεσίμου] δυσθεάτου cod. Wolf. 11. ὠρχοῦντο καὶ ἐτραγώδουν B. 12. βαρβαρικὰ ἀπηχῆ A. 13. τὴν αἰδῶ] ἀνασηκώσαντες τὰ ῥοῦχα αὐτῶν κατούρουν κύκλοθεν τῆς ἁγίας τραπέζης B. 17. μηχανώμενοι] ἐπιφέροντες A. 20. μέσον γὰρ ὀφθέντες οἱ τῶν σικελῶν στρατηγοὶ τὴν τῶν π. ἐπέσχον A.

donaria rapiebant et profanis manibus non tangenda contrectabant ac caninis oculis ea intuebantur quae aspicienda non sunt, quam hoc nefarium, quod sacrosanctas Christi et famulorum eius imagines terrae allidebant, et pedibus insistentes, si quid ornatus ex materia pretiosa inerat, eo utcunque direpto ipsas in trivia efferebant, ut a praetereuntibus conculcarentur, aut ad cibum coquendum foco apponebant. illud autem maxime nefarium est et piorum auribus detestabile, quod in sacra et ipsis angelis venerabili mensa indecore saltabant et barbarica quaedam cantica psallebant. deinde pudendis apertis sacrum pavimentum in orbem permingebant, aspersione illa et calidis balneis noxiis daemonibus utique gratificantes, ut in iis fatigati cladibus hominum innatarent. sed cum tandem malorum finis instare et pugna quietura videretur, Siculi duces intervenerunt et turbae in caedes ruentis impetum represserunt; quorum unus ca-

ῥοβλύτου μάρτυρος εἰσελθὼν νεών, καὶ τοὺς μὲν τῷ πλατεῖ παίων τοῦ ξίφους τοὺς δὲ καὶ εἰς ἀληθὲς τραῦμα πλήττων ἴσχυσε μόλις τὴν τοῦ κακοῦ στῆσαι φοράν, (8) οὐδ' οὕτω τὰ ἑξῆς ὡς ἐν κακοῖς μέτρια Θεσσαλονικεῦσιν ἐφάνησαν, ἀλλὰ τὸ μὲν ἐς ᾅδου κατάγεσθαι τοὺς πολιορκηθέντας ἡ μετὰ τὴν ἅλωσιν εὐθὺς ἡμέρα κατέπαυσε, τὰ δ' ἐπισυμβαίνοντα ἄλλως ὀδυνηρὰ πρὸς τὸ αὐτὸ τῆς ζωῆς τέρμα μυριαχῶς τοὺς τλήμονας κατηνάγκαζον καὶ βέλτιον τὸ θανεῖν ἐποίουν ὑπὲρ τὸ ζῆν, ὥστε τὸ τοῦ τλησιπόνου Ἰὼβ εἰπεῖν, πολλοὶ δεόμενοι D τελευτῆς οὐκ ἐτύγχανον. καὶ πᾶς μὲν γὰρ ἕτερος πολέμῳ τὸ ἀντίπαλον χειρωσάμενος κακῶς αὐτῷ κέχρηται καὶ ἀνελεημόνως προσφέρεται, καὶ ὅσα ἡ ἐκ τῆς νίκης ὑπεροψία ὑποτίθησι διαπράττεται· Λατῖνος δὲ πορθήσας τὸ ἀντιπῖπτον καὶ ὑποχείριον ἐργασάμενος ἀνύποιστόν ἐστι μάλιστα κακὸν καὶ λόγῳ ἀπεριήγητον· εἰ δὲ καὶ Ῥωμαῖος εἴη ὁ συλληφθείς, καὶ οὗτος καθαρεύων γλώττης Ἰταλιώτιδος, καὶ τοσοῦτον τοῦ ἑτεροφύλου ἔθνους ἀποξενούμενος ὡς μηδὲ κατὰ τὴν σωματικὴν περιβολὴν βραχύ τι γοῦν Λατίνοις ἐπικοινωνεῖν, εἴη ἂν οὗτος ἐστυγημένος θεῷ καὶ τῆς ὀργῆς κυρίου ἀμιγῆ κατακριθεὶς πιεῖν τὴν κύλικα καὶ τὸ ποτήριον ἀκέραστον προσενέγκασθαι. ποία γὰρ θανατηφόρος ἔχιδνα ἢ πτερνοφύλαξ ὄφις ὀλέθριος ἢ ταυροφόντης λέων, τὰ τῶν βρωμάτων ἕωλα παP. 194 ρορῶν, θερμῆς δ' ἔτι τῆς θήρας ἐμφορούμενος, οὕτως ἂν ἐλυμήνατο ὡς ἀπανθρωπία Λατίνη ζωγρήσασα; οὐκ ἐπικλᾶ-

4. ὡς ἐν κακοῖς om A. 8. κατηνάγκαζον] κατήπειγον A. 13. Λατῖνος] φράγγος B. 16. καθαρεύων] μὴ γινώσκων γλῶτταν λατινικὴν B. 17. σωμ. περιβολὴν] φορεσίαν B.

taphractus, equo insidens, Theodori martyris, e cuius sepulcro unguentum ebullit, templum ingreditur, et alios obliquo ense verberando alios vulnerando vix militum intemperias cohibere potuit. (8) Verum ne sic quidem tolerabilis fuit Thessalonicensium conditio. etsi enim postridie expugnatae urbis a caedibus civium temperatum est, tantae tamen grassationes in superstites fuerunt, mille modis ad eundem vitae exitum tendentibus, ut cum mortuis bene actum videretur, et ut apud Iobum tolerantissimum est, multi frustra mortem exoptarent. nam etsi alii fere omnes in bello victos hostes, ut victoriae superbia dictat, saeviunt, Latinus tamen superatis adversariis intolerabile malum est et verbis inenarrabile. quodsi Romanus sit comprehensus, et is Latinae linguae rudis, et a peregrinitate ita abhorrens ut in vestitu nihil cum eis commune habeat, is vero deo invisus habetur et quovis supplicio dignus. quae vipera, quis leo, praeda vetere omissa et calidum adhuc venatum devorans, ita sae-

ται λιταῖς, οὐ θηλύνεται δάκρυσιν, οὐχ αἱμύλοις ἱλαρύνεται φθέγμασι. κἂν ᾄσῃ τις χάριεν, κλαγγὴ τούτῳ ἰκτίνων ἢ κρωγμὸς κορώνης λογίζεται. εἰ δ' οὕτως εἴη θελκτήριον ὡς καὶ πέτρας αἱρεῖν, ὁποῖα τὰ Ὀρφαϊκὰ κρούματα, εἰς κενὸν μὲν καὶ οὗτος ὁ φορμίζων ἐψάλαξε καὶ μάτην ἀείδειν ἀνεβάλετο λιγυρόν· εἰ δέ που καὶ ἁλοίη τῇ ἀοιδῇ ὁ βάρβαρος, ἀλλ' εἰς κύκνειον ᾆσμα τελευταῖόν τε καὶ φιλότιμον ἡ ἀμείλικτος τοῦτο ψυχὴ συλλογίζεται αὖ πάλιν κατεργαζομένη θάνατον, καὶ μένουσα πάλιν ὡς πρότερον ἄθελκτος ἢ ὥσπερ ἄκμων ἀνήλατος, πρὸς πᾶσαν ἱκετείαν ἀνένδοτος. μόνῳ οἱ τοῦ γένους τούτου τῷ θυμῷ χαρίζεσθαι ἴσασι, καὶ οἷς οὗτος B ἐπιτάσσει ὀργίλως ὑπενδιδόναι πεφύκασι. τί δ' ἂν κακὸν εἴη παρεικὼς ἀτέλεστον ἀνὴρ μισορώμαιος καὶ τοσαύτην ἀποθησαυρίσας ἐν ἑαυτῷ καθ' Ἕλληνος ἀνδρὸς ἀπέχθειαν, ὁποίαν οὐδ' ὄφις αὐτὸς ὁ ἀρχαῖος τοῦ ἀνθρωπείου γένους ἐπίβουλος V. 159 συνειληφὼς πάλαι ἀπέτεχεν; ἐπεὶ καὶ παραδείσῳ μὲν ἄντικρυς παρὰ τοῖς καταρατοτάτοις Λατίνοις εἰκάζεται ἣν ἡμεῖς ἐλάχομεν οἰκεῖν καὶ ἀποκαρπεύεσθαι, καὶ δυσέρωτες ὄντες τῶν παρ' ἡμῖν ἀγαθῶν κακογνωμονοῦσιν ἀεὶ περὶ τὸ ἡμέτερον γένος, καὶ κακῶν εἰσὶ τέκτονες διὰ παντός. κἂν φιλεῖν πλάττωνται, τὸν καιρὸν ὑποδυόμενοι, μισοῦσιν ὡς ἔχθιστοι· κἂν C ὁ λόγος αὐτοῖς εὐπροσήγορος καὶ ὑπὲρ ἔλαιον ῥέων ἀψοφητὶ ἁπαλύνηται, ἀλλὰ βολίδες εἰσὶ καὶ οὕτως αὐτοί, καὶ μαχαίρας ἀμφιστόμου τομώτεροι. οὕτω μέσον ἡμῶν καὶ αὐτῶν χάσμα διαφορᾶς ἐστήρικται μέγιστον, καὶ ταῖς γνώμαις ἀσυν-

2. τοῦτο A. 5. οὗτος A. 10. ἱκεσίαν A. 15. ἀνθρωπίνου A.

vit ut Latina immanitas in captivos? non flectitur precibus, non mollitur lacrimis, non blandis lenitur verbis; quamvis suavis cantus, strepitus anserum aut clangor milviorum habebitur. si Orpheum cithara, cygnos moribundos cantus dulcedine superes, nihil profeceris. et ut paulisper barbarica feritas mulceatur, mox tamen ad ingenium redit, in caedes ruit, nec supplicum vocibus plus movetur quam incus ictu malleorum. ea gens tantum iracundiae indulgere novit et imperatis eius obtemperare. quid vero malorum praetermittat homo Romanis infestus, eorumque inveterato odio ita flagrans ut nec vetus ille serpens, humani generis insidiator, unquam tantum virus acerbitatis in terras evomuerit? nam execrabiles Latini provincias nostras Paradiso comparant, nostrorumque bonorum desiderio genti nostrae perpetuo sunt infesti, et subinde mala machinantur; quae si quando temporibus adducti amicitiam simulant, tamen acerrimas

αφεῖς ἐσμέν, καὶ κατὰ διάμετρον ἀφεστήκαμεν, εἰ καὶ σώμασι συναπτόμεθα καὶ τὴν αὐτὴν πολλάκις εἰλήχειμεν οἴκησιν. ὅθεν καὶ αὐτοὶ μὲν ὑψαυχενοῦντες τὰ πολλά, καὶ τὸ τοῦ σχήματος ὑπερηφάνως ὑποκρινόμενοι ὄρθιον, ὡς πτέρναν φιλοῦσι τηρεῖν καὶ περιεργάζεσθαι τὸ λεῖον τοῦ ἤθους ἡμῶν καὶ ὑποκαταβαῖνον χαμαὶ διὰ τὸ τοῦ φρονήματος μέτριον. ἡμεῖς δὲ τὸ ἐκείνων ὑπέροφρυ καὶ τὸ κομπηρὸν καὶ σεμνὸν D καὶ τὴν κόρυζαν οἷά τινα κεφαλὴν ἄνω ὑποβλεπόμενοι τείνουσαν, ἐπ' αὐτῆς τὴν πορείαν τιθέμεθα φλῶντες ἐς δεῦρο τῇ δυνάμει Χριστοῦ τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων ἐξουσίαν βραβεύοντος καὶ τὸ μηδὲν ἐντεῦθεν παθεῖν ἢ καὶ ἠδικῆσθαι παρέχοντος.

Καὶ οὕτω μέν, ἵνα καθ' εἱρμὸν αὖθις προΐῃ τὸ λέγειν, ὁ Σικελικὸς στρατὸς τῆς πόλεως Θεσσαλονίκης ἔνδον γενόμενος ὅσα καὶ οἷα μὴ θεῷ φίλα τετέλεκε, κατὰ τὴν ἕκτην ἡμέραν τοῦ Αὐγούστου μηνός, τῆς τρίτης ἐπινεμήσεως, τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἐνενηκοστοῦ καὶ τρίτου ἔτους τῆς τειχομαχίας ἀρξάμενος, καὶ συμπεράνας ταύτην ἀβλαβῶς ἑαυτῷ πάντῃ κατὰ τὴν πέμπτην καὶ δεκάτην τοῦ αὐτοῦ μηνός. οὐ μόνον τοίνυν, ὡς ἐλέγομεν, τοῦ πολέμου ἐνισταμένου τὰ τῶν ὅλων πεπόνθασιν οἱ Θεσσαλονικεῖς χείριστα, ἀλλὰ καὶ τούτου λήξαντος οὐκ ἔρρεψεν ἡ τύχη πρὸς τὸ φιλάνθρωπον, οὐδ' ἐνεῖδον αὐτοῖς οἱ αἰχμαλωτεύσαντες ἥμερον

2. εἰλήχειμεν] κληρούμεθα Α. 3. τὰ] ὡς τὰ Α. 4. ὑπερηφάνως] ἐξ ὑπερηφανίας Α. 11. ἢ γοῦν Α, ἢ μόνον τὸ P. an εἰ καὶ?

inimicitias clam alunt. si blandis verbis et oleo mollioribus utuntur, iacula et ancipites gladii in iis delitescunt. tanto discordiae vallo invicem dirempti sumus, nec ullo modo animi coniungentur, etsi corporibus coniuncti in iisdem aedibus habitemus. illi plerumque erecta cervice elatoque vultu incedentes morum nostrorum levitatem et ex modestia humilitatem cavillari et dispicere solent. nos vero eorum supercilium iactantiam fastum insolentiam Christo auspice conculcamus, qui potestatem dat super serpentes et scorpios citra noxam ambulandi.

Verum ut ad historiae ordinem redeamus, Siculus exercitus, Thessalonica potitus, hoc modo grassatus est sine ullo respectu dei. urbem oppugnare coepit sexto die mensis Augusti, indictione tertia, anno sexies millesimo sexcentesimo nonagesimo tertio; eamque cepit sine ullo suo detrimento eiusdem mensis die XV. neque vero durante bello duntaxat Thessalonicenses gravissime sunt afflicti, sed nec eo finito fortunam aequiorem habuerunt aut victores clementio-

οὐ γὰρ οἰκιῶν μόνον τοὺς δεσπότας ἐξήλασαν καὶ τῶν κειμηλιουμένων ἐντὸς ἀπεστέρησαν αὐτοὶ ταῦτα ἰδιωσάμενοι, P. 195 ἀλλὰ καὶ τὰ ἱμάτια προσαφείλοντο, μηδὲ τῶν ἐσχάτων ὑποδυτῶν ἀποσχόμενοι τῶν κρυπτόντων ἃ ἡ φύσις ὡς ἀσχήμονα καλύπτειν ἐπέταξε, μήτε μὴν τρύφους τοῖς δεσπόταις μεταδιδόντες ὧν αὐτοί περ εἰς τοὺς κόπους εἰσεληλύθεσαν, ἀλλ' οἴκοι μὲν οἱ ἀλλότριοι καθήμενοι κατεσπάθων τὰ ἐνόντα καὶ ὁσημέραι ἐκώμαζον, τοὺς δὲ συγκεκομικότας εἰς τὰς σιπύας εἴων ἐπὶ τῶν τριόδων πλάζεσθαι νήστιδας χαμαιεύνας γυμνόποδας καὶ ἀχίτωνας, ὡς κλίνην μὲν ἔχειν τοὺς πρότερον εὐπαρύφους τὸ δάπεδον, στέγην τὸν οὐρανόν, τὴν δὲ κοπρίαν θαλπωρὸν δέμνιον. ὃ δὲ χεῖρον τῶν ἀφηγουμένων καὶ ἕως B αὐτῆς δάκνον ψυχῆς, οὐκ ἐξῆν τοῖς πρώην δεσπόταις παρεισιέναι τὸν οἶκον αὐτῶν, ἀλλ' εἴ τις τοῦτο εἰργάσατό ποτε ἢ μόνον προύκυψεν ἔνδοθι, αὐτίκα ὡς ὑπὸ Σκύλλης ἀρχαίου κακοῦ τῶν ἐντὸς αὐτῆς ἀνηρπάζετο, καὶ καθιστάμενος εἰς λόγους καὶ πολλάκις τὸ αἴτιον διερωτώμενος τοῦ ἐκεῖσε παραβαλεῖν ἢ ὄμμα τοῖς ἔσω βαλεῖν ἢ τὸν οὐδὸν τῆς αὐλείου πατῆσαι πολλὰς ἐδαίρετο, καὶ χρήματα παρέχειν κατηναγκάζετο, ἃ ἐκεῖσέ που ὑπωπτεύετο κατακρύψαι καὶ οἷς τὴν καρδίαν δῆθεν ἐκχέων καὶ οἷον σύμβεβυσμένην αὐχῶν περιπαπταίνειν προήχθη τὸ οἴκημα, δεδιὼς μὴ σεσύληνται καὶ σπεύδων μαθεῖν εἰ οὐχ ἔλαθε τὸ μέρος τῆς οἰκίας τοὺς πολεμίους καθ' C

3. ἀλλ' οὐδὲ ὑποκάμισον ἀφῆκαν αὐτοὺς φορεῖν B. 5. τρυφάς A, κόμμα ἄρτου B. 8. σηπυίας A. 10. ὡς] καὶ A. 13. δεσπόταις] αὐθένταις B. 14. αὐτοῖς A. 16. ἀφηρπάζετο A.

res sunt experti; qui non contenti expulsis dominis aedes et omnia quae in iis erant sibi vendicare, etiam vestes eis rapuerunt, ne interulis quidem relictis, quibus ea tegerentur quae natura tegi voluit; nec frustum panis dominis impertiebant, quorum bona occuparant. sed barbari sedentes in aedibus comessabantur, et per luxum ea absumebant quae possessores veteres magnis laboribus comportarant; ac tum in triviis ieiuni et nudi oberrabant, qui dudum lautis vestibus induti fuerant. lectum habebant terram, tegumen caelum, fimeta pro stragulis. et quod haec omnia superat, et ad ipsum usque cor penetrat, non licebat prioribus dominis aedes ingredi. quod si quis fecerat aut saltem introspexerat, statim inclementer in eam pertrahebatur, et subinde causam rogabatur cur eo ingressus esset aut introspexisset aut limen atrii calcasset. ac multis plagis acceptis pecuniam dare cogebatur, quam illic occultasse putabatur, eaque de causa perlustrasse domum, metuens ne sublata, aut ea parte aedium

ὃ ταῦτα ἐγκέκρυπται, ἐπιμελέστερον περὶ τὴν αὐτῶν διατεθέντας ἀνεύρεσιν ἢ αὐτὸς ἀσφαλέστερον ὡς εἴησαν ἀφανῆ. καὶ διδοὺς οὖν τις πολλάκις ὅπερ συνέστειλε τὴν ἐκ τοῦ δώματος αὐτοῦ προορώμενος ἄπαρσιν, οὐδ' οὕτως ἠλλοτριοῦτο τῶν μαστιγώσεων, ἀλλὰ πλείους αὐτῷ ἐνετείνοντο αἱ πληγαὶ καὶ πολυειδέστεραι αἱ βάσανοι ἐπήγοντο, ἵνα καὶ πλείω τὰ ἀποθησαυρισθέντα ἐκφήνειε. καὶ μὴ παρέχων δέ τις ἕτε-

V. 160 ρος, ἀλλὰ πένεσθαι καὶ νῦν ὡς πρώην διατεινόμενος, καὶ φάσκων ὡς πόθος πατρῴου οἰκήματος ἢ πολλαῖς ὑπ' αὐτοῦ δαπάναις ἀνεγερθέντος παρενεγκὼν τῆς προκειμένης ὁδοῦ καὶ ἄκοντα ἐπεσπάσατο, θεατὴν ἅμα καὶ θρηνητὴν τοῦ οἰκείου

D ποτὲ κτήματος ἀναδείξας, οὐδ' οὕτως εἶχε τὸν ἐλεοῦντά τε καὶ λυτρούμενον, ἀλλὰ στρεβλούμενοί τε καὶ αἰκιζόμενοι, κἀκ τοῦ ποδὸς ἀπαιωρούμενοι καὶ ἀχυρμιᾷ κάτωθεν ὑποβεβλημένοι καὶ ἀναπτομένῳ πυρὶ καπνιζόμενοι, τό τε στόμα μινθούμενοι καὶ τὰς πλευρὰς κεντούμενοι βέλεσι καὶ μυρίας ἄλλας κολάσεις ὑφιστάμενοι, ἢ ἐν τῷ ταῦτα πάσχειν ἐξέρρησσον τὴν ψυχήν, ἢ ἡμιθνῆτες ἑλκόμενοι τοῦ ποδὸς ὥσπερ τι τῆς οἰκίας ἐξεφέροντο ἀποβάρωμα, κἀν ταῖς πλατείαις προὔκειντο αἴθριοι.

9. *Τί δέ;* ἀλλὰ τοιούτοις μὲν φιλοφρονήμασιν ἐδεξιοῦντο τοὺς πάλαι τῶν δόμων κυρίους οἱ Σικελοὶ καὶ ἐθεράπευον τοὺς δὲ λοιπούς, ὅσοι τὰς αὐτῶν οἰκίας παρέτρεχον ὅσα καὶ

12. ἀναδ.] γενησόμενον A. 13. στρεβλούμενός τε καὶ αἰκιζόμενος A, ceteris quoque ad προὔκειτο αἴθριος nominativis et verbis singulariter elatis. 14. κάτ. ὑποβληθέντος πυρὸς καπν. A. 21. τοιαύταις φιλοφροσύναις A. 22. δόμων] δεσποτῶν B.

in qua lateret accuratius perquisita, ab hostibus inventa esset, aut ipse diligentius eam occultare vellet. saepe autem factum est ut qui id dederat quod provisa migratione sua abdiderat, nihilo minus flagris caederetur et gravioribus tormentis cruciaretur, ut plura recondita indicaret. alius qui nihil dabat, sed se, ut nunc, ita prius etiam fuisse pauperem, patriaeque domus aut magnis suis sumptibus extructae desiderio a proposita via vel invitum abstractum esse affirmabat, ut suas possessiones simul et spectaret et deploraret, ne is quidem misericordiam inveniebat; sed in cruciatum abreptus et pede suspensus subiectis paleis incensis fumo torrebatur, concacabatur, verubus latera pungebatur; et aliis sexcentis poenis exagitatus aut in ipsa excarnificatione animam exhalabat, aut semianimis pede extra aedes tanquam purgamentum extractus sub dio in plateis iacebat.

9. Quid? tali benignitate Siculi veteres aedium dominos tractabant; ceteris vero, qui aedes suas ut inferni fauces aut Creticum La-

ᾅδου στόμια ἢ λαβύρινθον Κρητικὸν ἢ Καιάδαν Λακωνικόν, ἡμέρως προσίεντο καὶ μετόχους ἐποίουν φιλανθρωπίας ἠστυνοσοῦν; οὐμενοῦν οὐδαμῶς· ποῦ γὰρ τοιοῦτόν τι παρ' ἐκείνοις ἀγριωτέροις οὖσι θηρῶν, καὶ ὅλως ἠγνοηκόσι τί ἐστιν ἔλεος, καὶ ταῖς ἀνθρωπίναις συμφοραῖς ἐπιχαίρουσι; καὶ κύνες μὲν P. 196 ἔστιν ὅπη τῶν ἐπικαταλαμβανομένων ἀπέσχοντο, οὐδ' ὀδοῦσιν αὐτοὺς παρελύπησαν, ἀλλ' οἷς τὸ γόνυ ὤκλασαν οἱ καταδιωκόμενοι, παρῆκαν οὗτοι τὸ ὑλακτεῖν, καὶ εἰς μάτην αὐτοῖς ἐκοῦσιν ὥσπερ ἀπετελεύτησε τὸ χανεῖν. οἱ δὲ τοσοῦτον ἀπεῖχον τοῦ οἰκτείρειν οὓς τῶν ὄντων ἐστέρησαν καὶ ὧν τὰς οὐσίας κατεδαπάνων μετὰ πορνῶν, ἃς καὶ περὶ πλείστου ἐτίθεσαν εἰς τὰς αὐτῶν τροχιὰς ἐκκλίνοντες, καὶ ὑφ' ὧν μικροῦ καὶ κονδυλιζόμενοι ἔφερον οἱ πᾶσαν τὴν Ῥωμαίων κομπάζοντες καταλήψεσθαι ὡς ἔρημον νοσσιὰν καὶ ὡς ἐγκαταλελειμμένα ᾠὰ ἀρεῖν, ὥστε καὶ εἰς γέλων τὴν γυμνητείαν ἐτίθεσαν τῶν πολλῶν, καὶ ἀτάκτῳ καγχασμῷ συνεβράσσοντο, ἡνίκα B τις παρῄει ἐκτεταριχευμένος ἀπαστίᾳ, ᾠδηκὼς τὴν γαστέρα, τὴν ὄψιν ὕπωχρος καὶ νεκρώδης ἐκ τοῦ λαχάνοις ἐνευωχεῖσθαι καὶ μόνοις ἐνεορτάζειν βότρυσιν ἐκ τῶν ἐκεῖ που ἀμπελώνων σὺν δέει συλλεγομένοις. οὕτω δ' ᾤκτειρον τοὺς διερρωγόσι περιβλήμασι κεχρημένους, καὶ περιστέλλοντας ψιάθῳ

1. Καιάδαν] κεάδα A. 5. καὶ οἱ κύνες πολλάκις βαβίζοντες ἄνθρωπον, ὅταν ἴδωσιν αὐτὸν πεσόντα, ἐλεοῦσι καὶ ἀποστρέφονται B. 6. ὅπου τῶν καταλ. A. 7. ἔκλασαν οἱ διωκόμενοι A. 9. ἐκοῦσιν γέγονε τὸ A. 12. αὐτῶν] αὐτὰς A. μικροῦ ῥαπιζόμενοι A. 16. ἀτάκτῳ] ἐχαχάτιζον B. 17. τις] ἄν τις A. 21. ψιάθῳ] παπυλεώνων τμήμασιν A, μετὰ ψιαθίου παλαιοῦ B.

byrinthum aut Ceadam Laconicum praeteribant, humanitatis aliquid tribuebant? minime vero. nam unde illis talis affectus, qui feris immaniores ignorant quid sit misericordia, et cladibus hominum delectantur? canes quidem invenias qui captis parcant, ultro hiatu oris morsu et latratu represso, si ii quos persequuntur in genua procubuerint. isti autem, tantum aberat ut eorum misceresceret quos omnibus opibus spoliarant, et quorum rem familiarem cum scortis consumebant, quae consectabantur maximique faciebant, ut pene alapis ab eis caedi se paterentur ii qui se omne Romanorum imperium ut desertum nidum occupaturos et ut ova derelicta sublaturos iactabant. nuditatem vero hominum ridebant, et cachinnis concutiebantur, si quis prae fame, macie confectus aut tumefacto ventre, pallida et livida facie ex olerum aut uvarum victu, ex proximis vineis cum periculo collecto, praeteribat. ita porro miserabantur eos qui laceris vestibus utebantur, aut arborum corticibus pudenda velabant,

ἃ πρώτων χρειῶν μέρη τοῦ σώματος, καὶ ταῖς τῶν σχοίνων ἐκφύσεσιν εἰς πλέγμα συνεστραμμέναις τὴν κεφαλὴν σκεπάζοντας, ὥστε μετὰ μωκήματος καὶ σκωπτικοῦ σχήματος ἐν τῷ κατὰ τὴν κεφαλὴν συναντᾶν ἀλλήλοις ἀμφοτέραις λαβέσθαι τῶν γενείων καὶ τοῦ τῆς κεφαλῆς τριχώματος ἐκτεῖναι. καὶ ταῦτα μὲν λέγειν εἶναι κακά, ἐς τὸ λεῖον καὶ καθαρμένον
C τοῦ πώγωνος ἀποσκώπτοντας, τὴν δὲ κεφαλὴν δεῖσθαι τοῦ ἀποθριγχῶσαι κατ' αὐτοὺς περιτρόχαλα. ἔστι δ' ὅτε καὶ μετὰ δοράτων μελίνων ἔφιππα τὴν ἀγορὰν διιόντες ἐς τοὺς κατ' ὄψιν ταλαιπώρους τὸ δόρυ κραδαίνοντες ἀνέτρεπον. εἰ δὲ καὶ ἰλὺς ἢ βόρβορος ἐγγύς που παρέκειτο κατ' ἐκεῖνο τὸ μέρος τῆς λεωφόρου, αὐτοὺς ἐνέβαλλον, ὡς οὐκ ἀποτελεστικὸν ἀγαθοῦ τινος συνάντημα ἀποτρεπόμενοί τε καὶ μυσαττόμενοι, ἢ τὴν αὐτὴν ἐκείνοις δυσανασχετοῦντες πορεύεσθαι. ἐσθίουσι δέ ποτε Ῥωμαίοις ἄρτον ὀλυρίτην ἢ τι ἕτερον ἐδώδιμον ὁπόσα συνιστᾷ σῶμα τὸ ἀνθρώπειον ἔχουσιν, ἐφιστάμενοι ἀνέτρεπον τὰ τρυβλία ἐμπαίζοντες καὶ τὴν τράπεζαν λάξαντες συνέχεον τὴν ἑστίασιν, καὶ οὐκ εἴων κατὰ καιρὸν
D τὸν τῆς ὀδύνης ἄρτον προσίεσθαι ἢ τὴν κύλικα μεθ' ἡσυχίας προσενέγκασθαι ἐκ τρυγίας οἴνου κερνῶσαν ἢ ἐξ ὕδατος λακ-

1. χρειῶν] χρῆ A. ταῖς] ἀπὸ φλοιᾶς δένδρου B. σχοίνων A. 7. τὴν δὲ] καὶ ἤθελον κουρεύειν αὐτοὺς καὶ νυξεφέτα ποιεῖν B. 9. μελίνων A. ἐς τοὺς] ἔκρουον αὐτοὺς μετὰ τῶν ῥικταρίων ὧν ἔφερον ἐν ταῖς χερσὶν αὐτῶν B. 11. ἰλὺς] πηλὸς B. 12. αὐτοὺς] ἐκεῖσε αὐτοὺς ἔρριπτον ἐν τῇ λάσπῃ B. 13. τε] ἐκείνους A. 15. ἐσθίουσι] εἰ δ' ἴσως καὶ εἶδον αὐτοὺς ἔν τινι οἴκῳ τρώγοντας ἄρτον καὶ ἔχοντα καὶ ζωμόν τινα εἰς πινάκιον αὐτῶν, εἰσήρχοντο καὶ ἀνέτρεπον αὐτὸ κατὰ γῆς, καὶ τὸ ὕδωρ ὃ ἔπινον ἔχεον. οἱ ἀδιαντροπώτεροι καὶ γελοιώδεις καὶ τὸν θεὸν μηδόλως φοβούμενοι τὰ ῥοῦχα αὐτῶν ἀνακολώνοντες ἔκρουον κλωτζάτα αὐτούς, καὶ ἐπάνω τῆς τραπέζης αὐτῶν γενόμενοι ἔχλανον οἱ μιαρώτατοι, κατουροῦντες καὶ ἐν τοῖς πηγαδίοις B.

aut e viminibus contextis pileolis capita tegebant, ut cum risu et ludicro gestu obviorum barbas et capillos ambabus manibus comprehenderent, ac hirtas et promissas illas barbas malas esse, capillis vero opus esse dicerent ut ipsorum more in orbem tonderentur. aliquando in equis forum perambulantes fraxineis hastis miseros prosternebant, in fimum aut lutum potissimum, si quod in via iacebat, seu occursum eorum ut ominosum detestantes, sive eadem via illos incedere moleste ferentes. quodsi in Romanos incidebant pane siligineo aut alio quopiam cibo vescentes, patellas per ludibrium evertebant, impulsaque mensa convivium perturbabant, neque suo tempore acerbo pane frui sinebant, aut vappam vel aquam immundam tranquillis animis bibere. ad haec impudentissimi sanniones ac dei

καίου δεξιουμένην καὶ τὸ δίψος παύουσαν. οἱ δ' ἀναιδείας πληρέστατοι καὶ γελοιασταὶ καὶ τὸ θεῖον δεδιότες μηδ' ὁπωσοῦν, κατακύπτοντες ἐς ἱκανὸν καὶ τὰς πυγὰς καὶ ὅσα περιστέλλουσιν ἄνθρωποι τῇ ἀνελκύσει τῶν ἐσθήτων ἀπογυμνοῦν- V. 1 τες, τὸν πρωκτὸν ἐς αὐτοὺς ἔτρεπον, καὶ τῶν σιτίων γινόμενοι ἔγγιστα ἀπέπερδον δριμύτερον γαλῆς οἱ ἀβέλτεροι. ἔστι δ' ὅτε καὶ τὰ τῆς γαστρὸς λύματα ὡς διὰ σίφωνος τῆς ἕδρας ἀκοντίζοντες ἔχραινον τὰ ὄψα, καὶ κατὰ τῶν προσώπων ἐνίους ἐμόλυνον. ἐνούρουν τε τοῖς φρέασι, καὶ ἐξ αὐτῶν ἐσέπειτα τὸ ποτὸν ἀνιμώμενοι προσεφέροντο. καὶ τὸ αὐτὸ παρ' αὐτοῖς ποτήριον ὡς ἀμὶς καὶ οἰνοχόη πρὸς ἄμφω ἦν ἐπιτήδειον, μὴ πρότερον βαπτιζόμενον, τόν τε καταποθησόμενον οἶνον καὶ τὸ ὕδωρ εἰσεδέχετο, καὶ ἔστεγεν ὁμοίως τὸ ἐκ τοῦ σωματικοῦ κρουνοῦ ἀποχεόμενον περίττωμα. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἀπογεγραμμένους ἐν πρωτοτόκοις θεράποντας θεοῦ οὕτω τι- P. 1 μᾶν ᾔδεσαν, καὶ τοῖς δι' αὐτῶν τελουμένοις προσεῖχον θαύμασι, καὶ ἐξεπλήττοντο τὰ ἐξαίσια καὶ καινὰ θεάματα δι' ὧν δοξάζει Χριστὸς τοὺς αὐτὸν τοῖς οἰκείοις δοξάσαντας μέλεσιν, ὥστε καὶ τὸ ἐκ τῆς σοροῦ τοῦ ἐν θαύμασι καὶ ἐν μάρτυσι διαβοήτου Δημητρίου ἀναδιδόμενον μῦρον καδδίοις καὶ λέβησιν ἀρυόμενοι ταῖς τῶν ἰχθύων λοπάσιν ἐνέχεον, καὶ τὸ τοῦ ποδὸς σκύτος ταῖς μυραλοιφαῖς ἐλίπαινον, καὶ πρὸς τὰς λοιπὰς ὑπηρεσίας ὅσας παρὸν τὸ ἔλαιον διατίθησι χύδην καὶ

6. ἀπέπαρδον A. 10. καὶ τὸ αὐτ.] καὶ ὅπερ ὡς κλωκίον ποτήριον εἶχον, μετ' αὐτοῦ ἔπινον B. 11. πότερον A. 13. ἐκ] ἀπὸ A. 14. τοὺς ἀποταξαμένους τῷ κόσμῳ καὶ θεῷ μόνῳ προσανέχοντας B. 15. θερ. χριστοῦ ὡς ἔδει τιμῶντες οὐδὲ τοῖς — θαύμασι, δι' ὧν A. 19. ὥστε] ἀμέλει A. ἐν alteram om A. 20. καδδίοις] ἐν χαλκώμασι καὶ ἐν τζούκαις μεγάλαις λαμβάνοντες ἐτηγάνιζον μετ' αὐτοῦ ὀψάρια καὶ ἤλειφον τὰ ὑποδήματα αὐτῶν B. 21. τὸ] τὰ — σκύτη A.

comtemptores inclinati, attractis vestibus, podices in comedentes convertebant et cibis proximi oppedebant: quidam etiam tanquam per siphonem recrementa ventris in cibos et facies exultantium eiaculabantur. in puteos mingebant, unde postea aquabantur; eodemque vase, nulla lotione adhibita, nunc pro matula nunc pro calice utebantur. Christi ministros in primogenitorum album relatos adeo non ut decuit venerabantur, nec editis per eos miraculis movebantur, quibus Christus eos remuneratur qui suis membris ipsi honorem habuerunt, ut unguentum quod ex celeberrimi martyris Demetrii monumento ebullit, cadis et lebetibus haustum patellis piscium infunderent, eo calceamenta ungerent, et ad caetera ministeria, quibus

ἀσώτως ἐκέχρηντο. τὸ δὲ ὡς ἀπὸ πηγῆς προϊὸν ἀκενώτου ἢ ἐξ ἀβύσσου ἀναβάλλον ἐπέρρει πλησμιώτερον καὶ ὑπερεξε-
B χεῖτο καινοπρεπῶς, ὡς καὶ τοὺς βαρβάρους αὐτοὺς διὰ θαύματος τίθεσθαι τὸ δρώμενον, καὶ τὴν χάριν ἐκπεπλῆχθαι τοῦ χριστομάρτυρος ἣν θεόθεν εἴληχεν. εἰ δὲ καιρὸς ὑμνῳδίας ὁμηγερέας ἐτίθει κατὰ τοὺς νεὼς τοὺς Ῥωμαίους, οὐδὲ τότε σφῶν ἀπείχοντο οἱ ἀπαίδευτοι τοῦ στρατεύματος, ἀλλὰ προσιόντες ὡς συνεκκλησιάσωνταί σφισι καὶ συνθύσωσι θεῷ θυσίαν αἰνέσεως, τοῦ μὲν ποιεῖν τοιοῦτόν τι ἀφίσταντο, λαλαγοῦντες δὲ πρὸς ἑαυτοὺς καὶ ταῖς ἀσήμοις φωναῖς διαρρηγνύμενοι, ἢ καί τινας τῶν Ῥωμαίων διά τι συμπεσὸν πρὸς βίαν ἄγχοντες καὶ πράγματα παρέχοντες, συνέχεον τὸν ὕμνον, καὶ ἦσαν οἱ ψάλλοντες ἄντικρυς ἐπὶ τῆς ἀλλοτρίας ᾄδοντες, καὶ οὐχ ὡς ἐφεστῶτες τεμένει θεοῦ. πολλοὶ δὲ καὶ ἀντᾴδοντες
C τοῖς ἀλαλάζουσι κυρίῳ ᾄσματα ἠφίεσαν πορνικά, καὶ κυνηδὸν ὑλακτοῦντες ἐνέκοπτον τὴν ᾠδὴν καὶ ὑπερεφώνουν τὸν εἰς θεὸν ἱκετήριον.

Καὶ τοιαῦτα μέν, ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν, οἱ Θεσσαλονικεῖς πολιορκηθέντες ἔπασχον, ἃ καὶ εἰς ἰδικήν τινες ἀπέτεμον συγγραφὴν καὶ τὴν ἱστορίαν ἐς τὸ πολύστιχον ἐφακέλωσαν. ἐπεὶ δὲ ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν διέκυψεν οὐρανόθεν, καὶ οὐδένα τῶν αἰχμαλωτευ-

1. τὸ δὲ ἐπέχεεν ὡς ἀπὸ πηγῆς μεγάλης καὶ ἐξεχύνετο. B. 3. διὰ] κατὰ τοῦτο μόνον διὰ A. 6. ὁμηγ.] ὁμοθυμαδὸν συνιόντας A. τότε ἀπείχοντο τούτων A. 8. συνεκκλησιάσωσί A. 9. τοῦ μὲν] τὸ μὲν τοιοῦτόν τι ποιεῖν οὐκ ἐποίουν B. 10. φωναῖς] βοαῖς A. 13. τῆς] γῆς A. 15. τῷ κυρίῳ A. 17. ἱκετήριον] ὑμνητήριον A. 22. τῶν] τῶν πολεμίων Ῥωμαίοις A.

oleum usui est, temere et nequiter abuterentur. id vero ut e fonte inexhausto prodiens aut ex abysso scaturiens copiosius affluebat, et nova ratione exundabat, ut et barbari unum id mirarentur et gratia martyri divinitus concessa obstupescerent. quodsi Romani ad canendas dei laudes in templis conveniebant, ne tum quidem a militari insolentia immunes erant. nam importuniores ex iis, per speciem una canendi et laudandi dei ingressi, vociferabantur inter sese et confusis clamoribus rumpebantur, aut obtorto collo Romanis aliquibus ob fortuitum aliquem casum arreptis cantiones turbabant, ut cantores plane in aliena terra canerent, non ut in templo dei. multi quoque ex adverso meretriciis canticis et caninis latratibus hymnos turbabant, et dei celebratores clamore superabant.

Atque haec pauca de multis quae Thessalonicenses in urbis expugnatione sunt perpessi, a nonnullis peculiari scripto prolixe com-

πάντων ἑώρακε συνιέντα ἢ ἐκζητοῦντα θεὸν ἀλλὰ πάντας ἀχρειωθέντας καὶ πρὸς ἔργα ἐκκλίναντας ἄθεσμα, ἐδικαίωσεν αὐτοὺς μὲν ἐκμυκτηρίζειν ἐκτρῖψαί τε καὶ ταράξαι τῷ οἰκείῳ θυμῷ, τὴν δὲ τοῦ οἰκείου λαοῦ κατοικτεῖραι κάκωσιν, καὶ τούτοις ἐλευθερίαν βραβεύσειν ἐν τῷ προσχεῖν ἀκηδιῶντι πνεύματι, καὶ καρδιᾶν μὴ ἐξουθενῶσαι σύντριμμα. κολοβοῖ τοίνυν, ὡς οἶμαι, διὰ τοὺς ἐκλεκτοὺς τὴν χρονικὴν τῶν D ἀπεύκτων παράτασιν· καὶ ὅσα τοῖς Βαβυλωνίοις διηπείλησε πρότερον οὐκ ἐλεήσασι τὴν Σιὼν καὶ τοὺς υἱοὺς αὐτῆς τοὺς τρυφεροὺς καὶ τὰς θυγατέρας ἐν ἀπαγωγῇ καὶ αἰχμαλωσίᾳ, ταῦτα καὶ αὐτοῖς ἐν ἀκαρεῖ ἐπήνεγκε· καὶ ἐνδοξάζεται κύριος ὡς οὐδέποτε ἐφ' οἷς τὸ τηνικάδε καιροῦ τὸ οἰκεῖον ἔλεος ἐθαυμάστωσε, μαρτυρικοῖς, ὡς ἔοικεν, ἐπικαμφθεὶς λιτασμοῖς καὶ εὐχῆς ἐπακουὸς γενόμενος τοῦ τῶν Θεσσαλονικέων ἀρχιερέως· ἦν δ' οὗτος ὁ πολὺς ἐν λόγῳ καὶ ἀρετῇ διαβεβοημένος ἁπανταχῇ Εὐστάθιος, ᾧ καὶ τὸ ἀπὸ συνέσεως μὲν ἐπιπρεπὲς ἀξιέπαινον καὶ ἡ πολυπειρία θαυμαστή τις καὶ ἀξιάγαστος, τὸ δὲ παρὰ πολὺ τῶν ἄλλων ἐν λόγοις ὑπερτερεῖν καὶ σοφίας πάσης, ὁπόση τε ἡμετέρα καὶ ὅση τῶν θύραθεν, κρατῆρα P. 198 εἶναι περιχειλῆ τὸ οἰκειότατον ἐκείνῳ καὶ ἐξαίρετον ἦν χαρακτήρισμα. οὗτος γὰρ συγκακουχεῖσθαι τῷ οἰκείῳ ποιμνίῳ V. 162 ἑλόμενος μᾶλλον ἢ τοὺς μισθωτοὺς ἐζηλωκέναι, οἳ τῶν λύκων ἐρχομένων ἐῶντες τὰ θρέμματα ἐκδιδράσκουσιν, ἐξὸν

2. ἐκκλίναντας] βλέψαντας ἄθ. ἔγνωκεν A. 3. τῷ ἐνδίκῳ θυμῷ, τοὺς δὲ πάσχοντας οὕτω κακῶς οἰκτειρῆσαι A. 8. διηπειλήκει A. 23. ἐξερχομένων A.

memorata, exponere visum est. postquam vero is qui in excelso habitat et humilia intuetur, e caelo prospexit neque illum hostilem et victorem Romanorum intelligere aut quaerere deum vidit, sed omnes inutiles esse factos et nefariis rebus deditos, subsannare eos instituit ac perturbare et exscindere, iusta indignatione commotus, et tam crudeliter afflictis clementer libertatem restituere, moesti spiritus et contriti cordis misertus. propter electos igitur, ut arbitror, acerbitates illas diutius grassari non passus; et quae Babyloniis minatus erat olim, quod Sionis nihil miserti filios eius delicatos et filias in servitutem abduxissent, momento temporis istis intulit, ut misericordia eius mirabilis tum si umquam alias celebraretur, martyrum, ut arbitror, precibus et Thessalonicensis pontificis exorati. is erat eloquentia et virtute celeberrimus Eustathius, qui et prudentia et usu rerum mirabili praeditus, et doctrina profanarum et sacrarum litterarum uberrima caeteris omnibus antecellebat, eaque velut insigni et peculiari nota praedicabatur. qui cum mallet cum grege suo

μεταναστεῦσαι τῆς πόλεως ἔτι τῶν πολεμίων προσδοκωμένων μηδὲ περικαθισάντων αὐτήν, τοῦτο μὲν οὐδαμῶς ἐδικαίωσεν, εἴπερ αὐτοῦ συμπαραμεμενηκότος πλεῖστοι ἔμελλον σώζεσθαι, ἐνειρχθεὶς δὲ τῇ πόλει ἑκὼν οὐκ ἐπαύσατο συνδιαφέρων τὰ ἀλγεινὰ τοῖς πάσχουσιν, ὡς μὲν τῷ καθ' αὑτὸν ὑποδείγματι συμπείθων, ὡς δὲ παραινῶν, ὅσα καὶ πατρὸς ἡμέρου δή-
B γματα, τὰ τοῦ θεοῦ καθυποφέρειν πλήγματα καὶ τὴν ἐκ τοῦ πατάξαντος προσμένειν αὖθις ἴασιν. „εἰ γὰρ καὶ οἶδε" φησι „πατάσσειν πολλάκις, ἀλλὰ καὶ ἰᾶσθαι πλειστάκις φιλεῖ, καὶ μάλιστα εἴ πράως φέρει τις καὶ εὐχαρίστως τὰ λυποῦντα, καὶ μὴ πρὸς τὸ δριμὺ τούτων καὶ βάλλον τὴν αἴσθησιν ἀηδιζόμενος ἀποστόργως ἔχει πρὸς τὸν ἐπάγοντα, καὶ καταστενάζει μὲν τῆς προνοίας, κριμάτων δὲ βάθος ἀποσείεται θεϊκῶν οἷα τῷ κυρίῳ ἐξομολογεῖσθαι μεμαθηκὼς ἐν μόνῳ τῷ ἀγαθύνεσθαι, καὶ ὅταν ἐξ οὐρίας φερόμενον τὸ τοῦ βίου ἀκάτιον διακομίζῃ ἀναυαγήτως ἐκείνῳ καὶ ῥεῖα καὶ κούφως τὰ ἐφετά, ὡς αἱ νῆες μακρόθεν τὰ ἀγώγιμα." οὐκοῦν καὶ τοῖς
C στρατηγοῖς ὀπτανόμενος, οὓς Κόντους εἴπῃ τις ἂν Λατινικῇ διαλέκτῳ χρώμενος, ἐμετρίαζε τὰ χείρω τοῖς πεπονθόσιν, ἐπιτάγματα, ἐκεῖθεν χορηγὰ κομίζων ἀνέσεως καὶ πᾶν ἕτερον πρυτανεῦον αὐτοῖς παράκλησιν· τάχα γὰρ καὶ πέτρας ἀγελάστου ὁ ἐκείνου λόγος καθίκετο, καὶ δι' αἰδοῦς καὶ μόνον ὀφθεὶς τοῖς ἀλλοφύλοις ἤγετο, καὶ θώκων ὑπεξίσταντο, καὶ ἡδέως αὐτοῦ ἤκουον, καὶ πρὸς τὸ πραότερον καὶ χρηστότερον

5. ἄλγητα A. an ἄλγιστα? 17. μακρόθεν] πόρρωθεν A.

affligi quam mercenarios imitari, qui lupis adventantibus grege deserto aufugiunt, quamvis dum hostes adhuc expectabantur necdum urbem circumsederant, discedere licuisset, id sibi minime faciendum censuit, quod sua praesentia nimirum multos conservaturus erat, sed ultro in urbe tanquam carcere inclusus aerumnas omnes una tolerare non destitit, tum suo exemplo persuadendo, tum monendo dei verbera, ut benigni patris castigationem, aequis animis ferenda et ab eodem medicinam expectandam esse. nam si saepe, ut ait, percutere, at saepissime etiam mederi consuevit, praesertim si quis leniter et cum gratiarum actione molestias perfert, neque ob acerbitatem earum eum a quo proficiscuntur odio persequitur, nec cum providentia expostulat; nec iudicii divini profunditate reiecta, in secundis duntaxat rebus et prospero fortunae flatu bonum se praebere didicit. is igitur duces exercitus, qui Latine conti dicuntur, adiens edicta impetrabat, quibus aerumnae leniebantur, neque quicquam praetermittebat quod ad consolationem suorum pertineret. nam

ἦθος μετεποιοῦντο οἷα τραῦμα φλεγμαῖνον χειρὶ κούφῃ καταλεαινόμενον ὕδατι. εἰ γὰρ καὶ ἦσαν οὗτοι ἀγχινεφεῖς μικροῦ αἰρόμενοι γαμψώνυχες ὄρνιθες καὶ βαρεῖς ἐπεποτῶντο τοῖς ὑπὸ χεῖρα τηνικαῦτα Ῥωμαίοις, μετοικεσίαν αὐτοῖς εἰς D Σικελίαν ἐπαπειλούμενοι, ἀλλ' οὖν ἐκεῖνος τοὺς τῷ δέει περιβαμβαίνοντας καὶ δεινότερα τῶν ἐνεπτώτων τὰ ἐσέπειτα ὑφορωμένους κακὰ ἐπισυνῆγέ τε καὶ διέθαλπε, καθὰ καὶ ὄρνις ὑπὸ τὰς ἑαυτῆς περισυστέλλει πτέρυγας τὰ νεόττια, καὶ τὸ τοῦ θυμοῦ Μερραῖον τῶν κρατούντων μετήμειβε ποιοῦ τοῦ πικράζοντος, ὥσπερ Μωσαϊκὸν ξύλον μέσος προσλαμβανόμενος. ὁποῖος δὲ ὁ τρόπος τῆς ἐλευθερίας, καὶ διὰ μέσου τίνος τὸ θεῖον τουτονὶ ἐκαινούργησε, τὸν οἰκεῖον ἀναμεινάτω καιρόν.

10. Τὸ δὲ λέγειν ἐπανίτω πάλιν ὅθεν ἐκβέβηκε, καὶ διδόσθω τὰ τοῦ βασιλέως Ἀνδρονίκου τῷ ἱστορεῖν. εἶχε μὲν οὖν ἐπὶ ξύλου ἀναρτήσας τοὺς κασιγνήτους Σεβαστειανοὺς ὡς εἰς τυραννίδα δῆθεν ἐπαίροντας καὶ αὐτοῦ καθαίρεσιν τὸν Κομνηνὸν Ἀλέξιον. οὗτός ἐστιν ὁ μὴ ἐξ ἐννόμων περιπλοκῶν τῷ βασιλεῖ ἀποτεχθεὶς Μανουήλ, καὶ γαμικῶς συναφθεὶς τῇ ἐξ ὁμοίων φυείσῃ σπερμάτων θυγατρὶ τοῦ Ἀνδρονίκου Εἰρήνῃ. βραχέος γοῦν διαλιπόντος καιροῦ καὶ αὐτὸν P. 11 συνειληφὼς τὸν Ἀλέξιον εἰρκτῇ παραδίδωσιν, ἔπειτα διαλωβησάμενος τοὺς ὀφθαλμοὺς ἐς τὴν Χηλὴν ὑπερόριον τίθησι·

3. αἰρόμενοι om A. 6. ὑφορωμένους] φαντάζομένους A. 12. ἐκαινούργησε] ἐθαυματούργησε B. 17. ἔννομον συνάφειαν A. 20. καὶ τοῦτον συνειλ. ἀνδρόνικος εἰρκτῇ A.

eius oratione vel horridae cautes moveri potuissent; et solo conspectu alienigenis ita erat venerabilis, ut et venienti assurgerent et orantem libenter audirent et eius monitis ad humanitatem et aequitatem flecterentur, veluti vulnus inflammatum, quod levi manu aqua mollitur. qui alites etsi prope in nubibus volitabant et in obvios quosque Romanos magno impetu ruebant, abductionem in Siciliam eis minitantes, ille tamen cives perterritos et urgentibus malis graviora metuentes veluti gallina pullos sub alas suas alliciebat, et victorum acerbitatem verbis ut Moses aquam Merranam ligno iniecto diluebat. quae vero liberationis eorum ratio fuerit, mirabiliter a deo provisa, suo loco referetur.

10. Nunc ad institutum redeat oratio, et res ab Andronico gestae referantur. is Sebastianis fratribus in crucem actis, quod Alexium Comnenum (is est quem Manuel extra coniugium susceperat et Andronicus Irenae filiae eodem modo natae desponderat) regnum affectantem adiutarent et se imperio pulsum vellent, paulo post etiam illum comprehensum in carcerem coniicit. deinde excaecatum Chelen (id oppidum vicinum est Ponti angustiis) relegat, et in turrim ea

πολίχνιον δέ ἐστιν αὕτη πάραλον, ἄγχιστά που τοῦ Πόντου στόματος κείμενον, ἔνθα καὶ πυργίον εἰσδέχεται τὸν Ἀλέξιον τούτου ἕνεκα δομηθέν. καὶ τὴν θυγατέρα Εἰρήνην ἀποστυγεῖ καὶ ποιεῖται ἀπὸ προσώπου Ἀνδρόνικος, ὅτι ὁ μὲν μὴ ἀχθεσθῆναι μηδὲ κόψασθαι ὁπωσοῦν ἐπέταξεν ἐπὶ τῷ ταύτης ἀνδρί, εἰ φιλοπάτωρ ἐστὶ θυγάτηρ καὶ ὑπεραλγεῖ τοῦ φυτεύσαντος, μᾶλλον μὲν οὖν καὶ ἀποστυγῆσαι τὸν σύλλεκτρον καὶ
B τὸ πρώην φίλτρον μετενεγκεῖν εἰς μῖσος ἀντίρροπον, ἡ δὲ ἐθρήνησεν, ὡς εἰκός, οὐκ ἀποστέρξασα τὸν ὁμόκοιτον, καὶ δυσείμων ἀποθριξαμένη τεθέαται. ἀλλ' οὕτω μὲν ἐξάπινα διέστη τὰ τῆς θαυμαστῆς ταύτης καὶ μεγαληγορουμένης γα-
V. 163 μικῆς συναφείας ὑπὸ τῶν καταρατοτάτων κολάκων καὶ τῶν ἀντιφθεγγομένων νόμοις δικασπόλων, οἳ τὴν κάμηλον καταπίνοντες διύλιζον τὸν κώνωπα, ὑφ' ἧς καὶ τὰ χρονίως ἀπορραγέντα συνελθεῖν αὖθις προεφοιβάζετο, τὴν ἕω τε προσπλακῆναι τῇ δύσει, καὶ παλαιὰν ἐκπολέμωσιν ἀποτρίψασθαι, καὶ ἔθνη ὥσπερ τὰς γλώττας οὕτω καὶ τὰς γνώμας Ῥωμαίοις ἀνόμοια τὸ σύμπνουν ἀσπάσασθαι, καὶ τὸν ταυτισμὸν
C τῶν ἠθῶν τῆς προτέρας καινοτρόπως ἀλλάξασθαι διαστάσεως, ὡς συγκοπῆναι τὰς ζιβύνας εἰς ἄροτρα καὶ συμβοσκηθῆναι ἄρνας τοῖς λέουσιν. εὐνομίαι τε πόλεων ἐμεγαλύνοντο, καὶ τῶν ἐκφορίων τῆς γῆς ἐπίδοσις διαρκὴς καὶ παράλογος ἔκφυσις, ὡς ὄχνας μὲν προενεγκεῖν τὴν ῥάμνον, τὴν δὲ συκῆν

1. ἄγχιστα] ἀγχιθυροῦν τῷ ποντίῳ στόματι A, κατὰ τὴν μαύρην θάλασσαν κείμενον B. 5. ὁσονοῦν A. 9. καὶ δυσείμων] καὶ τὴν στολὴν αὐτῆς εἰς μαῦρον μετήμειψεν ἱματισμόν B. 12. συναφῆς A. 19. καινοπρεπῶς A.

de causa extructam compingit, etiam Irena filia exosa et expulsa, quod maritum minime lugere iussa, si, ut piam filiam deceret, patris malis moveretur, sed eum odio non minore quam prius amore persequi, illa pristina caritate conservata luctum suum et lacrimis et pullo vestitu testabatur. ita mirabile illud coniugium, et a detestandis assentatoribus et iniquis iudicibus, qui camelum deglutiant et culicem colant, magnifice iactatum, subito est diremptum. per quod iidem praedixerant ea quae olim avulsa essent iterum coitura, et Orientem cum Occidente copulatum iri; et inveteratis odiis abolitis gentes ut linguis, ita moribus a Romanis discrepantes concordiam inituras iisdemque moribus usuras, dissensionibus nova ratione abolitis, ut enses in aratra mutarentur et agni cum leonibus pascerentur. civitatum quoque disciplinam et frugum proventum uberem et mirabilem iactabant. nam rubum pira pariturum, ficum segete gravatum iri, fere ut poëtae in Iovis et Iunonis concubitu roscidam lotum subster-

ἀσταχύων φρίσσειν ἀνθέρικας, ἢ γοῦν ὡς ἐν τῇ μίξει Διὸς καὶ Ἥρας οἱ ποιηταί φασιν, ὑποστρωννύεσθαι μὲν λωτὸν ἑρσήεντα, κρόκον δ' ἀναφύεσθαι καὶ ἀνατέλλειν ὑάκινθον. οὕτως οἱ λογοποιοὶ τῶν τοιούτων ἐμωράνθησαν προδηλότατα, καὶ φάσκοντες εἶναι σοφοὶ καὶ προβλεπτικοὶ τῶν ἐσομένων καὶ προειδότες τὰ ἔμπροσθεν οὐδὲ τὰ ἐν ποσὶν ὁρῶντες ἠλέγχοντο, ἀλλὰ κατὰ τὴν προφητικὴν ἀρὰν βλέποντες οὐκ ἔβλεπον οὐδ' ἀΐοντες ἠνωτίζοντο. ἢ ἑώρων μὲν ἀσφαλῶς καὶ ᾔδεσαν ἀκριβῶς καταποντισμοῦ φθεγ- D
γόμενοι ῥήματα καὶ εἰς ὅπλα καὶ βέλη τοὺς ἑαυτῶν ὀδόντας μεταγομφοῦντες, χαριτογλωττοῦντες δ' ὅμως καὶ πρὸς ἀργύριον λαλοῦντες καὶ βοῦν ἐπὶ γλώττης φέροντες καὶ τὸ ἀνθρωπάρεσκον κατὰ κράτος μεταδιώκοντες, ὁποίους οὐ δέον βόσκουσι τὰ ἀνάκτορα τῶν κακῶν ἐπαινέτας, τὸ δὲ καλὸν γνῶναι μὴ θέλοντας, ἐπιμελῶς ἐνέκειντο πρὸς τὰ πονηρά, καὶ ἐπευδόκουν ἐκείνοις οἷς ἔχαιρεν ὁ κρατῶν, οὐ μὴν ὁ δι' οὗ βασιλεῖς ἠρέσκετο βασιλεύουσιν. οὐ μόνον δ' ἀπανθρώπως οὕτω καὶ ἀνεπιεικῶς διέθετο Ἀνδρόνικος τὸν Ἀλέξιον, ἀλλὰ καὶ ὁπόσοι περ τῶν ὑπηρετῶν ἐκείνῳ λόγιμοι, συλλαβὼν εἶχεν ἐμφρούρους. μετ' οὐ πολὺ δὲ κἀκ τούτων ἀριστίνδην οὐκ ὀλίγους συνειληφὼς τῶν ὄψεων ἀπεστέρησεν· ἕνα δ' ἀπολαβών, ὃς ἐν ὑπογραφεῦσι τῷ Ἀλεξίῳ ἠρίθμητο, τοὐπίκλην Μάμαλος, ἐς θοίνην ἐταμίευσε πύματον. οὕτω δ' αὐ- P. 100
τὴν ἐδαίτρευσε καὶ καρυκείας μετέδωκε πλείονος, ὡς ἀξίαν

3. οὕτως] ὄντως A. 7. ἀΐοντες] ἀκούοντες A. 15. ὁ δι'] οὐ δι' A. 18. καὶ ὅσοι τῶν A. συλλαβὼν] συμμάρψας A. 19. ἀριστ.] τοὺς προύχοντας ἀριστ. A. 23. ἐδαίτρευσε] ἐποίκιλε A.

ni et crocum enasci ac hyacinthum oriri fabulantur. omnino isti nugigeruli manifestissime delirarunt, qui cum se sapientes esse futuraque prospicere gloriarentur, nec ea quae ante pedes erant perspiciebant, propheticae illi execrationi obnoxii, ut videntes non viderent et audientes non audirent. imo aperte cernebant et satis norant se capitalia verba fundere et dentes suos tanquam iacula et gladios exacuere: sed quia grata auribus dicebant et linguas venales habebant et hominibus placere impense cupiebant, quales, proh dolor, aulae in perniciem suam alunt, laudatores malorum, bonorum inscitiam simulantes, sedulo improbitatem promovebant, eaque probabant quae imperatori cordi erant. neque vero Alexium duntaxat tanta inhumanitate tractavit Andronicus, sed ex ministris etiam eius praecipuos in custodiam dedit; nec multo post delectu ex optimis habito plerosque excaecavit. unum vero ex scribis illius, cognomento Mamalum, quem ultimum devoraret asservavit; et eas epulas tanta lautitiarum

εἶναι μὴ ἄλλον εὐτυχήσειν δαιταλευτὴν ἢ μόνον βασιλέα Ἀνδρόνικον, καὶ τραπέζαις Ἐριννύων καὶ Τελχίνων φθονερῶν ἑστιάσεσι μὴ ἀπᾴδειν τὸ παράθεμα, καὶ οἷον οὐδέπω τις ὀψοποιὸς μαγγανεύσας εἰστίακε. τὸ δὲ ἦν πυρὶ παραδοθῆναι τὸν ἄνθρωπον κατὰ τὸ Ἱππικόν. ἀμέλει τοι καὶ τὸ μὲν ἀνῆπτο, καὶ διεχεῖτο ἡ φλὸξ ἐπὶ τοῦ ἀέρος πολὺ κατὰ τὴν τοῦ σταδίου Σφενδόνην, ἐπ' ἴσης τῇ Χαλδαϊκῇ ἐκείνῃ καμίνῳ, ἣν ἀνέκαυσε νάφθα καὶ κληματὶς ὑπεξῆρεν εἰς ἑπταπλάσιον· ὁ δὲ παρῆκτο σχοινόδετος καὶ γυμνός, ὁποῖος πρώτως προσB εἶπε τὸν ἥλιον τῆς μητρικῆς νηδύος ἐκθορών. περιστησάμενοι οὖν ὡς ἱερεῖον τὸν μείρακα οἱ καμινευταί, ὑπηνήτην ὄντα τὸ πρῶτον καὶ ἰούλῳ τὰς παρειὰς στεφόμενον, ἐνώθουν μετὰ καμάκων μηκίστων εἰς τὸ μεσαίτατον τοῦ πυρός. ὁ δὲ προσομιλῶν τῇ καμίνῳ καὶ ἀλγυνόμενος, φιλοψυχῶν δὲ καὶ ὡς ἄνθρωπος, ἴσος δὲ καὶ ὡς φεύξεῖται διανοούμενος τὸν ἤδη ἀνυπεξάλυκτον θάνατον, νῦν μὲν ἐμπίπτων ἀντέβαινε ταῖς διακοντίσεσι, μετριωτέρας κρίνων τὰς ἐκ τούτων ὀδύνας τῆς τοῦ πυρὸς ἐρωῆς καὶ τοῦ ἐπ' ἀνθράκων ἁπλώματος, νῦν δὲ τοῖς ἐμπυρευταῖς εἰς τὸ τῆς φλογὸς μεσαίτατον ἐμβαλλόμενος καὶ ὑπὸ τῆς πυρᾶς διειλημμένος κατὰ τῶν ὄφεων τοὺς ἀκοντίας τῆς καμίνου ἐξετινάσσετο, τὸν περὶ ψυχῆς τρέχων καὶ C ὑπὲρ τὸ Θετταλὸν διαλλόμενος πήδημα. καὶ τοῦτο ἐφ' ἱκανὸν γινόμενον εἰς δάκρυα ἐκίνει τοὺς θεατάς. ὀψὲ δὲ καμὼν

1. βασ. Ἀνδρ.] τὸν ἀρχῆθεν ἀνθρωποκτόνον A. 3. τὸ] πρὸς οὐδὲν τὸ A. 4. μαγγ. αὐτοὺς εἰστίασε A. 8. ὑπερῇρεν A. 16. θάν.] ἐκεῖνον θάν. A. ἀντεπάτει B. 22. τὸν Θετταλὸν διαλώμενος A. 23. γενόμενον τοὺς θεωμένους ἐκίνει πρὸς δάκρυα A.

varietate instruxit, ut dignae essent quae non alium nisi primum illum homicidam convivam haberent, et a mensis Furiarum nihil differrent, quales a nullo unquam coquo eis sunt appositae. id porro erat ut homo in Hippico cremaretur. incensus est rogus et flamma in altum elata, in Sphendone stadii, non aliter quam Chaldaica illa fornax naphta incensa et clematide in septuplum inflammata. producitur ille funibus vinctus et nudus, ut primum materna alvo egressus solem aspexerat. carnifices adolescentem, cui prima lanugo malas vestiebat, tanquam victimam longissimis perticis in medium ignis trudebant. is vero doloris acerbitate et vitae cupiditate, ut humanum est, coactus, malum iam inevitabile vitaturus, alias ictibus obvium se ferebat, eum dolorem flammae cruciatu leviorem ratus, alias a carnificibus in medium flammae coniectus instar iaculi e rogo maximo impetu emicabat, quod cum diu duraret, spectatoribus lacrimas excutiebat, donec fatigatus supinus concidit et tetro exustae

ἐξυπτίασε, τὸ δὲ πῦρ λάβρον τὰς ἐκείνου σάρκας περιχυθὲν V. 164 ἐν βραχεῖ συνετέλεσε, κνίσσα δ' ἐς οὐρανὸν ἀνιοῦσα τὸν κύκλῳ διέφθειρεν ἀέρα, καὶ ἦν τὸ τῆς λιγνύος ἀποφερόμενον ῥισὶν ἀνθρώπων ἐκεῖ που παριόντων ἀπρόσιτον. ὢ πυρσὸς ἐκεῖνος ἀνήμερος! ὢ ἀσπάσιον δαίμοσιν ὁλοκαύτωμα! ὢ ἱερεῖον Τελχίνων! ὢ ἀλαστόρων ὁλόκληρος προσφορά! ὢ οὐκ εὐωδίας ὀσμή, ἣν οὐκ ὀσφραίνεται κύριος, ἀλλ' Ἐριννύων χορὸς καὶ κακοεργὸς Ἀνδρόνικος, ὃς βουθυτεῖν ἀκούων τοὺς πάλαι καὶ κνίσσαις θεραπεύειν τὸ προσκυνούμενον τὴν αὐτὴν δραμεῖν οὐκ ἠνέσχετο, ἀλλ' ὡς ἦν ἐκ τῶν δρωμένων D πιστοῦσθαι, νηλεεστέραν τρέφων ψυχὴν τῶν πώποτε ἀνεπιεικεστάτων ἀνδρῶν ἀνθρωποθυτεῖν κακῶς ἐπεβάλετο, τὰ τῶν Χριστιανῶν θεσμὰ παριδών, ἃ ψυχὴν σῶσαι μᾶλλον ἢ ἀπολέσαι παρακελεύονται, καὶ οὐδὲ τὸν κόσμον ὅλον ἀντάξιον αὐτῆς ἀποφαίνονται. τίς Καμβύσης μαινόμενος ἢ ἀπηνὴς Ταρκύνιος ἢ Ἔχετος καὶ Φάλαρις ἄγριοι καὶ θηριώδεις τοιαῦτα εἰργάσαντο; ἢ τίνες Ταυροσκύθαι ξενοκτονίαν νενομικότες, ὧν τὰ ἤθη ὁ πολυπλανὴς οὗτος ἀνεμάξατο γέρων, οὕτως ἐπέθεντο καὶ διεχειρίσαντο; ποιῶν δὲ τὴν τιμωρίαν οὐκ ἀναίτιον ἀλλά τι προὔφεστὸς ἐπισυρομένην ἔγκλημα, βίβλους

3. καὶ ἦν τό] καὶ κατεφέρετο ἐπὶ τοὺς ἀνθρώπους τοὺς πλησιάζοντας τὸ τοῦ σώματος αὐτοῦ ἀξούγγιον B. 4. ἐκεῖ προσπελαζόντων ἀπόβλητον, A. 7. ἀλλ.] κακοποιοὶ δὲ δυνάμεις καὶ ἀποτρόπαιος· βουσυτεῖν γὰρ τοὺς πάλαι μανθάνων Ἀνδρόνικος καὶ A. 17. Ταυροσκύθαι] κόμανοι B. 18. οὗτος] ἀνδρόνικος, omisso γέρων, A. οὕτως] ἐς τοὺς ὑπ' ἀρχὴν διετέθησαν A. 20. ἀναιτίατον A. βίβλους] χαρτία τινὰ ἅτινα ἔλεγε βασιλογράφια εἶναι τοῦ τὴν βασιλείαν μέλλοντος ἀναδέξασθαι B.

carnis foetore circumfusum aërem et spectatorum nares infecit. o rogum immitem! o gratum daemonibus holocaustum! o victimam Telchinum! o Furiarum proterviam! o nidorem insuavem, quem non olfacit dominus, sed maleficae potestates et infesti humanae vitae genii! nam cum Andronicus a veteribus immolari boves et nidore placari numina didicisset, eandem sequi rationem noluit, sed ut eius facta probabant, immanitate omnibus superiorum temporum immanissimis tyrannis superior homines sacrificare per scelus instituit, spretis Christianae religionis legibus, quae hominem potius conservandum esse quam perdendum, nec totum mundum cum eius animo comparandum docent. quis insanus Cambyses aut crudelis Tarquinius aut Echetus et Phalaris, tyranni crudelissimi, talia perpetrarunt? qui Tauroscythae, quorum legibus mactantur hospites quorumque moribus errabundus Andronicus infectus fuit, ita in captivos saevierunt? ne vero tam atrox supplicium sine causa et iusto crimine infli-

τινὰς συγκατέκαυσε τῷ Μαμάλῳ διεξιούσας δῆθεν περὶ βασιλέων ἀρξόντων ἐς τοὐπιόν, ἃς τῷ Ἀλεξίῳ ὑπαναγινώσκων Μάμαλος ἐνάγειν τοῦτον εἰς τὸ βασιλειᾶν ἐμυθίζετο.

P. 201 11. Οὕτω δ' ἐπὶ τοῖς πραττομένοις τούτοις ὑστεροβου-
λίᾳ ἐβάλλετο ἢ τοῦ τὰ αὐτὰ καὶ αὖθις δρᾶν ἀπήγετο, ὡς
καὶ τὸν Δισύπατον Γεώργιον (ἦν δ' οὗτος ἐκ τοῦ τῶν ἀνα-
γνωστῶν τάγματος, οἳ τὸν μέγαν ἀμφιπονοῦνται νεὼν) εἱρ-
κτῇ συνειληφέναι, παθηνάμενον μόνον ἐφ' οἷς κακῶς ἐποίει
Ἀνδρόνικος καὶ κακῶς εἰπόντα Ἀνδρόνικον, καὶ ὀβελίσκοις
ἐμπεῖραι διηνεκῶς μελετᾶν καὶ ἐπ' ἀνθράκων ὀπτηθέντα τῇ
τούτου παρεισενεγκεῖν γαμετῇ. καὶ ἦν ἂν ὁ πιμελώδης Δισ-
ύπατος κατὰ δελφάκιον ὀβελοῖς ἐμπειρόμενος καὶ ὀπτανόμε-
νος καὶ ὡς ὕψον ἐπὶ κανοῦ τιθέμενος καὶ τοῖς κατ' οἶκον εἰσ-
B αγόμενος καὶ τῇ ὁμευνέτιδι παρατιθέμενος, οὐκ οἶδα ἐφ'
ὅτου, πολυχανδοῦς δὲ δήπουθεν, εἰ μὴ ὁ τῆς γαμετῆς τούτῳ
πατὴρ ὁ Μοναστηριώτης Λέων ἀνεσείραζεν Ἀνδρόνικον τῆς
ὁρμῆς καὶ ἦγχε καὶ κατεῖχε τοῦ ἐγχειρήματος, ὅσα καὶ λέων
κνώδαλα ἐκφοβῶν, δι' ὧν τὰ ἁνδάνοντα τοῖς τότε πράγμασιν
ἐξηρεύγετο, στόμα τῆς συγκλήτου πρὸς Ἀνδρονίκου καλούμε-
νος. καὶ φῆμαι δὲ ἤδη πάντοθεν λύουσαι τὸ πτερὸν τοὺς μὲν

3. ἐμυθίζετο] ἐλέγετο A. 5. ὡς] ὥστε A. 7. ναόν A. 10. διηνεκῶς] διαμπερὲς A. μελετᾶν] ἐμελέτα A, ἐμελέτα διαπεράσαι σούβλαν σιδηρὰν διὰ τῶν ὤτων αὐτοῦ καὶ ἐψῆσαι αὐτὸν ἐπάνω καρβούνων καὶ τῇ γυναικὶ προσενεγκεῖν τῇ αὐτοῦ ὡς ὀπτὸν ἕψημα B. 12. διαπειρώμενος καὶ πυρρακίζων τὴν ἐπιδερμίδα A. 18. δι'] καθ' A. 19. στόμα παρὰ πάσης τῆς συγκλήτου τοῦ ἀνδρονίκου καλούμενος, καὶ σύμβουλον καὶ ἀκούμβισμα τοῦτον ἔχων ὁ ἀνδρόνικος B.

xisse videretur, libellos aliquot una cum Mamalo cremavit, qui de secuturis imperatoribus tractabant, quibus recitandis Alexium ad regni amorem impulisse fingebatur.

11. Tantum autem abfuit ut eius facti Andronicum poeniteret aut simili crudelitate in posterum abstineret, ut Disypatum Georgium, magni templi lectorem, propterea quod de imperatoris saevitia liberius questus esset, in carcerem coniectum, subinde in animo haberet verubus transfixum et pinguem hominem instar porcelli supra carbones assatum uxori eius, haud scio in quo vase (amplum id utique esse oportuisset), mittere; ac omnino fecisset, nisi Monasteriota Leo socer eius, qui ob dicendae sententiae prudentiam senatus os ab Andronico vocabatur, tyranni furorem auctoritate sua repressisset. praeterea fama undique advolans, quae Dyrrachium Siculis deditionem fecisse et Thessalonicam obsideri nuntiabat, saevitiam

Σικελοὺς ἀπήγγελλον Ἐπίδαμνον παραστήσασθαι, Θεσσαλονίκην δὲ παρακαθῆσθαι, Ἀνδρόνικον δ' ἐξέκρουον τῶν φρενῶν ὑποθράττουσαι, καὶ τῶν κολάσεων τὸ σύντονον ὑπεχάλων ἐπὶ βραχύ. φρουρᾷ τοίνυν συνισχημένος ὁ Δισύπατος τὰς χεῖρας πρὸς τὸ θεῖον ἀνέτεινεν, κατὰ Δαβὶδ ἐπευχόμενος καὶ λέγων C „ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου," ἢ τὸ τοῦ Ἰωνᾶ φθεγγόμενος „ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου;" ἀλλὰ τί ηὔχετο; „ἀπάλειψόν με, κύριε, ἐκ τῆς μνήμης τοῦ Ἀνδρονίκου, καὶ ἐσοίμην παρ' αὐτῷ ἄγνωστος χρόνον ἐκ χρόνου καὶ μῆνα ἐκ μηνὸς καὶ ἡμέραν ἐξ ἡμέρας, μηδ' ἀκοῆς μου μνησθείη, ἕως ἂν ἐκ τῆς βίβλου τῶν ζώντων ἐξέλθοι." ὅθεν οὐδ' ἠμέλησε τὸ θεῖον, οὐδὲ παρεῖδε τὴν τούτου δέησιν, ἀλλ' ἀθιγῆ κακῶν ἐξείλετο τῆς φρουρᾶς, Ἀνδρονίκου τὸν βίον μετ' οὐ πολλὰς ἡμέρας ἀπολιπόντος.

Ὅπως δὲ ἠπίστατο τιμᾶν Ἀνδρόνικος τοὺς τῆς ἐκείνου θεραπείας ἐξεχομένους καὶ διαπύρους τῶν αὐτοῦ θελήσεων D πληρωτάς, ἐδήλωσε μὲν κἀξ ὧν ἀπανθρώπως τοῦ βίου ἐξήγαγε τὸν Μακροδούκαν Κωνσταντῖνον καὶ τὸν Δούκαν Ἀνδρόνικον, ὧν, ὡς εἴρηται, τὸν μὲν τῷ τῶν πανυπερσεβάστων ὑπεξῆρε σεμνώματι, τὸν δὲ Δούκαν υἱωσάμενος τοῖς πάνυ φιλουμένοις ἐνέγραφε· σαφῶς δὲ τὸ τῆς γνώμης ἀνήμερον V. 165

1. Θεσσ.] καὶ τὴν Θεσσ. χειρώσασθαι A, ἐς δὲ Θεσσ. ἀμαθεῖ (fortasse ἀμαχεί) καὶ εὐθυώρως ἰέναι cod. Wolf. 3. τῶν] τῶν ἀνθρωπίνων A. 4. τὰς χεῖρας] οὐκ ηὔχετο B. et opus est negatione, nisi cum A omittas illa ἀλλὰ τί ηὔχετο — ζώντων ἐξέλθοι. 7 ἢ τὸ] καὶ τὸ τοῦ ἰωνᾶ συχνάκις ἐπέλεγεν A. 16. ὅπως] ἀλλὰ καὶ ὅπως ἠπίστατο δεξιοῦσθαι ἀνδρ. τοὺς διαπύρους ἐκείνου θεράποντας καὶ τῶν αὐτοῦ A. 21. ὑπεξῆρε] ἐξῆρε A. υἱωσάμενος] υἱοθετήσας B.

Andronici et humani cruoris aviditatem nonnihil infringebat. Disypatus igitur in carcere manus ad deum extendebat, et cum Davide precabatur „educ e custodia animam meam, ut nomen tuum praedicem," et Ionae verba saepe repetebat „nunquid amplius sanctum tuum templum respiciam?" quid vero praecabatur? „deleto me, domine, ex Andronici memoria. sim ignotus apud eum omni tempore, ne recordetur nominis mei, donec ex libro viventium deletus fuerit." itaque numen non cunctatum est nec preces eius aspernatum, sed illaesum eduxit e carcere, Andronico paucis diebus post extincto.

Qui quo pacto fidelissimos suos ministros remunerari fuerit solitus, Macroducae Constantini et Ducae Andronici supplicia declararunt; quorum alterum, ut dictum est, panhypersebasti honore extulerat, Ducam vero adoptatum in amicissimorum numerum recepe-

ὑπέδειξε καὶ τὸ μὴ συμβαῖνον ἦθος εἰς ἐπίμονον εὔνοιαν ἐν οἷς προσέθετο καὶ τὸν Τρίψυχον ἐκπηρῶσαι Κωνσταντῖνον, ἄνδρα πολυέραστον χρῆμα παρ' Ἀνδρονίκῳ καὶ πάγχρηστον ἐν ταῖς ἐκείνου ὑπηρετήσεσι, καὶ τοσοῦτον ὑπερηγαπηκότα Ἀνδρόνικον καὶ θερμῶς αὐτῷ προσεσχηκότα ὡς ὑπερελάσαι πάντας μικροῦ ὁπόσοι τὰ Ἀνδρονίκου ἐπρέσβευον. παρὰ τοσοῦτον γὰρ εἰργόμενος ἦν τὸ ἐκ διαμέτρου νῖκος μονώτατος ἀποφέρεσθαι Τρίψυχος, παρ' ὅσον εἶχε συμπτερυσσόμενον αὐτῷ καὶ πρὸς τὸ ὑπερβάλλον τῆς προθυμίας ἀνθαμιλλώμενον τὸν Ἁγιοχριστοφορίτην Στέφανον, καὶ τὸ μονάζον τοῦ βραβείου δυάζοντα οἷς κἀκείνῳ τῆς ἀπηνείας ἐπλέκετο στέφανος. ἦν δὲ ἡ αἰτία τοῦ σβεσθῆναι τὰς κόρας Τρίψυχον βραχεῖά
P. 202 τις παραλύπησις καὶ ἀξία παροραθῆναι μᾶλλον ἢ πεσεῖν ὑπ' ἐξέτασιν καὶ κολάσαι τὸν παρειπόντα, καὶ ταῦτα φιλούμενον πολὺ καὶ φιλοῦντα οὐκ ἔλασσον. ἀλλ' ἐπεὶ καὶ ὑπὲρ ἀργοῦ λόγου λόγον ἐδίδοσαν ἄνθρωποι ἐπὶ τῶν Ἀνδρονίκου καιρῶν, κατὰ τοῦτο καὶ ὁ ἐξεταστὴς τῶν τοιούτων Τρίψυχος καὶ πολλοὺς βασάνοις ὑποβαλὼν καὶ τῆς οὐσίας πάσης ἀποψιλώσας, ὅτι καὶ γογγυσμοῦ ῥῆμα κατ' Ἀνδρονίκου ἀπέπτυσαν ἢ ἐγκατάλειμμα πονηροῦ ἐνθυμίου παρ' ἑαυτοῖς ὑπελείποντο, τοῖς ὁμοίοις καὶ αὐτὸς ἀνηλεῶς περιπέπτωκε, τῇ ἀνομίᾳ τῆς οἰκείας πτέρνης περιληφθείς, καὶ ᾧ μέτρῳ πολλάκις μεμέτρηκε, σεσαγμένῳ καὶ πεπιεσμένῳ καὶ ὑπερεκχυνομένῳ τούτῳ ἀντι-

1. ὑπέδειξε] ἔδειξε A. 3. παρ' ἐκείνῳ καὶ π. ἐν ταῖς τῆς τυραννίδος καθυπουργήσεσι A. 16. λόγου om A. 20. τοῖς αὐτοῖς κακοῖς ἀνηλ. A. 23. σεσαγμένῳ] σεσαλευμένῳ A. ὑπερεκκεχυμένῳ A.

tat. ingenii eius feritatem et in colenda amicitia levitatem illud etiam demonstrat, quod Tripsychum Constantinum excaecavit, hominem carissimum et diligentissimum tyrannidis ministrum: qui fide et observantia erga illum fere nemini cedebat; nec quicquam ei ad victoriam in certamine benevolentiae deerat, nisi quod unus Hagiochristophorites Stephanus in eodem stadio pari studio cum illo decurrebat. causa cur Tripsychi pupillae extinguerentur offensa exigua fuit, digna quae negligeretur potius quam in quaestionem vocaretur et poenam auctori irrogaret, praesertim tam dilecto nec minus diligenti. verum quia temporibus Andronici otiosi verbi ratio reddebatur, et Tripsychus earum causarum quaesitor multos excruciarat et bonis omnibus spoliarat, quod contra Andronicum nonnihil murmurassent aut malae alicuius cogitationis reliquias animis celassent, in eadem mala inclementer incidit, suapte iniquitate circumventus; et qua mensura saepe mensus fuerat, conferta et exuberante eadem

μετρηθείς, καὶ εἰς ὃν ὤρυξε βόθυνον τῷ πλησίον πολλάκις, B ἐπὶ τοῦτον (ὡς αἰνῶ σε, δίκη) χαριέντως ἐμπεπτωκώς, καὶ ἐφ' ἑαυτὸν λίθον κυλίσας ὃν ἀνώχλισε πλειστάκις κατὰ τῶν ἔγγιστα. τῷ τοι καὶ κατειπόντος αὐτοῦ πρὸς Ἀνδρόνικον τῶν γνησιωτάτων τινός, ὡς ἴσα τοῖς οὐκ εὐηργετημένοις μηδ' εὖ παθοῦσιν ὑπ' Ἀνδρονίκου ὑποτονθορύζει κατ' Ἀνδρονίκου καὶ Τρίψυχος ὁ τόσαις εὐποιίαις περιαντλούμενος καὶ τὰ τῶν ἀξιωμάτων ὑπέρογκα κτώμενος κἂν ταῖς βασιλείοις ἀκοίων ἐπιστολαῖς ἠγαπημένος υἱὸς καὶ κνιπὸς ἄνθρωπος καὶ ἐν ταῖς νῦν ἡμέραις δυσεύρετος, ὁ πολύολβος, ὁ εὐπάρυφος, ἐπαθήνατο τὴν ψυχὴν Ἀνδρόνικος, καὶ ἀπιστίαν καταγνοὺς τῶν ὅλων ἐπὶ συννοίας εἱστήκει, πρὸς ὀργὴν ὑπὸ τῶν λεχθέντων C ἀναρριπιζόμενος καὶ εἰς θυμοῦ ἐπιφρίσσων κλυδώνιον. ἐπεὶ δὲ ὁ προσαγγέλλων ἑώρα τὸ ἀναθαλπόμενον τοῦ θυμοῦ καὶ ἑτέρας ἐπιδεὲς δριμυτέρων ῥημάτων ἐπιφορᾶς, ὡς ἂν οὕτω λάβρον γεγονὸς μεταρσιωθείη αἰθέριον, ἢ γοῦν τὸ ἀχανὲς ἐκεῖνο τῆς ὀργιλότητος πέλαγος καταιγιδώδη θέλον πνοὴν ἐς τὸ διαστῆναι καὶ καταχρύψαι ὡς ἕτερον τριστάτην Αἰγύπτιον τὸν ἄθλιον Τρίψυχον, φησὶ πρὸς Ἀνδρόνικον ὡς καὶ τὸν υἱὸν καὶ διάδοχον τῆς σῆς βασιλείας καὶ κληρονόμον ἔννομον τῆς ἀρχῆς, τὸν κάλλιστον καὶ ἀσπασιώτατον ἅπασιν Ἰωάννην, διασύρων οὐ παύεται Τρίψυχος, ἀπόπληκτα φθεγγόμενος

1. βόθυνον] βόθρον A. 2. ἐμπεπτωκώς] ἐμπεσὼν A. 4. ἔγγιστα] σύνεγγυς A. 9. καὶ prius om A. 11. τῶν om A. 14. τὸ ἀναθαλπόμενον] τὸ ἀνοιδαινόμενον τοῦ θυμοῦ δριμυτέρων ἐπιδεὲς ζ. A. 16. ἢ τὸ αἱμωπὸν A. 17. ἐς τὸ] ἐπὶ τῷ διανοιγῆναι εἰς χάσμα A. 18. ὡς τριστ. ἄλλον A. 19. τρίψ. προσεπαγαγὼν φησὶ A. τὸν υἱὸν] τὸν σὸν υἱὸν ὦ δέσποτα βασιλεῦ καὶ κλ. A.

ei remensus est Andronicus; et quam foveam aliis saepe foderat, in eam (quam vero iudicio) ipse merito incidit; et in se devolvit saxum, quod saepissime aliis intentarat. itaque delatus a quodam ex coniunctissimis, Tripsychum tot beneficiis cumulatum, tot dignitatibus ornatum, qui in imperatoriis litteris dilectus filius appelletur et exploratae fidei homo, qualis hodie vix inveniatur, pecuniosum illum et purpuratum aeque de Andronico queri ac eos qui nihil ab eo beneficii accepissent, perdoluit Andronicus, et fide eius in universum damnata tristis astitit, iisque verbis ad iracundiam est extimulatus. ut vero delator animadvertit effervescentem bilem acriora verba flagitare, ut magis etiam ebulliret, et sanguinarium illud iracundiae pelagus miserum Tripsychum ut Aegyptium equitem absorberet, subiunxit „etiam filium tuum, domine imperator, et legitimum imperii successorem, pulcherrimum et optatissimum omnibus

D ῥήματα καὶ βδέλυγμα τοῦτον ἀναγορεύων θείῳ τόπῳ τῷ τῆς αὐτοκρατορίας ἐνιδρυθησόμενον, καί ποτε παριέναι μὲν τὸν βασιλέα Ἰωάννην ὑπὸ πλείστων εὐφημούμενον καὶ προπεμπόμενον, τὸν δὲ Τρίψυχον ἐπεγγελῶντά οἱ δυσφημεῖν καὶ Ζιντζιφίτζην ἀποκαλεῖν, καὶ μέγα στενάξαντα εἰπεῖν „ὢ δυστυχὴς Ῥωμαίων ἀρχή, οἷός σοι ὁ αὐτοκράτωρ ἐλπίζεται." ἦν δὲ ὁ Ζιντζιφίτζης ἀνδράριον εἰδεχθέστατον, ταῖς τῶν σταδιοδρόμων ἵππων ἀμφιπεριστρεφόμενον ἄντυξι, καὶ τὰ πλείω μὲν τῶν μελῶν ἀνάρμοστον, καὶ βραχὺ τὸ δέμας καὶ εὔσαρκον, εὐτράπελον δὲ ἄλλως καὶ δεινὸν εἰς ταμιεῖα πλῆξαι ψυχῆς ἀπαλυνομένοις βωμολοχίᾳ σκώμμασι καὶ ποιητικοῖς γέλωτος λόγοις διαχέουσι σκηνικώτερον. οὐκ ἐνεγκὼν τοίνυν τὰ λελεγμένα, ὡς δὲ βολίδας ἔνδον ἐν καρδίᾳ δεδεγμένος Ἀνδρόνικος, ἅτε λαῖλαψ τὰ προσόντα τῷ Τριψύχῳ διαφορεῖ, καὶ εἱρκτῇ παραδοὺς ἀδέσμῳ εἶτα καὶ τοῦ τῶν ὀμμάτων
P. 203 φάους ἀποστερεῖ. καὶ τοιοῦτο μὲν τὰ τῆς παραδυναστείας
V. 166 τῷ Τριψύχῳ πέρας εἰλήφασιν, ὡς ἐπ' αὐτῷ ἄντικρυς ῥηθῆναί τε καὶ περατωθῆναι τὸ τοῦ Σολομῶντος ἐκεῖνο δοκεῖν γνωμάτευμα, ὅ φησιν „εἰσὶν ὁδοὶ δοκοῦσαι μὲν ἀνδρὶ τὰ πρῶτα ὀρθαί, τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς θάνατον." καὶ τῇδε μὲν τὰ κατὰ τὴν βασιλίδα πόλιν ἐφέρετο.

3. ἀνευφημούμενον A. 7. ταῖς τῶν σταδ.] σάγισμα ἀλόγου φορῶν καὶ τὰ περισσότερα τῶν μελῶν ἀνάρμοστα ἔχων πρὸς τὴν ἡλικίαν τοῦ σώματος, γελοιαστικὸν καὶ λόγους μετριωτέρους ἐν τοῖς καπηλείοις καὶ ῥύμαις λέγων τῆς πόλεως B. 13. λεγόμενα A. ἐν ψυχῇ A. 14. τὰ προσόντα] περιορίζει τὴν ἅπασαν περιουσίαν αὐτοῦ B.

Iohannem, insanis verbis calumniari non desistit Tripsychus, eumque ut piaculum divinam imperii sedem conscensurum praedicat. ad haec, cum aliquando imperator Iohannes praeteriret, eique a maxima hominum frequentia acclamaretur, Tripsychus eum derisit et per contemptum Zinziphizem vocitavit, et cum magno suspirio dixit, „o miserum principatum Romanorum, qualis ei imperator expectatur!" erat autem Zinziphizes deformissimus homuncio, qui in circo equestri crebro versabatur, plerisque membris distortis, brevis et carnosus, scurra tamen non insulsus et risus concitandi artifex. quibus verbis graviter commotus Andronicus Tripsychi bona grandinis in morem dissipat; et ipsum in liberam custodiam datum tandem etiam excaecat. hunc Tripsychi potentia finem habuit, ut Salomonis illa sententia plane in eum quadrare videatur, cum ait vias esse quae principio rectae videantur, sed exitum earum ferre ad mortem.

ΤΟΜΟΣ Β ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ

ΑΝΔΡΟΝΙΚΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ.

1. Τὸ δέ γε Σικελικὸν στράτευμα τριχῇ διαιρεθέν, ὃ V. 167
μὲν τῇ Θεσσαλονίκῃ προσέμενε, τῶν δ' αὖ ἑτέρων δύο μερί- B
δων ἡ μὲν εἰσβάλλει κατὰ τὰς Σέρρας καὶ τὰ ἐκεῖσε πάντα χειροῦσθαι καὶ πορθεῖν ἔγνωκεν, ἡ δὲ ὡς διὰ λείας ὁδοῦ φερομένη καὶ μηδένα τὸν εἰς χεῖρας ἰόντα ἢ ἀντιπίπτοντα ἔχουσα εἰς αὐτὴν τὴν Μοσυνόπολιν κατεσκήνωσε καὶ τὸ κύκλῳ
ὑποχείριον ἔθετο. Ἀνδρονίκῳ δὲ τὰ μὲν πρῶτα ἐμέλησε P. 204
στεῖλαι τὸν φυλάξοντα τὴν Ἐπίδαμνον, καὶ ἀφίκετο ἐκεῖσε ὁ Βρανᾶς Ἰωάννης· βραχεῖαι δὲ ἡμέραι, καὶ οἱ μὲν Ἰταλοὶ Ἐπιδάμνου ἐπέβησαν ὡσεὶ πτηνοὶ καὶ ἀέριοι, μικροῦ τε θάτερον τῶν ποδῶν περιβάδην ἐκτείναντες ἀπραγμόνως τὰ τῶν περιβόλων ὑπερέβησαν κρήδεμνα, ὁ δὲ Βρανᾶς εἰς Σικελίαν αἰχμάλωτος μετατίθεται. ἔπειτα τῷ διέπειν λαχόντι Θεσσαλονίκην Δαβὶδ ἐπέστελλε, καὶ ἐπέτελλεν ἐπαγρυπνεῖν τῇ τῆς πόλεως φυλακῇ καὶ μηδ' ὅλως δεδιέναι τοὺς πεδιλορράφους Λατίνους, πηδᾶν δὲ καὶ δάκνειν καὶ κεντεῖν, ἵν' αὐτὰς τὰς

7. ἀντιπίπτ.] ἀνθιστάμενον A. 8. μωσυνούπολιν A. 15. μετατίθεται] ἀπενήνεκται A. Θεσσ.] τὴν θεσσ. A. 17. τοὺς τὰ στενὰ σκαλπέτια φοροῦντας B.

IMPERII

ANDRONICI COMNENI

LIBER SECUNDUS.

1. Hoc urbis imperatricis statu Siciliensis exercitus in tres partes est divisus, quarum una Thessalonicae mansit, altera in Serranum agrum impressionem fecit ut loca illa omnia vastatura et subactura, tertia quasi plana via processit, neque ullo hoste apparente ad ipsam Mosynopolim tentoria fixit et circumiacentia loca omnia subegit. Andronico vero principio curae fuit praesidium mittere Epidamnum, sed paucis diebus post quam Branas Iohannes eo pervenisset, Itali veluti volatu per aërem advecti citra laborem et quasi per otium moenium pinnacula transcenderunt. Iohannes Branas captivus in Siciliam est abductus. deinde Thessalonicae praesidi Davidi per litteras mandavit ut urbis custodiae intentus esset, nec calcearios Latinos quicquam formidaret, utque saltaret, morderet et pun-

'Ανδρονίκου παραθήσομαι λέξεις. καὶ ἐφ' ὅτῳ μὲν 'Ανδρόνι-
B κος οὑτωσὶ συνετίθει τὰ γραμμάτια, μόνος ὁ ἐκδιδοὺς ἐπι-
V. 168 στάμενος ἦν 'Ανδρόνικος· αὐτοῖς δὲ τοῖς φιλοσκώμμοσι πολίταις διὰ γέλωτος ἤγετο τὰ γραφόμενα, ἀντιφέρουσι ταῦτα καὶ ἀντιβάλλουσι πρὸς αἰσχρά τινα δημόσια ῥήματα, ἃ μὴ προφέρειν χρεών. ἐπὶ δὲ τούτοις τὰς 'Ρωμαϊκὰς δυνάμεις συνηθροικώς, ὅσαι τε ἑῷαι καὶ ὅσαι ἑσπέριαι, καὶ ταύτας ἐς τάγματα διελών, τὸ μὲν τῷ βασιλεῖ καὶ υἱῷ 'Ιωάννῃ ἀπέταξε περὶ τὴν Φιλίππου διατρίβοντι ἐπαρχίαν, τὸ δὲ τῷ χαρτουλαρίῳ παραδέδωκε Χούμνῳ, ἄλλο τῷ Παλαιολόγῳ 'Ανδρο-
C νίκῳ, ἕτερον τῷ ἐκτομίᾳ Νικηφόρῳ, ὃς τιμήεις ἦν παρ' 'Ανδρονίκῳ, τῷ τοῦ παρακοιμωμένου κυδρούμενος ἀξιώματι. ἀλλὰ καὶ 'Αλέξιον ἐκπέπομφε τὸν Βρανᾶν μεθ' ἑτέρου στρατεύματος. πλὴν ὁ μὲν υἱὸς κυνηγεσίοις ἐνευνάθει κατὰ τὴν Φιλιππούπολιν, ὅσα καὶ πυλῶν Γαδειρίδων κατάσχεσιν ἢ Διονυσίων στυλίδων καθαίρεσιν τὴν τῆς Θεσσαλονίκης προνόμευσιν φανταζόμενος· οἱ δὲ λοιποὶ ταυτησὶ πολιορκουμένης ἐγγίσαι μὲν καὶ ἐπαρῆξαι οὐδαμῶς ἀπεθάρρουν, πορρωτάτω δὲ σκηνούμενοι δι' ὀπτήρων καὶ ταχυδρόμων κλεπτόντων τὴν εἰς τὸ στρατόπεδον τῶν πολεμίων ἄφιξιν τὰ κατὰ Θεσσαλονίκην ἦσαν ἐνωτιζόμενοι. μόνος δ' ἀπὸ πάντων ὁ Χοῦμνος
D Θεόδωρος ὑπέστη ἐγγύτερον προσελθεῖν ὡς ἐπαμυνῶν Θεσσαλονικεῦσιν ἐν τῷ συμπλακῆναι τοῖς διειληφόσι τὴν πόλιν

2. συνετίθει] συνέταττε A. ὁ ἐκδιδοὺς] ἐπ. ὁ ταῦτα ἐκδ. ἀνδρ. A. 11. ὃς ἦν ὑπ' ἀνδρονίκου A. 12. κυδρούμενος] τιμηθεὶς A. 15. γαδειρίων A. 18. οὐδ' ὅλως ἐθάρρουν A.

geret, ut ipsa verba Andronici apponam; quae cur usurparit, solus auctor novit Andronicus. sed cives facetiores verba illa ridebant, et ad quaedam vulgaria et obscoena detorquebant, quae silentio praetereunda sunt. post haec Romanis copiis tam Occidentalibus quam Orientalibus coactis et in legiones descriptis, partem unam Iohanni filio imperatori designato, tum in Philippica provincia degenti, aliam Chumno Chartulario, aliam Andronico Palaeologo, aliam Nicephoro spadoni dedit, cui accubitoris dignitatem tribuerat. Alexium quoque Branam cum alio exercitu ablegavit. caeterum filius eius circa Philippolim venationibus deditus de excidio Thessalonicae non magis cogitabat quam de Gadium portis aut Bacchi columnis evertendis. caeteri vero, dum ea obsideretur, propius accedere et opem ferre nullo modo ausi, castris longe ab urbe positis per speculatores et expeditos equites castra hostium furtim ingressos Thessalonicae statum explorabant. solus omnium Chumnus Theodorus propius accedere non dubitavit, ut civibus in aciem contra hostes egressis

στρατεύμασιν, ἢ καὶ παρελευσόμενος ἔσωθεν, εἰ καὶ τοῦτο ἐξείη. ἀλλὰ καὶ πρὸς ἄμφω διαμαρτὼν τοῦ σκοποῦ αἴσχιστα παλίμπους ἐφέρετο· οἱ γὰρ ἀμφ' αὐτὸν μηδὲ μέτωπον κόρυθος τῶν ἐναντίων βλέψαι ὑπενεγκόντες τὰ νῶτα μετέβαλον καὶ ἀμεταστρεπτὶ ἔφευγον, ἓν τοῦτο παρὰ τοὺς λοιποὺς ὁμοφύλους ἀνδρισάμενοι, τὸ γοῦν ἀεὶ μὴ ἐφησυχάζειν, ἀλλ' οὓς οἱ πευθῆνες ἀνήγγελλον αὐτοῖς πολεμίους, τούτους αὐτοψεὶ κατιδεῖν, καὶ ἔργοις αὐτοῖς διδαχθῆναι τὸ ἐν μάχαις ὀξύρροπον τῶν ἀνδρῶν. ἐπεὶ δὲ ἑάλω ἡ λογίμη Θεσσαλονίκη καὶ ὁ διαμερισμός, ὥς μοι εἴρηται ἤδη, ξυνέβη τοῦ Σικελικοῦ στρατεύματος, ἄλλος δ' ἂν εἴπῃ τις ὡς κατὰ τὴν μυθικὴν Χίμαιραν συναπτόμενον πρότερον τὸ ἀντίπαλον, τότε διαιρεθέν, τὸ μὲν κράτιστον αὐτοῦ ὅσα καὶ λέων προηγούμενον εὐθὺ τῆς βασιλίδος ἵετο πόλεως, τὸ δὲ μέσον τὰ κατ' Ἀμφίπολιν καὶ Σέρρας ἐπενέμετο, τὸ δὲ λοιπόν, ὅσον δηλονότι ναυτικὸν καὶ ὡς ὄφις συρόμενον ἐν τοῖς ὕδασιν, ἐτήρει τὴν P. 205 προκαθεζομένην πόλιν τῶν Θετταλῶν. οὐδ' οὕτως ὄντες ὁμοθυμαδὸν οἱ Ῥωμαῖοι καὶ βάλλοντες ἓν στρατήγιον ἑνί τινι γοῦν συμπλακῆναι ἀπεθάρρησαν τμήματι· ἀλλ' οἱ μὲν κατειληφότες τὴν Μοσυνόπολιν πολέμιοι καὶ περὶ τῆς προσωτέρω πορείας ἐσκέπτοντο, μηδαμῶς ὁπλίτην Ῥωμαῖον ἐνοπτρισάμενοι, Ῥωμαῖοι δὲ τὰς τῶν ἐκεῖσε προκαταλαβόντες

6. ἀεὶ ἡσυχῇ καθῆσθαι A. 10. ἤδη om A. 13. τὸ μὲν κρεῖττον καὶ στρατηγικώτερον ἔπεμψεν ἐλθεῖν μέχρι τῆς μοσυνουπόλεως καὶ τοῦ βολεροῦ, καὶ ἔφθασε καὶ ἦλθε, καὶ ἀπέβλεπε καὶ ἔμπροσθεν ἔρχεσθαι B. 14. μέσον τοῦ στρατεύματος περὶ τὴν ποπολίαν καὶ τὰς σέρρας ἐκαρτέρει B. 20. προσωτέρω] περαιτέρω A.

opem ferret, aut si liceret, ipsam urbem ingrederetur. sed utroque consilio frustratus turpissime pedem retulit, quod milites eminus, ne galeam quidem hostilem intueri ausi, tergis obversis effuse fugiebant, in eo duntaxat caeteris popularibus suis praestantiores, quod non semper ignavi desederant, sed hostes, quos speculatores adesse nuntiarant, coram aspexerant, et re ipsa impetum eorum cognorant. capta Thessalonica et Siculo exercitu diviso ut dictum est, quem alii prius instar Chimaerae coniunctum, tum separatum esse dicerent, fortissima eius pars tanquam leo recta ad urbem imperatricem contendebat, media Serranum et Amphipolitanum agrum pervagabatur; postrema, classis videlicet, quae in modum serpentis in aquis volvitur, principem Thessalorum urbem custodiebat. verum Romanis, quamvis coniuncti iisdem auspiciis militarent, ne sic quidem cum una parte dimicare ausis, hostes qui Mosynopolim occuparant, cum nullum hostem viderent, longius progredi statuerunt. Romani

ὀρέων λαγόνας εἰς τὸ πεδίον οὐκ εἶχον ὑποκαταβῆναι καὶ δέξασθαι τὸ ἐπιὸν δυσμενές. ὅθεν ἐγνώκεσαν Ἰταλοὶ μηκέτι ἀναδύεσθαι, ἀλλ' ὁμοῦ συσπειραθῆναι καὶ πρὸς ἓν κατάντη- B μα τὴν Κωνσταντίνου καλλίπολιν ἐπειχθῆναι καὶ ταυτηνὶ χειρώσασθαι. οὕτω γὰρ αὐτοὺς ἐπῇρεν ὁ ἐκ Κομνηνῶν Ἀλέξιος, ὃς σφισι συνὼν καὶ μηδ' ἐν μέρει ταττόμενος στρατηγοῦ, ἃ τελεσθῆναι οὐκ ἔμελλον φανταζόμενος, ᾤετο ὁ ἀνούδμως, ὁ ἀνούστατος καὶ μηδὲ προβατίων ἄρχειν ἄξιος ὑπὲρ ἐκείνου διαπονεῖσθαι τὸν ῥῆγα τῶν Σικελῶν, καὶ ὡς ἤδη ἐν τῷ βασιλικῷ σχήματι καταστὰς καὶ ἀρχαιρεσιασθεὶς αὐτοκράτωρ ὁ Μελιτίδης ὠφρύωτο, φάσκων καὶ διατεινόμενος πρὸς τὸ ἀλλόθρουν στράτευμα μὴ ἂν ὑποβεβηκέναι τὸν ἑαυτοῦ πόθον παρὰ τοῖς Κωνσταντίνου πολίταις πρὸς τὸ μεγαλεῖον τοῦ βασιλέως καὶ πρὸς πατρὸς αὐτῷ θείου τοῦ Μανουήλ, ἀλλ' οὕτως ἡγεῖσθαι παρὰ Ῥωμαίοις ἀσπάσιος ὅσα καὶ ἡμεροφαὴς C ἥλιος, καὶ κατὰ τὴν ἀέρος ὁλκὴν ἀπαραίτητον κρίνεσθαι καλόν. καὶ ταῦτα μὲν οὕτως.

V. 169 2. Αὐτὸς δὲ Ἀνδρόνικος τὰ τῆς πόλεως τείχη περιελθών, εἴ τι χρόνῳ ὑπέσκαζεν, ἐπισκευάζεσθαι τοῦτο προσετετάχει. καὶ ἦν ἔργον εὐθὺς τὸ ἐπιταττόμενον. κατηρείποντο

2. Ἰταλοὶ] σικελοὶ A. 5. ἐπῇρεν] ἐθαρροποίει B. 9. καὶ ὡς] ὡς γοῦν A. 11. φάσκων] λέγων μετὰ ὅρκου καὶ βεβαιῶν τοῖς φράγγοις ὅτι οὕτως ὡς ἴδωσιν αὐτὸν οἱ πολῖται, κατὰ τὴν ὥραν μέλλουσιν εἰσδέξασθαι αὐτὸν διὰ τὴν ἀγάπην καὶ τὸν πόθον ὃν εἶχον πρὸς τὸν θεῖον αὐτοῦ καὶ βασιλέα τὸν μανουήλ. οὕτως γὰρ κάθηνται οἱ κωνσταντινουπολῖται καὶ ἀπεκδέχονταί με καθὼς οἱ ἐν χειμῶνι τὸν ἥλιον ἀπεκδέχονται. B. 19. ὑπέσκαζεν] ὑποσχάζον ἦν καὶ κακόν, ὑπερείδεσθαί τε τοῦτο καὶ ἐπισκευάσαι A. 20. κατηρείποντα οὖν ὁπόσα τῶν οἰκημάτων παραπεπηγότα τοῖς τείχεσιν ἔξωθεν εὐέφοδα τοῖς πολεμίοις ἐποίει A.

vero montium verticibus insessis in planitiem descendere et hostibus ire obviam non audebant. itaque Siculi nihil cunctandum esse rati, coactis in unum copiis Cpolim petendam et occupandam esse censuerunt. hanc etiam spem Comnenus Alexius eis fecerat, qui cum eos ne ducis quidem loco comitaretur, tamen irrita spe concepta homo stultissimus, ac ne ovibus quidem pascendis aptus, Siculorum regem sua causa laborare putabat; nec minus supercilii prae se ferebat quam si iam imperator designatus insignia imperii gestaret, et apud peregrinum militem se a Cpolitanis non minus quam patruum magnificum imperatorem Manuelem desiderari et aeque ac matutini solis iucundissimos radios expectari inepte iactabat.

2. Andronicus vero ipse moenia urbis circumiit; et si quid vetustate ruinosum erat, id suffulciri et instaurari iussit. nec mora iussis

δὲ καὶ τῶν οἰκημάτων ὁπόσα τοῖς τείχεσιν ἐπικείμενα εὐέφοδα ἐποίει τὰ ἔσωθεν, καὶ νῆες μακραὶ περὶ τὰς ἑκατὸν ἐσάλευον κατὰ τὰς ἀκτάς, ἡτοιμασμέναι πρὸς ἔκπλοιαν, δέησαν ἐπιβοηθήσουσαι πόλεσι κακῶς διακειμέναις ὑπὸ τοῦ στόλου τῶν Σικελῶν, καὶ τοῖς ἀστυπολίταις ἀρήξουσαι (καὶ οὗτοι γὰρ ἐπιστῆναι ᾤοντο αὐτίκα τοὺς πολεμίους), καὶ διαληψόμεναι κατὰ καιρὸν τὸν εἰσέχοντα θαλάττιον κόλπον καὶ ποταμίου δίκην ὁλκοῦ τὴν ἐν Βλαχέρναις ἠϊόνα ῥαίνοντα. καὶ D
τὰς μὲν κοινὰς ἐς τοσόνδε διαθέμενος φροντίδας ἀνέπαυσεν, ὡς ἀρκούντως ἤδη καὶ ἀραρότως τὰ πρὸς ἀντιμάχησιν διοικήσας καὶ καταπολέμησιν τῶν τοῖς Ῥωμαίοις ἐπιόντων ἐχθρῶν· ἀκηκοὼς δὲ ἁλῶναι Θεσσαλονίκην εἰς κακοποιίαν τρέπεται τῶν προσγενῶν Δαβίδ, ὃν φύλακα τῆς πόλεως ταύτης τὸ λέγειν ἤδη δεδήλωκε, καὶ συλλαβὼν τούτους καθείργνυσιν ἐν φρουραῖς. δημηγορῶν δὲ οὐδὲν μέγα τὸ συμβὰν ἔλεγεν εἶναι, οὐδ' ἄξιον ὡς κατόρθωμα σεμνολογεῖσθαι τοῖς Σικελοῖς· οὐ νῦν γὰρ πρώτως ἀλλὰ καὶ πρώην πόλεων ἁλώσεις ἐπάγειν τὸν χρόνον φιλεῖν, καὶ νίκην ἐπαμείβεσθαι ἄνδρας. φήμαις δὲ βαλλόμενος ἀπευκταίαις ἄλλοτε ἄλλαις, καὶ συχνάκις ἐφισταμένων τῶν ἀγγελλόντων ὡς νῦν μὲν οἱ ὑπεναντίοι Ἀμφίπολιν παρεστήσαντο, νῦν δὲ τὰς ἐφεξῆς ληϊσάμενοι χώρας κατὰ τὴν Μοσυνόπολιν ἐναυλίζονται, καὶ τὰς τοιαύτας ἀγγελίας ὡς οὐδέ πω δεινὰς ἀπεπέμπετο, καὶ ἔλεγεν ὡς μετελεύ- P. 206

3. ἐν ταῖς ἀκταῖς A. 20. νῦν μὲν] ποτὲ μὲν ἡ χώρα τῆς ποπολίας ὅλη προσεκύνησε τοῖς φράγγοις B. 22. κατὰ τὴν] μέχρι μοσυνοπόλεως καὶ βολεροῦ B.

alacriter obtemperatur; aedificia extrinsecus moenibus contigua, quae facilem in urbem ascensum praebebant, diruuntur; naves longae circiter C in littoribus fluctuant, ad navigandum, si opus esset, et opem urbibus quas Sicula classis infestaret et ipsis civibus ferendam paratae (nam hi quoque hostis adventum imminere putabant), et ad marinum sinum, qui fluminis instar Blachernium littus alluit, per tempus occupandum. hactenus rei publicae navata opera quievit, quasi iam abunde ad defensionem et hostium profligationem paratus. audita vero Thessalonicae expugnatione Davidis custodis eius urbis propinquos in carcerem coniicit, ac pro concione casum illum extenuat: nihil magni gessisse Siculos, neque nunc primum sed saepe alias progressu temporis urbes esse expugnatas, et victoriae vicissitudinem esse. sed cum alias aliis adversis nuntiis percelleretur, et crebro adessent qui nunc Amphipolim esse captam, nunc finitimis illi provinciis vastatis hostes iuxta Mosynopolim castra habere asserebant, iis quoque rumoribus elevatis se ulturum hostes et funditus deletu-

σεται τοὺς ἐχθροὺς καὶ ἐξολοθρεύσει τέλεον ὃν τρόπον οἱ θηραταὶ τοὺς μοναδικοὺς τῶν συῶν. αὐτούς τε γὰρ κατὰ βραχὺ μεθισταμένους τῆς λόχμης ἐγκλείεσθαι λιχνευομένους περὶ τὴν προκειμένην ἐδητὺν, ἔνθα ὁ δόλος καὶ ἡ πάγη κατ-τύεται, καὶ οὕτως ἐμπείρεσθαι δόρατι ἢ βαθεῖαν κατὰ τῶν σπλάγχνων δέχεσθαι τὴν πληγήν· καὶ τοὺς Ἰταλοὺς δὲ ὡσαύτως ἀφροντιστοῦντας ὡς οὐκ ὄντος τινὸς ἀνθισταμένου, καὶ ἀεὶ προχωροῦντας τοῖς ἔμπροσθεν καὶ τῇ τῶν πλειόνων σκύλων ὑποσαινομένους ἐφέσει, μέλλειν εἰς τὸν ἔσχατον καὶ ἀπρόοπτον ὄλεθρον ἐμπεσεῖσθαι, καὶ ἐπὶ κορυφὴν αὐτῶν τὴν
B ἀδικίαν αὐτῶν καταβήσεσθαι. ἦν δὲ ταῦτα οὐδὲν ἢ ἀνδρὸς τῇ φύσει τῶν πραγμάτων ἀντιμαχομένου προδήλως αἱμύλα προβλήματα καὶ πολιτείας ἤδη κατ' αὐτοῦ φλεγμαινούσης μειλίγματα οἷς οὐκ ἦν ἀρρενούμενος καὶ πᾶσαν μηχανὴν μετιὼν, ὅπως ἀποσοβήσειε τὸ ἀλλόγλωττον. καίπερ δὲ τοιούτων καὶ τοσούτων ἐφεστώτων κακῶν, καὶ πάντων πείσεσθαι φανταζομένων τὰ οἰκτρότατα καὶ ὡς ἤδη παρόντων καὶ ἀνιώντων ὀδυρομένων, ὁ δὲ ὁμαλῶς ἔφερε τὰ ἀνύποιστα καὶ οἷον ἐπ' ἀλλοτρίοις δεινοῖς τὸ φιλόσοφον ἐπεδείκνυτο, καὶ ταῦτα, εἴ πέρ τις, φίλαρχος ὢν καὶ δι' ἔρωτα βασιλείας εἰς ἀπάνθρωπα ἤδη
C ἐκκυλισθεὶς καὶ τυράννους ὑπερελάσας τοὺς πώποτε. ἔνθεν τοι καὶ τῆς πόλεως πολλάκις ἀπανιστάμενος μετὰ χορείας ἑταιρίδων καὶ παλλακῶν ἐφιλοχρίνει τὰ τῶν τόπων ἐρημικώτερα καὶ οἷς ἡ τῶν ἀέρων ἐπλεόναζεν εὐκρασία, καὶ θηρίων

12. αἱμύλα] λόγοι μετριαστικοὶ καὶ γελοῖοι B.

rum dicebat, quemadmodum venatores singulares apros. eos enim paulatim a saltu recedentes et escam persequentes in insidias et decipulam pellici, ac venabulo transfigi aut profundum vulnus in visceribus accipere. Italos eodem modo, quasi resistente nemine securos, et subinde maioris praedae cupiditate progredientes, in extremum et improvisum interitum delapsuros et scelerum suorum poenas daturos. quae verba nihil erant aliud nisi futiles rationes viri, qui aperte naturae rerum repugnabat et concitatum contra se populum lenire studebat; non autem eo pertinebant ut ex viri fortis officio nihil intentatum relinqueret, quo barbaros profligaret. nam quamvis tot et tanta mala instarent, ut omnes atrocissima quaeque timerent iisque veluti iam urgentibus angerentur, ille res intolerabiles aequo ferebat animo, et in alienis malis philosophabatur, idque in summa ambitione et cupiditate imperii, qua ad inhumanitatem impulsus omnes tyrannos qui unquam fuere superavit. ad haec, ut erat luxu corruptus, cum coetu scortorum et pellicum in loca deserta et temperata secedere et ferarum more convalles et herbosos saltus conse-

δίκην συναγκελίαις ὁρῶν καὶ χλοεροῖς παραβυόμενος ἄλσεσιν, ὡς ὄρνιθας κατοικιδίους ἀλεκτρυὼν ἢ αἶγας τράγος ἡγούμενος αἰπολίου, ἢ καθά περ ὁ Σεμέλης Διόνυσος τὰς Θυάδας Σοβάδας Μαινάδας Βάκχας, εἶχεν ἑπομένας ὡς ἐρωμένας, μόνον οὐ νεβρίδα ἐξημμένος καὶ τὸν κροκωτὸν ἐνδυόμενος. καὶ ἦν κατὰ τακτὰς μὲν ἡμέρας ὡσεὶ διὰ περιπετάσματος ὀλίγοις τῶν ἐκ τῆς βασιλείου αὐλῆς ὀπτανόμενος, καὶ τούτων D
οἵπερ ἐκείνῳ μάλιστα προσῳκείωντο, αὐλητρίσι δὲ καὶ ἑταιρίσιν ἀναπεταννὺς πᾶσαν πάροδον καὶ πάντα καιρὸν εἰς ὁμιλίαν αὐταῖς χαριζόμενος. ἔχαιρέ τε κατὰ Σαρδανάπαλον V. 170
ταῖς ἀνέσεσιν, ὃς τόσσ' ἔχειν ὅσσ' ἔφαγε καὶ ἐφύβρισε τῷ ἐπιταφίῳ ἐνεκόλαπτε γράμματι. Ἐπικούρειός τε ἦν καὶ Χρυσίππειος, καὶ λαγνείαν δυστυχῶν πολύποδος ἵμερον ἐδίωκε, καὶ φιλότητι μαργαίνων, καὶ τὸν Ἡρακλέα μιμούμενος ἀτεχνῶς κατὰ τὴν τῶν πεντήκοντα καὶ μόνον θυγατέρων Θυέστου φθοράν. οὐκ ἔχων δὲ τὴν ἴσην πρὸς τὸ ἀκολασταίνειν ἰσχύν, ὡς Ἰόλεων ἐκεῖνος κατὰ τῆς παλιμφυοῦς ὕδρας συνέριθον, οὕτω καὶ οὗτος τὰ ὑπὸ γαστρὸς πρὸς συνουσίαν ἀλοιφαῖς καὶ περιττοῖς σκευάσμασιν ἀνερρώννυεν. ἤσθιε δὲ καὶ ζῶον Νειλῷον, κροκοδείλῳ πάνυ τι ἐμφερές, σκίγγον λεγόμενον, ἀπόσιτον μὲν τοῖς μὴ τὰ τοιαῦτα βρωτέα κρίνουσι, διερε-

1. συναγγελίας codices. 2. ὡς] ὥσπερ πετεινὸς μετὰ ὀρνίθων πολλῶν B. 4. ὡς] τὰς? 8. αὐλητρίσι] γυναιξὶ δὲ ὀρχηστιρίαις καὶ τραγῳδοῖς B. 11. καὶ ἐφύβρισε] καὶ ὅσα εἰς τὰς γυναῖκας ἐπόρνευσε B. 17. ὡς Ἰόλεων] ἤλειφε τὰ ὑπογάστρια αὐτοῦ ἀλείμματα διερεθίζοντα αὐτῷ πρὸς μῖξιν B. 19. ἤσθιε] εἶχε δὲ καὶ ἀπὸ τοῦ νείλου ποταμοῦ σκίγγον λεγόμενον, ἀπὸ ζώου κροκοδείλου κατασκευαζόμενον, μὴ τρωγόμενον μέν, παρ' ἐκείνου δὲ καὶ τρωγόμενον διὰ τὸν τῶν γυναικῶν συνουσιασμόν B. 20. σκ. λεγόμενον om A.

ctari solebat, ut gallinarum gallus gallinaceus aut hircus caprarum ductor; aut ut Bacchus Thyadas et Maenadas, sic ipse amicas suas antecedebat, tantum non hinnuli pelle et crocoto indutus. ac certis diebus a paucis aulicis, iisque intimis, veluti per transennam videbantur: tibicinis vero et meretricibus omnem aditum patefaciebat, easque quovis tempore ad colloquium admittebat, voluptati ut Sardanapalus indulgens, qui sepulcro suo incidit ea se habere quae comederit et pro libidine egerit. erat Epicureus et Chrysippeus, morbo luxuriae corruptus et amore perditus: Herculem quinquaginta Thyestis filiabus stuprandis imitabatur. sed quia tantum illi roboris ad lasciviam non suppetebat, ut ille Iolaum contra redivivam hydram implorabat, sic ipse virilia unctionibus et deliciis firmabat. vescebatur item Nilotica bestiola, crocodilo non absimili, quem scincum vo-

θίζον δ' ὅμως καὶ διανιστῶν ἐν ταῖς ὁμιλίαις πρὸς συνουσιασμόν. κατὰ δὲ τὰ ἀρχεῖα γινόμενος ἀπὸ τῶν ἔξωθεν δια- P. 207 τριβῶν τε καὶ διαχύσεων οὐκ ὀλίγον μὲν καὶ τὸ περὶ αὐτὸν εἶχε δορυφορικόν, καὶ τοῦτο ἐκ βαρβάρων ἰλῶν καὶ ἀνδρῶν λοιμῶν χαιρόντων ἀπαιδευσίᾳ καὶ τὰ πλεῖστα μηδ' ἐπαϊόντων Ἑλληνίδος φωνῆς. καὶ τοὺς προκοίτους δὲ καὶ προφύλακας ἐσαεὶ τοιούτων ἀναγώγων συνειλήχει ὁμηγύρεων. τελευτῶν δὲ καὶ κύνα κάρχαρον, οἷον καὶ λέουσιν ἀντιπλέκεσθαι καὶ ἄνδρα ἔφιππον ὁπλίτην κατενεγκεῖν ἔραζε, σύνοικον ἑαυτῷ πεποίητο· οἱ μὲν γὰρ σωματοφύλακες καὶ δορυφόροι ἀποθέν που τοῦ βασιλικοῦ κοιτῶνος νυκτὸς κατηυνάζοντο, ὁ δέ γε κύων πρὸς ταῖς θύραις ἐδέδετο, χαλκεόφωνος ὢν καὶ πρὸς βραχεῖαν διαταραττόμενος ψόφησιν καὶ γινόμενος ὑλακόμω- B ρος. προϊὼν δὲ οὕτω κατετρύφα τῆς τῶν Κωνσταντινουπολιτῶν εὐηθείας καὶ ὡς ἀπὸ ῥινὸς ἑλκομένους ἐχλεύαζε καὶ πρὸς πᾶσαν τῶν κρατούντων θεραπείαν τε καὶ θωπείαν ἑτοίμως ἔχοντας ἐκωμῴδει, οὐκ εἰδὼς ὡς ὑπ' αὐτῶν καθαιρεθήσεται τῆς ἀρχῆς καὶ τὰ τῶν ὅλων ὑποστήσεται χείριστα, ὥστε καὶ τῶν παρ' αὐτοῦ θηρωμένων ἐλάφων τὰ κέρατα, ὅσα δωδεκάδωρα ἦν καὶ εἶχόν τι θαύματος, ταῖς κατὰ τὴν ἀγορὰν ἁψῖσιν ἀνήρτα, τῷ μὲν δοκεῖν εἰς ἔνδειξιν τοῦ μεγέθους τῶν παρ' αὐτοῦ ἁλισκομένων ἀγρίων, τῷ δὲ ὄντι δια-

1. ἀπουσιασμὸν A. 7. ἐσαεὶ] ἐξ ἀεὶ A. τελευτῶν] εἶχε δὲ καὶ σκύλλον μέγαν μεθ' ἑαυτοῦ, λεγόμενον κάρχαρον, ὃς καὶ λέοντα ἐμάδιζε καὶ ἄνδρα καβαλλάριον εἰς γῆν ἔρριπτε B. κάρχαρον τοὔνομα Wolfianus nescio quis. 13. διαταραττόμενος] ἐγρηγορῶν καὶ βαβύζων B. 20. ὅσα] ὁπόσα εἰς ὕψος ἦρτο A. 22. καταμωκώμενος A.

cant; a quo cibo cum plerique abhorreant, tamen tentiginem excitat et ad rem Veneream paratos facit. in palatium a deambulationibus et recreationibus reversus non paucos secum habebat satellites, eosque ex barbaricis cohortibus et pestilentibus hominibus, quibus immodestia cordi est, linguae Graecae maxima ex parte ignaris; et qui ante cubiculum et fores excubabant, ex istiusmodi petulantibus coetibus conflati erant. tandem etiam canem asperum, qui et cum leonibus pugnare et armatum equitem humi sternere poterat, in suo conclavi habuit. nam satellites et custodes noctu procul ab eius cubiculo cubabant: canis vero ad ianuam alligatus ad exiguum strepitum horrendum in modum latrabat. ita paulatim Cpolitanorum simplicitati insultabat, et quasi naribus suspensos trahebat, et ut ad omnem imperatorum observantiam et cultum paratos (ignarus se ab illis imperio deiectum gravissimas poenas daturum esse) deridebat. itaque cornua cervorum, quos venatus erat, insignia et rari

μυκώμενος τὸ πολίτευμα καὶ διασύρων εἰς ἀκρασίαν τῶν γαμετῶν. ὁπηνίκα δὲ κατὰ τὴν μεγαλόπολιν γένοιτο, τῶν τῆς Προποντίδος τρυφηλῶν χωρίων καὶ περιττῶν ἀπανιστάμενος διαιτήσεων, οὐκ ἦν μὴ ἀποφράδα κρίνεσθαι τὴν τότε ἡμέ- C ραν· οὐ γάρ δι' ἄλλ' ἅττα παρεῖναι ἐδόκει ἢ ὡς θύσων καὶ ἀπολέσων ὁπόσον ὡς ἐπίβουλον ὑπωπτεύετο. καὶ ἡ Ἀνδρονίκου ἐπιδημία τοῖς πολλοῖς ζημία καὶ ἀθυμία ἢ καὶ τοῦ βίου ἐκδημία καὶ πᾶν ἄλλο τι ἔσχατον κακὸν συλλελόγιστο, ἐπειδή περ ὁ ἀνὴρ ὡσεὶ καὶ γραμμὴν μονοδιάστατον καὶ μηκιζομένην εἰς τὸ λεπταλέον καὶ ἀπλατὲς ἐν τῷ ἐδαφίῳ τῆς ψυχῆς καθάπαξ τὴν ὀξυχολίαν προϋποθείς, καὶ πρὸς ταύτην ἅπαν ἀποστενῶν τὸ πραττόμενον, ἀβίωτον ᾤετο τὴν ἡμέραν καθ' ἣν οὐ ξυνειλήφει τινὰ τῶν ἐν ὑπεροχαῖς, ἢ λύχνους οὐκ ἔσβεσε σώματος, ἢ ὁτουδή τινος οὐ καθήψατο φιλονείκως, ἢ γοῦν ἐπιτιμητικῷ βλέμματι καὶ Τιτανικῷ ἐμβριμήματι μὴ ἐξέστησε τοῦ φρονεῖν. παιδαγωγῷ γὰρ ἐμβριθεῖ ἐοικώς, θαμὰ τῶν μειρακίων καταφέροντι τὴν σκυτάλην, εὐκαίρως D ἀκαίρως ἐπέπληττεν ἐφιστάμενος, καὶ πρὸς πᾶσαν ἀκοὴν ἐκείνῳ ἀνήδυντον παρωξύνετο. κατηφιῶντες οὖν οἱ τότε ἄνθρωποι καὶ στυγνάζοντες ἐβίωσκον. οὐδ' ὁ ὕπνος ἄφροντις τοῖς πολλοῖς καὶ ὀδυνῶν ἀδαὴς καὶ μαλακός, ἀλλ' ὀφθαλμοῖς ἐφι-

2. γένοιτο] παραγένοιτο A. 4. ἀποφράδα] τὴν ἡμέραν ταύτην ἀποφράδα ἐκάλουν ὡς ἀποφράττουσαν καὶ κατακλείων τὸν ἐντὸς τοῦ φραγμοῦ λαὸν ὄντα τῆς πόλεως B. 7. ἐνδημία A. ἀθυμία] δυσθυμία A. 8. καὶ ἔσχατον ἄλλο κακὸν A. 11. τὴν καθάπαξ οἰκείαν ὠμότητα πρ. A. 12. ἀβ. ὅλως ἡγεῖτο A. 13. οὐ ξυνειλήφει] οὐκ ἐκρεωβόρησε A. 19. ἀνήδυντα A. οὖν] γοῦν A.

aliquid habentia in porticibus fori suspendebat, per speciem ostentandae magnitudinis ferarum quas cepisset, cum revera civitatis et uxorum quas ipse corrumpebat lasciviam notaret. quo vero die ex Propontidis deliciis et amoenitatibus in urbem revertebatur, is dies omnino nefastus habebatur. neque enim alia de causa rediisse putabatur, nisi ut mactaret et perderet eos quos sibi struere insidias suspicabatur. ita Andronici adventus multis detrimentum et moerorem aut vitae iacturam aut aliud extremum malum portendebat. is enim vir cum eam veluti lineam in animo suo descripsisset, ad quam crudelitatis suae amussim exigeret, eum sibi diem periisse putabat, qua non excellentem aliquem virum aut iugulasset aut excaecasset aut saltem obiurgasset aut Titanico vultu terruisset. nam saevo paedagogo similis subinde flagellum in pueros quatienti, tempestive et intempestive obiurgabat, et ad quodlibet verbum suis auribus ingratum commovebatur. quo fiebat ut ea tempestate homines moesti et

ζάνων ἄκροις ἀφίπτατο, καὶ διεψευσμένος ἦν τὰ πολλὰ ἢ
Ἀνδρονίκῳ διασοβούμενος ὄναρ πολλάκις ἐφισταμένῳ, ἢ οὕσους
ὁ τραχὺς οὗτος καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος τὴν ὀργὴν
τῆς οἰκείας ἀπηνείας ἔθετο πάρεργον. ὃ γὰρ ἐπὶ τῶν ἐσχά-
V. 171 των συμβήσεσθαι ἡμερῶν ὁ θεάνθρωπος προηγόρευσε, δη-
λονότι „ἔσονται οἱ δύο ἐπὶ κλίνης μιᾶς, ὁ εἷς παραλαμβάνε-
ται καὶ ὁ ἕτερος ἀφίεται," τοῦτο ἀτεχνῶς κἀν ταῖς ἡμέραις
P. 208 ἐκείναις ἐγίνετο, ἑνός τινος τῶν συνεύνων ἐξάπινα συλλαμβα-
νομένου καὶ ἀπαγομένου πρὸς σωματικὴν κάκωσιν. οὐδὲ γὰρ
καὶ γυναῖκες ἀπῆσαν τοῦ μὴ ὑπὸ δίκην πίπτειν καὶ τὰ ἀπευ-
κταῖα ὑφίστασθαι, ἀλλὰ καὶ τούτων οὐκ ὀλίγαι τὸ τῶν ὀφθαλ-
μῶν ἀπώλεσαν φῶς καὶ λιμὸν καὶ φρουρὰν καὶ αἰκισμοὺς
ὑπέστησαν σώματος. καὶ πατὴρ ἠλόγει τέκνων, καὶ υἱεῖς
ὠλιγώρουν πατρός· καὶ διεμερίζοντο πέντε ἐν οἴκῳ ἑνί, τρεῖς
ἐπὶ δυσὶ καὶ δύο ἐπὶ τρισί. πολλοὶ δὲ καὶ ὡς Σοδομιτικὸν
ἐμπρησμὸν τὸν τοῦ Ἀνδρονίκου θυμὸν ἐκτρεπόμενοι φυγάδες
ὅλῳ ποδὶ τῆς πατρίδος γεγόνασιν καὶ τοῖς ἐκ γειτόνων Ῥω-
B μαίοις παρενέβαλον ἔθνεσιν, οἳ καὶ εἶχον ἂν ἑαυτοὺς ἀπα-
θεστάτους κακῶν, εἰ τὴν φυγὴν τῇ Ἀνδρονίκου ζωῇ συνε-
μέτρησαν. νῦν δὲ τῶν κατ' οἶκον μεταποιούμενοι εἰς στήλην
μὲν ἁλὸς κατὰ τὴν γυναῖκα Λὼτ οὐκ ἐπάγησαν, οὐδὲ νεκρὸς ἐγε-
γόνεισαν ἅλς, ἄλλως δὲ μωρανθέντες τὸ ζῆν κατέστρεψαν κακῶς.

1. ψευδόμενος A. 2. ἐφ. κακῶν ἢ A. 5. δηλονότι] ὅτι ἔσονται δύο A. 8. ἑνός] κειμένου γὰρ τοῦ ἀνδρογύνου ἐπὶ τῆς κλίνης ὁ. εἷς παρελαμβάνετο καὶ πρὸς τιμωρίαν σωματικὴν ἀπήγετο B. 19. συνεμέτρησαν] συνεπέρανων A.

solliciti viverent, nec securi somnum caperent, sed subito territi expergiscerentur Andronicum in se irruere rati, aut eos cernere quos asper ille implacabilis et inexorabilis trucidarat. nam quod deus et homo Christus extremis temporibus futurum esse dixit, ut binis in eodem lecto cubantibus alter assumatur alter relinquatur, id omnino illis diebus accidebat, cum alter coniugum ad poenas corpore luendas subito raperetur (neque enim mulieribus concessa erat impunitas: quin et harum non paucae oculis orbatae carcerem famem verbera tolerarunt), pater filios negligeret, filii patres non curarent; si in iisdem aedibus quini essent, terni binis et bini ternis adversarentur. multi etiam Andronici iracundiam ut Sodomiticum incendium remis et velis fugientes quam longissime a patria discedebant; qui si exilium usque ad illius obitum extendissent, omnis mali expertes permansissent. nunc dum rei familiari consultum volunt, non quidem in statuam salis sunt mutati ut Loti uxor, neque sal emortuum evaserunt, sed alioqui mentis errore affecti mala morte perierunt.

3. Οὕτω δ' ὀργιλότητος ἔχων Ἀνδρόνικος, καὶ τραχὺ καὶ σκληρὸν τὸ ἦθος αὐχῶν, καὶ ἀμετάθετος ὢν τὸ κολάζειν, καὶ παίζων ἐν ταῖς τῶν πέλας συμφοραῖς καὶ κακώσεσι, τῶν ἄλλων τε ταῖς καθαιρέσεσι τὴν ἰδίαν ἐπιτειχίζειν δοξάζων ἀρχὴν καὶ τοῖς ἑαυτοῦ παισὶν ἐπικρατύνειν τὴν βασιλείαν, καὶ τὸ τῆς ψυχῆς ἐντεῦθεν αὔξων ἡδόμενον, ὅμως καὶ ἀγαθῶν μετεῖχεν οὐκ ὀλίγων πράξεων, καὶ οὐ παντάπασι δήπουθεν πρὸς τὴν ἐναντίαν ἀπονενεύκει διάθεσιν, σκηνοβατῶν τὰ C ὀλέθρια, ἀλλ' ἦν ὡς ἀπὸ ὄφεως σαρκῶν ἐκείνου πανάκειαν θηράσασθαι περιμάχητον καὶ σώζουσαν εὑρέσθαι ἀντίδοτον, καὶ ὥσπερ ἐξ ἀκανθῶν τρυγῆσαι ῥόδον ἡδύπνοον, ἢ γοῦν ἐξ ἐλλεβόρου καὶ κωνείου ψαρσὶ παραθέσθαι καὶ ὄρτυξιν ἡδεῖαν ἑστίασιν, ἐπεὶ καὶ δωρεαῖς ἔθαλπε τῶν ὑπηκόων τοὺς ἐνδεεῖς, εἰ μόνον ἐλπίδος τι διεφαίνετο ὡς ὁ αἰτῶν οὐκ ἀποστυγεῖ ἐκεῖνον, παθαινόμενος τὴν ψυχὴν ἐφ' οἷς κακοεργὸς Ἀνδρόνικος δείκνυται. καὶ τὴν τῶν μέγα δυναμένων πλεονεξίαν οὕτως ἐκόλασε, καὶ χεῖρας τἀλλότρια διφώσας οὕτως συνέστειλεν ὥστε βασιλεύοντος ἐκείνου αἱ πλείους ἐπαρχίαι πρὸς πληθυσμὸν ἐπέδωκαν τῶν οἰκούντων. ἕκαστος γὰρ κατὰ τὸ D προφητικὸν παράγγελμα ἐπὶ τὴν σκιὰν τῶν δένδρων αὐτοῦ ἀνεκλίνετο, καὶ τὸν τῆς ἀμπέλου καρπὸν συγκομιζόμενος καὶ γῆς εἰσοικιζόμενος τὰ ἐκφόρια ἀσμένως ἤσθιε καὶ ἡδέως ἐκάθευδε, μὴ φορολόγου ἀπειλὴν δεδιττόμενος, μὴ πλεονέκτην ἢ συζητητὴν εἰσπράκτορα κατὰ νοῦν στρέφων, μὴ τὸν

4. δοξάζων] δοκῶν A. 6. καὶ τ.] οἰόμενος καὶ τ. A. 9. πανάκειαν] θηριακὴ B. 10. θηρεύσασθαι A. 24. εἰσπράκτορα πλεονέκτην πράκτορα ἢ παραζυγιαστὴν ἔνοχον B.

3. Etsi autem Andronicus adeo iracundus asper et inexorabilis erat, ut aliorum malis gauderet et aliis evertendis se suum suorumque liberum imperium stabilire putaret, ac voluptatem inde caperet, tamen non pauca recte administravit, nec plane ab omni virtute degeneravit; sed ut ex viperae carnibus, ita ex ipso quoque Panaceam venari licebat et salutare antidotum consequi, et ex asperis spinis suaveolentem rosam decerpere, et ex helleboro et aconito suavem victum praebere psaris et coturnicibus. nam subditos pauperes largitionibus fovebat, si qua modo spes suberat eum qui opem implorabat Andronico ob scelera non infensum esse. procerum avaritiam ita multavit et manus alieni avidas ita compressit, ut eo imperante multae provinciae colonis auctae sint, cum quisque, secundum propheticum dictum, sub umbra suarum arborum recubaret, et vindemia peracta et frugibus comportatis hilariter epularetur, et suaviter dormiret non quaestoris minas timens, non exactorem avarum expectans;

ἐκφυλλίζοντα ὑποβλεπόμενος, μὴ τὸν καλαμώμενον φανταζόμενος, ἀλλὰ τὰ τοῦ Καίσαρος Καίσαρι ἀποδιδοὺς οὐδένα τὸν ἐπιδιπλεῦντα εἶχε τὸ κέρμα καὶ τὸ τάλαντον πολυπλασιάζοντα, ἔστι δ' ὅτε καὶ τὸ χιτώνιον προσαπαιτοῦντα καὶ τὸ ψυχάριον αὐτὸ πολλάκις ἀναχρέμψασθαι βιαίως ἐγκείμενον. ἦν γὰρ ἡ Ἀνδρονίκου ἐπίκλησις οἷά τι ὀλέθριον καὶ διασκεδαστικὸν τῶν φορολόγων ἔπασμα καὶ φαρμάκευμα, καὶ δυσήκουστον φόβητρον τοῖς ὅσοι παρὰ τὰ διατεταγμένα εἰσέπραττον, καὶ νάρκωσις καὶ πάρεσις χειρῶν αἳ πρὸς μόνον ἀφεώρων πρότερον τὸ λαβεῖν. πολλοῖς δὲ καὶ τὸ ἐθελουσίως

209 ἀποχαριζόμενον ἀπεπέμπετο, ὥσπερ σὴς ὑφορώμενον τῶν ἐκείνοις προσαόντων, ἢ ἑτέρα τις φθαρτικὴ δύναμις τὸ προσεγγίζον ἀπολλῦσα. τὸ δὲ δὴ μεῖζον, καὶ ἁδροῖς ὀψωνίοις ἑνιαχοῦ ἐφοδιάζων τοὺς τὰς δημοσίους ἀναζωννυμένους ἀρχάς, καὶ ὅσα πείσονται δεινὰ τὰς αὐτοῦ παραβλεψάμενοι ἐντολὰς προαγγέλλων, οὕτως ἐξέπεμπεν, οὐκ ὠνίους ταύτας τοῖς βουλομένοις προβάλλων καὶ τοῖς ἐκ τριόδων ἀποδιδοὺς ὁποιουδή τινος δόματος, ἀλλὰ δῶρον τὰς ἀρχαιρεσίας καὶ ἐπιλέγδην παρεχόμενος. ὅθεν οἱ πάλαι τῷ χρόνῳ παρασυρέντες καὶ τοῖς

210 κοινοῖς πράγμασι νοσοῦσι κατενεχθέντες εἰς θάνατον, ὥσπερ

B ἀρχαγγέλου τινὸς εἰς τὰ ἐκείνων ὦτα περισαλπίσαντος, τὸν χρόνιον ἀπεσείσαντο κάρον καὶ τὴν παλαιὰν ἀπέθεντο νέκρωσιν· καὶ καθὼς ἡ τοῦ Ἰεζεκιὴλ ὅρασις βούλεται, ὀστᾶ συνήγοντο πρὸς ὀστᾶ καὶ ἁρμονίαι πρὸς ἁρμονίας, καὶ ἐν βρα-

5. ψυχίδιον A. 7. φαρμάκευμα] ὑφήγημα A. 14. τοὺς τὰς] τοὺς κεφαλάδας τῶν δημοσίων ἐνόχων B. 16. ἐξέπεμπεν εἰς τὰς ἐνοχὰς μήτε πωλῶν μήτε πακτώνων αὐτάς B. 22. ἀπέθεντο] ἀπεξεδύσαντο A.

sed si Caesari dederat quae erant Caesaris, nemo erat qui plus ab eo postularet aut etiam tunicam aliquando eriperet et violenter ad necem adigeret. nam quaestores ad Andronici appellationem ita terrebantur, ut rapaces alioqui manus facile ab alieno abstinerent, ac munera ultro a provincialibus oblata tanquam pestes aliquando aversarentur. et quod maius est, cum magistratus in provincias ablegabat, larga eis stipendia dabat, simulque denuntiabat quas poenas sua iussa negligentibus irrogaturus esset. neque enim publica munera vendebat aut levi munusculo conciliatus conferebat, sed gratuito habitoque delectu magistratus ordinabat. itaque multi olim profugi et publicis calamitatibus pene immortui, quasi Archangeli tuba audita, ex diuturno veterno experrecti revixerunt, pristina felicitate recuperata; et ut Ezechielis visio docet, ossa ad ossa congerebantur, artus artubus coniungebantur, et brevi tempore pleraeque urbes et vi-

χεῖ αἱ πλεῖσται τῶν πόλεων ἀνεβίωσαν καὶ τὸ πρώην ἀπέλαβον εὔδαιμον. εἰ δὲ δεῖ τι καὶ τῶν τοῦ ψαλμῳδοῦ Δαβὶδ ἐνταῦθα προσεπαγαγεῖν, ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. καὶ τὰς διασπορὰς ἐπισυνῆξε τῶν τοῦ δημοσίου τελεστῶν ἐκ τοῦ παῦσαι τοὺς ἐκ τῶν πρακτόρων κονδυλισμοὺς καὶ συστεῖλαι εἰς ὡρισμένον τι ζήτημα τὰς ἐπαλλήλους ἀπαιτήσεις, ὁπόσας οἱ δεινοὶ τῶν φόρων ἐφεῦρον ζητηταὶ καὶ εἰς ὄφλημα ἐπεκράτυναν ἐνιαύσιον, οἱ ἐν βρώσει ἄρτου τὸν ὑποπίπτοντα λεὼν κατεσθίοντες.

Ἔθους δὲ ἀλογωτάτου παρὰ Ῥωμαίοις, ὡς ἔοικε, μόνοις C ἰσχύοντος (τὸ δέ ἐστι τὸ τὰς χειμαζομένας ναῦς, ὑπὸ πνευμάτων καὶ φλοίσβῳ θαλαττίῳ ταλαντευούσας, μηδένα ἔχειν τὸν συναιρόμενον καθ' οὓς ἂν λιμένας ἢ τόπους ἐκβράσσωνται κύμασιν ἐλαυνόμεναι, τοὐναντίον μὲν οὖν καὶ καταιγίδος χείρους ὁρᾶν τοὺς ἐκεῖσέ πῃ λαχόντας τὴν οἴκησιν διασπῶντας καὶ ἀφαρπάζοντας ὁπόσα μὴ παρέσυρε θάλασσα) οὕτω τοι πρὸς τὴν τοιαύτην ἀτοπίαν πολὺς ἀντέπνευσε καὶ εἰς πραεῖαν αὖραν μετέβαλε τὴν τῶν πλοίων καταποντιστικὴν τῶν πλείστων ὁρμήν, ὡς ἀντὶ πολλῶν ἓν εἰς εὐφημίαν ἐκείνῳ τοῦτο τὸ ἔργον ἀρκεῖν. οἱ μὲν γὰρ περὶ τὸ βασίλειον βῆμα D δυσίατον τὸ κακὸν ἢ τέλεον ἀμετάβλητον ὡσεὶ καὶ εἰς ἕξιν ἐληλυθὸς καὶ προκόψαν ἐπὶ τὸ χείριστον ᾤοντο. πολλοὺς μὲν γὰρ καὶ τῶν πρότερον αὐταρχησάντων Ῥωμαίων βουληθῆναι τὴν

1. ἀνεβίωσαν] ἐζωώθησαν αἱ χῶραι καὶ ηὐξύνθησαν B. 4. καὶ τὰς διασπορὰς καὶ τὰ τέλη τοῦ δημοσίου ηὔξησε, καθότι ἔπαυσε τὰς ἁρπαγὰς τῶν πρώην καὶ τὰς ἀδικίας καὶ τὰ παρακαμπανίσματα B. 8. φόρων] φορολόγων ἐφεῦρον συζητηταὶ B. 15. χείρονας A. 20. τοῦτο ἔργον καὶ μόνον ἀρκεῖν A. 23. β. τὸ ἔθος τοῦτο π. ὡς παράλογον A.

[illegible] et pristinas spes receperunt. quodsi quid e Psalmis Davidicis inserendum est. desertum mutavit in paludes et terram aridam in rivos aquarum. publica vectigalia rapinis exactorum reprimendis auxit; et crebras exactiones ab avaris quaestoribus obnoxium populum veluti panem devorantibus repertas, et quotannis quasi debitum efflagitatas, ad certum numerum revocavit.

Cum autem apud Romanos, eosque solos, ut opinor, iniquissima consuetudo valeret, ut naves tempestatibus in littus eiectae non modo a nemine adiuvarentur, sed ab accolis quovis turbine saevioribus diriperentur, si qua fluctus reliqua fecerant, iniquissimae isti rationi tam acriter est adversatus, ita piraticam illam rapacitatem compescuit, ut haec una res amplissimas eius laudes complectatur. nam aulici quidem proceres id malum deploratum et immedicabile iudicabant et

ἐκφυλλίζοντα ὑποβλεπόμενος, μὴ τὸν καλαμώμενον φανταζόμενος, ἀλλὰ τὰ τοῦ Καίσαρος Καίσαρι ἀποδιδοὺς οὐδένα τὸν ἐπιδιπλοῦντα εἶχε τὸ κέρμα καὶ τὸ τάλαντον πολυπλασιάζοντα, ἔστι δ' ὅτε καὶ τὸ χιτώνιον προσαπαιτοῦντα καὶ τὸ ψυχάριον αὐτὸ πολλάκις ἀναχρέμψασθαι βιαίως ἐγκείμενον. ἦν γὰρ ἡ Ἀνδρονίκου ἐπίκλησις οἷά τι ὀλέθριον καὶ διασκεδαστικὸν τῶν φορολόγων ἔπασμα καὶ φαρμάκευμα, καὶ δυσήκουστον φόβητρον τοῖς ὅσοι παρὰ τὰ διατεταγμένα εἰσέπραττον, καὶ νάρκωσις καὶ πάρεσις χειρῶν αἳ πρὸς μόνον ἀφειώρων πρότερον τὸ λαβεῖν. πολλοῖς δὲ καὶ τὸ ἐθελουσίως 209 ὑποχαριζόμενον ἀπεπέμπετο, ὥσπερ σὴς ὑφορώμενον τῶν ἐκείνοις προσαόντων, ἢ ἑτέρα τις φθαρτικὴ δύναμις τὸ προσεγγίζον ἀπολλῦσα. τὸ δὲ δὴ μεῖζον, καὶ ἁδροῖς ὀψωνίοις ἑνιαχοῦ ἐφοδιάζων τοὺς τὰς δημοσίους ἀναζωννυμένους ἀρχάς, καὶ ὅσα πείσονται δεινὰ τὰς αὐτοῦ παραβλεψάμενοι ἐντολὰς προαγγέλλων, οὕτως ἐξέπεμπεν, οὐκ ὠνίους ταύτας τοῖς βουλομένοις προβάλλων καὶ τοῖς ἐκ τριόδων ἀποδιδοὺς ὁποιουδή τινος δόματος, ἀλλὰ δῶρον τὰς ἀρχαιρεσίας καὶ ἐπιλέγδην παρεχόμενος. ὅθεν οἱ πάλαι τῷ χρόνῳ παρασυρέντες καὶ τοῖς 172 κοινοῖς πράγμασι νοσοῦσι κατενεχθέντες εἰς θάνατον, ὥσπερ B ἀρχαγγέλου τινὸς εἰς τὰ ἐκείνων ὦτα περισαλπίσαντος, τὸν χρόνιον ἀπεσείσαντο κάρον καὶ τὴν παλαιὰν ἀπέθεντο νέκρωσιν· καὶ καθὼς ἡ τοῦ Ἰεζεκιὴλ ὅρασις βούλεται, ὀστᾶ συνήγοντο πρὸς ὀστᾶ καὶ ἁρμονίαι πρὸς ἁρμονίας, καὶ ἐν βρα-

5. ψυχίδιον A. 7. φαρμάκευμα] ὑφήγημα A. 14. τοὺς τὰς] τοὺς κεφαλάδας τῶν δημοσίων ἐνόχων B. 16. ἐξέπεμπεν εἰς τὰς ἐνοχὰς μήτε πωλῶν μήτε πακτώνων αὐτάς B. 22. ἀπέθεντο] ἀπεξεδύσαντο A.

sed si Caesari dederat quae erant Caesaris, nemo erat qui plus ab eo postularet aut etiam tunicam aliquando eriperet et violenter ad necem adigeret. nam quaestores ad Andronici appellationem ita terrebantur, ut rapaces alioqui manus facile ab alieno abstinerent, ac munera ultro a provincialibus oblata tanquam pestes aliquando aversarentur. et quod maius est, cum magistratus in provincias ablegabat, larga eis stipendia dabat, simulque denuntiabat quas poenas sua iussa negligentibus irrogaturus esset. neque enim publica munera vendebat aut levi munusculo conciliatus conferebat, sed gratuito habitoque delectu magistratus ordinabat. itaque multi olim profugi et publicis calamitatibus pene immortui, quasi Archangeli tuba audita, ex diuturno veterno experrecti revixerunt, pristina felicitate recuperata; et ut Ezechielis visio docet, ossa ad ossa congerebantur, artus artubus coniungebantur, et brevi tempore pleraeque urbes et vi-

χεῖ αἱ πλεῖσται τῶν πόλεων ἀνεβίωσαν καὶ τὸ πρώην ἀπέλαβον εὔδαιμον. εἰ δὲ δεῖ τι καὶ τῶν τοῦ ψαλμῳδοῦ Δαβὶδ ἐνταῦθα προσεπαγαγεῖν, ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. καὶ τὰς διασπορὰς ἐπισυνῆξε τῶν τοῦ δημοσίου τελεστῶν ἐκ τοῦ παῦσαι τοὺς ἐκ τῶν πρακτόρων κονδυλισμοὺς καὶ συστεῖλαι εἰς ὡρισμένον τι ζήτημα τὰς ἐπαλλήλους ἀπαιτήσεις, ὁπόσας οἱ δεινοὶ τῶν φόρων ἐφεῦρον ζητηταὶ καὶ εἰς ὄφλημα ἐπεκράτυναν ἐνιαύσιον, οἱ ἐν βρώσει ἄρτου τὸν ὑποπίπτοντα λεὼν κατεσθίοντες.

Ἔθους δὲ ἀλογωτάτου παρὰ Ῥωμαίοις, ὡς ἔοικε, μόνοις C ἰσχύοντος (τὸ δέ ἐστι τὸ τὰς χειμαζομένας ναῦς, ὑπὸ πνευμάτων καὶ φλοίσβῳ θαλαττίῳ ταλαντευούσας, μηδένα ἔχειν τὸν συναιρόμενον καθ' οὓς ἂν λιμένας ἢ τόπους ἐκβράσσωνται κύμασιν ἐλαυνόμεναι, τοὐναντίον μὲν οὖν καὶ καταιγίδος χείρους δρᾶν τοὺς ἐκεῖσέ πῃ λαχόντας τὴν οἴκησιν διασπῶντας καὶ ἀφαρπάζοντας ὁπόσα μὴ παρέσυρε θάλασσα) οὕτω τοι πρὸς τὴν τοιαύτην ἀτοπίαν πολὺς ἀντέπνευσε καὶ εἰς πραεῖαν αὔραν μετέβαλε τὴν τῶν πλοίων καταποντιστικὴν τῶν πλείστων ὁρμήν, ὡς ἀντὶ πολλῶν ἓν εἰς εὐφημίαν ἐκείνῳ τοῦτο τὸ ἔργον ἀρκεῖν. οἱ μὲν γὰρ περὶ τὸ βασίλειον βῆμα D δυσίατον τὸ κακὸν ἢ τέλεον ἀμετάβλητον ὡσεὶ καὶ εἰς ἕξιν ἐληλυθὸς καὶ προκόψαν ἐπὶ τὸ χείριστον ᾤοντο. πολλοὺς μὲν γὰρ καὶ τῶν πρότερον αὐταρχησάντων Ῥωμαίων βουληθῆναι τὴν

1. ἀνεβίωσαν] ἐζωώθησαν αἱ χῶραι καὶ ηὐξύνθησαν B. 4. καὶ τὰς διασπορὰς καὶ τὰ τέλη τοῦ δημοσίου ηὔξησε, καθότι ἔπαυσε τὰς ἁρπαγὰς τῶν πρώην καὶ τὰς ἀδικίας καὶ τὰ παρακαμπανίσματα B. 8. φόρων] φορολόγων ἐφεῦρον συζητηταὶ B. 15. χείρονας A. 20. τοῦτο ἔργον καὶ μόνον ἀρκεῖν A. 23. β. τὸ ἔθος τοῦτο π. ὡς παράλογον A.

tam et pristinas opes receperunt. quodsi quid e Psalmis Davidicis inserendum est. desertum mutavit in paludes et terram aridam in rivos aquarum. publica vectigalia rapinis exactorum reprimendis auxit; et crebras exactiones ab avaris quaestoribus obnoxium populum veluti panem devorantibus repertas, et quotannis quasi debitum efflagitatas, ad certum numerum revocavit.

Cum autem apud Romanos, eosque solos, ut opinor, iniquissima consuetudo valeret, ut naves tempestatibus in littus eiectae non modo a nemine adiuvarentur, sed ab accolis quovis turbine saevioribus diriperentur, si qua fluctus reliqua fecerant, iniquissimae isti rationi tam acriter est adversatus, ita piraticam illam rapacitatem compescuit, ut haec una res amplissimas eius laudes complectatur. nam aulici quidem proceres id malum deploratum et immedicabile iudicabant et

τοῦ ἔθους τούτου παῦσαι παραλογότητα, καὶ φακέλους ἀπολῦσαι διαταγμάτων βασιλικῶν τὰ ἀνήκεστα διαπειλουμένων τοῖς ὁπλιζομένοις κατὰ πλοίων τῶν ναυαγῶν καὶ διαρπάζουσι τὰ ἔνδον αὐτῶν· ἐν γράμμασι δὲ μόνοις τὰ τοιαῦτα θεσπίσματα κεῖσθαι, οἷα κατὰ κλύδωνα τοῦ κακοῦ κορυφουμένου καὶ μεταρσίως αἰρομένου καὶ τὸ βασιλικὸν ἀπαλείφοντος ἐρυθρόδανον, ὡς γράφειν ἄντικρυς τοὺς γράφοντας καθ' ὑγρῶν δοκεῖν καὶ ὑποσημαίνεσθαι μάτην τὰ οἰκεῖα κελεύσματα. (4) καὶ οἱ μὲν τοιαῦτα ἐφθέγγοντο· ὁ δὲ δριμέως τὸ περιεστὼς ἐκεῖνον σύμπαν περιβλεψάμενος γερούσιον, στενάξας εἶπε βαθὺ ὡς „οὐδὲν τοῖς βασιλεῦσιν ἀδιόρθωτον, οὐδ' ἔστι τι τῶν πλημμελῶς γινομένων ὃ τὴν ἰσχὺν αὐτῶν ὑπερπέπαικεν. ἐβλακεύοντο τοίνυν, ὡς ἔοικεν, οἱ πρότερον αὐτοκράτορες,
P. 210 ἢ ἐπλάττοντο τὸν ἐπὶ τοῖς κακίστοις ἀχθόμενον. εἰ γὰρ ἀληθῶς ἠβούλοντο στῆναί ποτε τὰ βιοφθόρα καὶ παρρησίαν ἄγειν ὁπόσα τὴν εὐνομίαν συνίστησι, παρηγκωνίσαντο ἂν τὸ ἐν τοῖς γράμμασιν ἐρυθρόν, καὶ τὸν χάρτην ὡς οὐδὲν ὀνησιφόρον παραβλεψάμενοι ἐβάλοντο ἂν κατὰ νοῦν ὡς αἵμασι πενθοῦσιν ἀλλ' οὐχὶ δάκρυσιν ἐπιστένουσιν οἱ σπιλάδων καὶ πετρῶν ὑφάλων τραχυτέρους εὑρίσκοντες παρ' οἷς αἱ νῆες αὐτῶν ἐκβράσσονται ὑπὸ κλύδωνος, καὶ κατ' αὐτῶν ἐχρήσαντο ἂν τῷ ξίφει μὴ φορουμένῳ μάτην μηδὲ εἰκῇ, καὶ ἔβαλον ἂν εἰς κεφαλὰς ἀνόμων θάνατον. νῦν δ', ὡς πέπεισμαι, γράφοντες

4. μόνοις μεῖναι τὰ A, omisso κεῖσθαι. 7. ὡς] καὶ A. 10. βύθιον εἶπεν A. 13. ἐβλακεύοντο] ἐκολακεύοντο B. 14. κακίστοις] κακοῖς A. 17. ὡς πρὸς μηδὲν ὀνήσιμον A.

vetustate confirmatum; ac multos e superioribus imperatoribus, fasciculis litterarum in provincias missis, extrema naufragorum spoliatoribus minitatos: sed conatum illum fuisse irritum et intra scripta substitisse, rubricam imperatoriam illius mali undis eluentibus, ut litterae illae plane in aqua scriptae viderentur et edicta frustra subnotarentur. (4) Quae cum hi dixissent, Andronicus circumstantem senatum acriter intuitus, et suspirio ex imis praecordiis ducto, „nihil" inquit „est, quin ab imperatoribus emendari queat; nec ullum peccatum est, quod vires eorum superet. superiores autem imperatores aut rem stulte sunt aggressi, aut se dolere iniuriis simularunt. nam si corruptelam illam vere suppressam, et libere agi ea quae ad aequitatem pertinent voluissent, rubricatis litteris omissis et chartis inutilibus despectis, cogitassent sanguinem flere, non lacrimas fundere eos qui homines, apud quos fractae naves eiiciuntur, occultis in mari saxis et rupibus duriores experiuntur; et ense illos coercuissent, qui non frustra gestatur, et capitis iniquos damnassent. nunc, ut mihi

αὐτόχρημα πονηρίαν ἔγγραφον, κἀπὶ τοῖς ἄλλων κακοῖς οὐκ B ἐπαινετῶς ἐπιδεικνύμενοι τὸ μακρόθυμον τοῖς πάσχουσι συνεπετίθεντο καὶ αὐτοί, καὶ ἐπεκράτυνον μᾶλλον τὰ οὐκ ἐπαινετέα ἔθιμα, οἷς τὴν τούτων διόρθωσιν ἑκόντες ἐκπεριίσταντο." ταῦτ' εἰρηκὼς „ἄνδρες" προσεπῆγεν, „οἳ καθ' αἷμά μοι προσῳκειώσθε καὶ ὅσοις ἡ πρὸς ἐμὲ πίστις εὔνοιαν ἐπεβράβευσε, καὶ τὸ περιεστηκὸς δὲ λοιπόν, ὅσον τε εἰς γερουσίαν ἐγκέκριται καὶ ὅσον ἐς τὸ ἄλλως ὑπουργικὸν τῇ βασιλείᾳ Ῥωμαίων ἀποκεκλήρωται, ἀκούσατέ μου, ἀκούσατε. φθέγξομαι γὰρ οὐχ ὅσα περ ἀὴρ διαφορήσει ἀτέλεστα, ἀλλ' ὁπόσα εἰ μὴ τὸν εἰκότα χρόνον ἐπ' ἔργον ἐκβήσονται, τὸν μὲν τὸ ποιητέον V. 173 ἐμὲ διακελευόμενον ἐκ μήνωσιν εἰς ὀργήν, ἡ δὲ βαρεῖά τις καὶ δυσύποιστος ἐπενσκήψει τοῖς παρὰ τὰ διατεταγμένα C μοι πράττουσι καὶ ἀρχικῶν οὐκ ἐμπαζομένοις ὅλως φωνῶν. χρεὼν μὲν οὖν καὶ τἆλλα τὰ κοινοβλαβῆ καὶ κηρεσιφόρα Ῥωμαίοις παύσασθαι, καὶ ἔστωσαν εἰδότες οἱ τὸν πλεονέκτην βίον μεταδιώκοντες ὡς εἰ μὴ λήξουσιν ἐθελονταὶ τῆς τῶν ἀλλοτρίων ἐφέσεως, καὶ τὰ οἰκεῖα προσαπολέσουσι καὶ τοῖς τῶν πενήτων ἐκφυσηθήσονται στεναγμοῖς ὥσπερ ἐν σφοδρᾷ λαίλαπι χοῦς ἀπὸ προσώπου γῆς ἐκριπίζεται, μάλιστα δὲ τὸ ταῖς ναυσὶν ἐπιτίθεσθαι καὶ διαρπάζειν τοὺς φόρτους, ἐνίοτε δὲ καὶ αὐτὰς κατατεμαχίζειν καὶ ἀπογομφοῦν. εἴ τις τοίνυν ὑμῶν ἀρχὴν ἐκ τοῦ ἡμετέρου κράτους χειρίζει ἢ εἴ τις ἀκινήτων παραλίων κύριος, καταρτισάτω πρότερον ἑαυτόν, εἶτα D

2. ἐνδεικνύμενοι A. 3. οὐκ] μὴ A. 8 ἐς] πρὸς A. 20. χνοὺς B. 21. φόρτους] γόμους B. 23. ἢ om APW.

videtur, nihil nisi malitiam scripserunt, et in alienis malis contra quam decet patientes, afflictos ipsi quoque sunt insectati, dum pravos mores non corrigendo confirmarunt." quae cum dixisset, subiecit „viri, qui sanguine mihi iuncti aut fide vestra meam benevolentiam consecuti estis, et reliqua circumstans corona, sive in senatum asscripta sive aliis imperii muneribus destinata, audite, audite me. loquar enim non ea quae aër frustra dissipet, sed ea quae nisi suo tempore ipsa re apparebunt, me edicti auctorem gravi ira commovebunt: ea vero acris et intolerabilis in eos desaeviet, qui dicto magistratus non audientes secus ac iussi fecerint. cum autem alia quoque rei publicae incommodantia et cladem Romanis importantia abroganda sint, homines ex rapto vivere soliti sciunto, nisi ultro appetere aliena desierint, etiam sua amissuros et pauperum suspiriis non secus eiectum iri quam pulvis a vehementi turbine dissipatur, eos praesertim qui naufragiis insidiantur et sarcinas diripiunt et aliquando ipsas naves dissecant et comminuunt. si quis vestrum igitur no-

καὶ τὸ ὑπήκοον εἰς δέος τὸ τοῦ θεοῦ καὶ τῆς ἐμῆς βασιλείας ὑποστολὴν καὶ αἰδῶ· ἦ μὴν ἐκ τῆς ψυχῆς ζητηθήσεται πολλαπλάσιον τὸ ἀδίκημα τοῦ τὴν ἐπαρχίαν διέποντος ἢ τὸν ἀγρὸν κατέχοντος, κἂν εἴη αὐτὸς μὲν ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, οἱ δ' ὑποδρηστεύοντες ἐκείνῳ τὴν ἄθεσμον πρᾶξιν ἀποτελέσωσι. λοιμοῦ γὰρ μαστιγουμένου κυρίου τὸ ὑπὸ χεῖρα νοῦν οἴσει· καὶ ὥσπερ ἐξομοιοῦσθαι τῷ ἄρχοντι φιλεῖ τὸ ἀρχόμενον προτέρῳ δρῶντι τὰ μὴ ἐπαινετὰ ἐφεπόμενον, οὕτω καὶ μαστιζομένῳ καὶ ἀναγκαστῶς μεταμανθάνοντι τὸ κοινῇ συνοῖσον ἐφέψεται τὸ ὑπήκοον κατὰ πόδας, ὅσα καὶ μητρὶ παῖς. ἵνα δὲ εἰδῆτε καὶ τὸν τρόπον τῆς ἐκδικήσεως ἧ P. 211 καθυποβληθήσεται ὁ τῆς ἐμῆς παρήκοος ἐντολῆς, ἐπὶ τοῦ ἱστοῦ ἀπαιωρηθήσεται τῆς νεώς, εἰ δὲ τοῦτον παρέσυρε φλοῖσβος θαλάττιος, ἐφ' ὑψηλῆς ἀνασκολοπισθήσεται σκοπιᾶς, μεγίστης τινὸς καὶ ἰθυτενοῦς ἐκ τῶν ἐκεῖσέ που ὀρέων ἀποτμηθείσης δοκοῦ, ἵν' οὕτω καὶ τοῖς κατὰ τὰ ἀχανῆ ναυτιλλομένοις πελάγη περίοπτος ἔσοιτο ὡς λαῖφος ἐν κεραίᾳ προφαινόμενος καὶ ναυαγὸς ἐν γῇ δεικνύμενος καὶ εἰς σύμβολον παραλαμβανόμενος τοῦ μὴ προβῆναι καὶ εἰσέτι θραῦσιν νηῶν καὶ τῶν ἐνόντων αὐταῖς προνόμευσιν, καθὰ καὶ θεὸς ἐν ἀέρι τὸ ἑαυτοῦ τόξον ἐνέτεινεν εἰς σημεῖον τοῦ μηκέτι ἔσεσθαι B ὕδωρ εἰς κατακλυσμόν." (5) καὶ ὁ μὲν φάμενος ταῦτα πρὸς

7. ἐκζητ. A. 8. ἐπαινετέα ἑπόμενον A. 10. συνοῖσον] συμφέρον A. 12. ἐπὶ τοῦ] εἰς τὸ κατάρτιον τοῦ τζακισθέντος καραβίου κρεμασθήσεται καὶ φουρκισθήσεται B. 13. φλοῖσβος] κῦμα θαλάττιον, ἐφ' ὑψηλῆς ἀγχιάλου ἀνασκ. A. 16. κατὰ] ἐς A. 17. λαῖφος] ἄρμενον A.

stra auctoritate magistratum aliquem gerit, si quis fundos maritimos possidet, is primum se ipsum, deinde subditos quoque ad iustam dei et imperii nostri observantiam ac reverentiam confirmet. profecto poena dilecti multiplex ab eo exigetur, qui vel provinciae praeest vel agrum possidet. quodsi ipse et animo a facinore abhorruerit et manus abstinuerit, sed ministri eius scelus id admiserint, id ipsi imputabitur. nam si sceleratus dominus flagellabitur, servitia resipiscent. et ut subditi in illaudatis rebus principem imitari solent, ita etiam, si is flagelletur et publicae utilitati servire cogatur, hi eum ut matrem filius sequentur. ut autem poenae quoque modum noveritis, quam edicti mei contemptor luet, in malo navis pendebit. sin eum fluctus marinus deturbarit, in alto littore editaque speculatissimae arbori quae in iis montibus caedi poterit, affigetur; ut qui medio mari navigant eum conspiciant, velut de antenna velum, prominentem, atque in terra naufragum, suo exemplo caeteros monentem.

ἑτέροις εἶχε τὸν νοῦν, τὸν ἄγαν χαρακτηρίζων παθαινόμενον
καὶ εἰκάζων τὸν μηδ' ὅλως παραδεξόμενον τῶν δοξάντων με-
ταποίησιν ἢ ῥοπὴν φιλάνθρωπον ἐφ' οἷς ἀπεφήνατο· οἱ δ'
ἀκηκοότες ἀπολιθωθέντες τῷ δέει μικροῦ (πείρᾳ γὰρ ᾔδεσαν
ὡς οὐκ οἶδε παίζειν Ἀνδρόνικος, οὐδ' ἄλλα μὲν ἐν τοῖς τοι-
ούτοις φθέγγεσθαι ἄλλα δὲ κεύθειν ἐν ταῖς φρεσίν), ὀψὲ καὶ
μόλις ἐν τῷ καθεστῶτι γενόμενοι, ἐπιστολὰς γράψαντες διὰ
ταχυδρόμων ἐξέπεμψαν τοῖς τῶν σφετέρων ἐπιστάταις κτη-
μάτων καὶ τοῖς ἀντ' αὐτῶν διέπουσι δημοσίας ἀρχάς, πολλὰ
τούτοις ἐπισκήπτοντες καὶ παράκλησιν πᾶσαν ἐπάγοντες, προσ- C
σχεῖν τε καὶ ἐπαγρυπνήσειν μήπως ναυαγίῳ ἐγκύρσασα ναῦς
ἔσεταί τι πεπονθυῖα δεινόν, εἰ δὲ δυνατόν, καὶ τοῖς ἀνέμοις
αὐτοῖς ἐπιτιμᾶν ἢ κατὰ τὴν Αἰόλου μυθολογίαν ἀσκοῖς τὰ
πνεύματα συλλαμβάνειν, ἵνα μὴ καταιγίδας ἐγείρωσι καὶ τὴν
ἅλμην διαταράσσωσιν. ἀμέλει τοι ἐκ τοῦδε οὐκ ἦν ὁρᾶν
πλοῖον ὃ περιπεσὸν κλύδωνι παρά του τῶν ἁπάντων διηρπά-
γη τι τοῦ φόρτου ἢ μέρος τῶν καταστρωμάτων ἀφῄρητο ἢ
καθῄρητο τὸν ἱστὸν ἢ ἄγκυραν ἀπεβάλετο ἢ τῶν ὅπλων τινὸς
ἐστέρητο μέχρι καὶ μηρίνθου λεπτῆς, ἀλλὰ πνεύμασι τῇ
χέρσῳ ἐκπτυόμενα ἢ χοιράσιν ἀρασσόμενα πέτραις ἢ προβό- D
λοις καταρρηγνύμενα, ὡσεὶ καὶ Χαρωνικὰ ψυχαγωγὰ ἀκάτια V. 174
ἐκ στομίου ᾅδου ἀναγόμενα ὑπεβλέποντο ἀντιπαρερχόμενα ἢ

4. ἀπολιθωθέντες] ἀποναυτιάσαντες A. 5. οὐδὲ ἄλλα λέγει καὶ ἄλλα πράττει, ἀλλὰ συντομώτερόν ἐστι τὸ τιμωρῆσαι ἢ τὸ εἰπεῖν αὐτόν B. 8. ταχυδρόμων] πεζοδρόμων B. 9. τοῖς ἀντ'] τοὺς τὰς δημοσιακὰς ἐνοχὰς ἔχοντας B. διέπουσι] διοικοῦσι A. 15. ἐκ] κἀκ A.

ne naufragia invadant et naves spolient, quemadmodum deus arcum suum in nubibus suspendit, qui argumento esset non fore amplius diluvium." (5) Quae cum dixisset magnum dolorem prae se ferens, eumque exprimens qui nec consilium mutaturus nec de sententiae severitate quicquam remissurus esset, aliis rebus intentus fuit. auditores vero experientia edocti nescire iocari Andronicum, nec alia loqui alia sentire in rebus huiusmodi, metu trepidabant; et vix tandem animis receptis, per veredarios procuratores suos et in magistratibus suam vicem obeuntes severissime monuerunt ac obtestati sunt, ut vigilantissime caveant ne tempestate fracta navis laedatur, sed potius, si fieri possit, ipsos etiam ventos increpent aut, ut de Aeolo fabulantur, utribus includant, ne turbinibus mare exagitent. ab eo tempore nulla navis iactata fluctibus ullam sarcinarum iacturam fecit, aut parte tabulatorum spoliata est, aut malum ancoramve aut minimum funiculum, nedum ulla armamenta amisit. imo sive ventis in terram ageretur sive scopulis occultis allisa frangeretur, non

ὡς θεωρίδες νῆες ἀμφιπεριείποντο, καὶ μεθ' ὑποστολῆς εἶχον ἀμφιπονούμενον αὐτὰς τὸν πολὺν καὶ λαώδη ὅμιλον καὶ τὸ χειρίζον τὰς ἀρχάς, μή πού τι κατὰ χέρσον ἀπολέσωσιν ὃ μὴ κλύδων ἠφάνισεν ἅλιος. καὶ ἦν ἀτεχνῶς γαλήνη διαγελῶσα ἐκ ζάλης καὶ δεξιᾶς ὄντως θειοτέρας ἀλλοίωσις τὸ ὁρώμενον.

Οὗτος ἀνεκαίνισε μεγίσταις δαπάναις καὶ τὸν παλαιὸν ὑπόγειον ἀγωγόν, ὃς περὶ μέσην ἔξεισιν ἀγορὰν ὑετίζων κάτωθεν ὕδωρ οὐχ ἑστὸς καὶ νοσῶδες ἀλλὰ πηγιμαῖον καὶ πότιμον ὡς πλανώμενον· τὸν γὰρ ποταμὸν Ὑδράλην ἐπωχέτευσε τῷ αὐλῶνι τούτῳ τοῦ ὕδατος, καὶ περὶ τὰς πρώτας τούτου πηγὰς πύργον τε ἀνῳκοδόμησε καὶ οἰκήματα ἤγειρε πρὸς θερινὴν διαίτησιν ἐπιτήδεια. καὶ νῦν ἐκ τούτου ὑδρεύονται ὁπόσοι περὶ τὰς Βλαχέρνας καὶ ἔτι ἐνδοτέρω τῆς πόλεως τὴν οἴκησιν ἔλαχον. οὐδὲ γὰρ ἅπαν τὸ ὑδροδοχεῖον ἐπεσκεύαστο, ἵνα καὶ κατὰ μέσην τὴν ἀγορὰν ἐκδίδωσι τὸ ὕδωρ διαυλωνιζόμενον· ὁ γὰρ μίτος ἐκεῖ- P. 212 νον ἐπιλέλοιπε τῆς ζωῆς. τοσοῦτον δ' ἐμέλησε τοῖς μετ' ἐκεῖνον ἄρξασιν, ὅσοι τέως ἐς δεῦρο ἀνάσσουσι, πέρας ἐπιθεῖναι τῷ κοινωφελεῖ τούτῳ ἔργῳ, ὥστε καὶ ὁ τοῦτον μεταστήσας τῆς ἀρχῆς ἅμα καὶ τῆς ζωῆς Ἰσαάκιος τόν τε πύργον κατήρειψε καὶ τὰς χαριεστάτας οἰκήσεις κατέβαλε, φθονῶν ὥσπερ Ἀνδρονίκῳ τῆς καλλίστης ταυτησὶ πράξεως.

1. νῆες θεωρίδες περιείποντο A. 2. λεώδη A. 3. πού] πώς A. 7. μεγίσταις] μετὰ ἐξόδων πολλῶν B. 10. ὡς πλανώμενον om A. 11. περὶ] εἰς τὰς βρύσεις B. 17. διαυλιζόμενον A. ἐκείνω A. 21. κατήρειψε] ἐχάλασε B.

aliter spectabatur quam cymba Charontis, qua ex faucibus inferni animae veherentur; aut ut sacrae naves a populo et magistratibus submisse curabantur, ne quid in terra amitterent quod mare non abstulisset.

Ita ex tempestate subita tranquillitas extitit, ut ea mutatio divinitus instituta videretur. idem maximum aquaeductum subterraneum, qui in medio foro non stagnantem et morbidam sed fontanam et potabilem aquam effunderet, maximis sumptibus renovavit, Hydrale fluvio in eum derivato; ad cuius primos fontes turrim extruxit et aedes ad aestivandum idoneas. ex eo fonte adhuc aquantur, qui ad Blachernas et interius etiam in urbe habitant. nam id opus morte eius interruptum est, quo minus aqua in medio quoque foro exiliret. secuti autem imperatores in hunc usque diem id opus ita curarunt, ut Isaacius, qui Andronico una cum imperio vitam eripuit, et turrim et aedes amoenissimas diruerit, ex invidia nimirum pulcherrimi istius facinoris.

Ἀναποιῶν δὲ καὶ τὰς πραιτωρίας ἀρχάς, ἄνδρας λογίμους καὶ τῶν ἀπὸ τῆς βουλῆς ἀρίστους αὐταῖς ἦν ἐφιστῶν. ἀλλὰ καὶ ἁδροτάτοις ἐπαίρων φιλοδωρήμασι, τεθραμμένους εἴποι ἄν τις ταῖς εὐποιίαις ἐξέπεμπε, προμηθούμενος ἐντεῦθεν τοῦ ἀνεπαχθῶς ταῖς πόλεσι στέλλεσθαι καὶ τοῦ σφᾶς ἐπιμόνως προσανέχειν τῷ ἐλέῳ καὶ τῇ κρίσει τῶν ταπεινῶν. B οἱ δὲ διαρκῶς τῶν ἐπιτηδείων ἔχοντες (ἀνὰ τεσσαράκοντα γὰρ καὶ ἀνὰ ὀγδοήκοντα νομίσματος ἀργυρέου μνᾶς ἀπεφέροντο) ὥσπερ ἱερῶν χρημάτων ἐφείδοντο ἃ παρά τινων καὶ αὐθαιρέτως σφίσι παρείχοντο ἀνθ' ὧν ἐκ χειρὸς δυνάστου ἐρρύσθησαν ἢ τινος ἄλλως ἀγαθοῦ μετεσχήκασιν. ὅθεν διὰ βραχέος εἰς πληθυσμὸν αἱ πόλεις ἐπέδωκαν, ἥ τε γῆ τὰ ἐκφόρια κατὰ ἑκατοστύας ἀνέδωκε, καὶ ὀλίγου τὰ πρὸς τὸ ζῆν ἀπεδίδοτο. ἦν δὲ καὶ τοῖς κατειπεῖν ἔχουσι τῶν χειροδικῶν εὐέντευκτος, καὶ πρόσωπα μὴ λαμβάνων οὐκ ἦρεν ἀπὸ τοῦ δικαίου τὸ δίκαιον, ἀλλ' ἐπ' ἴσης τῷ τὴν τύχην χθαμαλῷ τὸν καὶ γένει καὶ πλούτῳ σεμνὸν παράγων ἐπὶ τὸ κρίνεσθαι C ἀμφοτέρων νουνεχόντως κατηκροᾶτο, καὶ ἐπέπληττεν ἱκανῶς καὶ δίκην ἐπετίθει ἀνάλογον τῷ γαύρῳ καὶ ἀδοξοῦντι μετὰ πένητος κρίνεσθαι, εἰ πεφώραται ἀδικῶν ἢ ἐκθλίβων καὶ πλήττων πυγμῇ τὸν ἔγγιστα. ποτὲ οὖν καιροῦ περιέστησαν αὐτὸν ἐξ ἀγροικίας τινές, καταβοῶντες τοῦ Δαδιβρηνοῦ Θεοδώ-

1. ἀναποιῶν] πέμπων δὲ εἰς τὰ κεφαλατίκια B. 6. ταπεινῶν] πτωχῶν A. 8. νομίσματος] λίτρας ἀργυρίου διὰ νομίσματος B. 11. μετεσχήκασιν] μετέλαβον A. 12. τὰ ἐκφόρια] εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησε B. 17. τὸ] τῷ A. 20. πλήττων] τύπτων A. 21. αὐτὸν ἀγροῖκοί A.

In praetoriis magistratibus reficiendis viros praestantes et senatorii ordinis optimos delegit, et amplissimis muneribus donatos ablegavit, ut beneficiis tantis ornati minus graves essent civitatibus et defendendis ac sublevandis pauperibus semper intenti. qui, cum abunde suppeteret unde viverent (nam quadragenas et octogenas argenti minas secum auferebant), tanquam sacrilegio etiam iis abstinebant quae a provincialibus ultro offerebantur, quod aut e manu potentis erepti aut aliis beneficiis affecti essent. unde civitates exiguo tempore creverunt, terra centuplum fructum tulit, annona parvo veniit. facile quoque se ab iis adiri passus est Andronicus qui de violentia potentum querebantur, nulla personarum habita ratione; nec ius a iusto removit, sed genere et opibus illustres aeque ac tenuis fortunae homines in ius adductos ex aequo audivit. insolentes, quos cum obscuris hominibus iure agere pudebat, si convicti essent iniuriarum, quod pauperes opprimerent aut pugnis caederent, graviter castigatos pro delicti modo multabat. aliquando Dadibrenum Theodorum, quem

ὡς θεωρίδες νῆες ἀμφιπεριείποντο, καὶ μεθ' ὑποστολῆς εἶχον ἀμφιπονούμενον αὐτὰς τὸν πολὺν καὶ λαώδη ὅμιλον καὶ τὸ χειρίζον τὰς ἀρχάς, μή πού τι κατὰ χέρσον ἀπολέσωσιν ὃ μὴ κλύδων ἠφάντωσεν ἅλιος. καὶ ἦν ἀτεχνῶς γαλήνη διαγελῶσα ἐκ ζάλης καὶ δεξιᾶς ὄντως θειοτέρας ἀλλοίωσις τὸ ὁρώμενον.

Οὗτος ἀνεκαίνισε μεγίσταις δαπάναις καὶ τὸν παλαιὸν ὑπόγειον ἀγωγόν, ὃς περὶ μέσην ἔξεισιν ἀγορὰν ὑετίζων κάτωθεν ὕδωρ οὐχ ἑστὸς καὶ νοσῶδες ἀλλὰ πηγιμαῖον καὶ πότιμον ὡς πλανώμενον· τὸν γὰρ ποταμὸν Ὑδράλην ἐποχέτευσε τῷ αὐλῶνι τούτῳ τοῦ ὕδατος, καὶ περὶ τὰς πρώτας τούτου πηγὰς πύργον τε ἀνῳκοδόμησε καὶ οἰκήματα ἤγειρε πρὸς θερινὴν διαίτησιν ἐπιτήδεια. καὶ νῦν ἐκ τούτου ὑδρεύονται ὁπόσοι περὶ τὰς Βλαχέρνας καὶ ἔτι ἐνδοτέρω τῆς πόλεως τὴν οἴκησιν ἔλαχον. οὐδὲ γὰρ ἅπαν τὸ ὑδροδοχεῖον ἐπεσκεύαστο, ἵνα καὶ κατὰ μέσην τὴν ἀγορὰν ἐκδίδωσι τὸ ὕδωρ διαυλωνιζόμενον· ὁ γὰρ μίτος ἐκεῖ-
P. 212 νον ἐπιλέλοιπε τῆς ζωῆς. τοσοῦτον δ' ἐμέλησε τοῖς μετ' ἐκεῖνον ἄρξασιν, ὅσοι τέως ἐς δεῦρο ἀνάσσουσι, πέρας ἐπιθεῖναι τῷ κοινωφελεῖ τούτῳ ἔργῳ, ὥστε καὶ ὁ τοῦτον μεταστήσας τῆς ἀρχῆς ἅμα καὶ τῆς ζωῆς Ἰσαάκιος τόν τε πύργον κατήρειψε καὶ τὰς χαριεστάτας οἰκήσεις κατέβαλε, φθονῶν ὥσπερ Ἀνδρονίκῳ τῆς καλλίστης ταυτησὶ πράξεως.

1. νῆες θεωρίδες περιείποντο A. 2. λεώδη A. 3. πού] πώς A. 7. μεγίσταις] μετὰ ἐξόδων πολλῶν B. 10. ὡς πλανώμενον om A. 11. περὶ] εἰς τὰς βρύσεις B. 17. διαυλιζόμενον A. ἐκείνῳ A. 21. κατήρειψε] ἐχάλασε B.

aliter spectabatur quam cymba Charontis, qua ex faucibus inferni animae veherentur; aut ut sacrae naves a populo et magistratibus submisse curabantur, ne quid in terra amitterent quod mare non abstulisset.

Ita ex tempestate subita tranquillitas extitit, ut ea mutatio divinitus instituta videretur. idem maximum aquaeductum subterraneum, qui in medio foro non stagnantem et morbidam sed fontanam et potabilem aquam effunderet, maximis sumptibus renovavit, Hydrale fluvio in eum derivato; ad cuius primos fontes turrim extruxit et aedes ad aestivandum idoneas. ex eo fonte adhuc aquantur, qui ad Blachernas et interius etiam in urbe habitant. nam id opus morte eius interruptum est, quo minus aqua in medio quoque foro exiliret. secuti autem imperatores in hunc usque diem id opus ita curarunt, ut Isaacius, qui Andronico una cum imperio vitam eripuit, et turrim et aedes amoenissimas diruerit, ex invidia nimirum pulcherrimi istius facinoris.

Ἀναποιῶν δὲ καὶ τὰς πραιτωρίας ἀρχάς, ἄνδρας λογίμους καὶ τῶν ἀπὸ τῆς βουλῆς ἀρίστους αὐταῖς ἦν ἐφιστῶν. ἀλλὰ καὶ ἁδροτάτοις ἐπαίρων φιλοδωρήμασι, τεθραμμένους εἴποι ἄν τις ταῖς εὐποιίαις ἐξέπεμπε, προμηθούμενος ἐντεῦθεν τοῦ ἀνεπαχθῶς ταῖς πόλεσι στέλλεσθαι καὶ τοῦ σφᾶς ἐπιμόνως προσανέχειν τῷ ἐλέῳ καὶ τῇ κρίσει τῶν ταπεινῶν. B οἱ δὲ διαρκῶς τῶν ἐπιτηδείων ἔχοντες (ἀνὰ τεσσαράκοντα γὰρ καὶ ἀνὰ ὀγδοήκοντα νομίσματος ἀργυρέου μνᾶς ἀπεφέροντο) ὥσπερ ἱερῶν χρημάτων ἐφείδοντο ἃ παρά τινων καὶ αὐθαιρέτως σφίσι παρείχοντο ἀνθ' ὧν ἐκ χειρὸς δυνάστου ἐρρύσθησαν ἢ τινος ἄλλως ἀγαθοῦ μετεσχήκασιν. ὅθεν διὰ βραχέος εἰς πληθυσμὸν αἱ πόλεις ἐπέδωκαν, ἥ τε γῆ τὰ ἐκφόρια κατὰ ἑκατοστύας ἀνέδωκε, καὶ ὀλίγου τὰ πρὸς τὸ ζῆν ἀπεδίδοτο. ἦν δὲ καὶ τοῖς κατειπεῖν ἔχουσι τῶν χειροδικῶν εὐέντευκτος, καὶ πρόσωπα μὴ λαμβάνων οὐκ ἦρεν ἀπὸ τοῦ δικαίου τὸ δίκαιον, ἀλλ' ἐπ' ἴσης τῷ τὴν τύχην χθαμαλῷ τὸν καὶ γένει καὶ πλούτῳ σεμνὸν παράγων ἐπὶ τὸ κρίνεσθαι C ἀμφοτέρων νουνεχόντως κατηκροᾶτο, καὶ ἐπέπληττεν ἱκανῶς καὶ δίκην ἐπετίθει ἀνάλογον τῷ γαύρῳ καὶ ἀδοξοῦντι μετὰ πένητος κρίνεσθαι, εἰ πεφώραται ἀδικῶν ἢ ἐκθλίβων καὶ πλήττων πυγμῇ τὸν ἔγγιστα. ποτὲ οὖν καιροῦ περιέστησαν αὐτὸν ἐξ ἀγροικίας τινές, καταβοῶντες τοῦ Δαδιβρηνοῦ Θεοδώ-

1. ἀναποιῶν] πέμπων δὲ εἰς τὰ κεφαλατίκια B. 6. ταπεινῶν] πτωχῶν A. 8. νομίσματος] λίτρας ἀργυρίου διὰ νομίσματος B. 11. μετεσχήκασιν] μετέλαβον A. 12. τὰ ἐκφόρια] εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησε B. 17. τὸ] τῷ A. 20. πλήττων] τύπτων A. 21. αὐτὸν ἀγροῖκοί A.

In praetoriis magistratibus reficiendis viros praestantes et senatorii ordinis optimos delegit, et amplissimis muneribus donatos ablegavit, ut beneficiis tantis ornati minus graves essent civitatibus et defendendis ac sublevandis pauperibus semper intenti. qui, cum abunde suppeteret unde viverent (nam quadragenas et octogenas argenti minas secum auferebant), tanquam sacrilegio etiam iis abstinebant quae a provincialibus ultro offerebantur, quod aut e manu potentis erepti aut aliis beneficiis affecti essent. unde civitates exiguo tempore creverunt, terra centuplum fructum tulit, annona parvo veniit. facile quoque se ab iis adiri passus est Andronicus qui de violentia potentum querebantur, nulla personarum habita ratione; nec ius a iusto removit, sed genere et opibus illustres aeque ac tenuis fortunae homines in ius adductos ex aequo audivit. insolentes, quos cum obscuris hominibus iure agere pudebat, si convicti essent iniuriarum, quod pauperes opprimerent aut pugnis caederent, graviter castigatos pro delicti modo multabat. aliquando Ladibrenum Theodorum, quem

ρου ὡς καταλύσαντος παρὰ σφίσιν ἐν τῷ παροδεύειν, καὶ πορισαμένου μὲν ὅσων ἐσπάνιζεν αὐτὸς καὶ ἡ ὑπηρεσία αὐτοῦ ἅπασα καὶ τὰ ὀχήματα ξύμπαντα, μηδὲν δ' ἀπόδομα καταθεμένου ἐν τῷ μεθίστασθαι. ἔστι δ' ὁ Λαδιβρηνὸς οὗτος ὃν ὁ λόγος ἐδήλωσεν ἄνωθεν ὑπηρετῆσαι μεθ' ἑτέρων τῇ τοῦ βασιλέως Ἀλεξίου πνιγμονῇ. δικάσας οὖν μετὰ τῶν ἀγρο-
D τέρων ἐκείνων, καὶ ἀληθείας εὑρὼν ἐχόμενα τὰ λεγόμενα, αὐτὸν μὲν δι' ἀλλακτῶν ἐπαίδευσε δώδεκα, τὴν δὲ τῶν ἀναλωμάτων τιμὴν ἐς τὸ πολλαπλάσιον ἐκέλευσε καταθέσθαι τοῖς ἐπὶ τῶν χρυσώνων τῶν βασιλικῶν. ἔγραψε δὲ καὶ πρός τινας τῶν τὰ δημόσια ἐνεργούντων ἐπιστολὴν ἔχουσαν οὕτως „Ἀλήθινε τοῦ ψεύδους πρωτάγγελε, σὺ ἀσύνετέ μοι Συνέσιε, καὶ σὺ ἀγοραῖε Λαχανᾶ, ἤκουσται τῇ βασιλείᾳ μου ἀδικεῖν ὑμᾶς τὰ πολλά, καὶ ἢ τὸ ἀδικεῖν ἐάσατε ἢ τὸ ζῆν· τὸ γὰρ ἀδικεῖν ὑμᾶς καὶ ζῆν οὔτε τῷ θεῷ ἀρεστόν ἐστιν οὔτ' ἐμοὶ τῷ δούλῳ αὐτοῦ ἀνεκτόν."

V. 175 Τοσοῦτον δ' ἀπεῖχε τὴν τότε καὶ νῦν περὶ δογμάτων θείων κρατοῦσαν κατάστασιν ἐπαινεῖν, ἢ περὶ θεοῦ τι λέγειν καὶ ἀκούειν ἀεὶ καινότερον ἤθελε, καὶ ταῦτα τῆς ἡμετέρας σοφίας οὐκ ἄκρῳ λιχανῷ γεγευμένος, ὥστε καὶ τῷ νέων Πα-
P. 213 τρῶν Εὐθυμίῳ (μέγας δ' ἐν λόγοις οὗτος ἦν ὁ ἀνὴρ) καὶ τῷ Κινάμῳ Ἰωάννῃ οὐ μόνον ἐπέπληξεν ἐντὸς τῆς βασιλείου

1. παρὰ] ἐν αὐτοῖς A. 2. ἐσπάνιζεν] ἐδεῖτο A. 5. ὑπουργῆσαι A. 6. ἀγροτέρων] τῶν χωριατῶν A. 8. δι' ἀλλακτῶν] διὰ μαγγλαβίων B. 10. τοῖς ἐπὶ] τοῖς τὴν ἀπαίτησιν ποιοῦσι τῶν βασιλικῶν κεφαλαίων B. 13. βασιλείων A, omissis ἔγραψε — ἀνεκτόν. 19. τῆς γραμματικῆς σοφίας μέτοχος ὢν B. 22. κιναμώμῳ A.

supra Alexii imperatoris praefocationem adiuvisse ostendimus, quidam agricolae accusarunt, quod apud se divertisset ac cum servitiis et iumentis suis, omnibus necessariis acceptis, discedens nihil solvisset. quod ubi verum esse comperit, ipsum duodecim plagis fuste castigavit, et ex fisco agricolis longe plus quam quanti erat damnum solvi iussit. scripsit et ad quosdam magistratibus fungentes huiusmodi litteras: „vere mendacii princeps, prudenti meo iudicio imprudens, et tu holitor venalicie, auditum est nostro imperio vos studere iniuriis. enimvero aut iniurias aut vitam relinquite. nam vos iniurios esse et vivere neque deo acceptum est neque mihi servo eius tolerabile."

Tantum porro abfuit ut consuetudinem et tunc et nunc receptam de divinis dogmatibus disputandi probaret, aut de deo novi aliquid vel dicere vel audire vellet (idque cum nostram doctrinam non summis tantum labris attigisset), ut novarum Patrarum episcopum Euthy-

σκηνῆς κατὰ τὸ Λοπάδιον διαλεγομένοις περὶ τῆς „ὁ πατήρ μου μείζων μού ἐστι" τοῦ θεανθρώπου φωνῆς, ἀλλὰ καὶ κατὰ τοῦ Ῥυνδακοῦ ποταμοῦ ἀκοντίσειν χαλεπήνας ἠπείλησεν, εἰ μὴ παύσαιντο ποιούμενοι περὶ θεοῦ τὴν διάλεξιν. καὶ μὴν κἀκεῖνό γε σημεῖον τοῦ μὴ πάμπαν ἐκτεθηριῶσθαι Ἀνδρόνικον· τοῦ γὰρ λόγου λόγον τιθέμενος οὐ πόρρω τῆς ἁλουργίδος τοὺς πατέρας λόγων ἐτίθετο, ἀλλ' ἐγγὺς ἄγων τοῦ θρόνου καὶ δωρεαῖς διαθάλπων συχναῖς, καὶ τιμῆς οὔκουν ἐλαχίστης μεταδιδούς, ἐδείκνυ ἑαυτὸν καὶ φιλοσοφίαν οὐρανοβάμονα μέγα τι χρῆμα οἰόμενον καὶ πλείστου τιμώμενον, καὶ σοφιστὴν ἐγκωμιάζοντα καλλιρρήμονα, καὶ τοὺς νομοτριβεῖς ἄνδρας περὶ πλείστου μάλα τιθέμενον. B

6. Τὴν δὲ οἱ τοῦ σκήνους κατάθεσιν ἐς τὸν ναὸν τῶν ἁγίων τεσσαράκοντα μαρτύρων βουληθεὶς ποιήσασθαι ὡς κάλλει κάλλιστον καὶ μεγέθει μέγιστον καὶ περὶ τὸ καίριον καὶ μέσον ἀνεγηγερμένον τῆς πόλεως, ἅπαντα φιλοτίμως τὰ πεπονηκότα μέρη τοῦ τεμένους ὑπέλαβε καὶ τὸ ἀποσβεσθὲν ἀνέθαλψεν ἀγλαόμορφον, τήν τε τοῦ σωτῆρος ἡμῶν εἰκόνα Χριστοῦ, δι' ἧς ὁμιλῆσαί ποτε τῷ βασιλεῖ Μαυρικίῳ λόγος αἱρεῖ, πολυτελῆ περιέβαλε κόσμον, καὶ τὴν πορφυρᾶν μεγίστην πλυνόν, ἧς τοῖς χείλεσι φρικώδεις δύο ἀμφιελίττονται δράκοντες εἰς ὁλκοὺς λορδούμενοι, θαῦμα ἰδέσθαι, ἐκ τοῦ κατὰ τὸ μέ-

5. γε om A. 7. τοὺς πατέρας] τοὺς ἀνθρώπους τοὺς λόγου μετέχοντας καὶ λογογραφοῦντας B. 9. ἐδείκνυεν A. φιλοσοφίαν] σοφίαν A. 11. ἐγκωμιάζοντα] θειάζοντα A. 16. ἅπαντα τὰ διερραγότα τούτου τείχη ἀνεκαίνισε καὶ ἀνιστόρησεν εἰς κάλλος καὶ ὡραιότητα B. 20. κόσμῳ A. πορφύρεον A. πλυνόν] λεκάνην B.

mium, virum eruditissimum, et Cinamum Iohannem, ad Lopadium de illo Christi dicto *Pater maior est me* in suo tabernaculo disserentes obiurgarit, et in Rhyndacum amnem abiecturum minatus sit, si desisterent. fuit autem illud argumento, non plane efferatum fuisse Andronicum, quod eruditionis rationem habuit; et eruditos non procul a purpura sed prope solium suum collocatos et muneribus frequentibus fovit, et honores eis non minimos habendo, coelestem sapientiam divinarumque rerum doctores, disertos et iurisperitos, magnam rem et summi pretii se aestimare declaravit.

6. Iam quia se in aede pulcherrima et amplissima et in media urbe sita, XL martyrum, sepeliri volebat, omnes eius templi partes ruinosas studiose refecit, et exolescentem pulchritudinem reconcinnavit; et Christi servatoris nostri imaginem, per quam olim cum imperatore Mauricio collocutus esse fertur, magnis impensis ornavit; et ingens illud porphyreticum solium, cuius labra duo horrendi ser-

C γα παλάτιον κηπίου παρὰ τὴν αὔλειον μετήνεγκε τοῦ νεώ, κἀκεῖσε τὰ τῆς ὁμευνέτιδος αὐτοῦ μετακεκόμικε λείψανα ἐκ τῆς τοῦ Ἀγκουρίου μονῆς, ἔνθα πρώην ἐτέθαπτο. ἔξωθεν δὲ περὶ τὰς ἀρκτῴας καὶ κατ' ἀγορὰν τετραμμένας τοῦ νεὼ τῶν ἁγίων τεσσαράκοντα πύλας ἐπὶ μεγάλου πίνακος ἀνέστησεν ἑαυτόν, οὐκ ἐσταλμένον βασιλικῶς οὐδὲ χρυσοφοροῦντα ὡς ἄνακτα, ἀλλά τινα πύλτλαν ἐργατικὸν ἐκ καλαίνου βαφῆς, ἐνδεδυμένον ἀμπεχόνην ἐς γλουτὸν ἀμφισχιδῆ καταβαίνουσαν, καὶ λευκαῖς κρηπῖσι περιστελλόμενον τοὺς πόδας ἀναβαινούσαις εἰς γόνατα, καὶ δρέπανον περικαμπὲς κατέχοντα τῇ χειρί, βριθὺ καὶ μέγα καὶ στιβαρόν, συμμάρπτον τῷ ἐπικλινεῖ σχήματι καὶ σαγηνεῦον ἐντὸς ἀγαλματίαν μειρακίσκον
D ἕως φάρυγγος καὶ ὤμων προφαινόμενον, ἐκεῖνα διὰ τῆς εἰκόνος τοὺς παροδεύοντας μυῶν ἀτεχνῶς καὶ διδάσκων στηλῶν καὶ κύρβεων πασῶν ὑψηλότερον καὶ τιθεὶς τοῖς βουλομένοις ὑπόψια, ἅπερ εἶχεν ἐπὶ τῶν ἔργων ἠνομηκώς, τὸν κληρονόμον ἀπεκτονὼς καὶ τὴν ἀρχὴν ἅμα καὶ τὴν ἄκοιτιν ἐκείνου ἑαυτῷ μνηστευσάμενος. ἀλλὰ καὶ ἐπὶ κίονος κατὰ τὸ χαλκοῦν μετέωρον τετράπλευρον, ἐν ᾧ γυμνοὶ περιβλημάτων μηλοβολοῦσιν ἀλλήλους οἱ Ἔρωτες, ὃ Ἀνεμοδούλιον κέκληται, ἑαυτὸν ἀναστήσειν ἐμελέτα χαλκοῦν, καίπερ τὰς εἰκόνας τῆς βασιλίδος Ξένης τῆς τοῦ βασιλέως Ἀλεξίου μητρός, ἣν διὰ

5. μεγάλου] μεγίστου A. ἀνέστησεν] ἱστόρησεν B. 7. ἀλλ' ὡς ἐργάτην τοῦ θέρους ἐκ γερανέου βαφῆς, φοροῦντα ῥοῦχον σχιστὸν μέχρι καὶ τῶν γονάτων, ἀπὸ δὲ τῶν γονάτων μέχρι καὶ τῶν ποδῶν ἐντετυλιμένον ἄσπρον πανὶν μετὰ λωρίων ἕως κάτωθεν γονατιζόμενον B. 17. ἀπ. τῆς ἀρχῆς καὶ τὴν ἄκ. A. 20. κέκληται] addit B ἔνθα πόρναι γυναῖκες εἶχον την οἴκησιν. 21. καίπερ] καὶ ταῦτα B.

pentes sinuosis voluminibus amplectuntur, mirabile opus', ex hortulo magni palatii in eius templi vestibulum transtulit, ibidemque prioris suae coniugis reliquias ex Ancurii monasterio translatas reposuit. extrinsecus iuxta Septentrionales eius templi fores in maxima tabula statuam suam collocavit, non imperatorio regiove habitu, nec aureo ornatu, sed instar aerumnosi operarii, nigra veste induti, fissa usque ad suras, cum albis ocreis usque ad genua ascendentibus; qui falcem gravem et magnam manu tenens formosissimum adolescentem usque ad humeros et fauces prominentem, velut incurvatus, comprehendat et implicet, qua imagine praetereuntibus clarissime sua facinora depingebat; et quo suis edocebat ut herede imperii occiso sponsam illius sibi matrimonio iunxisset. habuit etiam in animo aeream suam statuam super columna in sublimi aeneo tetrapleuro, ubi nudi Cupidines pomis se invicem petunt, quod Anemodulium vo-

πνιγμονῆς τοῦ ζῆν ἀπεξένωσε, πρὸς γεραιτάτην καὶ ῥικνὴν ματαζωγραφῶν μορφήν, τὸν ἐκ τῶν παριόντων καὶ θεωμένων τὸ λαμπρὸν ἐκεῖνο καὶ περικαλλέστατον εἶδος καὶ τοῦ θαυμάζεσθαι ἀξιώτατον ὑποβλεπόμενος ἔλεον, τὰς δὲ πλείους καὶ P. [illegible] ἀπαλείφειν ἐνδοὺς τοῖς ἐθέλουσι, καὶ μετεγγράφειν αὐτὸν ἐν σχήματι βασιλικῷ τῇ Ἀλεξίου μνηστῇ συνιστάμενον ἢ καὶ καθ' ἑαυτὸν ἰδίᾳ τυπούμενον. ἐπὶ πᾶσιν ἀνεγείρας κατὰ τὸν νεὼν τῶν τεσσαράκοντα μαρτύρων πολυτελῆ οἰκήματα ἑαυτῷ ἀφώρισεν εἰς ἐνοίκησιν, ἡνίκα ἂν ἀφίκοιτο πρὸς τὸ τέμενος. μὴ ἔχων δ' οὖν ἐκ τῶν προσφάτων καὶ νεαρῶν αὐτοῦ πρά- V. 176 ξεων καταπάττειν τοὺς δόμους τῷ τῶν χρωμάτων συγκερασμῷ ἢ ταῖς λεπταῖς καταποικίλλειν τῶν ψηφίδων ἐνθέσεσιν, εἰς τὰ πρὸ τῆς βασιλείας ἔβλεψεν ἔργα, καὶ ἦν ἱππηλάσια B καὶ κυνηγέσια ζωγραφούμενα, κλωγμὸς πτηνῶν, θωϋσμὸς κυνῶν, ἐλαφηβολίαι καὶ λαγῶν θηρεύσεις καὶ χαυλιόδους σῦς διακοντιζόμενος καὶ ζοῦμπρος διελαυνόμενος δόρατι (ζῶον δὲ οὗτος τὸ μέγεθος ὑπὲρ ἄρκτον μυθικὴν καὶ πάρδαλιν στικτήν, κατὰ τοὺς Ταυροσκύθας φυόμενον μάλιστα καὶ τρεφόμενον) καὶ βίος ἀγροικικὸς καὶ σκηνίτης καὶ ἑστίασις ἐκ τῶν θηρευομένων σχέδιος, καὶ αὐτὸς Ἀνδρόνικος μιστύλλων αὐτοχειρὶ

4. τὰς δὲ] ἔδωκε δὲ καὶ ἐπ' ἀδείας εἰς τὰς τῶν βασιλέων ἱστορημένας εἰκόνας ἀπαλείφειν τὰ πρόσωπα αὐτῶν καὶ τὰ γράμματα καὶ γράφειν καὶ χαρακτηρίζειν αὐτοῦ τὴν μορφήν. B. 8. πολυτελὲς οἴκημα A. 9. ἀφίκηται A. 10. μὴ] οὐκοῦν καὶ μὴ ἔχων ἐκ A. 12. θέσεσιν A. 13. καὶ ἦσαν ἐγκράσματα ἀλόγων, κυνήγια πετριτῶν, ζαγάνων ἀναβάσεις, σκύλων ὀγγαρίων πρὸς ἐλάφους ἀπολύσεις καὶ πρὸς λαγωοὺς ἑτέρους κύνας, πολεμίζων μετὰ ἀγρίων χοίρων, καὶ ζοῦμπρον ζῶον καὶ πάρδαλιν, ἅτινα ἐν τοῖς ὄρεσι τῶν κομάνων ἐνέμοντο, καὶ κρέατα ἐξ αὐτῶν κόπτων καὶ ἑψήνων καὶ τρώγων. B. 16. ζοῦμπος A. 17. μυθικὴν] θυμικὴν A.

rant, erigere. imagines Xenae imperatricis, Alexii matris, quam suffocavit, prius ibi depictas, in rugosae aniculae faciem transformavit. commiserationem praetereuntium, si illustrem illam et pulcherrimam formam atque omni admiratione dignissimam spectarent, veritus, plerasque aboleri passus est, et suam imaginem habitu imperatorio aut Alexii sponsae astantem aut seorsim reponi. post omnia, iuxta aedem sanctorum XL magnificas aedes struxit, in quibus, cum templum vellet ingredi, versaretur; et quia recentibus suis factis parietes coloribus aut alborum calculorum interpositionibus adornare non poterat, ad ea convertit animum quibus ante imperium fuerat occupatus. ea erant aurigationes, venationes, strepitus avium, latratus canum, cervorum leporumque venatus, aprorum et zumbrorum confossio (est autem zumbrus fera, quae apud Tauroscythas potissimum nascitur, et urso et leopardo maior) et vita agrestis in ten-

κρέας ἐλάφειον ἢ κάπρου μονάζοντος, καὶ ὀπτῶν περιφραδέως πυρί, καὶ τοιαῦθ' ἕτερα, ὁπόσα τεκμηριάζειν ἔχουσι βίοτον ἀνδρὸς πεποιθότος ἐπὶ τόξῳ καὶ ῥομφαίᾳ καὶ ἵπποις ὠκύποσι, φεύγοντός τε τὴν ἐνεγκαμένην δι' οἰκείαν ἀβελτερίαν C ἢ ἀρετήν. ὁ δ' Ἀνδρόνικος καὶ εἰς Δαβὶδ ἀνῆγε τὰ ἑαυτοῦ, καὶ κατ' ἐκεῖνον ἔλεγε καὶ αὐτὸς τὰ τοῦ φθόνου ἐκδιδράσκειν πάλαι θήρατρα καὶ πρὸς τὴν ἀλλοτρίαν πολλάκις μετασκευάσασθαι. ὑπεξαίρων δ' ἔσθ' ὅπη τὰ ἑαυτοῦ, τὸν μὲν καθίσαι τῶν ὁρίων τῆς Παλαιστίνης ἄποθεν βραχὺ κατὰ τὴν Σικελὰν ἔλεγε, καὶ συγκόπτειν τὸν Ἀμαληκίτην μαχαίρᾳ, καὶ γλίσχρως ἀποζῆν, ὥστε καὶ τὸν Νάβαλ ἀπεκτονὼς ἦν ἂν ὅτι μὴ οὐκ εἶχεν ἀνὰ χεῖρας τὸ αἰτηθέν· ἑαυτὸν δὲ δι' ἐθνῶν τῶν ἑῴων ἁπάντων σχεδὸν ἰέναι, καὶ ἐπὶ πᾶσι τὸ τοῦ Χριστοῦ βαστάσαι καὶ κηρῦξαι ἀποστολικῶς ὄνομα, τιμῶν τε τῶν ἀνωτάτω μεταλαχεῖν δι' ὧν διήρχετο, καὶ προπεμπόμενον ἀπανίστασθαι. καὶ ταῦτα μὲν διεξῄει μετὰ πειθανάγκης ἱκα- D νῆς, ὁποῖος ἐκεῖνος, καὶ μάλιστα ἢν ἀνδράσιν ὁμιλεῖ λόγου καὶ σοφίας μετέχουσιν, ἔτι τῶν πραγμάτων γαληνιώντων καὶ ἠρεμαίαν ἐχόντων κατάστασιν.

7. Τὰ δὲ τελευτῶντι αὐτῷ μελετώμενα, ἤδη δὲ καὶ ἀρχὴν λαμβάνοντα γίνεσθαι, ἐσχάτης ἦν ἀπονοίας ἀποκυήματα καὶ παρεληλακότα πᾶσαν ἀπανθρωπίας ὑπερβολήν. ὁρῶν γὰρ τὰ μὲν τῆς ὑπ' ἐκεῖνον ἀρχῆς σμικρυνόμενα, τοὺς

5. τὰ ἑαυτοῦ] τὰ οἰκεῖα A.

toriis, et convivia ex venatu simplicia, et Andronicus cervinam aut aprugnam suis manibus in frusta secans et diligenter assans, et id genus alia, quae vitam hominis repraesentant arcu gladio et velocibus equis freti, patria sive ob simplicitatem sive virtutem suam exulantis. verum Andronicus fortunam suam cum Davidica comparabat, seque invidiae retia aeque ut illum evitasse multis exiliis actum aiebat. interdum suas res amplificando illum parum a Palaestina Sicelagam pervenisse, et Amalechitam gladio confecisse, et adeo sordide vixisse ut Nabalem etiam occisurus fuerit, quod postulatis non statim annuisset: se vero totum pene Orientem pervagatum ad omnes gentes apostolico more Christi nomen pertulisse et praedicasse, et quocunque transisset, summis affectum esse honoribus, et cum honorifico comitatu recessisse. haec non indiserte commemorabat, praesertim si cum viris eruditis et eloquentibus colloqueretur, rebus adhuc integris et tranquillis.

7. Quae autem postremo instituit et ex parte inchoavit, et extremi furoris erant et omnem crudelitatis immanitatem superabant. nam cum imperium imminui et multitudinem hostium instar hibernis nivibus aucti torrentis et extra ripas effusi obvia quaeque vastare, et

δὲ πολεμίους κατὰ τοὺς ἐξ ὄμβρων πλήθοντας ποταμοὺς καὶ τὰς ὄχθας ὑπεραντλοῦντας τὰ ἐν ποσὶν ἐξερημοῦντας καὶ κατακλύζοντας, κατὰ βραχύ τε τὴν πολιτείαν ἐλευθεροστομοῦσαν καὶ πρὸς ἀποστασίαν ὑποκινουμένην οἷς μὴ φροντιδοκοπεῖται ὑπὲρ αὐτῶν ἀλλ' ὡς εἰς κάρωμα ὕπνου κατενεχθεὶς οὔθ' ὁρᾶν οὔτ' ἀΐειν ἔχει τὰ ὑπὸ τῶν ἐπιστρατευσάντων ἐθνῶν ἀνομούμενα, ὠδίνησέ τε πόνον καὶ ἀνομίαν ἀπέτεκεν, οὐ τόσον οἴκοθεν ὅσον ὑφ' ἑτέρων εἰς τὰ ἄτοπα ἐποτρυνόμενος. P. 21 ἡ δὲ ἦν τὸ μὴ μόνον ὅσους συνείληφεν ἐν φρουραῖς θανάτῳ ὑποδικάσαι, καὶ οὓς μὲν μαχαίραις ἀνελεῖν, οὓς δὲ θαλάσσης ἀκοντίσαι βυθῷ, ὧν δὲ ἀκινάκαις ἀναρρῆξαι τὰς γαστέρας, καὶ ἄλλους ἄλλως ὑπεξαγαγεῖν τοῦ βιοῦν, ἀλλὰ καὶ κατὰ τῶν συναπτομένων τούτοις πρὸς γένος ἠκονηκέναι τὸ ξίφος· „τί γάρ" φησιν „ὄνειαρ, εἰ κόρσης ἐκτμηθείσης μιᾶς πλείονα ἐκφυήσονται κάρηνα, τοῖς δὲ οὐκ ἐπάγει τις τὸν σίδηρον σίζοντα; ἐπαινετέος ἐν τούτῳ μάλιστα ὁ ἡμίθεος καὶ ἥρως Ἡρακλῆς, ὅτι τὸν Ἰόλεων ἐπικάοντα εἶχε καὶ τὸ τῆς ὕδρας παλιμφυὲς ἀφανίζοντα." ἔνθεν τοι καὶ ἐκκλησιάσας τὸ φίλιον ἐκείνῳ σύστημα, καὶ τῶν δικαστῶν ὁπόσοι χρημάτων ὤνιοι καὶ τὴν βασιλικὴν περιπαπταίνοντες τράπεζαν καθάπερ οἱ γῦπες τὰ θνησιμαῖα, ἐκτραγῳδεῖ ὁπόσα ἐπονηρεύσαντο B Ἰταλοί, καὶ οἵοις κακοῖς περιβάλλουσιν ἐπαρχίας τὰς ἑσπερίας, καὶ ὅσας παρεστήσαντο πόλεις νόμῳ πολέμου· καὶ ἦν οὐκ ἄλλοις τὴν αἰτίαν τούτων ἀνατιθεὶς ἀλλ' οἵπερ ἐκείνῳ V. 17

7. ἀνομούμενα] γινόμενα A. 9. ἡ] τὰ A. 12. ὑπεξαγαγεῖν] ἀποστερῆσαι τοῦ ζῆν A. 14. ἐκτμηθείσης] τεμνομένης A. 19. ἐκείνῳ om A. 23. ὅσας] ἃς A. 24. ἀλλὰ Ῥωμαίοις τοῖς ἐκείνῳ ἀντίφροσι καὶ ὅσοι A.

subditos paulatim incipere liberius loqui et defectionem spectare animadvertit, quod nullam imperii curam susciperet, sed veluti veterno oppressus hostium grassationes neque videret neque audiret, parturiit laborem et peperit iniquitatem, non tam sua sponte quam aliorum consiliis incitatus; qui monebant ut quotquot in carceribus tenerentur, capitis damnati, alii iugularentur, alii in fundum maris demergerentur, aliorum ventres dissecarentur, alii denique aliis modis e medio tollerentur, imo ut damnatorum cognati quoque eandem gladii aciem sentirent: neque enim quicquam profici, si uno capite resecto plura renascantur nec ferro stridenti tollantur. in ea re maxime laudandum esse heroem et semideum Herculem, quod Iolaum asciverit, qui redivivam hydram exureret. itaque amicorum et mercenariorum iudicum concilio coacto, qui mensam imperatoriam ut vultures cadavera consectabantur, atrocibus verbis commemorat quanta fuerit Italorum improbitas, et quantis cladibus Occidentales provin-

ἀντίφρονες, ὁπόσοι τε τούτοις καθ' αἷμα καὶ εὔνοιαν προσῳκείωντο. τούτους γὰρ τὴν Ἀνδρονίκου διψᾶν ἀπώλειαν, καὶ πάντα κάλων κινεῖν, εἴπως τῆς ἀρχῆς ἐκσφαιρισθείη Ἀνδρόνικος καὶ πεσεῖται πτῶμα παγχάλεπον. μὴ ἔχοντας δ' οὖν ὅμως διὰ συνάρσεως ὁμογενῶν σφίσι δοῦναι τὴν ἔφεσιν πέρατι, ἀλλοτρίαν καὶ ὑπερόριον εἰσενεγκεῖν στρατιάν, καὶ
C ταὐτὸν ἄντικρυς δρᾶν τῷ τῶν ἀκρίδων ἔθνει, αἳ τὸ πῦρ ἐκδιδράσκουσαι τοῖς ὕδασιν ἀποπνίγονται. „ἀλλ' οὐ μὰ τὸ γῆρας τοῦτό" φησι „χαιρήσουσιν οἱ φιλεχθροι καὶ πολεμοχαρεῖς Ἀνδρονίκῳ, ἀλλ' ὃ παθεῖν Ἀνδρόνικον γλίχονται, τοῦτ' αὐτοὶ πρὸς Ἀνδρονίκου πείσονται. εἰ δὲ τὸ μόρσιμον εἰς ᾅδου δώματα ἐφέλκεται καὶ Ἀνδρόνικον, αὐτοὶ καθηγήσονται καὶ ὑπανοίξουσι πρότερον τὴν ὁδόν· εἶθ' οὕτως ἐπιπορευσεῖται Ἀνδρόνικος." ταῦτ' εἰπών, καὶ τὸ τοῦ Παύλου παραφάμενος „ὥστε οὐχ ὃ θέλω τοῦτο δράσαιμι ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακὸν τοῦτο διαπραξαίμην, ἀντιστρατευομένων μοι τῶν ἐναντίων καὶ αἰχμαλωτιζόντων εἰς τὰ παρὰ προαίρεσιν," θε-
D ραπείαν ἐζήτησε τοῦ κακοῦ. ἀράντων δὲ τὴν φωνὴν τῶν ἐκ τῆς ἐκείνου φατρίας πάντων, καὶ μέγα κραξάντων αἴρειν αὐτοὺς ἐκ τῆς γῆς καὶ φείσασθαι μηδενός, κυροῦται ἡ τῶν ὅλων ἀφάντωσις, ὅσους τε εἶχε συνειληφὼς ἐν φρουραῖς καὶ ὅσοι τὴν ὑπερορίαν κατεκρίθησαν, καὶ τὸ θεραπευτικὸν τούτων καὶ συγγενές. καὶ δὴ τόμος εὐθὺς ἐδέχετο τὰ ὑποτυπού-

1. προσωκείωνται A. 2. γὰρ] γάρ φησι A. 3. εἴπως] ὅπως A. 11. πρὸς Ἀνδρ] παρ' A. πείσονται] παθήσονται B. 12. ἐφέλκεται] κατασπᾷ A. 15. τοῦτο om A. 16. διαπράξομαι A. 17. αἰχμαλωτιζόντων] μεταφερόντων εἰς τὰ ἀθέλητα A.

cias afficiant, quot urbes vi expugnarint. causam earum rerum nonnisi Romanis, qui sibi adversentur, eorumque cognatis et amicis ascribendam esse. eos sitire Andronici interitum, et omnem movere lapidem, ut imperio deturbatus miserrime concidat. quam cupiditatem cum per populares ad exitum perducere nequeant, alienum ex longinquo exercitum accersere, ac locustas imitari, quae flammis evitatis aqua suffocentur. „verum senectutem hanc" inquit „testor, non gaudebunt inimici et hostes Andronici, sed quae in Andronicum moliuntur, ea ab Andronico perpetientur. sin fata ad inferos adigunt etiam Andronicum, ipsi antecedent et viam praeparabunt: sequetur Andronicus." haec locutus, adiectaque Paulina illa sententia „non faciam quod volo bonum, sed malum quod nolo peragam, adversariis contra me militantibus, et ad ea me compellentibus a quibus abhorreo," malorum remedium quaerebat. cum autem coniurati eius magnis vocibus exclamassent tollendos eos e terra ac nemini par-

μενα, ὑπαγορεύοντος τοῦ πρωτασηκρήτις, ἀμφιπονουμένου τοῦ ἐπὶ τῶν δεήσεων, τοῦ δὲ πρωτονοταρίου τοῦ δρόμου ταῖς φωναῖς ἀλαλάζοντος. τὰ δὲ ὀνόματα τούτων καὶ νῦν παρείσθω μοι καὶ τῶν καθεξῆς ὁμοίως συμπραττόντων, ὅσοι τὸν περὶ τοῦ κενοῦ δοξαρίου τρέχοντες ὡρακίων τότε καὶ ὠρρώδουν Ἀνδρόνικον· ὧν πρωτοστάτης ἦν καὶ ταξίαρχος ὁ Ἁγιοχριστοφορίτης Στέφανος, τῷ τοῦ φθέγματος βροντώδει καταδουπῶν τὰ ἀνάκτορα, καὶ καθά τι ῥεῦμα ποτάμιον ὀξὺ P 216 καχλάζων καὶ παρασύρων τὸ δοκοῦν Ἀνδρονίκῳ ὑπεύθυνον. (8) εἶχε δὲ τὰ ὑπομνηματιζόμενα οὑτωσί πως τῆς φροιμιάσεως. „θεόθεν κινηθέντες, καὶ οὐκ ἐξ ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ψηφηφοροῦμέν τε καὶ ἀποφαινόμεθα συνοῖσον εἶναι κοινῇ, καὶ ἰδίᾳ λυσιτελὲς Ἀνδρονίκῳ τῷ σωτῆρι Ῥωμαίων, ἄρδην ἀπολωλέναι οἵπερ ὡς αὐθάδεις καὶ στασιώδεις συλληφθέντες φυλακαῖς ἐνείργνυνται ἢ τὴν ἀλλοτρίαν οἰκεῖν ἀφωρίσθησαν, συσχεθῆναι δὲ καὶ τοὺς τούτοις προσήκοντας καὶ καθ᾽ αἷμα συναπτομένους, καὶ θανάτῳ πάντας ὑποβληθῆναι· οὕτω γὰρ ἂν καὶ Ἀνδρόνικον γένοιτο, τὸν ἀγαθῇ τύχῃ Ῥωμαίων τὰ τῆς βασιλείας B σκῆπτρα διέποντα, βραχύ τι γοῦν ἀναπνεῦσαι, ταῖς κοιναῖς φροντίσι βαλλόμενον καὶ τὰς τῶν ἐπιβούλων κακογνωμοσύνας ὑποβλεπόμενον, καὶ αὐτοὺς δὲ τοὺς ἀλλοεθνεῖς Σικελιώτας ᾄσαί ποτε παλινῳδίαν, μηδένα ἔτι τὸν αὐτοῖς ὑφηγούμενον

10. εἶχε] ἦσαν δὲ τὰ γραφόμενα ἐν τῷ τόμῳ τοιαῦτα B. 14. ὀλωλέναι τοὺς αὐθ. καὶ στασ. οἳ σ. A. 16. ἢ τὴν] ἔτι γε μὴν τοὺς ὑπερορισθέντας A.

cendum esse, in omnes eos qui vel in carceribus tenebantur vel in exilium acti erant, in omnes eorum cultores et cognatos sententia capitalis lata est et in libellos relata, protosecretario dictante, libellorum supplicum magistro laborante, protonotario Dromi acclamante. quorum nominibus parcam in praesentia, ut et eorum qui post in eiusmodi rebus vanae gloriolae causa aut Andronici metu operas navarunt, quorum dux et auctor fuit Hagiochristophorites Stephanus, cuius vox quasi tonitru in palatio resonabat, et instar torrentis eos abstrahebat quos suspectos habebat Andronicus. (8) Fuit autem eius scripti huiusmodi exordium. „divinitus impulsi, non iussu magistratus et principis ac imperatoris nostri, decernimus et pronuntiamus e re publica esse, et privatim Andronico Romanorum servatori utile, ut contumaces et seditiosi funditus intereant, qui comprehensi in carcere tenentur et in exilium acti sunt, eorumque necessarii et cognati capiantur, et omnes ultimis suppliciis afficiantur. sic enim et Andronicus, qui numine propitio imperii sceptra gerit, a publicis curis et insidiarum metu nonnihil respirabit; et Siculi coeptis desi-

ἔχοντας ὁπόσα χρὴ κατὰ Ῥωμαίων ποιεῖν. πάντες γὰρ οὗτοι συσχεθέντες καὶ τοὺς ὀφθαλμοὺς ἐξορυχθέντες ἀμεταθέτως ἔχουσι τῆς κακονοίας, καὶ οὐδείς ἐστι τοῦ λοιποῦ τρόπος ὁ σωφρονίσων αὐτούς, μόνη δὲ ἡ τοῦ ζῆν ὑπολείπεται στέρησις, ἣν ὡς τελευταίαν καὶ σώτειραν ἄγκυραν δεῖ ἡμᾶς ἐπιχαλᾶν τοῖς κακόφροσιν, οἳ τοσοῦτόν εἰσι φρενοβλαβεῖς τε καὶ C ἀποτρόπαιοι ὡς πρὸς κέντρα λακτίζειν καὶ μὴ συνιέναι ὅλως ὡς καθ' ἑαυτῶν οἱ λασιόκωφοι τὴν μάχαιραν θήγουσιν." οὕτω μὲν οὖν καὶ τοιαῦτα, ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν, διεξῄει τὸ ἄθεσμον ἐκεῖνο θέσπισμα, ἐφεξῆς δ' ὁ τῶν συλληφθησομένων καὶ τεθνηξομένων ἦν κατάλογος. ὑπεδηλοῦτο δὲ καὶ ὁ τρόπος καθ' ὃν ἀποθνήσκειν ἕκαστοι ἤμελλον. ἐγὼ γοῦν P. 178 καὶ τὰς ἄλλας μὲν τῶν ἀνδρῶν τουτωνὶ πράξεις διὰ θαύματος τίθεμαι καὶ ἀνοσίας παντάπασιν ἥγημαι, τὴν δὲ νῦν ἀφηγουμένην ἀπόφασιν καὶ λίαν ὑπερεκπέπληγμαι, καὶ θαυμάζω πρὸς τί περατωθησόμενον ταύτην ἐκύρωσαν, ἢ πῶς ποτὲ κρίνοντες τὴν ἑαυτῶν μιαιφονίαν προσῆπτον θεῷ, καὶ κίνησιν θεόθεν ἀνερυθριάστως ὠνόμαζον ἣν ὁ ἀρχῆθεν ἀνθρωποκτόD νος σκέψιν αὐτοῖς ὑφηγήσατο, ἐξὸν ἑτέρως προοιμιάζεσθαι καὶ μὴ ἀναιδῶς οὕτω καὶ ἀπεριθαμβήτως φθέγγεσθαι, μηδὲ γυμνῇ τῇ κεφαλῇ τὸ θεῖον συκοφαντεῖν ὡς χαῖρον αἵμασιν, ὃ πρώτως εἰς τὸ εἶναι τὸν ἄνθρωπον ἔκτισε μὴ πεποιηκὸς θύ-

1. πάντες] οἱ μὲν γὰρ τούτων συσχ. οἱ δὲ καὶ A. 3. τῆς κακονοίας] καὶ πάλιν τῆς προτέρας προθέσεως A. 4. αὐτούς] τοὺς κακοτρόπους A. 5. δεῖ] χρεὼν ἐπ. A. 12. ἕκαστος A. 21. τῇ om A.

stent, ubi neminem habuerint a quo, quemadmodum Romani oppugnandi sint, doceantur. nam cum et ii qui in vincula coniecti et qui oculis privati sunt, consilia improba non referant in melius sed in priore sententia perseverent, nulla ratio superest qua improbi ad sanam mentem reducantur, nisi vitae ereptio, quae ut sacra et salutaris ancora contra vaecordes et dementes est usurpanda; quorum eae sunt intemperiae, ut non animadvertant se contra stimulum calcitrare et gladium contra semet ipsos acuere." haec et huiusmodi alia, ut ex multis pauca referam, nefarium illud decretum continebat. sequebatur eorum enumeratio qui comprehendendi et mox occidendi erant: exprimebatur et modus quo quisque tollendus esset. ego vero cum alia illorum hominum acta demiror et sceleratissima iudico, tum decreto isto obstupesco; neque perspicere possum quid in eo secuti sint, aut quo iudicio suum parricidium deo adscripserint, divinumque motum id impudenter appellarint quod primus humani generis hostis eis haud dubie suggessit, cum aliud sumere principium modestius et probabilius licuisset, atque a contumelia dei abs-

νατον, καὶ οὗ ἐνώπιον φωνὴ αἵματος Ἄβελ βοᾷ, καὶ ὃ διαῤῥήδην κέκραγε μὴ βούλεσθαι τὸν τοῦ ἁμαρτωλοῦ θάνατον ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆσαι. καὶ οἱ μὲν οὕτω παντὸς ἀπώλειαν καταψηφισάμενοι τὸν σύλλογον ἐκεῖνον διέλυσαν· Ἀνδρόνικος δὲ τὰς ἐπὶ ταῖς πράξεσι ταύταις ταῖς μυσαραῖς ἐκτιθεμένας δικαστικὰς ψήφους ἀνὰ χεῖρας δεχόμενος ἐφύλαττεν ἐν φωριαμῷ ἀσφαλῶς, οὐκ οἶδ' ὅ τι διανοούμενος, οἶμαι δὲ τὸ ἐσόμενον προσκοπούμενος καὶ δεδιὼς φόβον ὃς ἐπῆλθεν αὐτῷ μετέπειτα. συσχεθεὶς γάρ, καὶ λόγους ὧν διε- P. 217
πράξατο παρὰ τῶν συνεληλυθότων εἰσπραττόμενος, ἑαυτὸν ἀπηλλοτρίου τῶν γενομένων ἐφ' οἷς τινὰς παρελύπησεν ἢ κακώσεσι σωματικαῖς καθυπέβαλε, καὶ τοὺς μὲν δικαστὰς ἔφασκε καὶ τὴν γερουσίαν ἀποφαίνεσθαι τὰς τιμωρίας ἃς ὑπέστησαν καὶ ὁποίας πεπόνθασιν οἱ προσκεκρουκότες αὐτῷ πρὸ τῆς ἀρχῆς καὶ κατὰ τὴν βασιλείαν αὐτήν, αὐτὸν δὲ ταῖς ἐκείνων γνώμαις ὑπηρετεῖν (μηδὲ γὰρ εἰκῇ φορεῖν τὴν μάχαιραν) καὶ χρᾶν τὴν χεῖρα εἰς πέρας ὧν ἀπεφαίνοντο. τότε δ' οὖν τὴν ἐξενεχθεῖσαν ψῆφον πληροῦν ἐπεβάλετο, πρὸς ἣν ὁ υἱὸς αὐτοῦ ὁ σεβαστοκράτωρ ἀπεπήδησε Μανουήλ, εἰπὼν μηδαμῶς συντίθεσθαι πράξει ἥτις μὴ καθ' ὁρισμὸν τελεῖται βασιλικόν, ὡς B
οἱ θεσπίζοντες προαναβάλλονται, καὶ ἄλλως δὲ μὴ ἀνασχέσθαι ὁπωσοῦν ποτὲ ἀπόφασιν οἰκειώσασθαι ὑπὸ κρίμα θανάτου τιθεῖσαν σχεδὸν τὸ Παῤῥώμαιον, καὶ μὴ μόνον ἀφανί-

7. ἐν φωρ.] ἐν τῷ σεντουκίῳ αὐτοῦ B. 8. προσκεπτόμενος A. 12. ἔφασκε] ἔλεγε A. 19. μηδαμῶς] μηδέποτε συγκαταθέσθαι πρᾶξιν τινὰ παρὰ τοῦ δήμου ἐνεργουμένην, ἥτις μὴ μετὰ ὁρισμοῦ ἐκτελεῖται βασιλικοῦ B. 23. σχεδὸν] μικροῦ A.

tinere; qui caedibus haud delectatur, nec mortem fecit, sed hominem ad vitam condidit; in cuius conspectu vox sanguinis Abeli clamat; qui aperte denuntiat se malle ut peccator conversus vivat quam ut moriatur. enimvero illi damnatis omnibus e concilio discesserunt. Andronicus vero iudicum nefarias sententias, haud scio quo consilio, in scrinio suo diligenter asservavit, proviso fortassis imminenti exitio. nam cum comprehensus esset, et a concursu populi facinorum suorum rationem reddere iuberetur, culpam in iudices et senatum transferebat, qui supplicia decernerent in eos a quibus ante imperium et in ipso imperio offensus esset. se vero illorum sententiis inservisse (neque enim frustra gestasse gladium) et manum eorum suffragiis accommodasse. tum autem cum latas sententias executurus esset, filius eius Manuel sebastocrator refragatus pernegavit se consensurum in acta, quae non fiant auctoritate imperatoris, ut ipsi iudices in exordio fateantur. praeterea se nullo modo ea suffragia probaturum, quae pene Romanos omnes ca-

... προῆλθοσαν, ἀλλὰ καὶ τοὺς ἐξ ... διαφθείρουσαν· εἰς γὰρ ἄπειρον ἀποτε... τοῦ μὲν διὰ τόνδε ξυλλαμβανομένου ... κἀκείνου μὴ ἀπόλιδος εὑρισκομένου μη... δρυὸς ἀλλ' ἐκ πατρὸς καὶ μητρός, ἢ γοῦν ... συναπτόμενον εἰς γένος καὶ τὸ φίλιον ἀνα... δὴ ἀπὸ διαταγμάτων βασιλικῶν ἀρχὴν δεξά... τοῦτο γνωμάτευμα, ἤμελλον ὡς πρόβατα ... συνάγεσθαι ἄθροισμα οἱ ἐν διαφόροις ἐπαρ... θέντες καὶ οἱ ταῖς ὁπουδήποτε καθειργνύμενοι ... ὥστε ἕκαστον ὑφίστασθαι θάνατον εἰς ὃν ἀφο... μὴ κατὰ τὸν προφήτην εἰπεῖν τὴν οἰκείαν μάχαιραν ... ὁ θεὸς ἐπὶ τὸν ἀποστάτην δράκοντα, τὸν σκολιόν, ... τοῖς ὕδασιν ὑποφεύγοντα τῇ καθύγρῳ ταύτῃ, ὡς ἔδει... καὶ μηδὲν ὑπὲρ τὰ ὁρώμενα καὶ βίον τὸν ἡδονικὸν ... όμενον.

... Συνέβη δέ τι καὶ ἕτερον εἰς τὴν τοιαύτην αὐτὸν ἐκ... λίαν ἐνθύμησιν. ὁρῶν γὰρ ἁπανταχόθεν στενὰ οἱ τὰ ... ματα, καὶ τοὺς ἐκ Σικελίας ὅσον οὐδέπω κατὰ κεφαλὴν ... ἐπιστησομένους καὶ ὡς ἑκατογκέφαλον Τυφῶνα κατα... σοντας, τοὺς δ' ἐντὸς τὸν αὐτοῦ θάνατον διψῶντας ἐπισκο... τε ἡγουμένους θεοῦ καὶ λύσιν δοξάζοντας τῶν κακῶν

1. τοὺς om A. 7. δεξαμένων? 12. τὴν οἰκείαν] τὰ τοιάδε θεὸς ἠκύρωσε διαβούλια ἐξ ἀνθρώπων τὸν ἄνδρα θέμενος cod. Wolf. 17. τοιαύτην] τοσαύτην A. 18. ἐνθύμησιν] ἀνοσιότητα A.

...tis condemnent, atque etiam provincialium non paucos perdant: carnificinam enim illam in infinitum grassaturam, alio ob aliud crimen comprehenso et occiso, qui non extorris sit, nec ex quercu natus, sed parentes cognatos affines amicos habeat. caeterum illud iudicum decretum, iussu imperatoris editum, eos omnes qui in diversis provinciis dispersi et ubivis in carceribus erant, in unum locum, velut oves mactationi destinatas in unum macellum, cogebat; ac suas quisque poenas dedissent, nisi, ut propheta loquitur, deus suum gladium in fugitivum draconem, obliquum illum, in aquas refugientem, strinxisset; qui, ut molli et delicata illa vitae ratione indicabat, nihil aliud expetebat, nihil aliud cogitabat nisi vitam voluptariam.

9. Accidit etiam aliud quiddam, quod eum in tantam immanitatem impulit. nam cum undique in artum suas copias cogi, et Siculos iamiam suo capiti imminere et tanquam Typhonem centum capitibus oppressuros, cives vero mortem suam sitire et suum interitum divinum beneficium et malorum remedium existimare cerneret,

τὴν αὐτοῦ ἀνάλυσιν ἐκ τοῦ σώματος, καὶ τὴν ἀπὸ τοῦ θείου
δὲ ὑφορώμενος ἐγκατάλειψιν οἷς πολυτρόπως τὸ ὑπερέχον
ἐδάμασε, καὶ ταῦτα διατεινόμενος ἐκ τῆς αὐλῆς εἶναι Χρι-
στοῦ καὶ τὸ αὐτὸ γένος τοῖς ἐκθλιβομένοις λαχών, πρὸς τὴν
διὰ θωπείας εἴτε καὶ θεραπείας τῶν ἐναγῶν δαιμόνων πρό- V. 179
γνωσιν τῶν μελλόντων ὁρμᾷ, καθὰ καὶ ὁ παλαιὸς ἐκεῖνος
Σαοὺλ εἰς τὰς ἐγγαστριμύθους ὕστερον ἔβλεψεν, ἃς ἐδίωκε
πρότερον τὸ θεῖον ἑαυτῷ ἱλεούμενος. καὶ δὴ τὴν θυτικὴν
καταργηθεῖσαν πάλαι ὁρῶν καὶ τὴν διὰ ταύτης δήλωσιν τῶν
ἐσομένων τεθνηκυῖαν καὶ ἄφαντον ἤδη παντάπασιν, ὡσαύτως
καὶ τὴν δι' ὀρνίθων περιεργίας πάλαι ἀποπτᾶσαν ἐξ ὁρίων
Ῥωμαϊκῶν, ἐνυπνιασμοὺς τε καὶ κληδονισμούς, μόνους δὲ
τοὺς διὰ πλυνῶν καὶ λεκανίδων φενακομάντεις περιλειπομέ- P. 218
νους καὶ τοὺς ὅσοι τὰς τῶν ἄστρων θέσεις περισκοπεύουσιν,
οὐχ ἧττον πλανῶντες ἤπερ πλανώμενοι, τὴν μὲν ἀστρονομίαν
τῷ τέως ὡς συνηθεστέραν καὶ ἄξυμφανῶς τὰ μέλλοντα ὑπεμ-
φαίνουσαν ὑπερέθετο, ἐφίησι δ' ὅλον ἑαυτὸν τοῖς οἵτινες
ἀμυδρῶς ἐν ταῖς πλυνοῖς ὕδασι τεκμαίρονται τὰ ἐσόμενα καὶ
ὡς οἷά τινας ἀκτῖνας ἡλίου παραυγαζούσας ἰνδάλματα τῶν ἔμ-
προσθεν ἐκεῖθεν ἐνοπτρίζονται. αὐτὸς μὲν οὖν παρεῖναι τοῖς

1. σώμ. ἐνάγεται παρὰ τῶν οἰκείων εἰς τὴν τῶν ἐσομένων πρό-γνωσιν δι' ἐργασίας ἀποτροπαίου, καίπερ ταῖς τοιαύταις πράξεσι μηδ' ὅλως πρότερον προσέχων τὸν νοῦν ἀλλ' ὡς ἀθεμίτους ἀποστρεφόμενος, καὶ δὴ τὴν θυτ. cod. Wolf. 4. πρὸς τὴν] διὰ δαιμονικῶν πράξεων πρὸς λεκανομαντείας ὁρμᾷ B. 8. θυτ. πλείστοις ἔτεσι κατ. ὁρῶν A. 15. τὴν μὲν τῆς ἀστρονομίας πρᾶξιν ὡς δυσκόλως τὰ μέλλοντα λέγουσαν ταύτην ἐῶσι, τὴν δὲ διὰ τοῦ ὕδατος λεκανομαντείαν τὴν διὰ τῶν ἀκτίνων τοῦ ἡλίου ἐνεργουμένην ἐν τοῖς ὕδασιν ἐνέδωκε γενέσθαι B. 17. τοῖς ἀμυδρῶς ἐν ὕδασι τεκμαιρομένοις A. 20. ἐνοπτρίζονται] λαμβάνουσιν A.

praetereaque se propter multiplices procerum caedes a deo desertum iudicaret, quamvis se ad Christi mandram pertinere affirmaret, iisdemque elementis constaret quibus ii quos extirpabat, ad futurum per noxiorum daemonum cultum cognoscenda se convertit, ut et Saulus olim ad engastrimythos tandem abiit, quos ante placandi numinis gratia pepulerat. nam cum aruspicinam ante plurimos annos obsolevisse et penitus abolitam esse, auguralem item superstitionem, ut et somniorum et ominum interpretationem, iam olim e Romanis finibus avolasse, solos vero eos impostores, qui e pelvi divinant, et qui astrorum positus rimantes aeque fallunt ac falluntur, superesse, tum quidem astrologiam ut magis familiarem et futura obscurius innuentem seposuit, seque totum permisit iis qui futura

τελουμένοις ἀπείπατο, ἐκκλίνων, ὡς ἔοικε, τὴν κωτίλον φήμην, ἢ τὰ ἐν κρυπτῷ δρώμενα διορᾷ καὶ τίθησι τοῖς ἅπασιν B ἔκφορα, ἀνατίθησι δὲ τὴν μυσαρὰν ταύτην νυκτεργασίαν τῷ Ἁγιοχριστοφορίτῃ Στεφάνῳ, οὗ πολλάκις ἐμνήσθημεν. ὁ δὲ τὸν Σὴθ παραλαβὼν, ἐκ βούπαιδος τετελεσμένον τὰ τοιαδὶ καὶ τούτων ἕνεκεν ἐκκοπέντα τὰς κόρας παρὰ τοῦ βασιλέως Μανουὴλ, ὡς ἐν τοῖς περὶ ἐκείνου λόγοις εἰρήκαμεν, ἐρώτησιν τίθησι δι' ὧν ἔδρασεν (ὅσα ἐμοὶ μὲν γνῶναί τε καὶ εἰπεῖν οὐχ ἡδὺ, μαθεῖν δ' ἑτέρωθεν ἔξεστι τοῖς βουλομένοις) εἰδέναι ὅς ἐστιν ὁ μετὰ τὸν βασιλέα ἄρξων Ἀνδρόνικον ἢ καὶ παραλύσων αὐτὸν τῆς ἀρχῆς. τὸ δὲ πονηρὸν ἀποκρίνεται πνεῦμα, ἢ μᾶλλον ἀμυδρῶς ὡς ἐν ὕδασι, καὶ τούτοις θολεροῖς, διαχαράττει τῶν γραμμάτων τινὰ Ἰσαάκιον ἐννοεῖν ὑπεμβάλλοντα, οὐχ ἅπαν ξυνθὲν τὸ ὄνομα, ἀλλὰ σίγμα προϋποθέμενον ὁποῖον τὸ τῆς σελήνης ἡμίτομον, καὶ τούτου ὄπισθεν C διατυπῶσαν ἰῶτα, εἰς τὸ ἀξυμφανὲς ἄγον ἐντεῦθεν τὸ μάντευμα καὶ οἷον τοῦ ἐσομένου προκέντημα, ἢ ἀληθεστέρως εἰπεῖν, ὃ μὴ ἀκριβῶς ἠπίστατο, τοῦτο τῇ ἀσαφείᾳ ὑπομελαῖνον τὸ πολυμερὲς τὴν κακίαν νυκτινόμον δαιμόνιον, τὸν τοῦ ψεύδους ἐκτρεπόμενον ἔλεγχον. ὥστε καὶ Ἀνδρόνικος Ἴσαυρον ὑπετόπασεν, ἐξ ὧν ἤκουσε, τὰ ὀφθέντα διασημαίνειν, καὶ

5. τετελεσμένον] πεπαιδευμένον A. 12. μᾶλλον] μάλιστα A. 13. διαχαράττει] παραδείκνυσι τῶν πρώτων γρ. A. 14. σίγμα προϋποθέμενον A: vulgo δὲ προφῆναι. B σῆμα γράμμα δείξας :: αθὼς φαίνεται ἡ σελήνη ἐν τῇ ἀποχύσει αὐτῆς καὶ ὄπισθεν τούτου ἰῶτα. 21. σημαίνειν A.

ex aquis quasi per caliginem coniiciunt, et imagines futurarum rerum velut ex umbra solarium radiorum consectantur. ac ipse quidem iis nocturnis sacris interesse noluit, metu famae, ut arbitror, quae ea quae in occulto fiunt perspicit et omnibus enarrat. sed nefarium illud arcanum Hagiochristophoritae Stephano, cuius saepe mentionem fecimus, mandat. is vero Setho adhibito, qui ab ineunte aetate istiusmodi oraculis deditus oculos propterea Manuelis imperatoris iussu amiserat, ut supra exposuimus, certo ritu (quem mihi nec scire nec explicare iucundum est, et aliunde petere licet) percontatur quis post Andronicum sit imperaturus aut imperium ei erepturus. respondet malus genius, ac potius obscure ut in aquis, iisque turbidis, aliquot primas litteras, integro nomine non expresso, designat, unde Isaacius intelligeretur: sed primum ostensa littera S instar dimidiatae lunae, ac deinde subiuncta littera I; ut oraculum esset obscurius, et fati veluti stimulus; aut ut verius dicam, quod non satis norat nocturnum illud et infinitae improbitatis daemonium, perplexitate involverat, ne argui mendacii posset. itaque Andronicus

τοῦτον εἶναι ἰσχυρίζετο τὸν Κομνηνὸν Ἰσαάκιον, ὃς τῆς Κύπρου κατετυράννευσε καὶ ὃν ἐνῄγετο ὑποπτεύειν ἐνδελεχῶς ὡς διάδοχον αὐτῷ τῆς ἀρχῆς, ἐπειδὴ καὶ Ἰσαυρίας ἀπάρας εἰς Κύπρον ἀφίκετο, κακοεργὸς ὡς οὔπω τις ἕτερος καὶ φθοροποιὸς Τελχὶν καὶ θάλασσα πελαγίζουσα συμφορὰς ἢ γοῦν Ἐριννὺς ἐπιμανεῖσα τοῖς πρώην εὐδαίμοσι τῆς νήσου ταύτης οἰκήτορσι· συμπαθητιῶ γὰρ ἐν ῥήμασι τοῖς ἐν πράγμασι D πεπειραμένοις τοῦ κοινῇ συμπεσόντος ἐκείνοις κακοῦ. ἀγασάμενος δ' Ἀνδρόνικος τὸν χρησμόν, „μὴ ἐρώτα" εἶπε „μόνον τὸν διαδεξόμενον, ἀλλὰ πρόσθες καὶ τὸν καιρόν." γενομένης οὖν καὶ περὶ τοῦ καιροῦ ἐρωτήσεως, ἐμπεσὸν καὶ ψοφῆσαν τῷ ὕδατι τὸ ἀερικὸν καὶ γεωχαρὲς πνεῦμα πεφοίβασται δι' ἐπασμάτων, ὁποῖα μὴ ἐκφαίνειν χρεών, ὡς ἐντὸς τῶν ἡμερῶν τῆς ὑψώσεως τοῦ σταυροῦ· ἦν δὲ ἀρχόμενος ὁ Σεπτέμβριος μήν, ὅτε ταῦτα ἐγίνετο. ὡς δὲ ἠκηκόει καὶ τὰ περὶ τῆς δευτέρας Ἀνδρόνικος πεύσεως, ἀηδές τι καὶ διεψευσμένον μειδιάσας καὶ ἀτεχνῶς Σαρδόνιον, καὶ εἰπὼν ὡς λῆρος ὁ χρησμὸς οὗτος (ποῦ γὰρ δυνήσεται Ἰσαάκιος Κυπρόθεν καταπλεῦσαι διὰ μετρίων πάνυ τι τουτωνὶ ἡμερῶν καὶ καθελεῖν αὐτὸν τῆς ἀρ- P. 219 χῆς;) οὐδ' ὅλως προσέσχε τοῖς εἰρημένοις. φήσαντος δὲ τοῦ ἀπὸ Τυρᾶ Ἰωάννου (ἦν δ' οὗτος κριτὴς τοῦ Βήλου παρ' Ἀνδρονίκου προβεβλημένος, καὶ θερμὸς διὰ τοῦτο τῶν αὐτοῦ V. 180 θελημάτων ὑπηρέτης) ὡς δεῖ συλληφθέντα ἐξ ἀνθρώπων γε-

13. ἐμφαίνειν A. 16. πεύσεως] ἐρωτήσεως A. 20. δὲ τοῦ] δὲ τῶν παρεστώτων τινός, ἦν δ' οὗτος ὁ ἀπὸ τυρᾶς ἰωάννης κρ. A.

eas Isaurum significare putabat, et eum esse affirmabat Isaacium Comnenum, qui Cyprum per tyrannidem oppresserat; eumque perpetuo suspectum habebat ut imperii successorem. nam ex Isauria in Cyprum venerat homo maleficentissimus, perniciosus Telchin, mare calamitatibus exaestuans, et atrox furia in beatos ante insulares crudeliter grassata. nam scriptis eos miseror, qui ipsis factis publicum illud infortunium sunt experti. Andronicus vero miratus oraculum „non modo" inquit „de successore interrogato, sed tempus etiam adiicito." facta etiam de tempore quaestione, aerius ille et terrestris spiritus, carminibus quae proferri nefas est evocatus et cum strepitu in aquam illapsus, intra exaltationem crucis respondit. haec autem initio Septembris acta sunt. secundo etiam responso audito, cum insuavi et falso ac plane Sardonio risu „vanum" inquit Andronicus „est istud oraculum. qui enim Isaacius intra tam paucos dies Cypro advenire meque imperio evertere poterit?" eaque verba penitus neglexit. cum autem Iohannes Tyranus, Beli iudex ab Andronico designatus, eaque de

νέσθαι τὸν Ἰσαάκιον Ἄγγελον, μήπως εἰς τοῦτον ἀφορῶσι τὰ τοῦ μαντεύματος, αὐτοὶ δὲ τὰ πόρρωθεν φαντάζονται τὰ ἐν ποσὶν ὑπερβαίνοντες, οὐδ' οὕτω τῷ χρησμῳδήματι ἔθετο. τοὐναντίον μὲν οὖν καὶ μωκίαν κατέχεε τοῦ ἀπὸ Τυρᾶ, εἰ τοιαῦτα ὅλως φαντάζεται Ἰσαακίου ἕνεκα τοῦ Ἀγγέλου, ἐξουθενῶν ἅμα ἐς μαλακότητα ἤθους τὸν ἄνδρα καὶ πρὸς οὐδὲν B κατόρθωμα τοῦτον ἐνδέξιον εἶναι διατεινόμενος· ἤγγιζε γὰρ τὸ μόρσιμον, καὶ ἦν τὸ θεῖον αὐτοῦ συνετώτερον.

10. Πλὴν θερμουργὸς ὢν ὁ Ἁγιοχριστοφορίτης Στέφανος, καὶ τοῦ κυρίου βασιλέως παντοίως κηδόμενος, τὸν Ἰσαάκιον Ἄγγελον προσέθετο συλλαβεῖν καὶ πρῶτα μὲν ἐνεῖρξαι φυλακῇ, εἶτα καὶ θανάτῳ ὑπαγαγεῖν ᾗ ἂν Ἀνδρόνικος δοκιμάσειεν. οὐκοῦν εἰς τὴν οἰκίαν Ἰσαακίου παραγενόμενος, ἐγγὺς οὖσαν τῆς μονῆς τῆς Περιβλέπτου, περὶ δείλην τῆς ἑνδεκάτης τοῦ Σεπτεμβρίου μηνὸς τοῦ ἑξαχιλιοστοῦ ἑπτακοσιοστοῦ ἐνενηκοστοῦ καὶ τετάρτου ἔτους, καὶ τὴν αὔλειον εἰσελ- C θὼν ἐπέταττεν Ἰσαακίῳ κατελθεῖν καὶ ἕπεσθαί οἱ ἔνθα ἂν προάγῃ. τοῦ δὲ ὡς εἰκὸς ἀναβαλλομένου, ὅτι καὶ μόνον ὀφθεὶς ἐκεῖνος κακὸν ἔσχατον συλλελόγιστο, ὁ δὲ καὶ βίαν προσεπῆγε, καὶ τοῖς συνοῦσιν ἐπετίμα μὴ καὶ πρὸς τὴν πρώτην ἀναβολὴν ἁπτομένοις αὐτοῦ τῶν τριχῶν καὶ λαζομένοις ἐκ

4. ἀπὸ Τυρᾶ] εἰπόντος A. 19. προσῆγε A. 20. μὴ] πῶς ὡς εἴδετε αὐτὸν μὴ προθύμως ἐρχόμενον, οὐκ ἀπήρατε αὐτὸν ἀπὸ τῶν τριχῶν καὶ ἀπὸ τῶν γενείων κουντοῦντες αὐτὸν κατακέφαλα καὶ τὴν σκάλαν κατεβιβάσατε, ἵνα εἰς φυλακὴν εἰσαχθῇ B. 21. λαζομένοις] συνέχουσιν A.

causa cupiditatum eius fervidus minister, dixisset Isaacium Angelum e medio tollendum esse, ne forte oraculo ad illum pertinente ipsi longinqua imaginarentur, iis quae ante pedes essent neglectis, ne sic quidem divinationi assensus est; ac potius hominem derisit, quod tale aliquid de Isaacio Angelo suspicaretur, quem ut mollem et ignavum nec ad ullam rem gerendam idoneum contemnebat. nam fata urgebant, et deus utique illo prudentior erat.

10. Caeterum Hagiochristophorita Stephanus, homo impiger, quovis modo domini et imperatoris sui saluti consultum volens, Isaacium Angelum comprehendere statuit, ac primum in custodiam dare, deinde Andronici arbitratu occidere. igitur aedes Isaacii, quae prope Periblepti monasterium sunt, XI Septembris anno sexies MDCCLXXXIV vesperi ingressus Isaacium descendere ac se sequi iussit. illo vero cunctante, ut fit, et solum conspectum eius extremum malum iudicante, vim adhibuit; et ministros suos increpavit, quod non statim in cunctatoris capillos et barbam involantes praecipitem abreptum et per ignominiam pulsatum in carcerem a se monstratum

τοῦ γενείου καὶ ἀτίμως τοῦ δωματίου κατάγουσιν καὶ ἀπάγουσιν ἐπὶ κεφαλὴν ὠθούμενον καὶ τυπτόμενον εἰς ἣν ἂν αὐτὸς καθηγήσηται κάθειρξιν. καὶ οἱ μὲν ὀπαδοὶ πρὸς τοῖς ἐπιτεταγμένοις ἦσαν, ὁ δ' Ἰσαάκιος τὴν θήραν ἰδὼν ἄφυκτον καὶ ἀνυπεξάλυκτον τὴν σαγήνην ἣν ἐφήπλωσεν ὁ ἐπελθὼν ἐκείνῳ ἀσπαλιεύς, καὶ ἤδη συνέχουσαν, οὐ δειλανδρεῖ οὔτε μὴν φι- D λοψυχεῖ, ἀλλ' ὡς τεθνηξόμενος προτίθεται μαχέσασθαι, εἴ πως οὐχὶ τεθνήξεται, ἢ μᾶλλον μὴ ἔχων ἄνετα κρούειν ὡς ὁ ἀποστήσας Ὁμήρειος ἵππος καὶ ποδὶ κατὰ πεδίων ἐλευθέρῳ φέρεσθαι (ἡ γὰρ ἅρπη ἤδη ἐτέτατο καὶ ἡ σύλληψις οὐκ ἦν δυσχερής) μιμεῖται τὸν πολεμιστήριον, καὶ τὸ οὖς ἀναστήσας ὡς πρὸς σάλπιγγα ἠχοῦσαν τὸ ἐνυάλιον καὶ φρίξας κόμην τὴν ἐπαυχένιον καὶ φριμάξας ὁμόσε χωρεῖ καταφρονητὴς ξιφῶν, ὑπερόπτης Ἄρεος, ἀπειλῶν οὐδ' ὁπωσοῦν ἐμπαζόμενος. ἀμέλει καὶ ὡς εἶχε τὸ ξίφος σπασάμενος (εἶχε δὲ ἀπερικαλύπτως τῆς κεφαλῆς, τὸ δὲ σῶμα λωπίῳ διχρώμῳ συνεῖχε περὶ τὴν ἰξὺν καταβαίνοντι, ἔκτοτε δὲ διαιρουμένῳ διχῇ) καὶ τὸν ἵππον ἀναβὰς τὴν χεῖρα ἀνατείνει ξιφήρη κατὰ τῆς τοῦ Ἁγιοχριστοφορίτου κεφαλῆς. ὁ δὲ τὴν Ἰσαακίου ὁρμὴν πτοηθεὶς ἐκξιφισαμένου καὶ θανατῶντος προδήλως, μεταστρέ-

4. ὁ δ'] ἰδὼν δὲ ὁ ἰσαάκιος ὡς ἐντός ἐστι τῶν δικτύων ὧν ὁ ἁγιοχριστοφορίτης ἐφήπλωσε καὶ οὐ δυνατόν ἐστιν γλυτῶσαι, οὐ δειλιᾷ οὐδὲ ὀλιγωρεῖ, ἀλλὰ προθυμοποιηθεὶς ἔδωκεν ἑαυτὸν μαχεσθῆναι πρὸς θάνατον, καὶ ἐκ τούτου συμβήσεται ἴσως τὸν θάνατον ἐκφυγεῖν. τὴν σπάθην οὖν λαβὼν ἣν πλησίον αὐτοῦ ἔκειτο, ὁρμᾷ κατ' αὐτῶν. ἔτυχε δὲ τότε ἀσκεπῆ ἔχων τὴν κεφαλήν, φορῶν ῥοῦχον σχιστὸν ἐκ χρωμάτων δύο. διαθροήσας τοίνυν τούτους καὶ εἰς ἄλογον ἀναβὰς κατὰ τῆς τοῦ ἁγιοχριστοφορίτου ἐκτείνει κεφαλῆς. ὁ δὲ τὴν σπάθην ἰδὼν καὶ φοβηθεὶς, ἔστρεψε τὸ μουλάριον ὅπερ ἐκαβαλλίκευε, τῆς πόρτης βουλόμενος ἐξελθεῖν. ἀλλ' οὔπω ἐξῆλθε τῆς πόρτης, καὶ κρούει τοῦτον κατὰ μέσον τῆς κεφαλῆς καὶ διαχωρίζει τοῦτον μέσον μέχρι καὶ τοῦ στήθους. καὶ ἐκεῖνον μὲν καταλιμπάνει κείμενον καὶ λακταρίζοντα ἐν τῷ ἰδίῳ αἵματι B.

ducerent. quibus iussa exsecutis, Isaacius, qui se iam intra casses ab illo extensos esse cerneret, et metu et vitae cupiditate abiecta, si quo modo mortem evitaret, vel potius quia fuga undique interclusa erat nec usquam elabi poterat, fortiter pugnare instituit; et ut erat nudo capite, bicolore tunica ad lumbos descendente ac deinde bifariam divisa indutus, conscendit equum et stricto ense in Hagiochristophoritae caput ruit. is Isaacii impetu aperte in caedem ruentis territus calcaribus mula subditis fugam molitur: sed antequam porta egrederetur, letalem Isaacius plagam ei infert, calva per me-

ψας τὴν ἡμίονον ᾗ ἔποχος ἦν, καὶ συχνὰ κεντρίζων τὴν ἡμίκερκον τῆς ἐξόδου ἅπας γίνεται. ἀλλ' οὔπω ἀκριβῶς τὴν πύλην διεληλύθει, καὶ ὁ Ἰσαάκιος καιρίαν κατάγει καὶ πλήττει κατὰ μέσον τὸ κρανίον τὸν δείλαιον. καὶ διχῇ διελὼν ἐκεῖνον μὲν ἐᾷ κύρμα προκεῖσθαι κυσίν, ὡς βόσκημα σφακελίζοντα καὶ τῷ ἰδίῳ παλυνόμενον αἵματι, αὐτὸς δὲ τῶν ἐκείνου
P. 220 ὀπαδῶν ἕνα μὲν διαθροήσας καὶ γυμνῷ μόνῳ τῷ ξίφει, ἑτέρου δὲ τὸ ὠτίον ἀφελόμενος καὶ ἄλλον ἄλλοσε διαστήσας, ὡς ἐπὶ τὰ σφῶν ἕκαστον ἀπαλλάσσεσθαι, ὅλῳ ῥυτῆρι πρὸς τὸν μέγαν ἵεται νεών, διὰ τῆς λεωφόρου μέσης καὶ τῆς ἀγορᾶς διιὼν καὶ πᾶσι διαπρυσίως φθεγγόμενος ὡς διεχρήσατο τῇ σπάθῃ ταύτῃ (ἔτι γὰρ γυμνὴν ἔφερε τῇ χειρὶ) τὸν Ἁγιοχριστοφορίτην Στέφανον. καὶ ὁ μὲν ὡς εἶχε τὸν θεῖον εἰσιὼν νεὼν ἄνεισι τὸν ἀνάσταθμον, ὃν οἱ φονεῖς ἀνερχόμενοι τὸ οἰκεῖον ἀνακεκαλυμμένως διατρανοῦσι πλημμέλημα, τὴν ἐκ τῶν εἰσιόντων τε καὶ ἐξιόντων τὸ ἱερώτατον τέμενος αἰτοῦντες συγχώρησιν· τὸ δὲ πλῆθος τῆς πόλεως ὃ μὲν αὐτοψεὶ τὸν
B Ἰσαάκιον ἐνωπτρικὸς ἐς τὸν μέγαν νεὼν ἐπελαύνοντα, ὃ δὲ εἰς ἀκοὴν ὠτίου δεξάμενον τὸ πραχθέν, συρρέει κατὰ χιλιοστύας αὐτίκα, αὐτόν τε ὀψόμενον Ἰσαάκιον καὶ τὸ ἐπ' αὐτῷ
V. 181 γενησόμενον ὀφθαλμοῖς ἐθέλον παραλαβεῖν· πάντες γὰρ ᾤοντο μὴ ἂν ἐπιδεδυκέναι τὸν ἥλιον, καὶ Ἰσαάκιον συλληφθέντα παρ' Ἀνδρονίκου τίσειν δίκας τὰς ἀνηκέστους, καὶ τιμωρίας

6. πλυνόμενον A. 13. τὸν θεῖον] τὸ — τέμενος A. 14. ἄνεισι] ἐπάνω τοῦ τόπου τῆς ἀναβάθρας B. 15. ἀνακεκαλυμμένως om A. 18. ἐνωπτρικὸς] θεασάμενον A. 22. ἐπιδῦναι A.

dium dissecta, eumque pecudis instar in suo sanguine palpitantem a canibus devorandum relinquit. et cum ex eius ministris alium solo stricto gladio fugasset, alii auriculam amputasset, alios disiecisset, ut domum quisque suam reverteretur, laxis habenis ad magnum templum contendit; et dum per mediam viam et forum cursitat, alta voce clamat se eo ense, quem strictum adhuc sustinebat, Hagiochristophoritam Stephanum occidisse. templum eo habitu ingressus eam sedem conscendit, in qua homicidae suum facinus exponentes ab ingredientibus et egredientibus veniam petunt. urbana vero multitudo, quae partim Isaacium equitantem viderat partim ex aliis id facinus audierat, maximo numero statim ad templum confluit, tum ut ipsum videat Isaacium, tum ut quid de eo futurum sit coram intueatur. omnes enim putabant eum ante solis occasum ab Andronico comprehensum novis et exquisitis tormentis occisum iri, a veteratore in ea re ingeniosissimo excogitatis. se confert eandemque seditionem fovet Isaacii patruus Ducas cognomento eiusque filius Isaacius, non quod in

καινὰς εἰς αὐτοῦ κάκωσιν ἐπινοηθῆναι παρὰ τοῦ κομψοῦ τὰ τοιαῦτα μαγγανευτοῦ. συμπαραγίνεται δὲ οἱ καὶ τὴν αὐτὴν στάσιν ἀσπάζεται ὁ πρὸς πατρὸς Ἰσαακίῳ θεῖος, Ἰωάννης ὁ Δούκας, καὶ ὁ τούτου υἱὸς Ἰσαάκιος, οὐχ ὅτιπερ Ἰσαακίῳ ἦσαν συμμέτοχοι τῆς τοῦ Ἁγιοχριστοφορίτου σφαγῆς καὶ κοινωνοὶ τοῦ αἵματος τούτου, ἀλλ' ὅτι παρεπομένην ᾔδεσαν ἐγγύῃ τὴν ἄτην, ἣν ὑπὲρ ἀλλήλων ἔδοσαν Ἀνδρονίκῳ, τὴν ἐς C αὐτὸν κρατυνάμενοι πίστιν ἀναγκαστῶς. ἀμέλει καὶ οἱ μὲν ὡς ὅσον οὐδέπω συλληφθησόμενοι καὶ πρὸ ὀφθαλμῶν τὸν θάνατον ἔχοντες περιδεεῖς ἦσαν, καὶ τοὺς ὀδόντας ἐκροτάλιζον ἀτεχνῶς, καὶ τοὺς συνεισδραμόντας ἐς τὸ ἱερὸν ξύγκλυδας καὶ ἀεὶ ἐπεισρέοντας γλωττηματικώτερον ὁμιλοῦντες καθικέτευον συμπαραμεῖναί σφισι καὶ ἐπαρήξειν ὡς ἔχουσι, τὰ ἔσχατα πείσεσθαι κινδυνεύουσι. καὶ ἦσαν οἳ κατένευον πρὸς τὴν αἴτησιν καὶ ᾤκτειρον τῆς ἐνεστώσης τύχης τοὺς ἄνδρας. ἐπεὶ δὲ τῶν ἐκ τοῦ βασιλέως οὐδεὶς παρῆν ἀγανακτῶν ἐπὶ τοῖς γεγενημένοις τούτοις, οὐ τῶν γένει λαμπρῶν, οὐ τῶν Ἀνδρονίκῳ τηρούντων εὔνοιαν, οὐ πελεκυφόρος βάρβαρος, D οὐχ οἱ τὰ ὑσγινοβαφῆ φοροῦντες ῥαβδοῦχοι, οὐ τῶν ἁπάντων τις ἕτερος, ἔτι μᾶλλον οἱ συλλεγέντες ἦσαν θρασεῖς, καὶ λελυμένῃ καὶ ἀχαλίνῳ γλώττῃ ἐχρῶντο, τῇ τῶν κωλυσόντων ἐρημίᾳ πτερούμενοι, καὶ πᾶσαν βοήθειαν συνεισενεγκεῖν ἐπηγγέλλοντο. ὅλην μὲν οὖν τὴν τότε νύκτα οὕτω παρίππευσεν Ἰσαάκιος, οὐ λόγον βασιλείας τιθέμενος ἀλλὰ περὶ τοῦ μὴ

6. ἀλλ' ὅτι ἐγγράφους ἐγγύας ὑπὲρ A. 11. συνδραμόντας A. 14. κατένευον] κατανεύσαντες, omisso mox καί, A. 17. γινομένοις A. 18. οὐ πελεκυφόρος] οὐ βάραγγος, οὐ παραμονή, οὐ βαρδαριώτης B. 21. ἀχαλινώτῳ A. 22. εἰσενεγκεῖν A.

Hagiochristophoritae caedem conspirassent eoque facinore se obstrinxissent, sed quod noxam sponsionis comitem esse norant: nam alii pro aliis spondere coacti fidem Andronico syngraphis firmarant. ad haec alii, ut iamiam comprehendendi et occidendi, prae metu dentibus stridebant, et promiscuam turbam, quae in templum confluxerat ac subinde accurrebat, magna contentione rogabant ut secum maneret et pro virili opem ferret in summo periculo constitutis. neque deerant qui iis precibus et adversae fortunae casu ad misericordiam adducti annuerent. cum vero nemo ab imperatore adesset qui illas res aegre ferret, non genere illustres, non Andronici amici, non bipenniferi barbari, non purpurati lictores, denique nemo prorsus, crescebat audacia factionis, ut in illa impunitate libertatime quidvis loquerentur et promptissimam opem pollicerentur. totam igitur noctem sic exegit Isaacius, ut non de regno cogitaret sed exitium

*κατατυθῆναι δεόμενος· ᾔδει γὰρ τὸν Ἀνδρόνικον ὡς βοῦν
αὐτὸν ἱερεύσοντα ἢ μᾶλλον καὶ ὠμῶν τῶν αὐτοῦ σαρκίων
ὑπογευσόμενον κατὰ Κύκλωπα, καὶ θερμῷ ἔτι σταζομένων
αἵματι. ἐκ δὲ τῆς ἐπιμελοῦς ἱκετείας ἔσχε τινὰς τῶν συνει-
λεγμένων τὰς πύλας ἐπικλίναντας τοῦ νεὼ καὶ φῶτα εἰσενέγ-
καντας καὶ τῷ καθ' ἑαυτοὺς ὑποδείγματι τούτῳ πολλοὺς συμ-
πείθοντας μὴ μεθίστασθαι οἴκαδε. πρωΐας δὲ γενομένης οὐκ
ἦν ὅστις οὐ παρῆν οἰκήτωρ τῆς πόλεως, οὐδ' ἐθεοκλύτει αὐ-
P. 221 τοκρατορήσειν μὲν Ἰσαάκιον, Ἀνδρόνικον δὲ καθαιρεθῆναι
τῆς βασιλείας καὶ συλληφθέντα παθεῖν ὁπόσα δέδρακε τῇ τῶν
ὅλων σχεδὸν ἐπιβουλεύων ζωῇ.*

11\. *Ἔτυχε μὲν οὖν τῷ τότε κατὰ θεῖον, ὡς ἔοικε, μὴ
παρεῖναι τοῖς ἀρχείοις Ἀνδρόνικον, ἀλλ' ἐς τὸ ἑῷον μέρος
τοῦ ἀναπλεομένου τῆς Προποντίδος πορθμοῦ περὶ τὰ τοῦ
Μηλουδίου κεκλημένα διατρίβειν βασίλεια. ἔνθεν τοι καὶ
περὶ τὴν πρώτην φυλακὴν τῆς νυκτὸς τὸν τοῦ Ἁγιοχριστο-
φορίτου θάνατον ἐνωτισάμενος τότε μὲν ἔμεινε κατὰ τόπον,
μηδέν τι ἐπιτάξας ἕτερον ἢ γραμματίῳ βραχεῖ τοὺς μεγαλο-
πολίτας δεξιωσάμενος, παύσασθαι παραινῶν τοῦ νεωτέροις
B ἐγχειρεῖν πράγμασιν, οὕτω πως ἀρχομένῳ „ὁ λαβὼν ἔλα-
βεν, ἡ δὲ δίκη ἐκόπη." ἡμέρας δὲ διαγελασάσης, ὅσοι τε
Ἀνδρόνικον ἐθεράπευον, καταστέλλειν ἐπειρῶντο τὸν ὄχλον
κυμαινόμενον, καὶ αὐτὸς Ἀνδρόνικος κατὰ τὸ μέγα παλάτιον
παραγίνεται τριήρει βασιλικῇ. ἀλλ' οὐδὲ μία τις ἦν ἀνα-*

12\. κατὰ θεῖον] κατὰ πρόσταξιν θεϊκὴν B. 15. καλούμενα A.
21\. ἡμέρας] ἕωθεν δὲ ὅσοι A. 24. ἀναστολὴ] συστολὴ A.

deprecaretur. norat enim Andronicum se ut bovem immolaturum, et
more Cyclopico carnes suas calidum adhuc stillantes sanguinem de-
voraturum. est autem diligenti supplicatione id consecutus, ut qui-
dam ex eo coetu fores templi clauderent, et illatis luminibus exem-
plo suo multos impellerent ne domum abirent. ubi diluxit, omnes
urbis incolae adfuerunt, omnes deum orarunt ut Isaacius imperio po-
tiretur, eoque pulsus Andronicus et comprehensus dignas crudelitate
sua poenas daret, qui omnium pene vitae insidiaretur.

11\. Ac divinitus profecto accidit ut is urbe tum abesset et ad
Orientalem partem Propontidis in Meludiano palatio versaretur; ubi
caede Hagiochristophoritae sub primam vigiliam audita, ea nocte ibi
permansit, nec fecit aliud nisi ut cives brevi scripto moneret ut no-
vis rebus studere desinerent; cuius hoc fuit initium „qui habet, ha-
bet. poena sublata est." mane vero cultores Andronici turbam flu-
ctuantem compescere studuerunt, et ipse Andronicus imperatoria tri-
remi ad magnum palatium pervehitur. verum nec iis verbis nec quae-

στολὴ τῆς τοῦ λεὼ συρροῆς, οὔτ' αὐτὸς Ἀνδρόνικος εἰς τὸ ἀρχεῖον κατιέναι ἀπαγγελλόμενος ἐξέκρουσέ τινας τῆς ὁρμῆς. ἀλλ' οὐδὲ ὁ εἰσηγούμενός τι ἕτερον παῦον τὴν συνδρομὴν εἰς ὦτα ἐῴκει λέγειν ἀκουόντων· πολλοὶ μὲν οὖν καὶ ἐγγὺς τοῦ τεθνάναι ἦλθοσαν μόνον ὑπογρύξαντες καὶ μὴ καλὸν ἔργον γίνεσθαι φάμενοι. ἀλλ' ὡς ἐξ ἑνὸς συνθήματος πάντες παγγενεί τε καὶ πανδημεὶ ἔνθεον ἔνθους καὶ ἀτεχνῶς κορυβαντιῶντες εἰς τὸ τοῦ θεοῦ λόγου μέγιστον τέμενος, ἀλλήλους παραθήγοντες, C ἐρεσχελοῦντες τοὺς μὴ ταυτοζήλους μήτε μὴν τὰς χεῖρας ὁπλίζοντας ὅπλῳ ὀτῳδή, ἀλλ' ἀργοὺς οὕτως ἑστῶτας V. 182 καὶ θεωμένους τὰ παρ' ἄλλων γινόμενα. οἱ δὲ λογικῶν μαθημάτων ἐν μεθέξει καὶ μέλος ἀπεκάλουν αὐτοὺς σεσηπός, μὴ συμπάσχον τῷ λοιπῷ τῆς πολιτείας σώματι καὶ πληρώματι. ἐπὶ τούτοις διαθλῶσι τὰς κλεῖς καὶ τοὺς ὀχέας τῶν δημοσίων φρουρῶν, καὶ τοῖς φυλακίταις τιθέασι τὴν ἔξοδον ἄνετον, οὐ πᾶσιν οὖσι κακούργοις, ἀλλὰ καὶ γένους μετειληχόσι λαμπροῦ, κακουχουμένοις δ' ὅμως ἐν δεσμωτηρίοις διά τι συμπεσὸν βραχὺ ἁμάρτημα ἢ παράφθεγμα ἢ καὶ φίλου κακούργημα προβὰν ἐς Ἀνδρόνικον. τοῦτο δ' ἔτι μάλιστα τὸ πλεῖον συναγήοχε τοῦ λαοῦ, καὶ τοὺς κατ' Ἀνδρονίκου τονθορύζοντας D πρότερον καὶ ὀκνοῦντας τὴν πρᾶξιν ὡς κίνδυνον ὑποφαίνουσαν εἰς ἐναντίαν μοῖραν μετέστησεν ἀκραιφνῶς. ἦν οὖν ἐκ τοῦδε ἰδεῖν ξιφηφοροῦντας καὶ θυρεοφόρους καὶ πεφραγμένους

1. συρροῆς] συλλογῆς A. 17. δὲ τῷ δεσμωτηρίῳ A. 18. βραχὺ om A. 23. ξιφ. ἰδέσθαι A.

tio reditus Andronici populus quicquam movebatur ut coeptis desisteret: quae ad comprimendum motum afferebantur, surdis auribus accipiebantur omnia; ac multi vitae periculum adierunt, quod rem illam parum bellam esse dixissent. omnes enim quasi uno signo dato concurrebant, ac veluti numine afflati aut furore perciti, in divini verbi maximum templum, alios alii acuentes, et subsannantes eos qui ignavi spectatores astarent nec quovis telo armarentur. qui vero literis eruditi erant, eosdem membra putrida vocabant, qui dolore publico non afficerentur. deinde seris et repagulis carcerum effractis, liberum exitum inclusis patefaciebant; qui quidem non omnes malefici erant, sed nonnulli claris orti familiis ob fortuitum erratum aut dictum inconsideratius aut amici delictum in Andronicum eo compacti fuerant. ea res omnium maxime populi concursum auxit, ac effecit ut qui prius periculi metu submurmurabant et dubitabant, haud dissimulanter factioni sese iungerent. ex eo ensibus accinctos, scutatos et thoracatos non paucos cerneres, plures tamen fustibus et lignis, quae ex officinis sepuerant, armatos. a tali coetu cogitatis-

θώραξιν οὐ βραχεῖς, τοὺς δὲ πλείστους ῥοπάλοις καὶ τοῖς ἐκ τῶν ἐργαστηρίων ξύλοις τὰς χεῖρας ὁπλίσαντας. καὶ συναγωγῆς πλείστης λαοῦ μεθ' ὁρμῆς τοιαύτης γεγενημένης βασιλεὺς αὐτοκράτωρ Ῥωμαίων ἀναγορεύεται Ἰσαάκιος, τινὸς τῶν νεωκόρων τὸ τοῦ μεγάλου Κωνσταντίνου στέφος, ὅπερ ἄνωθεν ἀπῃώρητο τραπέζης τῆς μυστικῆς, κατενεγκόντος διὰ κλίμακος καὶ τῇ τοῦ Ἰσαακίου κεφαλῇ ἐφαρμόσαντος. ἵνα δὲ μηδὲ τοῦτο εἴη ἀνιστόρητον καὶ ἀκοαῖς ἀπεριήχητον τῶν ἐς ἔπειτα, ὁ μὲν Ἰσαάκιος ἐδυσκόλαινε πρὸς τὴν στεφηφορίαν
P. 222 οὐχ ὡς ἔρωτα μὴ τρέφων ἀρχῆς, ἀλλ' ὡς ὑφορώμενος τὸ τοῦ πράγματος ἐργῶδές τε καὶ δυσέφικτον, καὶ ὄναρ οὐχ ὕπαρ ἄντικρυς ἐπιτελεῖσθαί οἱ τὰ παρόντα οἰόμενος, ὑποβλεπόμενος δὲ καὶ τὴν Ἀνδρονίκου ὀργιλότητα, καὶ μὴ ἐντεῦθεν ἐκμῆναι τοῦτον πλειόνως βουλόμενος. συνεστὼς δὲ ὁ δηλωθεὶς ἄνωθεν Δούκας, τὸν πῖλον τῆς κεφαλῆς ἀφελόμενος, ἑαυτῷ περιθέσθαι ἱκέτευε τὸ διάδημα, ἐψιλωμένον τριχῶν προδεικνὺς κρανίον καὶ τὴν φαλάκραν ὡς πλησίφωτον σελήνην ὑπερφαίνουσαν. ὁ δ' ὄχλος ἀπηναίνοντο φάσκοντες μηκέτι γέροντα ἄρχειν βούλεσθαι ἢ βασιλεύειν ἐπ' αὐτούς· πολλῶν γὰρ ἐμφορηθῆναι κακῶν ἐκ τοῦ πολιότριχος Ἀνδρονίκου, καὶ δι'
B αὐτὸν μισεῖν τε καὶ ἀποστρέφεσθαι πάντα σοροδαίμονα καὶ πολυετῆ ἄνθρωπον, καὶ μάλιστα εἰ καθειμένον ἔχει τὸ γένειον,

5. νεωκόρων] διακόνων B. 10. μὴ τρέφων ἔρωτα τῆς ἀρχῆς A. 13. ὀργιλότητα] δριμύτητα καὶ μηδ' A. 16. περιτεθῆναι A. δεικνὺς A. 17. φαράκλαν B. πλησίφωτον] ὁλόφωτον A. 19. ἢ] καὶ A. 21. π. τυμβογέροντα πολυχρόνιον ἄνθρωπον A. 22. ἐὰν καὶ τὸ γένειον κεχλωσμένον ἔχῃ καὶ διχαλὸν B.

simae multitudinis Romanorum imperator salutatur Isaacius, cum quidem ex aedituis magni Constantini coronam, quae supra mysticam mensam pendebat, scalis depromptam eius capiti imposuisset. ne autem hoc quoque a posteris ignoretur, Isaacius eam coronationem aegre ferebat, non quod ab imperii cupiditate abhorreret, sed quod rei summam difficultatem pertimesceret, et quae tum agerentur, vigilantis quoddam somnium existimaret. huc accedebat metus ne Andronici acerbitatem eo facto magis etiam irritaret. caeterum Ducas, cuius ante meminimus, illi astans, detracto capiti pileo, orabat ut sibi diadema imponeretur, calvitio ostenso, quod instar plenae lunae relucebat. turba autem respondit se nolle deinceps parere seni, quod ab Andronici canitie plurimas clades accepisset, ob eamque omnem senem Acheronticum et capularem odisset, praesertim si bifurcatam haberet barbam, ex altera parte breviorem. sic inaugurato Isaacio aliud accidit relatu dignum. nam cum equi impe-

διχῇ διῃρημένον καὶ μυουρίζον περὶ τὸ πέρας τοῦ πώγωνος. οὕτω τοίνυν ἐς βασιλέα χρισθέντος Ἰσαακίου συνέβη καὶ ἕτερόν τι ἀξιαφήγητον. ἵππων γὰρ χρυσοφαλάρων βασιλικῶν ἐκ τῆς περαίας κατὰ τὸν πόρον τῶν Κιονίων διαπορθμευομένων εἷς τοὺς πόδας ἀναβαλὼν καὶ τυραννήσας τὸν ἱπποκόμον ἔθεε διὰ τῶν λεωφόρων, καὶ συλληφθεὶς εἰσάγεται Ἰσαακίῳ πρὸς ὄχησιν. καὶ ὁ μὲν ἐκ τοῦ μεγίστου νεὼ ἀπαίρει, συνεπόμενον ἔχων καὶ τὸν πατριάρχην Βασίλειον τὸν Καματηρόν, ἐπεὶ καὶ τοῦτον τὸ πλῆθος συμπράττειν καὶ συνεπευδοκεῖν τοῖς τε λουμένοις ἄκοντα ἐπεσπάσατο· ὁ δ' Ἀνδρόνικος κατὰ τὸ μέγα γεγονὼς ἀρχεῖον, ἐπεὶ ὁ συμμιγὴς θροῦς C ἐκέντει αὐτοῦ τὰ ὦτα, μετὰ βραχὺ δὲ καὶ τὴν ὄψιν τῶν γινομένων εἶχε διδάσκαλον, ἐπέβαλε μὲν τῇ ἀντιμαχήσει τοῦ πλήθους καὶ τοὺς συνόντας συνεκρότει πρὸς πόλεμον, εὑρίσκων δὲ βραχεῖς ἐκ τούτων ἑτοιμοπειθεῖς πρὸς τὸ ἐκείνου σκέμμα καὶ σύνθημα, ηὐτούργει καὶ αὐτὸς ἐν τῷ μέρει τὸν πόλεμον, τόξον δοὺς τῇ χειρί, κἀκ τῶν τοῦ μεγίστου πύργου διασφάγων, ὃς κικλήσκεται Κεντηνάριον, ἀφιεὶς τοῖς ἐπιοῦσι βέλεμνα. γνοὺς δὲ ὡς μάτην ἀνηνύτοις ἐπιχειρεῖ, διά τινος ὁμιλεῖν προάγεται τοῖς λαοῖς, ἀποτίθεσθαι λέγων τὴν βασιλείαν καὶ παραπέμπειν ταύτην πρὸς τὸν ἐκείνου παῖδα τὸν Μανουήλ, πεποιθὼς ἐντεῦθεν καταστεῖλαι τὸν θόρυβον καὶ τὸν ἐπ' ἀκμῆς καὶ παρὰ βραχὺ κίνδυνον ἀποκρούσασθαι. οἱ D

2. βασιλεῖαν A. 5. τοὺς ἔμπροσθεν πόδας ἀνασηκώσας καὶ ἐγλυτώσας ἀπὸ τοῦ αὐτὸ σύροντος B. 9. συνευδοκεῖν A. 12. αὐτοῦ] τούτου A. 13. ἐπεβάλετο A. 15. ἑτοιμοπαθεῖς A. 16. σύνθημα] βούλημα A. 19. ἀνηνύτοις] πάσχει B. ἐπιχειρεῖ πράγμασιν, ὁμιλεῖν προσάγεται τοῖς πλήθεσιν A. 23. οἱ] τὰ A, et mox ἐκτραχυνθέντα.

ratorii aureis ornati phaleris per traiectum Cioniorum adveherentur, unus ab equisone vi avulsus et per publicas vias cursitans comprehenditur et ad Isaacium adducitur. is eo conscenso ex maximo templo discedit, etiam Basilio Camatero patriarcha comitante, quem populus quamvis invitum approbare acta illa compulerat. Andronicus vero ubi ad magnam curiam pervenit, primum confuso clamore, post etiam re ipsa visa turbatus, centuriare suos et confligere cum populo instituit. sed cum paucos ad suum consilium paratos videret, ipse arcu correpto pro virili ad pugnam se parat, et ex maximae turris, quae Centenarium appellatur, pinnaculis sagittas in accedentes coniicit. quem conatum quia irritum videbat, alloqui populum instituit; seque imperium filio Manueli traditurum professus, tumultum sopire et praesentissimum periculum propulsare studet. verum

δὲ πλειόνως ἐπὶ τῷ ῥήματι τούτῳ ἐκτραχυνθέντες ὕβρεσιν αὐτὸν ἁπάσαις ἀπαισίοις ἔπλυνον, καὶ ὃν ἔφασκε τῆς βασιλείας V. 183 καταλιπεῖν κληρονόμον. ἐπεὶ δὲ τὸ πλῆθος ἦν εἰσχυθὲν ἔσωθεν τῶν ἀνακτόρων, ἀνατραπείσης τῆς πύλης ἥτις Καρέα λέγεται, τρέπεται πρὸς φυγὴν Ἀνδρόνικος, καὶ τὸ φοινικοβαφὲς πέδιλον τοῦ ποδὸς ἀφελιξάμενος, καὶ τὸ ἀρχαῖον αὐτῷ περιφύλαγμα τὸν σταυρὸν ὁ θεοβλαβὴς ἀποτραχηλισάμενος ἐκεῖ που, καὶ πῖλον βαρβαρικὸν τῇ κεφαλῇ περιθέμενος, ὃς ἐς ὀξὺ λήγων πυραμίδι εἴκασται, τὴν βασιλικὴν εἴσεισιν αὖθις τριήρη, δι' ἧς ἐκ τοῦ Μηλουδίου πρὸς τὸ μέγα παλάτιον ἐσαφίκετο. καὶ γενόμενος αὖθις κατὰ τὸ αὐτὸ κατάντημα, καὶ δύο ἐκ τῶν γυναικῶν προσλαβόμενος, Ἄνναν τὴν ἁρμοσθεῖσαν Ἀλεξίῳ τῷ βασιλεῖ, ἐκείνου δὲ ἐξ ἀνθρώπων γενομένου ᾧ εἴρηται θανάτῳ γαμηθεῖσαν Ἀνδρονίκῳ, καὶ τὴν ἑταιρίδα Μαραπτικήν, ἧς ἐνεθουσία τῷ ἔρωτι καὶ προσπαθῶς P. 223 εἶχεν Ἀνδρόνικος ὡς οὐδὲ πάλαι τῆς Λαμίας ὁ πολιορκητὴς Δημήτριος, ἣν Πτολεμαῖον καταγωνισάμενος ἐν Κύπρῳ ἔλαβε δορυάλωτον αὐλοῦσαν οὐκ εὐκαταφρονήτως, ἤλαυνε κατὰ κράτος ἣν προέθετο. ᾑρετίσατο δὲ τὴν ἐπὶ τοὺς Ταυροσκύθας, πᾶσαν ἐπαρχίαν Ῥωμαϊκὴν καὶ τοπαρχίαν ἄλλην ἐθνικὴν ὡς ἐπίβουλον ἀθετήσας.

12. Καὶ τοῦτον μὲν τὸν τρόπον Ἀνδρόνικος τῆς Ῥωμαϊ-

3. καταλείψειν διάδοχον A. δὲ εἰσελησθεῖσαν ἔσω A. 7. στ. ὡς εἰ θεοβλάβειαν πέπονθεν ἀπ. A. 14. εἰρήκειμεν A. τὴν ἑταιρίδα] τὴν καὶ ἑκὰν αὐτοῦ τὴν μαραπτικὴν λεγομένην, ἣν ἠγάπα καὶ προσέκειτο πλέον τῶν ἄλλων ὡς ἐξαισίως τραγῳδοῦσαν. B. 19. ταυροκομάνους B. 21. ἀθετήσας] ἀπαγορεύσας A.

populus iis verbis magis exasperatus nulla non atrocissima convicia in eum, et quem imperii successorem relicturum aiebat, congessit. postquam vero effracta porta, quae Carea dicitur, in palatium penetrarunt, in fugam conversus Andronicus, purpureo calceo et veteri suo amuleto, cruce quam de collo suspensam gestabat, quasi numinis ira agitaretur, abiecta, et acuto barbarico pileo capiti imposito, denuo triremem imperatoriam conscendit, qua ex Meludio in magnum palatium venerat; eodemque reversus cum duabus mulieribus, Anna, quam sublato Alexio duxerat, et Maraptica meretricula tibicina non contemnenda, cuius amore non minus insaniebat quam olim Poliorcetes Demetrius Lamiae, quam Ptolemaeo victo ceperat, haud segniter navigat, ad Tauroscythas profecturus, omnibus Romanis provinciis aliarumque gentium ditionibus ut parum tutis despectis.

12. Andronico ad hunc modum deiecto regno, Isaacius pala-

κῆς ἀρχῆς ἀπεσφαίριστο, Ἰσαάκιος δὲ τῶν ἀρχείων εἴσω παρελθὼν καὶ βασιλεὺς αὐτοκράτωρ Ῥωμαίων ὑπὸ τῶν συνεληλυθότων ὄχλων αὖθις ἀναρρηθεὶς στέλλει τοὺς ὀπίσω Ἀνδρονίκου καταδιώξοντας. τὸ δὲ τοῦ δήμου πολύ, ἐπειδὴ τὰ ἀνάκτορα ἄνετα ἐγεγόνεισαν καὶ οὐδεὶς ἦν ὁ κωλύσων αὐτοὺς ἢ ἀπάξων τοῦ δρᾶν οἷα καὶ ὅσα βούλοιντο, διαρπάζουσιν οὐ B
μόνον ὁπόσα χρήματα εὕραντο παρὰ τοῖς Χρυσιοπλυσίοις ἐπιταμιευόμενα (ἦσαν δὲ ἄνευ τῶν μὴ κεκομμένων εἰς νόμισμα ὑλῶν χρυσίου κεντηνάρια δώδεκα, ἀργυρίου τριάκοντα καὶ τοῦ ἐκ χαλκοῦ κόμματος διακόσια) ἀλλὰ καὶ πᾶν ἕτερον ὅπερ εἶχον αἱ χεῖρες ἑνός τινος μεταφέρειν ῥᾳδίως ἢ καὶ πολλῶν συνερχομένων ὁμοῦ. ὅπλων δὲ μετήνεγκαν μυριάδας, τὰς ὁπλοθήκας εἰσιόντες. προέβη δὲ τὰ τῆς ἁρπαγῆς καὶ εἰς τοὺς ἔνδον τῶν βασιλείων νεώς, ὥστε καὶ κόσμους ἀπορραγῆναι ἁγίων εἰκασιῶν καὶ αὐτὸ δὲ τὸ ἱερώτατον κλοποφορηθῆναι σκεῦος, οὗ ἔνδοθεν φήμη ἄνωθεν διαρρέει καὶ ἐς ἡμᾶς καταβαίνουσα τὸ τοῦ κυρίου ἐπιστόλιον συνεπτύχθαι, ὅπερ C
οἰκείαις αὐτὸς χερσὶν ἐξέθετο πρὸς τὸν Αὔγαρον. ἡμέρας οὖν συχνὰς τῷ μεγάλῳ παλατίῳ ἐνδιατρίψας ὁ βασιλεὺς Ἰσαάκιος πρὸς τὸ ἐν Βλαχέρναις ἀρχεῖον μεθίσταται, ἔνθα καὶ οἱ ἀγγέλλοντες ἐληλύθεσαν ἁλῶναι Ἀνδρόνικον. ἦν δὲ ὁ τρόπος τῆς αὐτοῦ συλλήψεως οὑτοσί. ἀποδιδράσκων ἀφικνεῖται εἰς Χηλήν, ὀλίγους τῶν πρὸ τῆς βασιλείας ὑπηρετῶν συνεπο-

2. συνελθόντων A. 7. χρυσοπλυσίοις εἰσέτι ταμιευόμενα A. 12. ὅπλ.] ἅρματα καὶ λουρίκια B. 15. ἁγίων] θείων A. κλοποφορηθῆναι] κλαπῆναι A.

tium ingressus, ac denuo a frequentia populi imperator Augustus consalutatus, satellites mittit qui Andronicum persequantur. at plebis pleraque pars, cum aperto palatio nemo esset qui quicquam prohiberet quod animus tulisset, non eam tantum pecuniam diripit quae in Chrysioplysiis recondi solet (erant autem, praeter rudem materiam, auri centenarii XII, argenti XXX, aeris CC), sed et quicquid unius hominis manu aut etiam plurium coniunctis operis auferri poterat. ex armamentario quoque multa armorum millia abstulerunt. ac rapina etiam in palatina sacella grassata, ornatus sacrarum imaginum est surreptus, et sacrosanctum illud vasculum furto ablatum, quo, ut a maioribus accepimus, Christi manibus scriptae ad Abgarum litterae asservabantur. Isaacius vero imperator dies complures in palatio commoratus in Blacherniam aulam transit, ibique de capto Andronico nuntium accipit. fuit autem ea captivitatis eius ratio. cum fugeret, Chelen pervenit cum paucis ministris quos ante imperium habuerat, et duabus illis muliercula. cuius loci incolae, cum nulla

μένους ἔχων ἐκείνῳ, καὶ τὰς δύο γυναῖκας ἐπαγόμενος. ἰδόντες οὖν αὐτὸν οἱ ἐκεῖσε μηδὲν τεκμήριον περικείμενον τῶν κρατούντων, ἀλλ' ὡς φυγάδα τὴν ἐπὶ τοὺς Ταυροσκύθας διαπλώϊσιν ἐπισπέρχοντα καὶ φεύγοντα μηδενὸς διώκοντος, συλλαβεῖν μὲν οὔτε ἐθάρρησαν οὔτε ὁπωσοῦν ἐδικαίωσαν (τὸν D γὰρ θῆρα καὶ γυμνὸν ὄντα τῶν ἀμυντηρίων οὐδὲν ἔλαττον ἐδεδίεσαν, καὶ πρὸς μόνην τὴν ἐκείνου θέαν κατέπτησσον), νῆα δὲ ἡτοιμάσαντο, καὶ Ἀνδρόνικος μετὰ τῶν ὑπ' αὐτὸν ἐμβέβηκεν εἰς αὐτήν. ὥσπερ δὲ καὶ θαλάσσης ἀγανακτούσης κατ' Ἀνδρονίκου, ὅτι σώμασιν ἀθώοις τοὺς αὐτῆς κόλπους πολλάκις ἔχρανεν, ὀρθόν τε τὸ κῦμα ἵστατο καὶ εἰς χάσμα διίστατο καὶ καταπιεῖν αὐτὸν διανίστατο, καὶ πρὸς χέρσον ἡ ναῦς ἐξεβράσσετο. καὶ τοῦτο πολλάκις γενόμενον ἐκώλυσε τὴν Ἀνδρονίκου περαίωσιν, ἕως οἱ καταληψόμενοι ἐπέστησαν. οὕτω τοίνυν ὁ τάλας Ἀνδρόνικος συσχεθεὶς ἀκατίῳ παραρριπτεῖται μετὰ τῶν γυναικῶν δέσμιος. ἀλλ' ἦν κἂν τῷ τότε καιρῷ Ἀνδρόνικος ὁ πολύμητις ἐκεῖνος καὶ περίφρων Ἀνδρόνικος. συνιδὼν γὰρ ὡς πόδες οὐκ εἰσίν, ὡς χεῖρες οὐκ εἰσίν, οὐδὲ πάρεστι ξίφος εἰς τὸ δρᾶσαί τι γενναῖον καὶ διαδρᾶσαι P. 214 τοὺς συλλαβόντας, ὑποκρίνεται τραγῳδίαν δεξιοστροφήσας τὸ V. 184 τρίχορδον τῆς φθογγῆς, καὶ θρηνῶδές ᾄδειν τι μέλος καὶ περιπαθὲς ἀναβάλλεται, τὰς παλαιὰς πειθανάγκας ἀνατινάσσων καὶ περιτρέχων ὡς δεξιὸς μουσηγέτης εὐήχου ὀργάνου

3. ταυροκομάνους B. 19. διαδρᾶσαι] διδράναι A. 20. ὑποκρίνεται] μονοχόρδιον λαβὼν θρηνητικὸν μέλος λέγειν ἀπήρξατο B. 21. ᾄδει codices.

imperii insignia in eo cernerent, sed exulis habitu ad Tauroscythas appellere festinantem et nemine persequente fugientem, eum comprehendere neque ausi sunt neque aequum censuerunt, feram etiam exarmatam metuentes et ad solum conspectum eius trepidantes, eique navem pararunt. qua conscensa ipsum mare velut indignatum, quod innocentum cadaveribus sinus suos saepe polluisset, in altos fluctus et vastum hiatum assurrexit, quasi devoraturum eum esset, et navem in littus elisit. quod saepius factum obstitit quo minus ante persecutorum adventum traiiceret Andronicus. ita misercum duabus muliercalis comprehensus, in naviculam vinctus coniicitur. sedtum quoque erat Andronicus ingeniosus et callidus ille Andronicus. nam cum neque pedes ad fugam neque manus et arma ad pugnam suppeterent, tragoediam agit, et lugubrem cantilenam auspicatus facundiae arma depromit. commemorat quam alto genere sit ortus, ut nobilitate vulgo praestet, ut pristina fortuna felix; ut anteacta vita, quamvis in fuga et

χορδάς, καὶ καταλέγει μελεάζων ὡς ἀηδόνες τὸ γένος ὡς ὑψηλόν, τὸ εὐγενὲς ὡς ὑπὲρ τοὺς πολλούς, τὴν προτέραν τύχην ὡς εὐτυχῆ, τὸν πάλαι βίοτον, κἂν πλάνης ἦν καὶ ἀνέστιος, μηδαμῶς ἀβίωτον, καὶ τὴν τότε κατασχοῦσαν αὐτὸν συμφορὰν ὡς λίαν οὖσαν οἰκτράν. ἀνταδούσας δ' εἶχε καὶ τὸ μέλος γοερώτερον διασκευαζούσας οἷα σοφὰς τὰς γυναῖκας· καὶ ὁ μὲν ἦρχε τῶν θρηνῳδημάτων, αἱ δὲ ἀντῇδον B αὐτῷ συνυπακούουσαι καὶ συμψάλλουσαι. ἀλλ' ἦν ταῦτα πάντα μάτην μετιὼν καὶ διακενῆς τεχνώμενος ὁ βαθύνους καὶ πολύτροπος Ἀνδρόνικος· ἃ γὰρ ἀνόσια διεπράξατο ἔργα, ταῦτα ὡσεὶ κηρὸς τὰς τῶν κατεχόντων αὐτὸν ἐπέβυσεν ἀκοάς, καὶ οὐδεὶς οὐδένα οἶκτος εἰσῄει, οὐδ' ἐνήχησις ἦν ὧν κατὰ Σειρῆνας ἐμελῴδει γυναικωδῶς εἴτ' οὖν ὑπούλως καὶ δολερῶς εἰπεῖν οἰκειότερον, καὶ τὸ μῶλυ τὸν Ἑρμῆν ἐπιλέλοιπε τοῦ θείου μηνίσαντος. εἶχε τοίνυν τοῦτον ἡ τοῦ Ἀνεμᾶ λεγομένη φρουρά, δυσὶ παχείαις ἁλύσεσι τὸν ὑψιτενῆ βαρούμενον τράχηλον, ὑφ' ὧν οἱ ἐν δεσμωτηρίοις σιτούμενοι λέοντες μετὰ σιδηρέων κλοιῶν συνέχονται, καὶ πέδαις τοὺς πόδας κακούμενον. ἐμφανισθεὶς δὲ οὕτως ἔχων καὶ παραστὰς Ἰσαα- C κίῳ τῷ βασιλεῖ ὕβρεσι βάλλεται, κατὰ κόρρης ῥαπίζεται, τοὺς γλουτοὺς ἐπικρούεται, τὴν γένυν τίλλεται, τοὺς ὀδόντας ἐκριζοῦ-

3. βίον A. 7. θρηνημάτων A. 11. συσχόντων ἐκεῖνον ἀπέβυεν A. 13. ὑπούλως καὶ om A. 14. τὸ — τοῦτον om A. 16. τὸν] διὰ τοῦ σφονδύλου B. 17. ὑφ' ὧν] εἰς ἣν φυλακὴν ἦσαν καὶ οἱ λέοντες μετὰ σιδήρων κρατούμενοι B. 20. ὕβρεσι] πρῶτον μὲν ὕβρεσιν αὐτὸν καθυπέβαλλον, εἶτα καὶ κατὰ σφονδύλου καὶ τοῦ προσώπου αὐτοῦ ἔκρουον καὶ μουστουνέας, εἶτα κόπτωσι τὰ αὐτοῦ γένεια καὶ ἀνασπῶσι τοὺς ὀδόντας αὐτοῦ καὶ τὰς τρίχας ἀπογυμνοῦσι τῆς κεφαλῆς αὐτοῦ B.

exilio, non aspernanda; quam miserabili calamitate tum oppressus esset. eas querimonias ingeniosae mulierculae non inepte adiutabant, ac veluti praecentori succinebant. sed frustra illa omnia astutus et versipellis Andronicus conabatur. nam nefaria eius facinora lictorum aures veluti cera obstruebant, ut nulla eius misericordia tangerentur, quamvis Sirenas muliebriter aut fallaciter potius imitaretur; iratoque deo Mercurium moly destituit. itaque in Anemae castellum duabus gravibus catenis cum ferreis seris superbo collo iniectis, et compedibus oneratus, ut captivos tractari moris est, coniicitur; eoque habitu ad Isaacium perducto contumeliosis verbis insultatur, alapae impinguntur, nates pulsantur, barba vellitur, dentes excutiuntur, capilli evelluntur. publice omnium ludibriis expositus etiam a mulieribus pugnis caeditur, iis praesertim quarum maritos aut occiderat aut excaecarat. deinde praecisa dextera in idem castellum reducitur, sine cibo, sine potu, sine ullo cuiusquam officio. post aliquot

ται, τὴν κεφαλὴν ψιλοῦται τριχῶν, εἰς κοινὸν ἐκδίδοται παίγνιον πᾶσι τοῖς συνελθοῦσιν, ἐμπαροινεῖται καὶ ὑπὸ γυναικῶν καὶ τύπτεται πυγμαῖς κατὰ στόματος, καὶ τούτων ὁπόσαι μάλιστα ἢ θανάτῳ ὑπ' Ἀνδρονίκου ἀπεβάλοντο τοὺς συνεύνους ἢ τοὺς ὀφθαλμοὺς ἀπεσβεσμένους ἀπέλαβον. ἔπειτα τὴν δεξιὰν χεῖρα πελέκει ἀποκοπεὶς παραρριπτεῖται αὖθις τῇ αὐτῇ φυλακῇ, ἄσιτος, ἄποτος, ὑπ' οὐδενὸς μεταλαγχάνων τῆς οἱασοῦν κομιδῆς. μεθ' ἡμέρας δέ τινας καὶ τὸν ἕτερον τῶν ὀφθαλ-
D *μῶν ἐξορύττεται, καὶ καθεσθεὶς ἐπὶ καμήλου ψωριώσης διὰ τῆς ἀγορᾶς θριαμβεύεται, κατὰ γεράνδρυον ἄφυλλον ὠοῦ φιλότερον ἀκαλυφές τε παντάπασι κρανίον προφαίνων, καὶ βραχεῖ ῥακίῳ τὸ σῶμα σκεπόμενος, θέαμα ἐλεεινὸν καὶ πηγὰς ἕλκον δακρύων ἡμέροις ὄμμασιν. ἀλλ' οἱ εὐηθέστατοι καὶ ἀπαιδευτότατοι τῆς Κωνσταντίνου οἰκήτορες, καὶ τούτων οἱ ἀλλαντοπῶλαι πλέον καὶ βυρσοδέψαι, καὶ ὅσοι τοῖς καπηλείοις διημερεύουσι κἀκ τῶν καττυμάτων ἀποζῶσι γλίσχρως καὶ ταῖς ῥαφίσι τὸν ἄρτον στενῶς συλλέγουσι, κατ' ἔθνεα συναθροισθέντες μυιῶν αἳ τοὺς γαυλοὺς ἀμφιπεριίπτανται ἔαρος καὶ περιχαίνουσι τὰ πιαλέα κισσύβια, μηδένα λόγον θέμενοι εἰ βασιλεὺς οὗτος πρὸ τρίτης καὶ βασιλείῳ διαδήματι περιδούμενος καὶ ὡς σωτὴρ ὑμνούμενος ὑπὸ πάντων ἀνευφημούμενός τε καὶ προσκυνούμενος, καὶ ὡς φρικώδεσιν ὅρκοις τὴν ἐς αὐτὸν ἐνεπέδωσαν πίστιν καὶ εὔνοιαν, ἀλόγῳ δὲ θυμῷ καὶ παραλογωτέρῳ νοῒ φερόμενοι οὐδέν τι τῶν κακῶν ἐνέλιπον ὃ*

2. *καὶ γυναιξὶ* A. 11. *βραχεῖ*] *τὰ ἀναγκαῖα μέρη μόνα τοῦ σώματος μετὰ παλαιοῦ πανίου σκεπάσαντες* B. 14. *οἱ ἀλατοπῶλοι καὶ κάπηλοι καὶ τζαγκαροράπται* B. 15. *βυρσοδέψαι*] *σκυτοδέψαι* A.

dies altero oculo effosso, scabioso camelo impositus per forum triumphi specie traducitur, calva glabra instar aridae quercus et ovo nitidiore, et brevi tunicula tectus, spectaculum miserabile, quod rivos lacrimarum elicere queat ex oculis non inhumanis. sed stolidissimi et petulantissimi urbis incolae, praesertim fartores, coriarii, opifices et circumforanea sordidaque turba, muscarum instar verno tempore ad mulctras et pinguia cymbia convolantium, nulla ratione habita quod is nudiustertius imperator, regio diademate ornatus, ab omnibus laudatus celebratus adoratus esset, quodque sanctissimo iureiurando fidem et benevolentiam suam erga illum testati essent, efferatis animis sine ulla ratione ruentes, nihil mali praetermiserunt quo Andronicum per nefas non afficerent. alii clavas in caput eius impegerunt, alii stercore nares eius foedarunt, alii spongias excre-

μὴ εἰς Ἀνδρόνικον ανοσίως εἰργάσαντο. οἱ μὲν γὰρ κατὰ
κεφαλῆς κορύναις αὐτὸν ἔπληττον, οἱ δὲ βολβίτοις τὰς ἐκεί-
νου ῥῖνας ἐμόλυνον, ἄλλοι διὰ σπόγγων λύματα γαστέρων P. 225
βοείων καὶ ἀνθρωπείων τῶν ὄψεων ἐκείνου κατέχεον. ἕτεροι
αἰσχρορρημονοῦντες ἐκακολόγουν ἐς τὴν μητέρα καὶ τὸν λοι-
πὸν τῶν τοκέων. ἦσαν οἳ καὶ ὀβελίσκοις ἔπειραν αὐτοῦ τὰς
πλευράς. οἱ δ' ἀναιδέστεροι λιθολευστοῦντες κύνα ὠνόμαζον
λυσσητῆρα. μία δέ τις πορνικὴ γυνὴ καὶ ἀκόλαστος κεράμιον
θερμοῦ ὕδατος πλῆρες ἁρπασαμένη ἐξ ὀπτανείου τῶν
ἐκείνου κατεκένωσε παρειῶν. καὶ οὐδεὶς ἦν ὃς οὐκ ἦν ἐπ'
Ἀνδρονίκῳ κακοποιός. καὶ οὕτως ἀτίμως ἐπὶ τὸ θέατρον
ἀπαχθεὶς μετὰ γελοιώδους θριάμβου καὶ τοῦ οἰκτροῦ ἐκείνου
καὶ παιζομένου ἐπὶ καμήλου ὑψώματος, ὅπερ ἄνωθεν κατέ- B
βη αὐτόχρημα, ἐκ ποδῶν ἀγαρτᾶται, τινῶν ἀναψάντων ἐκ V. 185
φελλύρας καλώδιον κατὰ τοὺς περὶ τὰς ἐπικλινεῖς τὸν τρά-
χηλον ἐκ χαλκοῦ πεποιημένας λύκαιναν καὶ ὕαιναν ἀλλήλαις
ἀντιβλεπούσας καὶ πρὸς ὀργὴν ἠγριωμένας ἱσταμένους δύο στυ-
λίσκους καὶ λίθον ἐπικείμενον ἔχοντας. τοσαῦτα δὲ πεπον-
θώς, καὶ μυρία ἕτερα ὑποστὰς ὅσα ὁ λόγος παρέδραμεν,
ὅμως ἀντεῖχεν ἔτι γενναίως πρὸς τὰς ἐπιφορὰς τῶν δεινῶν,
ἐρρωμένος ὢν τὸ φρονεῖν. πρὸς δὲ τοὺς ἐπεισχεομένους καὶ

2. κορύναις] μετὰ ἀκανθῶν ἔκρουον B. 3. διὰ σπόγγων] μετὰ σφουγγαρίων ἀπὸ τὰς κοιλίας τῶν βοϊδίων εἰς τὴν ὄψιν αὐτοῦ κοπρίας ἔχυνον B. 6. ὀβελίσκοις] τὰς σούβλας πυροῦντες B. 7. κύνα] σκύλον λυσσιάριον B. 8. κεράμιον] κακάβιν ἱστάμενον ὕδωρ γέμον καὶ βράζον, ἁρπάσασα τοῦτο ἀπὸ τοῦ ἀνωγαίου B. 13. ἐπὶ om A. ὅπερ] καὶ ὅπερ A. 15. φελύρας A. 16. καὶ] τε καὶ A. 17. ἠγριωμένας] ἐμβριμωμένας A. 18. πεπονθώς] παθὼν A.

mentis hominum et pecudum foedatas in faciem eius expresserunt, alii verbis obscoenis parentes eius insectati sunt. erant et qui verubus latera eius pungerent, impudentiores quidam lapidibus coniectis rabidum canem eum appellabant. scortum quoddam impudens ollam ferventi aqua plenam e culina raptam in faciem eius effudit. nemo denique erat quin malefaceret Andronico. ita ignominiose in theatrum ridiculo triumpho perductum, ac misero illo camelo detractum, iuxta duas columellas quibus superne lapis incumbit, prope aeneam lupam et hyaenam, quae inflexis cervicibus quasi altera in alteram impetum factura concitatae astant, pedibus suspendunt fune alligatis. tot mala perpessus, et alia sexcenta quae praetermisimus, tamen generoso adhuc animo illata mala tolerabat, ac mente integra ad affluentem turbam et iacientem conversus, nihil dicebat aliud nisi

βάλλοντας ἐπιστρεφόμενος ἄλλο μὲν οὐδὲν ἐφθέγγετο εἰ μὴ τὸ „κύριε ἐλέησον" καὶ „ἵνα τί κάλαμον συντετριμμένον προσ-
C επικλᾶτε;" ἀλλ' οὐδὲ μετὰ τὴν ἐκ ποδῶν ἀπαιώρησιν οἱ ἀνούστατοι ὄχλοι τοῦ πολυπαθοῦς ἀπέσχοντο Ἀνδρονίκου ἢ φειδὼ τῶν ἐκείνου σαρκῶν ἔλαβον, ἀλλὰ περιελόντες τὸ χιτώνιον κακῶς ἐτίθουν τὰ παιδογόνα μόρια. ἀνόσιος δέ τις καὶ διὰ τοῦ φάρυγγος εἰς τὰ ἔγκατα ἐπίμηκες ξίφος ἔβαψε. τινὲς δὲ τῶν ἐκ τοῦ Λατινικοῦ γένους καὶ κατὰ τῆς ἐξέδρας ἀκινάκην ἀμφοτέραις ἐπήρεισαν, καὶ περιστάντες κατέφερον τὰ ξίφη, ὁποῖόν ἐστι τμητικώτερον ἀποπειρώμενοι, καὶ τῇ τῆς χειρὸς κατακομπάζοντες δεξιότητι διὰ τὸ ἀξιόλογον τῆς πληγῆς. καὶ μετὰ τοσαῦτα μογήματα καὶ παθήματα μόλις ἀπέρρηξε τὴν ζωήν, τὴν δεξιὰν χεῖρα μετ' ὀδύνης ἐκτείνας
D καὶ περιαγαγὼν οὕτω τῷ στόματι, ὥστε καὶ τοῖς πολλοῖς ἔδοξεν ἐκμυζᾶν τοῦ ἐκ ταύτης ἔτι θερμοῦ ἀποστάζοντος αἵματος διὰ τὸ νεαρὸν τῆς τομῆς.

13. Ἦρξε δ' ἐνιαυτοὺς δύο, καὶ ἕνα τῶν πραγμάτων κύριος ἐγεγόνει τηβέννης ἄνευ καὶ ἀρχικοῦ διαδήματος. ἦν δὲ τὴν τοῦ σώματος φυὴν εὐφυής, ἀγητὸς τὸ εἶδος, ὄρθιος ἀναβαίνων, τὴν ἡλικίαν ἡρωϊκός, κἂν τῷ βαθεῖ γήρᾳ τὴν ὄψιν νεοειδής, ὑγιεινότατός τε ἀνθρώπων, ὅτι μηδ' ὀψοφάγος περισσὸν ἦν καὶ ἀκρατῶς ἔχων κοιλίας ὡς ζωροπότης καὶ

2. προσεπικλᾶτε] τζακίζετε B. 6. ἀνόσιος] ἕτερος δέ τις ἀνόσιος ἀπὸ τοῦ στρατεύματος βυτζομάχαιρον κρατῶν γυμνὸν μέχρι τῶν ἐγκάτων αὐτοῦ ἔβαλε B. 13. ζωήν] ψυχήν A. 14. ὥστε] καὶ ἀποσφουγγίζων δῆθεν δι' αὐτῆς τὸ καταρρέον αἷμα ἐκ τοῦ στόματος αὐτοῦ B. 22. περισσὸν om A. οἱ ζωροπόται καὶ τένθαι A.

„domine miserere" et „quid calamum contritum infringitis?" caeterum dementissima populi turba ne tum quidem afflictissimo pepercit Andronico, postquam pedibus suspensus fuit, sed direpta tunicula virilia eius vexavit. et quidam homo nefarius longum ensem per fauces eius usque ad intestina adegit. duo vero Latini generis enses, ambabus annixi manibus, in nates eius adegerunt, ut periculum facerent uter esset acutior, ictus dexteritate gloriati. post tot aerumnas et clades aegre vitam abrupit, dextera cum dolore ad os admota, ut multi putarent eum calidum ex ea sanguinem ob recentem plagam adhuc distillantem exugere.

13. Imperavit annos duos, unum vero rerum potitus est sine purpura et regio diademate. habitu corporis egregio fuit, aspectu venerabili, erectus, statura heroica, etiam extrema aetate iuvenili facie, corpore omnium saluberrimo, quia neque delicatus neque vo-

τένθης, ἀλλὰ κατὰ τοὺς Ὁμηρικοὺς ἥρωας μάλιστα τοῖς ὀπτοῖς προσέκειτο τῷ πυρί, ὅθεν οὐδ' ἐρυγγάνοντά τις αὐτὸν ἐθεάσατο. ἀλλ' εἴ ποτε πλημμελῶς εἶχε στομάχου, πανημερίῳ μόγῳ τε καὶ νηστείᾳ καὶ τὸ βραχέως ἐνοχλοῦν ἀπεκρούετο, ψωμῷ ἄρτου καὶ οἴνου κεράσματι κλινούσης τῆς ἡμέρας ἐπιμετρῶν τὴν θεραπείαν τοῦ σώματος. οὐκοῦν οὐδ' ἀντιδότῳ ἐχρήσατο πώποτε εἰ μὴ ἅπαξ ἐν τῇ βασιλείᾳ, καὶ τότε τῶν ἰατρῶν εἰς τοῦτο ἐποτρυνάντων ἄκοντα, φαμένων, εἰ καὶ μὴ δι' ἐνσκήψασαν καχέκτησιν, ἀλλ' οὖν προφυλακῆς χάριν τὸ P. ἀνύσιμον χρεὼν προσενέγκασθαι φάρμακον. πιὼν τοίνυν τὸ καθάρσιον βράδιον καὶ περὶ δύνοντα ἥλιον ἀπεκένωσέ τι τοῦ ἐν φλεψὶ περιττώματος, ὥστε καὶ πρὸς τοὺς φάσκοντας τῶν ἑταίρων ἐπ' ἐκείνῳ οἴεσθαι πάντας τὸ παλαίφατον λελέχθαι τοῦτο χρησμῴδημα „δρεπανηφόρε, τετράμηνόν σε μένει," ἐπιμειδιῶν ἔλεγε διαψεύδεσθαι προδήλως· αὐτὸς γὰρ καὶ ἐνιαυτὸν ὅλον νοσηλείᾳ παντοίᾳ τοῦ σώματος διαρκέσειεν ἂν προσπαλαίων, τῷ ῥωμαλέῳ πεποιθὼς τοῦ σώματος, καὶ φανταζόμενος, ὡς ἔοικεν, ὡς μαλακῷ θανάτῳ δαμήσεται καὶ εἰρηνικῷ τέλει συμπερανεῖ τὴν ζωήν, τὴν δ' ἐναντίαν τελευτὴν ἢ ἑκὼν B ἀποπροσποιούμενος ἢ μὴ κατὰ νοῦν ὅλως βαλλόμενος. καίτοι λόγος διαρρέων καὶ ἐς ἡμᾶς ἵκετο, ὡς ἵππων ἀγομένης ἁμίλλης ἐκτείνας τὴν χεῖρα Ἀνδρόνικος δακτύλῳ ὑπέδειξε τῷ ἐξαδέλφῳ καὶ βασιλεῖ Μανουὴλ τοὺς κίονας ὧν αὐτὸς μέσον

4. μόγῳ τ. κ. νηστ.] γυμνασίᾳ καὶ ἀσιτίᾳ A. 7. ἅπαξ] μίαν φορὰν A. 13. πάντας] τοὺς πολλοὺς A. τουτὶ λελέχθαι A. 15. καὶ et τοῦ ante σωμ. om A. 18. μαλθακῷ A.

rax neque bibax erat, sed ut Homerici heroes, assa plerumque vescebatur. unde nemo eum ructantem audivit. si quando ex stomacho laborabat, totius diei exercitatione et ieiunio vel exiguum fastidium propulsabat. die ad occasum vergente frusto panis et modico vino corpus recreabat. antidoto per omnem aetatem nunquam usus est, nisi dum imperavit semel, idque invitus, hortatu medicorum, quod, ut habitudo corporis adhuc integra esset, tamen ad morbos in posterum praecavendos medicina prodesset. purgatione exhausta sero sub occasum solis nonnihil redundantium in venis humorum egessit. itaque cum amici dixissent vetus illud oraculum ad eum pertinere: „te quadrimestre, falcifer, tempus manet," arridens omnino eos falli respondit (se enim omnis generis morbis vel annum integrum resistere posse), viribus corporis fretus, falsaque spe, ut apparet, concepta, se leni morte et tranquilla obiturum, violento interitu vel ultro dissimulato vel plane non cogitato. quanquam accepimus eum ludis Circensibus extensa manu imperatori Manueli patrueli

ἀνήρτηται, εἰπὼν ὡς ἐκεῖσε μέλλει ποτὲ βασιλεὺς Ῥωμαίων ἀπαιωρηθῆναι κακῶς παθὼν ὑπὸ τοῦ τῆς πολιτείας πληρώματος· τὸν δὲ πρὸς τὴν Ἀνδρονίκου διήγησιν ἀποκρίνασθαι ἀλλ' αὐτὸς τέως οὐκ ἐσεῖται ὁ τοῦτο πεισόμενος. καὶ τοιοῦτο μὲν τέλος θανάτου κατείληφε τὸν Ἀνδρόνικον, ἐξάπινα εἰς ἐρήμωσιν ὡσεὶ καὶ ἐνύπνιον ἐξεγειρομένου γεγενημένον, καὶ ἐν τῇ πόλει τὴν οἰκείαν ἐξουθενωμένον εἰκόνα, εἴτε τὸν
C τοῦ προσώπου χαρακτῆρα βούλοιτό τις οὕτω νοεῖν εἴτε τὰ ἐπὶ τῶν τοίχων καὶ σανίδων εἰκάσματα, ἐπεὶ καὶ ταῦτα ὁ πολὺς κατηχρειώκει λεὼς καὶ διεσκεδάκει πρὸς γῆν καὶ ἐλέπτυνεν ὡς οὐδ' οἱ περὶ Μωσέα πρότερον ἀφορισθέντες τὸ χω-
V. 186 νευθὲν ἐν μέθῃ ταυρόκρανον. μεθ' ἡμέρας δέ τινας καθαιρεθεὶς τοῦ οἰκτροτάτου ἐκείνου ὑψώματος ὅσα καὶ πτῶμα θρέμματος ἐν μιᾷ τῶν τῆς ἱπποδρομίας ἀψίδων παραρριπτεῖται. ἐσύστερον δέ τινες μερίδα τῷ ἐλέῳ διδόντες καὶ μὴ πάντα τῷ θυμῷ χαριζόμενοι, ἐκεῖθεν τὸν Ἀνδρονίκου νεκρὸν ἀνελόμενοι παρά τινι κατωτάτω τόπῳ ἔθεντο περί που τὴν Ἐφόρου μονήν, ἣ κατὰ τὸ Ζεύξιππον ἵδρυται, ὃ καὶ εἰσέτι
D μὴ πάντῃ διαλυθὲν τῆς ἁρμονίας τοῖς βουλομένοις ὀπτάνεται. ὁ γὰρ ἀμεμφής, ὡς ᾤετο, τὰ πάντα καὶ δίκαιος Ἰσαάκιος οὐ κατένευσε καθαιρεθῆναι καὶ ταφῇ παραδοθῆναι Ἀνδρόνικον, ἢ ἀπενεχθῆναι τὸν τούτου νεκρὸν εἰς τὸν τῶν ἁγίων τεσσαράκοντα νεών, ὃν Ἀνδρόνικος πεποίηκε φιλοτίμως

1. ἀνήρτητο A. μέλλει] μένει A. 2. ἀπαιωρηθῆναι] ἀναφθῆναι A. 3. ἀφήγησιν A. 4. ἔσται ὁ τότε A. 8. νοεῖν] καλεῖν A. 14. ἀψίδων] καμαρῶν B. ἀπέρριπται A. 18. εὐφόρου P. 20. ὡς] ὡς οὐκ A.

suo duas illas columnas, intra quas suspensus est, digito monstrasse, ac dixisse fore ut aliquando Romanorum imperator, multa prius a populo perpessus, intra eas suspenderetur. illum vero respondisse id sibi non usuventurum esse. ac talis vitae exitus oppressit Andronicum subito destitutum et velut e somno experrectum, imagine eius in ipsa urbe ad nihilum redacta, sive quis faciem eius intelligat, sive statuas et picturas in tabulis et parietibus. nam eas quoque vulgus perdidit dissipavit et comminuit, non secus ac olim Moses bovem illum per ebrietatem conflatum contrivit. post dies aliquot ex alto illo miserabili detractus et in theatri fornicem quendam ut bestia proiectus, iacuit donec quidam humanitate adducti, nec irae nimium indulgentes, cadaver eius inde sublatum iuxta Ephori monasterium, quod ad Zeuxippum est, in quodam infimo loco posuerunt; idque compage nondum penitus dissoluta adhuc spectare licet. nam Isaacius imperator, criminis expers et iustus, ut

καὶ λαμπροῖς ἠγλάϊσε κόσμοις καὶ ἀναθήμασι περιττοῖς κατεκάλλυνε, καὶ ἐν ᾧ τὸν τοῦ σώματος χοῦν ἀποθησαυρίσαι προεμηθεύσατο.

Ἐκλείπων δὲ ἦν τὴν ψυχὴν εἰς τὰς τοῦ θεοκήρυκος Παύλου ἐπιστολάς, καὶ συνεχῶς τοῦ ἐκ τούτων ἀποστάζοντος ἐνεφορεῖτο μέλιτος, καὶ ἄριστα ἐπιστέλλων ἐκ τῆς αὐτῶν πειθανάγκης τὰ οἰκεῖα περιέβαλλεν ἐπιστόλια. ἀμέλει τοι καὶ ἀρχαίας χειρὸς εἰκόνα τοῦ πνευματορρήτορος Ταρσέως κόσμῳ λαμπρύνας :τῷ. ἐκ χρυσοῦ ἀνέθηκε τῷ ῥηθέντι ναῷ· ἡ δὲ τῆς Ἀνδρονίκου καταστροφῆς .ἐγγιζούσης τῶν ὀφθαλμῶν ἀπεστάλαττε δάκρυον. τοῦτο δ' ἀκηκοὼς Ἀνδρόνικος στέλλει P. 2 τοὺς ἀκριβωσομένους τὰ τῆς ἀκοῆς. ἦν δὲ μεθ' ἑτέρων εἰς τοῦτο ἐπιλεγεὶς καὶ ὁ Ἁγιοχριστοφορίτης Στέφανος, ὃς καὶ διὰ βαθμίδος ἀνελθὼν (ἦν γὰρ ἡ εἰκὼν μετέωρος) ἀπέψησεν ὑφάσματι ἀκηράτῳ τὰς τοῦ Παύλου κόρας. αἱ δὲ κατὰ τὰς διασμιωμένας κρήνας ἔτι πλεῖον τὸ δάκρυον ἐξεκένουν. καὶ θαυμάσας ὃ ἑώρακεν Ἀνδρονίκῳ ἀπιὼν διηγήσατο. ὁ δὲ μέγ' ὀχθήσας καὶ τὴν κάραν ἔνθεν καὶ ἔνθεν ταλαντεύσας ἐπέμυξε, καὶ εἴρηκεν ἐπ' αὐτῷ ἄρα δακρύειν ἐοικέναι τὸν Παῦλον, καὶ κακὸν αὐτῷ χείριστον προσημαίνειν τὸ ἀγγελλόμενον· φιλεῖν γὰρ ἐκθύμως τὸν Παῦλον καὶ τῶν αὐτοῦ ῥημάτων ἄκρως ἐξέχεσθαι, καὶ ἀντιφιλεῖσθαι δήπουθεν ὑπὸ Παύλου.

2. ἀποθησαυρίσαι] ἀποθέσθαι A. 6. καὶ ἄριστα] καὶ εἰ ἐμελέτα γράψαι καὶ πρός τινας ἀναγκαῖα προστάγματα, ἀπὸ τῶν τοῦ μεγάλου παύλου ἐπιστολῶν τὰς ἀρχὰς ἐτίθει B. αὐτῶν] τούτων A. 13. καὶ διὰ] καὶ σκάλαν θεὶς B. 18. κ. ἱκανῶς τ. ἐπεστέναξε A.

putabat, non annuit ut id sublatum sepeliretur aut in Sanctorum quadraginta aedem transferretur, quam Andronicus ea de causa studiose condiderat et exornarat.

Pauli divini praeconis epistolas supra modum amavit, et melle inde promanante subinde est refectus, et litteras suas elegantissimas inde ad persuadendum efficacius instruxit. imago vero caelestis illius oratoris, antiquae manus opus, quam auro exornatam in illa aede reposuit, imminente ei exitio lacrimavit. quo is audito explorari iubet an verum sit. ad id ministerium praeter caeteros Hagiochristophorita Stephanus delectus per gradus ascendit (nam in sublimi pendebat imago), Paulique pupillas purissimo linteolo abstersit; quo facto lacrimae magis etiam tanquam ex fonte exuberarunt. quod ubi cum admiratione retulit, Andronicus gravi dolore perculsus et diu agitato capite cum gemitu dixit Paulum videri sua causa lacrimasse, ac gravissimam sibi cladem impendere. se enim ex animo amare Paulum et eius dicta maximi facere, et a Paulo utique redamari.

Ἵνα δὲ συνελὼν εἴπω τὸ πᾶν, εἰ τοῦ ἐντόνου τῆς B ἀπηνείας ὑπεχάλα Ἀνδρόνικος μηδ' εὐθὺς ἐπῆγε τὸν καυτῆρα καὶ τὴν τομήν, ἀεὶ ῥανίσιν αἱμάτων συνδιαπλέκων καὶ διαχρώζων τὸ ἀρχικὸν ἀμπεχόνιον τῷ ἀπαραίτητος εἶναι πρὸς κόλασιν, ὅπερ ἐκ τῶν ἐθνῶν οἷς προσέμιξεν ἀπεμάξατο πολυπλανέστατος ἀνθρώπων γενόμενος, ἦν ἂν οὐκ ἐλάχιστος ἐν τοῖς ἐν Κομνηνῶν ἄρξασιν, ἵνα μὴ λέγω ὡς ἐν ἴσῃ τῇ σταθμῇ καὶ πάντῃ ἰσόρροπος, ἐπειδή περ ἦν κἀκ τούτῳ συλλέγειν ἀνθρώπινα ἄττα μέγιστα ἀγαθά· οὐ γὰρ πάντῃ ἀπηνθρώπιστο, ἀλλὰ κατὰ τὰ διφυῆ ἀναπλαττόμενα μορφώματα θηριωδίας μετέχων καὶ βροτείῳ εἴδει ἐκέκαστο.

Περὶ δ' Ἀνδρονίκου καὶ ἕτεροι τὸ μέλλον αὐτῷ προφοιβάζοντες ἰαμβεῖοι στίχοι βίβλοις ἐμφέρονται καὶ στόμασι πολλῶν περιᾴδονται, σὺν ἄλλοις δὲ καὶ οὗτοί εἰσιν.

C αἴφνης δ' ἀναστὰς ἐκ τόπου πλήρους πότου
ἀνὴρ πελιδνός, ἀγέρωχος τὸν τρόπον,
στυγνός, πολιός, ποικίλος χαμαιλέων,
ἐπεισπεσεῖται καὶ θερίσει καλάμην.
πλὴν ἀλλὰ καὐτὸς συνθερισθεὶς τῷ χρόνῳ
ἐσύστερον τίσειεν ἀθλίας δίκας

3. προσδιαπλέκων A. 4. πρὸς] εἰς A. 5. πολύπλαγκτος A 10. ἀναπλαττόμενα] ἀναφυόμενα A. 11. βροτείῳ] ἀνθρωπείῳ A. 12. περὶ δὲ τοῦ τοιούτου Ἀνδρονίκου καὶ οὗτοι ἰαμβικοὶ στίχοι ἐν τοῖς βασιλογραφείοις μετὰ τῶν ἄλλων γράφονται οὕτως. B. 15. πλήρης A. 16. τὸν τρόπον] τὴν κλῆσιν B. 17. στυγνός] στικτός B. 20. ἀθλίως A.

Sed ut rem in pauca conferam: si de saevitia nonnihil remisisset Andronicus, neque statim ad sectiones et ustiones properasset, neque vestes imperatorias inexorabili saevitia subinde polluisset (quo veluti contagio crudelitatis ex multiplicibus erroribus apud barbaras gentes infectus est), non minimus inter Comnenios imperatores fuisset, ne dicam eum nemini quicquam de palma fuisse concessurum. nam ex eo quoque maxima bona colligi poterant. neque enim penitus hominem exuerat, sed, ut Centauri, partem belluae habebat et humano vultu ornatus erat.

De Andronici exitu cum alii iambici versus et in libris reperiuntur et multis in ore sunt, tum hi.

vinosis impiger profectus ex locis
vir lividusque et insolentis ingeni,
canus, severus, multiplex Chamaeleon,
ruet et recurva culmos falce demetet.
sed tem... ipsum denique haud minus metet,

ὧν περ κακῶς ἔπραξεν ἐν βίῳ τάλας·
ὁ γὰρ φέρων μάχαιραν οὐ φύγῃ ξίφος.

πλήρη δὲ πότου τόπον τὸ Οἴναιον ὑπεμφαίνουσιν, ὡς δηλοῖ καὶ τὸ τῆς χώρας προσώνυμον, ἐξ οὗ περ Ἀνδρόνικος ἀπάρας, ὡς ἤδη ἐρρέθη μοι, πρὸς Κωνσταντίνου πόλιν παρεγένετο.

3. ὡς — προσώνυμον om A.

miserque scelerum poenas haud leves dabit.
non parcet ensi namque dirus ensifer.

vinosa vero loca Oenaeum designant: unde Andronicus, ut iam dictum est, Cpolim venit.

ΒΑΣΙΛΕΙΑ ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΑΓΓΕΛΟΥ.

P. 228 1. Ἀπραγμόνως δ' οὕτω τὴν βασιλείαν παραλαβὼν Ἰσαά-
V. 187 κιος ὁ Ἄγγελος, καὶ τῷ τοῦ Ἁγιοχριστοφορίτου αἵματι ὡς
P. 229 εἰπεῖν αὐτὴν ὠνησάμενος, ἐκ τοῦ μεγάλου παλατίου εἰς τὰ ἐν Βλαχέρναις ἀφικνεῖται ἀνάκτορα, καὶ εἰς ἑαυτὸν οὐκ ὀρθῶς ἕλκων τὰ ἔπη καὶ οἰκειούμενος καὶ ἀνὰ στόμα φέρων διὰ παντὸς ἃ περὶ τοῦ βοοσχήμονος βασιλέως ἐκπεφώνηται καὶ διεξίασιν οὑτωσί

„τὸ σχῆμα φαίνει τὸν τόπον καὶ τὸν τρόπον,
ὅθεν μολήσας οἷος ὀφθείς μοι φίλος.
πρώτας γὰρ ἔχεις ἀρετὰς ἄλλων πλέον,

3. ἀπραγμόνως] ἀπροσδοκήτως δὲ οὕτως ἀταράχως καὶ ἀνελπίστως τὴν B. 5. εἰς] πρὸς A. 9. διέξεισιν A. 11. nonne ὤφθης? 12. πρῶτον B.

IMPERII ISAACII ANGELI

LIBER PRIMUS.

1. Imperium hoc modo, fere citra negotium, Hagiochristophoritae sanguine quodammodo partum, consecutus Isaacius Angelus ex magno palatio in Blacherniam regiam transit, versibus illis, quos subinde in ore habebat, haud recte ad se accommodatis, qui de tauriformi imperatore sic loquuntur.

figura mores nec minus locum notat,
unde advenisti. conspectu ut laetor tuo?
virtute multo caeteris praestantior,

καὶ σωφρονίζεις σωφρονῶν τοὺς φιλτάτους.
ὅθεν τέτευχας χρηστοτάτου τοῦ τέλους
μόνος ἀναχθεὶς ἐξ ἀνακτόρων κλέος,
καὶ τῷ νεκρῷ κράτιστε λιπὼν τὸ κράτος·
ὡς ἐν βραχεῖ γὰρ εὐτυχήσεις τὸ κράτος" B

ἀρίστως τὸν δίκαιον ὑπεκρίνετο. τῷ ἐλέῳ τε γὰρ τῶν ἐνδεῶν V. 188 ἤλειφε πλησμίως τὴν κεφαλὴν βασιλεύσας, καὶ τῶν ταμιείων ἔνδον ὡμίλει τῷ ἐν κρυπτῷ βλέποντι πατρὶ καὶ θεῷ· ἀθροίσας δὲ καὶ τοὺς ἐν ἐξορίαις κακουχουμένους καὶ ὅσους Ἀνδρόνικος ἢ τῆς οὐσίας ἐψίλωσεν ἢ ἐς σῶμα διελωβήσατο, εὖ ἐποίει ἱκανῶς, οὐκ ἀποδιδοὺς μόνον εἴ τι τῶν πάλαι προσόντων αὐτοῖς οὐκ ἠφάνιστο, τῇ βασιλικῇ γάζῃ στεγόμενον, ἢ παρ' Ἀνδρονίκου βραβευθὲν ἑτέροις εἰσέτι περιελέλειπτο, ἀλλὰ κὰκ τῶν ἀρχικῶν θησαυρῶν προσπαρέχων καὶ φιλοτίμῳ χειρὶ δεξιούμενος. ὃ καὶ τὸν κατὰ τῶν Ἰταλῶν κατεύθυνε πόλεμον, οἳ Θετταλίαν τε εἶχον ἤδη καὶ Ἀμφίπολιν παρεστήσαντο, καταθρασυνόμενοι ἀνέδην καὶ αὐτῆς τῆς μεγαλοπόλεως τῆς περιωνύμου, καὶ C μεγαλαυχοῦντες τῷ κατά τε γῆν κατά τε θάλατταν αὐτὴν διαλαβεῖν ῥᾷον καὶ ὡς ἐρήμην καταλήψεσθαι νοσσιὰν καὶ σκυλεύσειν ἀταλαιπώρως βραχυημέρῳ πάνυ καιρῷ. οἱ γὰρ ἄνθρωποι τὴν Ἰσαακίου ἀρχὴν ὡς ἐκ χειμῶνος εἰς ἔαρ μετάβα-

3. μόνος — κλέος om A. 5. ὡς] γοῦν B. 7. τῶν ταμιείων] ἔνδοθεν τοῦ κελλίου αὐτοῦ B. 8. ἐν] ἐν τῷ A. 12. τῇ βασ.] ἐν τῷ βασιλικῷ βεστιαρίῳ B. 13. ἀλλὰ καὶ ὅσα ἐχαώθησαν καὶ ἐκαινοτομήθησαν B. 15. κατὰ λατίνων A. 16. καὶ Ἀμφίπολιν] καὶ μέχρι ποπολίας καὶ βολεροῦ ἐλθόντων B. 18. τῷ om A. 19. ῥᾷον] καὶ ῥαδίως A.

modeste leniterque castigas tuos.
hinc consecutus exitum prosperrimum,
decusque solus ductus ex palatio,
relicto mortuo potentia brevi:
te namque regni prosperi manet decus.

nam iustitiam quidem optime assimulavit, ac imperio potitus omnibus egentibus benefecit, et in abdita cella solus adoravit patrem et deum qui in occulto videt. erga eos etiam qui in exilio affligebantur aut ab Andronico bonis spoliati aut mutilati erant, benignitate usus est, non iis tantum restitutis quae adhuc vel in aerario vel aliis donata supererant, sed ex thesauris etiam liberaliter adiecta pecunia. quae res effecit ut cum Latinis felicius bellum gereretur, qui Thessaliam iam tenebant et Amphipolim subegerant et insolenter ipsam Cpolim affectabant, quam se terra marique obsessam, facile ut vacuum nidum occupaturos et citra laborem perexiguo tempore spoliaturos gloriabantur. nam homines Isaacii imperio quasi vere post hie-

σιν ἢ γαλήνην ἀπὸ ζάλης θεασάμενοι σταθερὰν ἐκ τῶν ἁπανταχῇ Ῥωμαϊκῶν συνέρρεον χωρῶν, οὐ μόνον ὅσοι πρώην ὡπλίτευον ἀλλὰ καὶ οἳ ἀπόμαχοι πάλαι ποτὲ ἦσαν, καὶ αὐτοὶ δὲ οὐχ ἧττον ἠΐθεοι, οἱ μὲν ὀψόμενοι μόνον τὸν ἐλευθερωτὴν Μωσῆν καὶ τὸν ἐπανάγοντα Ζωροβάβελ τὴν αἰχμαλωσίαν Σιὼν (οὕτω γὰρ αὐτοῖς ἐκρίνετο Ἰσαάκιος), οἱ δὲ ἀποληψόμε-
D νοι τὰ συνήθη τοῖς στρατευομένοις ὀψώνια, τινὲς δὲ καὶ στρατολογηθησόμενοι καὶ κατὰ τῶν Σικελῶν ἀνδρισόμενοι. ὡς δὲ δήλη γέγονεν ἡ Ἀνδρονίκου καταστροφὴ τοῖς κατὰ τὴν Φιλίππου ἐπαρχίαν τῷ βασιλεῖ συναπάρασιν Ἰωάννῃ τῷ Ἀνδρονίκου παιδί, παραχρῆμα καὶ αὐτὸς συλληφθεὶς τὰς κόρας ἐκκόπτεται καὶ καταστρέφει τὴν ζωὴν ἐπωδύνως, ὑπομείνας παρακαλοῦντα, καὶ μὴ εὑρών, καὶ συλλυπούμενον, καὶ μὴ ἰδών. καὶ ὁ ἀδελφὸς δέ οἱ ὡσαύτως Μανουὴλ συσχεθεὶς ἐκτυφλοῦται, κατὰ μηδὲν αὐτῷ ἐπαρκέσαντος τοῦ μηδ' ὅλως τοῖς πατρικοῖς συντίθεσθαι ἀνομήμασι, καὶ συνειδέναι τοῦτο ἀκριβέστατα οὐ μόνον τοὺς ἐν ἀγορᾷ στρεφομένους ἀλλὰ καὶ αὐτὸν ἁπάντων μάλιστα Ἰσαάκιον, ὃς ἐστέρησε τὸν ἄνδρα τοῦ φωτός.

P. 230 Ἰδὼν δὲ Ἰσαάκιος τὴν ἐκ τῶν ἑῴων πόλεων συνδρομὴν τοῦ λεὼ ἱκανὴν συνάρασθαί οἱ κατὰ τῶν ἐκ Σικελίας ἐχθρῶν,

2. ὅσοι] οἳ τὴν συνήθη ῥόγαν εἶχον, ὡς ἂν καταγραφῶσιν ἐν τῷ βιβλίῳ τῆς ἀπογραφικῆς στρατιᾶς τε καὶ τάξεως ἀλλὰ καὶ πολλῷ πλέον ἕτεροι, ὡς ἂν καὶ οὗτοι ῥογευθῶσι καὶ ἀπέλθωσι κατὰ τῶν φράγγων τῶν τὰς ῥωμαϊκὰς κουρσευόντων χώρας B. 11. αὐτὸς ὁ Ἰωάννης συλλ. A. 13. μὴ] οὐκ ἰδ. A. 16. ἀκριβέστατα] σαφέστατα A. 20. τοὺς ἐκ τ. ἑ. π. συντρέχοντας ἱκανοὺς ἐς τὴν κατὰ Σικελῶν σύναρσιν A, τὸ πλῆθος τὸ συνδραμὸν ἀρκετὸν ὂν πρὸς ἀντιπολέμησιν τοῦ σικελικοῦ στρατοῦ B.

mem et tranquillitate post tempestatem exhilarati, ex omnibus provinciis confluebant, nec ii tantum qui tum militabant, sed homines etiam bello desueti pridem et adolescentes, alii ut liberatorem Mosem et Zorobabelem captivitatis Sioniae reductorem tantum viderent (talis enim habebatur Isaacius), alii ut stipendia militaria de more acciperent, quidam ut nomina militiae darent et Siculos fortiter propulsarent. ut autem ii qui cum imperatore Iohanne Andronici filio in Philippicam provinciam abierant, interitum Andronici cognoverunt, etiam Iohannes effossis oculis magno cum dolore interit, sine ulla cuiusquam commiseratione et consolatione. eodemque modo frater eius Manuel excaecatur, quanquam paternis iniuriis nequaquam assensus; idque non circumforanei modo homines sciebant, sed et ipse Isaacius omnium maxime, qui eum lumine privavit.

-s qui ex Oriente concurrebant, cum ad Siculos propulsandos multos cerneret, et cupide suscepit et pro virili muneribus et

αὐτούς τε ἀσμένως εἰσῳκίζετο, καὶ δωρεαῖς εὐφραίνων ὅση δύναμις καὶ ὁπλοδοτῶν εἰς τὸ μετὰ τοῦ Βρανᾶ στρατόπεδον ἐξαπέστελλε, καὶ τοῖς λοιποῖς δὲ Ῥωμαϊκοῖς τάγμασιν ὁπόσα ἐθυραύλει τοῖς πολεμίοις ἀντιφερόμενα, ἔπεμψε τὰ βασιλικὰ σιτηρέσια καὶ ἔτι μᾶλλον πρὸς τὸν ἀγῶνα ἐπέρρωσε τὸν προκείμενον, ποσωθέντα εἰς χρυσίου κεντηνάρια τεσσαράκοντα. αὐτὸ μέντοι τὸ ἐκ Σικελίας ἀντίμαχον μήπω τὰ κατ' Ἀνδρόνικον ἐνωτισάμενον εὐθαρσῶς τῆς ἐς τὰ πρόσω πορείας εἴχετο, πέρας τῶν μόχθων τῆς ὁδοιπορίας τὴν Κωνσταντίνου θέσθαι διανοούμενον. καὶ ὁ στόλος δὲ ἀναπλεύσας ταῖς νήσοις προσ- B ώκειλεν αἳ ἄγχιστά που τῆς πόλεως ἀμφιρρέονται. ἀλλ' ὁ τοὺς γίγαντας μὴ ἐν πλήθει ἰσχύος αὐτῶν καὶ ἅρμασι καὶ ἵπποις σώζεσθαι ἀφιείς, τοῖς δὲ ταπεινοῖς καὶ προσηνέσι χάριν ἐπισταλάττων, οὗτος τοὺς ὑψαύχενας ἔσφηλε, καὶ ὡς πρώην ἐπὶ τῶν πυργοποιούντων αὖθις ἀτεχνῶς καταβὰς οὐ συνέχεε μὲν τὰς γλώσσας αὐτῶν, εἰς δὲ τρισσούμενα τούτους καταδιεῖλε τμήματα. τὸ μὲν γὰρ τὴν τῶν Θετταλῶν προκαθημένην πόλιν ἐλάθη φρουρεῖν καὶ ἔμενε κατὰ χώραν μετὰ νηῶν ταχυναυτουσῶν, τὸ δὲ τὰς Σέρρας ἔκειρε περιιὸν ἀδεῶς· τὸ δὲ τρίτον τοῦ πρόσω ἐχόμενον οὐδ' αὐτὸ καθαρῶς ἦν ἀδιαίρετον, ἀλλ' ὃ μὲν τοῦ Στρυμόνος ἔπινε καὶ ἐλούετο, φθεῖρον τὰ κατ' Ἀμφίπολιν, ὃ δὲ προπορευόμενον γεγηθὸς C

3. καὶ τοῖς] καὶ τοὺς πρώην εἰς τὴν ῥόγαν ἀποτεταγμένους καὶ ἐρόγευσε καὶ ἐφιλοτιμήσατο καὶ προεθυμοποίησε· τεσσαράκοντα γὰρ κεντηνάρια χρυσίου ἐξοδιάσθησαν εἰς ῥόγαν καὶ εὐεργεσίαν τοῦ στρατοῦ B. 13. ἀφ. καὶ τοῖς ταπεινοῖς χ. A. 15. ἀτεχνῶς] ἄντικρυς A. 18. μετὰ καὶ κατέργων γοργῶν B.

armis ornatos in Branae castra misit. ac caeteras etiam Romanas legiones, quae contra hostes in procinctu erant, stipendiis missis, quae ad XL centenarios auri conficiebant, ad instans discrimen alacriores fecit. caeterum hostes Siculi nondum audito casu Andronici confidenter pergebant, praestituto fine laborum itineris ipsa Cpoli. classis quoque ad insulas urbi proximas appulit. sed is qui gigantes ingentibus viribus curribus et equis salvos esse non sinit et humilibus gratiam instillat, homines elatos labefecit; et ut olim contra turris aedificatores, ita contra hos etiam descendit, ac linguas eorum haud sane confudit, sed exercitum in tres partes divisit, quarum una ad Thessalonicae custodiam cum expeditis navibus relicta est, altera Serranum agrum impune vastavit; tertia quae ulterius pergebat, ne ipsa quidem plane indivulsa, partim iuxta Strymonem versabatur et Amphipolitanum agrum vastabat, partim alacriter antecedens et urbis ingressum anticipans iuxta Mosynopolim castra habebat. et quia

189 καὶ οἷον προαρπάζον τὴν εἰς τὴν βασιλεύουσαν εἴσοδον κατὰ
Μοσυνόπολιν ἐστρατοπεδεύετο. ἀεὶ δὲ νικῶντες καὶ μηδένα
τὸν ἐς χεῖρας ἔχοντες ἐπιόντα ἀπερισκέπτους ἔδρων τὰς ἐκ-
δρομὰς καὶ κατὰ ἴλας ἀποδιίσταντο, καὶ ἄλλος ἄλλοθι,
ὥσπερ ἑκάστῳ φίλον, ἀπεσκεδάννυντο, εἴ ποτε δεήσειεν ἐξιέναι
τῆς Μοσυνοπόλεως ἐπὶ ληϊσμῷ καὶ τῷ τὰ ἐπιτήδεια εἰσενέγκα-
σθαι. (2) φυλάξας τοίνυν ὁ στρατηγὸς Βρανᾶς τὰ παρὰ τῶν
βαρβάρων ὡδέ πη γινόμενα, τὴν στρατιὰν ἐπάγει κατὰ και-
ρόν, μόλις πείσας ἀποστῆναι μικρὸν τῶν ὀρέων καὶ βαδίσαι
ποτὲ καὶ πεδίον ἱππήλατον. καὶ ὡς ἤνυσάν τι χρηστὸν ἐκ
D πρώτης ὁρμῆς καὶ μοῖραν ἐτρέψαντο τῶν ἀντιπάλων, τὸν τῶν
Μυρμιδόνων μῦθον ἔργοις αὐτοῖς ἐπιστώσαντο, αἴφνης εἰς
ἀγαθοὺς ἄνδρας μετατεθέντες καὶ ἀεὶ τὸν ὄπισθεν κτείνοντες.
συνέβη δ' ἐπιταθῆναι τὴν τῶν πολεμίων ἐπιδίωξιν καὶ κατὰ
Μοσυνόπολιν αὐτήν. εὐτυχῶς δὲ καὶ τοῖς ἐφεξῆς προσπλα-
κέντες ἐπιτίθενται καὶ τοῖς τοῦ πολίσματος ἔνδοθι. ἀμέλει
καὶ τὰς πύλας παρὰ τῶν πολεμίων φρουρουμένας (ἤδη γὰρ
φόβος καὶ φρικασμὸς αὐτοὺς περιεκέχυτο σώματος) παραδόν-
τες πυρί, εἰσπεπηδηκότες ἔσωθεν ἐνειστιῶντο ταῖς σφαγαῖς,

1. βασιλεύουσαν] μεγαλόπολιν Α. 3. τὸν ἐς χ.] ἔχοντες τὸν ἐς χεῖρας ἰόντα Α. 5. ὥσπερ] ὡς Α. 7. φυλάξας] ὡς δὲ καὶ ὁ βρανᾶς μετὰ τοῦ ῥωμαϊκοῦ στρατοῦ περὶ τὰ ὄρη καὶ τὰ βουνὰ τοῦ βολεροῦ ἔφθασεν· οὐ γὰρ ἐθάρρει τὸν πόλεμον φανερῶς περὶ τὸν κάμπον ποιῆσαι, κατενόησε δὲ καὶ τοὺς φράγγους οὕτως ἀσυντάκτως ἐξερχομένους, δημηγορεῖ καὶ διεγείρει τὸ στράτευμα ὀλίγον ἀπὸ τῶν βουνῶν ἐπὶ τὸν κάμπον κατελθεῖν καὶ συμμῖξαι τοῖς βαρβάροις αὐτοῖς Β. 13. μετατεθέντες] μεταστραφέντες Α. 14. καὶ κατὰ] μέχρι καὶ αὐτῆς μωσύνου πόλεως ὡς δ' εὐτυχῶς καὶ τοῖς ἐφεξῆς προσεπλάκησαν, ὁρμῶσι καὶ τοῦ πολίσματος ἐπιβῆναι Α.

perpetuo victores neminem habebant qui resisteret, temere excurrebant; et turmatim divisi alius alio pro sua quisque libidine vagabantur, si quando Mosynopoli praedatum exeundum erat et commeatus importandus. (2) Branas igitur dux, barbarorum negligentia animadversa, per occasionem adducit exercitum, aegre persuasis militibus ut paulum e montibus in planitiem descenderent. qui cum primo congressu aliquot cohortes hostium feliciter propulsassent, Myrmidonum fabulam re ipsa confirmarunt, statim viri fortes facti, subinde iis qui terga dabant occisis, et hostes ad ipsam usque Mosynopolim persecuti. ut autem cum caeteris quoque feliciter dimicarunt, etiam oppidum invadere statuerunt; et portis incensis, quas hostes iam territi custodiebant, barbarorum caedibus post diuturnam rei bellicae famem sunt expleti. eoque successu non contenti ad eos

ἐπὶ μακρὸν ἀπόσιτοι ὄντες καρυκευμάτων ἀρεϊκῶν. ὡς δ' ἔφαγον πλοῦτον ἐθνῶν ἐνεπλήσθησάν τε καὶ ἐλιπάνθησαν τοῖς λαφυραγωγήμασι, καὶ κατὰ τῶν περὶ τὴν Ἀμφίπολιν ἐφρονηματίσθησαν, ὡς ἕωλον τροφὴν τὴν πρότριτα νίκην ἀντιπαρελθόντες. ἀπῆραν οὖν ὡς παρεμβολὴ θεοῦ ἢ λεόντων στρατόπεδον, τοῖς τῶν πολεμίων ἵπποις καὶ ὁπλισμοῖς φραξάμενοι, κατὰ τῆς περὶ τὸν Στρυμόνα ἔτι σκηνουμένης λοιπῆς μερίδος τῶν ἀντιπάλων, ὅτε καὶ τοῦ κύβου θεόθεν ἄλλως P. 2 ῥιφέντος οἱ μὲν πρῴην ὑψαύχενες καὶ γαῦροι καὶ μικροῦ τοῖς δόρασιν ὄρη μετεωρίσειν καὶ μεταθήσειν κομπάζοντες, ὡς καταιβάτῃ πληγέντες ἢ βροντῆς ἤχῳ ἐξαισίας παρακοπέντες τὸν νοῦν τοῖς τῶν κατὰ τὴν Μοσυνόπολιν οἰκείων ἀπευκταίοις ἀκούσμασιν, ἀνεβάλλοντο τὴν μάχην καὶ ἐξετάσσοντο ῥαθύμως. οἱ δὲ Ῥωμαῖοι τὸ ταπεινὸν ἀποθέμενοι τοῦ φρονήματος ὡς εἰς θήραν ὀρνίθων χαμαιπετῶν ὑψινεφεῖς ἐξεποτῶντο ἀετιδεῖς, καὶ ὤργων ἀπτέρῳ τάχει συμπλακῆναι ὑφ' ὧν ἦσαν ἀπορνιθούμενοι πρότερον ὀνειδείοις ῥήμασιν. ἐπεὶ δ' εἰς ἕνα χῶρον ἀμφότερα συνήλθοσαν τὰ στρατεύματα (ἦν δὲ οὗτος ὁ τοῦ Δημητρίτζη λεγόμενος τόπος), τότε δὴ μᾶλλον οἱ Σι- B κελοὶ καθυπέδειξαν ὃ πεπόνθασι δείλανδρον· συμβάσεων γὰρ ἐμέμνηντο, καὶ τούτων ἕνεκα διεκηρυκεύοντο πρὸς Βρανᾶν. καὶ τὰ μὲν πρῶτα Ῥωμαίοις ἥνδανε τὰ αἰτούμενα· μετὰ βραχὺ δ' οὐκέθ' οἱ αὐτοὶ γεγονότες, ἀλλὰ δόλον εἶναι

1. ἐπὶ μακρὸν] εἶχον γὰρ ἡμέρας πολλὰς μηδὲν τῶν βρωμάτων φαγόντες B. ὄντες ἀρεϊκῶν δεξιώσεων A. 3. καὶ] τοῖς — εἶτα ἐπέθεντο A. 6. ὅπλοις A. 8. ὅταν A. κύβου τῶν πραγμάτων 9. μεταρριφέντος A. 12. κατὰ μοσυνούπολιν A. 13. ῥαθύμως] ῥαθυμότερον A. 17. πρότερον om A.

qui Amphipolim tenebant properarunt; et hostium armis atque equis instructi, partem quae adhuc ad Strymonem versabatur sunt adorti. ibi rerum facie divinitus mutata, pridem feroces et insolentes, qui se tantum non montes hastis eversuros minabantur, fama de suorum ad Mosynopolim clade consternati, quasi fulmine icti aut attoniti, pugnam differebant et segnius in aciem descendebant. Romani vero repudiata ignavia, ut sublimes aquilae in humiles aviculas impetum in eos facere avebant, et cum iis congredi a quibus contumeliosis verbis spreti fuerant. cum autem in Demetrizae campo uterque exercitus convenisset, Siculi metum suum magis etiam declararunt legatis ad Branam de pace missis. quorum postulata cum principio Romanis placerent, deinde vel insidias subesse vel evidens timoris id signum esse rati, mutatis animis, non belli signo, non tubae sonitu, non ullo ducis monitu expectato, strictis ensibus in hostes ruunt. qui

ὑποτοπάσαντες τὰ παρὰ τῶν ἀντιπάλων προβαλλόμενα, ἢ εἰ μὴ τοῦτο, δειλίαν γοῦν ἐκ τοῦ ἀναμφιλέκτου πρόδηλον, μὴ πολέμου ἀναμείναντες σύνθημα, μὴ σάλπιγγος ἠχὴν μήτε τι ἕτερον παράγγελμα τῶν ὅσα στρατηγοῖς εἴθισται ποιεῖν πρὸ τῶν συμπλοκῶν, συμβάλλουσι τοῖς πολεμίοις τὰ ξίφη γυμνώσαντες. οἱ δὲ μέχρι μέν τινος εὐθαρσῶς καὶ ἀνδρεί-
C ως τὴν τῶν Ῥωμαίων ἐμβολὴν ἐδέξαντο, καὶ καμπάς τινας καὶ ἑλίξεις ὁ πόλεμος ἔλαβε· τέλος δὲ πρὸς τὸ ὑπεράγαν ἔνθερμον τῆς Ῥωμαϊκῆς στρατείας ὑπενδόντες ἔκλιναν εἰς τροπὴν καὶ ἀκόσμως ἔφευγον. ὅθεν καταλαμβανόμενοι ἀνῃροῦντο, ἐζωγροῦντο, ὠθοῦντο κατὰ ποταμοῦ τοῦ Στρυμόνος, ἐλαφυραγωγοῦντο, ἐσκυλεύοντο. ἦγετο δὲ ἑβδόμη τότε τοῦ Νοεμβρίου μηνὸς καὶ περὶ δείλην ἦν τὴν ἡμέραν, ὁπότε ταῦτα ἐγίνετο. συλλαμβάνονται δὲ καὶ οἱ δύο στρατηγοὶ τοῦ στρατεύματος, ὅτε Ῥιτζάρδος ὁ τῆς γυναικὸς τοῦ Ταγκρὲ κασίγνητος, ὃς ἐναυάρχει τοῦ τῶν Σικελῶν ναυτικοῦ, καὶ ὁ Ἀλδουῖνος Κόντος, γένους μὲν
D οὐ φὺς εὐγενοῦς καὶ λαμπροῦ, διὰ δὲ τὴν κατὰ πόλεμον δεξιότητα αἰδέσιμος ὢν τῷ ῥηγὶ καὶ τότε ὑπὲρ πάντας τὸ τῆς στρατηγίας ὑπεζωσμένος σέμνωμα, ὃς καὶ ταῖς προτέραις κατὰ Ῥωμαίων νίκαις μεγαλοπρεπευόμενος ἑαυτὸν ἐξωμοίου τῷ Ἀλεξάνδρῳ τῷ πάνυ τῷ Μακεδόνι, μόνον οὐκ ἐν στήθεσι κατ' ἐκεῖνον τρίχας δεικνὺς ῥάμφους καὶ πτερῶν εἰκασίαν ὑπεμφαινούσας, καὶ μείζω ἢ ἐκεῖνος ἔργα δι' ἀκαριαίου και-

3. σάλπιγγος] διέγερσιν σάλπιγγος εἰς καβαλλίκευμα τοῦ φοσσάτου B. 5. προσβάλλουσι A. 9. στρατείας] ὁρμῆς A. 11. κατὰ τοῦ π. τοῦ A. 12. τότε om A. Νοεμβρίου] σεπτεμβρίου B. 13. δείλην] τὸ δειλινὸν B. τῆς ἡμέρας A. 15. ταγγρὲ AB. ἐναυάρχ. τότε τοῦ σικελικοῦ A. 16. ἀλδουῖνος A: vulgo Βαλδουῖνος. μὲν ἐκφὺς A. 18 ὑπὲρ] παρὰ A. 21. μόνον] καὶ μόνον A. 23. καὶ] ἀλλὰ καὶ A.

cum eorum impetum ad tempus fidenter et fortiter tolerassent, aliquandiu vario eventu pugnatum est. sed tandem summo Romanorum ardore loco pulsi effuse fugerunt, in eaque fuga partim capti partim occisi partim in Strymonem flumen acti sunt: nostri spolia legerunt. accidit hoc vesperi, VII die Novembris mensis. capti sunt et duo duces exercitus, Rizardus frater uxoris Tangri, qui classi praeerat, et Balduinus contus, non ille quidem nobili et illustri genere ortus, sed ob fortitudinem et rei militaris solertiam regi carus et totius exercitus dux delectus. qui superioribus victoriis elatus se Alexandro magno comparabat; ac tantum non ut ille in pectore plumas rostri et alarum imaginem repraesentantes ostentabat, sed et maiora illo facinora se exiguo tempore citra sanguinem edidisse gloriabatur

ροῦ καὶ ἀναιμωτὶ ὑπερηφανεύετο διαπράξασθαι. ὅσοι δὲ τὸ τοῦ πολέμου διαταθὲν ἐξήλυξαν δίκτυον ἔκ τε τουτωνὶ τῶν Ἰταλῶν καὶ οἳ τὰ ἐν Σέρραις χωρία κατέτρεχον, εὐθὺς τῆς Θεσσαλονίκης ἵενται, καὶ τῶν ἐκεῖσε μακρῶν ἐπιβάντες νηῶν ἃς εἶχον εὐθὺς ἀπὸ τῆς φυγῆς, οὐκ εὔπλουν τὸν πλοῦν εὕρισκον· φοροὶ γὰρ εἰς τὴν αὐτῶν ἀφάνισιν ἀνεγερθεῖσαι λαίλαπες ἀποπλῆσαι τὸν μόρον αὐτοὺς εἰργάσαντο, ὃν θεόθεν χερσαῖον ἐπικλωσθέντα μετὰ βραχὺ μετέθεντο κατὰ θάλατταν. πολλοὶ δὲ μὴ ἐντυχόντες τριήρεσιν, ἐπικαταλαμβανόμενοι ἔτι κατὰ τὴν Θεσσαλονίκην ἀλύοντες, πολυτρόπως ἐφθείροντο, καὶ μάλιστα ὑπὸ τῶν ἐπικούρων Ἀλανῶν. οὗτοι [P. 232] γὰρ ἀντίρροπα δρῶντες ὧν πεπόνθασιν ἡνίκα Θεσσαλονίκη ἑάλωκεν, οὐ φειδὼ τινος τῶν πολεμίων ἐλάμβανον, τὰς δ' ἀμφόδους καὶ τὰ τῶν θείων σηκῶν προαύλια πτωμάτων ἐνέπλησαν· ἐπερόμενοι γὰρ τοὺς συλλαμβανομένους Σικελοὺς ποῦ ποτὲ ὁ ἀδελφός, ὁ συμφυλέτης δηλαδὴ Ἀλανὸς ὃν κατὰ τὴν ἅλωσιν οἵδε ἀπέκτειναν, ἐπῆγον ἅμα τῷ λόγῳ τὸ ξίφος. ἀλλὰ καὶ τοὺς προσρυομένους τεμένεσιν ἀπέσφαττον, ποῦ ποτὲ ὁ παπᾶς λέγοντες, τοῦτ' ἔστιν οὓς ἀνηρήκεσαν ἐκεῖνοι ἱερεῖς εἰσπεφρηκότες ἔνδον τῶν ἱερῶν. ὅτε καὶ τοιοῦτό τι καινὸν ἐπισυνέβαινε· τοὺς γὰρ κύνας φασὶ μετὰ μὲν τὴν τῆς πόλεως ἅλωσιν μηδενὸς νεκριμαίου σώματος τῶν ἀναιρεθέντων Ῥωμαίων [B] ἅψασθαι ἢ ὅλως ὀδοῦσι σίνασθαι ἢ αἰκίσασθαι, τότε

2. ἐξήλυξαν] ἐξέφυγον A. 11. post Ἀλανῶν B: ἦσαν γὰρ κάτοικοι ἐκεῖ πολλοὶ Ἀλανοί. 14. προαύλια] πρόναα A. 16. ὃν σὺ ἐσκότωσας B. 19. τοῦτ' ἔ.] ὅ ἐστιν A. 21. μετὰ] κατὰ A.

qui vero ex iis Italorum cohortibus effugerant, et qui Serranum agrum populabantur, recta Thessalonicam contendunt; et longis navibus statim a fuga conscensis, non commodam navigationem repererunt, sed ventorum procellis et fluctibus obruti perierunt, et morte in terra divinitus decreta paulo post in mari oppetiverunt. multi vero qui triremes non adepti erant, adhuc circa Thessalonicam oberrantes, deprehensi multis modis perierunt, ab auxiliaribus Alanis potissimum interfecti; qui ea facinora illorum imitati quae capta Thessalonica perpessi erant, nulli hostium pepercerunt, sed bivia et sacellorum vestibula cadaveribus impleverunt, rogitabant enim comprehensos Siculos ubi frater ipsorum, videlicet popularis Alanus, esset, quem urbe capta occiderant; ac statim enses in iis defigebant. et in templa confugientes mactabant, ubi papa esset rogitantes, hoc est, sacerdotes quos in templis occiderant. tum mirum quiddam accidit: capta enim Thessalonica nullum Romanum cadaver canes gu-

δὲ οὕτως ἐμμανῶς τοῖς πτώμασι τῶν πεσόντων Λατίνων προσφέρεσθαι καὶ κόρον μηδένα μηδαμῶς εἰδέναι σαρκοβορίας ὡς καὶ τυμβωρυχεῖν καὶ ἀνακαλύπτειν τὰ παραδοθέντα ταφῇ σώματα καὶ κύρμα ταῦτα τιθέναι. ζωγρεῖται δὲ σὺν οἷς εἴπομεν δυσὶ στρατηγοῖς καὶ ὁ ἐκ Κομνηνῶν νοὸς ἔρημος καὶ φθόριμος Ἀλέξιος ὁ τούτων πάντων αἴτιος τῶν κακῶν, καὶ τοῦ τῶν ὀφθαλμῶν φωτὸς στέρεται ὁ τῶν Χαρωνείων οἰκήσεων ἄξιος. ἦσαν δ' οἱ τῶν Λατίνων καὶ πρὸς τὴν Ἐπίδαμνον ἀπεσώθησαν, καὶ τοῖς ἐκεῖ ὁμοφύλοις φρουροῖς τῆς πόλεως ὡς σπέρματα χιλιοστύων πολλῶν ἀγαπητῶς ἀπεδόθησαν, ἣν
C καὶ παντοίοις ὅπλοις ἀμυντηρίοις ὁ Σικελίας ῥὴξ κρατυνάμενος ὕστερον οὐκ ἀπεδίδου Ῥωμαίοις μετὰ τὴν τῶν οἰκείων στρατευμάτων φθοράν, ἀλλ' ἣν οὐκ ἔδει μετὰ ἧτταν καὶ αἰσχύνην περιφανῆ δόξαν ἑαυτῷ θηρώμενος, κατεῖχε φρενοβλαβῶς. μετὰ βραχὺ δὲ πρὸς τὰς δαπάνας ἀπειρηκὼς ἑκόντως ἀπέσχετο.

Καὶ ὁ μὲν χερσαῖος πόλεμος τοιοῦτον αἴσιον ἀπείληφε πέρας, οὐδέποτε ἐπὶ καρδίαν ἡμῶν τινὸς ἀνελθόν. ἀλλ' ὁ πάντων κηδόμενος θεός, ὅτι πάντων δεσπόζει, καὶ μετὰ φειδοῦς πολλῆς διοικῶν τὰ ἀνθρώπινα καὶ ἐλεῶν τὰ πάντα, ὅτι

1. οὕτως] τοσοῦτον οἱ σκύλοι ἐμάνησαν καὶ ἀχορτασίαν οὐκ εἶχον ποσῶς ἀπὸ τοῦ τρώγειν τὰ τῶν λατίνων σώματα ὡς καί τινες ἐὰν ἔθαψάν τινας τὴν φύσιν ἐλεοῦντες, ἀνέσκαπτον οἱ σκύλοι καὶ ἔτρωγον αὐτούς. B. οὕτως et τοῖς πτώμασιν om A. 3. ὡς καὶ] ἀλλὰ A. τῶν παραδοθέντων ταφῇ τὰ σ. A. 8. πρὸς τὸν Ἐ.] εἰς τὸ δυρράχιον B. 9. καὶ τοῖς — ἀπεδόθησαν om A. 12. οἰκείων] ἐκείνου A. 13. ἔδει δόξαν μετὰ τὴν λαμπρὰν ἐκείνην ἧτταν καὶ τὴν περιφανῆ αἰσχύνην ἑαυτῷ A. 20. τοὺς πάντας A.

stasse aut dentibus lacerasse ferunt, Latinorum vero cadavera rabie quadam insatiabiliter devorasse, et sepulcris etiam eruta laniasse cum duobus illis ducibus etiam vaecors ille et pestilens et omnium malorum auctor Alexius Comnenus captus est et excaecatus, homo inferorum sede dignus. quidam ex Latinis Epidamnum confugerunt, quam omnis generis armis instructam Siciliae rex post suarum legionum interitum Romanis non reddebat, sed gloriae inepte cupidus post illustrem illam cladem et celebre dedecus amanter retinebat. caeterum paulo post sumptibus deterritus ultro omisit.

Ac terrestre bellum tam felici exitu est terminatum, qui nemini in mentem venisset. sed deus, qui curat omnia, et rerum omnium dominus, qui res humanas clementer moderatur et omnium miseretur, quia potest omnia, is res nostras lancibus impositas omni bona spe firmavit, et

πάντα δύναται, οὗτος εἰς ῥοπὴν πλάστιγγος ἐπαγαγὼν τὰ ἡμέτερα καὶ χρηστὴν ἐλπίδα πᾶσαν ἀπενεγκών, ἡμᾶς παιδεύσας βραχέα, τοὺς ἐχθροὺς ἡμῶν ἐν μυριότητι ἐμαστίγωσεν, οὐ στοιχείων μεθαρμοζομένων, οὐδὲ γῆς μὲν ἐξαγούσης πλῆ- D θος σκνιπῶν ποταμοῦ δ' ἐξερευγομένου ἔνυδρα ζῷα βατράχους, οὐδὲ σφηκῶν ἀποστελλομένων προδρόμων τοῦ στρατοπέδου ἤ τινος ἑτέρου τῶν παλαιῶν ἐξαισίων, ἀλλὰ τῶν ἀναιρουμένων ἀποκτεινόντων τοὺς φονευτὰς τῷ ἐξαίφνης εἰς ἀποτόμους ὑπὸ θεοῦ μεταβληθῆναι πολεμιστάς, ἐπεὶ καὶ δειλόν τι πρᾶγμα ἡ πονηρία, ἰδίῳ καταδικαζόμενον μάρτυρι, καὶ προσείληφεν ἀεὶ τὰ χαλεπά, τῇ οἰκείᾳ συνεχόμενον συνειδήσει. τί γὰρ καὶ εἶχον δεινὸν ἐπεγκαλεῖν Ῥωμαίοις οἱ Σικελοί, οὓς οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα πλεῖστον ἀφ' ἡμῶν ἐξετόπισαν; ἀλλ' εἴπερ ἔστι τῶν βαθυτέρων ἀνεπιπλήκτως ἅψασθαι κριμάτων θεοῦ, κύριος ἔπαισεν ἡμᾶς, ὅτι ἔγνωκεν ἁμαρτήματα ἡμῶν· ἀλλ' ἐπειδήπερ ἦσαν ἰταμοί τε καὶ ἀνελεήμονες οἱ θεόθεν εἰληφότες ἡμᾶς εἰς μαστίγωσιν, οὐδ' P. 233 αὐτοὶ τοῦ τὸν ἔλεον θέλοντος καὶ ψωμίζοντος ἄρτον δακρύων V. 191 καὶ ποτίζοντος ἐν δάκρυσιν ἐν μέτρῳ τὸν δίκαιον χόλον ἐξέφυγον, ἀλλ' ὡς ἐκ δρυμοῦ λέοντες ἐμπίπτοντες καὶ ὡς λυκιδεῖς ὀλοθρεύοντες καὶ ὡς πάρδαλις ἐφαλλόμενοι, γεγένηνται αἰχμάλωτοι οἱ αἰχμαλωτίσαντες καὶ κατεκυριεύθησαν οἱ κατακυριεύσαντες, καὶ κεκέρακεν αὐτοῖς κύριος ὕδωρ πλανήσε-

3. ἐν μυριότητι] ἐς τὸ πολλαπλάσιον A. 8. ἀποκτεινάντων A. τῷ] ἐν τῷ A. 16. ἐπειδὴ δὲ ἦσαν ἰταμοὶ καὶ ἀνοικτίρμονες οἵτινες θεόθεν ἡμᾶς εἰλήφασιν A. 23. ὕδωρ] πνεῦμα A.

nobis leniter castigatis flagris nostros hostes longe pluribus affecit, non quidem mutatis elementis, nec terra productis culicibus, non fluviis ranas eructantibus, neque crabronibus ante exercitum praemissis, aut ullo veteri prodigio edito: sed illud divinitus accidit, ut qui occidebantur, percussores occiderent, pristina timiditate in summam audaciam conversa. nam timida res est improbitas, ac suopte testimonio convincitur, et arguente conscientia nihil boni expectat. nam quid Siculi de Romanis queri potuerunt, quos umbrosique procul montes pelagusque sonorum a nobis removerunt? sed si arcana dei iudicia rimari fas est, dominus percussit nos, quia peccata nostra norat. sed quia superbi et crudeles erant ii qui nos castigandos ab eo susceperant, nec ipsi eius, qui misericordiam vult et cibum potumque lacrimarum suppeditat, iustam indignationem effugerunt. et quia ut e silva leones irruebant et ut lupi vastitatem efficiebant et ut leopardi insultabant, capti sunt qui captabant, oppressi sunt qui opprimebant, et temperatum a domino erroris poculum exhau-

ως, δείξας ὡς καὶ σφίσιν ἦσαν κηλῖδες διὰ τὸ τοῦ τρόπου φονικὸν εἰς φοινικοῦν χρωζόμεναι καὶ νίτρων δεόμεναι. οὐκοῦν καὶ τὰ οἰκεῖα ὅρια ὑπερβάντες εἰσέδραμον τὰ ἡμέτερα, μαστιγοῦντες ἡμᾶς βραχέα καὶ μαστιγωθησόμενοι πλείονα.

B Καὶ τὴν μὲν ἵππον οὕτως ἡ δίκη μετῆλθεν· (3) αἱ δὲ μακραὶ νῆες ὑπὲρ τὰς δὶς ἑκατὸν οὖσαι, οὐδ' αὗται τῶν κακῶν ἀπαθεῖς πρύμναν ἐκρούσαντο. ἀποβᾶσαι γὰρ κατὰ τὸν Ἀστακηνὸν κόλπον πολλοὺς ἀπεβάλοντο τῶν πλωτήρων, Ῥωμαϊκαῖς ἐγκύρσασαι στρατιαῖς, αἳ τὰς ἐνορμίσεις αὐτῶν ἀπεκώλυον ἀμφὶ τὰς ἀκτὰς ἑλισσόμεναι, καὶ πᾶσαν ἄβατον ἐποίουν ἤπειρον· τὸ γὰρ Σικελικὸν ναυτικὸν εἴ ποτε κατὰ χέρσον προύκυψεν ἢ ἀποβάθραν ἔβαλεν, εὐθὺς τοῖς βέλεσιν ὡς ὕδατος σταγόσι πάντοθεν καταντλούμενον, ὡς κέλυφος χελῶναι τὰ τῶν νηῶν ὑπέτρεχε καταστρώματα. ταῖς δὲ ναυσὶ τοσαύταις οὔσαις τὸν ἀριθμὸν αἱ ἡμέτεραι εἰσάπαξ ἑκατὸν συγκροτούμεναι μάχεσθαι ἀπεθάρρουν. καὶ οὐ τὸ ναυτικὸν ἐκαρδίωττε μό-
C νον, ἀλλὰ καὶ πολλοὶ τῶν ἀστυπολιτῶν ταῖς ἁλιάσιν ἐμβάντες καὶ ὅτῳ τύχοι καθοπλισάμενοι τὸν πλοῦν ἐς τοὺς πολεμίους ὤσφυζον θέσθαι· οὐ συνεχωροῦντο δὲ πρὸς τοῦ βασιλέως καὶ τῶν συνδιασκεπτομένων αὐτῷ τὰ κοινά, οὐκ εἰς τὸ πρόθυμον τῶν ἡμετέρων ἀφορᾶν μόνον ἐχόντων, ἀλλὰ καὶ τὸ ὑπερπαῖον

5. καὶ τὴν] καὶ οὕτω μὲν ὁ πεζικὸς στρατὸς ὑπὸ τῆς δικαίας δίκης τοῦ θεοῦ ἠφανίσθη. τὰ δὲ τούτων κάτεργα, πλείονα τῶν διακοσίων ὄντα, οὐδ' αὐτὰ ἀβλαβῆ ἐναπέμειναν, ἀλλὰ περὶ τὸν τῆς νικομηδείας τόπον ἐλθόντα — B. 9. αἳ τὰς] οὐδὲ παρεχωροῦντο ὑπὸ τῶν στρατιωτῶν σκαλῶσαι εἰς τόπον τινά B. 11. γὰρ] δὲ A.

serunt, expertique sunt sibi quoque inesse maculas, easque coccineas ob sanguinariam immanitatem, quae eluendae essent. itaque extra suos limites evagati nostros fines incursarunt, et paucis plagis nobis illatis ipsi plures toterarunt.

Ac equitatus has poenas exsolvit. (3) Longae autem naves, amplius CC, nec ipse malorum expertes retro vela dederunt. nam cum ad Astacenum sinum descensum fecissent, multi a Romanis copiis caesi sunt, quae passim in littoribus prohibebant quo minus appellerent, nec usquam eos continentem attingere patiebantur. quodsi quando Siculi aut terram spectabant, aut scalas proferebant, statim telis tanquam fluctibus obruti non aliter quam testudinis conchas navium tabulata subibant. etsi autem tantum numerum navium habebant, tamen nostrae non amplius C cum eis confligere cupiebant. neque vero classici duntaxat fervebant, sed multi etiam ex urbis incolis, naviculis conscensis et armis obiter arreptis instructi, ad hostes invadendos parati erant. sed id ab imperatore et senatu eis con-

προορωμένων τῶν ἀντιμαχομένων νηῶν. καὶ κατὰ τοῦτο περὶ τὴν τῶν Κιόνων ἠϊόνα αἱ τριήρεις σαλεύουσαι οὐ περαιτέρω προήεσαν· ὁ δὲ τῶν ἐναντίων ςτόλος περὶ τὰς ἑπτακαίδεκα ἡμέρας τὴν κώπην σχάσας ἐν ταῖς νήσοις, ὡς οὐδένα πως ἑώρα τῶν ὁμοφύλων κατὰ χέρσον προσιόντα, οὐκ ἀγαθὴν εἰκάσας τὴν ἀναβολὴν μεθαρμόζεται πρὸς ἀπόπλοιαν. καὶ δὴ τὴν νῆσον τὴν Καλώνυμον πυρπολήσας, καὶ ὅσα πάραλα κεῖται κατὰ τὸν κόλπον τὸν Ἑλλησπόντιον, εἴχετο τοῦ οἴκαδε D πλοῦ. φασὶ δὲ ὡς καὶ τούτων πολλαὶ ἄντανδροι τῷ βυθῷ κατέδυσαν, ἀντιπνοίαις περιπεσοῦσαι καὶ καταιγιδώδεσιν ὁμιλήσασαι πνεύμασι. καὶ λιμὸς δὲ καὶ νόσος ἔστιν ἃς ἐξεκένωσε.

Καὶ οὕτω μὲν οὐ μεῖον ἢ δέκα χιλιάδες μαχίμων ἀνδρῶν ἐν τοῖσδε τοῖς πολέμοις ἀπώλοντο· αὐτοὶ δὲ οἱ ζωγρηθέντες κατ' ἀμφοτέρους τοὺς πολέμους ὑπὲρ τὰς τέσσαρας χιλιάδας ἀριθμούμενοι ταῖς δημοσίαις φυλακαῖς ἐνείρχθησαν. μὴ ἐκ βασιλικῶν δὲ ψωμιζόμενοι ταμιείων ἤ τινος τῶν ὅσα τὸ ζῆν συνίστησι μεταλαγχάνοντες ἄλλοθέν ποθεν, ἄρτῳ δὲ μόνῳ διαζῶντες χορηγουμένῳ πρὸς τῶν θεοφιλῶς ἐπισκεπτομένων τοὺς ἐν ταῖς εἱρκταῖς, κακῶς ἐφθείροντο, ὥσθ' ὁ τὴν ἀρχὴν τῆς Σικελίας χειρίζων καὶ τὴν τότε κατὰ Ῥωμαίων κίνησιν θέμενος, τοῦτο πυθόμενος, διὰ γραμμάτων τὸν βα- P. 2[illegible]
σιλέα ἐχλεύαζεν ὡς ἀφιλανθρώπως ἐῶντα λιμῷ καὶ γυμνότη-

1. ἀντιμάχων A. 4. σχάσαντες A. 8. κατὰ] περὶ τὸν τόπον τῆς λαμψάκου B. 10. ὁμιλήσασαι] ὡμιληκυῖαι A. 14. ἀπώλοντο] ἐχάθησαν B. 18. ἄλλοθεν] ἀλλαχόθεν ἀλλ' ἄρτω μόνω A. 23. ἐχλεύαζεν] κατωνείδιζεν ἀφιλοικτον καὶ λιμῶ ἐῶντα A.

cessum non est, qui non tantum alacritatem civium spectabant, sed etiam hostilium navium multitudinem considerabant; eaque de causa nostrae naves ad Cionicum littus in ancoris stantes ulterius non progrediebantur. classis vero hostilis cum ad dies septendecim in insulis consedisset nec popularium quenquam terra accedere vidisset, moram illam nihil boni portendere arbitrati de reditu cogitarunt, incensaque Calonymo insula et finitimis in sinu Hellespontio locis domum versus perrexerunt.

Ferunt autem multas naves cum vectoribus adversis ventis et turbinibus demersas esse, alias morbo et fame exhaustas. ita X millibus haud pauciores his bellis perierunt. ultra IV millia utroque bello in carceres inclusa, cum nihil ab imperatore aut aliunde suppeditaretur praeter panem, qui pietatis ergo a nonnullis subministrabatur, male perierunt. quo rex Siciliae, illius belli auctor, audito imperatori per litteras immanitatem exprobravit, qui fame et

τι παραπόλλυσθαι τηλίκων καὶ τοσούτων στίχας ἀνδρῶν, ἐναργῶς μὲν ἀραμένων ὅπλα κατὰ Ῥωμαίων νόμῳ πολέμου, Χριστιανῶν δ' ὅμως ὄντων καί οἱ παραδεδομένων εἰς χεῖρας ὑπὸ θεοῦ. χρῆναι δ' ἔλεγε τὸν νικῶντα ἢ πανωλεθρίαν εὐθὺς τῶν ζωγρηθέντων καταψηφίζεσθαι, εἰς θηρίου φύσιν ἐκ πολλοῦ τοῦ παραλόγου μεταμειφθέντα καὶ τὸν ἀνθρώπινον νόμον παραβλεψάμενον· ἢ μὴ δοκιμάσαντα τοῦτο, συνειληφότα δὲ καὶ καθείρξαντα, τρύφος γοῦν ἄρτου διαθρύπτειν
B ὀκτάβλωμον, εἰ περὶ τὴν διαρκῆ διαίτησιν κιμβικεύεται, ἀλ-
V. 192 λὰ μὴ τιμωρεῖν τοῦ διὰ ξίφους καὶ αὐτίκα μόρου μακρότερα, λιμώττειν παρεικότα καὶ παγετῷ καὶ κρυμῷ διαρρήγνυσθαι κακῶς τὴν ψυχήν, καὶ φόνου αἰτίαν ἐπάγεσθαι, εἰ καὶ μὴ τὰ στέρνα διατορεῖ δόρατι ἢ τὸ βέλος ἁρπαζόμενον τοῖς σπλάγχνοις καὶ ἐμβαπτόμενον δείκνυσιν, ἐπεὶ μηδὲ διαφέρειν τὸ φονεῦσαι καὶ φόνου παρασχεῖν πρόφασιν. βασιλεὺς δὲ ὠσὶν ἄκροις παραδεξάμενος τὰ γραφόμενα, εἴασε τοὺς τάλανας Σικελοὺς ὡς πρότερον φθίνεσθαι, ὡς ἐν αὐτῷ ὄντος τοῦ ὅ τι ποτ' ἂν αὐτοὺς βούλοιτο δρᾶσαι. σύνδυο οὖν καὶ σύντρεις πολλάκις τῆς ἡμέρας ἐκκομιζόμενοι, νεκροταφίων
C ἄμοιροι καὶ ἄτερ τῶν τελευταίων λουτρῶν, κατὰ τῶν πολυανδρίων ἐξετινάσσοντο καὶ καταδύσεων τῶν ὑπογείων.

Καθίσας δ' ὁ βασιλεὺς ἐπὶ δίφρου χρυσοκολλήτου καὶ περιδὺς τὴν λιθόστρωτον τήβενναν, βῆμά τε πολυανθρωπότατον

2. μὲν ἀρ.] ἀράντων A. πολεμίῳ A. 11. παρεικότα] ἐῶντα A. διαρρήγνυσθαι] ἀναχρέμπτεσθαι A. 12. ἐπάγεσθαι] ἔχειν A. 16. παραδεχόμενος A. εἶα A. 17. φθείρεσθαι A. 18. τοῦ om A. δρᾶν A. 22. καὶ τὴν ἐκ λίθου καὶ μαργάρου φορέσας στολὴν B. 23. περιδὺς] περιθέμενος A.

frigore tot viros perire pateretur, qui etsi more belli aperte arma intulissent, tamen Christiani essent et a deo in manus eius traditi. esse autem a victore aut statim capitis damnandos captivos, omnis humanitatis ob insperatos successus oblito et in feram converso; aut si id nolit, saltem frustum panis captivis impertiendum, si ita sordidus sit ut eos alere nolit. etsi enim eos gladio non traiiciat nec telum cruentum e visceribus eorum extrahat, tamen cum eos frigore et fame crudeliter conficiat, nihilo minus caedis esse reum. neque enim interesse utrum ipse occidas an caedis causam praebeas. verum imperator istis litteris parum motus miseros Siculos aeque ut antea perire sinebat, quasi vero liceret quicquid libuisset. saepe igitur eodem die bini et terni, sine inferiis, extrema lotione, in coemeteria et cavernas coniiciebantur.

Imperator vero sella aurea occupata, et gemmata purpura indu-

ἠθροικὼς, ὡς εἴη μὴ τοῖς ἀλλοφώνοις μόνον ἀλλὰ καὶ τοῖς Ῥωμαίοις αὐτοῖς ἐπιφοβώτατος, εἰσάγεσθαι κελεύει τοὺς τοῦ Σικελικοῦ στρατεύματος ἀρχηγούς, δηλαδὴ τὸν Ἀλδουῖνον καὶ τὸν Ῥιτζάρδον. οἱ δὲ τὸ ἐριῶδες τῆς κεφαλῆς ἀποθέμενοι κάλυμμα καὶ δουλικωτέραν προσκύνησιν ἀπονείμαντες, ἠρωτήθησαν παρὰ τοῦ βασιλέως ὅπως αὐτὸν χριστὸν ὄντα κυρίου ἐκακολόγουν ἐν τοῖς πρὸς αὐτὸν γράμμασιν, οὐδὲν μὲν δι- D
καίως ἔχοντες ἐπεγκαλεῖν, τῇ δ' ἐνεστώσῃ τύχῃ παρὰ τὸ δέον χρώμενοι καὶ κυδρούμενοι καὶ τῷ ἡττῆσαι κατὰ κράτος τὸ πολέμιον φυσώμενοι. αὐτὸς γὰρ ὁ βασιλεὺς Ἰσαάκιος τὴν βασιλείαν ἄρτι παραλαβών, πρέσβεις ἀποστείλας ἔτι τῆς Λατίνης στρατιᾶς συνεστώσης, οὐδέν τι τῶν πρὸς διαλλαγὴν φερόντων τοῖς στρατηγοῦσιν ἐλάλησε τοῦ ἐναντίου στρατεύματος, μήτε δώροις ἀγάλλων μήτ' εὐνοίας ὑπαγόμενος πλάσμασιν, ἀλλ' ἐπιστείλας ἀρχικώτερον καὶ πάσαις μὲν αἰτίαις πᾶσι δὲ βάλλων ἐγκλήμασιν ἐσοβαρεύετο πρὸς ἄνδρας ἔτι νικῶντας κἀπὶ τοὺς ἑαυτῶν πόδας τιθέντας ἅπαν τὸ ἐν Ῥωμαίοις, καὶ τὸ οἰκεῖον ἀνυμνῶν ξίφος καὶ μεγαλύνων ὡς τμητικώτατον διηπειλεῖτο, ἐφ' οἷς ἔτι διηπορεῖτο, ἐξολόθρευσιν αὐτῶν καὶ ἀπώλειαν, εἰ μὴ μεταβουλευσάμενοι παλίμποδες γένωνται ὅθεν ἐξῄεσαν. ὁ δὲ Ἀλδουῖνος ἀγέρωχος ὢν καὶ ἄλλως, ὡς ἔδειξε, τότε δὲ καὶ ταῖς ἐνεστώσαις τύχαις ὡς ἀσκὸς ἐξοιδούμενος, οὐκ ἐνεγκὼν τὰ ἐπεσταλμένα ἀμείβεται τὸν βασιλέα λόγοις κομψευτικοῖς. τό τε γὰρ

1. ἠθροικὼς] ἡτοιμακὼς A. 3. στρατεύματος] τάγματος A. ἀλδουῖνον AB: βαλδουῖνον PW. 8. ἔχοντος et mox χρωμένου καὶ τυφουμένου et τὸν πολέμιον ὑψαυχενοῦντος A. 13. στρατηγοῖς A. 15. καὶ πάσαις — τμητικώτατον om A. 20. γένοιντο A.

tus, coactaque maxima hominum frequentia, ut non peregrinis tantum sed Romanis etiam maxime formidabilis esset, Siculi exercitus duces Balduinum et Richardum adduci iubet. qui pileis depositis, servilem in modum eo adorato, rogati ab eo sunt cur se unctum domini suis litteris insectati essent, cum nullam iustam querimoniam haberent, tantum fortunae successibus et victoria contra officium inflati. nam Isaacius imperio recens suscepto, cum Latinorum exercitus adhuc esset integer, per legatos nihil quod ad pacificationem attineret cum ducibus hostium egerat, neque muneribus missis neque benevolentia simulata: sed quamvis incerto adhuc suarum rerum statu, pro imperio interitum et internecionem eis minatus fuerat, nisi mutatis consiliis eo redirent unde venissent. verum Balduinus cum alioqui ferox, ut res declaravit, tum successibus utris instar inflatus, iis litteris irritatus insolenti responso gladium imperatoris

ξίφος αὐτοῦ ἐκωμῴδησεν ὡς σκιατραφέσιν ὀξυνόμενον σώμασιν (ὑπηνίττετο δὲ τὰ γραφόμενα τὸν τοῦ Ἁγιοχριστοφορίτου P. 235 θάνατον), καὶ αὐτὸν δὲ τὸν Ἰσαάκιον ὡς ἀπάλαμνον ἐμωκᾶτο· μηδὲ γὰρ θυραυλῆσαί ποτε καὶ ἐπὶ θυρεῶν εὐνασθῆναι ἢ γοῦν μαρύλλης ἀνασχέσθαι κράνους καὶ ὑπενέγκαι μολυσμὸν θώρακος, ἀλλὰ καπνῷ γραμμάτων προσανέχειν ἐς γραμματιστοῦ φοιτῶντα ἐξ ἁπαλῶν ἔτι ὀνύχων καὶ δέρριν ἐξημμένον, πινακίδιόν τε καὶ γραφεῖον ἀνὰ χεῖρας ἔχοντα τὴν σκυτάλην συχνὰ ὑποβλέπεσθαι καταφερομένην τῶν χειρῶν αὐτοῦ καὶ τῶν πυγῶν, καὶ ταύτης μόνης εἰδέναι καὶ δεδιέναι τὰ κροταλίσματα, ἀπειλὴν δ' Ἄρεος ὑφίστασθαι μηδαμῶς, μηδὲ δοῦπον ἀκόντων ἐνηχηθῆναί ποτε. οὐ ταῦτα δὲ μόνον ἐπικερτομῶν ἔγραφεν, ἀλλὰ καὶ παραίφασιν εἰσῆγε καὶ ἐχθρὸς B ὢν συμφράδμων ἐγίνετο, καὶ ἐνῆγεν ἀποθέμενον τὸ βασίλειον στεφάνωμα καὶ τὰ λοιπὰ τῆς ἀρχῆς ἀποβαλόμενον καὶ συμπτύξαντα τὰ σύμβολα τούτων μὲν ὑπεκστῆναι καὶ τηρεῖν τῷ νικῶντι καὶ κρείττονι, τὸν ἑαυτοῦ κύριον οὕτω τὸν ῥῆγα λέγων, αὐτὸν δὲ ὑποπεσεῖν καὶ περὶ τοῦ μόνον ζῆν ἐπανατείνεσθαι δέησιν. καὶ βασιλεὺς μὲν διὰ ταῦτα ὑπ' εὐθύνην ἦγε τότε τοὺς στρατηγούς, μὴ φέρων τὸ τοῦ Δαβὶδ κατὰ νοῦν

4. γὰρ et ποτε om A. καὶ ἐπὶ] μηδ' ἐπὶ θυρεοῦ ἀφυπνῶσαι ὅτεδή A. 5. μαρύλλης] μαρίλης? 6. ἀλλ' ἀπὸ μικρόθεν τὰ γράμματα μανθάνων καὶ πινακίδιον καὶ προβέαν μετὰ καλαμαρίου γράφων συχνὰ ταύτην ἔβλεπες καὶ λειώνων καὶ σφογγίζων αὐτὴν καὶ εἰς ἀέρα κτυπῶν, καὶ ταύτης μόνους τοὺς κτύπους ἐφοβοῦ, μή ποτε καὶ παρὰ τοῦ διδασκάλου κωλοράβδια λάβῃς B. 8. πινακίδιον διεξιοῦσάν τε A. 11. ὑφίστασθαι] ὑπενέγκαι A. 15. καὶ ξύμπαντα σύμβ. A. 16. τηρεῖν ἀσφαλῶς τῷ A. 17. τὸν ῥῆγα om A. 18. ὑπ. καὶ πόρρωθεν καὶ A.

irridebat ut in effeminata corpora acutum (quibus verbis Hagiochristophoritae caedem innuebat), et ipsum Isaacium ut imbellem subsannabat, qui nunquam sub dio in clipeo dormiisset, nunquam galeam sustinuisset, neque thoracis sordes tolerasset, sed fumo lucubrationum sorderet, a teneris annis ludos frequentare solitus, et membranam tabellam et graphium tenens, subinde virgam et manibus et natibus imminentem timuerit, eiusque solius strepitum et noverit et metuerit, sed Martis minas nunquam tolerarit, neque unquam sonitum iaculorum audiverit. neque vero haec ludibria duntaxat scribebat, sed admonitionem quoque subiungebat, et cum hostis esset, consiliarii munus subibat, suadebatque ut imperatoriam coronam caeteraque omnia imperii insignia deponeret, eaque potentiori et victori diligenter asservaret (quibus verbis dominum suum innuebat), et multo ante supplex de vita impetranda laboraret ac

„ἡ γλῶσσα ἡμῶν παρ' ἡμῖν ἐστί· τίς ἡμῶν κύριος ἐστί;" V. 193
καὶ θανάτου ἐτίμα τὰ γεγραμμένα. ὁ δὲ Ἀλδουῖνος οὐκ ἦν
ἄρα μόνον δεινὸς ἐπιπλῆξαι, τὴν τύχην ἔτι ἔχων ὑπερηφα-
νευομένην, ἀλλὰ καὶ κολακεύειν ἤσκητο ἄκρως, πρὸς ὃ μό-
νον πᾶν ὅπλον καὶ πᾶσα μικροῦ μηχανὴ πέφυκεν ἀσθενέστε- C
ρον, ἐν οἷς ἀπολελοιπὸς ἦν αὐτὸν τὸ εὐδαιμονεῖν· ἐξέκρου-
σε γὰρ τῆς ὀργῆς καὶ καθήδυνε τὸν βασιλέα ὑποσκυζόμενον,
τὸ ξίφος αὐτοῦ μεγεθύνειν ἀρξάμενος ὡς βασιλικὸν ὄντως
καὶ τμητικόν, καὶ μὴ κουφολογίαν ἀνόητον ῥήματα δὲ ἀλη-
θείας εἶναι τὰ παρὰ τοῦ βασιλέως γραφέντα διετείνετο καὶ
ἀτεχνῶς ἐνσημανθέντα χειρὶ θεοῦ. ἀλλὰ καὶ ἑαυτὸν οὐκ
ἀπόβλητον ἐδεῖτο ἡγεῖσθαι, εἰ δριμύτερα ἐπέστελλε· τὸ γὰρ
ἐκ τῶν ἐχθρῶν μῖσος καὶ ἡ φύσις οἶδεν ἀνέγκλητον. (4)
πρὸς ἅπερ ἀπεσιώπησε βασιλεύς, μηδέν τι προσθεὶς ἕτερον,
οὐκ οἶδ' εἴτε τῇ κολακείᾳ ἐκθηλυνθεὶς εἴτε τῇ ὑπερηγορίᾳ κα-
ταπεισθείς. καὶ αὐτοὶ μὲν ἐκεῖθεν ἐξήλθοσαν, καὶ γεγόνασιν D
αὖθις ἔμφρουροι· βασιλεὺς δ' ἑτέραις προσχὼν ὑποθέσεσι
προσέθετο καὶ τοῖς παροῦσι διατρανώσασθαι, καὶ τοῖς λοι-
ποῖς δὲ πᾶσιν ἀστυκοῖς καὶ ἀλλοίοις οὐκ εἶναι ὅλως ἀνήκοον
ἤθελεν, ὡς ἀπὸ τῆς ἡμέρας ἐκείνης οὐδένα ἐς τὸ σῶμα δια-
λωβήσεται, κἂν ᾖ τις ἀνδρῶν ἔχθιστος καὶ τῇ αὐτοῦ βιοτῇ
καὶ βασιλείᾳ ἐπιβουλεύων ἀλῷ. καὶ οἱ μὲν τὸ βασιλικὸν βῆ-

8. μεγεθύνειν] ὑψοῖν B. βασιλικώτατον A. 9. τμητικόν] τομώτατον A. ἀνόητον A. 13. τὴν φύσιν εἰδέναι A. 18. π. πᾶσι διατρ. καὶ τοῖς ἀποῦσιν ἀστ. A. 21. ᾖ] εἴη A. βιοτῇ] ζωῇ A. 22. τὸ βασίλειον A.

his de causis imperator in iudicium adducebat duces, Davidicum illud non ferens „lingua nostra penes nos est: quis dominus noster est?" et scripta illa ultimo supplicio multabat. verum Balduinus, ut secundis rebus ad obiurgandum paratus, sic mutata fortuna adulandi etiam summus artifex, quae res omnia arma, omnes machinas fere vincit, imperatoris iracundiam depulit et indignationem mitigavit, gladium eius ut summo imperio dignissimum et exquisita acie praeditum extollendo, et quae scripsisset, non levia et inania verba, sed veritate suffulta et manu dei omnino consignata fuisse affirmando. neque vero se, quod acerbius rescripsisset, propterea contemnendum iudicari orabat: nam hostile odium iure naturae omni vacare crimine. (4) Ad ea verba conticuit imperator, haud scio an adulatione effeminatus, an vero defensione motus; et illis in eandem custodiam reductis, aliis rebus occupatus, iis qui aderant omnibus et iis qui aberant tam civibus quam peregrinis declarare instituit se ab eo die, quamvis mortalium omnium inimicissimus sit suoque imperio et vitae insidietur, occisurum aut mutilaturum esse nemi-

μα τότε πληροῦντες ἐπευφήμησαν τοῖς λελαλημένοις τούτοις καὶ ἐπερρόθησαν ὡς μικροῦ φωνῆς ἀκηκοότες θεοῦ, καὶ πᾶς ἐνηχηθεὶς τὸ ῥῆμα τουτὶ δώρημα θεοῦ τὸν βασιλέα τέλειον ἔλεγε, πρὸς τὴν τοῦ ἐπηγγελμένου ἐργωδίαν ὁρῶν καὶ τὸ τῆς
P. 236 πραότητος πολὺ ἐκπληττόμενος· μηδὲ γὰρ ἐξεῖναί τινι, καὶ μάλιστα βασιλεύοντι, μοχθηρίαν φύσεως φέρειν ἀκίνητον πρὸς τὸ κρεῖττον ἢ δυσμετάθετον, ἢ στέγειν ἄνθρωπον ἀποστατικὸν καὶ ληστεύοντα τὴν ἀρχήν, κἂν ἀρετῆς μεταποιοῖτο μάλιστα καὶ μετὰ Δαβὶδ οὐκ ἀνταποδιδοίη τοῖς ἀνταποδιδοῦσι κακά, ἢ ψάλλων εἴη κατ' ἐκεῖνον ἐν καιροῖς κινδυνώδεσιν „ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς." αὐτὸς μέντοι βασιλεὺς ἀντιφθεγγομένην προδήλως τῇ γλώττῃ καθυπέφηνε μετὰ βραχὺ τὴν προαίρεσιν,
B καὶ ὥσπερ ἐν τῷ λέγειν οὐ διεστείλατο, οὕτω κἀν τῷ πράττειν οὐ συνεστείλατο, ἀλλὰ μικροῦ διημιλλήθη Ἀνδρονίκῳ τὸ προσκεκρουκὸς σινόμενος, μὴ τὸ τοῦ Σολομῶντος ἐπῃνεκὼς ὅ φησιν „ἀγαθὸν τὸ μὴ εὔξασθαι ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι."

Ὁ δέ γε τοῦ Ἰκονίου σουλτάνος (ἦν δὲ εἰσέτι ὁ Κλιτζασθλάν, εὐγηρίαν ἄγων καὶ γεγονὼς ὑπὲρ ἔτη τὰ ἑβδομήκοντα) τὸν Ἀνδρονίκου ἐνωτισθεὶς θάνατον καὶ τὴν ἀνάρρησιν

1. ἐπευφημισαν τοῖς λαληθεῖσι A. 4. ἐπαγγέλματος A. 6. φέρειν] ἐνεγκεῖν A. 8. μεταποιοῖτο] ἀντέχοιτο δαυϊτικῆς οὐκ ἀνταποδιδοὺς A. 10. ψάλλει κ. A. 12. ἀντιφθεγγόμενα — βρ. τὰ πραττόμενα A. 15. τῷ ἀνδρ. A. 17. ἢ τὸ A. 18. σουλτὰν A.

nem. ac ii qui tum in consilio aderant, ea verba ut divinitus prolata summis laudibus et laetis acclamationibus sunt prosecuti. omnes ad quorum aures ea pervenit oratio, difficultate eius rei considerata, et ingenti mansuetudine obstupefacti, absolutum dei donum imperatorem illum esse affirmarunt. neque enim posse quenquam, imperatorem praesertim, improbitatem naturae inemendabilem tolerare, aut ferre desertorem et imperii vastatorem, etsi Davidica virtute sit praeditus, qui malum malo non penset aut periculosis temporibus canat „circumdederunt me ut apes favum, ego vero nomine domini eos propulsavi." caeterum ipse imperator brevi postea egit quae cum eius oratione minime consentiebant; et ut in dicendo nulla distinctione, ita etiam in agendo adeo nulla moderatione usus est, ut parum abesset quin ulciscendis inimicis Andronicum imitaretur, neglecto illo Solomonio, quo dicitur praestare non facere votum quam votum non reddere.

Interim Iconii Sultanus Clizasthlanis felici senecta ultra annum LXX progressus, cum Andronici interitum, cui successisset Isaacius, audivisset, et ea quae in imperatorum mutationibus accidere solent,

Ἰσαακίου πυθόμενος, καταστοχάζεται ἀρίστως ὅσα εἰκὸς ἐπὶ ταῖς τῶν βασιλέων μεταθέσεσί τε καὶ παραλύσεσι γίνεσθαι, καὶ μᾶλλον εἰ πόλεμος ἀνθέλκει ἑσπέριος, καὶ πολέμων ὁ κράτιστος· καὶ δὴ εἰσβολὴν ποιεῖται κατὰ τοῦ τῶν Θρᾳκησίων θέματος δι' εὐίππου καὶ εὐόπλου στρατεύματος, τοῦ Σαμῆ ἀμηρᾶ στρατηγοῦντος. οὐκοῦν ἀνδρῶν κεκενωμένον εὑρὼν τὸ τοῦ Κελβιανοῦ κλίμα ὅπλα φέρειν εἰδότων (πάντες γὰρ ὡς C χείμαρροι μετερρύησαν πρὸς τὸν νεωστὶ τὴν ἁλουργίδα ἐμπορπησάμενον Ἰσαάκιον) ἀνθρώπους τε πολλοὺς ἐχειρώσατο καὶ ζώων ἤλασεν ἀγέλας παντοδαπῶν, καὶ ὠφελειῶν ἄλλων τὸ οἰκεῖον ἐνέπλησε στράτευμα.

Ἠρεμησάντων δὲ καὶ τῶν ἑῴων ἐθνῶν ἄλλοις τε προσκαίροις φιλοτιμήμασιν, ἀλλὰ δὴ καὶ ἐτησίων ἀπολήψεσι φόρων (οὕτω γὰρ οἱ ἐς ἡμᾶς ὑπερκαθήμενοι Ῥωμαίων μετιέναι ἴσασι τὸ ἀλλόφυλον, τὴν οἰκουρίαν μεταδιώκοντες ἴσα καὶ V. 194 θαλαμηπόλοις νεάνισιν, αἳ περὶ ταλασίαν διαπονοῦνται), ἠθέλησεν ἐξ ἀλλοεθνοῦς γένους ἑαυτῷ μνηστεύσασθαι γαμετήν· ἣν γὰρ ἐμνηστεύσατο πρότερον, θανάτῳ ἀπεβάλετο. καὶ D δὴ κοινολογησάμενος διὰ πρέσβεων τῷ τῆς Οὐγγρίας ῥηγὶ τῷ Βελᾷ ἄγεται εἰς γυναῖκα τὴν ἐκείνου θυγατέρα, τῆς δεκαετηρίδος οὔπω ἀκριβῶς ἁψαμένην. τὰ δὲ γαμοδαίσια θύειν ἀπὸ χρημάτων δημοσίων σμικρολογούμενος ἀμισθὶ ταῦτα ἐκ τῶν

5. ἀσαμῆ B. 13. ἀλλὰ] τάξας καὶ καθ' ἕνα χρόνον τελέσματα B. 16. π. τὴν ταλ. A. 18. ἐμνηστεύσατο] ἡρμόσατο A. 20. ἄγεται] μνηστεύεται A. 21. τὰ δὲ] μέλλων οὖν τοὺς γάμους ἐκτελέσαι οὐκ ἠθέλησεν ἀπὸ τῶν βασιλικῶν χρημάτων ἐξοδιάσαι τι, ἀλλ' ἐκπέμψας εἰς τὰς ὑπ' αὐτὸν πόλεις καὶ χώρας συνῆγε τὴν τοῦ γάμου ἅπασαν ἔξοδον ἄνευ τινὸς δόσεως B. 22. ἀμισθὶ] puto legendum ἀμυστὶ pro ἀφειδῶς. Wolfius.

praesertim si bellum ab Occidente gravissimum urgeat, sagacissime divinasset, lectissimo equitatu et armis instructissimo in Thraciam impressionem facit, Same Amera duce. qui cum Celbianum tractum bellicosis viris vacuum invenisset (omnes enim torrentis instar ad Isaacium recens imperio potitum confluxerant), multos homines cepit, armenta et greges omnis generis abegit, et multis manubiis suum exercitum locupletavit.

Ubi Orientales gentes cum aliis pro tempore muneribus, tum annuis tributis placatae quieverunt (sic enim nostra aetate Romanorum imperatores cum barbaris agere solent, domi instar nentium puellarum desidentes), uxore defuncta alienigenam ducere statuit, et per legatos Belae Hungariae regis filiam, nondum decem annos natam, ambit. sed dum ex tenacitate nuptias ex fisci pecunia cele-

οἰκείων συνέλεγε χώρων· καὶ ἔλαθε διὰ σμικροπρέπειαν καὶ ἄλλας μὲν πόλεις καλαμησάμενος, αἳ κατ' Ἀγχίαλον συνῳκίζοντο, ἑαυτῷ δὲ μάλιστα καὶ Ῥωμαίοις ἐκπολεμώσας τοὺς κατὰ τὸν Αἷμον τὸ ὄρος βαρβάρους, οἳ Μυσοὶ πρότερον ὠνομάζοντο, νυνὶ δὲ Βλάχοι κικλήσκονται. οὗτοι γὰρ ταῖς δυσχωρίαις πεποιθότες, καὶ τοῖς φρουρίοις θρασυνόμενοι ἃ πλεῖστά τέ εἰσι καὶ ὀρθὰ κατ' ἀποτόμους κείμενα πέτρας, καὶ ἄλλοτε μὲν κατὰ Ῥωμαίων ἐμεγαλαύχησαν, τότε δὲ πρόφασιν εὑρηκότες, ὃ δὴ λέγεται, Πάτροκλον τὴν τῶν οἰκείων θρεμμάτων ἀπαγωγὴν καὶ κάκωσιν ἑαυτῶν, ἐς ἀποστασίαν
P. 237 λαμπρὰν ἀνεσκίρτησαν. ἦσαν δὲ οἱ τοῦ κακοῦ πρωτουργοὶ καὶ τὸ ἔθνος ὅλον ἀνασείσαντες Πέτρος τις καὶ Ἀσάν, ὁμογενεῖς καὶ ταυτόσποροι, οἳ καὶ μὴ δρῶντες τὴν νεωτέρισιν ἀπροφάσιστον προσίασι βασιλεῖ σκηνουμένῳ ἐν τοῖς Κυψέλλοις, αἰτούμενοι συστρατολογηθῆναι Ῥωμαίοις καὶ διὰ βασιλείου γράμματός σφισι βραβευθῆναι χωρίον τι βραχυπρόσοδον κατὰ τὸν Αἷμον κείμενον. ἀλλ' ἀπέτυχον τοῦ αἰτήματος· ἦν γὰρ ἡ θεία ἐπικρατεστέρα κίνησις. ὑπετονθόρυσαν οὖν ὡς παροφθέντες, εἰκαίως δὲ καὶ τὴν αἴτησιν ἐπανατεινάμενοι παρέπτυσάν τι καὶ ῥῆμα θερμότερον, τὴν ἀποστασίαν ὑπεμφαῖνον καὶ ὅσα ἐπανιόντες οἴκαδε δράσουσι, καὶ τούτων μάλιστα ὁ Ἀσὰν ὁ καὶ θρασύτερος καὶ ὠμότερος, ὃς καὶ τύπτεται κατὰ
B τῶν προσώπων ἐπιταγῇ τοῦ σεβαστοκράτορος Ἰωάννου, ἐπιπλη-

2. κατ'] περὶ τὴν ἀχελῷ διάκειντaι B. 11. πρωταίτιοι καὶ πρωτουργοὶ B. 18. ὑπετονθόρυζον A. 19. εἰκαίως] καὶ εἰκαίως τὴν A.

brare reformidat et sumptus illos ab urbibus et provinciis affatim exigit, cum alias urbes, praesertim Anchialo finitimas, afflixit, tum barbaros Haemi montis accolas sibi et Romano imperio infestissimos reddidit, qui olim Mysi, nunc Blachi nominantur. hi enim angustiis et castellis freti, quae plurima habent praeruptis saxis inaedificata, cum prius etiam Romanos parum curarent, tum per causam abacti pecoris et vexationum quas tolerassent aperte defecerunt. eius defectionis principes et auctores fuere duo ex illa gente fratres, Petrus et Asan; qui ne sine causa res novas moliri viderentur, imperatorem Cypsellis degentem adeunt, petentes ut in Romanas legiones referantur, et sibi praedium exigui reditus in Haemo monte situm assignetur. ea re non impetrata (nam fatorum vis prudentiam humanam superabat) submurmurabant ut contempti et voti impotes; et verbum audacius emiserunt, quo defectionem et ea quae domum reversi acturi essent innuebant, Asan praesertim, homo audacior et crudelior, cui ob impudentiam Iohannis Sebastocratoris iussu colaphus

χθεὶς εἰς ἀναίδειαν. καὶ οἱ μὲν ἄπρακτοι οὕτως ἐπανῆλθον καὶ περιύβριστοι· ὅσα δὲ κατὰ Ῥωμαίων οἱ ἀνοσιουργοὶ οὗτοι καὶ μιαροὶ διεπράξαντο, τίς ἂν ἐφίκοιτο λόγος, ἢ ποία διήγησις τοσαύτας κακῶν Ἰλιάδας συμπεριλήψεται; ἀλλὰ μήπω περὶ τούτων, τὸ δὲ λέγειν προβαινέτω μοι καθ' εἱρμόν.

5. Ἔτι τοῦ ἐκ Κομνηνῶν Ἰσαακίου κατατυραννεύοντος τῆς Κύπρου, καὶ μήτε χρημάτων ὑποσχέσεσιν ἀποσχέσθαι ταύτης προτιθεμένου μήθ' ὑποκλινομένου τῷ βασιλεῖ, οὔτε μὴν τὰ δεινὰ μετριάζοντος ὅσα ἐκακούργει κατὰ Κυπρίων ἀεὶ καινοτέρας κολάσεις ἐπινοῶν, ἔγνω κατ' αὐτοῦ στόλον καταρ- C τύσειν ὁ βασιλεύς. καὶ ἐπειδὴ μακραὶ νῆες ἡτοιμάσθησαν ἑβδομήκοντα, ναύαρχοι ἀναδείκνυνται ὁ Κοντοστέφανος Ἰωάννης, οὐδοῦ ἐπιβὰς γήραος, καὶ ὁ Κομνηνὸς Ἀλέξιος, ὃς εἰ καὶ εὐῆλιξ ἦν καὶ ἀνδρεῖος καὶ τοῦ βασιλεύοντος ἐξανεψιός, ἀλλ' ἐκκοπεὶς τὰς κόρας ὑπ' Ἀνδρονίκου ἀχρεῖος πρὸς τῶν ὅλων εἰς τὴν τότε στρατήγησιν συλλελόγιστο, καὶ μὴν οὐδ' αἴσιος ἐκρίνετο οἰωνός. καὶ δὴ ὁ μὲν ἐς Κύπρον πλοῦς ἀκίνδυνος καὶ τὸ πνεῦμα λίαν φορόν, ἠρέμα πως ἐμπῖπτον τοῖς λαίφεσι, τὰ δ' ἑξῆς καὶ μετὰ τὸ προσσχεῖν εἰς τοὺς Κυπρόθι λιμένας ἁπάσης ἀγριώτερα λαίλαπος· αὐτούς τε γὰρ ὁ τῆς Κύπρου κρατῶν Ἰσαάκιος συλλαβὼν ἐτροπώσατο, καὶ

6. τυραννεύοντος A. 10. ἐπινοούμενος A. 13. οὐδοῦ] ὁδοῦ A. 14. εὐῆλιξ] νέος B. 16. στρατήγησιν] στολαρχίαν λελόγιστο A. 19. κυπρόσε A. 21. συλλαβὼν] ἡττηκὼς ἐχειρώσατο A.

infringitur. ita non infecta modo re dimissi, sed contumeliis etiam irritati homines isti nefarii et conscelerati quomodo contra Romanos grassati sint, quis verbis consequatur? quae oratio tantum malorum pelagus complectatur? sed nondum de his, ne historiae series interrumpatur.

5. Comneno Isaacio Cyprum adhuc tenente, a qua neque pecuniae pollicitationibus neque imperatoris reverentia abstrahebatur, neque de crudelitate erga insulares quicquam remittente, sed subinde nova supplicia excogitante, classem contra eum imperator mittere statuit, et LXX longis navibus Iohannem Contostephanum, hominem senem, et Alexium Comnenum (qui etsi vir fortis et integrae aetatis erat et imperatoris nepos, tamen ob effossos ab Andronico oculos ad id munus non modo inutilis sed malum omen quoque ab omnibus iudicabatur) navarchōs praeponit. ac navigatio in Cyprum periculi expers fuit, secundis et lenibus ventis aspirantibus. sed ubi in portubus appulerunt, atrocissimam tempestatem sunt experti. nam Isaacius Cypri tyrannus eos et vicit et cepit; et potissimus pi-

D ὁ τῶν τότε κατὰ θάλατταν πειρατῶν κράτιστος, ὁ Μεγαρείτης καλούμενος, ἐπαμύνων Ἰσαακίῳ ἀνωϊστὶ ἐπέθετο ταῖς ναυσί, κεκενωμένας εὑρὼν τῶν ἀνδρῶν εἰς τὸν χερσαῖον ἐξιόντων πόλεμον. οἱ δὲ τριηράρχαι οὐ μόνον οὐδέν τι γενναῖον κατώρθωσαν, ἀλλὰ καὶ χερσὶ τῶν ἐναντίων εὐμαρῶς ἑάλωσαν. καὶ αὐτοὺς μὲν τῷ Μεγαρείτῃ ἐκδίδωσιν Ἰσαάκιος ἐς ὅ τι βούλεται χρήσασθαι· καὶ εἶχε τούτους μετὰ μικρὸν
V. 195 Σικελία καὶ ὁ ταύτης τύραννος, εἰς ὃν ὡς δεσπότην ὁ Μεγαρείτης ἀνέφερε τὰ ἑαυτοῦ. ὁ δ' Ἰσαάκιος πολλοὺς μὲν τῶν Ῥωμαίων μετὰ τὴν ἧτταν τοῖς οἰκείοις κατέλεξε τέλεσι, πολλοὺς δὲ καὶ ἀγρίαις ποιναῖς καθυπέβαλεν, ὁποῖος οὗτος ἀπαραίτητος ὢν κολαστής, ἐν οἷς καὶ τὸν Ῥενταχηνὸν Βασίλειον,
P. 238 πελέκει ἐκ τοῦ γόνατος θάτερον τῶν ποδῶν ἐκτεμών. ἦν δὲ ὁ ἀνὴρ οὗτος ἄριστος τὰ πολέμια, καὶ τῷ Ἰσαακίῳ τούτῳ ὡς Ἀχιλλεῖ ποτὲ Φοῖνιξ μύθων τε ῥητὴρ καὶ τῶν πολεμικῶν ἔργων διδάσκαλος πεφηνώς· ὀργιλώτατος δ' ὢν ἀνθρώπων ὁ Ἰσαάκιος καὶ κατὰ λέβητα καχλάζων ἀεὶ τῷ θυμῷ, παράφορά τε φθεγγόμενος ἐν τῷ χολᾶν καὶ τὴν κάτω γένυν προμαλέαν δεικνύς, καὶ ἄλλως δὲ οὐχ ἱλαρὰ θρέπτρα ἐκτίνειν εἰδώς, τοιαύτῃ τιμωρίᾳ τὸν ἑαυτοῦ καθυποβάλλει παιδαγωγόν. τὸ δὲ ναυτικὸν πλῆθος ἔνθα οἱ πρὸς βουλῆς διαφῆκεν ἴεσθαι, οἳ καὶ ὡς ἐκ ναυαγίου μακροῦ χρόνιοι τὰ οἴκοι κατέ-

1. ὁ ἐν τῇ θαλάσσῃ περιπατῶν κουρσάριος, ὁ ἀπὸ σικελίας μεγαρίτης B. 3. τῶν ἀνδρῶν] τοῦ στρατεύματος A, et ἐξιόντος. 4. δὲ] τοίνυν A. 5. εὐμ.] τέλος A. 13. πελέκει] τοὺς δύο πόδας ἐκκόψας ἀπὸ τῶν γονάτων αὐτοῦ B. 18. τὴν κάτω] τὰ καταμάγουλα τῶν γενείων αὐτοῦ ὑπὸ τῆς ὀργῆς κινῶν B. 19. δεικνύων A.

rata Megarita, qui opem ferebat Isaacio, clam naves vacuas militibus ad terrestre praelium egressis occupavit. itaque trierarchae non modo nullum illustre facinus ediderunt, sed denique etiam in hostium manus venerunt; et Megaritae arbitrio permissi ab Isaacio paulo post ad Siciliae tyrannum, ad quem ille ut dominum suas actiones referebat, sunt perducti. Isaacius vero post victoriam multos Romanos in suas cohortes retulit, multos crudelibus poenis affecit, ut erat tortor inexorabilis; atque inter caeteros Rentacenum Basilium, cui alterum pedem a genu securi resecuit. erat is vir bellicosissimus, et ut Achillem Phoenix, ita ipse olim Isaacium et in eloquentia et in re militari erudierat. ac tali praemio Isaacius omnium mortalium maxime iracundus, et in ira lebetis instar exaestuans, ac tremente mento absurde loquens, paedagogum suum est remuneratus. nauticam vero turbam, quo quisque vellet, abire sivit. qui tanquam ex diuturno naufragio, sero domum redierunt, si

λαβον, ὅσοι τέως μὴ τριῶν ἑνί τινι κακῷ θαλάσσης καὶ λιμοῦ καὶ τελευτῆς ἀπεγένοντο.

Τῶν δὲ Μυσῶν ἀποστασίαν μελετησάντων περιφανῆ, B καὶ ἀρχηγῶν τοῦ κακοῦ τοῦδε ὧν εἴρηκα γεγενημένων, ἔξεισι βασιλεὺς κατ' αὐτῶν. χρὴ δὲ κἀκεῖνα μὴ παριδεῖν ἀνιστόρητα. οἱ Βλάχοι ὤκνουν τὰ πρῶτα καὶ ἀπεπήδων πρὸς τὴν ἀπόστασιν εἰς ἣν ἐνήγοντο πρὸς τοῦ Πέτρου καὶ τοῦ Ἀσάν, τὸ τοῦ πράγματος μέγεθος ὑφορώμενοι. τῆς δὲ δειλίας ταύτης τοὺς ὁμογενεῖς ἀπάγοντες οἱ ταυτόαιμοι εὐκτήριον ἐδείμαντο οἶκον ἐπ' ὀνόματι Δημητρίου τοῦ καλλιμάρτυρος, εἰς ὃν πολλοὺς τῶν δαιμονολήπτων συνηθροικότες ἐξ ἑκατέρου γένους, αἱμωποὺς καὶ διαστρόφους τὰς κόρας, λυσιχαίτας, καὶ τἆλλα ἀκριβῶς διασώζοντας ὁπόσα οἱ τοῖς δαίμοσι κάτοχοι διαπράττονται, τοιάδε τούτοις ἐνθουσιῶσιν ὑπετίθουν C φθέγγεσθαι, ὡς ὁ θεὸς τοῦ τῶν Βουλγάρων καὶ τῶν Βλάχων γένους ἐλευθερίαν ηὐδόκησε καὶ τοῦ χρονίου ζυγοῦ ἐπένευσεν ἀπαυχένισιν, οὗ χάριν καὶ τὸν Χριστομάρτυρα Δημήτριον ἀπολιπεῖν μὲν τὴν Θεσσαλονικέων μητρόπολιν καὶ νεὼν τὸν ἐκεῖ καὶ τὰς παρὰ Ῥωμαίοις διατριβάς, ἐς δ' αὐτοὺς ἀφικέσθαι ὡς ἐπαρήξοντα καὶ συλλήπτορα τοῦ ἔργου ἐσόμενον.

1. ὅσοι μὴ ἐκ τρ. A. 2. τελευτῆς] θανάτου παραπώλοντο A. 3. μελετησάντων] νοσησάντων A. 4. γενομένων A. 7. ἀπόστασιν] ἐγχείρησιν A. πρὸς] παρὰ A. 8. μέγεθος] ἐργώδες A. 10. εἰς ὃν] καὶ ἐν αὐτῷ πολλοὺς δαιμονολήπτους, ἅτινα καὶ ψυχάρια ὀνομάζουσι, περισυνάξαντες ἀπὸ διαφόρων γενῶν, καὶ ἑτέρους ἀναξυμαλίους καὶ κουτρουλοὺς κωραγίους, πράττοντας ὅσα καὶ οἱ δαιμονιακοὶ ποιοῦσι, τύπτοντες ἑαυτοὺς μετὰ σιδήρων B.

qui ex tribus malis uno, videlicet mari fame aut morte, non perierant.

Cum Mysi aperte defecissent, ab iis quos dixi impulsi, imperator bellum eis infert. sed nec illud praetereundum est. cum Blachi principio ab eo conatu ad quem a Petro et Asane inducebantur, rei difficultate territi, abhorrerent, fratres, ut popularibus suis eum metum adimerent, aedem nomine praeclari martyris Demetrii aedificarunt, in eamque multos daemoniacos utriusque sexus coegerunt, qui cruentis et perversis pupillis effusisque crinibus caetera omnia exquisite exprimebant, quae id genus hominum propria habet; eosque docebant in furore proloqui deo visum esse ut gens Bulgarorum et Blachorum diuturno iugo excusso libertatem consequatur, eaque de causa Christi martyrem Demetrium, relicta metropoli Thessalonica et aede Romanorumque consuetudine, ad ipsos pervenisse, adiuturum id opus. igitur vecordes isti homines paulum morati, et subito maiore spiritu collecto rursus alienati, exagitabantur, et clara voce

ἀνακωχευόμενοι δὲ πρὸς βραχὺ οἱ παράφοροι οὗτοι, καὶ αἴφνης τὸ πνεῦμα πλεῖον συλλέγοντες, ἐπιληπτευόμενοι αὖθις διεσοβοῦντο καὶ ἐβόων ἐνθεαστικὸν καὶ διάτορον μὴ εἶναι τὸ ἀπὸ τοῦδε ἕδρας ἀκμήν, ἀλλ' ὅπλα μετὰ χεῖρας λαβεῖν καὶ Ῥωμαίοις ὁμόσε χωρεῖν, τοὺς δέ γε συλλαμβανομένους κατὰ πόλεμον μὴ ζωγρεῖν ἀλλ' ἀποσφάττειν καὶ καταχαίνειν
D ἀνηλεῶς, μηδ' ἐπὶ λύτροις ἀφιέναι, μηδ' ἐπικάμπτεσθαι δεήσεσι, μηδὲ γονυκλισίαις θηλύνεσθαι, ἀλλ' ὥσπερ τινὰς ἀδάμαντας πρὸς πᾶσαν ἀνενδότους εἶναι παράκλησιν καὶ φθείρειν ἁπαξάπαντας τοὺς συλληφθέντας. ὑπὸ θεοπρόπων οὖν τοιούτων ὅλον τὸ γένος ἐξομιληθέντες τῶν ὅπλων ἅπαντες γίνονται. καὶ ὡς αὐτίκα εὐημερήθη τούτοις τὰ τῆς ἀποστασίας, ἔτι μᾶλλον ἔθεντο τῇ ἐλευθερίᾳ σφῶν ἐπευδοκεῖν τὸν θεόν. καὶ μικρὸν ἡγησάμενοι τὸ καθ' ἑαυτοὺς ἄνετον καὶ ἀπόλυτον, καὶ κατὰ τῶν ἄποθεν τοῦ Αἵμου κωμοπόλεων καὶ συγκτήσεων ἐμπλατύνονται. ἅτερος δὲ τῶν ὁμαιμόνων ὁ Πέτρος καὶ στεφανίσκῳ χρυσέῳ διαδεῖται τὴν κεφαλήν, καὶ τοῖς ποσὶν ὑπορράπτει καὶ περιτίθησι κοκκοβαφὲς πέδιλον. τῇ δὲ Πρισθλάβᾳ προσβαλόντες (πόλις δ' αὕτη ὠγυγία, ἐκ πλίνθου πᾶσα ὀπτῆς, καὶ πλείστην ὅσην περὶ τὸν Αἷμον τὴν περίμετρον ἔχουσα) ὡς οὐκ ἀκίνδυνον ἑώρων τὴν πολιόρκησιν, αὐ-
P. 239 τὴν μὲν ἀντιπαρέρχονται, τὸν δ' Αἷμον ὑποκατέρχονται,

3. ἀνεσοβοῦντο A. ἐνθεαστικῶς A. 4. ἀκμήν] καιρόν A. 6 post ζωγρεῖν APW μὴ ζωογονεῖν. 10. πάντα τὸν συλληφθέντα A. 13. σφῶν] σφόδρα A. 14. καὶ μικρὸν] ὅθεν οὐδὲ ἀνέχονται ἐν τοῖς τόποις εἶναι αὐτῶν, ἀλλὰ καὶ κατὰ τοῦ ἔξω λεγομένου ζυγοῦ ἐξέρχονται B. 18. κοκκοβαφὲς] ὑποδήματα κόκκινα A. 19. πρεσθλάβα B. ὠγυγία] μεγάλη ἐκτισμένη γύροθεν στερρῶς μετὰ τούβλων καὶ ἀσβέστων B.

quasi numine afflati clamitabant non amplius desidiae esse locum, sed arreptis armis Romanos invadendos esse; et qui in bello caperentur, non conservandos aut vendendos, sed inclementer occidendos esse, et prece et precio repudiatis, neque magis ulla obtestatione moveri oportere quam adamantem. tota igitur gens a talibus vatibus concitata ad arma concurrit; et ut initia defectionis auspicata fuerunt, magis etiam credidere deum libertati suae favere. nec ea contenti in oppida et praedia ab Haemo remota diffunduntur. alter vero fratrum Petrus auream corollam imponit capiti et pedibus coccineos calceos inducit. Pristhlabam aggressi (urbs ea Ogygia est, tota latericia et maximum Haemi spatium complexa) ut oppugnationem non esse tutam videbant, ea praeterita ex Haemo descendunt; et Romana oppida subito adorti multos ingenuos homines, multos boves et iumenta aliarumque pecudum in-

Ῥωμαϊκαῖς δ' ἑτέραις ἐπικαταρραγέντες ἀπροσδόκητοι κωμοπόλεσι πολλὰ μὲν σώματα Ῥωμαίων ἐλεύθερα πολλοὺς δὲ βόας καὶ ὑποζύγια καὶ τῶν ἄλλων βοσκημάτων χρῆμά τι οὐκ ἐλάχιστον διαρπάζουσιν. ἔξεισι τοίνυν κατ' αὐτῶν Ἰσαάκιος. οἱ δὲ τῶν δυσχωριῶν καὶ ἀπροσβάτων αὖθις ἐπιλαβόμενοι ἀντέσχον ἐπὶ πολύ. γνόφου δὲ παρὰ δόξαν ἀναβάντος ὑπὸ V. 196 θεοῦ, ὃς σκότος τίθησι τὴν οἰκείαν ἀποκρυφήν, καὶ τὰ ὄρη καλύψαντος ἃ ἐτήρουν οἱ βάρβαροι τὰς τῶν παρόδων στενὰς προλοχίσαντες, λαθὸν Ῥωμαῖοι λάθρᾳ αὐτοῖς ἐπιστάντες, καὶ διασκεδάζουσιν οὕτω καταπλῆγας θέμενοι. καὶ οἱ μὲν ἀρχηγοὶ τοῦ κακοῦ καὶ τῆς στρατιᾶς, ὁ Πέτρος δηλαδὴ καὶ Ἀσάν, B καὶ ὅσον περὶ αὐτοὺς ἑταιρικὸν ἀποστατικόν, κατὰ τὴν τῶν εὐαγγελικῶν χοίρων ἀγέλην ὡς εἰς θάλασσαν τὸν Ἴστρον ὥρμησαν, καὶ τοῦτον διαπλωϊσάμενοι τοῖς ἐκ γειτόνων Σκύθαις προσέμιξαν· ὁ δὲ βασιλεὺς κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν πᾶσαν τὴν Μυσίαν ἔχων περιελθεῖν καὶ φρουρὰν ἐπιστῆσαι ταῖς ἐκεῖσε πόλεσιν, αἳ πολλαὶ μέν εἰσι κατὰ τὸν Αἷμον, αἱ δὲ πλείους ἢ γοῦν ἅπασαι σχεδὸν ἐπὶ πετρῶν ἀποτόμων καὶ περινεφῶν γηλόφων πεπολισμέναι, τοιοῦτον μέντοι οὐδέν τι καὶ διαπέπραχε, πυρὶ δὲ τὰς θημωνίας τῶν καρπῶν παραδοὺς καὶ τοῖς τῶν ἐφθέντων Βλάχων φενακισμοῖς ὑπαχθεὶς παλίμπους ἐκ τοῦ παραυτίκα γίνεται, ἔτι ἀδί- C νοντα παρεὶς τὰ ἐκεῖσε. ὅθεν εἰς πλατύτερον μᾶλλον ἐπῆρε τοὺς βαρβάρους κατὰ Ῥωμαίων μυκτῆρα καὶ πλειόνως ἠρρένωσεν.

1. καὶ ῥωμαϊκαῖς ἐπικατ. ἀδόκητοι A. 3. τι μέγα δ. A. 14. Σκύθαις] κομάνοις B. 16. πᾶσαν] τὴν ὅλην ζαγορὰν διελθεῖν B. 21. τοῖς τῶν προσκυνησάντων αὐτῶν ἀπατηλοῖς λόγοις ἀπατηθεὶς B.

gentem numerum abducunt. Isaacio adventante rursus in angustiis et inaccessis locis abditi diu restiterunt. sed caligine praeter expectationem a deo; cuius latebrae in tenebris sunt, excitata, et montes quos barbari aditu angustiarum obsesso tuebantur involvente, Romani eos imprudentes oppresserunt; et terrore attonitos ita dissiparunt, ut mali istius auctores et duces cum amicorum coetu, ut ille porcorum grex in evangelio in mare, ita ipsi in Istrum illapsi ad finitimos Scythas traiicerent. imperator vero, cum nemine prorsus prohibente totam Mysiam pervagari et praesidia in urbes, quae pleraeque in Haemo sunt, sed plures ac potius fere omnes in praeruptis rupibus et altissimis tumulis extructae, introducere liceret, neutrum fecit, sed cumulis frumenti incensis supplicum Blachorum confictis verbis deceptus statim retro abiit, relictis illis rebus adhuc plane exulceratis: unde factum ut barbari Romanis audacius insultarent.

6. Ὁ μὲν γὰρ τὴν βασιλίδα καταλαβὼν ἐπὶ τοῖς κατωρθωμένοις ἦν βρενθυόμενος, ὡς καί τινα τῶν ἐπὶ τῷ δικάζειν (ἦν δὲ οὗτος ὁ Μοναστηριώτης Λέων) παθήνασθαι εἰπόντα τὴν τοῦ Βασιλείου τοῦ Βουλγαροκτόνου ψυχήν, ὅτι τὸ τυπικὸν αὐτοῦ βασιλεὺς παρεβλέψατο καὶ ὅσα ἐπὶ τῇ τοῦ Σωσθενίου μονῇ ἐκεῖνος διέθετο, καὶ κατὰ τοῦτο νεωτερίσαι τοὺς Βλάχους, ἐρεσχελῶν καὶ διασύρων οὐ καθυφῆκε βραχὺ ὡς δῆθεν σφαλέντα περὶ τὴν πρόρρησιν, φάσκων ὡς αὐτὸς αὖθις
D εἰς τὴν προτέραν ὑποταγὴν καὶ δουλείαν τοὺς ἀποστάτας συνέπεισέ τε καὶ ἐπανήγαγεν ἀκαριαίως οὕτως ὡς οὐδὲ χρονίως ἐκεῖνος, καὶ μάτην αὐτὸν ὡς ἀπὸ δαφνηφάγου λαιμοῦ καὶ Δελφικοῦ μαντικοῦ τρίποδος ἀπερεύγεσθαι τὰ τοῦ ψεύδους ὀδωδότα καὶ διάκενα θεοπρόπια. οἱ δὲ περὶ τὸν Ἀσὰν βάρβαροι τὸν Ἴστρον διαβάντες καὶ τοῖς Σκύθαις συμμίξαντες, πλεῖστον ἐκεῖθεν συμμαχικόν, καθὼς ᾔρουντο, στρατολογήσαντες ἐς τὴν πατρίδα Μυσίαν ἐπανῆκον, καὶ σεσαρωμένην ἀτεχνῶς εὑρόντες αὐτὴν καὶ Ῥωμαϊκοῦ κεκενωμένην στρατεύματος μετὰ κόμπου ἐπεισέφρησαν μείζονος, οἷα λεγεῶνας πνευμάτων τὴν ἐκ Σκυθῶν ἐπαγόμενοι σύναρσιν. ὅθεν οὐδ'

1. ὁ μὲν οὖν βασιλεὺς τὴν βασιλίδα πόλιν καταλαβὼν ἐγκαυχώμενος ἦν ἐπὶ τοῖς διαπραχθεῖσιν αὐτῷ ἔργοις, ὡς καί τινα τῶν κριτῶν (ὑπῆρχε δὲ οὗτος ὁ μοναστηριώτης λέων) λυπηθῆναι ἔφη εἰπόντα τὴν τοῦ βασιλέως βουλγαροκτόνου ψυχήν. ἐκεῖνος γὰρ ὅτε τούτους εἰς τέλος διέφθειρε, διετάξατο, εἴπερ πάλιν εἰς ἀποστασίαν ποτὲ τραπῶσιν οἱ βλάχοι, οὕτως ὀφείλει ὁ μέλλων καταπολεμῆσαι αὐτοὺς ποιῆσαι τὰ αὐτοῦ κατουνοτόπια καὶ εἰσελθεῖν εἰς αὐτούς, καὶ τὴν τοιαύτην διάταξιν ἐν τῇ τοῦ σωσθενίου μονῇ ἔθηκεν. ἐψεύσατο γοῦν ἡ τοιαύτη διάταξις, καθότι σύ, βασιλεῦ, ἃ διὰ πολλῶν χρόνων ἐκεῖνος διετάξατο πληρωθῆναι, οὕτω συντόμως διῆλθες ὡς οὐδὲ εἰς ἐνθύμησιν ἀνέβη ἐκείνου ποτέ, γελῶν δῆθεν καὶ ἐμπαίζων τὰ παρ' ἐκείνου διατεταγμένα. B. 4. τοῦ βουλγ. βασ. A. 6. διέθετο] διετετάχει A. 16. τὴν πατρίδα αὐτῶν ζαγορὰν καταλαμβάνουσι, καὶ φιλοκαλημένην ταύτην εὑρόντες B.

6. Nam is quidem in urbem reversus ut re bene gesta gloriabatur: quidam vero ex ordine iudicum, Monasteriotes Leo, salse dicebat Basilii Bulgaroctoni animam dolere, qui cum Bulgaros funditus delevisset, edixerit, si quando Blachi denuo novis rebus studuerint, suum exemplum imitandum esse, et provinciam castris in ea positis peragrandam ei qui bellum cum eis gesserit, eo edicto in Sosthenii monasterio affixo. quod nunc sit irritum, quod imperator ea quae ille multis annis confici iusserit, tam exiguo momento absolverit [illegible] nihil in mentem venerit. Asan vero maximis [illegible] copiis suo arbitratu delectis reversus, cum

ἠγάπων εἰ τὰ ἑαυτῶν ἔχουσι σώζειν καὶ τὴν τῆς Μυσίας μόνην περιβαλοῦνται τοπάρχησιν, ἀλλ' εἰ μὴ καὶ τὰ Ῥωμαίων μέγιστα βλάψουσι καὶ τὴν τῶν Μυσῶν καὶ τῶν Βουλγάρων δυναστείαν εἰς ἓν συνάψουσιν ὡς πάλαι ποτὲ ἦν, οὐδαμῶς ἠνείχοντο. καὶ ἦν ἂν διασούμενα τὰ καλά, εἴπερ αὐτὸς καὶ πάλιν ὁ βασιλεὺς κατὰ τῶν ἀποστάντων ἐξώρμησε. πλὴν ἀλλ' P. 240
αὐτὸς μὲν τὴν οἰκείαν ὁρμὴν εἰς ἕτερον καιρὸν ὑπερέθετο, τὴν δ' ἀρχηγίαν τῷ πρὸς πατρὸς ἐνεχείρισε θείῳ τῷ σεβαστοκράτορι Ἰωάννῃ. ὁ δὲ οὐκ ἐπισφαλῶς ἀλλ' ὡς ἄγαν ἐπαινετῶς διακυβερνήσας τὴν στρατιάν, καὶ τοὺς πολεμίους ἐν τῷ συμβαλεῖν λυπήσας οὐχὶ βραχέα εἰς ὁμαιχμίαν συσπειρωθέντας καὶ εἰς πεδία ὑποκαταβάντας ἱππήλατα, μετὰ μικρὸν τὸν στρατηγὸν ἀποζώννυται, ὑποβλεπόμενος βασιλειᾶν. διαδέχεται δὲ τὴν ἡγεμονίαν ὁ Καῖσαρ Ἰωάννης ὁ Καντακουζηνός, γαμβρὸς ὢν τοῦ βασιλέως ἐπ' ἀδελφῇ. ἀνὴρ δ' οὗτος V. 197

1. τῆς Μυσίας] τῆς ὅλης ζαγορᾶς B. 5. ἦν ἂν] ἔμελλεν ἄν τι γενέσθαι καλόν B. 14. δὲ om A. 15. ἀνὴρ — πρότερον] ἦν δὲ ὁ ἀνὴρ τὴν ἡλικίαν μακρὸς καὶ ἀνδρεῖος τὴν ψυχὴν καὶ μεγαλόφωνος καὶ ἐν πολέμοις δόκιμος, ἀεί ποτε δὲ ἐδυστύχει ἐν τοῖς πολέμοις δι' ἣν εἶχε θρασύτητα καὶ ἀλαζονείαν· ἐξωρύχθη δὲ καὶ τοὺς ὀφθαλμοὺς παρὰ Ἀνδρονίκου μετὰ τῶν ἄλλων. ὅθεν καὶ τοὺς βαρβάρους ὁ Καῖσαρ ἀκούων ἐν ὄρεσι διάγειν καὶ μὴ εἰς τὸν κάμπον κατέρχεσθαι, μὴ διαλογισάμενος ὅτι διὰ τὴν αὐτῶν ἀνάπαυσιν καὶ ἀσφάλειαν ἐν τοῖς τοσούτοις εὑρίσκονται ὄρεσιν, ἀλλὰ δειλίαν τοῦτο κρίνας αὐτῶν, μέσον τοῦ κάμπου ἐποίει τὰ αὐτοῦ κατουνοτόπια, μήτε φυλακὰς ἔχων ἀκριβεῖς ἢ βίγλας, μήτε μὴν βάλλων χάρακα. νυκτὸς οὖν αὐτῷ οἱ βάρβαροι ἐπιθέμενοι, μόλις αὐτὸς διασώζεται, καὶ τὸ στράτευμα πολυτρόπως ἐκάκωσαν· οἱ μὲν γὰρ ἐξ αὐτῶν ἐν ταῖς τένταις κείμενοι ὑπὸ τῶν ἐχθρῶν καταλαμβανόμενοι ἐφονεύοντο, οἱ δὲ ἀναρμάτωτοι φεύγοντες ἐζωγροῦντο. ὅσοι δὲ φυγεῖν ἠδυνήθησαν καὶ πρὸς τὴν τοῦ Καίσαρος κατοῦναν ἐλθεῖν, πικρότερον αὐτὸν ὑπὲρ τῶν πολεμίων εὕρισκον, ὑβρίζοντα καὶ διαβάλ-

Mysiam patriam perpurgatam et Romano exercitu vacuam reperisset, factus insolentior et iactantior, Mysiae incolumitate et dominatu non contentus, maxima Romanis detrimenta inferenda et Mysorum ac Bulgarorum dominatum, ut olim fuisset, omni contentione coniungendum esse censuit. quodsi ipse imperator, ut prius, iterum ad bellum exiisset, fortasse res bene gesta esset: verum is alacritate sua in aliud tempus dilata Iohannem sebastocratorem patruum suum cum imperio ablegavit; qui exercitu non temere sed plane laudabiliter gubernato, et hosti, qui contractis in unum copiis in planitiem descenderat, non parvis cladibus illatis, imperium ob affectati regni suspicionem deponere iubetur, et in eius locum Iohannes Cantacuzenus Caesar, qui imperatoris sororem in matrimonio habebat, suffi-

ἀξιοθέατος τὸ εἶδος καὶ πλουτῶν ἐμπειρίαν τῶν τακτικῶν, τότε δὲ οὐ καλῶς τὸν κατὰ Βλάχων διεστρατήγησε πόλεμον.

λοντα ὡς προδότας αὐτούς. θέλων γοῦν ὁ Καῖσαρ τὴν ἑαυτοῦ νίκην ἀνακαλέσασθαι, ἡρματώθη καὶ ἐκαβαλλίκευσε Ἀραβικὸν φαήν, καὶ ἔλαβε καὶ κοντάριον εἰς τὰς χεῖρας αὐτοῦ, καὶ ὥρμησε κατὰ μέσον τῶν πολεμίων κράζων καὶ λέγων „ἀκολουθεῖτέ μοι," μὴ βλέπων, μηδὲ γινώσκων ὅπῃ πορεύεται ἢ τί ἐν τῷ στρατῷ γίνεται. νικηθέντων οὖν οὕτω τῶν Ῥωμαίων καὶ φευγόντων, ἡρπάγησαν παρὰ τῶν βαρβάρων αἱ κατοῦναι πᾶσαι καὶ τὰ χρυσοϋφῆ ῥοῦχα τοῦ Καίσαρος, τὰ μετὰ τῶν γερανέων χρωμάτων σεσημειωμένα, καὶ τὰ φλάμουλα, ἅτινα καὶ ἐνεδύσαντο ὁ Πέτρος καὶ ὁ Ἀσὰν προπορευόμενοι ἔμπροσθεν τοῦ στρατοῦ αὐτῶν. καὶ ἐπὶ τὸν κάμπον ἔκτοτε κατελθόντες τὰς τέντας αὐτῶν ἐκεῖ ἔστησαν καὶ κατεσκήνωσαν. παραλυθεὶς δὲ ἀπὸ τῆς τοιαύτης ἀρχῆς ὁ Κανταχουζηνὸς Καῖσαρ, ἀνηγορεύθη στρατηγὸς τοῦ ὅλου στρατεύματος ὁ Βρανᾶς Ἀλέξιος, βραχὺς μὲν κατὰ τὴν ἡλικίαν, βαθὺς δὲ τὴν γνώμην καὶ ποικίλος τὴν φρόνησιν καὶ τῶν εὑρισκομένων τότε ἀνθρώπων ὁ στρατηγικώτατος. ἀλλ' οὗτος τὴν στρατιὰν παραλαβὼν οὐ θρασέως ἀλλὰ μετὰ ἀσφαλείας καὶ φυλάξεως τὰ τούτου ἐποίει κατουνοτόπια, τακτικῶς τοῖς ἔμπροσθεν προπορευόμενος, καὶ προθυμοποιούμενος θλίβειν τοὺς ἐχθρούς, ἐπιμελούμενος δὲ ὅπως καὶ ὁ στρατὸς ἅπας ἀκινδύνως διέρχεται. διελθὼν δὲ τόπους δυσβάτους πολλοὺς φθάνει κατά τινα τόπον Μέλανα βουνὸν καλούμενον, κἀκεῖσε κατασκηνοῖ καὶ χάρακα βάλλει, καὶ ἐφαίνετο ὡς καὶ χρηστότερόν τι ἐργάσηται. ἔχων δὲ δι' ἐπιθυμίας ἀεί ποτε καὶ φανταζόμενος εἰς τὸ ὕψος ἀναβῆναι τῆς βασιλείας, τότε τὸν ἅπαντα σκοπὸν αὐτοῦ ἐφανέρωσεν. ὁ αὐτὸς γὰρ Βρανᾶς καὶ πρῶτον, ὅτε εἰς τὸν κατὰ τῆς Σικελίας πόλεμον στρατηγὸς παρὰ τοῦ βασιλέως κατέστη καὶ τὸ ἐξ Ἀλεμανῶν συμμαχικὸν ἀνελάβετο, διακρίνας ὡς ἀρκετόν ἐστι συνεργῆσαι αὐτῷ πρὸς τὸν σκοπὸν αὐτοῦ (οὐ γὰρ ἐθάρρει τοσοῦτον τὸ στρατιωτικὸν σύνταγμα ὥστε τὴν βουλὴν αὐτοῦ φανερῶσαι), ἔγνω καὶ αὐτὸς βαδίσαι τὴν ὁδὸν ἣν ὁ βασιλεὺς Ἰσαάκιος ἐβάδισε καὶ ἐβασίλευσεν· ἐξελθὼν γὰρ νυκτὸς καὶ πρὸς τὸν μέγαν τῆς ἁγίας Σοφίας ναὸν εἰσελθὼν καὶ μέσον τοῦ ἱεροῦ στὰς παρεκάλει τοὺς εἰσερχομένους βοηθῆσαι αὐτῷ ἀπὸ τῆς ἀδίκου καὶ παραλόγου τοῦ βασιλέως ὀργῆς, λέγων ὅτι „οὐδὲν προσέκρουσά τι ἢ ὅλως ἔξω τοῦ ὁρισμοῦ καὶ τοῦ θελήματος ἐγενόμην αὐτοῦ." καὶ ἤρξατο ἐγκαυχᾶσθαι ἐν τοῖς αὐτοῦ στρατηγήμασιν. „οὐ γινώσκετε, ὦ ἄνδρες, ὅσα ἐν πολέμοις ἠνδραγάθησα, καὶ δεύτερον καὶ τρίτον διὰ στρατηγικῶν μεθόδων τοὺς ἐχθροὺς ἐνίκησα." καὶ ἐκίνει πρὸς στάσιν τὸν λαόν. ὡς δὲ εἶδε μηδὲν πρὸς τὸν σκοπὸν αὐτοῦ γίνεσθαι, ὅρκους ἐκ βασιλέως δεξάμενος τὴν στάσιν διέλυσεν, ἔτρεφε δὲ ὅμως καὶ εἶχε καθ' ἑαυτὸν τὸν τοιοῦτον τῆς ἀποστασίας σκοπόν. ὡς δὲ τότε καιρὸν ἐπιτήδειον εὗρε καὶ ἔλαβεν ἐξουσίαν τὸ στρατηγὸς εἶναι ἁπάσης τῆς στρατιᾶς, ἔχων καὶ τὸν ἅπαντα στρατὸν μεθ' ἑαυτοῦ, εἰς φανερὸν τὰ ἐν κρυπτῷ μελετώμενα ἀνεκήρυξε. Bk

citur. erat is vir procera statura, forti animo, voce magna, bellicosus, sed ob audaciam et arrogantiam fere perpetuo adverso Marte pugnabat, inter alios et ipse ab Andronico excaecatus. cum autem

ὅθεν διαδέχεται τὴν ἡγεμονίαν ὁ Βρανᾶς Ἀλέξιος. ὁ δὲ καὶ πάλαι μὲν ἐνήδρευε τῇ βασιλείᾳ, ἡνίκα τὸν κατὰ Λατίνων ἐστρατήγει πόλεμον, ὥστε καὶ νύκτωρ· τοῦ τεμένους ἄδυτον εἰσιὼν ἀνασείειν πρὸς ὑποστασίαν ἐπειρᾶτο τὸν ὄχλον. ὡς δ' οὐ προυχώρει τηνικαῦτα τὰ ἑαυτοῦ διαβούλια, σπονδὰς ἐκ βασιλέως δεξάμενος τὴν μὲν ἔφεσιν καὶ πάλιν ἔτρεφε τὴν αὐτήν, κατέχων βίᾳ καὶ ἄγχων ὥς ἵππον εὐήνιον τὸ ἐνδόμυχον φίλαρχον, τότε δὲ ὡς ξυρὸς ἀκόνης τῆς συνδρομῆς τῶν στρατευμάτων λαβόμενος ὑπέθηξεν ἑαυτὸν πέρας ἐπιθεῖναι τοῖς σκεπτομένοις πρότερον. καὶ δὴ συμβούλοις εἰς τοῦτο P. 241

barbaros vitata planitie in montibus se tenere audivisset, non cogitavit illos reficiendarum virium causa, et quo tutiores sint, ibi commorari: sed id factum timiditatem interpretatus in medio campo castra posuit, neque custodiis neque excubiis accuratioribus usus, neque vallo communito. itaque noctu a barbaris oppressus vix evadit, exercitu variis modis afflicto: nam alii iacentes in tentoriis occidebantur, alii inermes in fuga capiebantur. qui vero usque ad Caesaris tabernaculum profugerant, maiorem eius quam hostium acerbitatem sunt experti, a quo contumeliis ut proditores proscindebantur. ut autem susceptum dedecus aboleret, armatus Arabicum equum conscendit, scutoque in manus sumpto in confertos hostes est invectus, vociferans „sequimini me," cum nec videret neque sciret quo iret aut quid in castris fieret. Romanis ita victis et fugientibus, omnia tabernacula sunt direpta et vexilla capta et aureae Caesaris vestes ferrugineo colore interpunctae; quas Petrus et Asan induerunt, ante exercitum incedentes, et tabernacula sua in planitie fixerunt. imperio Cantacuzeno Caesari abrogato, dux totius exercitus declaratus est Branas Alexius, brevi quidem ille statura, sed magno ingenio et prudentia vir, atque illa aetate summus imperator. qui exercitu suscepto, non confidenter sed circumspecte castra metabatur, instructa progrediens acie, atque in id intentus ut et hostem detrimentis afficeret et omnes copias periculi expertes conservaret. ita multis angustiis superatis, ad locum qui Niger tumulus dicitur pervenit. ibi castris positis valloque munito rei bene gerendae spem hominibus afferebat. sed cum regni cupiditate perpetuo aestuaret, tum animum suum declaravit. nam idem Branas cum primum ab imperatore dux ad bellum Siculum missus, auxilia Germanorum quae acceperat satis habere virium ad iuvandos conatus suos ratus (nam Romanis legionibus tantum non fidebat ut eis consilium suum aperire auderet) eandem viam et ipse ingredi statuit quae Isaacium ad imperium perduxisset. igitur magnum S. Sophiae templum ingressus, in medio stans opem introeuntium contra iniquam et perversam imperatoris iram, quem nulla re offendisset neque quicquam praeter mandata et voluntatem eius fecisset, implorat, et res gestas suas celebrare instituit. „an ignoratis" inquit, „viri, quam fortiter in bellis me gesserim? ut hostes iterum ac tertium industria mea superarim?" et populum ad seditionem concitat. ut autem se nihil proficere videbat, promissa ab imperatore impunitate coeptis destitit, eadem cupiditate nihilominus retenta; cuius

V. 198 χρησάμενος τοῖς ὅσοι κατὰ γένος ἐκείνῳ συνήπτοντο πατριώ-
ταις (ἐκ τῆς Ἀδριανοῦ δὲ ὥρμηντο πόλεως), πολλοῖς οὖσι
καὶ σύμπασι δυνατοῖς, τὸ ἐρυθρὸν ὑποδύεται πέδιλον, καὶ
μεταβὰς ἐκεῖθεν εἰς τὴν πατρίδα καὶ πρὸς παντὸς ἀναγορευ-
θεὶς τοῦ στρατεύματος αὐτοκράτωρ τὴν ἐς τὴν βασιλεύουσαν
πόλιν στέλλεται, καὶ περὶ τὸ ἔξω λεγόμενον καταστρατοπε-
δεύεται Φιλοπάτιον. περὶ δὲ δείλην μετὰ τῶν εὐοπλοτάτων
δυνάμεων τῷ τείχει προσπελάσας τῆς πόλεως, ἵππῳ ἔποχος
D ὢν παρὰ τοσοῦτον μὴ παντὶ μέλανι παρ' ὅσον λευκαὶ τρίχες
ἐς κύκλον σεληναίας περιαγόμεναι φυεῖσαι ἦσαν περὶ τὸ μέ-
τωπον, τοῖς ἐπὶ τῶν τειχῶν βασιλικοῖς καὶ θεαταῖς τῶν δρω-
μένων ἀστυπολίταις ἀπειλητὴς ἅμα καὶ παραινέτης ἐδείκνυτο.
τὰ μὲν γὰρ αὐτοῦ φρονοῦντας εὖ παθεῖν ἔφασκεν, ὡς ἄρα
καὶ εἰ διαπετάσαντες τὰς πύλας αὐτὸν εἰσδέξονται, σωτῆρά
τε καὶ εὐεργέτην εὑρήσουσιν· εἰ δὲ διὰ τῆς θύρας εἰσιόντι
καὶ μὴ ἀναβαίνειν ἀλλαχόθεν ἐθέλοντι ἀντιβαῖεν δήπου καὶ
ἀντισταῖεν, πάντως κλέψας τὴν εἴσοδον καὶ ληστεύσας τὴν
βασιλείαν ἐκεῖνα ἀνεπεγκλήτως ἐργάσαιτο ὁπόσα καὶ ὠμησταὶ
θῆρες τοὺς ποιμένας παρωσάμενοι καὶ μὴ διὰ τῆς αὐλῆς τῶν
προβάτων ἀλλ' ἑτέρωθεν εἴσω παριόντες. ταῦτα καὶ τοιαῦθ'
ἕτερα μεγαλαυχήσας, καὶ ἅμα παράταξιν ἐνδειξάμενος ὁποίας
χρεία τοῖς ἑτοιμασθεῖσιν εἰς πόλεμον, πρὸς τὸ οἰκεῖον στρα-
P. 242 τόπεδον ὑπενόστησε. τῇ δ' ἐπιούσῃ ἄρτι τοῦ ἡλίου τὰ ἑῷα
φαυσιβολοῦντος πρὸς τοῖς τείχεσιν αὖθις τῆς πόλεως γίνεται,

10. περιγραφόμεναι A.

tum explendae occasione data, cum totius dux exercitus esset declaratus, quae diu animo celarat in apertum protulit. cognatisque suis in consilium adhibitis, qui Adrianopolim, ut et ipse, patriam habebant, multis et potentibus viris, rubrum calceum induit; atque inde in patriam digressus, et ab omni exercitu imperator salutatus, ad urbem imperatricem contendit, et castris ad exterius Philopatium positis vesperi cum instructissimis copiis ad moenia accedit, equo plane nigro insidens, nisi quod in fronte albam maculam instar lunaris orbis habebat, et imperatorios milites et cives, qui ex moenibus illa spectabant, simul et monet et minis terret. nam si portis apertis ultro in partes suas concesserint, servatorem et benefactorem habituros: sin per ianuam et non aliter ingredi cupienti restiterint, utique si clam ingressus et imperium latrocinio quodam consecutus fuerit, se causam habiturum sic agendi cum eis ut immanes ferae, quae pulsis pastoribus caulas perfregerint. quae cum iactasset, acie velut ad pugnam instructa in castra revertitur. postridie sole orto

κἀπὶ ταῖς χερσαίαις πύλαις ἀντιτάξας τὴν στρατιάν, αἳ τοῦ Χαρσίου λέγονται, εἰς δεξιὸν καὶ εὐώνυμον κέρας αὐτὴν διαιρεῖ, καὶ τὸ μέσον αὐτὸς ἐπέχων τῆς φάλαγγος ἐφίησι τοῖς ἐκχεομένοις τῆς πόλεως στρατοῖς συμπλέκεσθαι. οὐδὲ γὰρ μόνον ἐντὸς τῶν πυλῶν τῆς πόλεως τὸ ὑπερπονοῦν ἑαυτοῦ κατεμέρισε βασιλεύς, ἔστι δ' ὃ καὶ τῶν τειχῶν ἄνωθεν ἐπέταξεν ἐφεστάναι, ἀλλὰ καὶ μέρος ἀποδιελόμενος ἐπέτρεψεν ἐπεκθέειν ἔξωθεν ἑκαστάτω τῆς τάφρου καὶ τοῖς πολεμίοις ὡς ἐνὸν ἀντιφέρεσθαι. εἰ δέ γε κάμωσιν ἐπιβρισάντων τῶν ἐναντίων, προσρύεσθαι παρῄνει τοῖς τείχεσιν, ὅπως οἱ τῶν B πυργοβάρεων ἄνωθεν αὐτοῖς ἐπαμύνωσιν. ἕως μὲν οὖν σταθηρᾶς μεσημβρίας τοξασμοὶ καὶ ἀκροβολισμοὶ παρ' ἑκατέρων ἐγίνοντο τῶν μερῶν, καὶ βραχύ τι μὲν ἄχρι τινὸς ἐκράτουν τῶν τοῦ βασιλέως οἱ τοῦ Βρανᾶ ὡς πολέμων ἔμπειροι, καὶ τούτων μάλιστα οἱ ἐκ τοῦ Λατινικοῦ πεζικοῦ συγκροτούμενοι στίφους, ἐπεὶ καὶ οἳ τοῖς ζῶσιν ἔτι συνεξητάζοντο ἐκ τοῦ ζωγρηθέντος Σικελικοῦ στρατεύματος, τούτους ὁ βασιλεὺς τῆς φρουρᾶς ἀνεὶς καὶ δεσμῶν καὶ ὁπλισμοῖς ὑπαγαγὼν πρὸς Βρανᾶν ἀπέστειλε τὴν ἐς τὸν Αἷμον στελλόμενον, καὶ ἦσαν κρατίστη φάλαγξ τῶν περὶ αὐτὸν πεζική, ἱππικῷ θυρεῷ καὶ ξίφει ἐπιμήκει καὶ δόρατι ἐγχήρει φραττόμενοι. ἐπιβοηθή- C σαντος δὲ καὶ τοῦ κατὰ σφᾶς ἱππεύοντος τάγματος, κατὰ

4. ἐκχεομένοις] ἐκχυθεῖσι A. 6. κατεμέρισε] κατέταξε A. 10. προσφύεσθαι A. 12. τοξασμοὶ] ἀνεμοπόλεμοι καὶ τοξεῖαι A. 13. ἐπεκράτουν A. 18. ὁπλισμοῖς] καὶ ὁπλίσας πρὸς A. 20. ἱππικῷ] μετὰ ῥικταρίων καὶ σκουταρίων στρογγύλων καὶ διστόμου σπάθης A.

rursus ad urbis moenia accedit; et exercitu, ad terrestrem portam quae Charsii dicitur, in dextrum et laevum cornu instructo, mediam phalangem ipse obtinens copias urbe effusas aggreditur. imperator enim suos milites non tantum intra portas urbis collocarat, sed et partem quam longissime excurrere extra fossas et cum hostibus congredi et fatigatos hostibus urgentibus ad moenia refugere iusserat, ut ab iis qui in turribus starent iuvarentur. ac usque ad meridiem sagittis et iaculis utrinque dimicatum est, Branae factione aliquandiu nonnihil superiore ob belli usum, atque in ea Latinorum peditatu potissimum. nam qui ex Siculo exercitu adhuc in vivis erant, eos imperator custodia et vinculis liberatos armis datis Branae ad Haemum proficiscenti miserat, qui optimam phalangem pedestrem explebant, scuto equestri, praelongo ense et lancea armati. cum autem equitum quoque turmae iis opem tulissent, urbani vi pelluntur, et quamvis inviti, fossa superata, ad moenia se recipiunt, propugnatoribus eos adiutantibus. tyrannus vero suis ad

κράτος οὕτω τοὺς ἐξ ἄστεος τρέπονται ὡς καὶ τὴν τάφρον
ἄκοντας διαβῆναι καὶ προσφῦναι τοῖς τείχεσιν· ἐπήμυνον
δὲ αὐτοῖς οἱ τῶν τειχῶν ὑπερφαινόμενοι. καὶ τὰ μὲν τῆς
τόθ' ἡμέρας ἐν τούτοις ἔληξεν· ἀνοχεύσας δ' ἐφ' ἡμέραις
πέντε τὰς οἰκείας δυνάμεις ὁ τύραννος τῶν αὐτῶν καὶ πάλιν
ἔχεται πόνων, τοῖς περιβόλοις ἐπιστὰς τῆς πόλεως. ποιῶν
δ' ἐπίφοβον τοῖς ἀστυκοῖς ἑαυτὸν καὶ διαστασιάζειν τὰ ἔνδον
πειρώμενος, μοῖράν τινα τῆς ἑαυτοῦ στρατιᾶς παρελόμενος
ἐκπέμπει κατὰ τὴν βόρειον ἀντίπορθμον τῆς πόλεως πλευράν,
ἥτις πόρος βοὸς κικλήσκεται, ἀφ' ἧς καταφανής ἐστιν ἀκρι-
D βῶς ὁ μέχρι τῶν ἐν Βλαχέρναις ἀνακτόρων συρόμενος θαλάτ-
τιος ὁλκός, καὶ ὅσα πρὸς ἄνεμον Βορρᾶν ἐπινενεύκασι μέρη
τῆς πόλεως. καὶ οἵ γε τὸ ἐπιτετραμμένον τέλει διδόντες,
τοὺς ἐκεῖσέ πη μετεώρους γηλόφους ἀνιόντες τὰς σημαίας
ἠνέμωσαν. ὁ δὲ ἥλιος τοῖς θώραξιν ἐμπίπτων καὶ τοῖς τῶν
στρατιωτῶν προσβάλλων θώραξι νεοσμήκτοις οὖσι καὶ λείοις
ἐποίει ἀποπάλλεσθαι τούτων κατὰ καμπὴν καὶ ἐπάνοδον τῶν
V. 199 ἀκτίνων σελαγισμάτων ἐκπυρηνίσματα, ὡς καθ' ὁμηγύρεις
τὸν ἀστυκὸν συλλέγεσθαι δῆμον εἰς τὰ ἀνεστηκότα τῆς πόλεως
γήλοφα καὶ τὰ πραττόμενα θεᾶσθαι καὶ διὰ πλείστου τίθε-
σθαι θαύματος. μετὰ δὲ τοῦτο καὶ τοὺς τῆς Προποντίδος
οἰκήτορας εἰς ἑαυτοὺς ἐπεσπάσαντο, οἳ μάχης μὲν οὐ πάντες

10. κικλήσκεται] κλεῖζεται A. 13. καὶ οἵ γε] οἳ δὲ A. 14. ἀνιόντες] ἀνίασι τὰς σ. ἀνεμώσαντες A. 15. ὁ δὲ] τὰ δὲ ἅρματα καινούργια ὄντα καὶ ὑπὸ τῶν ἀκτίνων τοῦ ἡλίου λαμπόμενα ἐφαίνοντο ὡς πῦρ ἐξέρχεσθαι ὑπ' αὐτῶν B. 16. θώραξι] ὅπλοις A. 21. μετὰ δὲ] ὑπέκυψε δὲ καὶ ὑπετάγη τῷ τοιούτῳ ἀποστάτῃ βραχὺ καὶ ὅλος τοῦ στενοῦ ὁ τόπος B. 22. ἑαυτὸν ἐπεσπάσατο A.

dies V recreatis rursus eosdem labores oppugnandi moenia capessit, simul ut se urbanis formidabilem praeberet, simul etiam ut dissidium inter cives excitaret; ac partem copiarum ad Septentrionale latus urbi obversum mittit, qui Bosporus dicitur. unde tractus maris qui usque ad Blachernium palatium pertinet aperte cernitur, caeteraeque partes urbis quae ad Aquilonem vergunt. ii ergo iussa exequentes, vexillis in altum elatis, tumulos occupant. at solis radii qui in thoraces et arma militum recens polita et laevia incidebant, refracti ignis instar relucebant. itaque urbanus populus turmatim in editiores colles urbis illius spectaculi gratia convolans, summa admiratione afficitur. deinde Propontidis etiam incolas attraxerunt, non in re militari sed in remis agendis maximo numero exercitatissimos. ii scaphas ad piscium capturam fabricatas in naves bellicas mutarunt,

ἵστορες, κώπην δ' ἐλαύνειν παμπληθεὶ ἄριστοι. ὅθεν τὰ πρὸς ἰχθύων ἄγραν παρ' αὐτῶν ναυπηγούμενα σκάφη εἰς πολεμιστηρίους συνεκρότησαν οὗτοι ναῦς, σανίσι παχείαις ἑκατέρωθεν αὐτὰ διειληφότες, καὶ οἱ μὲν σφενδόναις ὡπλίσαντο, οἱ δὲ τόξα καὶ γωρυτὸν ἀνέλαβον. καὶ οὕτως εἰς ἀρεϊκοὺς ἄνδρας ἐκ δικτυοπλόκων μετασκευασθέντες κατὰ τῶν βασιλικῶν P. 243 ἰσχύουσι καὶ κραταιοῦνται τριηρέων, αἳ τὴν πόλιν περιιοῦσαι τὰς ἐκ τοῦ στρατεύματος τοῦ Βρανᾶ νυκτερινὰς ἐφόδους ἐσκόπευον καὶ ἐτήρουν ἐπιμελῶς τὸν πορθμόν, μή πως τὴν διὰ τῶν χερσαίων πυλῶν πάροδον ὁ τύραννος ἀπογνοὺς διὰ τῶν παρακτίων λάθοι ἔνδοθεν παρεισδύς. οἱ δ' ἐπὶ τῶν μακρῶν νηῶν τὰ μὲν πρῶτα μαίνεσθαι ᾤοντο ἀτεχνῶς τοὺς τῶν ἰχθύων ἀγρευτάς, εἰ οὕτως ἐπὶ τῶν ἁλιάδων μόλις σαλεύοντες ἐγχρίψειν αὐτοῖς ἀπεθάρρησαν· ὡς δὲ καιρὸς ἐνειστήκει τοῦ βάλλειν καὶ βάλλεσθαι, αἱ μὲν μετὰ βυκάνων καὶ σαλπίγγων ἔξορμοι γίνονται, τὰ δὲ τῶν ἀσπαλιευτῶν πορθμεῖα σιγῇ, καὶ οἱ ἐπ' αὐτῶν μένεα πνέοντες ἔτυπτον τὴν θάλασσαν ἐρετμοῖς, καὶ συμβαλόντες ὑπερτεροῦσι τῶν ἀντιπάλων μεγίστων σκαφῶν καὶ ταῖς τῆς πόλεως ἠόσι συγκλείουσι. B τὰ μὲν γὰρ διὰ τὸ μήκιστα εἶναι καὶ δυσδιέλικτα οὐκ ἐκ τοῦ αὐτίκα ἐκάκουν τὸ ἀνθιστάμενον, τὰ δὲ συμφορηδὸν ἐπιόντα καὶ πολλὰ μίαν τριήρη συμμίγδην περιιόντα, ἔκ τε πρύμνης καὶ

1. κωπία δὲ ἐλαύνειν καὶ ὀψάρια ἀγρεύειν ἀκριβῶς γινώσκουσιν. ὅθεν καὶ τὰ τούτων πλοῖα περισυνάξαντες καὶ μετὰ σανίδων παχέων εἰς ὕψος αὐτὰ ἀνυψώσαντες ἀντὶ ἁλιευτικῶν σανδαλίων εἰς πολεμικὰ αὐτὰ μετεσκεύασαν. B. ἐλαύνειν] χειρίζεσθαι A. 4. διειληφότες] διαλαβόμενοι A. 5. ἀνέλαβον] παρηρτήσαντο A. 6. β. ἀρρενοῦνται τρ. A. 11. λάθη ἔνδοθι A. 12. μαίνεσθαι] δαιμονιακοὺς ἀπεκάλουν αὐτοὺς B. 14. ἐγχρίψειν] ἐπελθεῖν A. 15. μετὰ βουκίνων καὶ ἀναχαράδων B. 20. οὐκ αὐτίκα ἐκάκουν τὰ τῶν πολεμίων λεμβάδια A.

crassis tabulis utrinque affixis, alii fundis alii arcubus et pharetris armati. atque ita ex piscatoribus in Mavortios viros mutati cum imperatoriis triremibus fortiter dimicant. quae urbem circumeuntes nocturnas Branae impressiones observabant, ac fretum diligenter tuebantur, ne forte tyrannus desperato per terrestres portas ingressu clam per littorales ingrederetur. ac principio piscatores insanire visi, quod aegre in naviculis fluctuantes impetum in longas naves facere auderent: ubi ad arma ventum est, maximas hostium naves cum buccinis et tubis invectas tacite quidem sed fortiter adorti superant et in urbana littora compellunt. nam eae quia longissimae erant et tardae, lembis piscatorum non statim nocere poterant: hi vero quia confertim irruebant et multi unam triremem circumdabant, a puppi et

πρώρας καὶ παρ' ἑκάτερον τοῖχον μαχόμενα, ὡς ἐν στενοπόρῳ πορθμῷ τὴν νίκην εἶχον ἐπινηχομένην αὐτοῖς καὶ λαμπρὸν ἀνίστων τρόπαιον. ἀλλ' οὐκ ἐς πολὺ τὸ ἐκ τῆς ἥττης αἶσχος ὑπενεγκόντες οἱ τοῦ στόλου τοῦ βασιλέως παλίωξιν τῶν λεμβαδίων τιθέασι. τάχα δ' ἂν καὶ τῷ ὑγρῷ πυρὶ τὰ πορθμεῖα ἠφάνισαν, εἰ μὴ ἐκ τοῦ σχεδὸν ἑστῶτες ἐπεβοήθησαν οἱ τοῦ Βρανᾶ ὁπλομάχοι, ἐκ τῶν λόφων καταβάντες καὶ τὸν αἰγια-
C λὸν ἐπιπορευόμενοι ἕνεκα τοῦ ἐπαρήγειν τῷ ναυτικῷ.

7. Ἰδὼν δὲ ε ἀποστάτης ὡς οὔτε κλέπτειν ἔχει τὴν πάροδον οὔτε μὴν πολέμῳ ἢ πειθοῖ ἀνύσιμά εἰσίν οἱ τὰ μελετώμενα, ἄλλην τραπέσθαι διενοεῖτο· ἢ γὰρ λιμῷ τὴν βασιλίδα παραστήσασθαι πόλιν, μεγίστην ἐπιστήσας αὐτῇ καὶ κρατίστην ἑλέπολιν τὴν τῶν ἐδωδίμων ὑποσπάνισιν (ἤδη γὰρ ἡ ἑῴα τε καὶ ἑσπέριος ὑπὸ Ῥωμαίους λῆξις αὐτῷ προσεχώρησε), μηδεμίαν ἐπισκήψας νῆα σιταγωγὸν καταίρειν εἰς τὸ Βυζάντιον, ἢ προσβαλεῖν μετ' ἀκμαιοτέρου στόλου καὶ πλείονος. ἐκεῖνα δ' ἦν ἀνελίττων κατὰ νοῦν ἃ μὴ τὸ θεῖον ἐπιτελῆ γενέσθαι κατένευσεν. δ γὰρ βασιλεὺς ὁρῶν αὐτῷ
D προσκείμενον τὸ τῆς πόλεως πλήρωμα, καὶ μὴ μόνον οὐκ ἀνεχόμενον βασιλεύειν Βρανᾶν ἀλλὰ καὶ μᾶλλον ἀναθέματι καθυποβάλλον ἐκεῖνον, ἄνω τῶν τειχέων ἀναγαγὼν οἷά τε

3. ante ἀλλ' B: καὶ ἀκλεῶς φεύγουσι καὶ εἰς τὴν ἐξάρτυσιν ἁποχλείονται. 4. οἱ] τὸ ἐκ A. οἱ τοῦ βασιλικοῦ στόλου κόμητες B. λεμβαδίων] ἀκατίων A. 5. πυρὶ κατηθάλωσαν, εἰ A. 7. ὑποκαταβ. A. 8. ἐπιπορευόμενοι] ἐπιπαριόντες A. 9. οὔτε διὰ κλεψίας οὔτε μετὰ πολέμου οὔτε μετὰ πειθότητος λόγων B. 10. οἱ] ἐκείνῳ A. 14. προσεχώρησαν A. 18. κατένευεν A. 20. βασιλεύσειν A. 21. τε] τι ὀχύρωμα ἄμαχον καὶ χαράκωμα ἀνάλωτον A.

prora et utroque latere pugnantes, in angusto freto victoria potiti illustre tropaeum erexerunt. sed imperatorii classiarii, non diu eo dedecore tolerato, naviculas vicissim fugant; easque forsitan igni Graeco absumpsissent, nisi Branae milites ex collibus ad littora digressi suppetias illis tulissent.

7. Caeterum ubi seditionis auctor animadvertit se neque clam penetrare nec aperta vi consilium suum exequi posse, alia via rem aggrediendam censuit, ac imperatricem urbem aut fame ad deditionem compellendam, annonae penuria machina firmissima et acerrima admota (iam enim et Orientales et Occidentales provinciae ad eum defecerant, quibus edixerat ne qua frumentaria navis Byzantium appelleret), aut cum firmiore et maiore classe impetum faciendum. verum ea volvebat animo quae deus haud concessurus erat. nam imperator cum urbanum populum sibi addictum esse ac Branam adeo

ἄμαχον ὀχύρωμα καὶ ἀνάλωτον χαράκωμα τὴν εἰκόνα τῆς Θεομήτορος, ἥτις ἐκ τῆς τῶν Ὁδηγῶν μονῆς, καθ' ἣν προσκεκλήρωται, Ὁδηγήτρια ἐπικέκληται, ἠρρενώθη μὲν καὶ οἴκοθεν πρὸς ἀντιμάχησιν, κρίνας ἀλυσιτελῆ τὴν χρόνιον ἐντὸς τοῦ ἄστεως κάθειρξιν, καὶ ἀπευκταῖον δέ τι καινοποιήσουσαν ἐπ' αὐτῷ, πλειόνως δ' ὑπεῖξε ταῖς ἐπιπλήξεσι Καίσαρος τοῦ Κορράδου. ἦν δὲ ὁ ἀνὴρ οὗτος τὸ μὲν γένος Ἰταλιώτης, πατρὸς δ' ἐξέφυ τοῦ τὴν χώραν τῆς Μόντης φεράντης κατέχοντος. τοσοῦτον δ' ἐπ' ἀνδρείᾳ καὶ συνέσει διέφερεν ὥστε οὐ παρὰ Ῥωμαίοις μόνον ἦν περιώνυμος, καὶ μάλιστα τῷ
βασιλεῖ Μανουὴλ ἐπιπόθητον ἄκουσμα ὡς φύσεως λαχὼν εὐ- P. 244
κληρίαν καὶ διανοίας ὀξύτητα καὶ χειρῶν δραστηριότητα, V. 200
ἀλλὰ καὶ παρὰ τοῖς ὁμογενέσιν αὐτῷ περικλέϊστος. οὗτός ἐστιν ὁ μεγίστοις φιλοδωρήμασι παρὰ τοῦ βασιλέως Μανουὴλ ἐπαρθεὶς καὶ ἀντάρας χεῖρας τῷ τῆς Ἀλαμανίας ῥηγί, καὶ μάχῃ τὸν ἐπίσκοπον Μαγέντζης νενικηκὼς καγκελλάριον ὄντα τοῦ ῥηγὸς καὶ κατὰ τὴν Ἰταλίαν ἐμβαλόντα μετὰ πλείστων δυνάμεων, συνειληφώς τε αὐτὸν καὶ δεσμοῖς περιβαλών, καὶ οὐκ ἄλλως ἀπολύσειν ἰσχυριζόμενος εἰ μὴ εἴη τοῦτο καὶ τῷ Ῥωμαίων βασιλεῖ προσταχθέν. τότε δὲ τοῦ βασιλέως Ἰσαακίου τὸν αὐτοῦ ὁμαίμονα Βονιφάτιον διὰ πρέσβεων μετα-
στειλαμένου, ὡς κατὰ γάμον συναφθείη Θεοδώρᾳ τῇ αὐτοῦ B

6. ἐπ' αὐτῷ om A. 7. Ἰταλιώτης] λαμπάρδος A, φράγγος B. 13. περικλέϊστος] ὑπερένδοξος B. 15. χεῖρα A. 16. μαγνέντζης A, ut supra quoque. 21. μεταστελλομένου A.

aversari cerneret ut etiam execraretur, dei genitricis imagine, quae ab Hodegio monasterio Hodegetria nuncupatur, in moenia pro vallo inexpugnabili translata, cum suapte industria ad pugnam incitatus est, quod diuturnam obsidionem e re sua non esse et aliquid adversi novarumque rerum studium allaturam putabat, tum Conradi Caesaris hortatu maxime impulsus. erat is vir genere Lombardus, Montisferrati domini filius, prudentia et fortitudine tantum excellens ut non apud Romanos duntaxat esset celebris, Manueli praesertim carus, ut ab ipsa natura et ingenii et manuum dexteritate luculenter ornatus, sed apud populares quoque suos inclitus. hic est, qui maximis largitionibus a Manuele impulsus Alemannorum regi restitit, et Moguntinum episcopum cancellarium regis superavit, qui cum maximis copiis impressionem in Italiam fecerat; eumque in vincula coniectum aliter se dimissurum negavit, nisi a Romanorum imperatore iuberetur. tum autem cum imperator Isaacius ad fratrem eius Bonifacium legatos misisset de sorore Theodora illi despondenda, is vero iam cum alia nuptias celebrasset, legati magnae felicitatis loco

[illegible] ἐκεῖνος ἡρμόσατο καὶ φάσας εἶχε [illegible] οὗτος τὴν τοῦ βίου κοινωνὸν θανά- [illegible] τοῖς πρέσβεσι κρίνεται καὶ τὸ [illegible] κατὰ πολύ. καὶ μὴν ὑποσχέσεσιν [illegible] τὸν Κορράδον κουφίσαντες σὺν αὐτῷ [illegible] τοὺς γάμους ὁ βασιλεύς, με- [illegible] ἐπηκολούθησεν ἐπανάστασις, οὐ [illegible] δυναστῶν φρόνημα καὶ ταῖς χρη- [illegible] ἀπεσβηκὸς ἤδη καὶ εἰς ἀγεννῆ [illegible] ὥσπερ ἀκόνη τῷ βασιλεῖ πρὸς [illegible] γενόμενος. ἀμέλει καὶ βασιλεὺς μὲν [illegible] χαμαιεύνας τῶν μοναχῶν ἠθροικώς, [illegible] ὑπερήρθησαν εἰς τὰ ἀρχεῖα συνηθροι- [illegible] θεοῦ διασκεδασθῆναι τὸν ἐφεστῶτα [illegible] πόλεμον καὶ μὴ μεταβῆναι ἢ ἀποπτῆναι τὸ κράτος [illegible] τῶν δὲ κατὰ πόλεμον, ἠτημέλει παντάπασι, τὰς [illegible] ἐπανάπτων τῇ πανευχίᾳ τοῦ πνεύματος. ὁ [illegible] πολλάκις τοῦτον διύπνιζε καὶ [illegible] πείθων μὴ πάντα τοῖς ἀβίοις τούτοις [illegible] στρατῶν ἐπιμέλεσθαι καὶ φά- [illegible] κατὰ τοῦ ἀντιστάτου κεχρῆσθαι, ὅπως εἴη [illegible] τῶν δεξιῶν ὅπλων, τῶν συνάρσεων δηλαδὴ τῶν

1 [illegible]] καὶ εὑρόντες τὸν μὲν βονιφάτιον λαβόντα γυ- [illegible] τὸν δὲ κορράδον ἣν εἶχεν ἀποθανοῦσαν, ὡς εὕρημα κάλ- [illegible] τοῖς ἀποκρισιαρίοις τοῦτο εὑρέθη. συνέτυχον οὖν τῷ [illegible] κορράδῳ, καὶ ὑπεσχέθησαν αὐτῷ ἀξίωμα καὶ πλοῦτον [illegible], ἐὰν ἔλθῃ εἰς τὸν βασιλέα καὶ λάβῃ τὴν τούτου ἀδελφὴν [illegible] B. 16. ἠτημέλει] ἠμέλει A. 17. ἐπανάπτων] ἐπα- [illegible] A.

habuerant quod hic coniugem amisisset, ac bonum longe maius in- [illegible] quam si id confecissent cuius gratia venerant, et Conradum [illegible] pollicitationibus impulsum secum adduxerunt. cum vero non multo post eas nuptias Branas defecit, is imperatoris animum erigere [illegible] spe sustentare iam labascentem et remollescentem confirmare non destitit, quippe qui iis monachis qui nudis pedibus incedentes et humi cubantes veluti columnis ultra humum efferuntur, in pala- [illegible] congregatis, deo supplicaret ut civile bellum propulsaret nec [illegible] traderet imperium, rem vero bellicam penitus negligeret, omni [illegible] in armis spiritus collocata. caeterum Conradus eum, ut can- [illegible], subinde vellicabat et excitabat, monens ne in mendicis [illegible] fiduciam collocaret, sed rei militaris etiam rationem [illegible] et armatis phalangibus seditioso occurreret, nec dextris dun- [illegible] est sanctorum virorum intercessionibus, sed sinistris

ἐγγίων ἀνδρῶν, ἀλλὰ καὶ διὰ τῶν ἀριστερῶν τῶν κρατυνομένων ξίφει καὶ θώρακι τὸν ἀντικαθήμενον πολέμιον μετιών, D μηδὲ χρημάτων ὑποτιθεὶς φείδεσθαι, ἀλλὰ καὶ ταῦτα διαφθείρειν εἰς στρατευμάτων συναγωγήν, ἐπεὶ καὶ ἄνευ τῶν καθ' αἷμα τῷ βασιλεῖ συναπτομένων καὶ τῶν ὅσοι τὰς οἰκήσεις μὴ ἐκτὸς εἶχον τῆς πόλεως, πάντες ὑπέκυψαν τῷ Βρανᾷ, κἀκ τῶν ἔξωθεν οὐκ ἦν ἐπεισενέγκασθαι στράτευμα. οἷς δὴ τοῦ Καίσαρος λόγοις καθάπερ ἐνδελεχεῖ βουπλῆγι τιτρώμενος ἀνένηψέ τε τοῦ κάρου καὶ τῆς ἀκηδίας μεθήρμοστο, καὶ ἤρξατο συλλέγειν συμμαχικόν. μὴ εὐπορεῖν δὲ λέγων χρυσίνων, ἐκ τῶν βασιλικῶν ταμιείων ἀργύρεα σκεύη ἀνελόμενος παρακατέθετο ταῦτα τοῖς χρυσίου εὐποροῦσι τεμένεσι, καὶ τὰ ἐκεῖθεν ποριοθέντα χρήματα εἰς συλλογὴν διέδωκε στρατιᾶς, κἂν ὕστερον μετὰ τὴν νίκην καὶ τὸ χρυσίον οὐκ ἀπέδωκε καὶ τὰ παρακατατεθέντα ἀνείλετο. ἀμέλει καὶ ἐν βραχεῖ καιρῷ ὁ μὲν Κορράδος ἀπὸ τῶν κατὰ τὴν πόλιν συναγήοχε Λατίνων ἱππότας περὶ τοὺς δὶς ἑκατὸν καὶ πεντήκοντα, πάντας ἀρειμανίους, καὶ πεζοὺς πεντακοσίους. οὐκ ὀλίγοι δ' ἐστρατολογήθησαν καὶ ἀπὸ Ἰσμαηλιτῶν καὶ τῶν ἐῴων Ἰβήρων, κατ' ἐμπορίαν στειλαμένων τὴν ἐς τὴν βασιλίδα τῶν πόλεων. τὸ δὲ περὶ τὸν βασιλέα ἐπίσημον τῷ γένει καὶ ἄλλως περὶ τὴν βασίλειον αὐλὴν εἰλούμενον περὶ τοὺς χιλίους ἠρίθμητο. τοσαύτην δ' ὁ Κορράδος ὑπὲρ τοῦ κρατοῦντος εἰσηνέγκατο σπου- P. 24'

4. διαφθείρειν] διασπείρειν A, σκορπίζειν B. 9. συλλέγειν] συνάγειν μετὰ ῥόγας στρατόν B. 14. παρατεθέντα A. 20. τὸ δὲ] εἶχε δὲ καὶ ὁ βασιλεὺς μετ' αὐτοῦ ἄρχοντας καὶ ἀρχοντόπουλα μετὰ καὶ τῆς αὐλῆς αὐτοῦ ὡσεὶ χιλίους B. 22. αὐλαίαν A.

etiam, quae ense et thorace constarent, hostes ulcisceretur, neque parcendum esse pecuniae, sed ad conscribendum militem impendendam. nam praeter cognatos imperatoris, et eos qui in urbe habitabant, caeteri omnes Branae se submiserant, neque foris copiae parari poterant. quibus Caesaris verbis velut assiduis stimulis torpore illo et socordia excussa, auxilia contrahere instituit. et quia sibi pecuniam deesse querebatur, vasa ex imperatoriis scriniis deprompta templis, quae aurum habebant, oppignoravit, et pecuniam inde acceptam ad colligendum exercitum distribuit, quamvis post victoriam nec pecuniam restituit et vasa illa abstulit. Conradus vero exiguo tempore equites Latinos in urbe circiter CCL coegit, omnes viros bellicosissimos, et pedites D. nec pauci ex Ismaelitis, et Orientalium Iberum multi, qui negotiandi causa in urbem venerant, nomina militiae dederunt. ex genere illustribus et alioqui palatium frequentare solitis ad mille connumerati sunt. Conradus vero tanta contentione

δὴν ὥστε θεόπεμπτον ἀγαθὸν κατὰ καιρὸν τῷ βασιλεῖ ἐπιστὰν
τοῖς ἅπασιν ἐλογίζετο. ἔστι δ' ὅτε τῷ βασιλεῖ ἐσθίοντι ἐπο-
φθεὶς „εἴθε οὕτως" ὑποστενάξας εἴρηκε „τῶν κατὰ τὸν ἐφε-
στῶτα πόλεμον ἐπεμέλου, ὥσπερ γίνῃ τρεχέδειπνος, ἐπὶ τὰ
B προκείμενα βρώματα λιχνευόμενος καὶ ὅλην τὴν φροντίδα τοῖς
V. 201 παρακενουμένοις διαχαλῶν δαιτρεύμασιν." ὁ δὲ ἐρυθριάσας
ἐπὶ τῷ ῥήματι τούτῳ καὶ πυρρωπότερος φανεὶς ἑαυτοῦ καὶ
μειδιάσας βεβιασμένον ἐπελάβετο τῆς χλανίδος τοῦ Καίσαρος,
καὶ διασεσοβηκὼς εἶπεν ὡς „κατὰ καιρόν, ὦ οὗτος, ἑστια-
θησόμεθά τε καὶ μαχεσόμεθα." ἐγένοντο δὲ καὶ διοσημεῖαι
τηνικαῦτα· ἡμέρας γὰρ ἀστέρες ἐφάνησαν, καὶ ὁ ἀὴρ ταρα-
χώδης ὤφθη, καὶ περὶ τὸν ἥλιον πάθη τινὰ συμβεβήκασιν
ἃ φασιν ἅλωνας, ὡς μηδὲ τοῦτον καθαρὸν καὶ ἀθόλωτον ἀλλ'
ὠχρότερον ἀποδισκεύειν τὸ φῶς. τοσαύτην δ', ὡς ἐνεδίδου
τὰ πράγματα, συνηθροικὼς ὁ βασιλεὺς στρατιὰν ἔγνω μὴ
C ἀναδύεσθαι καὶ μέλλειν εἰσέτι καθήμενος ὑπωρόφιος, ἀλλ' ἐν
τῷ μέρει καὶ αὐτὸς ξιφήρης ὀφθῆναι τῷ ἀποστάτῃ. στὰς
τοίνυν θωρακοφόρος εἴσω τοῦ περιβόλου τῆς πόλεως, ὃν ὁ
βασιλεὺς ἀνήγειρε Μανουὴλ ἔρυμα τῶν ἐν Βλαχέρναις ἀρ-
χείων, παρεθάρρυνε λόγοις τὸ συγγενὲς καὶ τὸ παρεστὼς ἐγ-
γύθεν ὁπλιτικόν, τοιάδε παρακελευόμενος. „κρεῖσσόν ἐστι δή-

2. ἐποφθεὶς] ἐπιστὰς A. 3. εἴθε] ἄν ποτε ἵνα ἐφρόντιζες καὶ ἐπεμελοῦ καὶ εἰς τὸν παρόντα πόλεμον B. 6. δαιτρεύμασιν] ἑστιάμασιν A. 8. μειδιάσας] ἀψάμενός τε A. 9. ἑστιασόμεθά A. 10. διοσημίαι A. 11. καὶ ἀνεμομαχία μεγάλη ἐγένετο B. 16. καὶ] μηδὲ A. 18. εἴσω] ἔξω A, ἐντὸς τοῦ χρυσοτρικλίνου σταθεὶς B. 20. περιεστὼς A.

imperatoris partes tuendas suscepit, ut ab omnibus divinitus missus esse tempore maxime necessario crederetur. atque aliquando ad imperatorem comedentem ingressus cum suspirio dixit „utinam ita rem bellicam curares, ut alacriter ad coenae lauticias accurris et animum in patinis habes." eo dicto imperator erubuit, et prehenso illius pallio cum risu coacto dixit „heus tu, suo tempore et coenabimus et bellabimus." tum quoque ostenta apparuerunt. nam stellae interdiu sunt conspectae, aer turbulentus fuit, circuli quas areas vocant solem ambiverunt; unde lumen eius non purum sed pallidius emicuit. imperator vero tanto exercitu coacto quantum res sinebant, non diutius cunctandum et sub tecto desidendum esse ratus est, sed vicissim arma seditiosis inferenda. itaque thoracatus intra ea moenia quibus Manuel imperator Blachernium palatium muniit, stans huiusmodi oratione cognatos et proxime astantes milites confirmavit.
„omnino praestat, deoque gratius est, ut subditi pro legitimo im-

πουθεν, καὶ παρά γε θεῷ ἀνεπέγκλητον, τοῦ ἐννόμως κρατοῦντος προκινδυνεύειν τοὺς ὑπ' ἀρχήν, ἢ γοῦν προσρέπειν ἀνδρὶ νεωτεριστῇ καὶ κατ' ἀλλήλων ἐκπολεμώσαντι τὸ ὁμόγλωττον. εἰ δέ τινες εἶεν μετακυβευομένην ἔχοντες τὴν γνώμην καὶ ἀμφιτάλαντον ἢ προσκεχηνυῖαν ὅλην τῷ ἀποστάτῃ, καὶ δυσερώτως αὐτοῦ ἐξέχονται, καὶ ὃν χθὲς ὡς δεσπότην δεσμόχειρες ἐθεράπευον, τοῦτον ἀθετοῦσι σήμερον, αἴτησιν ταύτην αὐτοὺς αἰτοῦμαι δικαιοτάτην, ἐπ' οἴκου ἰζάνειν μηδενὶ ἐπαρήγοντας, ἕως ἂν πολέμῳ διακριθείη τὰ πράγματα D καὶ τῷ νικῶντι πρὸς τοῖς ἄλλοις ὑποπεσοῦνται, ἢ μεταχωρεῖν ἐς τὸν ἀποστάτην ἐξ αὐτῆς καὶ πρὸ τῆσδε τῆς συμπλοκῆς κἀκείνου προπολεμεῖν τε καὶ προκινδυνεύειν, ὅπως καὶ χάριν εἴσεται πλείονα τροπαίοις ἀναδηθείς. ὡς τόγε ἐμοὶ μὲν προσκολλᾶσθαι καὶ χείλεσι τιμᾶν, ἑτέρῳ δὲ προσνενευκέναι τῇ καρδίᾳ κἀκείνῳ ἀπονέμειν ἅπαν τὸ πρόθυμον, οὐκ οἶδα εἴ τις καὶ ἐπαινέσεται, ἢ ὅπως ζυγοστατηθείη παρὰ θεῷ, ὃς τὰς ἐπὶ στήθους ἐννοίας ἐξετάζει φιλοδικαίως. τὸ γὰρ ἔτι τούτων χεῖρον καὶ ἀναιδέστατον οὐδὲ βαλέσθαι προάγομαι κατὰ νοῦν, τουτέστι τὸν τοῦ πολέμου καιρὸν αὐτομολίας ἐργάζεσθαι πρὸς τὸν τύραννον, καὶ κακὸν τοῖς ἐκλεκτοῖς ἀνδράσι προκεῖσθαι P. 246 παράδειγμα εἰς τὸ συμμεθίστασθαί σφισι καὶ προσαπαίρειν εἰς ἕτερον, ὃ κἀπὶ τοῖς ἀγεληδὸν πετομένοις πτηνοῖς ὁρῶμεν γινόμενον· ἑνὸς γὰρ ἀναπτάντος καὶ τὰ λοιπὰ ῥοιζηδὸν συνανίπτανται, καὶ τῇ τοῦ ἑτέρου καταπαύσει συστέλλουσιν ἅπαντα τὸ πτερόν."

23. ἑνὸς γὰρ στρουθίου πετάσαντος B.

peratore pugnent quam cum seditioso ac civilis belli auctore se coniungant. si qui vero sunt quorum animi vacillent ac fluctuent, aut omnino ad seditiosum magno impetu amoris ferantur, et quem heri ut mancipia dominum coluerunt, eum hodie reiiciant, ab iis impetratam velim rem omnino aequissimam, ut domi sedentes neutri opitulentur, donec praelio dirempta fuerit controversia, ac tum ut caeteri cum victore se coniungant; aut statim ante pugnam ad hostem abeant ac pro eius salute dimicent, quo gratiam ab eo victoriam adepto maiorem ineant. nam me quidem labiis honorare, corde vero alteri addictos esse ac omne studium deferre, haud scio an ab ullo probari aut deo placere possit, qui aequitatis amans in animorum recessus inquirit. nam ab eo quod iis peius est ac omnium impudentissimum, animus quoque abhorret, videlicet ne qui pugnae tempore ad tyrannum deficiant et probatos etiam viros exemplo suo corrumpant. id quod in avibus quae gregatim volant cernitur. nam ubi una subvolarit, reliquae omnes una avolant: ubi una consederit, reliquae etiam consident." haec propterea dicebat, quod Iohan-

ταῦτα δ' ἐφθέγγετο δι' ὑποψίας ἔχων τὸν πρὸς πατρὸς θεῖον τὸν σεβαστοκράτορα Ἰωάννην ὡς πάλαι τε τῷ Βρανᾷ συνήθη καὶ ὀλίγῳ πρότερον τῆς ἀποστασίας γάμον υἱοῦ θύσαντα μετὰ θυγατρὸς τοῦ Βρανᾶ. ἐφ' οἷς καὶ ὅσοι μὲν ἐπλήρουν τὸν τότε σύλλογον οὐ μικρῶς ἐπαθήναντο, ὁ δὲ σεβαστοκράτωρ ἅπαν ἑαυτοῦ μεθιστῶν ὕποπτον παλαμναιοτάταις ἀραῖς τοὺς
B κατ' οἶκον ἅπαντας ἑαυτοῦ καὶ ἑαυτὸν δὴ καθυπέβαλλεν, εἰ ὅλως ἐγνώκει ποτὲ τῷ Βρανᾷ προσθήσεσθαι· μηδὲ γὰρ οὕτως εἶναι τοῦ καθήκοντος ἀδαής, ἢ τὸν νοῦν ὑπὸ τοῦ γήρως ἀπολωλεκέναι καὶ ἠλιθιάζειν παντάπασιν, ὡς ἀδελφόπαιδος βασιλέως καὶ ἀπὸ δόξης εἰς δόξαν μετεωρίσαντος τὸν ὕπαιθρον καὶ ἔπηλυν ἀνταλλάξασθαι δι' ἀγχιστείαν παιδός, καὶ ὃν οὐκ ἴσησιν ἀκριβῶς εἰ διανοήσαιτο δήπουθεν ἐπ' αὐτῷ καὶ δράσειε τὰ χρηστότερα.

8. Ἐπεὶ δ' ἐκάλει καιρὸς πρὸς παράταξιν καὶ ὁ ἀποστάτης ἐκτάσσειν τὰς οἰκείας δυνάμεις ἠγγέλλετο, ἀνακλίνονται μὲν αἱ πύλαι τῆς πόλεως, ἐκχέονται δὲ τὰ στρατεύματα. καὶ τὸ μὲν εὐώνυμον κέρας ὁ πρωτοστράτωρ ἐπεῖχε Μανουὴλ
C ὁ Καμύτζης, ὃς οὐκ ὀλίγα τῷ βασιλεῖ ἐχορήγησε χρήματα
V. 202 κατὰ τὴν τότε γενομένην τῶν ὁπλιτῶν ξενολόγησιν· ἔχθιστος γὰρ ὢν τῷ Βρανᾷ, μηδ' ἀγαθαῖς ἐννοίαις βαλλόμενος εἴπερ εἴη ἐπικρατέστερος ὁ Βρανᾶς, πᾶσαν τὴν οὐσίαν βασιλεῖ ἀνε-

8. προστεθήσεσθαι A. 10. ἀπολωλέναι A. καὶ ἠλιθιάζειν] ἐγενόμην τοσοῦτον ὀλόμωρος ὡς θεῖος βασιλέως ὢν καὶ πατρὸς τάξιν ἐπέχων καὶ ἀφ' ἧς εἶχον δόξης εἰς μεγαλωτέραν δόξαν ἐτιμήθην, καταλεῖψαί σε τὸν ὃν ὡς υἱὸν καὶ βασιλέα ἀκριβῶς γινώσκω B. 12. διὰ τὴν ἣν πρὸς αὐτὸν συμπενθερίαν ἐποίησα B. 20. τῶν ὁπλιτῶν] τοῦ στρατεύματος A.

nem sebastocratorem patruum suum suspectum habebat ut et veteri necessitudine et recenti affinitate cum Brana coniunctum, cuius filiam non ita pridem filio suo desponderat. quibus verbis cum omnes alii doluerunt, tum sebastocrator, ut omnem suspicionem a se amoveret, omnem familiam suam et semet ipsum atrocissimis diris devovebat, si unquam ad Branam deficere in animo habuisset. neque enim se ita esse officii rudem aut senio delirare, ut fratris filium imperatorem, a quo ab alia dignitate ad aliam promotus esset, advenae sub dio versanti, cuius animum erga se inexploratum haberet, ob filii nuptias posthaberet.

8. Cum Branas suos milites in aciem eduxisse nuntiaretur et pugnae tempus esse videretur, apertis portis milites erumpunt, protostratore Manuele Camyzo, qui imperatori ad conducendum militem non parvam pecuniam suppeditarat, cornu sinistrum obtinente. nam cum Branae inimicissimus esset neque spem bonam foveret, si i:

κάλυψε, καὶ ταύτης ὁπόσον βούλοιτο μέρος ἀποδάσασθαι συγκεχώρηκε, κρεῖσσον οἰηθεὶς ὑπὲρ βασιλέως φιλοῦντος καὶ προσγενοῦς καταπροέσθαι τὰ ὄντα ξύμπαντα, καὶ πλείω νικῶντος μετ' εὐχαριστίας ἀπολήψεσθαι ὕστερον, ἢ τὰ οἴκοι ἀλλοτρίῳ, καὶ τούτῳ ἀσπόνδῳ τε καὶ ἀγνώμονι, ταμιεύειν εἰς κατάγελων οἰκεῖον κἀκείνου ῥᾳστώνην ἄφθονον. τὸ δὲ δεξιὸν αὐτὸς διεῖπεν ὁ βασιλεὺς Ἰσαάκιος, ἐν ᾧ συνείλεκτο ἅπαν εἴ τι κράτιστον καὶ ὅπλοις ἀριπρεπέστατον, τὸ δὲ μέσον ὁ Κορράδος Καῖσαρ μετὰ τῶν ἐπὶ μισθῷ ἀγηγερμένων Λατί- D νων ἱππέων τε καὶ πεζῶν. τοῦ δ' ἀντιταξαμένου στρατοπέδου τὸ μὲν μέσον τῆς φάλαγγος, ἔνθα καὶ τὸ συγγενὲς καὶ φίλιον ἤλιστο τῷ Βρανᾷ καὶ εἴ τι τῶν συνακολουθησάντων ἐκείνῳ ἐπίσημον τῷ γένει καὶ εὐθαρσές, αὐτὸς ἐπεῖχε Βρανᾶς, τὰ δ' ἑκατέρωθεν ἱστάμενα τάγματα ἄλλοι τε στρατηγίας εἰδήμονες καὶ ὁ Σκύθης Ἐλπούμης. μήπω μὲν οὖν μεσούσης ἡμέρας ἀκροβολισμοὶ ἑκατέρωθεν καὶ ἐμπηδήσεις κατ' ἀλλήλων ἐγίνοντο παρ' ἀμφοτέρων τῶν στρατευμάτων, καὶ πεζικαὶ προβεβλημέναι δυνάμεις μάχης ἐξ ἀντιστάσεως ἥπτοντο. ἐπεὶ δ' ὁ ἥλιος κατὰ κορυφὴν ἔφλεγε, τότε δὴ τὰ σημεῖα τῆς μάχης αἴρεται, καὶ πρῶτος ὁ Κορράδος διακινεῖται, φοινικοβαφὲς μετὰ τῶν αὐτῷ συνόντων Λατίνων τὸ τῶν ὅπλων ἔχων ἐπίσημον. αὐτὸς μέντοι ἄνευ θυρεοῦ τηνικαῦτα διηγωνίζετο,

13. εὐθαρσέστατον αὐτὸς ἐπέχων ἦν ὁ A. 14. τοῦ στρατηγεῖν ἐπήβολοι A. 15. ἐλπούμης A, ὁ κόμανος ὁ ἐλπούμης B. 16. ἀκροβολισμοὶ] ἀνεμοπόλεμοι καὶ τοξεῖαι B. 17. στρατιῶν A. 20. κινεῖται A. 22. αὐτὸς] μὴ φορῶν ἐκ σιδήρου ἅρμα τι, πανίον δὲ χονδρὸν ἀρύφαντον ἔχον δίπλας δεκαοκτώ, ἐντυλίξας αὐτὸ εἰς ὕλην κρασίου καλοῦ μετὰ ἅλατος. καὶ συσφιχθὲν τὸ τοιοῦτον πανίον ἦν ἰσχυρότερον καὶ σιδήρου. καὶ τοῦτο ἐπάνω ἐφόρει αὐτοῦ. B.

vinceret, omnes suas opes imperatori aperuerat et quantum vellet inde sumere permiserat, melius esse ratus propter imperatorem amicum et cognatum omnia sua bona effundere, eaque, si vicisset, cum gratiarum actione et fenore recipere, quam domi asservare homini alieno infesto et ingrato, in derisum suum et summam illius commoditatem. in dextro cornu ipse imperator curavit, in quo lectissimi quique et armis insignes erant. medium Conradus Caesar cum stipendiariis Latinis tam equitibus quam peditibus occupabat. hostilis phalangis medium Branas cum cognatis suis et amicis et nobilissimis ac fortissimis quibusque obtinebat: in utroque cornu cum alii duces, tum Elpames Scytha curabant. ante meridiem levia certamina et insultus ab utroque exercitu facti sunt, pedestribus copiis pugnam auspicatis. cum vero sole iam medium caeli lumen occupante signum

P. 247 ἐκ δὲ λίνου πεποιημένον ὕφασμα οἴνῳ αὐστηρῷ ἱκανῶς ἡλισμένῳ διάβροχον πολλάκις περιπτυχθὲν δίκην θώρακος ἐνεδύετο· ἐς τοσοῦτον δ' ἦν ἀντιτυπὲς ἁλσὶ καὶ οἴνῳ συμπιληθὲν ὡς καὶ βέλους εἶναι παντὸς στεγανώτερον· ἠριθμοῦντο δ' εἰς ὀκτωκαίδεκα καὶ πλείω τὰ τοῦ ὑφάσματος συμπτύγματα. ποιήσας δὲ τὸ μεταίχμιον βραχύτερον αὖθις ἵσταται. καὶ ἐπεὶ οἱ μὲν πεζοὶ τὰς λόγχας ὡς πρὸς συμπλοκὴν ἀνέστησαν πυργηδὸν παραταξάμενοι (ἀσπὶς γὰρ ἀσπίδα καὶ κόρυς κόρυθα ἤρειδε, καὶ οἱ θυρεοὶ ἀλλήλοις συνέμυον), οἱ δὲ ἱππεῖς τὰ δόρατα ἠγκωνίσαντο καὶ τὰ τῶν ποδῶν κέντρα τοῖς ἵπποις ἐνέπειραν, ἤδη δὲ καὶ τὸ τοῦ βασιλέως τάγμα ἐπηκολούθει,
B οὐδὲ τὴν πρώτην ἔμπτωσιν τοῦ περὶ τὸν Κορράδον ὁπλιτεύοντος πεζικοῦ οὐδὲ τὴν ῥόθιον ἐπαγωγὴν τῶν ἱππέων οἱ περὶ τὸν Βρανᾶν ὑπενεγκόντες, τὰ νῶτα μεταβαλόντες διασκίδνανται· ἐπὶ δὲ τούτοις καὶ τὰ λοιπὰ διαθροηθέντα τάγματα τρέπονται πρὸς φυγήν. αὐτὸς δ' ὁ Βρανᾶς γεγωνὸν κεκραγὼς καὶ διάτορον „στῆτε Ῥωμαῖοι· πλείους γὰρ πρὸς ἐλάττονας μαχεσόμεθα, καὶ πρῶτος ἔγωγε κατὰ τῶν ἐνωπίων ἐμβαλῶ πολεμίων," καὶ ἅμα δρῶν ὃ ὑπετίθετο, παλίνστροφον μὲν οὐδένα ποιήσειν ἴσχυσε, κατὰ δὲ τοῦ Κορράδου ἄτερ κόρυθος μαχομένου τὸ δόρυ ἴθυνεν, οὐ καιρίως δ' ἔβαλεν, ἀλλὰ τὸ μὲν τὸν τοῦ Καίσαρος ὦμον παραξέσαν ἄλιον τῶν

2. ἐνεδέδυτο A. 8. ταξάμενοι A. 10. τὰ δόρατα] τὰ τούτων κοντάρια εἰς τὰς μασχάλας αὐτῶν θέμενοι B. 13. περὶ] κατὰ A. 16. γεγωνότερον A, μεγαλώτερον B. 18. ἐμβαλῶ] κραδανῶ τὸ δόρυ καὶ A. 20. ποιήσειν ἴσχυσε] εἰργάσατο A. 21. δόρυ] ξυστὸν A. ἰθύνας οὐ καιρίως ἔβαλεν A.

pugnae datum esset, Conradus primus cum suis, quorum arma purpureum insigne habebant, impetum in hostem facit, ac sine clipeo tum pugnabat, sed textum lineum austero et salito vino probe maceratum et amplius decies octies complicatum pro thorace indutus erat, ita firmum ut nullum telum penetraret. utriusque exercitus intervallo in angustum contracto rursus consistit. postquam pedites ut pugnam inituri lanceas instar turris erexerunt (nam clipeus clipeum, galea galeam urgebat, et scuta collidebantur) et equites subditis calcaribus equos directis hastis concitarunt, imperatoria etiam legione subsecuta; Branae milites, ne primo quidem impetu Corradini exercitus tolerato, obversis tergis dissipantur, deinde caeterae etiam legiones in fugam vertuntur. Branas vero quanta voce poterat clamitans „state, Romani: plures enim cum paucioribus pugnabimus, et primus ego hastam in hostem vibrabo," idque quod alios monebat exequens, neminem sane a fuga revocavit, sed telo in Conradum sine galea pugnantem directo non letalem ictum illi intulit, sed Cae-

ἐκείνου χειρῶν ἐξερρύη, ὁ δ' ἀμφοτέραις τοῦ οἰκείου ξυστοῦ C λαβόμενος ἐμπήγνυσι τοῦτο τῇ παρειᾷ τοῦ Βρανᾶ, καὶ σκοτοδίνης ἐκεῖνον ἐμπίπλησι, καὶ κατακρημνίζει τοῦ ἵππου Βρανᾶν. τὸ δ' ἀπὸ τοῦδε περιστάντες αὐτὸν οἱ δορυφόροι τοῦ Καίσαρος καταδορατίζουσι. φασὶ δὲ ὡς ἐν τῷ πρώτως ὑπὸ Κορράδου τρωθῆναι τὴν τελευτὴν πτοηθεὶς ἱκετηρίασε Βρανᾶς τοῦ μὴ τεθνάναι, τὸν δὲ Κορράδον ἐκείνῳ μὴ χρῆναι δεδιέναι ἀποκρίνασθαι· οὐδὲ γὰρ ἀηδές τι πείσεσθαι ἕτερον ἢ τὴν κεφαλὴν μόνον ἀποκοπήσεται. ὃ καὶ παραχρῆμα πέπονθεν. ἀκόσμου δὲ τῆς φυγῆς γενομένης ἕκαστος τὸν καθ' αὑτὸν διώκων ἀνῄρει. τοῦτο δὲ ἀρχομένης συμβὰν τῆς τροπῆς οὐ περαιτέρω προβέβηκε· καὶ Ῥωμαῖοι γὰρ ὁμογενοῦς ἐφείδοντο αἵματος, καὶ αὐτοὶ δὲ οἱ διωκόμενοι τὸν περὶ ψυ- V. 203 χῆς τρέχοντες μεθ' ἁπάσης ὁρμῆς ἀπεδίδρασκον. ἐσκύλευται D οὖν ὁ χάραξ ὑπὸ τῶν νικώντων, καὶ εἰς διαρπαγὴν ἐκκείμενος ἦν οὐ μόνον τοῖς τοῦ βασιλέως στρατεύμασιν ἀλλὰ καὶ τοῖς ἐκχεομένοις ἀστυπολίταις. ἀναιρεῖται δὲ κατὰ τοῦτον τὸν πόλεμον καὶ Κωνσταντῖνος ὁ Στηθᾶτος, περὶ τὸν βουβῶνα λόγχῃ τρωθείς, ἀνὴρ ἀγαθὸς καὶ μείλιχος, ὃς διέπων τὴν ἐπαρχίαν τῆς Ἀγχιάλου οὐχ ἑκόντως ἐπηκολούθησε τῷ Βρανᾷ, ἀλλ' οὔτε τὸν προσλαβόμενον ὤνησέ τι, καθὼς καὶ προσεδοκᾶτο, Βρανᾶν, καὶ ἑαυτὸν οὐκ ἐξέσωσε τοῦ μαχαίρᾳ πεσεῖν, τῶν τότε ἀστρολόγων ὁ δοκιμώτατος ὤν, ἀλλά τι τὴν ἐκείνου γνῶσιν διαδραμόν, ὡς ἔοικε, λεπτεπίλεπτον

1. ξυστοῦ] δόρατος A. 2. σκοτοδίνης] ζαλίζεται καὶ πίπτει ἀπὸ τοῦ ἀλόγου αὐτοῦ B. 3. πίμπλησι A. 7. τοῦ om A. 12. προέβη A. 19. ὃς διέπων] κεφαλὴ περὶ τὴν ἀγχιάλω B.

saris humero perstricto telum e manibus amisit. at ille hastam suam utraque manu prehensam ita in Branae maxilla defigit, ut oborta vertigine equo praecipitaretur et a satellitibus Caesaris confoderetur. aiunt, cum primo vulnere accepto mortem deprecaretur, Conradum eum bono animo esse iussisse, neque enim quicquam gravius quam capitis truncationem ei metuendam esse; idque statim accidit. in illa effusa fuga proximum quemquam quilibet occidit; idque principio fugae duntaxat factum non ulterius processit. nam et Romani cognato sanguini parcebant; et ii quos persequebantur, quippe res capitis agebatur, summa festinatione aufugiebant. castra a victoribus direpta sunt, nec militibus duntaxat sed urbanae etiam multitudini praedae fuerunt. in hac pugna Constantinus Stethatus occubuit, hasta in inguine vulneratus, vir bonus et suavis; qui cum Anchiali provinciae praeesset, Branam non sponte secutus, nec ipsi, ut expectabatur, commodavit, nec semet ipsum conservavit, quominus ferro interiret, quamvis astrologorum eius ae-

ἡσυχῇ μένειν πέπεικεν ἐπὶ τῆς σκηνῆς, καὶ ἐπιὸν οὐκ ἔδεισε τὸ πολέμιον. ἐλέγετο δὲ τῷ Βρανᾷ φοιβάσαι προρρητικῶς, ἐκ τῶν τῆς τέχνης ἐκβάσεων τεκμαιρόμενος, ὡς κατὰ τὴν
P. 148 ἡμέραν ἐκείνην τῆς πόλεως ἐντὸς εἰσελεύσεται καὶ θριαμβεύσει περιφανῶς. τοῦτο δὲ εἰ μὲν αὐτὸς ἀληθῶς εἴρηκεν ὁ Στηθάτος, ἀσφαλῶς οὐκ ἴσημι, ὅτι μηδ' ἀψευδῶς τὰ πάντα ἡ φήμη μυθεύεται, ὁπόσα περιλάλητα τιθέναι φιλεῖ. ὅτι δέ, εἰ δῶμεν ὁπόσα ἡ φήμη ἐδίδαξεν, ὑπὸ τοῦ προφάντορος Στηθάτου εἰκαίως ἐξετοξεύθησαν, αὐτά, φασί, τὰ πράγματα ἔφηναν, εἰ μή τις τῇ οὐρανοσκόπῳ ἐπιστήμῃ προσκείμενος μὴ παντάπασι διεψεῦσθαι τουτονὶ διατείνοιτο καὶ τὰ τῆς τέχνης μὴ καθόλου διαπεσεῖν, εἰς τὴν τοῦ Βρανᾶ κεφαλὴν μετάγων τὰ προρρηθέντα καὶ τὸν ἕτερον αὐτοῦ τῶν ποδῶν, ἅπερ τῆς ἡμέρας ἐκείνης διὰ τῆς ἀγορᾶς ἐμπεπερονημένα κοντοῖς διεπόμπευσαν, σὺν αὐτῇ δὲ καὶ κεφαλή τινος ἀγοραίου,
B Ποιητοῦ λεγομένου, ἣν οὐδεμία πολεμία χεὶρ ἀφείλετο, αὐτὸς δὲ βασιλεὺς μετὰ τὴν λαμπρὰν ἐκείνην νίκην καὶ τὴν τῶν ἐναντίων καταπολέμησιν ἀποτμηθῆναι προσέταξεν, οὐκ οἶδ' ἐφ' ὅτῳ συνοίσοντι ἢ κατορθώματι.

9. Καὶ τοιοῦτο μὲν ὁ τότε ἀγὼν εἴληφε πέρας, αὐτὸς δ' ὁ βασιλεὺς τραπόμενος εἰς ἑστίασιν πᾶσαν τῶν ἀρχείων ἀνῆκε πύλην αὔλειον καὶ παράθυρον προσκήνιον, ὥστε τοὺς

3. τεκμηράμενος A. 7. μυθίζεται A. 8. ὁπόσα εἰπεῖν ἡ A. 10. ἔφαναν A. 13. τὸν ἕτερον] τὸν δεξιὸν B. 14. ἐμπεπαρμένα δόρασιν A. 15. ἐνεπόμπευσαν A. τινος ἀγοραίου] ἑνὸς πραγματευτοῦ B. 17. δὲ] δ' ὁ A. 19. ἢ] ἢ ὁποιωδὴ A. 21. τραπόμενος] εἰς τράπεζαν καθίσας B.

tatis princeps. nimirum scrupulo aliquo minutissimo deceptus in tentorio manserat, hostem ingruentem nihil timens. ferebatur autem Branae ex artis observatione praedixisse fore ut eo die urbem ingrederetur et magno cum splendore triumpharet. quod utrum dixerit necne, affirmare non possum: novi enim famae non semper in huiusmodi rumoribus fidem habendam esse. sed si illa dixit quae feruntur, vates utique deceptus est, ut res ipsa declaravit, nisi quis forte astrologiae deditus eum non prorsus aberrasse nec artem omnino vanam esse propterea contendat, quod caput eius et dexter pes eo die hastis affixa per forum traducta sunt, unaque caput circumforanei cuiusdam, qui Poeta dicebatur, non in bello caesi, sed post illustrem illam victoriam iussu imperatoris, haud scio quo fine, interfecti.

9. Eo bello hunc exitum sortito, imperator convivio instructo omnes aulae portas aperuit, ut victor a quibusvis conspiceretur; et cum manus epulis admoturus esset, ferculum haud sane decorum et

βουλομένους εἰσιέναι καὶ θεᾶσθαι αὐτὸν τροπαιοῦχον. ἐν δὲ τῷ ἅπτεσθαι τῶν σιτίων χανδὸν καὶ τὰς χεῖρας κινεῖν εἰς τὸν τῶν προκειμένων ἐδεστῶν πόλεμον, ἐπεισόδιόν τι οὐκ εὐπρεπὲς καὶ ἄθυρμα ἐπιδείπνιον τὴν τοῦ Βρανᾶ παρεισαχθῆναι κεκέλευκε κεφαλήν. ἡ δὲ ὡς εἰσῆκτο, ἐπ' ἐδάφους ἔρριπτο σεσηρυῖα καὶ μεμυκυῖα τὼ ὀφθαλμώ, ὡδί τε κἀκεῖσε δίκην σφαίρας διαγομένη τε καὶ μεταγομένη διηκοντίζετο. ὕστερον C δὲ καὶ τῇ αὐτοῦ γαμετῇ ἔνδον τῶν ἀνακτόρων καθειργμένῃ παρεισφέρεται, καὶ ἀνέρεται αὕτη εἰ σύνοιδεν ὅτου ἐστὶν ἡ κεφαλή. ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐκείνῳ τῷ πικρῷ καὶ οἰκτρῷ καὶ ἀέλπτῳ θεάματι ἐπιβαλοῦσα „οἶδα" φησι „καὶ ταλανίζω ἐμαυτήν." ἦν γὰρ σώφρων ἡ γυνή, καὶ τὴν ἐπιπρέπουσαν τῷ θήλεϊ σιωπὴν τιθεμένη περὶ πολλοῦ, οὗ χάριν καὶ καλὴν ἐν γυναιξὶ κατωνόμαζεν ὁ πρὸς μητρὸς αὐτῆς θεῖος ὁ αὐτοκράτωρ Μανουήλ, καὶ οἷόν τι τῶν ἐκ τοῦ γένους ὀσφράδιον. τὰ δέ γε πρὸς ἀποστασίαν τῷ Βρανᾷ συναράμενα στρατεύματα, ὅλους ἀνέντα χαλινούς, τὰς ὁπουδήποτε φερούσας ἐτράπετο. καὶ οἱ μὲν ὄπισθεν ἑστῶτες τῶν προμάχων κατὰ τὸν καιρὸν τῆς συμπλοκῆς, ὡς ᾔσθοντο τῆς τροπῆς, ἀψάμενοι D τῆς φυγῆς πρότεροι τοὺς κατόπιν ἐλαύνοντας ὡς πολεμίους ὑφορώμενοι, τὸν δρόμον ὡς μὴ συλληφθεῖεν ἐπέτεινον· οἱ δ' ἐφεπόμενοι τὸ σύντονον εἰς φυγὴν τῶν προαγόντων ὡς πρᾶξιν ζηλοῦντες σώζουσαν, καὶ τὴν τῶν πολεμίων ἐπιδίωξιν δεδιττόμενοι, ἐκεῖνα ηὔχοντο ἄντικρυς, τοὺς μὲν ἵππους

6. σεσηρυῖα] ζαρωμένην καὶ κεχαμυμένην τοὺς ὀφθαλμοὺς ἐκύλιον ταύτην ἀπὸ τόπου εἰς τόπον καὶ ἔσυρον καὶ ἔρριπτον ὥσπερ μάπαν B. 14. μητρὸς] πρὸς πατρὸς αὐτῇ A. 15. οἷόν] καὶ μυρωδίαν ἐκάλει τοῦ γένους αὐτοῦ B. 17. χαλινοὺς] ῥυτῆρας A. 21. ληφθεῖεν A.

ludicrum parum elegans, Branae caput inferri iussit, quod hianti rictu et clausis oculis humi abiectum huc atque illuc globi instar agitabatur et iaculis traiiciebatur. deinde coniugi quoque eius in palatio inclusae oblatum est. quae rogata num sciret cuius esset, oculis in miserabile illud et inexpectatum spectaculum coniectis „novi" inquit, „et me miseram iudico." erat enim modesta mulier, et decoram matronis taciturnitatem maximi faciebat. quare a patruo Manuele matronale decus et familiae suae ornamentum appellabatur. exercitus vero qui cum Brana defecerant, laxis habenis quocunque fugiebant; ac qui pugnae tempore post propugnatores steterant, cum inclinatam esse aciem sensissent, fuga occupata, eos qui a tergo sequebantur pro hostibus metuentes cursum intendebant, ne caperentur. qui vero sequebantur, antecedentium incitatam fugam ut rem salu-

μὴ ποσὶ κόπτειν τὸ δάπεδον ἀλλ' ἵπτασθαι κατὰ Πήγασον,
αὐτοὺς δὲ ἀορασίᾳ καλύπτεσθαι, ὡς εἰ τὴν κυνέην Ἅιδου
ὑπέδυσαν. ἡ πολλὴ τότε ἦν αὐτοῖς ἡ δείλανσις, καὶ πᾶν
ἐποίει καὶ πράττειν καὶ εὔχεσθαι. ἀλλὰ καὶ περὶ τὴν γέφυραν
πλεῖστοι ἂν ἀπολισθόντες ὀλώλεισαν ἥτις κατὰ τὸ Δαφνούτιον
V. 204 περιάγεται, εἰ μή τις αὐτοὺς ἐπεπείκει καθυφεῖναι τῆς ὀξείας
φυγῆς κατὰ κόσμον τε καὶ μὴ ἐπισφαλῶς διὰ τῆς ἀψῖδος
ἰέναι, εἰς οὐρανὸν ἀνατείνας τὰς χεῖρας καὶ τὸ θεῖον ἐπομο-
σάμενος μηδένα κατ' αὐτῶν ἐπιέναι πολέμιον ὄπισθεν, ἀλλὰ
P. 249 πάλαι μεταστραφέντας παύσασθαι τῆς καταδιώξεως. ὅσοι
μὲν οὖν τὴν τύχην ἦσαν φλαῦροι καὶ περιπέζιοι, οὗτοι ἀνε-
παχθῶς καὶ ἀνεπεγκλήτως ἀφίκοντο οἴκαδε, τὴν οἰκείαν πα-
ράβυστον σώζουσαν ἔχοντες, καὶ μηδένα δεδιότες τὸν ἐπὶ τῷ
κολάσαι ἀναδιφήσοντα. οἱ δὲ τὸ γένος λαμπροὶ καὶ ἐπίσημοι
δι' ἡγεμονίαν ἢ ἀρχηγίαν, οὗτοι ἐς ἄθρουν ἀλισθέντες σύν-
ταγμα διαπρεσβεύονται βασιλεῖ, συγγνώμην αἰτοῦντες οἷς
ἀπέστησαν ἀπ' αὐτοῦ καὶ τῷ ἀποστάτῃ ἐπηκολούθησαν, καὶ
παρὰ βασιλέως λαμβάνοντες τὸ ἀνέγκλητον ἀγαθοὶ καὶ πι-
στοὶ θεράποντες ἐς τὸ μέλλον ἔσεσθαι συνετίθεντο, κἀκ τῶν
ἔργων αὐτῶν ὑποδεῖξαι τὴν μετάνοιαν ἐφ' οἷς ἐκ παρανοίας
B πεπαρῳνήκασι κατὰ τοῦ κυρίου βασιλέως ἐφοπλισάμενοι. εἰ
δὲ βασιλεύς, φασι, τὸ τῆς ψυχῆς θυμούμενον πλουτῶν ἀμε-

2. κυνέαν A. 4. τὴν τοῦ δαφνουδίου γέφυραν B. 5. ὀλώλεσιν A. 7. καὶ κατὰ κ. μηδ' A. 11. τὴν τύχην] τὸ γένος ἄγνωστοι καὶ περισυνάγματα B. 13. τῷ] τὸ A. 15. ἀλισθέντες] σωρευθέντες A. 17. κατηκολούθησαν A. 18. ἀγαθοὶ] πιστοὶ καὶ εὐυπόληπτοι πρὸς αὐτὸν B. 20. παρανοίας margo W: codices παροινίας.

tarem imitati, et hostium persecutionem veriti, illud utique optabant, ut equi non ungulis humum pulsarent sed tanquam Pegasus volitarent, ipsique velut orci galea tecti a nemine conspicerentur. tantus eos terror invaserat, qui faciebat ut quidvis et dicerent et optarent. ac in ponte Daphnutiano plurimi periissent, nisi quidam manibus in caelum extensis, deum testatus neminem a tergo instare sed victores iamdudum a persequendo destitisse, eos monuisset ut impetum fugae moderantes ordine et caute fornicem illum pertransirent. ac tenues et obscurae fortunae homines citra molestiam et crimen domum redierunt, salubriter obscuritate sua tecti, neque metuentes se ab ullo inquirerentur. qui vero aut genere illustres aut magistratibus gestis insignes erant, frequentes convenere et per legatos veniam ab imperatore petiverunt, quod hominem seditiosum secuti defecissent. quodsi ab imperatore noxae eximerentur, se in posterum bonos et fideles ministros fore

τάθετον οὐκ αὐτῆμαρ καταπέψει τὴν ὀργιλότητα, ἀλλ' ἐσέπειτα στήσει τὰ ἡμαρτημένα σφίσιν αὐτοῖς, ὃν ὑπέτυφε κότον εἰς σπινθῆρας ἀναρριπίζων θυμοῦ, καὶ αὐτοὶ φευξοῦνται ἀπὸ προσώπου τοῦ βασιλέως καὶ τὸν παρὰ τοῖς φιλεχθροῦσιν ἔθνεσι Ῥωμαίοις ζητήσουσιν ἔσχατον σταθμόν, κἀκεῖνα Ῥωμαίους ἐργάσονται ὅσα οἷς προσερρύησαν δρᾶν ὤφειλον, ἐπεὶ μηδὲ καινὸν εἰ διφῴη τις τὸν ἀντίπαλον καὶ κολακεύσει τουτονὶ ὡς φίλιον, τὸν οἰκεῖον εὑρίσκων πολέμιον. ταῦτα οἱ μὲν πρέσβεις ὑπετονθόρυσαν· βασιλεὺς δὲ πᾶσιν ἀμνηστίαν ἐβράβευσε, καὶ τοὺς προσιόντας εὐμενῶς προσδεχόμενος παρῄνει ματάμελον ἐπὶ τῇ παραβάσει τῶν πρὸς αὐ- C τὸν ὀμωμοσμένων ἐνδείκνυσθαι, καὶ ἀρχιερεῖ ὀπτάνεσθαι τῷ μεγάλῳ, καὶ ζητεῖν ἐκεῖθεν λύσιν τοῦ ἀναθέματος ᾧπερ αὐτοὺς οἱ τῆς πόλεως οἰκήτορες καθυπέβαλον, ἄνωθεν ἑστῶτες τῶν πυργοβάρεων καὶ τὰ παρ' αὐτῶν θεώμενοι δρώμενα. καὶ πολλοὶ τῷ πατριάρχῃ προσήλθοσαν, ὅσοις τέως εὐλαβείας μετῆν· οἱ δ' ἄλλοι τῇ κατανεύσει τῆς κεφαλῆς τὸ πέρας τῆς παραιφάσεως συμμετρήσαντες ὡς λῆρον ἡγήσαντο τὴν εἰς τὸν μέγαν νεὼν ἄφιξίν τε καὶ ἐξαγόρευσιν. ἐῶ γὰρ λέγειν ὡς ἦσαν οἳ τῶν ἀγασθάλων μετὰ τὴν ἐκ προσώπου τοῦ βασιλέως ἐξέλευσιν διεχλεύαζον αὐτὸν καὶ ἐξεμυκτήριζον, καὶ οὐ καινὸν ἔλεγον εἰ θεῷ πρότερον κληρωθείς, ἐπεὶ καὶ τοῦτο προσ- D

1. καταπέψει] παραπέμψει A. 6. ῥωμαίοις A. 7. κολακεύει A. 10. ἐβράβευε A. 19. ναὸν A. 21. καὶ οὐ] λέγοντες ὅτι εἰ μὴ γένης κληρικός, μεθ' ἡμῶν οὐ περιπατεῖς B.

pollicebantur, et poenitentiam suam re ipsa declaraturos, quod contra dominum et imperatorem arma cepissent. sin is inexpiabili iracundia arderet, atque iniuriarum memoriam perpetuo conservatam ac irae scintillas resuscitatas vellet, se quoque conspectum eius fugituros et extremum receptum apud gentes Romanis infestas quaesituros, et in Romanos ea commissuros quae illis deberent ad quos confugissent. neque enim esse novum, si quis suos infestos experiatur, ut hostium amicitiam expetat eosque pro amicis colat. quae cum legati submurmurassent, imperator impunitate omnibus concessa, eos qui accedebant benigne susceptos monebat ut poenitentiae ob violatum iusiurandum declarandae causa patriarcham adirent, seque anathemate solvi peterent. quo a civibus, cum illorum facinora ex turribus spectarent, obstricti essent. ac multi, quibus religio cordi erat, ita fecerunt: caeteri vero nutu capitis duntaxat admonitioni illi assensi magni templi ingressum et confessionem pro nugis habuerunt; ne dicam fuisse quosdam petulantes, qui cum exiissent, imperatorem deriserint et subsannarint, nihil esse novi dicentes,

διεβέβλητο, ἐκεῖνα καὶ αὐτοῖς ὑφηγεῖται νῦν ὁπόσα δὴ καὶ ἐξ ἐφήβου δεδίδακται. πολλοὶ δὲ καὶ τῷ Ἀσὰν καὶ τῷ Πέτρῳ προσερρύησαν· ἀλλὰ καὶ οὗτοι γράμμασι βασιλικοῖς μετὰ μικρὸν ἐπανῆλθοσαν.

10. Ἄλλο δ' ἐπὶ τούτοις παρηκολούθησεν ἔργον παραλογώτατον· ὁ γὰρ βασιλεὺς πᾶσιν ἐνέδωκεν ἀτεχνῶς ἀστυκοῖς τε καὶ ἀλλοχώροις διεκχεῖσθαι καὶ κακῶς δρᾶν ὁπόσοι πρὸς Βρανᾶν μετετάξαντο τῶν τε ἀγχοῦ τῆς πόλεως ἀγροτῶν καὶ τῶν τὴν Προποντίδα λαχόντων εἰς οἴκησιν. καὶ τὴν μὲν τῆς ἡμέρας ἐκείνης διάδοχον νύκτα καθ' ἣν Βρανᾶς κατηγώνιστο, ἐνίεται ταῖς οἰκίαις τῶν δυστήνων Προποντίων τὸ
P.250 ὑγρὸν πῦρ, ὃ τοῖς στέγουσιν ἐφυπνοῦν σκεύεσι κατὰ τὰς ἀστραπὰς ἐξαίφνης προΐησι τὰ ἐξάλματα καὶ πιμπρᾷ καθ' ὧν διεκπῖπτον ἀφίεται. τὸ δὲ λάβρον ἐμπεσὸν τοῖς δρυφάκτοις ἐπυρπόλησεν ἅπαν οἰκοδόμημα, εἴτε τέμενος τοῦτο ἅγιον ἦν εἴτε σεμνεῖον ἱερὸν εἴτε οἴκημα ἰδιωτικόν· καὶ τοῦ κακοῦ παρὰ πᾶσαν δόκησιν ἐπελθόντος οὐ μόνον τὰ μέλαθρα τὸ πῦρ ἐπενέμετο καὶ ἡ φλὸξ μικροῦ διεῖρπεν αἰθέριος, ἀλλὰ καὶ τὰς οὐσίας ἐπεβόσκετο τῶν ἀνθρώπων, οὐδενὸς ἁρπάσαι τι καὶ
V.205 μετενεγκεῖν ἔχοντος εἰ μὴ ὅσα τῶν χρημάτων εὐάγκαλα. κατὰ δὲ τὴν μετ' αὐτὴν ἕω ἔξεισιν ὡς ἐκ προσκλήσεως τὸ Λατινικὸν στῖφος ὃ τῷ Κορράδῳ Καίσαρι συντέτακτο καὶ τὸ

11. τῶν δυστήνων] τῶν ἐν τῷ πορθμῷ τὰς καταλύσεις ἐχόντων A, τῶν τοιούτων στενιτῶν B. 12. τῶν ἀστραπῶν αἴφνης πρόεισι A. 13. ὧν διεκπ.] ὧν διαφίεται A. 15. πᾶσαν οἰκοδομὴν A. 20. χρημάτων] ἐνόντων A. 21. ὡς ἐκ προσκλήσεως om A.

si is qui sacrificulus olim fuisset (nam id etiam ei crimini dabatur) ipsis etiam ea praescriberet quae a puero didicisset. multi qui ad Asanem et Petrum se contulerant, paulo post imperatoris litteris revocati sunt.

10. Post haec imperator, quod haud satis mirari queas, concessit omnibus tam civibus quam peregrinis, ut urbe effusi omnes eos male tractarent qui ad Branam defecerant, suburbanos, villicos et Propontidis incolas. eaque nocte quae Branae interitum consecuta est, Graecus ignis aedificiis ad fretum sitis iniicitur, qui in vasis occultus, subito fulguris instar emicans, omnia quae contigerit incendit. qui cum in tabulata incidisset, omnia aedificia tam sacra quam profana, tam privata quam publica incendit. id malum cum praeter expectationem accidisset, non aedes modo flamma in altum elata sed etiam bona miserorum absumebat, cum nihil eripere aut transferre possent nisi parva quaedam. postridie mane Latina cohors Conradi Caesaris et promiscua et paupercula turba urbe egreditur. hi circum-

ἀγελαῖον καὶ πτωχεῦον πλῆθος τῆς πόλεως, καὶ τὰ πέριξ B διαδραμόντες, οἱ μὲν ἔτι τὰ ὅπλα φέροντες οἱ δ' ἀμυντηρίῳ τῷ παρευρεθέντι χρώμενοι, τί μὲν οὐχ ἥρπασαν, τί δὲ χείριστον οὐκ εἰργάσαντο; οἰκήματα κατήρειψαν, τὸν ἔνδον πλοῦτον περιεβάλοντο, ἱερὰ ἀνηρεύνησαν φροντιστήρια, ἔπιπλα ἀφείλοντο παναγῆ, σκεύη τίμια ἐβεβήλωσαν, σεμνῶν μοναζόντων οὐκ ᾐδέσθησαν πολιάν, ἀρετῆς, ἣν καὶ πολέμιος οἶδε τιμᾶν, ἠλόγησαν, καὶ ἵνα τὰ πολλὰ συντέμω, πᾶσαν κάκωσιν καθ' ὧν ἐπῄεσαν ἐπεδείξαντο. πολλοὶ δὲ καὶ ὅτι τῶν κατ' οἶκον σκυλευομένων ὑπέμυξαν, θάνατον εὕραντο τὸ ζημίωμα. προὔκοψε δ' ἂν τὸ δεινὸν καὶ χρονιώτερον γεγονὸς ὤφθη καὶ περιαλγέστερον, εἰ μή τινες ἀνενεγκόντες βασιλεῖ τὰ τελούμενα C καὶ βαρυαλγήσαντες, ὡς εἰκός, ὑπένυξαν πρὸς διόρθωσιν. καὶ στείλας εὐθύς τινας τῶν κατ' ἀξίωσιν καὶ γένος περιφανῶν ἀνέστειλέ τε τὰς τῶν ἀτάκτων ὁρμάς, καὶ κατέληξεν οὕτως ὀψέ ποτε τὰ εἰς μέγα μέρος ἀφανισμοῦ τῶν ἐκεῖσε τολμώμενα.

Ἀλλ' οὔπω ταῦτα διετεθρήνητο ἀκριβῶς ὁπόσοις τῶν ἀνθρώπων ψυχὴ φίλοικτος καὶ τὸ δάκρυ ταῖς τῶν πασχόντων ἀναπιδύει θερμότερον συμφοραῖς, καὶ τὸ τῆς πόλεως χειρωνακτικὸν καὶ ὅσον οὐ συνεπευδόκησε τοῖς λοιποῖς ἐπὶ τὰ ἱστορημένα ἤδη τῷ λέγειν μοι, δεινὸν ἡγησάμενοι εἰ οὐχ ὅπως

5. ἔπιπλα] ποδέας ἁγίων ἀπῆραν B. 6. σεμνὴν μοναζ. πολιτείαν οὐκ ᾐδ. ἀρετῆς A. 11. χρ. ὀφθὲν ἐγενόνει περ. A. 12. τελούμενα] τολμημένα A. 15. κατέληξεν] λῆξιν εὕρατο οὑτωσί πως A. 16. τολμώμενα] τελούμενα A. 19. φίλοικτος] εὐσυμπάθητος καὶ τὸ τῶν ὀφθαλμῶν ὕδωρ A. 21. συνευδόκησε τοῖς ἄλλοις A.

licentia omnia pervagati, partim adhuc armati, partim telis obiter arreptis, quid non rapuerunt? quo scelere abstinuerunt? diruerunt aedes, opes diripuerunt, monasteria scrutati suppellectilia sacrosancta abstulerunt, vasa pretiosa profanarunt, venerabilem monachorum senectutem non reveriti sunt; virtutem quam hostis etiam venerari solet, neglexerunt; denique ne sim prolixior, omne malorum genus quolibet secum attulerunt. multi quod ob direptionem aedium suarum murmurassent, occisi sunt. ac ea calamitas latius vagata ac diutius et acerbius grassata esset, nisi quidam gravi dolore commoti eam audaciam imperatori indicassent, eumque perpulissent ut viris nobilibus et dignitate praestantibus missis importunorum hominum impetum repressisset.

Hoc modo vastatione magnae partis suburbanorum aedificiorum vix tandem finita, et ab hominibus qui aliorum malis afficiuntur vix satis adhuc deplorata opifices urbani, qui ea quae iam exposui non

ἐλευθεροστομοῦσι Λατῖνοι καὶ βρενθύονται τῷ ὑπ' αὐτῶν D καταγωνισθῆναι Βρανᾶν, ἀλλὰ καὶ κατὰ τῶν ἀστυγειτόνων σφίσι Ῥωμαίων διαπεπράχασι τὰ ἀνύποιστα, κατὰ φάλαγγας ἀγηγερμένοι καὶ σπείρας δίκην χειμάρρου ταῖς τῶν Λατινικῶν γενῶν οἰκίαις προσρήγνυνται. αἵ τε οὖν ἄσημοι φωναὶ τὸν ἀέρα ἐπλήρουν, ὡς οὐδ' εἰ κολοιῶν ἢ γεράνων ἢ ψάρων ἔθνεα κλαγγηδὸν ἐπτερύσσοντο ἢ ἐπέκλωζον θηρευταὶ καὶ ἐπεθώϋζον κυνηγέται, ἀλλήλους τε παρεκάλουν ἐπισπώμενοι τῶν χιτωνίων. καὶ οὐκ ἦν ἐκεῖ τις τῶν εἰσηγουμένων τὰ πρὸς εἰρήνην κατήκοος, ἀλλ' ὡς ἀσπίδες τὰ ὦτα βύοντες πάντα παρέτρεχον σοφὸν φαρμακόν. ἡγεμόνευε δὲ τῆς τότε τῶν ἀγοραίων συνδρομῆς οὐ μόνον θυμὸς ἄλογος, ἀλλὰ καὶ ὁ τῶν ἀλλοτρίων ἠρρένου ἔρως χρημάτων· ᾤοντο γὰρ ἐν βραχεῖ πόνῳ τοὺς Λατίνους ἐκστῆσαι οἰκημάτων καὶ διαρπά- P. 251 σαι ἅπαν ἀπραγματεύτως τὸ ἔνδον κειμηλιούμενον, ὥσπερ κατὰ τοὺς χρόνους τοῦ βασιλέως Ἀνδρονίκου διαπεπράχασι. τοῖς δὲ εἰς τοὐναντίον τὰ τῶν ἐλπίδων μετέστραπται. οἱ γὰρ διάφοροι ὡς εἶδον τὴν ἐπ' αὐτοὺς τῶν ξυγκλύδων σύρροιαν, τάς τε λεωφόρους περιεφράγμωσαν μεγίστοις σκόλοψιν, ὅσαι κατ' αὐτοὺς ἦγον τὸ παροδεῦον, καὶ θωρακισθέντες βύζην ἐν τοῖς ὀχυρώμασιν ἔστησαν. ὁ δ' ἀγελαῖος ὄχλος πολλάκις μὲν ὑπερβῆναι τὰ περισταυρώματα ὥρμησαν, οὐ μόνον δὲ

2. καταγωνίσασθαι A. 4. χειμερίου δίκην χειμάρρου A. 5. γενῶν om A. συρρήγνυνται A. 11. πάντες A. 13. γὰρ ὡς ἐν βραχεῖ πόνῳ τῶν λατίνων ἐκστ. τῶν οἰκημάτων A. 19. τάς τε] ἔφραξαν τὰς ῥύμας αὐτῶν μετὰ μεγάλων ξύλων δοκαρίων καὶ ἐσταύρωσαν B.

probarant, non ferendum esse rati quod Latini non modo libere et insolenter iactarent Branam a se debellatum esse, sed etiam in suburbanos Romanos intolerabiliter grassati essent, in cohortes et phalanges centuriati instar hiberni torrentis in Latinorum aedes irruunt. igitur confusae voces non aliter quam gregibus gruum aut graculorum obstrepentibus, aut venatoribus latratum canum incitantibus, aërem implebant, atque alii alios tunicis prehensis instigabant. nemo ibi audiebatur qui pacem suadebat: omnes ut aspides aures obturabant, ne sapientem magum audirent. eum circumforaneae turbae concursum non modo effrenata iracundia, sed etiam alienae pecuniae cupiditas regebat. putabant enim se Latinis exiguo labore aedibus expulsis, quicquid in iis esset reconditum, ut sub Andronico fecissent, direpturos. verum non modo spe sua frustrati, sed etiam contrarium sunt experti. nam adversarii animadverso plebis contra se concitatae impetu, vias publicas, quae ad ipsorum aedes ducebant, maximis trabibus obstruxerunt, et thoracati in munitionibus illis,

τοῖς κατὰ σκοπὸν οὐκ ἔδοσαν πέρας, ἀλλὰ καὶ κακῶς ὑπὸ τῶν Λατίνων ἔπαθον· ἀσιδήρωτοι γὰρ καὶ γυμνοὶ πρὸς ὡπλισμένους μαχόμενοι, οἱ πλεῖστοι δὲ καὶ οἰνόφλυγες ὄντες, τότε δ' καὶ ἔδρων ἐγίνωσκον καὶ τὸν Ἐπιμηθέα τοῦ Προμηθέως καταδεέστερον ᾔδεσαν, ὁπότε βαλλόμενοι ἀπὸ τόξων ἢ παρασταδὸν οὐταζόμενοι κατὰ γῆς ἔπιπτον. καὶ τὴν μὲν δείλην ὅλην τῆς B ἡμέρας ἐκείνης μέχρι καὶ ἐς βαθεῖαν ἑσπέραν οὕτω κατίσχυε τὸ δεινόν· ἡλίου δὲ τὸν ὁρίζοντα ὑπεραναβάντος μετὰ μείζονος Ῥωμαῖοι ῥύμης ὡς εἰς ἀγώνισμα δεύτερον συνηθροίζοντο, πλείστους μετὰ τῶν ὅπλων προβεβλημένοι. ἀλλ' οἵ τε συνελθόντες ἐκ βασιλέως λόγιμοι ἄνδρες αὐτοὺς ἀνέστειλαν, καὶ οἱ ἐκ τῆς Λατίνων φυλῆς κατασοφισάμενοι τοὺς εὐήθεις κατέσβεσαν τὸ πολὺ τῆς ὁρμῆς· συναγαγόντες γὰρ τοὺς ἐν τῷ πολέμῳ καταλύσαντας τὸ ζῆν Ῥωμαίους, καὶ μετὰ τὴν τῶν V 20 περιβλημάτων ἀφαίρεσιν δείξαντες ἐν χρῷ κουρίας, ἐξέθεντο κατὰ τὴν αὔλειον σφῶν, καὶ πλαστῶς ἐπ' αὐτοῖς ὡς ἐφ' ὁμογενέσι παθηνάμενοι ὑπεδείκνυον τοῖς προσιοῦσιν ἐκ βασιλέως, καὶ ἱκεσίαζον μὴ ἀνασχέσθαι καὶ ἐσαῦθις συρραγῆναι C πόλεμον καὶ δὶς αὐτοὺς πεπονθέναι ὁπόσα καὶ ὁρᾶν ἔχουσιν. οἱ δὲ πρὸς τὸν ἀποχειροβίοτον λαὸν ταῦτα διαπορθμεύοντες, κἀπὶ τοὺς τεθνεῶτας τείνειν τὰ ὄμματα πείθοντες, μηδ' ἐπαινεῖν τὰ γινόμενα φάσκοντες, ἴσχυσαν οὕτως ὀψέ ποτε μαλάξαι τοὺς σύρφακας ὡς ἀποχωρῆσαι πρὸς τὸ οἰκεῖον ἕκα-

3. ἔπασχον A ἀσιδήρωτοι] ἀναμάρτωτοι B. 5. ᾔδεσαν] ἔγνωσαν A. 8. ὑπερβάντος A. 10. μεθ' ὅπλων A. 14 καὶ μετὰ] φραγγικὰ ῥοῦχα φορέσαντες καὶ ντζεφέτε, καὶ τοὺς ἔχοντες γένεια κουρεύσαντες B. 23. ἀναχωρῆσαι A

densi inter sese, constiterunt. at collectitia turba saepe vallum illud transcendere conata non modo nihil profecit, sed etiam a Latinis male tractata est. nam cum sine ferro et nudi, plerique etiam vino obruti, cum armatis congrederentur, tum demum quid fecissent cernebant, Epimetheum Prometheo stultiorem esse intelligebant, cum aut sagittis icti aut comminus vulnerati humi procumbebant. ac toto vesperi usque in crepusculum malum illud duravit. mane autem cum Romani maiore impetu ad secundum praelium se pararent, plurimis armatis hosti oppositis, cum clari viri ab imperatore missi eos represserunt, tum Latini stultis fucum fecerunt ac multum de fervore illo restinxerunt. Romanos enim qui in pugna ciciderant, Latinis vestibus indutos rasisque barbis in suarum aedium vestibulis collocatos, pro popularibus suis lamentati sunt; et iis qui ab imperatore aderant, illos monstrando, rogarunt ne denuo committi praelium, ...ve bis iisdem cladibus quas cernerent afflici paterentur. qui cum

στον ἐπιτήδευμα. καὶ ἄλλως δὲ εἰπεῖν, μὴ τοῦ συνήθους ἡγεμόνος τοῦ οἴνου σφᾶς θωρακίσαντος μηδ' ἀκριβέστερον σιδήρου πρὸς τὸν ἀγῶνα παραθήξαντος (πρώϊος γὰρ ἦν ὁ καιρὸς) διελύθησαν εὐμαρῶς ἀναμίλλητοι, οὓς ὑποσχόντες εὐήκοον τῇ παρεκτάσει τῶν διαλλακτήρων μεγίστων ἀνδρῶν. εἰ γὰρ οἴνῳ προκατελήφθησαν οἱ καὶ ταπύρων οἰνοβαρέστεροι,
D οἱ ταῖς σμίλαις καὶ ταῖς ῥαφίσι προσανέχοντες, ποία τις αὐτοὺς ἴυγξ ἢ τίνων τερετίσματα Σειρήνων πρὸς εἰρήνην ἂν μετερρύθμισαν ἢ πρὸς ἑτέραν εὐσχήμονα πρᾶξιν μετέθηκαν; ὧν γε καὶ ἄλλοι μὲν ὡς ὑπὸ μέθης διαρρεόντων οὐκ ὀλίγα ξυνέθεντο σκώμματα, ὁ δὲ Μένανδρος οὑτωσί πως ἐπιλαμβάνεται „μεθύσους τοὺς ἐμπόρους ποιεῖ τὸ Βυζάντιον· ὅλην ἔπινον τὴν νύκτα." καὶ ταῦτα μὲν ὧδέ πῃ ἐφέρετο.

2. τοῦ οἴνου om A. 3. πρόϊμος A. 4. ἀνομίλητοι A. 5. παραιφάσει A. 6. οἱ καὶ ταπ. οἰν. om A. 8. τερετίσματα] ἀσμάτων A. 10. ὧν γε καὶ ἄλλοι μὲν τῶν ἀνθρώπων μεθύοντες πολλὰ παράφορα λέγουσιν, οἱ κωνσταντινοπολῖται δὲ καὶ πλείονα τῶν ἄλλων ὡς πολλαπλάσιον μεθύοντες καὶ ὅλην τὴν νύκτα τὸν οἶνον πίνοντες B. οὐκ] πάλιν οὐκ A. an πάλαι οὐκ? 12. μεθυστὰς ἐμπόρους τὸ βυζάντιον ποιεῖ καθότι ὅλην τὴν νύκτα πίνουσι. B.

illa ad opifices perferrent, et monerent ut in mortuos defigerent oculos, seque illa probare negarent, vix tandem populi colluviem emollire potuerunt, ut in officinam quisque suam reverteretur. facilius tamen impetratum est ut gravissimis pacificatoribus obsecuti ab armis discederent, quod ut matutino tempore non consuetus dux illos armarat, nec magis quam ferrum acuerat. nam si vino occupati fuissent ii qui gallam et acum subigunt, quae oratio, quis eloquentiae torrens illum pugnandi ardorem restinxisset, aut ad quietam aliamve honestam actionem eos impulisset? nam cum alii Byzantinos ut ebriosos perstrinxerunt, tum Menander sic eos arguit. „Byzantium ebriosos reddit hospites. potando noctes perdere integras solent." atque haec ita contigerunt.

ΤΟΜΟΣ Β ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ

ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΑΓΓΕΛΟΥ.

1. Βασιλεὺς δὲ δισσεύει κατὰ Μυσῶν ὑστεροβουλίᾳ P 256 πληττόμενος, ὅτι μὴ κατὰ τὴν προτέραν αὐτοῦ ἐμβολὴν τὰ V 207 τῆς πολεμίας εὖ διέθετο γῆς, ἀλλ' ἀναστὰς ᾤχετο ἐκεῖθεν ὡς εἰ πολέμιοι ἐπέκειντο βάλλοντες, μήτε τοῖς φρουρίοις Ῥωμαίους ἐπιστήσας φύλακας μήτε ὅμηρα λαβὼν τὰ τῶν βαρβάρων φίλτατα. καὶ τότε μὲν αὐτὸς μετὰ τῶν συνόντων οἱ ὀλίγων ἔξῄει τῆς πόλεως· ἠκηκόει γὰρ μηκέτι τοὺς Μυσοὺς τὰ ὄρη περιπαπταίνειν καὶ τοὺς βουνούς, ἀλλ' ὁπλιτικὸν ξεναγήσαντας Σκυθικὸν ἐς τὰ τῆς Ἀγαθοπόλεως μέρη παραβαλεῖν καὶ ταῦτα κατὰ κράτος ληΐζεσθαι, κακὰ ἐργαζομέ- B νους τεραμέρεια· τὸ δὲ λοιπὸν ἐκ προσκλήσεως συνήγετο στράτευμα. πρὸς γὰρ τὴν ἄελπτον καὶ ὀξεῖαν ἔφοδον τῶν βαρβάρων καὶ αὐτός τι τοιουτότροπον ἐμεθόδευσε, καὶ συστολὴν ἐντεῦθεν τοὺς ἐχθροὺς παθεῖν προμηθούμενος, καὶ

2. ΤΟΥ ΑΓΓΕΛΟΥ] καὶ ἐξέλευσις αὐτοῦ κατὰ τῆς Ζαγορᾶς B 3. δισσεύει] καὶ πάλιν ἐξέρχεται ἐκ δευτέρου B. 4. προτέραν] πρώτην A. 5. διετίθετο A. 7. ὅμηρα] ὑφηδὰς B τὰ τῶν om A. 8. συνόντων] προευρεθέντων ὀλίγων A 11. παρεμβαλεῖν A. 15. αὐτὸς ὁ βασιλεὺς τὴν ἔξοδον ἐν A.

IMPERII

ISAACII ANGELI

LIBER SECUNDUS.

1 Imperator vero dolens quod prima in Mysiam impressione bellum non rite administrasset, sed inde non aliter digressus quam si hostium telis urgeretur, neque castella Romanis praesidiis occupasset neque barbarorum filios obsides sumpsisset, denuo Blachis arma inferre statuit. ac tum ipse quidem cum paucis qui obiter reperiebantur egreditur. audierat enim hostes non amplius in montibus et collibus versari, sed Scythicis auxiliis ascitis in agro Agathopolitano castra posuisse, et loca illa effuse vastare et magnis afficere detrimentis. reliquae vero legiones interea convocabantur nam et ipse imperator ad subitum et inexpectatum hostium tumultum expeditionem illam accommodare cogebatur: in quo ille etiam spectabat, ut et hostium impetum reprimeret et suos dicto audien-

τοὺς οἰκείους μὴ ἀπαυθαδήσειν ἐς τὴν παρὰ πόδας καὶ δευ-
τέραν κατὰ τῶν Βλάχων ἐξόρμησιν, εἰ κατὰ τούτων πρῶτος
αὖθις αὐτὸς τὰ ὅπλα ἤρατο καὶ τὸν ἵππον ἀνέβη τὸν πολε-
μιστήριον. καὶ ὁ μὲν κατὰ τὸν Ταυρόκωμον γενόμενος (κτη-
σείδιον δέ ἐστιν οὗτος οἰκούμενον κωμηδὸν καὶ μὴ πάνυ πόρ-
P. 253 ρω τῆς Ἀδριανοῦ κείμενον) ἐπέμενε τὰς δυνάμεις συνελθεῖν,
ἐπέσκηψε δὲ καὶ τὸν Καίσαρα Κορράδον μηδέν τι μελλήσαν-
τα ἐξελθεῖν. ὁ δὲ δυσχεραίνων προδήλως πρὸς ἣν εὕρατο
ἐκ βασιλέως φιλοφροσύνην ὡς τῷ βασιλείῳ κήδει ἀσύμφωνον
καὶ τῷ ἑαυτοῦ γένει ἀπᾴδουσαν, ὁρῶν δὲ καὶ τὰς ὑπερηφά-
V. 208 νους ἐλπίδας καταλήξάσας ἐς μόνον τὸ μὴ τοῖς πολλοῖς ὁμό-
χρωμον ὑπόδημα τοῦ ποδὸς (τὸ τῶν Καισάρων λέγω παρά-
σημον), καὶ ἄλλως δὲ σταυροφορήσας οἴκοθεν καὶ τὴν ἐς Πα-
λαιστίνην ὁδεῦσαι πάλαι προθέμενος ἤδη κατασχεθεῖσαν ὑπὸ
τῶν κατὰ τὴν Αἴγυπτον Σαρακηνῶν, καὶ πάρεργον ὁδοῦ τὴν
μετὰ τῆς ἀδελφῆς τοῦ βασιλέως ἐπιτελέσας συνάφειαν, ἐπέ-
B νευσε μὲν συνεξιέναι τῷ βασιλεῖ καὶ συνδιαθέσθαι τὸν προ-
κείμενον πόλεμον, ὡς δ' ἀντέκρουσε τὸ βεβουλεῦσθαι θεὸν κα-
κουχεῖν εἰσέτι Ῥωμαίους ὑπὸ Μυσῶν, ἐπ' ἄλλοις τρέπει τὸν
νοῦν. νῆα γὰρ ἐξαρτύσας εὐπαγῆ τε καὶ νεογόμφωτον τὸν
πλοῦν ἐς Παλαιστίνην ἔθετο, καὶ τῇ Τύρῳ προσορμίσας καὶ
παρὰ τῶν ἐκεῖσε ὁμογενῶν οἷά τις κρείττων ὁραθεὶς καὶ προσ-
δεχθεὶς δύναμις τοῖς Σαρακηνοῖς ἀντεφέρετο, Ἰόππην ἐπανα-

1. ἀπαυθαδίσειν A. 7. κορράδην A. 9. φιλοφροσύνην] εὐεργεσίαν καὶ πλουτισμὸν B. 11. καταληγούσας A. 16 κατένευσε A. 20. ἐξαρτήσας A. 22. οἷα] ὡς οἷα A.

tiores haberet ad secundum illud Blachicum bellum, si ipse primus in equo bellico armatus cerneretur. ubi Taurocomum pervenit (praedium id est, quod vicatim incolitur, non procul ab Adrianopoli dissitum) expectavit dum copiae convenirent. et Conrado Caesari quoque mandavit ut citra cunctationem exiret. is vero cum imperatoris erga se benignitatem, cum suo genere non consentientem et ab imperatoria affinitate abhorrentem, haud dissimulanter aegre ferret, et magnificam illam spem non aliud afferre cerneret nisi ut calceis Caesareis, a vulgo distinctis, uteretur (eo accedebat, quod cruce domo secum gestata Palaestinam ab Aegyptiis Sarracenis iam occupatam invisere constituerat, et obiter imperatoris sororem duxerat), annuit ille quidem se imperatorem conventurum et bellum una administraturum. verum cum deus Romanis plures clades per Mysios inferre decrevisset, mutato consilio, nave firmissima et nova conscensa, in Palaestinam contendit. cum Tyri appulisset, a popularibus suis veluti numen quoddam susceptus Sarracenis restitit, et Ioppen, quae

σωσάμενος, ἣ νῦν Ἄκε λέγεται, καὶ ἑτέρας πόλεις τοῖς ὁμοφύλοις. ἀλλὰ γὰρ ὅτι καὶ τὰ ἐκεῖ πάσχειν κακῶς ἀφώριστο, ἄλλοι τε καλοὶ καὶ γενναῖοι ἀπώλοντο στρατηγοὶ τὴν κατὰ Χριστὸν ἑκόντες καὶ οἰκείοις ὀψωνίοις πορείαν στειλάμενοι, καὶ αὐτὸς δὲ ἀναιρεῖται ὑπὸ Χασισίου, μικρόν τι ἐπιβιούς, καὶ ὅσον πεῖραν τῆς αὐτοῦ ἀνδρείας τε καὶ φρονήσεως δοῦ- C ναι τοῖς Ἀγαρηνοῖς καὶ θαυμασθῆναι. γένος δέ εἰσιν οἱ Χασίσιοι τοσαύτην λεγόμενον τηρεῖν τῷ ἄρχοντι σφῶν συστολὴν καὶ τῶν ἐντελλομένων πλήρωσιν, ὡς καὶ κατὰ κρημνῶν ὠθεῖν ἑαυτοὺς ἐκείνου ἐπ' ὀφρύσι νεύσαντος μόνον καὶ χορεύειν κατὰ ξιφῶν καὶ ὑδάτων καθάλλεσθαι καὶ κατὰ πυρὸς ἀκοντίζεσθαι. ἀμέλει τοι καὶ πρὸς οὓς ἂν ἐθέλωσιν οἱ τῶν Χασισίων ἐξουσιάζοντες ἀποστέλλουσι τοὺς σφᾶς ἀναιρήσοντας· οἱ δὲ ὡς φίλιοι προσιόντες ἢ καὶ ὡς ἐπήλυδες ἐκείνοις ὀφθέντες ἤ τι τῶν καθηκόντων εἰπεῖν ἔχοντες, ἢ καὶ ὡς πρέσβεις ἐξ ἐθνῶν ἥκειν πλαττόμενοι, πλήττουσι πολλάκις παραξιφιδίῳ καὶ θανατοῦσι τοὺς τοῖς κυρίοις αὐτῶν ἀντίφρονας, μὴ τὸ τοῦ πράγματος ἐργῶδες ὅλως ἐν νῷ βαλλόμενοι, μηδ' ὅτι ἔκ του D δήπουθεν ἀναιρεθήσονται γοῦν αὐτοί, καὶ μὴ τὸν ἑτέρου καταπραξάμενοι θάνατον.

Ἀλλ' ὁ μὲν βασιλεὺς περὶ δισχιλίους ἐπιλέκτους ἀποκρίνας, καὶ τούτοις ὅπλα καὶ ἵππους ὠκύποδας διαδούς, ὥρμησεν ἐκ τοῦ Ταυροκώμου πρὸς τὸ πολέμιον, τὴν δ' ἀποσκευὴν πᾶσαν καὶ

5. χασισίου et mox χασίσιοι B: vulgo χασίου, χάσιοι, χασίων. 8. τηρεῖν σφῶν ὑποστολὴν A. 13. τοὺς ἀναιρ. ἐκείνους A. 21. δισχιλίους] χιλίους A. 23. ταυροκωμίου A.

nunc Ace dicitur, aliaque oppida recuperavit. sed quia illis quoque locis fatalis calamitas impendebat, multi praeclari et fortes duces, qui Christianum illud iter ultro et suis stipendiis susceperant, perierunt; et ipse Conradus non multo post, vix edito specimine virtutis et prudentiae suae, ut Agarenis admirationi esset, a Chasio quodam occiditur. gens autem Chasiorum suos principes ita vereri et observare et in iussis eorum exequendis adeo alacris esse dicitur, ut si tantum supercilio magistratus innuerit, statim de rupibus se praecipitent, in enses irruant, in undas desiliant, in ignem se coniiciant; et ad eos missi quos eorum principes occisos volunt, ut hospites et amici adeunt, et aut se habere quod eis dicant, aut legatos venire simulantes, saepe dominorum suorum adversarios pugionibus occidunt, nulla difficultatis et explorati supplicii ratione habita, etiamsi alterum non occiderint.

Imperator vero circiter bis mille delectis viris, quibus arma et veloces equos dedit, Taurocomo ad hostes contendit; impedimenta omnia, lixas et calones Adrianopolim ire iussit. interea spe-

τὸν ὑπηρετικὸν ὄχλον ἐς Ἀδριανούπολιν ἱκέσθαι διατετάχει·
οἱ δὲ ἠγγέλλοντο παρὰ τῶν ὀπτήρων τὰ περὶ τὸν Λαρδέαν
κατατρέχειν χωρία, καὶ πλείστους μὲν ἀπεκτονέναι ουκ ἐλάτ-
τους δὲ συνειληφέναι, καὶ ὡς ἐπαναζευγνύειν ἐγνώκασι πολ-
λῶν ἐμπεπλησμένοι ὠφελειῶν. ἐννύχιος τοίνυν ὑπὸ σάλπιγ-
γι τὸν ἵππον ἀναβὰς ἐπορεύετο, καὶ κατὰ τόπον τινὰ Βα-
στέρνας λεγόμενον ἀφιγμένος διανέπαυσεν ἐκεῖσε τὴν στρα-
τιάν, μὴ ἐπιφαινομένων τῶν πολεμίων. μετὰ δὲ τρεῖς ἡμέ-
P. 254 ρας ἐκεῖθεν ἀπάρας τῆς εὐθὺ τῆς Βερρόης ἐπορθρευσάμενος
ἥπτετο. ἀλλ' οὔπω παρασάγγας παρῆλθε τέσσαρας, καί τις
εὔζωνος ἐφίσταται ἀνήρ, τὸ τῆς ἀγγελίας ἔχων ἐπὶ τοῦ προσ-
ώπου κακόν, καὶ ἔλεγε τὸ πνεῦμα συχνακις ἀνακαλούμενος
ἀγχοῦ που μετ' αἰχμαλωσίας τὸ ἀντίπαλον ὑποστρέφειν, ἀνει-
μένην τὰ πλεῖστα τὴν πορείαν κατ' ἄμφω ποιούμενον, ὅτι τε
οὐδένα ἑώρακεν ἀντίμαχον, καὶ ὡς ἔμφορτον παμπόλλων
ληϊσμιῶν. αὐτίκα γοῦν εἰς ἡγεμόνας τὸ συνὸν ἐκείνῳ διελὼν
στράτευμα, καὶ σχῆμα παρατάξεως θέμενος, ὥδευεν ἐκείνην
ἣν ὁδοιπορεῖν ἐλέγετο τὸ πολέμιον. ἐπεὶ δὲ εἴδομέν τε καὶ
ἐθεάθημεν (συνειπόμην γὰρ καὶ αὐτὸς βασιλεῖ ὑπογραμμα-
τεύων), οἱ μὲν Σκύθαι καὶ Βλάχοι τὴν λείαν παραδόντες τι-
B σὶν ἐξ αὐτῶν μοίραις ἐκέλευσαν τὰς ἐπιτομωτέρας ἀναλέγε-
σθαι τῶν ὁδῶν καὶ τὴν πορείαν ἐπιτείνειν, ἕως ἂν ἐφάψων-
ται τῶν ὀρειαίων· οἱ δ' ἄλλοι συστραφέντες ἐδέχοντο εὐπε-

4. ἐπαναζευγνύειν] ἐπανήκειν ἐγνώκεσαν τὰ ἐν οἷς ἐπῄεσαν προνομεύσαντες A. 6. βαρστέρνας A. 7. ἀφιγμένος om A. 12. τὸ πνεῦμα] συχνὰ ἀνασαίνων A. 14. ὅτι τε] καὶ ὡς μηδένα εὑρὼν ἀντ. καὶ ὡς ἔμφ. ταῖς ἀπαγωγαῖς A. 16. διελόμενος A. 17. ὥδευεν] εἴχετο ἐκείνης ἣν ὁδεύειν A.

culatores nuntiant Blachos loca Lardeae finitima vastare, ac multis occisis nec paucioribus captis cum maxima praeda discedere statuisse. igitur noctu classicis canentibus conscenso equo, cum ad Basternas (loci nomen est) pervenisset, nullo hoste apparente, quiete refocillavit exercitum. triduo post inde digressus, mane Berroeen versus iter ingreditur. cum nondum quatuor parasangas processisset, mali nuntius adest, homo quidam expeditus, qui spiritu ex festinatione subinde interrupto narrat hostes non procul inde cum praeda reverti, ac pedetentim fere incedere, quod et nullum hostem invenissent et manubiis onusti essent. quare statim exercitu inter duces distributo et acie instructa, eam viam instituit qua incedere hostes ferebantur. quos ubi vidimus et vicissim conspecti sumus (nam et ego imperatorem pro scriba comitabar), Scythae et Blachi, praeda cohortibus aliquot suorum tradita eos compendia itinerum sectari et accelerare, dum montana attingerent, iusserunt.

τῶς τοὺς κατ' αὐτῶν ἱππαζομένους Ῥωμαίους, τὸν πάτριον αὐτοῖς καὶ ἠθάδα τρόπον μαχόμενοι· ἐπιόντες γὰρ ἠφίεσαν βέλεμνα καὶ δόρασι προσεπλέκοντο, μετὰ βραχὺ δὲ μεταβα- V. 209 λόντες τὴν ὁρμὴν εἰς φυγὴν καὶ καταδιώκειν ὀπίσω σφῶν ὡς φυγάδων τὸ ἀνθιστάμενον ἐρεθίζοντες, αὖθις ὡς οὐδὲ πτηνὰ τὸν ἀέρα τέμνοντα τὰ νῶτα εἰς τὴν τῶν ὄψεων μετατιθέμενοι χώραν ἐνώπιοι τοῖς ἐπιοῦσιν ἐμάχοντο καὶ πολλῷ γενναιότερον συνεπλέκοντο. καὶ τοῦτο πολλάκις πεποιηκότες, ὡς ἤδη τῶν Ῥωμαίων ἦσαν ἐπικρατέστεροι, οὐκέτ' ἐμέμνηντο τῶν ἑλίξεων, ἀλλὰ τὰ ξίφη γυμνώσαντες καί τινα βοὴν ἐκ- C πληκτικωτάτην ἐκρήξαντες μικροῦ καὶ ἐννοήματος τάχιον Ῥωμαίοις ἐνέπεσον, καὶ τὸν μαχόμενον ὁμοίως καὶ τὸν δειλαινόμενον καταλαμβάνοντες ἐξεθέριζον. καὶ τάχ' ἂν τὴν τότε ἡμέραν οἱ Σκύθαι μέγα κλέος ἀράμενοι κατεκαυχήσαντο ἡμῶν καὶ λαῷ ἄφρονι ὄνειδος παρεδόθημεν, εἰ μὴ αὐτὸς ἐπεβοήθησε βασιλεὺς ἔτι τὴν περὶ αὐτὸν ἔχων ἀκραιφνῆ φάλαγγα, αἵ τε σάλπιγγες ἐπίτορον ἀλαλάξασαι καὶ αἱ χαλκόστομοι κώδωνες διηχήσασαι τά τε τῶν δρακόντων ὀφθέντα εἰκάσματα, ἃ ἐπὶ δοράτων ᾐώρηνται περισοβούμενα πνεύμασι, τοὺς πολεμίους κατέπληξαν φαντασίαν παρασχόντα μείζονος στρατιᾶς. τότε μὲν οὖν βασιλεὺς βραχύ τι τῆς αἰχμαλωσίας ὡς ἐκ στόματος θηρῶν ἀφαρπάσας κατέλαβε τὴν Ἀδριανούπολιν, ἣν βαδίζειν D προὔθετο παρεικῶς· τῶν δὲ βαρβάρων οὐκ ἠρεμούντων, ἣν

2. ἐθάδα A. 4. ὀπ. αὐτῶν τὸ A. 6. μεταθέμενοι A. 10. ἐκπληκτοτέραν A. 12. τὸν δειλαινόμενον] τὸν νῶτα στρέψαντα A. 14. οἱ Σκύθαι om A. 16. ἀκραιφνῆ] ἀνέμπλοκον B. 18. εἰκάσματα] χάσματα A, ὄψεις B. 21. οὖν ὁ β. A.

reliqui conglobati Romanum equitatum intrepide exceperunt, patrio ritu pugnantes. nam cum accederent, sagittas coniiciebant et hastis congrediebantur. paulo vero post impetu in fugam converso, hostibus ad persequendum irritatis, rursus instar volucrum subito reversi aversa fronte multo fortius dimicabant. quo saepe facto cum iam superiores essent, omissis illis anfractibus gladios strinxerunt: et horribili clamore sublato dicto citius in Romanos irruerunt, et pugnantes et fugientes ex aequo occiderunt. ac eo die fortasse magnam adepti gloriam contemptissimi populi nobis insultassent, nisi imperator cum phalange sua adhuc integra supervenisset, et incitatus classicorum cantus et clangor tubarum et rictus hiantium draconum, hastis suspensi et a ventis agitati, hostes maioris exercitus opinione terruissent. ac tunc imperator parva captivorum parte velut ex faucibus ferarum erepta, instituto itinere omisso, Adrianopolim perve-

παρῆκε τρέχειν αὖθις εἵλετο. καὶ δὴ γενόμενος κατὰ Βερῥόην τὰς τῶν Σκυθῶν καὶ Μυσῶν ἀνέστελλεν ἐκδρομὰς καὶ δι' ἀνδρῶν μὲν ἠκριβωκότων τὸ στρατηγεῖν, καὶ δι' ἑαυτοῦ δὲ οὐχ ἥκιστα. οἱ δὲ καίπερ ὑφορώμενοι Ῥωμαίους καὶ βασιλέως παρόντος ἐπιστρεφόμενοι, ὅμως αὖ πάλιν ἐπετίθεντο λαθραίως, οὐδέ πη ἐμβάλλοντες ὡς πολεμησείοντες καὶ καραδοκεῖν ὡς ἐπιόντας αὐτοὺς παρεχόμενοι, ἄλλοθι δὲ μεταβαίνοντες καὶ ἀεί τι δρῶντες ἐπιτυχές. ἦν δ' ὅτε καὶ βασιλεὺς μὲν εἰς Ἀγαθόπολιν ἤλαυνεν, ἐπισχήσων τοὺς βαρβάρους τῶν ἐκδρομῶν, αὐτοὶ δὲ τὰς κώμας ἔκειρον αἳ ἄγχιστα ἦσαν τῆς Φιλιππουπόλεως. κἀκείνου πρὸς τὸ πάσχον ἐπιόντος ἐκεῖνοι αὖθις ἐπήλαυνον ἐξ ὧν ὁ βασιλεὺς ἀπανίστατο. ταῦτα δ' ἐποίει ἅτερος τῶν ἀδελφῶν ὁ Ἀσάν, ἀγχίνους ὢν διαφερόντως κἀν τοῖς ἀπόροις ἐπινοῆσαι τὰ ξύμφορα ἱκανώτατος. ἐγνώκει οὖν ὁ βασιλεὺς καὶ πάλιν εἰς τὴν Ζαγορὰν εἰσελθεῖν, καὶ ὡς οἷόν τε πειράσασθαι παραστήσασθαι τοὺς Μυσούς. καὶ δὴ ἐξάρας ἀπὸ Φιλιππουπόλεως εἰς Τριάδιτζαν παραγίνεται· ἐκεῖθεν γὰρ ἠκηκόει μὴ δυσπορεύτους εἶναι κατὰ πολὺ τὰς εἰς τὸν Αἷμον πορείας ἀλλ' ἔσθ' ὅπῃ καὶ ἐς εὐθείας ἀνοίγεσθαι, καὶ ὕδωρ εἶναι εἰς ἄντλημα ἱκανώτατον καὶ χιλὸν τοῖς ὑποζυγίοις ἐνόδιον, εἰ κατὰ καιρὸν ἐκεῖ τις πορεύοιτο. ὡς δ' εἰς χειμέριον τροπὴν παρεγκλίνας ἤλαυνεν

5. λαθραίως] λεληθότως A. 7. καὶ ἄλλοθι μ. A. 9. ἐκδρομῶν] ἐπελεύσεων A. 16. παραστήσασθαι] τοὺς κομάνους δεξιωθῆναι B. 17. ἐκ τῆς φιλίππου εἰς A. 19. πορείας] τροχιάς A 22. παρεκλίνας A.

ait sed quia barbari non quiescebant, quam viam omiserat, denuo currere instituit; et Berroen profectus, Blachorum et Scytharum excursiones cum per duces rei bellicae peritos tum per semetipsum repressit. qui etsi Romanos verebantur et imperatoris praesentiam formidabant, tamen iterum clam insidiabantur, ita excurrentes ut pugnae avidi et subinde expectandi viderentur; et alias alio transibant, nec usquam occasionibus deerant. cum imperator ad eos reprimendos Agathopolim properabat, illi pagos Philippopoli proximos vastabant: cum afflictae parti succurrebat, illi eo irruebant unde ille discesserat. haec alter frater Asan faciebat, homo ingeniosissimus et in rebus dubiis solertissimus. itaque imperator cum denuo Zagoram invadere, et quantum liceret, periculum facere instituisset an Mysos ad deditionem compellere posset, Philippopoli Triadizam digressus est. inde enim Haemum facile adiri posse, alicubi etiam planos tramites patere, item aquae affatim et pabulum iumentis suppetere audierat, si quis eo tempestive proficisceretur. quia vero bruma

ἥλιος, καὶ ποταμοὶ μὲν ὑπὸ ψύχους ἐπήσσοντο καὶ ἄλλως βορείου καὶ ψυχροῦ τοῦ ἐκεῖσε κλίματος ὄντος, χιὼν δὲ πλεί- B στη κατενεχθεῖσα τὸ τῆς γῆς ἠφάνισε πρόσωπον, οὐ μόνον πλήσασα φάραγγας ἀλλὰ καὶ θύρας οἰκημάτων ἐπιζυγώσασα, ὑπερέθετο τὸ ἔργον εἰς ἀνάφανσιν ἔαρος, καὶ δὴ τὴν μὲν στρατιὰν αὐλίζεσθαι διαφῆκε κατὰ τὴν ἐκεῖθι ἐπαρχίαν, αὐτὸς δ' εὔζωνος τὴν βασιλίδα καταλαβὼν διεχεῖτο ἵππων ἁμίλλαις καὶ θεωρείοις ἠγάννυτο. ἅμα δ' ἦρι φανέντι ἔξεισιν αὖθις καὶ μέτεισι τοὺς Μυσούς. ὅλους οὖν μῆνας τρεῖς ἐξηνυκώς, καὶ περὶ τὴν τοῦ φρουρίου κατάσχεσιν ὃ Λοβιτζὸς ἐπικέκληται πλεῖστα πεπονηκώς, ἀτελὲς τὸ ἐγχείρημα καὶ πάλιν ἀπολιπὼν ἐκεῖθεν μεθίσταται καὶ τὴν βασιλίδα τῶν πόλεων εἴσεισιν· αἱ γὰρ τῆς Προποντίδος χάριτες καὶ τὰ ἐπιτερπῆ κατ' C αὐτὴν σκηνώματα τά τε κυνηγέσια καὶ ἱππάσια, ἁλυσιδοῦντα οἷον τοὺς ἐς ἡμᾶς αὐτοκράτορας, οὐκ εἴων ἐπὶ μακρὸν θυραυλεῖν, ἀλλ' ὡς ῥιψάσπιδας γινομένους ἔπειθον αὐτομολεῖν εἰς αὐτά. τότε δὲ καὶ τὴν τοῦ Ἀσὰν γυναῖκα κατέσχεν ὁ βασιλεύς, καὶ τὸν ἀδελφὸν αὐτοῦ θάτερον τὸν Ἰωάννην V. 210 εἰς ὅμηρον εἴληφεν. ἀλλὰ καὶ οὕτως ἐπὶ τὰ χείρω τὰ πράγματα προύβαινε.

2. Κατὰ δὲ τὸν καιρὸν τοῦτον τυραννίδι ἐπικεχείρηκεν ὁ Φιλαδελφεὺς Θεόδωρος ὁ Μαγκαφᾶς. καὶ τὰ μὲν πρῶτα τὸ τῆς πόλεως ταύτης ἀγελαῖον, πολυανδρούμενον ὂν θρασύ

7. διεχεῖτο] εἰς ἐγχρίσματα ἀλόγων ἔχαιρε B. 8. αὖθις] πάλιν A. 10. κέκληται A. 20. προύβαινον A. 22. μαγγαφᾶς AB. 23. ὂν καὶ θρασύτατον ἑαυτῷ A.

instabat, et flumina (in gelido illo et septentrionali praesertim climate) congelabant, et densissimae nives non solum terram operiebant et valles explebant sed aedium quoque fores obstruebant, eum conatum in vernum tempus distulit, et exercitu in illa provincia hibernare iusso, cum expeditis in urbem reversus ludis Circensibus et spectaculis animum recreavit. veris initio rursus contra Mysos egressus, et tribus integris mensibus in obsidione Lobizi castelli frustra cum maximo labore consumptis, infecta re domum rediit. nam Propontidis amoenitas, suavissima diversoria, venationes et equitationes, quae velut catenis constringere solent nostrae aetatis imperatores, non diu eum suo dio esse sinebant, sed veluti clipeo abiecto aufugere cogebant. etsi autem et Asanis uxorem ceperat et fratrem eius Iohannem obsidem receperat, nihilominus tamen res in peius ruebant.

2. Sub hoc tempus Theodorus Mangaphas, Philadelphiensis, regnum affectavit; ac primum eius urbis frequentissimae plebem

τε καὶ ἀναιδέστατον, ἑαυτῷ προσῳκειώσε, καὶ ὅρκοις τὴν
D εἰς αὐτὸν πίστιν κατενεπέδωσεν· ὁδῷ δὲ προϊὼν καὶ βασιλείας ἑαυτῷ περιέθηκεν ὄνομα, τοὺς Λυδοὺς πάντας εἰς ἀποστασίαν ἐπισπασάμενος· ἔπειτα δὲ καὶ τῶν ἀγχούρων ἀποπειρᾶται χωρῶν, καὶ ἀργύρεον κέκοφε νόμισμα τὴν οἰκείαν ἐγχαράξας ἐν αὐτῷ στήλην. ὡς δὲ προύκοπτε τὰ τῆς ἀποστασίας καὶ ὁ ἐπὶ τοῖς δρωμένοις πρότερον γέλως εἰς πληγὴν γενναίαν μεθίστατο πρὸς ἧπαρ χωροῦσαν τοῦ βασιλέως, μὴ μέλλειν οὗτος ἐγνώκει ἀλλὰ κατ' αὐτοῦ τὰ ὅπλα διφᾶν. καὶ δὴ κατὰ τὴν Φιλαδέλφειαν γεγονὼς ἔμφρουρον αὐτῇ τὸν Μαγκαφᾶν εἰργάσατο, ὃς καὶ τὴν τοῦ Μωροθεοδώρου προσωνυμίαν ἐκτήσατο τῶν κατὰ σκοπὸν ἐκείνῳ διαπεσόντων ἐσέπειτα. καὶ ἱκανὸν χρόνον τῇ πολιορκίᾳ ἐγκαρτερήσας οὐκ ἴσχυσε τοὺς Φιλαδελφεῖς παραστήσασθαι· ὅθεν πρὸς ὁμολογίαν καὶ συμβάσεις ἐτράπετο, ὥστε τὸν μὲν Θεόδωρον τὰ τῆς βασιλείας ἀποθέσθαι παράσημα καὶ καθ' ἑαυτὸν ὡς πρότερον πολιτεύε-
P. 256 σθαι, τὸ δὲ τῆς πόλεως ἐκείνης πλήρωμα βασιλεύεσθαι πάλιν ὑφ' οὗ πρότερον ἐβασιλεύετο. καὶ ὅμηρα ἐκεῖθεν δεξάμενος ὧν ᾑρεῖτο τοὺς παῖδας ἐπανέζευξεν εἰς τὴν μεγαλόπολιν. οὐκ ὀλίγοι δὲ κἂν τῇ ἐπαναστάσει ταύτῃ ἀγαθοὶ καὶ γενναῖοι ἄνδρες ἀπώλοντο. μετ' οὐ πολὺ δὲ καὶ Βασίλειος ὁ Βατάτζης γένους μὲν ἀσήμου βλαστών, διὰ δὲ τὸ εἰς γυναῖκά οἱ γαμετὴν συναφθῆναι τὴν τοῦ βασιλέως πρὸς κα-

3. Λυδοὺς] νεοκαστρίτας B 4. ἀγχούρων] προσοίκων A. 5. καὶ ἀργύρεον] καὶ ἰδίαν χαραγὴν ἐνεχάραξε B. 11. ἀπειργάσατο A. 12. ἐσέπειτα] μετ' οὐ πολύ. ἱκανὸν τοίνυν χρ. A. 14. ὁμολογίαν καὶ om A. 20. ἀποστάσει A. 21. πλὴν οὐ πολὺς ὁ ἐσέπειτα χρόνος καὶ A. 22. τὸ εἰς] τὸ γῆμαι τοῦ β. πρὸς π. ἀνεψιὰν A.

audacissimam sibi conciliavit et iureiurando obstrinxit, ac paulatim progressus, Lydis omnibus ad defectionem impulsis, regium nomen usurpavit. deinde finitimis quoque provinciis tentatis argenteam monetam cum sua imagine percussit. ut autem defectio augebatur, et ut initio derisa fuerat, sic deinde imperatoris animum graviter percellebat. nihil cunctandum ratus Mangapham cognomento Morotheodorum ob parum prosperos successus non multo post dictum Philadelphiae obsidet. sed cum urbem diuturna obsidione ad deditionem compellere non posset, iis conditionibus paciscitur ut Theodorus depositis regni insignibus privatam vitam agat ut prius, cives vero ei pareant cui prius; et obsidibus suo arbitratu acceptis in magnam urbem revertitur. in ea quoque defectione multi viri fortes perierunt. caeterum non multo post Basilius Batatzes, obscuro genere ortus,

τρὸς ἐξανεψιὰν δομέστικος τῆς ἀνατολῆς τιμηθεὶς καὶ τὴν δουκικὴν ἀρχὴν τῶν Θρᾳκησίων ἀναζωσάμενος, χρήμασιν ὑπέφθειρε πλείστους τῶν τοῦ Μαγκαφᾶ ὁμοτῶν, καὶ αὐτὸν μὲν οὐκ ἔσχε συλλαβεῖν καὶ δεσμοῖς περιβαλεῖν, τῆς δὲ πόλεως Φιλαδελφείας ἐξώσας ἔδοξε καὶ οὕτω μέγα τι κατωρ- B θωκέναι καὶ ἀσπάσιον ἔργον τῷ βασιλεῖ. ἀλλ' οὗτος τῷ τοῦ Ἰκονίου σουλτὰν προσρυείς, ᾧ ἡ κλῆσις Καϊχοσρόης, συμμαχικὸν μὲν αἰτήσας κατὰ Ῥωμαίων οὐκ ἔλαβεν, ἐνεδόθη δέ οἱ προσλαμβάνεσθαι ἀνεπεγκλήτως ὁπόσοι τῶν Τούρκων κερδαλεόφρονες κἀπὶ τῷ γωρυτῷ καὶ τῷ τόξῳ τὴν πεποίθησιν ἔχοντες Ῥωμαίους λῃστεύουσιν. οὐκ ὀλίγην οὖν τῷ τρόπῳ τούτῳ συναγηόχει δύναμιν, καὶ ἐπιὼν τούς τε πατριώτας ἑαυτοῦ ἐς τὸν γεωργικὸν ὄχλον καὶ τῶν ζώων ἐλυμαίνετο τὰ ὑπὸ ζυγόν, καὶ τοὺς Λαοδικεῖς δὲ Φρύγας μυριαχῶς ἐκάκωσεν, ὥσπερ καὶ τοὺς τῶν Χωνῶν τῶν ἐμῶν οἰκήτορας, τὰς ἅλωνας κατὰ τὸν θέρειον καιρὸν πυρπολῶν καὶ τὸ προστυ- C χὸν ὡς πολέμιος χειρίστως διατιθέμενος· ἐῶ γὰρ λέγειν ὡς τοὺς Τούρκους φιλανθρωπευομένους ἐνιαχοῦ πρὸς τὸ ἐκ γειτόνων σφίσι Χριστώνυμον κακῶς ἔφασκε καὶ ἐπέπληττεν. ἐμβαλὼν δὲ καὶ τῇ Καρίᾳ καὶ πολλοὺς τῶν ἐκεῖ προνομεύσας τοῖς βαρβάροις ἐκδέδωκεν εἰς ἀπαγωγήν. ἀλλὰ καὶ τὸν νεὼν τοῦ ἀρχιστρατήγου Μιχαὴλ ὁ ἄνομος οὗτος διαφῆκεν ἐμπρῆσαι, ἔργον μέγιστον καὶ περίπυστον ὄντα, καὶ ὑπερβαίνοντα ἐς κάλλος καὶ τὴν εἰς μῆκος ἔκτασιν τὸ ἐν τῇ βασιλί-

2. ἀνεζωσμένος A. 5. ἐξώσας] φυγαδεύσας A. 7. καϊχοστρόβος A. idem infra ut editur.

tamen ob ductam imperatoris neptem domesticus Orientis et Thraciae dux designatus, plurimos coniuratos Mangaphae largitionibus corrupit. et quanquam hominem comprehendere et in vincula coniicere non potuit, illud tamen effecit ut urbe pelleretur. quo facto cum magnum quiddam consecutus et imperatori admodum gratificatus videretur, Mangaphas ad Caichosroen Iconii Sultanum profugus auxilia contra Romanos non impetravit, litteras tamen obtinuit, quibus concedebatur ut Turcas liberos, qui arcu et pharetra freti Romanos praedarentur, ascisceret. qua ratione cum non parvas copias contraxisset, civium suorum mancipia et iumenta abduxit, et Phryges Laodicenses innumeris cladibus affecit, ut et populares meos Choniatas, areis eorum aestivo tempore incensis, et obviis quibusque hostilem in modum tractatis. nam ut non dicam Turcas ob clementiam finitimos Christianos ab eo obiurgatos esse, et facta in Cariam impressione multos inde captivos Turcis abducendos esse datos, Michaelis quoque archiducis templum, opus maximum et celeberrimum, quod elo-

δι πόλει τοῦ καλλιμάρτυρος Μωκίου τέμενος. ὡς δὲ ποτε πρὸς τὸν σουλτὰν ἐπανέζευξε τοιούτων παρανομιῶν πλήρης, καὶ πύθοιτο βασιλεὺς οὐκ εἰς ἀγαθὰς ἐννοίας καὶ πράξεις
D τὸν Ἰκονιάρχην ἐνάγειν Καϊχοσρόην ἄρτι πρὸς πατρὸς ἐκλελοιπότος τὸ ζῆν τὴν ἀρχὴν τοῦ Ἰκονίου δεξάμενον, πρέσβεις ἔστειλε, καὶ χρήματα παρασχὼν τῷ σουλτὰν καταπροδοθέντα εἶχε καὶ ἀνάπεμπτον αὐτῷ γενόμενον τὸν Μαγκαφᾶν,
V. 211 πλήν γε μεθ' ὁμολογίας καὶ πίστεως μὴ ὥστε τοὐπιτίμιον αὐτῷ τῆς ἀποστασίας κείσεσθαι θάνατον ἢ μέρος περικοπῆναι καὶ διαλωβηθῆναι τοῦ σώματος· οὗ χάριν ἀπαθὴς ἑτέρου παντὸς ὀφθεὶς κακοῦ δεσμὰ κατακέκριτο χρόνια. τοσοῦτον δὲ τὸ ἔργον τόδε τοῦ σουλτὰν τοῖς λοιποῖς αὐτοῦ κασιγνήτοις, ὁπόσοι τὴν πατρῴαν ἀρχὴν συνδιείλοντο ἐκείνῳ, ἀποθύμιον ἔδοξεν, ὥστε καὶ ὅπλα ἤραντο ἂν κατ' αὐτοῦ ὡς ἄνθρωπον ἐς αὐτὸν ἑκουσίως ἀφιγμένον συνειληφότος καὶ καταπροδόντος Ῥωμαίων βασιλεῖ ἐπὶ λήμμασιν, εἰ μὴ οὗτος εὐπρόσωπον τιθεὶς τὴν ἀπόκρισιν ἐπὶ συμβάσεσιν ἀποστεῖλαι,
P. 257 οὐ μὴν καταπροδοῦναι διισχυρίζετο, καὶ πλάνητα ὄντα ἐς τὴν πατρίδα καταγαγεῖν, ὡς μηκέτι διώκοντα εἶναι καὶ διωκόμενον. καὶ ταῦτα μὲν εἶχεν οὕτως.

3. Οὐκ ἦν δὲ λυκάβαντα παρελθεῖν μή τι ἐπενεγκόντα κοινὸν ἀποτρόπαιον, ὡς εἴπερ τὸ θεῖον ἐπέκλωσεν ἀπαρηνεύ-

2. παρανομιῶν] ἀνδραγαθημάτων A. 7. μαγγαφᾶν, μεθ' ὁμολογίας μέντοι καὶ A. 17. ἀποστεῖλαι] ἀποδοῦναι A. 18. οὐ μέντοι A.

gantia et longitudine Divi Mocii martyris aedem in urbe imperatrice superabat, incendi passus est. ut autem huiusmodi facinoribus plenus tandem ad Sultanum rediit, et imperator ad Iconii principem Caichosroen, cuius pater nuper defunctus erat, legatos misit, quod eum a Mangapha in cogitationes et actiones non bonas induci videbat, et largitionibus impetravit ut ille desertus ac proditus ad se mitteretur, ea tamen conditione ut defectionem nec capite nec mutilatione laesioneve ullius membri lueret. qua de causa omnis alterius mali expers ad diuturnum carcerem est damnatus. id factum adeo caeteris Sultani fratribus, qui regnum cum eo diviserant, displicuit, ut et arma ei illaturi fuerint, quod hominem profugum et supplicem pecuniae causa Romanorum imperatori prodidisset, nisi specioso responso iracundiam illorum placasset. aiebat enim se pacificationis ergo illum remisisse, nequaquam vero prodidisse; et hominem vagum in patriam restituisse, ut nec ipse alios nec ipsum alii porro persequerentur. atque haec hactenus.

3 Neque vero ullus annus elabi poterat quin publice abominandi aliquid afferret, non aliter quam si numinis indignatio illi

τους τὰς ἡμέρας τῶν καθ' ἡμᾶς μερόπων παραδραμεῖν· ὡς γάρ τι ἐνδεόντων πρὸς τὸ καθῆκον τῆς μαστιγώσεως τῶν ἐκ τοῦ κύκλῳ βαρβαρικοῦ μαχισμῶν, καὶ ὑπερόριον κακὸν εἰσεκώμασε Φρεδέριχος ὁ τῶν Ἀλαμανῶν ῥήξ. πρὸς γὰρ τὸν βασιλέα διαπρεσβευσάμενος Ἰσαάκιον, ὡς διὰ φιλίας ᾐτεῖτο τῆς Ῥωμαίων γῆς παριέναι αὐτός τε καὶ ὅσον οἱ ἐφέποιτο στράτευμα ἐν τῷ ἀπαίρειν εἰς Παλαιστίνην, καὶ τὰ πρὸς τὸ ζῆν ὠνουμένοις αὐτοῖς χορηγεῖσθαι, καὶ τὸ δοκοῦν ἐπὶ τού- B
τοις αὐτῷ σημανεῖν δι' οἰκείων ἀνταποστολῆς πρέσβεων. στέλλεται τοίνυν πρὸς αὐτὸν ὁ τοῦ δρόμου λογοθέτης Ἰωάννης ὁ Δούκας, καὶ πίστεις δοὺς καὶ λαβὼν ὡς αὐτὸς μὲν ὁ ῥὴξ τὴν ὑπὸ Ῥωμαίους ἀμαχεὶ διελεύσεται καὶ μηδέν τι δράσας ἐσεῖται κακόν, οὐ πόλιν, οὐ κώμην, οὐ φρούριον, οὐ πολίχνιον, Ῥωμαῖοι δὲ προβαλοῦσιν αὐτῷ τὰ ἐπιτήδεια ἄφθονα, ὡς μή τινος σπανίζειν τὴν ὑπ' αὐτὸν στρατιὰν ἀλλ' ἀπραγμόνως καὶ κατὰ λαιμὸν ἔχειν ὥσπερ ἐπεμβυόμενα ὅσοις ἄνθρωποι τρέφονται καὶ οἷα τοῖς ἵπποις ξυμβάλλεται, μετὰ καιρὸν ἐκεῖθεν ἐπάνεισι καὶ ἀγγέλλει τὰ ξυμφωνηθέντα τῷ βασιλεῖ. καὶ ὁ βασιλεὺς τῆς ξυλλογῆς τῶν ὠνίων φροντίδα τίθησι, καὶ ἦν ἐξ ἐπιτάγματος ὑπὸ τῶν ἐπαρχιωτῶν αὐτίκα μεταφερόμενα καθ' οὓς ἔμελλε τόπους ὁ ῥὴξ διέρχεσθαι. ὡς δὲ C
καὶ αὐτὸς ἐντὸς εἶναι τῶν ὁρίων ἠγγέλλετο τῶν Ῥωμαϊκῶν καὶ γράμματα πεφοιτηκότα τῷ βασιλεῖ μετ' ἀνδρῶν κατὰ γένος λαμπρῶν καὶ ἀξίωσιν τὴν αὐτοῦ παρουσίαν ἐσήμαινον,

1. ἡμ. ἡμᾶς τοὺς τότε π. A. 6. ὅσον ἐκείνῳ συνέποιτο στρ. ἀνιόντες εἰς A. 9. αὐτῷ om A.

aetati perpetua bella decrevisset. quasi enim barbari circumcirca nostris cervicibus imminentes ad nos castigandos non satis essent, etiam longinquo malo sumus oppressi. nam Fridericus Alemannorum rex legatis ad Isaacium imperatorem missis petiit ut sibi cum omnibus copiis Palaestinam petentibus per Romanas provincias pacate iter facere et commeatum emere liceret, et suam sententiam per proprios legatos sibi significaret. mittitur igitur ad eum Dromi Logotheta Iohannes Ducas; fideque data et accepta regem sine maleficio transiturum, nullam urbem, nullum oppidum, nullum castellum aut pagum violaturum, Romanos commeatum ei abunde suppeditaturos, ut eius exercitus nulla re necessaria careat, sed omnia in promptu copiosissime habeat quae tam iumentis quam hominibus usui sunt, aliquanto post revertitur. iis conditionibus renuntiatis, imperator per provincias edicit ut, qua rex transiturus esset, commeatus comportetur: ipsius vero in fines Romanos ingressu virorum genere et digni-

ὁ αὐτὸς καὶ πάλιν στέλλεται λογοθέτης εὖ διαθήσων τὴν δίοδον τοῦ ῥηγός, σὺν αὐτῷ δὲ καὶ ὁ Καντακουζηνὸς Ἀνδρόνικος. ἀλλ' οὗτοι ἀνεπιστημοσύνῃ τῶν ὀφειλόντων γενέσθαι καὶ μαλακότητι οἰκείᾳ (χρεὼν γὰρ καὶ φίλων ἡμῖν τῶν ἀνδρῶν ὄντων ὡς πρεσβυτέραν καὶ φιλτέραν τιμᾶν τὴν ἀλήθειαν) αὐτόν τε τὸν ῥῆγα κατὰ Ῥωμαίων ἐξέμηναν καὶ τὸν βασιλέα ὡς πολέμιον ἐκεῖνον ὑφορᾶσθαι παρέπεισαν. ὅθεν οἵ τε ὅρκοι συνεχέθησαν, καὶ ἡ τῶν ζωαρκῶν ἐπιλελοίπει συγκο-
D μιδή, καὶ ἡμεῖς οἱ ταῦτα γράφοντες πλείστοις ἀνιαροῖς προσεπλάκημεν, τὴν τοῦ θέματος Φιλιππουπόλεως ὑπεζωσμένοι τηνικαῦτα καὶ ἀρχὴν καὶ ἀπογραφήν, νῦν μὲν πρὸς βασιλέως ἐπιταττόμενοι ἀνακτίζειν τὸν τῆς Φιλίππου περίβολον καὶ διαταφρεύειν, καὶ οὕτω κατὰ τοὺς στενοὺς ἐκείνους καὶ κινδυνώδεις χρόνους διαπραττόμενοι, μετὰ βραχὺ δὲ διὰ γραμμάτων τὴν καθαίρεσιν ἐπιτιμώμενοι, ἵνα μὴ εἴη κρησφύγετον τῷ ῥηγί. ἀμέλει καὶ ὁ μὲν ἐκδρομὰς ποιούμενος τὰ πρὸς τὸ ζῆν ἐπορίζετο, βασιλεὺς δὲ τοὺς τοῦ ῥηγὸς πρέσβεις οὐκ εἴα ἐπανελεύσεσθαι πρὸς τὸν ἀποστείλαντα, καὶ τὰς στενὰς τῶν παρόδων, ὡς ἐκείνῳ ἐδόκει, ἀπέκλειε, καταβάλλων διὰ
P. 258 πελέκεων τὰ τῶν δένδρων ὑψιτενῆ καὶ βαθύρριζα, καὶ ταῦτα ἐκκορυφῶν ὡς εἰς ἀδιεξίτητον ἀντίφραγμα τοῖς ὁδεύουσιν.
V. 212 ἀλλὰ καὶ τὸν ἐξάδελφον ἐκείνου Μανουὴλ τὸν Καμύτζην, πρωτοστράτορα ὄντα, καὶ τὸν τῆς δύσεως δομέστικον τὸν

3. ἀνεπιστημοσύνῃ] ἐξ οἰκείας ἀπροσεξίας B. 8. ἐπιλέλοιπε A. 12. τὸν τῆς] τὸ ἐξώκαστρον καὶ σούδαν ποιεῖν B. 15 ἐπιτιμώμενοι] ἐγκελευόμενοι ὡς μὴ A. 21. τοῖς ὁδεύουσι] τῷ ῥηγὶ A.

tate clarorum litteris nuntiato, eundem Logothetam denuo mittit, unaque cum eo Andronicum Cantacuzenum, qui regis transitum commodiorem redderent. verum ii ignoratione officii et suapte ignavia (etsi enim amici nostri sunt, tamen veritas eis est praeferenda) regem contra Romanos concitarunt, et ut imperator eum pro hoste suspectum haberet effecerunt. ita et iusiurandum est turbatum et comportatio commeatus cessavit; et nos, qui haec scribimus, tum Philippopolitanae provinciae gubernationi et descriptioni praefecti, plurimis molestiis conflictati sumus, cum nunc imperatoris iussu Philippopolis moenia et fossas illis angustis et periculosis temporibus instauraremus, nunc aliis litteris eadem demoliri iuberemur, ne receptaculum regis essent. qui cum excursionibus commeatum pararet, imperator legatos eius detinebat et angustos tramites sua opinione intercludebat, altissimis arboribus succisis et ita implexis ut id septum a rege transiri non posset. sed et patruelem suum Manuelem

Γίδον Ἀλέξιον παρέπεσθαί οἱ μετὰ στρατευμάτων ἐκέλευσε, καὶ λεληθότως ἐπιτίθεσθαι τοῖς χορτολογοῦσι καὶ τὰς τροφὰς μαστεύουσιν Ἀλαμανοῖς. τῷ δὲ ῥηγὶ οὕτω προσέστησαν τὰ ταῖς δυσχωρίαις γεγενημένα διὰ καταβολῆς τῶν δένδρων ἐπιτειχίσματα ὥστε σὺν πόνῳ οὐδενὶ παρῆλθεν αὐτά. τὸ δὲ δὴ χαριέστερον, αὐτὸς μὲν δι' ἄλλης ὁδοῦ ἐπορεύθη καὶ εἰσῆλθε τὴν Φιλιππούπολιν καὶ κατ' αὐτὴν ἐβάλετο χάρακα, Ῥωμαίους δὲ ἀντιπαρελθὼν ἔλαθε γενόμενος ἐν τοῖς ἔμπροσθεν καὶ B κατέχων ὧν εἴργετο καὶ ὧν χάριν αἱ πάροδοι ἀπεφράσσοντο. τὴν δὲ Φιλιππούπολιν εἰσιὼν κεκενωμένην εὗρε τῶν πλειόνων καὶ ἐπιφανεστέρων αὐτῆς οἰκητόρων· εἰ γάρ τις καὶ ὑπολέλειπτο, πτωχεύων ἦν οὗτος καὶ τὴν οὐσίαν πᾶσαν ἐν οἷς ἐνεδέδυτο ἀριθμῶν καὶ τοῖς Ἀρμενίοις κατειλεγμένος. οὗτοι γὰρ μόνοι τῶν ἁπάντων οὐκ ἐπιδρομὴν ἐθνῶν ἀλλὰ φίλων παρουσίαν τὴν τῶν Ἀλαμανῶν διέλευσιν ἥγηντο, ἐπειδὴ καὶ συγχρῶνται Ἀρμενίοις Ἀλαμανοὶ καὶ κατὰ τῶν αἱρέσεων τὰς πλείστας ἀλλήλοις συμφέρονται· Ἀρμενίοις γὰρ καὶ Ἀλαμανοῖς ἐπ' ἴσης ἡ τῶν ἁγίων εἰκόνων προσκύνησις ἀπηγόρευται, καὶ τοῖς ἀζύμοις κατὰ τὰς ἱεροτελεσίας ἀμφότεροι C κέχρηνται, καὶ ἄλλα ἄττα ὀρθοδόξοις Χριστωνύμοις ἀπόβλητα οὗτοι σφαλλόμενοι τοῦ ὀρθοῦ τηροῦσιν ὡς ἔννομα. πλὴν καὶ τῆς Φιλίππου γενόμενος ὁ ῥὴξ ἐγκρατὴς οὐκ ἀνῆκεν ἐπι-

1. γύδον B. ἐκέλευσε] ἐπέσκηψε A. 3. προσέστησε A. 6. εἰσεληλύθει A. 7. ἐβάλλετο A. 9. διεφράσσοντο A. 10. πλειόνων τε καὶ ἐπιφανῶν A. 14. μόνοι ἐξ ἁπάντων A. 19. ἱεροτελεστίας A.

Camyzem protostratorem, et Occidentis domesticum Alexium Guidum, cum exercitu regem subsequi et Alemannos pabulantes ex insidiis aggredi iussit. verum rex illo arborum vallo ita impeditus est ut ex angustiis sine ullo negotio evaderet. imo quod facetius est, alia via Philippopolim penetravit; ibique vallo munito Romanis imprudentibus loca praeoccupavit, a quibus prohibebatur quorumque causa angustiae obstruebantur. Philippopolim ingressus, urbem plerisque iisque nobilissimis civibus vacuam reperit. nam si quis ibi manserat, is aut ita pauper erat ut eius opes in vestibus quibus tegebatur consisterent, aut erat ex Armeniorum numero. hi enim uni omnium transitum Alemannorum non hostium incursionem sed amicorum adventum iudicabant. nam et commercia inter sese agitant, et in plerisque religionis dogmatibus consentiunt. quippe apud Alemannos et Armenios sacrarum imaginum adoratio aeque interdicta est, et azymis in sacris utrique utuntur, et alia quaedam orthodoxis Christianis improbata opinionis errore pro legitimis observant. enimvero rex etiam post Philippopolim occupatam ad protostratorem scri-

στέλλων τῷ πρωτοστράτορι, καὶ διαμηνυόμενος ὡς μάτην αὐτὸν τῆς πρόσω πορείας Ῥωμαῖοι κωλύουσι καὶ μὴ δέον ἐπέχουσιν ἐπειγόμενον· μηδὲ γὰρ κατὰ Ῥωμαίων ἀξύμφορόν τι καὶ ἄχαρι καὶ νῦν καὶ πρότερον βεβουλεῦσθαι, καὶ τὰ συντεθειμένα δὲ φυλάττειν ἀπαρεγχείρητα. ὁ δὲ δῆλα τιθεὶς τῷ αὐτοκράτορι τὰ γραφόμενα, καὶ τὸ ποιητέον ἐκεῖθεν ἐπιταττόμενος, οὐδέποτε εἶχε τὸν βασιλέα τὰ πρὸς εἰρήνην ἀντεπιστέλλοντα, ἀλλ' ἀρρενοῦντα μᾶλλον αὐτὸν εἰς τὴν μετὰ
D τοῦ ῥηγὸς συμπλοκήν, καὶ εἰς ἀγενὲς κατονειδίζοντα φρόνημα ὅτι μὴ ἐς δεῦρο ἔχει πυθόμενος ἀναίρεσιν καὶ ἧτταν Ἀλαμανῶν κατὰ ἴλας ἐξιόντων εἰς σιτίων ἀνεύρεσιν καὶ κατὰ πώεα πλατέα κἀκεῖ καὶ τῇδε ἐκχεομένων μετὰ πλείστης ὅσης τῆς πεποιθήσεως.

4. Ταῦτα δὲ γράφων ἦν ἐν τῷ δοξάζειν παρ' ἑαυτῷ τινῶν ὑφηγήσεσι, φονούντων μᾶλλον ἀπὸ γαστρὸς ἤπερ προειδότων τὰ μέλλοντα, μηδέ ποτε προθέσθαι τὸν ῥῆγα τὴν Παλαιστίνην καταλαβεῖν, ἀλλὰ τὴν ἅπασαν τρέφειν ἔφεσιν κατὰ τῆς βασιλίδος τῶν πόλεων, καὶ μέλλειν ἐκ τοῦ δῆθεν ἀναμφιλέκτου διὰ τῆς λεγομένης Ξυλοκέρκου πυλίδος τῆς πόλεως εἰσελθεῖν ἔνδοθι καὶ δρᾶσαι πρῶτον τὰ ἀπευκταῖα, παθεῖν δ' ἔπειτα τὰ ἀντίρροπα τοῖς δικαίοις τοῦ θεοῦ στα-

1. ματαίως πάσχεις κωλύειν δοκιμάζων εἰς τὰ ἔμπροσθεν τὴν ἐμὴν ὁδοιπορίαν B. 4. ἄχαρον A. 5. φυλάσσειν ἀπεγχείρητα A. 14. γράφων] ἔλεγε καὶ ἔγραφεν ἐξαπατώμενος τοῖς λόγοις τοῦ τότε πατριαρχοῦντος Δοσιθέου, περὶ οὗ μετ' ὀλίγον ἐροῦμεν τὰ πρέποντα. ἔλεγε γὰρ μηδέποτε σκοπὸν ἔχειν τὸν ῥῆγα B. 15. μᾶλλον om A. 20. ἔνδοθι γενέσθαι τῆς πόλεως A. 21. δικαίοις θεοῦ κρίμασι A.

bere, eique significare non destitit Romanos frustra sibi iter includere et properantem contra officium impedire. neque enim se vel prius vel nunc quicquam in animo habuisse, quod Romanis incommodum aut molestiam afferret, et pacta ac conventa adhuc inviolata conservare. qui cum eas litteras imperatori significasset et iussa eius expectaret, nunquam pacatum ab eo responsum accepit, subinde ad praelium committendum extimulante et Ignaviam ei exprobrante, quod Alemannorum temere et sparsim pabulatum exeuntium caedem et internecionem nondum significasset.

4. Haec impulsu cuiusdam scribebat, qui ex engastrimythi potius afflatu quam prophetico spiritu affirmabat regi nunquam in mentem venisse Palaestinae occupationem, sed eum nihil aliud cogitare nisi urbis imperatricis dominatum, et per Xylocerci portam haud dubie ingressum ea facturum principio quae abominanda sint, deinde iusto dei iudicio non pauciora perpessurum. huiusmodi opinioni

θμίοις. καὶ τοιαύταις προληφθεὶς γνώμαις αὐτήν τε τὴν Ξυ- P. 259
λόκερκον διὰ τιτάνου καὶ πλίνθου ὀπτῆς ἀπέφραξεν, καὶ βέλη
νεοχάλκευτα φέρων πολλάκις ἐν ταῖν χεροῖν ταῦτ' ἔφασκεν
ἀκονᾶν κατὰ καρδίας παγησόμενα τῶν Ἀλαμανῶν· δεικνύων
δὲ τὴν παράθυρον ἐν τοῖς βασιλείοις τῶν Βλαχερνῶν δι' ἧς
ὁρατὰ ἦν τὰ ἱππήλατα πεδία τὰ ἔξωθεν τῶν ἐπάλξεων ἐν
τοῖς Φιλοπατίοις καθυπτιάζοντα, ἐκ ταύτης ἔλεγε μέλλειν
ἀφιέναι τὰ βέλεμνα, βάλλειν τε καὶ καταβάλλειν τοὺς Ἀλα-
μανούς, ὥστε καὶ ἐν γέλωτι ἤγετο τοῖς ἀκούουσι τὰ λεγόμε-
να. ἦν δέ τις Δοσίθεος ἐν τῇ τοῦ Στουδίου μονῇ τὴν ἄσκη-
σιν μετιών, ὃς ἐκ Βενετίκων ἕλκειν τὸ γένος καὶ πατρὸς τοὔ-
νομα Βιτικλίνου γεγονέναι ἐλέγετο· συνήθης δὲ κατασιὰς B
Ἰσαακίῳ πρὸ τῆς ἀρχῆς προείρηκεν αὐτῷ τὴν βασιλείαν, κἀ-
πειδήπερ εἰλήφει πέρας τὰ τῆς προρρήσεως, ἤγετο δι' ὅτι V. 213
πλείστης τιμῆς παρὰ τῷ βασιλεῖ τούτῳ καὶ τὰ μεγάλα δεδύ-
νητο καὶ πατριάρχης Ἱεροσολύμων προυβέβλητο καταλύσαντος
τὴν ζωὴν τοῦ τὸν θρόνον τῶν Ἱεροσολύμων τότε διέποντος
Λεοντίου, ἀνδρὸς χαρίεντος τὸ ἦθος καὶ διαβοήτου τὴν ἀρε-

1. καὶ διὰ ταύτας τὰς ματαίας φωνὰς ἔστειλεν ὁ βασιλεὺς καὶ κατησφαλίσατο τὴν τοιαύτην πόρταν μετὰ ἀσβέστων καὶ τούβλων στερρῶς. ἄλλοτε δὲ ὁ βασιλεὺς κονταροξίφαρα κρατῶν ἐν ταῖς χερσὶν αὐτοῦ, εἶπε πρὸς αὐτὸν ὁ τοιοῦτος πατριάρχης· βλέπεις, ὦ βασιλεῦ, τὰ τοιαῦτα ξίφη. αὐτὰ μέλλεις πῆξαι ἐν ταῖς καρδίαις τῶν ἀλαμανῶν. ἦν γὰρ ἱστάμενος τοτε ἐπάνω τῶν παλατίων τῶν βλαχερνῶν, εἰς τα λεγόμενα ὑψηλά, καὶ βλέπων εἰς τοὺς κάμπους τοῦ φιλοπατίου. καὶ ἀπὸ τῆς τοιαύτης πόρτας τοξεύων σύ, μέλλουσιν ἀπέρχεσθαι αἱ σαγίται μέχρι καὶ τοῦ φιλοπατίου καὶ ἐμπήγνυσθαι εἰς τὰς καρδίας τῶν ἀλαμανῶν. ἅτινα ἀκουόμενα διὰ γέλωτος ἦσαν τοῖς πλείοσιν. ἦν δὲ ὁ δοσίθεος οὗτος μοναχὸς ἐν τῇ τοῦ στ. B. 4. ἀκονῶν APW. 5 τὴν] τὸ APW: cf. p. 281 D 6. post *Βλαχερνῶν* BPW εἰς τὰ λεγόμενα ὑψηλά. 11. μετιών, ἐκ βενετίκων δ' A.

bus occupatus imperator ipsam portam lateribus et caemento obstruxit; et acutas sagittas, quas saepe manibus gestabat, se in cordibus Alemannorum defixurum esse dicebat; monstrataque fenestra Blachernii palatii in eo loco qui ab altitudine cognomentum habet, unde patentes campi extra propugnacula in Philopatiis cernuntur, per eam se illas in Alemannos excussurum eosque prostraturum minabatur, adeo ut ea verba ridicula audientibus viderentur. is vates erat Dositheus quidam, Studiensis monachus, Venetiis oriundus et patre Viticlino, ut ferebatur, natus, qui Isaacio cui familiaris erat privato adhuc imperium praedixerat. qua praedictione eventu comprobata, summo honore et auctoritate apud hunc imperatorem florens Hierosolymorum patriarcha post Leontii viri eruditi et virtute celebris obitum desi-

τήν. ὁποία δὲ ἡ τῶν βασιλέων ὁρμὴ καὶ ἰσχὺς οὔκουν ἀνεχομένη μὴ οὐχ ὡς αὐτοῖς αἱρετὸν μεταφέρειν καὶ ἀλλοιοῦν τὰ θεῖά τε καὶ ἀνθρώπινα πράγματα, βασιλεύσας Ἰσαάκιος τοῦ πατριαρχικοῦ θρόνου παραλύει τὸν Καματηρὸν Βασίλειον, C καίτοι πρὸς τὴν ἀρχὴν ἐκείνῳ τὰ μέγιστα συναράμενον· αἰτία δ' αὐτῷ περιήφθη τῆς καθαιρέσεως, ὅτι ἃς Ἀνδρόνικος τῶν εὖ γεγονυιῶν γυναικῶν οὐχ ἑκούσας ἀπέκειρε μοναζούσας, ταύτας αὐτὸς ἐνέδωκε τὸ μέλαν ἀποδύσασθαι ἄμφιον καὶ πρὸς τὴν πρώτην μεταβλέψαι καὶ ζωὴν καὶ στολήν. προβαλόμενος δ' ἀντ' αὐτοῦ πατριάρχην τὸν Μουντάνην Νικήταν, τῆς μεγίστης ἐκκλησίας ὄντα σακελλάριον, οὐδὲ τὸν τριγέροντα τουτονὶ τῷ θρόνῳ παρῆκεν ἐναποψῦξαι, ἀλλ' ἀφέλειαν καταγνοὺς τοῦ ἀνδρὸς καὶ γῆρας ἐπεγκαλέσας ἀνέγκλητον καὶ ἄκοντα τοῦ θρόνου ἀπεσφενδόνησε. φροντιστικώτερον δὲ διατεθεὶς περὶ τοῦ τὸν κυβερνήσοντα τὴν ἐκκλησίαν εὑρεῖν, προχειρίζεται μέγαν ποιμένα Λεόντιόν τινα μοναχόν, διαβεβαι-D οὐμενος ἐπὶ βασιλικοῦ καὶ διομνύμενος βήματος ὡς οὐκ ᾔδει τὸν ἄνδρα πρότερον, νυκτὸς δὲ ἡ θεομήτωρ τοῦτον αὐτῷ καθυπέδειξε, οὐ τὸ εἶδος μόνον καὶ τὴν ἀρετὴν ὑπογράψασα, ἀλλὰ καὶ τὸν τόπον διασαφήσασα καθ' ὃν τὴν οἴκησιν ἔλαχεν. ἀλλ' οὔπω ἐνιαυτὸς ἐξίκετο, καὶ καταστρέφεται καὶ τοῦ-

2. μὴ ὡς αὐτοῖς ἔφεσις A. 7. εὖ τοῦ γένους ἐχουσῶν A. μοναχὰς A. 8. τὸ] ῥῖψαι τὰ ῥάσα B. 9. μεταστρέψαι A. 12. τοῦτον A. ἀφ. καὶ κουφότητα κατ. B. 15. εὑρέσθαι A. 21. καὶ καταστρέφει καὶ τὸν Θεοτοκίτην τοῦτον ἐκ τοῦ πατριαρχικοῦ ὑψώματος, μηδένα λόγον θέμενος ἢ ἐντραπεὶς εἰς ὅσους ἐπαίνους ἔλεγε περὶ αὐτοῦ καὶ ἐδόξαζε τοῦτον ὡς θεῖον ἄνθρωπον. B.

gnatus est. sed ut imperatorum impetus et potentia non quiescere solet nisi divina humanaque pro suo lubito mutarint, principatum adeptus Isaacius Basilio Camatero, quanquam eius ope maxime adiutus, patriarchatu deiecto (causa praetexebatur quod, quas nobiles matronas Andronicus in monasteria invitas abstrusisset, iis ipse nigro vestitu deposito reditum ad pristinum habitum et vitae rationem concessisset) Nicetam Muntanum pro eo patriarcham designavit, ecclesiae maximae sacellarium. sed ne hunc quidem, hominem natu maximum, in sacra sede expirare passus invitum expulit, senium et delirium et levitatem causatus. cum autem diligentius de gubernatore ecclesiae cogitaret, Leontium monachum quendam magnum pastorem designat, in populi frequentia pro tribunali iureiurando testatus eum virum prius ignotum sibi a dei genitrice noctu esse demonstratum, non forma et virtute eius duntaxat descripta, sed loco etiam ostenso in quo habitaret. verum eo quoque dei genitricio,

τος τοῦ πατριαρχικοῦ ὑψώματος. ἀποσκορακισθέντος δ' οὕτω καὶ Λεοντίου, ἔγνω δραματουργῆσαι μετάθεσιν καὶ εἰς τὴν οἰκουμενικὴν ἐπᾶραι προέδρευσιν τὸν τῶν Ἱεροσολύμων Δοσίθεον. εἰδὼς δὲ τοὺς κανόνας τοῦτο μὴ συγχωροῦντας, μέτεισιν ὑπούλως τὸν διέποντα τὸν θρόνον τῆς θεοῦ πόλεως μεγάλης Ἀντιοχείας Θεόδωρον τὸν Βαλσαμών, ἄνδρα ὑπὲρ τοὺς τότε πάντας ὄντα νομοτριβῆ. καὶ δὴ κατὰ μόνας αὐτῷ P 26 συγγενόμενος σχηματίζεται τὸν ἀσχάλλοντα εἰ οὕτως ἀνδρῶν φιλοθέων καὶ λογίων ἡ ἐκκλησία σπανίζεται καὶ ἡ μοναχικὴ διέρριπται καὶ ἠφάντωται ἀρετή, ὡς μὴ πρότερον εἶναι τὸν ἡμέριον τουτονὶ λαμπτῆρα, τὸν ἀεικίνητον ἥλιον, ἢ τὸν ἐπὶ τῶν κεροιάκων τοῦ ἱεροῦ καθιζησόμενον θρόνου καὶ ἀρίστως τὸ τῶν πιστῶν διιθυνοῦντα πλήρωμα. καὶ τοιαῦθ' ἕτερα σχετλιαστικῶς προαναβαλόμενος ἐπήγαγε πάλαι μὲν βούλεσθαι μετενεγκεῖν αὐτὸν ἐκ τῆς Ἀντιοχέων καθέδρας εἰς τὴν οἰκουμενικὴν περιωπὴν ὡς λύχνον ταῖς τῶν νόμων τηλαυγείαις πάμφωτον, ὑποστέλλεσθαι δὲ τὴν μετάθεσιν ὡς πάλαι τοῖς κανόσιν ἀπειρημένην καὶ τοῖς ἐκκλησιαστικοῖς ἀπᾴδουσαν θεσμοῖς· εἰ δ' αὐτὸς σχοίη ἂν ὡς νόμους καὶ κανόνας ἀκρι- B

6. ἄνδρα νομομαθῆ καὶ διδάσκαλον ὑπὲρ τοὺς τότε εὑρισκομένους B. 7. καὶ δὴ] καὶ παραλαβὼν αὐτὸν κατ' ἰδίαν ὑπεκρίνετο λυπεῖσθαι καὶ θλίβεσθαι ὡς ὅτι ἡ ἐκκλησία οὐχ εὑρίσκεται ἔχειν ἄνδρας φιλοθέους καὶ λογίους, καὶ διὰ τοῦτο καὶ ἡ μοναχικὴ πολιτεία κατεβλήθη, καὶ οὐκ ἐφαίνου πρότερον σὺ ὁ πολύφωτος ἀστήρ, ὡς ἂν ἐπὶ τοῦ θρόνου τούτου τοῦ πατριαρχικοῦ καθίσῃς, καὶ ἀρίστως τὸ πλήρωμα τῶν χριστιανῶν διιθύνεις, καὶ τὰς ἐκκλησίας καὶ μοναστήρια εἰς ἀκριβῆ καταστήσεις κατάστασιν. ἐγὼ γὰρ καὶ πολλοῦ ἐβουλόμην ἐκ τῆς Ἀντιοχέων ἐκκλησίας πρὸς τὸν οἰκουμενικὸν τοῦτον καὶ ὑψηλὸν θρόνον μετατεθεῖναί σε B. 10. τὸν παγκόσμιον λαμπτῆρα A 19. σχοίη] ἰσχύει A

priusquam annus elaberetur, repudiato, nihil verecundatus, quod coram tam multis eum ut divinum hominem laudibus extulisset, mutationem instituit, Hierosolymitanum Dositheum ad Oecumenicum patriarchatum evecturus. quod cum canones non permittere sciret, Theodorum Balsamum, magnae Antiochiae episcopum, virum ea aetate iurisconsultissimum, astu circumvenit; et in privato colloquio indignationem simulat, quod ecclesia piis et doctis viris ita destituatur et monastica virtus ita obsoleverit atque evanuerit, ut nemo sit qui universalem sedem, non secus ac solis irrequietus circuitus orbem terrarum, illustret, coetumque fidelium quam optime gubernet. haec et id genus alia non sine dolore praefatus, subiunxit olim fuisse sibi in animo illum ex Antiochena sede in Oecumenicam, ut illustrem legalis puritatis lucernam, transferre sed ab ea mutatione

βωσάμενος χώραν ἔχουσαν ἀποδεδειχέναι, καθά ποτε, καὶ νῦν τὴν μετάθεσιν, καὶ τὰς τῶν πολλῶν εἰς τοῦτο μεθαρμόσειε γνώμας, ἕρμαιον ὄντως ἡγήσεται τὸ πραχθὲν καὶ οὐκ ἀναβαλεῖται τὸ πέρας ἀνεύθυνον ποιοῦν τὴν προχείρισιν. καὶ ὁ μὲν βασιλεὺς οὕτως μετῆλθε τὸν Ἀντιοχείας Θεόδωρον, ὁ δὲ πάντα ἐκτελῆ γενέσθαι κατέθετο. σύλλογοι οὖν μετ' ἐκείνην τὴν ἡμέραν ἀρχιερέων ἀνὰ τὰ ἀρχεῖα τὰ ἱερὰ καὶ σύνοδοι καὶ συζήτησις περὶ μεταθέσεως, καὶ παρὰ πόδας ἐκχώρησις καὶ τόμος ἐπὶ βασιλικοῦ συμπληρούμενος βήματος, καὶ ὁ μὲν Ἀντιοχείας πάλιν Ἀντιοχείας ἑώμενος, ὁ δὲ Δο-
C σίθεος ἀπὸ τοῦ τῶν Ἱεροσολύμων θώκου εἰς τὸν τῆς Κων-
V. 214 σταντινουπόλεως ἀναγόμενος, καὶ ἡ προπομπὴ ὡς λαμπροτάτη καὶ πολυανθρωποτάτη τῶν πώποτε, ὡς εἶναι καὶ θριάμβοις βασιλέων ἀμφήριστος, καὶ ἀχανεῖς ἐπὶ τούτῳ οἱ φενακισθέντες ἀρχιερεῖς καὶ τοὺς κανόνας εἰκῆ κατανωτισάμενοι. ἀμέλει τοι καὶ μὴ ἐπὶ πολὺν χρόνον ἐνεγκεῖν τὸν γέλωτα ἔχοντες παρασυναγωγὰς ποιοῦσι καὶ ὀχλαγώγια οἱ λογάδες τοῦ βήματος, καὶ τῶν ἀρχιερέων ὁπόσον εἶχε τὴν γλῶτταν πρὸς λόγων ἰσχὺν ἐπίσημον. οὐκοῦν ἐπιβάτης ἐκκλησίας ἀλλοτρίας ἀκούει Δοσίθεος, καὶ ἀναλυομένην ἔσχε τὴν δευτέραν τιμήν, καὶ τοῦ θρόνου κατάγεται. τὴν δ' ἧτταν μὴ φέρειν ἔχων ὁ
D βασιλεὺς ἀναμαχόμενος ἦν καὶ παντοίως σπεύδων ἰσχύειν

5. οὕτως] οὔπω A. 6. ἐντελῆ A. 7. ἱερὰ καὶ ζήτησις π. A. 19. ἀλλ. καὶ μοιχὸς ἀκούει B. 21. φέρων ὁ A. B: μὴ φέρων γοῦν τὴν ἐντροπὴν ὁ βασιλεὺς παντοίως ἠγωνίζετο συνιστᾶν τὴν βεβαιωθεῖσαν μετάθεσιν πρότερον, καὶ βαράγγους καὶ στρατιώτας [illegible] προέπεμψεν αὐτὸν πάλιν εἰς τὸ πατριαρχεῖον. B. 22. ἰσχύειν] κρατεῖν A.

veterum canonum et ecclesiasticarum sanctionum interdicto deterreri. si vero ipse, ut legum et canonum peritissimus, translationem, ut olim, ita nunc quoque habere locum, demonstrare ac vulgo persuadere possit, se omnino id in lucro deputaturum, eumque, modo liceat, incunctanter designaturum. hoc modo tractatus Theodorus omnia rata fore affirmavit. postridie concilio pontificum in aede sacra indicto, et quaestione illa agitata, translatio statim concessa et litteris imperatoriis confirmata est. ac Antiochenus, ut ante fuerat, ita mansit Antiochenus. Dositheus vero a sede Hierosolymitana Cpolim est translatus, cum tam frequenti et splendido comitatu ut haud dubie regium triumphum aequaret. at primarii sacerdotes caeterique facundia insignes, qui se canonibus temere violatis deceptos videbant, obstupefacti, cum risum diutius perferre non possent, extraordinaria conciliabula et plebis conventicula instituunt: alienae ecclesiae occupator audit Dositheus; secundo honore abrogato e sede educitur.

τὴν κυρωθεῖσαν μετάθεσιν, καὶ μετὰ βραχύν τινα χρόνον ἀναλύσας τὰ ἐπιγενόμενα αὖθις ἐστήριξε τὸν Δοσίθεον, ὅτε καὶ διὰ τῶν πελεκυφόρων αὐτοῦ δορυφόρων καὶ τῶν τοῦ παλατίου ἐκκρίτων προύπεμψεν αὐτὸν εἰς τὸ μέγιστον τέμενος, δεδιὼς μὴ τὸ πλῆθος νεωτερίσειεν· ἦν γὰρ διὰ μίσους ἅπασιν ὡς φιλόθρονος ὁ Δοσίθεος, καὶ τὸ τοῦ κρατοῦντος ἐπὶ μὴ καιρίοις πράγμασιν ἐνστατικόν τε καὶ φίλαυτον οὐκ ἐπαινετόν. ἀλλὰ καὶ πάλιν τοῦ θρόνου ἀποδιοπομπεῖται Δοσίθεος, καὶ πέπονθεν ἀτεχνῶς τὸ τῆς Αἰσωπείας κυνός, ἧς τε διεῖπεν ἀποπεσὼν ἱερᾶς ἀρχῆς (ἕτερος γὰρ Ἱεροσολύμων κεχειροτόνητο) καὶ τοῦ μείζονος θρόνου καθαιρεθείς. καὶ τοῦτο μὲν ἐσέπειτα, καὶ προχειρίζεται πατριάρχης μέγας ὢν σκευοφύλαξ ὁ Ξιφιλῖνος Γεώργιος.

5. Τότε δ', ὡς ἁπανταχῇ περιῄδετο, ἐκ Σολομωντείων P. 261 βίβλων ἰνδάλματα τῶν ἐσομένων καί τινας ἐμφάσεις κατὰ τοὺς ὀνειροπομποὺς δαίμονας ἀποτρυγῶν ὁ Δοσίθεος οὐχ ὥσπερ ἀπὸ ῥινὸς ἀλλ' ἐκ τῶν ὤτων εἷλκε τὸν αὐτοκράτορα. ὁ δέ γε πρωτοστράτωρ κατὰ τὰς βασιλικὰς ὑποθημοσύνας διαπραττόμενος παρεβλέπετο τὰ πρὸς αὐτὸν γραφόμενα παρὰ τοῦ ῥηγός, καὶ ἅπας ἐγίνετο τοῦ δρᾶσαί τι κακὸν τοὺς Ἀλαμανοὺς περὶ φρυγανισμὸν ἐξιόντας. καὶ δή ποτε περὶ τοὺς δισχιλίους τε καὶ εὐίππους ἀποκεκρικῶς ἠθέλησεν ἀγχοῦ που τῆς Φιλίππου πορευθῆναι νυκτὸς καὶ τῶν ἐκεῖθι βουνῶν ἐχο-

4. μέγα A. 5. ἦν γὰρ] πάντες γὰρ ἐμίσουν τὸν Δοσίθεον ὡς φιλόθρονόν τε καὶ φίλαυτον. ἀλλὰ B. 12. ἐς μετέπειτα A. 20. ἐγένετο A. 21. φρυγανισμὸν] τὰ χορτάσματα B. 22. χιλίους εὐίππους καὶ εὐόπλους A.

imperator vero ignominiam illam non ferens omnibus modis adversatur, ac nihil non facit ut approbata illa translatio valeat. nec multo post abrogatione sublata, Dositheum denuo confirmatum per bipenniferos satellites et palatinos proceres in sacram aedem deducit, populi motum veritus. erat enim Dositheus ob ambitionem et imperatoris intempestivam pertinaciam et parum laudatum sui studium omnibus invisus. caeterum rursus sede eiicitur, eodemque modo quo canis Aesopicus, et pontificatum quem tenuerat amittit (nam alius Hierosolymis electus erat) et maiori sede excidit, magno vasorum custode Xiphilino Georgio patriarcha designato.

5. Tum vero, quod ubique erat celebre, ex Salomonis libris futurarum rerum imagines et formas quasdam, instar daemonum qui somnia immittunt, depingendo, non naso sed auribus trahebat imperatorem. cuius iussis protostrator obsequens, litteris regis neglectis, totus in eo erat ut Alemannis noceret frumentatum exeuntibus, et quadam nocte circiter bis mille insignibus equitibus delectis ad

μένως ὑποκαθίσαι λόχον καὶ τοῖς σιτοφόροις ἐπιθέσθαι ὄρθριος. καὶ αὐτὸς μὲν τοιαύτης εἴχετο πράξεως, τὰ δὲ B σκευοφόρα καὶ τὸ ὑπουργικὸν τοῖς στρατιώταις καὶ τὸ λοιπὸν στράτευμα ἐκεῖθεν μεταβῆναι μεθ' ἡμῶν ἐπέταξεν, ὡς εἰ θεόθεν ἦν ἐμπνευσθείς. οὔπω γὰρ ἦν ἡμέρα διαγελῶσα, καὶ οἱ Ἀλαμανοὶ μαθόντες παρὰ τῶν ἐς τὸ φρούριον τὸν Προυσηνὸν Ἀρμενίων (ἐκεῖσε γὰρ ἡ βασιλικὴ κατεστρατοπεδεύετο στρατιὰ) ὅσα ἦν τῷ πρωτοστράτορι πρὸς βουλῆς, νύκτα τὴν αὐτὴν ἐξάραντες τῆς Φιλίππου ὑπὲρ τὰς πέντε χιλιάδας σιδήρῳ πάντες κατάφρακτοι ἐπιθέσθαι ἡμῖν ἠπείγοντο, λαθόντες οὓς εἴχομεν ὀπτῆρας καὶ φύλακας, μηδὲ τοῖς ἅμα τῷ πρωτοστράτορι ἐπιλέκτοις συνηντηκότες, ἐπεὶ καὶ ὁ μὲν πρωτοστράτωρ τὰ τοῖς ὄρεσι προσεγγίζοντα μέρη ἐπεπορεύετο, ἔνθα καὶ χωρία ἦν εἰσέτι τῶν ἐπιτηδείων ἔμπλεα, καὶ τοὺς γηλόC φους ὑπεδύετο κλέπτων τὸ θεαθῆναι πρὸς τοῦ θηράματος, οἱ δ' Ἀλαμανοὶ πεποιθότως ἐβάδιζον τὴν διὰ λείου πεδίου εἰς τὸ Ῥωμαϊκὸν στρατόπεδον φέρουσαν. ὡς δ' οὐδένα εὕρισαν ἀντίμαχον οἱ πολέμιοι, ἀλλὰ τὴν μὲν ἀποσκευὴν τοῦ στρατεύματος κατὰ τὴν τῆτες δείλην ἀπονοστῆσαι ἐκεῖθεν ἐπύθοντο, ὅσον δ' αὐτοῦ κράτιστον, κατὰ τῶν ἐκ τοῦ γένους σφῶν τὰ σῖτα εἰς τὴν παρεμβολὴν μεταφερόντων ἐξωρμηκέναι, μὴ ἀναμείναντες τὴν ἀγγελίαν τοὺς ἵππους μετήνεγκαν,

10. οὓς εἴχομεν] τὰς ἡμετέρας βίγλας B. 11 ἅμα] σὺν A. 12 ἐπειδὴ ὁ A. 15. πρὸς] παρὰ A 16. πεποιθότως] μετὰ θάρρους καὶ θάρσους B. 19. κατὰ τὴν] ἀπὸ τὴν χθὲς ἡμέραν ὥρα γεύματος ἐξήλθοσαν καὶ ἐξεχωρίσθησαν οἱ κρείττονες B. 21 σφῶν] ἐκείνων A. μεταφερόντων] κομιζόντων A

Philippopolim proficisci, et insidiis in collibus illis collocatis frumentatores mane invadere instituit. ac ei rei intentus impedimenta, servitia militum et reliquum exercitum, quasi numine afflatus, nobiscum discedere iussit. priusquam enim diluxerat, Alemanni ab Armeniis Pruseni castelli (ibi enim constiterat imperatoris exercitus) de protostratoris consilio certiores redditi, eadem nocte ultra V millia cataphractorum in nostrum exercitum immittere properabant, nostris speculatoribus et custodibus deceptis, nec protostratori facti obviam. nam is quidem partes montibus vicinas, in quibus praedia erant adhuc commeatu referta, pertransibat, et tumulos subibat, ne ab iis conspiceretur quos venabatur. Alemanni vero confidenter per planitiem ad Romana castra pergebant. sed cum nemine reperto nostros pridie sub coenae tempus discessisse, delectisque fortissimis ad frumentatores suos circumveniendos abiisse audivissent, ne expectato quidem nuntio convertunt equos, ut ab iis invenirentur a quibus

εὑρεθῆναι τοῖς ζητοῦσιν γλιχόμενοι. οὐκοῦν οἱ μὲν τὸν ἐκεῖθι λόφον ὑποκαταβαίνοντες, ὃς περὶ τὸ φρούριον ἐξῆρται τὸν Προυσηνόν, οἱ δ' ἡμέτεροι ἀνιόντες προσέμιξαν ἀλλήλοις ἀδόκητοι. ἐπεὶ δὲ καὶ συμπλακέντες ἐμάχοντο, οἱ μὲν Ἀλανοὶ ἐξηγούμενον αὐτῶν ἔχοντες τὸν τοῦ Ἀλεξίου Βρανᾶ υἱὸν D τὸν Θεόδωρον μικροῦ ἔπεσον πάντες ὡς μόνοι καὶ πρῶτοι V. 215 μαχεσάμενοι τοῖς Ἀλαμανοῖς, οἱ δὲ Ῥωμαῖοι ἐδραπέτευον προτροπάδην καὶ ἀκλεῶς, μηδὲ καθαρῶς ἐμβλέψαι τοῖς ἐναντίοις ὑπενεγκόντες. καὶ αὐτὸς δὲ ὁ πρωτοστράτωρ δι' ἄλλης ὁδοῦ ἀνακεχωρηκὼς ἄφαντος ἦν ἐκ τοῦδε ἡμῖν εἰς τρίτην ἡμέραν, τρισάσμενος δὲ τὰς χεῖρας τῶν πολεμίων διεκφυγὼν μόλις ἐπανέζευξεν, ὡς ἐκ μακροῦ πελάγους εἰς λιμένα κατάρας, ἔτι τὴν ἅλμην ἀποπτύων τοῦ μαχισμοῦ καὶ τοῖς ὠσὶ φέρων ἐναύλους τὰς ἐπὶ τῷ αὐτὸν ἁλῶναι προϊεμένας διατόρους φωνὰς τῶν Ἀλαμανῶν. πολλοὶ δὲ καὶ ἄνοπλοι καὶ ἄνιπποι ἐς τὸ στρατόπεδον ἐπανῆλθοσαν, τῇ συντονίᾳ τοῦ δρόμου λακησάντων σφίσι τῶν ὀχημάτων. τὸ δ' ἀπὸ τοῦδε τοσοῦτον ἀπεσχοινίσμεθα ἀλλήλων Ἀλαμανοί τε καὶ Ῥωμαῖοι P. 262 ὡς σταδίους διεστάναι πλείους τῶν ἑξήκοντα· οἱ μὲν γὰρ ἔτι τῇ Φιλίππου προσέμενον, ἡμεῖς δὲ περὶ τὰ ἔσχατα τῆς Ἀχριδοῦ γενόμενοι ἡσυχάζομεν, εἰ σωζοίμεθα μόνον ἐπιμελόμενοι. εἴπω δέ τι καὶ ἕτερον, κείροντες τὴν ἰδίαν τὰ σῖτα

1. post ζητοῦσιν cum A omisi αὐτοὺς Ῥωμαίοις. 3. τῶν προυσηνῶν A. 7. μαχεσάμενοι] διαμιλλησάμενοι A. 10. ἄφαντος] ἀφανέρωτος A. 11. διαφυγὼν A. 14. διατόρους om A. 17. λακισάντων A. τὰ ἄλογα αὐτων πλαντάξαντες B. 19. ὡσεὶ μίλια δέκα B. σταδίους] σημεῖα δ. πλείω A.

quaerebantur. igitur cum ex eo colle descenderent qui iuxta Prusenum castellum eminet, nostri vero ascenderent, ex improviso concurrerunt. ut ad arma ventum est, Alani Theodoro Alexii Branae filio duce fere omnes ceciderunt, quippe qui primi et soli cum Alemannis pugnarent. Romani vero praecipiti et turpi fugae se mandabant, vix aspectu hostium tolerato; et ipse protostrator alia via elapsus a nobis in tertium usque diem visus non est, et manibus hostium cupidissime evitatis, vix tanquam ex longo mari salsam veluti aquam adhuc expuens, in portum pervectus, rediit, confusis Alemannorum vocibus de eo capiendo adhuc aures eius personantibus. multi quoque sine armis, sine equis in castra redierunt, fractis in illa cursus contentione vehiculis. ex eo tantum ab Alemannis seiuncti sumus, ut ultra LX stadia recederemus. nam illi ad Philippopolim permanebant, nos circa extremitates Achridi quiescebamus, de vita duntaxat conservanda solliciti: imo et nostram provinciam po-

εἰσφερόμεθα. καὶ τὰ τοιαῦτα εἰσεληλυθότα τοῦ βασιλέως ἐνώπιον ἐνδοῦναι μόγις τοῦ ἄγαν ἔπεισαν. καὶ ἡμεῖς δ' αὖθις μετὰ βραχὺ ἀφικόμενοι κατὰ μέρος πάντα διηγησάμεθα, προσθέμενοι ὥς φασιν οἱ Ἀλαμανοὶ μηδὲν ἕτερον εἶναι τὸ κεῖσαν τὸν βασιλέα Ῥωμαίων τὰ τῶν ἑσπερίων Χριστιανῶν ὅρκια παραβλέψασθαι ἢ τὸ μετὰ τοῦ τῶν Σαρακηνῶν ἄρχοντος σπείσασθαι, καὶ κατὰ τὸ παρ' αὐτοῖς περὶ φιλίας κρατοῦν ἔθιμον ἀμφοτέρους σχάσαι φλέβα τὴν ἐπιστήθιον καὶ
B τὸ ἐκεῖθεν ἐκρυὲν αἷμα ἑκάτερον εἰς πόσιν ἀντιπροτείνασθαι. καὶ μεταβαλεῖν οὕτως ἰσχύσαμεν τῆς ἐνστάσεως. ἀμέλει τὴν ἐναντίαν τραπόμενος τῆς προτέρας ὁ βασιλεὺς προθέσεως, ἐγλίχετο τῆς ἐς ἕω τῶν Ἀλαμανῶν περαιώσεως. ὁρῶν δὲ τὸν ῥῆγα διὰ τὴν ἐς χειμῶνα τῆς ὥρας μετατροπὴν (ἦν γὰρ Νοέμβριος μὴν ὅτε ταῦτα ἐγίνετο) εἰς ἔαρ τὴν μετάβασιν ἀνατιθέμενον, πάλιν τοῖς προτέροις ἐνέμενε, καὶ ἐπιστέλλων προηγόρευε τῷ ῥηγί, βασιλεῦσιν οὐχ ἁρμοδίως, ὡς θανεῖται πρὸ τῶν πασχαλίων ἡμερῶν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ πλείω κατηγορίαν τοῦ δρῶντος καὶ λέγοντος ἤπερ ἔπαινον
C ἔχοντα, πείθεται μόλις διαφεῖναι τοὺς πρέσβεις ἐς τὸν ῥῆγα ἐπανελθεῖν. αὐτὸς δὲ τούτους ἰδών, καὶ μαθὼν ὡς οὔτε καθέδρας ὁ βασιλεὺς αὐτοῖς μετέδωκεν ἀλλὰ δουλοπρεπῶς ἐπ' ἴσης Ῥωμαίοις αὐτῷ παρειστήκεισαν ὀπτανόμενοι, οὔτε

2. δ' εἰς αὐτὸν κατὰ A. 13. τροπὴν A. 17. πρὸ τῶν ἡμερῶν τῆς πασχαλίας B. 21. αὐτοὺς ὁ βασ. ἠξιώκει A.

putabamur, ut commeatus suppeteret. quae cum ad imperatorem perlata essent, vix eum moverunt ut nonnihil de pertinacia remitteret. et nos etiam paulo post ad eum profecti singula diligentius exponebamus, illo adiecto, Alemannos dicere nihil esse aliud quod imperatorem ad negligenda Occidentalium Christianorum pacta impulerit, nisi quod cum principe Sarracenorum pacem fecisset, et ut moris illorum esset in amicitia constituenda, uterque vena in pectore incisa suum alteri sanguinem propinasset. sic tandem eius contumaciam ita fregimus, ut consilio in contrarium mutato Alemannorum transitum in Orientem expeteret. quem cum regem ob instantem hiemem (nam Novembri mense haec acta sunt) in vernum tempus differre cerneret, rursus ad ingenium rediit; et per litteras, contra decorum imperatorium, regi vaticinatus est eum ante Pascha moriturum. et ut alia quae antecessere praeteream (plura enim habent quae in dictis et factis auctoris culpentur quam quae laudentur), vix adducitur ut legatos ad illum reverti patiatur. e quibus ubi is cognovit imperatorem eos neque consessu neque ullo alio singulari honore dignatum esse, sed aeque ut Romanos serviliter astare sivisse,

τινὸς ἑτέρου ἠξιώθησαν ἀγαθοῦ ἐξαιρέτου ἐπίσκοποί τε ὄντες
καὶ αὐτῷ προσγενεῖς, ἠγανάκτει καὶ δῆλος ἦν ἐπὶ τῷ γεγο-
νότι τῷδε διαπριόμενος. ὡς δὲ καὶ πρέσβεις ἡμέτεροι παρ'
ἐκεῖνον ἀφίκοντο, ἑαυτῷ συμπαρέδρους πεποίηκεν αὐτούς τε
καὶ τοὺς ὑπηρετουμένους αὐτοῖς, μηδὲ τοὺς ὀψοποιοὺς καὶ
ἱπποκόμους καὶ μάττοντας παρίστασθαι ἀφεικώς. μὴ εἶναι
δὲ λεγόντων ἐκείνων εἰκὸς βασιλεῖ μεγίστῳ συνθωκεύειν ὑπη-
ρέτας (ἀρκετὸν γὰρ ὅτι καὶ οἱ κύριοι αὐτῶν συνεδρεύουσιν)
οὐ καθυφῆκέ τι μικρὸν τοῦ σκοποῦ, ἀλλὰ καὶ μὴ ἑκόντας D
τοῖς δεσπόταις αὐτοὺς συγκατέκλινεν, ἐν οἷς ἔπραττε Ῥω-
μαίους καταμωκώμενος, καὶ δεικνὺς μὴ ἀρετῆς καὶ γένους εἶ-
ναι παρ' αὐτοῖς διαστολήν, ἀλλ' ὡς εἰς συφεὸν οἱ συφορβοὶ
τὰς σῦς ἀπαξαπάσας εἰσελῶσιν εἰς ἕνα σταθμόν, μὴ διιστῶν-
τες τὰς πίονας καὶ πλειόνως διαχέειν ἐχούσας τὸ ἀποδίδο-
σθαι, οὕτω δὴ καὶ Ῥωμαῖοι παραστατοῦντας ἔχουσιν ἅπαν-
τας. οὐ πολλοῦ δὲ διαγενομένου καιροῦ ἠνάγκασεν αὐτὸν ἡ
τῶν ἐπιτηδείων ὑποσπάνισις μερίσαι τὸ οἰκεῖον στράτευμα.
οὐκοῦν αὐτὸς μὲν ἄπεισιν εἰς Ὀρεστιάδα, κατὰ δὲ τὴν Φι-
λιππούπολιν εἴασε τὸν ἑαυτοῦ υἱὸν καὶ τοὺς ἐπισκόπους μεθ'
ἱκανοῦ στρατεύματος, εἰπὼν ὡς „ἀναπαύσασθαι χρεὼν ὑμᾶς
ἐνταυθοῖ, ἄχρι δὴ τὰς παρειμένας κνήμας καὶ τὰ παραλελυ- V. 216
μένα γόνατα ἐκ τοῦ παρίστασθαι τῷ βασιλεῖ Γραικῶν ἀναρ- P. 263
ρωσθείητε."

1. ἠξιώθησαν] ἐξαιρέτως μετέδωκεν ἀγαθοῦ ἐπισκόπους ὄντας A. 5. αὐτοῖς] σφίσι A. μηδὲ] μέχρι καὶ μαγείρου καὶ στράτωρος B. 6. παρεστάναι ἀφεὶς A. 7. συνθακεύειν ὑπηρέτας ὄντας A. 9. σκοποῦ] σκέμματος A. 12. ὡς συφορβοὶ τὰς ὗς A. χοιροβοσκοὶ τοὺς χοίρους B. 13. εἰς ἕνα] εἰς τὰ χοιρομάνδρια, μη διαχωρίζοντες τὸ παχὺ καὶ λιπῶδες ἀπὸ τοῦ πτωχοῦ B. 14. καὶ πλ. — ἀποδ. om A. 15. ἔχοντες A. 18. τὴν τοῦ φ. A. 20. ὡς om A.

quamvis episcopos et cognatos suos, indignationem et iracundiam dissimulare non potuit. ut autem legati nostri ad eum venerunt, et ipsos sibi assidere iussit, nec ministros coquos et equisones eorum astare passus est. qui cum decere negarent ut ministri regi maximo assiderent, satis esse quod suis dominis honos is haberetur, non destitit, sed invitos etiam illis assidere coegit. quo facto Romanos subsannabat; et innuebat eos neque virtutis neque generis habere rationem, sed ut subulci porcos omnes, sive pingues et pretii maioris sive macilentos, in eandem haram compellerent, ita Romanis etiam sine discrimine quosvis astare oportere. non multo post, commeatus penuria coactus, exercitu divi Orestiadem abiit, filio suo cum episcopis et iustis copiis Philippopoli relictis, quibus dixit „vo-

σμένων βασιλεὺς μὲν τῷ ῥηγὶ ἀργυρέων νομισμάτων στέλλει κεντηνάρια τέσσαρα καὶ περιφανῆ νήματα χρυσοϋφῆ, κἀκεῖ- C νος ἄλλοις ἀντιδεξιοῦται τοῦτον δωρήμασι. κἀντεῦθεν πλοίων πλείστων ἱππαγωγῶν ἀπενεχθέντων εἰς Καλλιούπολιν, ἐπεὶ καὶ τοῦτο ἀλλήλοις συνέδοξεν ὥστε διαπλωΐσεσι διτταῖς μετὰ τοῦ παντὸς αὐτὸν διαπεραιωθῆναι στρατεύματος (ἐδεδίει γὰρ μὴ παρασπονδήσαντες Ῥωμαῖοι τοῖς κατὰ βραχεῖς διαπερῶσιν εἰς τὴν ἀντιπέραν ἐπίθωνται), οὕτως οὐχ ἡμέραις πλείοσι τῶν τεττάρων κατὰ τὴν ἕω γίνεται. ὡς δ' ἤγγισε κατὰ τὴν Φιλαδέλφειαν, οὔτε παρῆλθε διὰ τῆς πόλεως, καὶ οἱ ταύτης φιλενδεικτοῦντες οἰκήτορες ἐν τῷ ἀπαίρειν τὸν ῥῆγα ἐκεῖθεν πρὸς πόλεμον μεθηρμόσθησαν καὶ μέρει τῆς στρατιᾶς κατὰ λῃστείαν ἐπέθεντο. ὡς δ' οὐ προυχώρει τούτοις τὰ καταθύμια, ἀλλ' ἀνδριᾶσι χαλκήρεσιν ἢ γίγασιν ἀκαταβλήτοις προσεγγίζοντες ἔγνωσαν, μετέθεντο τὴν ὁρμὴν εἰς D τροπήν. οἱ δὲ διὰ τοῦ Ἀετοῦ λεγομένου χώρου πορευθέντες παρενέβαλον εἰς τὴν ἐν Φρυγίᾳ Λαοδίκειαν. καὶ φιλοφρονηθέντες ἐκεῖσε ἀσπασιώτατα καὶ ξεναγωγηθέντες ὡς οὐχ ἑτέρωθι, καὶ πάντες μὲν τοῖς Λαοδικεῦσι πάντα τὰ θεόθεν ἐπηύξαντο ἀγαθά, ὁ δὲ ῥὴξ καὶ μάλιστα· ἀνατείνας γὰρ τὰς χεῖρας εἰς οὐρανὸν καὶ ἄρας ἄνω τὰ ὄμματα, τὸ δὲ γόνυ

1. τῷ ῥηγὶ τέσσαρα κεντηνάρια δουκάτα ἀπέστειλε καὶ βλατία διβολέα καὶ τριβολέα B. νομισμάτων] κομμάτων A. 4. ὑπαγωγῶν A. 5. ὥστε] ὡς ἵνα εἰς δεύτερον πέραμα τὸ ὅλον φοσσάτον διαπεραιωθῇ B. 9. κατὰ] εἰς A. 14. γίγασιν ἔγνωσαν προσεγγίζοντες A.

cia sed metu non supervacaneo factum esse comperisset, eis et possessiones et dignitatem pristinam restituit. pactione peracta, regi quatuor centenarios argenteae monetae et eximias telas auro intertextas mittit, aliaque ab illo munera recipit. inde plurimis navibus equestribus Calliopolim perductis (nam id quoque convenerat, ut duabus navigationibus totus exercitus traiiceret, rege metuente ne Romani pactis violatis paucos una vehentes in traiectu occiderent) rex diebus non amplius quatuor in Orientem pervenit. ut ad Philadelphiam accessit, neque per urbem transiit, et eius incolae simulata amicitia, in regis discessu, in inimicitias erumpente partem exercitus per latrocinium sunt adorti. ut vero res parum successit, sed ferreas statuas aut gigantes sibi oppugnare videbantur, terga dederunt. Alemanni vero per Aquilae praedium (loci nomen id est) profecti ad Phrygiae Laodiceam castra posuerunt; ibique humanissime suscepti et hospitalius quam alibi usquam tractati, cum omnes Laodicensibus faustissima quaeque a deo sunt precati, tum rex manibus et oculis in caelum sublatis, genibus vero humi flexis, oravit

Γιγκλάριον αὐτοῖς συμβαλὼν τὸ κράτος ἤρατο, ὅτε καὶ οἱ μὲν Τοῦρκοι τὰς τῶν παρόδων προκατειληφότες στενὰς προσέμενον τὴν τῶν Ἀλαμανῶν ἐκεῖθι ἄφιξιν, ὁ δὲ ῥὴξ τὸ τῶν ὑπεναντίων σκέμμα συνεὶς ἐπὶ τόπου κατεστρατοπέδευσε πεδινοῦ, νυκτὸς δὲ εἰς δύο μοίρας τὸ οἰκεῖον στρατόπεδον διελὼν τὸ μὲν ταῖς σκηναῖς προσμένειν ἀπέταξε, τὸ δὲ λοιπὸν ἅπαν C ὑποφαινομένης ἡμέρας εἰς ἀπόδρασιν ἐπέταξε πλαστῶς ἐνσκευάζεσθαι ἄλλης ἁπτόμενον ὁδοῦ. οἱ τοίνυν Πέρσαι τὸν δόλον ἔργον ἀληθὲς εἶναι ὑποτοπήσαντες ἀπανίστανται μὲν τῶν δυσχωριῶν περιχαρῶς, κατὰ δὲ τὸ πεδίον γενόμενοι τὸν χάρακα εἰσέδυσαν τὸν Ἀλαμανῶν, ἀφροντιστοῦντες ἅμα καὶ χαίροντες ὡσεὶ καὶ προχείρῳ ἑρμαίῳ τοῖς ἐν αὐτῷ ἐντευξόμενοι πολλοῖς οὖσι καὶ ἀγαθοῖς, ἐπεὶ καὶ φιλοκερδὴς ἅπας βάρβαρος, καὶ τὰ πλείω ἢ καὶ πάντα πράττων ἐστὶ καὶ φθεγγόμενος πρὸς ἀργύριον. ὡς δὲ οἵ τε φεύγοντες ἐπανέλυσαν καὶ οἱ ἐν ταῖς σκηναῖς εὐθαρσῶς ὑπηντίαζον, περιειλούμενοι οἱ Πέρσαι τὴν πρὸς θάνατον ἤγοντο. D

7. Οὐ μόνον οὖν ἐκ τῶν δυοῖν τούτων πολέμων φοβερὸς ὁ ῥὴξ ἐγεγόνει καὶ παρὰ τοῖς ἑῴοις ἔθνεσι διαβόητος, ἀλλ' ὅτι καὶ κατ' αὐτὸ τὸ Ἰκόνιον τοῖς αὐτοῖς τοὺς Τούρκους περιέβαλε δυσπραγήμασιν. αὐτὸς μὲν γὰρ ὁ σουλτὰν εἰς τὰ Τάξαρα δραπετεύσας ἀπελογεῖτο μηδὲν εἰδέναι ὧν οἱ

1. κιγγλάριον A, γιγγλάριον B. 2. προσέμενον] ἐτήρουν A. 5. στράτευμα διελὼν ὃ μὲν A. 6. λ. ἅμα ὑποφαινομένῃ τῇ ἕω A. 12. ὡσεὶ] ὡς προκειμένῳ A. 14. ἢ τὰ π. A. 16. περιειλούμενοι] περισχεθέντες A. 18. οὖν] γοῦν A.

Philomelium evertit atque incendit. eosdem etiam ad Cingularium vicit. cum enim angustiis occupatis Alemannorum transitum observarent, ille consilio hostium intellecto castra in campo posuit; et copiis suis noctu bifariam divisis, unam partem in tentoriis manere iussit, alteram diluculo fuga simulata viam aliam insistere. Persae autem dolum eum rem veram esse rati, laeti ex angustiis in apertum campum effusi vallum Alemannorum irrumpunt, simul et securi et laeti, ut paratam praedam, magnas opes direpturi. omnis enim barbarus avarus est, et pecuniae causa pleraque, ne dicam omnia, et dicit et facit. ut vero et qui fugerant se converterunt, et qui in castris erant confidenter occurrerunt, Persae circumventi occidebantur.

7. Neque vero ex his duobus duntaxat praeliis rex formidabilis evasit et apud Orientales gentes celebris, sed ex eo etiam quod Turcos ad ipsum Iconium iisdem cladibus affecit. nam ipse quidem Sultanus ad Taxara profugus ignorationem excusabat eorum quae

μένως ὑποκαθίσαι λόχον καὶ τοῖς σιτοφόροις ἐπιθέσθαι ὄρθριος. καὶ αὐτὸς μὲν τοιαύτης εἴχετο πράξεως, τὰ δὲ σκευοφόρα καὶ τὸ ὑπουργικὸν τοῖς στρατιώταις καὶ τὸ λοιπὸν στράτευμα ἐκεῖθεν μεταβῆναι μεθ' ἡμῶν ἐπέταξεν, ὡς εἰ θεόθεν ἦν ἐμπνευσθείς. οὔπω γὰρ ἦν ἡμέρα διαγελῶσα, καὶ οἱ Ἀλαμανοὶ μαθόντες παρὰ τῶν ἐς τὸ φρούριον τὸν Προυσηνὸν Ἀρμενίων (ἐκεῖσε γὰρ ἡ βασιλικὴ κατεστρατοπεδεύετο στρατιὰ) ὅσα ἦν τῷ πρωτοστράτορι πρὸς βουλῆς, νύκτα τὴν αὐτὴν ἐξάραντες τῆς Φιλίππου ὑπὲρ τὰς πέντε χιλιάδας σιδήρῳ πάντες κατάφρακτοι ἐπιθέσθαι ἡμῖν ἠπείγοντο, λαθόντες οὓς εἴχομεν ὀπτῆρας καὶ φύλακας, μηδὲ τοῖς ἅμα τῷ πρωτοστράτορι ἐπιλέκτοις συνηντηκότες, ἐπεὶ καὶ ὁ μὲν πρωτοστράτωρ τὰ τοῖς ὄρεσι προσεγγίζοντα μέρη ἐπεπορεύετο, ἔνθα καὶ χωρία ἦν εἰσέτι τῶν ἐπιτηδείων ἔμπλεα, καὶ τοὺς γηλόφους ὑπεδύετο κλέπτων τὸ θεαθῆναι πρὸς τοῦ θηράματος, οἱ δ' Ἀλαμανοὶ πεποιθότως ἐβάδιζον τὴν διὰ λείου πεδίου εἰς τὸ Ῥωμαϊκὸν στρατόπεδον φέρουσαν. ὡς δ' οὐδένα εὗρον ἀντίμαχον οἱ πολέμιοι, ἀλλὰ τὴν μὲν ἀποσκευὴν τοῦ στρατεύματος κατὰ τὴν τῆτες δείλην ἀπονοστῆσαι ἐκεῖθεν ἐπύθοντο, ὅσον δ' αὐτοῦ κράτιστον, κατὰ τῶν ἐκ τοῦ γένους σφῶν τὰ σῖτα εἰς τὴν παρεμβολὴν μεταφερόντων ἐξωρμηκέναι, μὴ ἀναμείναντες τὴν ἀγγελίαν τοὺς ἵππους μετήνεγκαν,

10. οὓς εἴχομεν] τὰς ἡμετέρας βίγλας B. 11 ἅμα] σὺν A. 12. ἐπειδὴ ὁ A. 15. πρὸς] παρὰ A. 16. πεποιθότως] μετὰ θάρρους καὶ θάρσους B. 19. κατὰ τὴν] ἀπὸ τὴν χθὲς ἡμέραν ὥρα γεύματος ἐξήλθοσαν καὶ ἐξεχωρίσθησαν οἱ κρείττονες B. 21 σφῶν] ἐκείνων A. μεταφερόντων] κομιζόντων A

Philippopolim proficisci, et insidiis in collibus illis collocatis frumentatores mane invadere instituit. ac ei rei intentus impedimenta, servitia militum et reliquum exercitum, quasi numine afflatus, nobiscum discedere iussit. priusquam enim diluxerat, Alemanni ab Armeniis Pruseni castelli (ibi enim constiterat imperatoris exercitus) de protostratoris consilio certiores redditi, eadem nocte ultra V millia cataphractorum in nostrum exercitum immittere properabant, nostris speculatoribus et custodibus deceptis, nec protostratori facti obviam. nam is quidem partes montibus vicinas, in quibus praedia erant adhuc commeatu referta, pertransibat, et tumulos subibat, ne ab iis conspiceretur quos venabatur. Alemanni vero confidenter per planitiem ad Romana castra pergebant. sed cum nemine reperto nostros pridie sub coenae tempus discessisse, delectisque fortissimis ad frumentatores suos circumveniendos abiisse audivissent, ne expectato quidem nuntio convertunt eques, ut ab iis invenirentur a quibu

εὑρεθῆναι τοῖς ζητοῦσιν γλιχόμενοι. οὐκοῦν οἱ μὲν τὸν ἐκεῖθι λόφον ὑποκαταβαίνοντες, ὃς περὶ τὸ φρούριον ἐξῆρται τὸν Προυσηνόν, οἱ δ' ἡμέτεροι ἀνιόντες προσέμιξαν ἀλλήλοις ἀδόκητοι. ἐπεὶ δὲ καὶ συμπλακέντες ἐμάχοντο, οἱ μὲν Ἀλανοὶ ἐξηγούμενον αὐτῶν ἔχοντες τὸν τοῦ Ἀλεξίου Βρανᾶ υἱὸν D
τὸν Θεόδωρον μικροῦ ἔπεσον πάντες ὡς μόνοι καὶ πρῶτοι V. 215
μαχεσάμενοι τοῖς Ἀλαμανοῖς, οἱ δὲ Ῥωμαῖοι ἐδραπέτευον προτροπάδην καὶ ἀκλεῶς, μηδὲ καθαρῶς ἐμβλέψαι τοῖς ἐναντίοις ὑπενεγκόντες. καὶ αὐτὸς δὲ ὁ πρωτοστράτωρ δι' ἄλλης ὁδοῦ ἀνακεχωρηκὼς ἄφαντος ἦν ἐκ τοῦδε ἡμῖν εἰς τρίτην ἡμέραν, τρισάσμενος δὲ τὰς χεῖρας τῶν πολεμίων διεκφυγὼν μόλις ἐπανέζευξεν, ὡς ἐκ μακροῦ πελάγους εἰς λιμένα κατάρας, ἔτι τὴν ἅλμην ἀποπτύων τοῦ μαχισμοῦ καὶ τοῖς ὠσὶ φέρων ἐναύλους τὰς ἐπὶ τῷ αὐτὸν ἁλῶναι προϊεμένας διατόρους φωνὰς τῶν Ἀλαμανῶν. πολλοὶ δὲ καὶ ἄνοπλοι καὶ ἄνιπποι ἐς τὸ στρατόπεδον ἐπανῆλθοσαν, τῇ συντονίᾳ τοῦ δρόμου λακησάντων σφίσι τῶν ὀχημάτων. τὸ δ' ἀπὸ τοῦδε τοσοῦτον ἀπεσχοινίσμεθα ἀλλήλων Ἀλαμανοί τε καὶ Ῥωμαῖοι P. 262
ὡς σταδίους διεστάναι πλείους τῶν ἑξήκοντα· οἱ μὲν γὰρ ἔτι τῇ Φιλίππου προσέμενον, ἡμεῖς δὲ περὶ τὰ ἔσχατα τῆς Ἀχριδοῦ γενόμενοι ἡσυχάζομεν, εἰ σωζοίμεθα μόνον ἐπιμελόμενοι. εἴπω δέ τι καὶ ἕτερον, κείροντες τὴν ἰδίαν τὰ σῖτα

1. post ζητοῦσιν cum A omisi αὐτοὺς Ῥωμαίους. 3. τῶν Προυσηνῶν A. 7. μαχεσάμενοι] διαμιλλησάμενοι A. 10. ἄφαντος] ἀφανέρωτος A. 11. διαφυγὼν A. 14. διατόρους om A. 17. λακισάντων A. τὰ ἄλογα αὐτῶν πλαντάξαντες B. 19. ὡσεὶ μίλια δέκα B. σταδίους] σημεῖα δ. πλείω A.

quaerebantur. igitur cum ex eo colle descenderent qui iuxta Prusenum castellum eminet, nostri vero ascenderent, ex improviso concurrerunt. ut ad arma ventum est, Alani Theodoro Alexii Branae filio duce fere omnes ceciderunt, quippe qui primi et soli cum Alemannis pugnarent. Romani vero praecipiti et turpi fugae se mandabant, vix aspectu hostium tolerato; et ipse protostrator alia via elapsus a nobis in tertium usque diem visus non est, et manibus hostium cupidissime evitatis, vix tanquam ex longo mari salsam veluti aquam adhuc expuens, in portum pervectus, rediit, confusis Alemannorum vocibus de eo capiendo adhuc aures eius personantibus. multi quoque sine armis, sine equis in castra redierunt, fractis in illa cursus contentione vehiculis. ex eo tantum ab Alemannis seiuncti sumus, ut ultra LX stadia recederemus. nam illi ad Philippopolim permanebant, nos circa extremitates Achridi quiescebamus, de vita duntaxat conservanda solliciti: imo et nostram provinciam po-

εἰσεφερόμεθα. καὶ τὰ τοιαῦτα εἰσεληλυθότα τοῦ βασιλέως ἐνώπιον ἐνδοῦναι μόγις τοῦ ἄγαν ἔπεισαν. καὶ ἡμεῖς δ' αὐτοὶ μετὰ βραχὺ ἀφικόμενοι κατὰ μέρος πάντα διηγησάμεθα, προσθέμενοι ὥς φασιν οἱ Ἀλαμανοὶ μηδὲν ἕτερον εἶναι τὸ πεῖσαν τὸν βασιλέα Ῥωμαίων τὰ τῶν ἑσπερίων Χριστιανῶν ὅρκια παραβλέψασθαι ἢ τὸ μετὰ τοῦ τῶν Σαρακηνῶν ἄρχοντος B σπείσασθαι, καὶ κατὰ τὸ παρ' αὐτοῖς περὶ φιλίας κρατοῦν ἔθιμον ἀμφοτέρους σχάσαι φλέβα τὴν ἐπιστήθιον καὶ τὸ ἐκεῖθεν ἐκρυὲν αἷμα ἑκάτερον εἰς πόσιν ἀντιπροτείνασθαι. καὶ μεταβαλεῖν οὕτως ἰσχύσαμεν τῆς ἐνστάσεως. ἀμέλει τὴν ἐναντίαν τραπόμενος τῆς προτέρας ὁ βασιλεὺς προθέσεως, ἐγλίχετο τῆς ἐς ἕω τῶν Ἀλαμανῶν περαιώσεως. ὁρῶν δὲ τὸν ῥῆγα διὰ τὴν ἐς χειμῶνα τῆς ὥρας μετατροπὴν (ἦν γὰρ Νοέμβριος μὴν ὅτε ταῦτα ἐγίνετο) εἰς ἔαρ τὴν μετάβασιν ἀνατιθέμενον, πάλιν τοῖς προτέροις ἐνέμενε, καὶ ἐπιστέλλων προηγόρευε τῷ ῥηγί, βασιλεῦσιν οὐχ ἁρμοδίως, ὡς θανεῖται πρὸ τῶν πασχαλίων ἡμερῶν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ πλείω κατηγορίαν τοῦ δρῶντος καὶ λέγοντος ἤπερ ἔπαινον C ἔχοντα, πείθεται μόλις διαφεῖναι τοὺς πρέσβεις ἐς τὸν ῥῆγα ἐπανελθεῖν. αὐτὸς δὲ τούτους ἰδών, καὶ μαθὼν ὡς οὔτε καθέδρας ὁ βασιλεὺς αὐτοῖς μετέδωκεν ἀλλὰ δουλοπρεπῶς ἐπ' ἴσης Ῥωμαίοις αὐτῷ παρειστήκεισαν ὀπτανόμενοι, οὔτε

2. δ' εἰς αὐτὸν κατὰ A. 13. τροπὴν A. 17. πρὸ τῶν ἡμερῶν τῆς πασχαλίας B. 21. αὐτοὺς ὁ βασ. ἠξιώκει A.

pulabamur, ut commeatus suppeteret. quae cum ad imperatorem perlata essent, vix eum moverunt ut nonnihil de pertinacia remitteret. et nos etiam paulo post ad eum profecti singula diligentius exponebamus, illo adiecto, Alemannos dicere nihil esse aliud quod imperatorem ad negligenda Occidentalium Christianorum pacta impulerit, nisi quod cum principe Sarracenorum pacem fecisset, et ut moris illorum esset in amicitia constituenda, uterque vena in pectore incisa suum alteri sanguinem propinasset. sic tandem eius contumaciam ita fregimus, ut consilio in contrarium mutato Alemannorum transitum in Orientem expeteret. quem cum regem ob instantem hiemem (nam Novembri mense haec acta sunt) in vernum tempus differre cerneret, rursus ad ingenium rediit; et per litteras, contra decorum imperatorium, regi vaticinatus est eum ante Pascha moriturum. et ut alia quae antecessere praeteream (plura enim habent quae in dictis et factis auctoris culpentur quam quae laudentur), vix adducitur ut legatos ad illum reverti patiatur. e quibus ubi is cognovit imperatorem eos neque consessu neque ullo alio singulari honore dignatum esse, sed aeque ut Romanos serviliter astare sivisse,

τινὸς ἑτέρου ἠξιώθησαν ἀγαθοῦ ἐξαιρέτου ἐπίσκοποί τε ὄντες καὶ αὐτῷ προσγενεῖς, ἠγανάκτει καὶ δῆλος ἦν ἐπὶ τῷ γεγονότι τῷδε διαπριόμενος. ὡς δὲ καὶ πρέσβεις ἡμέτεροι παρ' ἐκεῖνον ἀφίκοντο, ἑαυτῷ συμπαρέδρους πεποίηκεν αὐτούς τε καὶ τοὺς ὑπηρετουμένους αὐτοῖς, μηδὲ τοὺς ὀψοποιοὺς καὶ ἱπποκόμους καὶ μάττοντας παρίστασθαι ἀφεικώς. μὴ εἶναι δὲ λεγόντων ἐκείνων εἰκὸς βασιλεῖ μεγίστῳ συνθωκεύειν ὑπηρέτας (ἀρκετὸν γὰρ ὅτι καὶ οἱ κύριοι αὐτῶν συνεδρεύουσιν) οὐ καθυφῆκέ τι μικρὸν τοῦ σκοποῦ, ἀλλὰ καὶ μὴ ἑκόντας D τοῖς δεσπόταις αὐτοὺς συγκατέκλινεν, ἐν οἷς ἔπραττε Ῥωμαίους καταμωκώμενος, καὶ δεικνὺς μὴ ἀρετῆς καὶ γένους εἶναι παρ' αὐτοῖς διαστολήν, ἀλλ' ὡς εἰς συφεὸν οἱ συφορβοὶ τὰς σῦς ἀπαξαπάσας εἰσελῶσιν εἰς ἕνα σταθμόν, μὴ διιστῶντες τὰς πίονας καὶ πλειόνως διαχέειν ἐχούσας τὸ ἀποδίδοσθαι, οὕτω δὴ καὶ Ῥωμαῖοι παραστατοῦντας ἔχουσιν ἅπαντας. οὐ πολλοῦ δὲ διαγενομένου καιροῦ ἠνάγκασεν αὐτὸν ἡ τῶν ἐπιτηδείων ὑποσπάνισις μερίσαι τὸ οἰκεῖον στράτευμα. οὐκοῦν αὐτὸς μὲν ἄπεισιν εἰς Ὀρεστιάδα, κατὰ δὲ τὴν Φιλιππούπολιν εἴασε τὸν ἑαυτοῦ υἱὸν καὶ τοὺς ἐπισκόπους μεθ' ἱκανοῦ στρατεύματος, εἰπὼν ὡς „ἀναπαύσασθαι χρεὼν ὑμᾶς ἐνταυθοῖ, ἄχρι δὴ τὰς παρειμένας κνήμας καὶ τὰ παραλελυ- V. 216 μένα γόνατα ἐκ τοῦ παρίστασθαι τῷ βασιλεῖ Γραικῶν ἀναρ- P. 263 ρωσθείητε."

1. ἠξιώθησαν] ἐξαιρέτως μετέδωκεν ἀγαθοῦ ἐπισκόπους ὄντας A. 5. αὐτοῖς] σφίσι A. μηδὲ] μέχρι καὶ μαγείρου καὶ στράτωρος B. 6. παρεστάναι ἀφεὶς A. 7. συνθακεύειν ὑπηρέτας ὄντας A. 9. σκοποῦ] σκέμματος A. 12. ὡς συφορβοὶ τὰς ὗς A. χοιροβοσκοὶ τοὺς χοίρους B. 13. εἰς ἕνα] εἰς τὰ χοιρομάνδρια, μὴ διαχωρίζοντες τὸ παχὺ καὶ λιπῶδες ἀπὸ τοῦ πτωχοῦ B. 14. καὶ πλ. — ἀποδ. om A. 15. ἔχοντες A. 18. τὴν τοῦ φ. A. 20. ὡς om A.

quamvis episcopos et cognatos suos, indignationem et iracundiam dissimulare non potuit. ut autem legati nostri ad eum venerunt, et ipsos sibi assidere iussit, nec ministros coquos et equisones eorum astare passus est. qui cum decere negarent ut ministri regi maximo assiderent, satis esse quod suis dominis honos is haberetur, non destitit, sed invitos etiam illis assidere coegit. quo facto Romanos subsannabat; et innuebat eos neque virtutis neque generis habere rationem, sed ut subulci porcos omnes, sive pingues et pretii maioris sive macilentos, in eandem haram compellerent, ita Romanis etiam sine discrimine quosvis astare oportere. non multo post, commeatus penuria coactus, exercitu divi Orestiadem abiit, filio suo cum episcopis et iustis copiis Philippopoli relictis, quibus dixit „vo-

εἰσεφερόμεθα. καὶ τὰ τοιαῦτα εἰσεληλυθότα τοῦ βασιλέως ἐνώπιον ἐνδοῦναι μόγις τοῦ ἄγαν ἔπεισαν. καὶ ἡμεῖς δ' αὐτοὶ μετὰ βραχὺ ἀφικόμενοι κατὰ μέρος πάντα διηγησάμεθα, προσθέμενοι ὥς φασιν οἱ Ἀλαμανοὶ μηδὲν ἕτερον εἶναι τὸ πεῖσαν τὸν βασιλέα Ῥωμαίων τὰ τῶν ἑσπερίων Χριστιανῶν ὅρκια παραβλέψασθαι ἢ τὸ μετὰ τοῦ τῶν Σαρακηνῶν ἄρχον-
B τος σπείσασθαι, καὶ κατὰ τὸ παρ' αὐτοῖς περὶ φιλίας κρατοῦν ἔθιμον ἀμφοτέρους σχάσαι φλέβα τὴν ἐπιστήθιον καὶ τὸ ἐκεῖθεν ἐκρυὲν αἷμα ἑκάτερον εἰς πόσιν ἀντιπροτείνασθαι. καὶ μεταβαλεῖν οὕτως ἰσχύσαμεν τῆς ἐνστάσεως. ἀμέλει τὴν ἐναντίαν τραπόμενος τῆς προτέρας ὁ βασιλεὺς προθέσεως, ἐγλίχετο τῆς ἐς ἕω τῶν Ἀλαμανῶν περαιώσεως. ὁρῶν δὲ τὸν ῥῆγα διὰ τὴν ἐς χειμῶνα τῆς ὥρας μετατροπὴν (ἦν γὰρ Νοέμβριος μὴν ὅτε ταῦτα ἐγίνετο) εἰς ἔαρ τὴν μετάβασιν ἀνατιθέμενον, πάλιν τοῖς προτέροις ἐνέμενε, καὶ ἐπιστέλλων προηγόρευε τῷ ῥηγί, βασιλεῦσιν οὐχ ἁρμοδίως, ὡς θανεῖται πρὸ τῶν πασχαλίων ἡμερῶν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ πλείω κατηγορίαν τοῦ δρῶντος καὶ λέγοντος ἤπερ ἔπαινον
C ἔχοντα, πείθεται μόλις διαφεῖναι τοὺς πρέσβεις ἐς τὸν ῥῆγα ἐπανελθεῖν. αὐτὸς δὲ τούτους ἰδών, καὶ μαθὼν ὡς οὔτε καθέδρας ὁ βασιλεὺς αὐτοῖς μετέδωκεν ἀλλὰ δουλοπρεπῶς ἐπ' ἴσης Ῥωμαίοις αὐτῷ παρειστήκεισαν ὀπτανόμενοι, οὔτε

2. δ' ἐς αὐτὸν κατὰ A. 13. τροπὴν A. 17. πρὸ τῶν ἡμερῶν τῆς πασχαλίας B. 21. αὐτοὺς ὁ βασ. ἠξιώκει A.

pulabamur, ut commeatus suppeteret. quae cum ad imperatorem perlata essent, vix eum moverunt ut nonnihil de pertinacia remitteret. et nos etiam paulo post ad eum profecti singula diligentius exponebamus, illo adiecto, Alemannos dicere nihil esse aliud quod imperatorem ad negligenda Occidentalium Christianorum pacta impulerit, nisi quod cum principe Sarracenorum pacem fecisset, et ut moris illorum esset in amicitia constituenda, uterque vena in pectore incisa suum alteri sanguinem propinasset. sic tandem eius contumaciam ita fregimus, ut consilio in contrarium mutato Alemannorum transitum in Orientem expeteret. quem cum regem ob instantem hiemem (nam Novembri mense haec acta sunt) in vernum tempus differre cerneret, rursus ad ingenium rediit; et per litteras, contra decorum imperatorium, regi vaticinatus est eum ante Pascha moriturum. et ut alia quae antecessere praeteream (plura enim habent quae in dictis et factis auctoris culpentur quam quae laudentur), vix adducitur ut legatos ad illum reverti patiatur. e quibus ubi is cognovit imperatorem eos neque consessu neque ullo alio singulari honore dignatum esse, sed aeque ut Romanos serviliter astare sivisse,

τινὸς ἑτέρου ἠξιώθησαν ἀγαθοῦ ἐξαιρέτου ἐπίσκοποί τε ὄντες καὶ αὐτῷ προσγενεῖς, ἠγανάκτει καὶ δῆλος ἦν ἐπὶ τῷ γεγονότι τῷδε διαπριόμενος. ὡς δὲ καὶ πρέσβεις ἡμέτεροι παρ' ἐκεῖνον ἀφίκοντο, ἑαυτῷ συμπαρέδρους πεποίηκεν αὐτούς τε καὶ τοὺς ὑπηρετουμένους αὐτοῖς, μηδὲ τοὺς ὀψοποιοὺς καὶ ἱπποκόμους καὶ μάττοντας παρίστασθαι ἀφεικώς. μὴ εἶναι δὲ λεγόντων ἐκείνων εἰκὸς βασιλεῖ μεγίστῳ συνθωκεύειν ὑπηρέτας (ἀρκετὸν γὰρ ὅτι καὶ οἱ κύριοι αὐτῶν συνεδρεύουσιν) οὐ καθυφῆκέ τι μικρὸν τοῦ σκοποῦ, ἀλλὰ καὶ μὴ ἑκόντας D
τοῖς δεσπόταις αὐτοὺς συγκατέκλινεν, ἐν οἷς ἔπραττε Ῥωμαίους καταμωκώμενος, καὶ δεικνὺς μὴ ἀρετῆς καὶ γένους εἶναι παρ' αὐτοῖς διαστολήν, ἀλλ' ὡς εἰς συφεὸν οἱ συφορβοὶ τὰς σῦς ἀπαξαπάσας εἰσελῶσιν εἰς ἕνα σταθμόν, μὴ διιστῶντες τὰς πίονας καὶ πλειόνως διαχέειν ἐχούσας τὸ ἀποδίδοσθαι, οὕτω δὴ καὶ Ῥωμαῖοι παραστατοῦντας ἔχουσιν ἅπαντας. οὐ πολλοῦ δὲ διαγενομένου καιροῦ ἠνάγκασεν αὐτὸν ἡ τῶν ἐπιτηδείων ὑποσπάνισις μερίσαι τὸ οἰκεῖον στράτευμα. οὐκοῦν αὐτὸς μὲν ἄπεισιν εἰς Ὀρεστιάδα, κατὰ δὲ τὴν Φιλιππούπολιν εἴασε τὸν ἑαυτοῦ υἱὸν καὶ τοὺς ἐπισκόπους μεθ' ἱκανοῦ στρατεύματος, εἰπὼν ὡς „ἀναπαύσασθαι χρεὼν ὑμᾶς ἐνταυθοῖ, ἄχρι δὴ τὰς παρειμένας κνήμας καὶ τὰ παραλελυ- V. 216
μένα γόνατα ἐκ τοῦ παρίστασθαι τῷ βασιλεῖ Γραικῶν ἀναρ- P. 263
ρωσθείητε."

1. ἠξιώθησαν] ἐξαιρέτως μετέδωκεν ἀγαθοῦ ἐπισκόπους ὄντας A. 5. αὐτοῖς] σφίσι A. μηδὲ] μέχρι καὶ μαγείρου καὶ στράτωρος B. 6. παρεστάναι ἀφεὶς A. 7. συνθακεύειν ὑπηρέτας ὄντας A. 9. σκοποῦ] σκέμματος A. 12. ὡς συφορβοὶ τὰς ὗς A. χοιροβοσκοὶ τοὺς χοίρους B. 13. εἰς ἕνα] εἰς τὰ χοιρομάνδρια, μη διαχωρίζοντες τὸ παχὺ καὶ λιπῶδες ἀπὸ τοῦ πτωχοῦ B. 14. καὶ πλ. — ἀποδ. om A. 15. ἔχοντες A. 18. τὴν τοῦ φ. A. 20. ὡς om A.

quamvis episcopos et cognatos suos, indignationem et iracundiam dissimulare non potuit. ut autem legati nostri ad eum venerunt, et ipsos sibi assidere iussit, nec ministros coquos et equisones eorum astare passus est. qui cum decere negarent ut ministri regi maximo assiderent, satis esse quod suis dominis honos is haberetur, non destitit, sed invitos etiam illis assidere coegit. quo facto Romanos subsannabat; et innuebat eos neque virtutis neque generis habere rationem, sed ut subulci porcos omnes, sive pingues et pretii maioris sive macilentos, in eandem haram compellerent, ita Romanis etiam sine discrimine quosvis astare oportere. non multo post, commeatus penuria coactus, exercitu divi Orestiadem abiit, filio suo cum episcopis et iustis copiis Philippopoli relictis, quibus dixit „vo-

6. Ἐπεὶ δ' ὁ χειμὼν παρῆλθε καὶ τὰ ἄνθη ἔδωκεν ἀγρός, ἀνανεοῦνται τὰς σπονδὰς ὅ τε βασιλεὺς καὶ ὁ ῥήξ, καὶ τοῦ μὲν ἐπομνύουσιν οἱ στρατάρχαι καὶ ἀριστεῖς παρελεύσεσθαι τὸν ῥῆγα διὰ τῆς Ῥωμαΐδος γῆς καὶ μὴ δι' ἀγρῶν ἢ ἀμπελώνων διελεύσεσθαι, ὁδῷ βασιλικῇ πορεύσεσθαι, οὐδ' ἐκκλινεῖν δεξιὰ ἢ ἀριστερά, ἕως τὰ τῶν Ῥωμαίων παρελεύσεται ὅρια. βασιλεὺς δὲ δέδωκεν ὁμήρους τινὰς τῶν ἐξ αἵματος. ὡρκίσθησαν δὲ καὶ ἔνδον τοῦ μεγίστου νεὼ ἀπὸ τῶν ἀγοραίων καὶ τῆς βασιλείου αὐλῆς πεντακόσιοι, ὡς ὁ βασιλεὺς ἀπαραβάτους τὰς σπονδὰς φυλάξει καὶ χορηγήσει τοῖς Ἀλαμανοῖς ἡγεμόνας ὁδοῦ καὶ ἐφόδια. τότε καὶ τῶν κριτῶν
B τοῦ Βήλου τινὲς εἰς τὸν ῥῆγα κατὰ λόγον ὁμήρων στελλόμενοι οὐχ ὑπήκουσαν, καὶ μὴ ἔχοντες ἀντιπίπτειν βασιλεῖ καὶ καθῆσθαι οἴκαδε ἀδεῶς γωνίαις ἀλλοτρίων δόμων ἑαυτοὺς ἐνετύμβευσαν μέχρι τῆς εἰς ἕω τοῦ ῥηγὸς διαβάσεως. βασιλεὺς δὲ χολωθεὶς ἀντὶ μὲν τῶν κριτῶν τοῦ Βήλου ταβελλίωνας ἀπέστειλεν ὅψιδας, τὰς δὲ τῶν μὴ πεισθέντων κτήσεις τε καὶ οἰκήσεις οἷς ἠρεῖτο παρέσχετο, καὶ δικαστὰς ἑτέρους προεβάλετο. ὕστερον δὲ μὴ ἀπείθειαν ἀλλὰ δειλίαν εἶναι οὐκ ἄλογον ἐπιγνοὺς τὸ πραχθέν, τῶν τε κτήσεων κυρίους αὖθις πεποίηκε καὶ τῶν προτέρων ἠξιώκει τιμῶν. τῶν δὲ συμφωνιῶν πεπερω-

1. δέδωκεν A. 5 ἐλεύσεσθαι A 8. δὲ καὶ] δὲ κἀν τῷ μεγίστῳ ναῷ A, ἐντὸς τῆς ἁγίας σοφίας ἀπό τε τῶν συγκλήτου πολιτῶν καὶ τοῦ βασιλέως ἄνδρες ὡσεὶ πεντακόσιοι B. 9. βασιλικῆς A. 11. ἡγεμόνας] προβόδους B. 14. ἐνετύμβευσαν] ἐνέδυσαν A. 16. ταβελλίωνας ἀπέσταλκεν A. 21. τιμῶν] δικαστικῶν ἐπιτιμιῶν A.

his hic requiescendum est, dum fessas tibias et labascentia genua ex illa apud Graecum regem statione refocillaveritis."

6. Elapsa hieme, cum prata iam reflorescerent, foedus inter regem et imperatorem renovatur; ac illius principes et magnates iurant regem per Romanas provincias via regia transiturum, neque laeva neque dextra vel in vineas vel in agros evagantem, donec Romanorum fines excesserit. imperator vero quosdam cognatos suos dedit obsides, et in maximo templo circumforanei et palatini proceres D iureiurando sunt adacti imperatorem pacta inviolata conservaturum et Alemannis viae ductores et viaticum suppeditaturum. tum etiam quidam ex Beli iudicibus ad regem obsidum loco mittendi, quia palam imperatori refragari tutoque sedere domi non poterant, in alienarum aedium angulis, donec rex in Orientem transisset, sese abdiderunt. enimvero imperator iratus iudicum loco tabelliones misit obsides, et contumacium possessiones et aedes iis donavit quibus 'uit, aliosque iudices designavit. post vero cum id non contuma

σμένων βασιλεὺς μὲν τῷ ῥηγὶ ἀργυρέων νομισμάτων στέλλει κεντηνάρια τέσσαρα καὶ περιφανῆ νήματα χρυσοϋφῆ, κἀκεῖνος C ἄλλοις ἀντιδεξιοῦται τοῦτον δωρήμασι. κἀντεῦθεν πλοίων πλείστων ἱππαγωγῶν ἀπενεχθέντων εἰς Καλλιούπολιν, ἐπεὶ καὶ τοῦτο ἀλλήλοις συνέδοξεν ὥστε διαπλωΐσεσι διτταῖς μετὰ τοῦ παντὸς αὐτὸν διαπεραιωθῆναι στρατεύματος (ἐδεδίει γὰρ μὴ παρασπονδήσαντες Ῥωμαῖοι τοῖς κατὰ βραχεῖς διαπερῶσιν εἰς τὴν ἀντιπέραν ἐπίθωνται), οὕτως οὐχ ἡμέραις πλείοσι τῶν τεττάρων κατὰ τὴν ἕω γίνεται. ὡς δ' ἤγγισε κατὰ τὴν Φιλαδέλφειαν, οὔτε παρῆλθε διὰ τῆς πόλεως, καὶ οἱ ταύτης φιλενδεικτοῦντες οἰκήτορες ἐν τῷ ἀπαίρειν τὸν ῥῆγα ἐκεῖθεν πρὸς πόλεμον μεθηρμόσθησαν καὶ μέρει τῆς στρατιᾶς κατὰ λῃστείαν ἐπέθεντο. ὡς δ' οὐ προυχώρει τούτοις τὰ καταθύμια, ἀλλ' ἀνδριᾶσι χαλκήρεσιν ἢ γίγασιν ἀκαταβλήτοις προσεγγίζοντες ἔγνωσαν, μετέθεντο τὴν ὁρμὴν εἰς D τροπήν. οἱ δὲ διὰ τοῦ Ἀετοῦ λεγομένου χώρου πορευθέντες παρενέβαλον εἰς τὴν ἐν Φρυγίᾳ Λαοδίκειαν. καὶ φιλοφρονηθέντες ἐκεῖσε ἀσπασιώτατα καὶ ξεναγωγηθέντες ὡς οὐχ ἑτέρωθι, καὶ πάντες μὲν τοῖς Λαοδικεῦσι πάντα τὰ θεόθεν ἐπηύξαντο ἀγαθά, ὁ δὲ ῥὴξ καὶ μάλιστα· ἀνατείνας γὰρ τὰς χεῖρας εἰς οὐρανὸν καὶ ἄρας ἄνω τὰ ὄμματα, τὸ δὲ γόνυ

1. τῷ ῥηγὶ τέσσαρα κεντηνάρια δουκάτα ἀπέστειλε καὶ βλατία διβολέα καὶ τριβολέα B. νομισμάτων] κομμάτων A. 4. ὑπαγωγῶν A. 5. ὥστε] ὡς ἵνα εἰς δεύτερον πέραμα τὸ ὅλον φοσσάτον διαπεραιωθῇ B. 9. κατὰ] εἰς A. 14. γίγασιν ἔγνωσαν προσεγγίζοντες A.

cia sed metu non supervacaneo factum esse comperisset, eis et possessiones et dignitatem pristinam restituit. pactione peracta, regi quatuor centenarios argenteae monetae et eximias telas auro intertextas mittit, aliaque ab illo munera recipit. inde plurimis navibus equestribus Calliopolim perductis (nam id quoque convenerat, ut duabus navigationibus totus exercitus traiiceret, rege metuente ne Romani pactis violatis paucos una vehentes in traiectu occiderent) rex diebus non amplius quatuor in Orientem pervenit. ut ad Philadelphiam accessit, neque per urbem transiit, et eius incolae simulata amicitia, in regis discessu, in inimicitias erumpente partem exercitus per latrocinium sunt adorti. ut vero res parum successit, sed ferreas statuas aut gigantes sibi oppugnare videbantur, terga dederunt. Alemanni vero per Aquilae praedium (loci nomen id est) profecti ad Phrygiae Laodiceam castra posuerunt; ibique humanissime suscepti et hospitalius quam alibi usquam tractati, cum omnes Laodicensibus faustissima quaeque a deo sunt precati, tum rex manibus et oculis in caelum sublatis, genibus vero humi flexis, oravit

υἱεῖς αὐτοῦ διεπράξαντο, ὅτι καὶ τῆς ἀρχῆς ὑφ' ἑνὸς αὐτῶν τοῦ Κοπατίνου ἀπεσκοράκισται· οἱ δὲ Τοῦρκοι τὰ τῶν κήπων ὑπεισδύντες ταφρεύματά τε καὶ τοὺς διώρυχας, οἳ συνεχεῖς εἰσὶ περὶ τὸ Ἰκόνιον, καὶ τοὺς ἐκ λίθων περιβόλους ὡς ἕρκος περιβαλλόμενοι, ἐκ τούτων ᾤοντο ἐπισχήσειν τὴν ἐς Ἰκόνιον πάροδον τῶν Ἀλαμανῶν, οἷα τοξόται πάντες κράτιστοι περὶ ἕνα χῶρον συνηλισμένοι, καὶ πρὸς ἱππεῖς ὁπλοφόρους ἐν δυσχωρίαις κοῦφοι διαμιλλώμενοι. ἀλλ' εἰς κενὸν καὶ τότε σφίσι τὰ διαβούλια ἔσχασαν. οἱ γὰρ Ἀλαμανοὶ
P. 265 θεασάμενοι τοὺς Τούρκους τὰς τῶν κήπων ὑπεισιόντας αἱμασιὰς καὶ ὡς ἀφ' ὁρμητηρίου τινὸς ἐκεῖθεν τοξεύοντας τάδε ἐποίουν· ἐπὶ τὸ οἰκεῖον ὄχημα τῶν ἱππέων ἕκαστος πεζὸν ἐπανέλαβεν ὁπλίτην, καὶ τούτους ὡς διὰ βαθμίδων τῶν ἵππων ἄνωθεν τῶν περιβόλων θέμενοι, ἔνθα οἱ Τοῦρκοι συνεσπειράθησαν, διαφῆκαν ἐνθένδε σφίσι συμπλέκεσθαι, ἐπεβοήθουν δὲ καὶ αὐτοὶ ἐν οἷς ἐξῆν διιππάζεσθαι. καὶ κακοὶ καὶ τότε κακῶς οἱ πλείους τῶν Τούρκων ἀπώλοντο, οἱ δὲ καὶ διασπαρέντες ἐσώθησαν. ἵνα δὲ καὶ ταῖς ἀπὸ τῶν ἐχθρῶν μαρτυρίαις τὸ πλῆθος πιστωσώμεθα τῶν πεσόντων, ἔφασκέ τις Ἰσμαηλίτης, ὃς τῷ πολέμῳ τούτῳ παρατετυχήκει, τῷ βα-
B σιλεῖ προσρυεὶς Ῥωμαίων, τὴν οἰκείαν ἐπομνύμενος θρησκείαν, διακοσίους ἀργυρέους καταθέσθαι στατῆρας εἰς ἐκκόμισιν τῶν νεκρῶν οἳ κατὰ τὸν κῆπον αὐτοῦ ἀπεσφάγησαν. οἱ δ' Ἀλα-

2. τὰ] εἰς τὰ τῶν κήπων εἰσελθόντες περιφράγματα καὶ εἰς τὰ χαντάκια B. 3. ταφρ. καὶ τὰς δ. αἳ A. 4. ἐκ] διὰ A. 21. προσρεὶς καὶ τὴν οἰκείαν εἰς ὅρκον ἐπιφέρων θρ. A. 22. διακόσια ἄσπρα B. καταθ.] καταβαλέσθαι A. 23. κῆπον] τόπον A.

filii sui fecissent, utpote ab uno ex iis Copatino regno pulsus: Turci vero hortorum aggeribus et fossis, quae crebra sunt iuxta Iconium, occupatis, et maceriis pro muro obiectis, Alemannorum accessum facile se prohibituros putabant, cum omnes sagittarii optimi essent, atque uno in loco expediti cum gravis armaturae equitibus pugnaturi. sed id quoque consilium eorum fuit irritum. nam Alemanni cum Turcos septa hortorum subire atque inde velut ex propugnaculis sagittare viderent, sic fecerunt. quisque peditem armatum in equi sui tergum recepit, ut ex eo tanquam scala, maceria conscensa, comminus cum hoste congrederetur; et ipsi, qua equis patebat iter, opitulabantur. ita tum quoque Turci plerique mali male perierunt; nonnulli etiam dispersi fuga salutem quaesivere. ut autem occisorum multitudinem hostium testimonio confirmemus, Ismaelita quidam qui ei pugnae interfuerat, ad imperatorem profugus, per suam religionem iuravit se ducentos argenti stateres pollinctoribus numerasse, ut cadavera ex

μανοὶ τὸ Ἰκόνιον κατασχόντες τούτου μὲν ἐντὸς οὐκ εἰσέδυσαν, κατὰ δὲ τὴν ἔξω λεγομένην πόλιν ηὐλίσθησαν, ἄνωθεν τῶν δωμάτων τὰς αὐλαίας πηξάμενοι. καὶ μηδὲν ἕτερον ὅτι μὴ τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια καὶ μόνα ἐκεῖθεν ἐνσκευασάμενοι τοῦ πρόσω εἴχοντο. κατὰ δὲ τὴν ἀνάβασιν ταύτην λέγεταί τινα Ἀλαμανὸν πελώριον τὸ σῶμα, τὴν ἰσχὺν ἀπαράμιλλον, τῶν ὁμοφύλων ἐπὶ πλεῖστον ἀπολειφθῆναι, καὶ τὸν μὲν ἀνειμένοις στέλλεσθαι ποσίν, ἐκ τοῦ χαλινοῦ τὸν ἵππον ἐφέλκοντα τῇ ὁδοιπορίᾳ κεκμηκότα, τῶν δ' ἐξ Ἰσμαὴλ ἀθροισθῆναι περὶ αὐτὸν ὑπὲρ τοὺς πεντήκοντα, κρατίστους ἅμα V. 218 πάντας καὶ τὰς οἰκείας τάξεις ἀπολιπόντας. οἱ μὲν οὖν ὡς ἐς κύκλωσιν αὐτὸν διειληφότες περιετόξευον, ὁ δὲ τῷ εὐρεῖ C σάκει σκεπόμενος καὶ τῇ τῶν ὅπλων θαρρῶν στεγανότητι γεγηθὼς ἐπορεύετο, ἀτίνακτος κατὰ πρῶνα ἢ πρόβολον τοῖς τοῦ βαρβαρικοῦ ἐκείνου ξυλλόγου βλήμασι καὶ ὢν καὶ δεικνύμενος. ὡς δ' ἐκείνων τις γενναῖόν τι δράσειν ὑπὲρ τοὺς ἄλλους ἐπαγγειλάμενος ἀπέθετο μὲν τὸ τόξον ὡς οὐκ ὀνήσιμον, τὴν δ' ἐπιμήκη μάχαιραν ἐξερύσας καὶ τὸν ἵππον ἐς δρόμον ἀνεὶς ἀγχωμάλως καὶ ἐνώπιος ἐνωπίῳ τῷ Ἀλαμανῷ ἐπεβάλετο μάχεσθαι, αὐτὸς μὲν ὅσα καὶ ἀκρώρειαν ὄρους ἢ ἀνδριάντα χάλκεον ἔπαιε τὸν Ἀλαμανόν, ὁ δὲ τὸ ξίφος σπασάμενος παχείᾳ καὶ ἡρωϊκῇ χειρὶ βριθὺ καὶ μέγα καὶ στιβαρὸν πλήττει τὸν ἵππον ἐπιδοχμίως περὶ τοὺς πόδας, καὶ ἄμφω D τοὺς ἐμπροσθίους ὡς οὐδ' ἀγροῦ τις χόρτον ἀπέτεμεν. ὡς δ'

2. ηὐλίσαντο A. 6. τινα τῶν ἀλαμανῶν A. ἀπαράμιλλον] ἀπροσπέλαστον A. 13. τῇ τοῦ θώρακος θ. A. 19. τῷ Ἀλαμανῷ om A. 23. περὶ] κατὰ A. 24. ἐμπροσθίους] πρόσθεν A. ἀπέτεμεν] ἀποδιεῖλεν A.

suo duntaxat horto efferrent. Alemanni vero Iconio potiti urbem ingredi noluerunt, sed in tectis suburbii fixis tabernaculis, nec ulla re alia nisi ad vitam tuendam necessariis inde ablata, coeptum iter sunt prosecuti. in hac expeditione ferunt Alemannum quendam corpore ingenti et robore invicto praeditum, populares suos longo intervallo secutum, pedetentim incessisse, equum trahentem ex itinere fatigatum. Ismaelitas vero circiter quinquaginta, viros fortissimos, suis stationibus evagatos illum undique sagittis petiisse. caeterum eum lato scuto tectum et firmitate thoracis fretum alacrem perrexisse, nihilo magis barbarorum telis commotum quam si rupes esset. unum autem caeteris iactantiorem, abiecto inutili arcu, longum ensem strinxisse, et concitato equo comminus illum ut promontorium aut aeream columnam gladio percussisse. Alemannum vero gladio, qui heroicam dextram deceret, ambos anteriores pedes hostilis equi tan-

ἐπὶ γόνυ κλιθεὶς ὁ ἵππος ἔτι τὸν ἀναβάτην ἐρειδόμενον εἶχε τῇ ἐφεστρίδι, ἐκτείνας ὁ Ἀλαμανὸς τὸν βραχίονα κατὰ μέσης τῆς τοῦ Πέρσου κόρσης τὴν σπάθην κατήνεγκεν. ἡ δὲ τῇ οἰκείᾳ τε ἀντιτυπίᾳ καὶ τῇ τοῦ φέροντος γενναιότητι οὕτως ἀξιοθαύμαστον εἰργάσατο τὴν τομὴν ὡς τὸν μὲν πληγέντα διαιρεθῆναι διχῇ, κακῶς δὲ καὶ τὸν ἵππον ἐς τὸν νῶτον παθεῖν διαπτάντος τὴν ἀστράβην τοῦ πλήγματος, τοὺς δὲ λοιποὺς Πέρσας πρὸς τὴν τοιαύτην θέαν καταπλαγέντας μηκέτι ἀποθαρρῆσαι τὸν μεθ' ἑνὸς πόλεμον. καὶ οἱ μὲν οὕτως, ὁ δὲ ὡς λέων πεποιθὼς τῇ οἰκείᾳ ῥώμῃ οὐκ ἐπέτεινε τὴν πορείαν, ἀλλὰ βάδην ὁδεύων περὶ ὀψίαν τοῖς ὁμογενέσι προσέμιξεν ἔνθα ηὐλίσαντο. φασὶ δ' ὡς οἱ ἐξ Ἰσμαὴλ ὑφορώμενοι μή πως εἰς τὴν αὐτῶν χώραν εἴη χρονίσας ὁ ῥὴξ ὡς ἤδη καταπαλαίσας σφᾶς, φιλοφροσύνην ἐς αὐτὸν προσποιητὴν ἐνδει-
P. 266 ξάμενοι ἔδοξάν πως αὐτὸν ἐκμειλίξασθαι οὕτω· τὸν δὲ ὅμηρα τῶν μέγα παρ' αὐτοῖς δυναμένων τοὺς παῖδας δεξάμενον καὶ ἡγεμόνας ὁδοῦ προσλαβόμενον πλείστους τὰ αὐτῶν ὅρια οὕτως ὑπερβαλεῖν, ὀλίγῳ δὲ ὕστερον τῆς Ἀρμενίας ἁψάμενον οὐ βραχεῖς ἐκ τούτων δοῦναι τῷ ξίφει, τοὺς δὲ λοιποὺς ἀποπέμψαι ὀπίσω.

8. Φιλοτίμως δὲ ὑπὸ τῶν Ἀρμενίων προσδεχθείς, καὶ συχνὰς ἐκεῖσε ἡμέρας προσδιατρίψας, ἐς τὴν Ἀντιόχου πόλιν ὥρμητο μεταχωρεῖν, μέγα ἀεὶ περιβαλλόμενος ὄνομα ἐπί τε συνέσει καὶ τῷ ἀκαταμαχήτῳ στρατεύματι καὶ μηδὲν ἔχων

3. καταφέρει τὴν σπάθην A. 14. ἐς] πρὸς A. ἐνδείξασθαι καὶ δόξαι A. 17. αὐτῶν] ἐκείνων A. 19. οὐ βραχεῖς] ὀλίγους B.

quam foenum amputasse. qui cum in genua prolapsus nihilominus sessorem in sella sustineret, ensem in medium Persae caput ita impegisse, ut equite in duas partes dissecto etiam iumenti tergum, sella quoque dissecta, vulneraret. eoque spectaculo Persas attonitos non amplius esse ausos unum eum lacessere, qui nihil accelerato itinere pedetentim vesperi in castra suorum pervenerit. aiunt Ismaelitas, veritos ne rex in ditione ipsorum, ut quos devicisset, moraretur, simulatione benignitatis eum sibi placare voluisse. eum vero procerum filiis obsidibus acceptis et plurimis itinerum ducibus assumptis, ita fines eorum superasse. paulo vero post, cum Armeniae fines attigisset, non paucos ex iis obtruncasse, caeteros domum remisisse.

8. Ab Armeniis honorifice susceptus, et dies complures ibi commoratus, Antiochiam ire in animo habuit, augescente in dies eius ria et nomine illustrato tum ob prudentiam tum propter invictum

ὑπαντιάζον πολέμιον. γενόμενος δὲ κατά τινα ποταμὸν (ὢ τῶν ὑπὲρ δόξαν καὶ ἀέλπτων περιπτώσεων, ἢ μᾶλλον εἰπεῖν τῶν ἀνεφίκτων ἀνθρώποις κριμάτων θεοῦ) ταῖς τῶν ὑδάτων B δίναις ἐναποπνίγεται, ἀνὴρ διὰ μνήμης ἄγεσθαι ἀγαθῆς τε καὶ διηνεκοῦς καὶ μακαρίζεσθαι δικαίως τοῦ τέλους παρὰ τοῖς ἐχέφροσιν ἄξιος, οὐ μόνον ὅτι περ εὖ εἶχε γένους καὶ πολλῶν ἐκ τριγονίας κατῆρχεν ἐθνῶν, ἀλλ' ὅτι καὶ τῷ τοῦ Χριστοῦ πόθῳ πυρούμενος ὑπὲρ τοὺς ὁπουδήποτε τῶν τότε Χριστιανῶν αὐτοκράτορας, πατρίδα καὶ χλιδὴν βασίλειον καὶ ἀνάπαυλαν καὶ τὸν οἴκοι μετὰ τῶν φιλτάτων ὄλβον καὶ τὸν ὑπερήφανον βίοτον παρωσάμενος, εἵλετο συγκακουχεῖσθαι τοῖς κατὰ Παλαιστίνην Χριστιανοῖς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ καὶ τῆς τοῦ ζωοπαρόχου τάφου τιμῆς, τὴν ἀλλοτρίαν τῆς οἰκείας προκρίνας, μηδ' ὑποχαλασθεὶς τῆς ὁρμῆς τοῖς παρασάγγαις τῆς δολιχῆς καὶ πάσης ἀργαλέας ὁδοῦ καὶ τοῖς C ἐκ τῶν ἐθνῶν κινδύνοις δι' ὧν παρέρχεσθαι ἤμελλεν. οὐδὲ τὸ στενὸν ὕδωρ καὶ ὁ μετρητὸς ἄρτος, καὶ οὗτος ὠνητός, ἐνιαχοῦ δὲ καὶ ἐπίβουλος, ἐξέκρουσεν αὐτὸν τῆς προθέσεως. οὐδὲ τέκνων περιχύσεις καὶ περιβολαὶ μετὰ δακρύων καὶ ὕστατοι ἀσπασμοὶ τὴν αὐτοῦ ψυχὴν συγκεχύκασιν ἢ ἐξεθήλυναν· ἀλλὰ κατὰ τὸν ἀπόστολον Παῦλον μὴ ἔχων τὴν αὐτοῦ ψυχὴν τιμίαν παρ' ἑαυτῷ, ἐπορεύετο μὴ μόνον δηούμενος ἀλλὰ καὶ ἀποθανούμενος ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ. οὕτως

2. εἰπεῖν om A. 6. εἶχε τοῦ γένους A. 15. δολ.] πολλῆς A. 21. αὐτοῦ] οἰκείαν A.

exercitum, nullo hoste occurrente. cum autem ad fluvium quendam pervenisset (o insperatos et inopinatos casus, vel potius inexplorata hominibus dei iudicia) vorticibus aquarum suffocatur, vir honesta et perpetua memoria dignus, et iudicio prudentum vel in tali obitu felix, non eo tantum quod nobili ortus genere avitum imperium in multas gentes obtinuit, sed ob illud potius, quod ultra omnes omnium gentium Christianarum principes Christi desiderio flagrans, patria, deliciis regiis, tranquillitate, beata domi superbaque cum carissimis vita despectis, cum Christianis Palaestinae incolis aerumnas tolerare maluit, et propter Christi nomen et vitalis sepulcri venerationem exteras terras patriae praetulit, ab eo instituto non tot parasangis, non tam longinquo et ubique difficili itinere, non periculis, quae a gentibus per quarum provincias transeundum erat imminebant, deterritus. non aquae penuria, non praefinitus isque empticius panis, et alicubi insidiosus, eum ab instituto dimovit. non liberorum amplexus cum lacrimis et extremae salutationes animum eius commoverunt aut effeminarunt: sed potius instar Pauli apostoli vitam parvi

ἀποστολικὸς ἦν τοῦ ἀνδρὸς ὁ ζῆλος καὶ θεοφιλὴς ὁ σκοπὸς
V 219 καὶ τῶν ὑπερτελῶν τὸ κατόρθωμα, οἱ πρὸς τὴν ἀνάντη πολιτείαν τῆς εὐαγγελικῆς ὑψηγορίας ὅλον τὸν νοῦν ἀνατείναντες καὶ πρὸς ταύτην ἅπαντα τὸν δρόμον συντείναντες τὰ κατὰ
D τὸν βίον ἁπαξαπλῶς ὡς σκύβαλα παρεβλέψαντο. καὶ ὁ μέν, ὡς ἐμὸν τὸ πείθω, μακαριστοῦ τετύχηκε τέλους· ὁ δ' ἐκείνου υἱὸς τὴν πατρῴαν ἀρχηγίαν δεξάμενος τὴν Ἀντιόχειαν εἰσελήλυθεν, ἐκεῖθεν δ' ἀφιγμένος εἰς τὴν προσωτέρω Κοίλην Συρίαν Λαοδίκειαν κατεστήσατο καθ' ἑαυτὴν στασιάζουσαν καὶ πρὸς τοὺς ἐξ Ἰσμαὴλ μεταρρέπουσαν, καὶ Βηρυτὸν πόνῳ οὐδενὶ παρεστήσατο, καὶ ἄλλας πλείστας Συριακὰς ὑπηγάγετο πόλεις, Λατίνοις μὲν ὑπηκόους πρότερον, τότε δὲ προσκεχωρηκυίας Σαρακηνοῖς. ἀλλὰ καὶ κατὰ τὴν Τύρον ἀφιγμένος, καὶ πολιορκήσας τὸ Ἄκε ὑπὸ τῶν Ἰσμαηλιτῶν κα-
P. 267 τεχόμενον, καὶ μογήσας ἐφ' ἱκανὸν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ καὶ αὐτὸς ἐκεῖσε τὴν ζωὴν καταλέλυκε. τὸ δὲ περιλειφθὲν τοῦ στρατεύματος οὐκέτι διὰ τῆς ἠπείρου θέσθαι τὴν ἐπάνοδον ἐδοκίμασεν, ἀπιστίαν κατεγνωκὸς τῶν ἐθνῶν δι' ὧν παρώδευσε, πλοίων δ' εὐπορῆσαν στρογγύλων, ἅπερ ἦσαν ἐκ τῶν ὁμοφύλων αὐτοῖς γενῶν εἰς Τύρον καταίροντα, τοῖς οἴκαδε ἀνασώζεται.

Τῷ καιρῷ δὲ τούτῳ οὐ μόνον Ἀλαμανοὶ κατὰ τῶν τὴν

8. προσωτέρω] περαιτέρω A 14. τῶν om A

aestimans abiit, non modo ut vinciretur, sed etiam ut pro Christi nomine moreretur. adeo apostolicus fuit illius viri fervor et religiosum institutum, nihil eorum sanctimonia inferius qui extra communem sortem positi tota contentione animorum ad vitae rationem evangelicae celsitudini respondentem feruntur, et totius aetatis cursu eo directo res humanas pro stercoribus despexerunt. ac is quidem, ut mihi persuasum est, feliciter est defunctus. filius autem eius paterno principatu suscepto Antiochiam venit. unde in ulteriorem Coelesyriam profectus Laodiceam seditione laborantem et ad Ismaelitas inclinantem pacavit. Berytum quoque nullo labore subegit; atque aliis plurimis Syriacis urbibus, quae pridem Latinis paruerant, tum vero ad Sarracenos defecerant, potitus, et Tyrum profectus Acen, quam Ismaelitae occuparant, obsedit; et pluribus laboribus pro Christi nomine exhaustis extremum et ipse diem ibi clausit. exercitus vero reliquus non consultum duxit terra domum reverti, perfidiae metu earum gentium per quas transeundum erat; sed rotundis navibus popularium suorum quae Tyrum appulerant conscensis, incolumes ad suos redierunt.

Hoc tempore non Alemanni duntaxat Sarracenis, qui Palaesti-

Παλαιστίνην κατασχόντων καὶ τὴν Ἱερουσαλὴμ ἐκπορθησάντων Σαρακηνῶν ἐστράτευσαν, ἀλλὰ καὶ ὁ ῥὴξ Φραγγίας καὶ ὁ τῶν πελεκυφόρων δὲ κατάρχων Βρεττανῶν, οὓς νῦν φασὶν B *Ἰγγλίνους, ναῦς ὅτι πλείστας ἐκ Σικελίας καὶ τῆς κατὰ τὴν Ἰταλίαν ἠπείρου ἀγείραντες, σίτου τε αὐτὰς ἐμπλησάμενοι καὶ τῶν ἄλλων ἐπιτηδείων εἰς Τύρον ἔπλευσαν· ταύτην γὰρ τὴν πόλιν εἶχον οἱ ἀθροιζόμενοι ναύσταθμον καὶ πρὸς τὸν κατὰ Σαρακηνῶν πόλεμον ὁρμητήριον. πλὴν οὐδ' οὗτοι τῆς ἁγίας πόλεως ἐξελάσαι ἴσχυσαν τοὺς Σαρακηνούς, ἀλλ' ἀτέλεστον ἀφεικότες ὃ προέθεντο ἔργον, τοῦ πρὸς τὰς πατρίδας πάλιν ἥψαντο πλοῦ. ὁ δέ γε τῶν Ἰγγλίνων ῥὴξ ἐν τῇ ἀναγωγῇ κατάρας εἰς Κύπρον αὐτῆς τε ἐκράτησε, καὶ τὸν ταύτης τύραννον, ἢ μᾶλλον εἰπεῖν ἀπάνθρωπον καὶ δυσμείλικτον ὀλοθρευτήν, Ἰσαάκιον τὸν Κομνηνὸν συλλαβὼν τὰ μὲν πρῶ-* C *τα εἶχεν ἐν δεσμοῖς, μικρῷ δὲ ὕστερον ἐκεῖθεν ἐκτοπίσας τὸν ἀλιτήριον ὅσα καὶ ἀνδραπόδῳ τινὶ τῶν ὁμογλώττων ἀπεχαρίσατο. καὶ αὐτὸς μὲν εἰς Παλαιστίνην κατέπλευσεν, ἐν δὲ τῇ Κύπρῳ καταλείψας στράτευμα ὡς οἰκείας ἤδη τῆς νήσου ἀντεποιεῖτο, καὶ στέλλων εἰς τὴν νῆσον νῆας φορταγωγοὺς τὰ πρὸς τὸ ζῆν ἐκεῖθεν ἐφορολόγει. ἐν δὲ τῷ μεθίστασθαι τῆς Παλαιστίνης ὡς σφετέραν ἐδωρήσατο χώραν τὴν Κύπρον τῷ τῶν Ἱεροσολύμων ἡγήτορι ῥηγί, ἵνα τὰς οἰκείας ποιοῖτο διατριβὰς ἐκεῖσε, ἐκεχειρίαν ἄγων ἐκ τῶν πολέμων οἷα τὴν οἰκείαν ἀρχὴν ἀποβαλόμενος, καὶ κατάρχῃ τῆς Κυπρίων ὡς*

7. *ναύσταθμον*] *λιμένα καὶ ἀκούμβισμα* B, *ναύστ. καὶ κατὰ τῶν σαρακηνῶν ὁρμητήριον* A. 13. *εἰπεῖν* et *ὀλοθρευτὴν* om A. 19. *ἀντεποιεῖτο*] *ἀντείχετο* A. 20. *ἐφορολόγει*] *εἰσεκομίζετο* A. 24. *κατάρχειν* A.

nam occuparant et Hierosolyma vastarant, arma intulerunt: sed et Franciae rex, et bipenniferorum Britannorum princeps, quos nunc Inglinos vocant, plurimis navibus ex Sicilia et ora Italiae maritima coactis et commeatu oneratis Tyrum petierunt. nam ea urbs receptus eorum et quasi belli arx erat contra Sarracenos; quos cum nec ipsi urbe sancta pellere possent, infectis rebus domum redierunt. caeterum Inglinorum rex in illo itinere Cyprum occupavit, eiusque dominum ac potius inhumanum et implacabilem tyrannum Isaacium Comnenum principio in vincula coniecit, et paulo post hominem nefarium inde abductum cuidam suo populari pro mancipio donavit. sed cum in Palaestinam navigaret, relicto in Cypro exercitu insulam sibi vendicavit, et navibus onerariis eo missis necessaria inde afferenda curabat. ex Palaestina discedens insulam pro sua Hierosolymitano regi donavit, ut ibi amisso regno habitaret, belli molestiis

ὑπ' ἐκείνου τῷ κυριακῷ προσκληρωθείσης μνήματι καὶ συναφθείσης τοῖς τῆς Παλαιστίνης ὁρίσμασι. καὶ ταῦτα μὲν οὑτωσί.

ΤΟΜΟΣ Γ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ

ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΑΓΓΕΛΟΥ.

P. 268 1. *Ὁ δὲ βασιλεὺς Ἰσαάκιος ἐπὶ τρισὶ παισὶ τὴν τοῦ γέ-*
V. 220 *νους σαλεύων διαδοχήν, οἳ ἐκ τῶν προτέρων αὐτῷ γάμων γεγένηντο, δυσὶ μὲν θηλείαις ἑνὶ δὲ ἄρρενι, τῶν μὲν τὴν πρεσβυτέραν κατὰ τὸν χρόνον εἰς μοναχὴν ἀπέταξε, καὶ τὸν τοῦ Ἰωαννίτζη λεγόμενον οἶκον εἰς γυναικεῖον μετασκευάσας πολλοῖς ἀναλώμασι φροντιστήριον (τοῦτο δὲ καὶ ἡ βασιλὶς Ξένη ποιεῖν ἐπεβάλετο μετὰ μόρον τοῦ ταύτης ξυνεύνου καὶ βασιλέως τοῦ Κομνηνοῦ κυρίου Μανουὴλ) αὐτὴν ἐκεῖσε ὡς ἀμνάδα τῷ θεῷ ἱερώσας ἐμάνδρευσε, θατέραν δὲ εἰς γυναῖκα πέπομφε γαμετὴν τῷ υἱῷ τοῦ ῥηγὸς Σικελίας τοῦ Ταγκρέ,*
B *ὃς ἦρξε μετὰ Γιλίελμον τὸν κατὰ Ῥωμαίων ἄραντα πόλεμον*

8. *γεγενημένοις* A, omisso antea οἳ. 9. *εἰς μοναχικὴν ἀποκείρει* B. 10. *Ἰωαννιτζείου* B. 13. *τοῦ Κομνηνοῦ κυρίου* om A. 14. *ἐνεμάνδρευσε καὶ ἀπέταξε* A. 16. *τὸν ῥωμαίοις ἐπιστρατεύσαντα* A.

liberatus, et Cypro imperaret ut a se Dominico sepulcro attributae et cum Palaestinae finibus coniunctae. sed haec hactenus.

IMPERII

ISAACII ANGELI

LIBER TERTIUS.

1. Isaacius autem imperator tribus ex priore coniuge liberis susceptis, filiabus duabus et uno filio, filiam natu maiorem monacham fecit, Iohannizae aedibus magnis impensis in muliebre monasterium mutatis (quod et Xene imperatrix post Manuelis mariti obitum instituerat), et deo veluti agnam consecravit; alteram Siciliae regis Tangris filio uxorem misit, qui post Gilielmum regnavit, quem Romanos terra marique oppugnasse supra narravimus. filium vero

ἐξ ἠπείρου τε καὶ θαλάσσης, ὡς φθάσαντες ἱστορήκειμεν. τὸν δὲ υἱὸν Ἀλέξιον τῆς βασιλείας κληρονόμον ἀνέτρεφε, κἂν οὐδέπω τὸ τοῦ βίου φανταζόμενος πέρας ἢ ἔκπτωσιν τῆς δυναστείας ὑφορώμενος δύο καὶ τριάκοντα χρόνους ἄρξειν ἀδιστάκτως ἐχρησμολόγει, ὥσπερ τὸ θεῖον προειδὼς βούλημα ἢ τοὺς ὅρους πήσσων ἑαυτῷ τῆς ζωῆς, οὓς ὁ θεὸς ἔθετο παρὰ τῇ ἰδίᾳ ἐξουσίᾳ.

Οὐ μόνον δὲ ὁ Βρανᾶς Ἀλέξιος καὶ ὁ Λυδὸς Θεόδωρος κατὰ τοῦ βασιλέως τούτου πτερνισμὸν ἐμεγάλυναν, ἀλλά γε καὶ ἕτεροι βασιλείας ἑαυτοῖς περιτεθείκασιν ὄνομα. αὐτίκα P. 269 γάρ τις Ἀλέξιος, ἑαυτὸν λέγων εἶναι υἱὸν τοῦ τῶν Ῥωμαίων αὐταρχήσαντος Κομνηνοῦ Μανουήλ, τοσοῦτον ἀρίστως τὸν ἀγωνιστὴν ὑπέδυ τοῦ δράματος καὶ τὸ τοῦ βασιλέως Ἀλεξίου προσωπεῖον εὐφυῶς ὑπεκρίνατο, ὡς καὶ κόμην διευθετίζειν κατὰ τὴν ἐκείνου ὑποξανθίζουσαν καὶ τὸν τῆς γλώττης τοῦ παιδὸς καὶ βασιλέως σχηματίζεσθαι ψελλισμόν. ἐκ τῆς V. 221 Κωνσταντίνου μὲν οὖν ὥρμητο ὁ μεῖραξ, εἰς δὲ τὰς κατὰ Μαίανδρον πόλεις πρώτως ὀφθεὶς κατέλυσεν εἰς πολίχνιον λεγόμενον Ἄρμαλα, κἀκεῖσε Λατίνῳ τινὶ ἐπιξενωθεὶς καὶ ὅστις εἴη ἀπηγγελκὼς (ἔλεγε δὲ ὡς μικρὸν εἰρήκειμεν ἄνωθεν, καὶ ἐκδοθῆναι μὲν εἰς τὸ κατὰ βυθοῦ θαλάσσης ἀκοντισθῆναι παρ' Ἀνδρονίκου, οἰκτειρηθῆναι δὲ παρὰ τῶν τὸ ἔργον τοῦτο B ἐπιταχθέντων ὡς πατρῴων αὐτῷ ὁμοτῶν) σύναμά οἱ πρὸς τὸ

3. τὸ om A. 6. ὁ om A. 9. ἀλλὰ καὶ ἕτεροι ὡσαύτως β. A. 12. Κομνηνοῦ om A. 15. καὶ τὴν γλῶτταν τζευδίζειν B. 20. ὡς φθάσαντες εἴρ. A. 21. ἀκοντισθῆναι om A. 22. τὸ ἔργον om A. 23. ὡς πατρῴων] καθότι ὅρκον εἶχον εἰς τὸν πατέρα μου B.

Alexium in spem imperii educabat, nihil de morte aut iactura potestatis adhuc cogitans. pollicebatur enim sibi absque omni dubitatione XXXII annos imperii, non secus ac si divinam voluntatem nosset aut sibi vitae limites ipse praescribere posset, quod deus potentiae suae reservavit.

Caeterum non Branas Alexius et Lydus Theodorus duntaxat insignia imperii contra hunc usurparunt, sed et alii eius fastigii titulos sibi vendicarunt, ut et Alexius quidam, qui cum se Manuelis imperatoris filium profiteretur, eam fabulam tanta solertia egit, eam personam tanta dexteritate repraesentavit, ut et comam eius flavescentem et linguae balbutiem exprimeret. natus erat is adolescens Cpoli, et primum in Maeandriis urbibus conspectus in oppidulum Armala se contulit, et Latino cuidam, in cuius aedibus diversabatur, quis esset aperuit. aiebat (id quod supra exposuimus) se quidem iussu Andronici in fundum maris abiiciendum fuisse, sed ab

Ἰκόνιον ἄπεισι, καὶ τῷ γέροντι ὀφθεὶς σουλτὰν (οὔπω γὰρ αὐτὸν καθῄρηκε τῆς ἀρχῆς ὁ ἐκείνου παῖς ὁ Κοπατῖνος) ὡς υἱὸς ἀληθινὸς τοῦ αὐτοκράτορος Μανουήλ, ἀλλ' οὐχ ὡς ἐπείσακτος καὶ πλάνος ἐκείνῳ προσδιελέγετο. πολλάκις δὲ καὶ ἐπέπληττε, καὶ τῶν ἐκ τοῦ δῆθεν πατρὸς ἐκείνῳ τοῦ Μανουὴλ ἐπ' αὐτῷ γεγενημένων ἀναμιμνήσκων εὐποιιῶν ἀχάριστον περὶ τὸν εὐεργέτην ἐκάλει, καὶ τὸ ἀφιλάνθρωπον ἐπωνείδιζεν, εἰ οὕτως ἀτυχοῦντι φίλου παιδὶ οὐκ ἐπικάμπτεται. ὁ δὲ τοῦτο μὲν ὑπὸ τῆς ἀναιδείας τοῦτο δ' ἐκ τῶν τοῦ χαρακτῆρος ἰνδαλ-
C μάτων τιμᾶν αὐτὸν ἐναγόμενος δώροις τε οὐκ ὀλίγοις ἥδυνε καὶ ἀγαθαῖς ἐλπίσιν ὑπέσαινεν. ἦν δ' ὅτε καὶ πρεσβευτὴν Ῥωμαίων ἑστῶτα καὶ ἀκροώμενον ὅπως ἑαυτὸν τῇ ἐξόχῳ εὐγενείᾳ ἐσέμνυνεν, ἤρετο ὁ σουλτὰν εἰ ἐπίσταται τοῦτον τοῦ αὐτοκράτορος υἱὸν Μανουήλ. τοῦ δὲ μηδέν τι φήσαντος ἕτερον ἀλλ' ὅτι δὴ ἐκεῖνος ἀπώλετο ἀληθῶς φανεὶς ὑδατόκλυστος καὶ οὗτος μάτην περὶ ἑαυτοῦ τὰ μὴ πιστεύεσθαι πεφυκότα ξυντίθησι τῇ τοῦ κειμένου κλήσει ἐποχούμενος, βράττων ἀτεχνῶς θυμῷ καὶ ζέων ἀκριβῶς τῷ χόλῳ ὁ μεῖραξ Ἀλέξιος μικροῦ ἂν τοῦ πώγωνος ἐπελάβετο τοῦ πρεσβεύοντος, εἰ μὴ αὐτὸς ὁ πρέσβις διακινηθεὶς ἐς ὀργὴν ἀπεκρούσατο γενναίως μάλα τὸν Ψευδαλέξιον, καὶ ὁ σουλτὰν δέ οἱ ὡς
D ἄτοπα δρῶντι ἐμβριμησάμενος ἀτρεμεῖν ἐκέλευσε. τῇ συχνῇ

2. ὁ alterum om A. 3. ἀληθὴς A. 5. τὰς — γεγενημένας καταλέγων εὐποιίας A. 8. ἀτυχοῦντα τὸ φίλου τέκνον A. 9. ὑπὸ] ἀπὸ A, ἐκ] ἀπὸ A. 10. τιμᾶν] ἐλεεῖν A. 15. ἀληθῶς ἀπόλωλε A. 17. τῇ — κλήσει] τῷ — ὀνόματι A.

sericordia ministrorum, qui patri suo iureiurando obstricti fuissent, esse conservatum. et cum hospite suo Iconium profectus senem Sultanum (nondum enim a filio Copatino regno pulsus erat) adit, et ut verus filius Manuelis, non ut impostor et erro, alloquitur. saepe etiam paterna beneficia exprobrando, immemorem et ingratum vocat; et inhumanitatem ei obiicit, quod calamitate amici filii nihil moveretur. is vero cum impudentia hominis victus, tum ex lineamentis corporis, apparente patris in eo similitudine, misericordia motus eum et muneribus non paucis exhilarat et spe bona fovet. cum autem aliquando, legato Romano astante et audiente, excellentem suam nobilitatem iactaret, Sultanus legatum interrogat an istum Manuelis imperatoris filium esse norit. qui ubi nihil aliud respondit nisi illum omnino submersum esse et istum res incredibiles sub falso defuncti nomine comminisci, adolescens Alexius ira percitus et bile exaestuans parum abfuit quin in legati barbam involaret, nisi is et ipse commotus impetum Pseudalexii fortiter propulsasset et Sultanus intemperias eius verbis castigasset. qui etsi nihilominus cre-

δ' ὅμως τοῦ νεανίου ἐκλιπαρήσει ὁ Περσάρχης καθυπενδοὺς οὐδὲ τότε μὲν τὰ τῶν αἰτήσεων ὑπέρογκα ἐτερμάτωσε, συνεχώρησε δ' οὖν ὅμως διὰ σουλτανικοῦ γράμματος, ὃ φασιν οἱ Τοῦρκοι μουσούριον, ὅσους ἂν σχοίη τῶν ὑπὸ τὴν ἐκείνου ἀρχὴν ὑποποιήσασθαι ἀδεῶς. ὁ δὲ ἀναχωρήσας ἐκεῖθεν, καὶ τὸ γράμμα τοῖς Τούρκοις καθυποδείξας, τὸν ἀμηρᾶν ἐφέλκεται Ἀρσανῆν καὶ ἑτέρους οὐκ ὀλίγους οἳ ληστεύειν τὰ Ῥωμαίων εἰώθασιν, ὡς ἐν βραχεῖ καιρῷ χιλιάδας ὀκτὼ στρατεύματος ἐφεπομένας ἐκείνῳ λαχεῖν· ὅθεν τὰς κατὰ Μαίανδρον ἐπιὼν πόλεις ἃς μὲν ὁμολογίᾳ χειρούμενος ἦν, τινὰς δὲ καὶ ἀνθισταμένας παντοίως διέφθειρε. μάλιστα δὲ τὰς ἅλωνας ἐλυμαίνετο, ὅθεν καὶ καυσαλώνης ἐπεκέκλητο. κατὰ δὲ P. 270 τούτου τοῦ μείρακος πολλοὶ μὲν καὶ ἄλλοι πολεμησείοντες ἀπεστάλησαν, οὐδεὶς δ' ἐργάσασθαί τι ἔσχε νεανικόν, ἀλλ' ὑπενόστουν ἄπρακτοι, δεδιότες μὴ καταπροδοθεῖεν ὑπὸ τῶν συνόντων ἐκείνοις Ῥωμαίων, οἷα μάλιστα ῥεπόντων εἰς τὸν καθιστάμενον ἄρτι βασιλέως παῖδα καὶ βασιλέα ἢ ἄρχειν αἱρουμένων τὸν βασιλεύοντα Ἰσαάκιον. οὐ γὰρ τοῖς πολλοῖς ἤδη καὶ ἀγροτέροις ἠσπάζετο καὶ ἦν διὰ στόματος καὶ ὀνόματος καὶ θεώμενος ἐδόκει ἐπέραστος, ἀλλὰ καὶ τοῖς κατὰ τὴν βασίλειον αὐλὴν διατρίβουσι, καὶ εἰδόσι μάλα ἐπισταμένως ὡς Ἀλέξιος ὁ τοῦ βασιλέως παῖς Μανουὴλ πάλαι τὸν βίον ἀπολέλοιπε τὸν ἀνθρώπινον, εἰς θαῦμα ἐτίθετο, γινώσκουσι μὲν τὰ ὄντα, τὰ

3. ὅμως om A. 13. πολεμήσοντες B. 14. εἰργάσατό τι ν. A. 16. ἐκείνῳ A. μᾶλλον? 18. τοῖς πολλοῖς] τοῖς χυδαίοις μόνον καὶ A.

bris adolescentis flagitationibus victus, tamen ne tum quidem immensae eius petitioni reliquit locum, sed per Sultanicas duntaxat litteras, quas Turci Musurium vocant, ei concessit ut impune quotcunque Turcas posset sibi conciliaret. ille igitur inde digressus ac litteris illis apud Turcos ostensis, ameram Arsanem aliosque non paucos Romanas provincias praedari solitos contraxit, ut brevi tempore cum VIII millibus incederet, ac Maeandrias urbes partim deditione occuparet, partim resistentes quovis modo vexaret. areas tamen, in quibus frumentum trituratur in primis perdidit; unde Usthalonae cognomentum tulit. ad hunc adolescentem opprimendum multi alii quoque duces missi sunt. verum omnes nullo memorabili facinore edito infecta re discedere cogebantur metu suorum militum, qui ad illum imperatoris filium et novitium imperatorem propensiores erant quam ad obtemperandum Isaacio. neque enim vulgo et imperitae plebi duntaxat carus atque in ore erat et amabilis videbatur: sed aulicis etiam, qui compertum habebant Alexium Manuelis filium iam

B δέ γε καθ' ἡδονήν σφισιν εἰκάζουσι. σὺν ἑτέροις δὲ καὶ ὁ τοῦ
βασιλέως ἀδελφὸς Ἀλέξιος ἔξεισιν, ὃς καὶ ὕστερον ἐβασίλευσεν.
πλὴν καὶ οὗτος κατ' οὐδεμίαν μάχην συνεπλάκη τῷ Ἀλεξίῳ,
ἀλλ' ὡς πλεῖστον ἀποσκηνούμενος ἐπισυνίστη μόνον τὸ λεῖ-
πον τῆς παροικίας, ὁπόσον γε ἐκείνῳ μὴ προσεχώρησε, καὶ
συνεῖχε τὸ διαρρέον καὶ μεταβαῖνον εἰς τὸν ἀναβεβιωκότα
V. 222 τοῦτον Ἀλέξιον. ἀλλ' ἔτι τῶν πραγμάτων οὕτως ὄντων ἠω-
ρημένων, καὶ τοῦ μὲν ἀεὶ ἐμπλατυνομένου τε καὶ κρατυνο-
μένου, τοῦ δὲ σεβαστοκράτορος ἔτι περὶ συλλογὴν ἐκπονου-
μένου στρατεύματος, λύει θεὸς τὴν ἐμφύλιον μάχην καινο-
πρεπῶς, καὶ ὡς αὐτὸς ἐπίσταται μόνος, ἐν ἀκαρεῖ· τὸν γὰρ
Ἀλέξιον αὖθις ὑποστρέψαντα πρὸς τὰ Ἅρμαλα εἰς τὴν Πίσ-
σαν τὸ φρούριον, καὶ μετὰ πότον ὑπνώττοντα, ἀποσφάττει
C τις τῶν ἱερέων, τὴν αὐτοῦ παρακειμένην σπασάμενος μάχαι-
ραν. οὗ τὴν κεφαλὴν ἀποκομισθεῖσάν οἱ ἀθρήσας ὁ σεβα-
στοκράτωρ Ἀλέξιος, καὶ τῆς ξανθῆς ἀναλαμβάνων κόμης
πολλάκις διὰ τοῦ ἱππείου μύωπος, „οὐ πάντῃ" ἔφασκεν
„ἀμαθῶς αἱ πόλεις τῷ ἀνθρώπῳ τούτῳ ἐπηκολούθησαν." ἀλ-
λὰ τότε μὲν οὗτος τοιαύτην ἔτισε δίκην καὶ ὧν μὲν ἐπλημμέ-
λησεν ἑτέρως, Πέρσας μὲν ὁπλίσας κατὰ Ῥωμαίων, τούτων
δ' αὖ ὁπόσον αὐτῷ προσερρύη καθ' ὁμοφύλου ἀγριάνας αἵ-
ματος, καὶ ὧν δὲ παρῴνησεν ὁ ἐπάρατος εἰς τὸν ἐν ταῖς ἐμαῖς
Χώναις περιώνυμον νεὼν τοῦ ἀρχιστρατήγου τῶν θείων καὶ

7. οὕτως om A. 9. ἐμπονουμένου A. 10. λύει ὁ πανάγαθος καὶ τῆς εἰρήνης θεὸς B. 12. πρὸς τὰ Ἅρμαλα om A, εἰς τὴν π. τὸ φρούριον om B. 13. μετὰ πότον πολὺν κοιμηθέντα B 14. αὐτῷ A. 17. πολλάκις om A. 23. ναὸν A.

olim rebus humanis exemptum esse, admirationi erat, non quod verum ignorarent, sed quia libenter id amplectebantur quod cupiebant. tandem etiam imperatoris frater Alexius, qui post imperio potitus est, nullam cum eo pugnam commisit, sed castris longissime positis nihil egit aliud nisi ut loca nondum ab eo occupata in officio contineret, ne ad redivivum illum Alexium deficerent. caeterum dubiis adhuc rebus, dum et seditiosi opes augentur et sebastocrator colligendo exercitu occupatur, deus civile bellum nova ratione, quam ipse solus novit, uno momento dissolvit. nam cum Pseudalexius Harmala reversus post largiorem compotationem dormiret, a sacerdote quodam suo gladio iugulatur. cuius caput sebastocrator contemplatus, et flavis crinibus equestri flagello discussis, „non omnino sine causa" inquit „urbes hunc hominem secutae sunt." ac is quidem suorum scelerum has poenas dedit, tum quod Persas contra Romanos incitavit, et ex his ipsis quotquot ad eum confluxerant, populari-

αὔλων τάξεων Μιχαήλ· ἐμίανε γὰρ τὸ τοῦ θεοῦ πανάγιον σκήνωμα εἰσελθὼν μετὰ Περσῶν, καὶ ἠνείχετο καθορῶν ὁ D ἐπάρατος τὰ διὰ ψηφίδων ποικιλοχρόων τοῦ Χριστοῦ καὶ τῶν ἁγίων ἔκτυπα ἀχρειούμενα, καὶ τὸν ἱερὸν καὶ θεῖον ἀνάσταθμον πελέκει καὶ λαξευτηρίῳ καταρασσόμενον, καὶ τὴν παναγῆ καὶ θυωρὰν βεβηλουμένην καὶ βαλλομένην ἔραζε τράπεζαν.

2. Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις καὶ ἕτερός τις τὴν αὐτὴν κλῆσιν καὶ βασιλέα τὸν αὐτὸν γεννήτορα ψευδωνύμως ὑπεισιὼν κατὰ Παφλαγονίαν ἐπεφάνη. καὶ τινὲς μὲν καὶ τούτῳ ἐπαρχίαι προσκεχωρήκασι, σταλεὶς δὲ κατ' αὐτοῦ ὁ σεβαστὸς Θεόδωρος ὁ Χοῦμνος, χαρτουλάριος ὢν τῶν ἱπποστάθμων, ἥττησέ τε πόλεμον συγκροτήσας καὶ ἀπέκτεινεν συνειληφώς. ἐπὶ τούτοις καὶ ὁ Χοτζᾶς Βασίλειος κατὰ τὴν ἄγχουρον Νικομηδεῦσι Ταρσίαν ἀνταρσίαν ἐμελέτησε, καὶ προέβη μὲν καὶ ἡ τούτου ἐφ' ἱκανὸν τυραννίς, συλληφθεὶς P. 271 δὲ καὶ αὐτὸς ἀμαυροῦται τοὺς ὀφθαλμοὺς καὶ φρουρᾷ παραδίδοται. οὐχ οὗτοι δὲ μόνον ἀλλὰ καὶ ἄλλοι ἄλλοτε πάλιν καὶ πάλιν, καὶ οὐκ ἔστιν ὁσάκις εἰπεῖν, ἐπανέστησαν ἢ καὶ ὡς σπαρτοὶ ἀνεδόθησαν γίγαντες, κἂν ὡς πομφολυγώδη φυσήματα διάκενα, ὡς ἦν ἰδεῖν, ἀπέπιπτόν γε καὶ διελύοντο. ὅ τε γὰρ Κομνηνὸς Ἰσαάκιος, ὁ τοῦ βασιλέως Ἀνδρονίκου

3. ἐπάρατος] ἀλάστωρ A', ἀλιτήριος B. τὰς μετὰ ψηφίδων χρυσῶν ἱστορουμένας ἁγίας εἰκόνας B. 4. καὶ θεῖον om A. 5. πελέκει] μετὰ ἀξινηρίων B. καταρασσόμενα A. 20. ἀνεδόθησαν] ἐφύτρωσαν B. κἂν ὡς] καὶ ὡς φουσκαλίδες ἐν τῷ ὕδατι διελύθησαν B. 22. ὁ τοῦ προβεβασιλευκότος ἀνδρονίκου ἀνεψιός B.

um suorum sanguine contaminavit, tum quod homo detestandus Chonis meis celebre templum Michaelis archiducis caelestium copiarum violavit, Persis in sanctissimum dei tabernaculum introductis, nec spectare dubitavit pernicies humani generis Christi et sanctorum imagines calculis varii coloris expressas aboleri, et sacros postes securibus et celtibus revelli, et sacrosanctam mensam profanari et humi abiici.

2. Non multis diebus post alius, qui eandem appellationem eundemque patrem sibi vendicabat, in Paphlagonia extitit et quasdam provincias attraxit. sed eum sebastus Theodorus Chomnus, chartularius equitum, et praelio vicit et captum occidit. posthaec Basilius Chozas, Tarsiae, quae Nicomediae vicina est, tyrannidem occupavit; quam cum aliquandiu tenuisset, captus effossis oculis in custodiam datur. denique subinde alii atque alii, pene innumeri, non secus ac terrigenae illi fratres, regno affectato perinde atque bullae inanes evanuerunt. nam et Comnenus Isaacius, imperatoris Androni-

Εὐέμπτωτος δ' ὢν ὁ βασιλεὺς εἰς θυμόν, καὶ μεγάλα περὶ ἑαυτοῦ φανταζόμενος, οὐκ ἐκ μικρᾶς μόνον παραρριφείσης λαβῆς ἀλλὰ κἀκ μόνης ὑπονοίας ἐνίοτε καὶ τῆς παρά τινων εἰσηγήσεως κακῶς ἐτίθει πολλούς. τόν τε γὰρ Κομνηνὸν Ἀνδρόνικον (ἦν δὲ οὗτος Ἀλεξίου παῖς, ὃν Βρυέννιος ὁ Καῖσαρ καὶ Ἄννα ἐγείνατο ἡ θυγάτηρ Ἀλεξίου τοῦ πρώτως ἐκ Κομνηνῶν βασιλεύσαντος) ἐν τῷ χειρίζειν τὴν Θεσ-
B σαλονικέων ἀρχὴν εἰσηγησαμένου τινὸς τῆς βασιλείας ἐρᾶν καὶ κοινολογεῖσθαι περὶ τοῦ ἔργου τῷ πρώην σεβαστοκράτορι Ἀλεξίῳ, τῷ νόθῳ υἱῷ τοῦ αὐτοκράτορος Μανουήλ, κατὰ τὴν Δράμαν τότε διάγοντι, εὐθὺς τοῦ συλληφθῆναι κρίνει ἄξιον. οἱ μὲν οὖν εἰς τοῦτο ἀποσταλέντες ὡς ἐνέτυχον Ἀνδρονίκῳ πρὸς βασιλέα ἐπανιόντι, οὐδὲν ὧν ὡρίσθησαν διαπεπράχασι, δέον κρίναντες μὴ προσοβῆσαι τὸ θήραμα ἑκόντως, ὡς δίδωσιν ὁρᾶν, καθάπερ εἰς γαλεάγραν τὴν Κωνσταντινούπολιν εἰσιὸν καὶ ἐγγίζον τῷ προθεμένῳ συλλαβεῖν. ὀφθεὶς δὲ βασιλεῖ Ἰσαακίῳ Ἀνδρόνικος εἰς ἀπιστίαν εὐθὺς ὀνειδίζεται. κἀκείνου τοὺς ἐλέγχους ἀπαιτήσαντος, σχῆμα
C μόνον διαιτήσεως τὰ τῆς δίκης ἐδέξατο. τὸ δ' ἐκ τούτου ἐξ ἐρήμου συσχεθεὶς Ἀνδρόνικος εἰς φυλακὴν ἀπάγεται, μετὰ μικρὸν δὲ καὶ τὰς κόρας ἐκκόπτεται. καὶ τὸν συνίστορα δὲ τούτῳ τῆς βασιλείας λεγόμενον εἶναι Ἀλέξιον τὸν τῆς Κο-

1. εὐέμπ. ὢν οὗτος ὁ Α. 4. εἰσηγήσεως] καταδόσεως Β. 10. νόθῳ om A. 15. καθάπερ] ὡς τοὺς ἰχθύας ἐν τῇ τῶν ἰχθύων γαστρὶ Β. 17. δὲ] τῷ Α. 22. τὸν τῆς] ὃν ἐκ νοθείας ὁ βασιλεὺς ἐγείνατο μανουήλ, ἀπέκειρεν Α.

Sed quorsum attinet commemorare singula quae providentia in vitae humanae ratione pro utilitate cuiusque variis modis mutat et transfert? caeterum hic imperator pronus ad iram et magna de semet ipso persuasione imbutus, non tantum levi de causa sed etiam ex inani suspicione, et aliquando aliorum impulsu, multos male tractavit. nam et Andronicum Comnenum (erat is Alexii filius, nati ex Bryennio Caesare et Anna filia Alexii, primi ex Comnenia familia imperatoris), qui Thessalonicae praeerat, delatum a quodam quasi regnum affectaret, eaque de re cum Alexio notho filio Manuelis, pridem sebastocratore, tum Dramae degente, sermones conferre, statim comprehendendum censet. ii vero quibus id mandatum erat, cum in Andronicum ad imperatorem ascendentem incidissent, mandata neglexerunt, feram ultro Cpolim tanquam decipulam ingredientem, et ad eum venientem a quo captaretur, non terrendam esse rati. qui cum in Isaacii conspectum venisset, statim perfidiae insimulatur. eo crimen id negante, species quaedam iudicii instituitur: sed deinde

μνηνῆς Θεοδώρας υἱὸν ἀποκείρει εἰς μονάζοντα, ἡμῶν ὑπουργησάντων τῷ ἔργῳ, καθ' ἓν τῶν ἐν τῷ Παπυκίῳ σεμνείων. περὶ οὗ καὶ οὐκ ὀλίγα εἰπεῖν δυνάμενος βραχέα μεμνήσομαι. οὐ γὰρ ἦν μόνον εὐμήκης καὶ ἀνδρεῖος καὶ πλήρης συνέσεως, πατρίζων τὴν ὄψιν ἀκριβῶς τάς τε χεῖρας ἀκμαῖος καὶ τοὺς ὤμους κατ' ἐκεῖνον ὕπερθεν ἔχων εὐρέας, ἀλλὰ καὶ ὡς ἐπίπαν μείλιχος καὶ εὐέντευκτος. πρὸς ἃ καὶ ὁ πολύτλας Ἀνδρόνικος ἀπιδὼν τὴν οἰκείαν θυγατέρα Εἰρήνην ἐμνήστευσε τῷ ἀνδρί, κρίνας καὶ παρανόμους γάμους τετελεκέναι, εἰ D μέλλει μόνον Ἀλέξιος τοῖς γνησιωτέροις ἐκείνῳ συγγενέσιν ἐγγράφεσθαι, ὅθεν πλειόνως τούτῳ ἤπερ τοῖς υἱεῦσι προσέκειτο πρότερον, καὶ τῆς βασιλείας ἐμελέτα καταλείψειν διά- V. 224 δοχον. μεταβουλευσάμενος δ' ὕστερον τὸν υἱὸν Ἰωάννην ἀνθείλετο, εἰρηκώς, πρὸς οὓς ἀνέπτυσσε τὰ τῶν βουλευμάτων ἀπόρρητα, μὴ ἐξ Α εἰς Α τὴν βασιλείαν μεταπεσεῖν, ἀλλὰ τῷ Ι μᾶλλον προσρέπειν καὶ εἰς τοῦτο μᾶλλον θεόθεν συνάγεσθαι. ἅμα δὲ τῇ μεταθέσει τῆς γνώμης ἣν εἶχεν ἐπ' Ἀλεξίῳ Ἀνδρόνικος, καὶ τῆς συντονίας τοῦ φίλτρου ὑπέληξεν· οὐ γὰρ ὡς συμφυὴς ἔτι περιεσπούδαστο καὶ ὁμόψυχος ὁ Ἀλέξιος, ἀλλ' ὡς φιλτάτῃ θυγατρὶ συνοικῶν δι' αἰδοῦς μόνον P. 273 ἤγετο καὶ τιμῆς. μετὰ δέ τινα καιρὸν καὶ τοῦτον ἀπεξένωσε τοῦ φωτός, τὴν δ' αἰτίαν προειπόντες ἔχομεν. ἀνακληθεὶς δὲ

3. οὗ εἰπεῖν οὐκ ὀλ. δυν. βραχέων A. 4. εὐμήκης] ἡλικίαν ἔχων ἀρίστην πλάτους καὶ μάκρους B. 5. πατρώζων A. 7. εὐέντευκτος] γλυκοσύντυχος B. 10. ἐκείνου A. 11. υἱέσι A.

indicta causa comprehensus Andronicus in carcerem coniicitur et paulo post excaecatur. Alexius vero, qui ei conscius esse dicebatur, in monasterium quoddam Papycii montis, nobis id ministerium exequentibus, abstruditur. de quo cum multa dicere possem, pauca duntaxat attingam. non erat ille procerus duntaxat et fortis et cordatissimus, vultu patrem plane referens, robustis manibus et latis humeris, sed etiam humanissimus et accessu facillimus. quas ob res aerumnosus ille Andronicus filiam ei suam Irenen desponderat, nec ab incestis nuptiis abhorrens, modo Alexium intima familiaritate sibi coniungeret. unde factum est ut pluris eum faceret quam pridem filios suos, et imperii successorem relinquere in animo haberet: sed post mutato consilio filium Iohannem ei praetulit, suisque familiaribus dixit imperium divino consilio non ab A in A sed in I potius transiturum. ea sententia mutata, una etiam ardorem amoris erga Alexium immutavit. neque enim ut prius amabatur, neque ubique imperatoris lateri adhaerebat, sed ut carissimae filiae maritus, tantum honore quodam afficiebatur. verum aliquanto post et hunc lumi-

μετὰ ταῦτα πρὸς τοῦ βασιλέως Ἰσαακίου καὶ ἀπὸ σεβαστοκράτορος εἰς Καίσαρα ὑποδεθείς, ὡς εἶχε, τὰ ἀρχεῖα ἐξέκλινε καὶ τὴν καθ' ἑαυτὸν ἐδίωκε βίωσιν, πλὴν οὐδ' οὕτως τὸν ἄλυπον ἐκίχησε βίον. τότε δ' οὖν τὴν ἐπὶ τὰ χείρω ἔτι μᾶλλον τῶν πραγμάτων ἔχων φορὰν καὶ μετάβασιν, καὶ μέλλων μὴ ἑκὼν ἀποθρίξασθαι, οὐχ ἕνα ᾔτησεν ἄρτον καὶ σπόγγον καὶ κιθάραν κατὰ πάλαι τινὰ τῆς τύχης πειραθέντα σκληρᾶς, καὶ ἄρτον μὲν ὡς ἔχων ἐν ᾧ τὸ τοῦ σώματος ἐκτενεῖ βάρβιτον, χαλαρὸν τῇ τῶν σιτίων κενώσει γενόμενον, ὑποψήλῃ τὰ οἰκεῖα καθ' ἑαυτὸν δυσπραγήματα, συνερίθῳ τῇ κιθά-
B ρᾳ χρώμενος, τῷ δὲ σπόγγῳ ἀποψήσῃ τὰ τῶν δακρύων ἀποκρουνίσματα, ἅπερ ὡς ἐκ πέτρας γλαφυρῆς τῶν ὀμμάτων ἐκείνου ἀπελείβετο· ἀλλὰ πράως ἤνεγκε τὰ συμπίπτοντα, μὴ καταστενάζων τῆς προνοίας μηδ' ἐς τὸ τῆς τύχης ἄστατον καὶ παλίνστροφον ἀπολύων τὰ καθ' ἡμᾶς, τὴν δὲ τῶν προσόντων ἐκείνῳ ἀφαίρεσιν ὡς οὐδὲ κτῆσιν ἄλλος τις ἐλελόγιστο. ἐπεὶ δ' ἐκ τῆς Δράμας ἀπάραντες, ἐν ᾗ τουτονὶ συνειλήφειμεν, εἰς Μοσυνόπολιν ἀφικόμεθα καὶ τῷ Παπυκίῳ προσβαίνειν ἐμέλλομεν, ὡς ἂν τὰ τῶν μοναχῶν προσταχθὲν οὕτω τελέσωμεν ἐπ' αὐτῷ, τότε πεπονθώς τι ἀνθρώπινον ἐπὶ συννοίας ἦν καὶ ὑπεγνοφοῦτο τὸ πρόσωπον, διοίσειν οὐκ

2. ὑποποδισθεὶς A, ὑποβιβασθεὶς B. 3. καθ' ἑαυτὸν ἔζη ἐν τοῖς αὐτοῦ κτήμασι καὶ τοῖς δοθεῖσιν αὐτῷ χωρίοις B. 4. ἔτι δυσπραγῶν μετ. A. 6. μὴ] οὐχ A. 8 ἄρτον μὲν] ἀγνώμονος A. 14. μηδ' ἐς] μηδὲ μεμφόμενος, ἀλλὰ μετ' εὐχαριστίας ἐδόξαζεν, οὕτως λέγων, ὅτι τοιαῦτά εἰσι τὰ ἀνθρώπινα· ποία γὰρ τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; B. 16. ἄλλος τις] ἕτερος ἐλ. A.

ne privavit, cuius poenae causam ante diximus. deinde ab imperatore Isaacio revocatus, et pro sebastocratore Caesar designatus, palatium, quantum potuit, vitavit, privataeque vitae se dedidit. sed ne sic quidem molestias effugit. tum vero rebus in peius ruentibus, cum ei capillus detondendus esset, non panem spongiam et citharam petiit, ut olim quidam fecit fortunae iniquitatem expertus, panem, ut corpus diuturna fame exhaustum recrearet, citharam, ut mala sua deploraret, spongiam, ut lacrimas abstergeret: sed casus illos aequo tulit animo, nihil de providentia questus, neque Fortunae levitatem et varietatem in rebus humanis permiscendis insectatus. bonorum vero suorum ereptionem perinde aestimavit ut alius possessionem. sed cum Drama, ubi eum ceperamus, Mosynopolim profecti Papycium montem ascensuri essemus, ut monasticis cerimoniis eum initiaremus, tum, ut fert natura humana, tristior solito apparuit,

ἔχων τὰ ἔνδον θλίβοντα. ἐγκειμένου δέ μου καὶ τὴν αἰτίαν πυνθανομένου τῆς ἐξάπινα μεταβολῆς, „οὐ τὸ σχῆμα". φησι, C „ὦ φίλτατε ἀνδρῶν, δέδια (τί γὰρ τὸ διαθροοῦν ἔχει τῶν χρωμάτων ἡ ἄμειψις;) ἀλλὰ τὰ ἐπὶ τῷ σχήματι πεφρικὼς εἰμι ἐπαγγέλματα, καὶ τὸ μὴ εὔθετον εἰς τὴν τῶν οὐρανῶν εἶναι ὁπωσοῦν βασιλείαν τὸν βαλόντα χεῖρα ἐπ' ἄροτρον καὶ στραφέντα φρενοβλαβῶς." καὶ ὁ μὲν τοσαῦτα εἰπών, καὶ ἄλλως ὢν ἀποφθεγματικός, οὐχ ἑκοντὶ τὸ κατὰ Χριστὸν ὑπέδυ τριβώνιον, μηδ' ἄκροις ὠσὶ τὰ ἐπᾳδόμενα ἐνηχούμενος, μόνον δ' ἐν χρῷ κουρίας ὁ ἀκερσεκόμης γενόμενος καὶ μετονομασθεὶς Ἀθανάσιος. θαυμάσαι δ' ἄν τις ἐκείνῳ, μηδὲ τυχαίως εἴπῃ συμβῆναι· ἐκ γὰρ ἁπασῶν τῶν κατὰ τὸ Παπύκιον μονῶν ἐκείνην κατοικεῖν ᾑρετίσατο, καθ' ἣν ὁ πρωτοστράτωρ Ἀλέξιος τὴν κοσμικὴν ἀπεκείρατο τρίχα παρὰ τοῦ D βασιλέως συλληφθεὶς Μανουήλ, δι' αἰτίαν μὲν οὐδαμῶς πρόδηλον, ὡς ἐν τοῖς περὶ τούτου εἴπομεν λόγοις, ὅτι δ' ἐβεβρίθει πλούτῳ πολυταλάντῳ καὶ ἦν ἱκανὸς βουλεύσασθαι καὶ καταπράξασθαι περιδέξιος· τὴν γὰρ ἐκ τῶν πατρικῶν ὀμφάκων πρὸς τοὺς υἱεῖς μεταρρέουσαν αἱμωδίαν καὶ ὁ Κομνηνὸς οὗτος Ἀλέξιος, ὡς ἔοικεν, παθεῖν κατακέκριτο. ἀλλ' οὔπω τρεῖς μῆνες παρίππευσαν, καὶ βασιλεὺς αὐτὸν ἐκεῖθεν ἀνακαλεσάμενος ἔδειξεν ἐξ ὧν ἔδρασεν μὴ σὺν λόγῳ τὰς οἰκείας πράξεις ποιεῖσθαι, καὶ διὰ τοῦτο χαίρειν ταῖς ἀγχι-

3. γὰρ καὶ διαθροεῖν ἔχει τῶν ἱματίων A. 4. ἀλλὰ φρίττω καὶ τρέμω τὴν ὑπόσχεσιν ἣν ἐνώπιον τοῦ θεοῦ ὑποσχεθῆναι μέλλω B. 5. τὴν οὐράνιον A. 7. μεταστραφέντα A.

nec id quo animus angebatur dissimulare potuit. me vero urgente et subitae mutationis causam rogitante „non habitum" inquit, „vir amicissime, horreo (quid enim vestis mutatio periculi habeat?) sed promissiones quas secum fert habitus reformido; et illud quod ad caeleste regnum nullo modo aptus est is qui manum aratro semel admotam per insaniam retraxerit." his et aliis id genus dictis ut erat homo facundus et in sacris litteris versatus, Christianum pallium invitus induit; et precibus quae super eo peragebantur, ne summis quidem auribus admissis, tantum radi se et Athanasium appellari passus est. illud sane admirari queas nec fortuito accidisse dicas, quod ex omnibus Papycii montis cellis eam delegit, in qua protostrator Alexius a Manuele nulla probabili de causa, ut alibi diximus, sed tantum ob amplissimas opes et singularem prudentiam et in rebus gerendis dexteritatem captus, mundanum capillum posuerat. nam in fatis erat scilicet ut paterna delicta in filium redun-

στρόφοις μεταβολαῖς κατὰ τὸν τῆς Αὐλίδος πολυρρόθιον P.274 πορθμόν· παραλαμβάνων γὰρ τὸν Ἀλέξιον σύσσιτον νώτοις διηνεκέσι γέραιρε κρεῶν ὡς Ἀγαμέμνων πάλαι τὸν Αἴαντα, καὶ ἐνάγων πρὸς τὴν τῶν προκειμένων ἐδεσμάτων ἀνυ- V.225 πόστολον ἔφαψιν „φάγε καθηγούμενε" πολλάκις ἐπέλεγεν.

Οὐ τὸν Ἀλέξιον δὲ καὶ τὸν Ἀνδρόνικον οὕτω διέθετο Ἰσαάκιος· ἀλλὰ καὶ Κωνσταντῖνον τὸν Ἀσπιέτην, ὑπερφθεγξάμενον τοῦ στρατεύματος οὗ ἡγεμόνευε τὸν κατὰ τῶν Βλάχων μετιὼν πόλεμον, καὶ φήσαντα μόνον ὡς οὐ φέρειν ἔχουσιν οἱ στρατιῶται λιμῷ καὶ Βλάχοις διαμιλλᾶσθαι, δυσὶ δυσαπαντήτοις κακοῖς, ἀλλὰ χρεὼν αὐτοῖς παρασχεθῆναι τὰ ἐπέτεια σιτηρέσια, τὸν θυμὸν ἐκκόψαι μὴ δυνηθεὶς κατέσχε τε αὐτίκα μεταστήσας τῆς ἀρχηγίας καὶ τοῦ φωτὸς τῶν B ὀμμάτων ἐστέρησεν, ἀναταράττειν ὑποπτεύσας τὸν ἄνδρα τὴν στρατιὰν τῷ τῆς ὑπερηγορίας προσχήματι.

Ὁ δὲ τοῦ Κομνηνοῦ Ἀνδρονίκου υἱός, ὃν προσεχῶς εἰρήκειμεν, οὐκ οἶδ' εἴτε τῆς πατρικῆς ἀποστασίας ἀναπληρῶσαι τὸ μέτρον βουλόμενος εἴτε τῷ τεκόντι ἐπαμῦναι προθέμενος, πρόσεισι μετὰ βραχὺ τῆς τοῦ πατρὸς πηρώσεως τῷ μεγίστῳ ναῷ, ποθῶν ἐκεῖθεν εἰς βασιλείαν ἀναρπασθῆναι καὶ ἀναρρηθῆναι πρὸς τοῦ συνειλεγμένου λεώ. ἦν δὲ ἑορτή. ἀλλ' οὔπω τοῖς συνελθοῦσι κατὰ τὸ τέμενος ὁ τρόπος ἔγνωστο καθ' ὃν ἐκεῖσε εἰσέδραμε, καὶ χειροῦται ὡς ἀποστὰς καὶ στέ-

5. ὦ καθ. A. 6. οὕτως ἔθετο A. 14. ταράττειν καὶ δημογερτεύειν B. 18. τῷ om A. 21. ἦν δὲ ἑορτή om A.

darent, eumque, ut proverbio dicitur, stupor dentium ob acerbas uvas a patre gustatas invaderet. caeterum trimestri tempore nondum elapso, imperator eo inde revocato se ea quae faceret nulla cum ratione facere et Euripo inconstantiorem esse declaravit. nam Alexium mensae suae adhibitum subinde carnibus ut Agamemnon Aiacem honoravit, crebro ut sine verecundia cibis appositis frueretur hortans.

Neque vero Alexium et Andronicum duntaxat sic tractavit Isaacius, sed et Constantinum Aspietam ob exercitum, cui bello Blachico praeerat, his verbis defensum, non posse milites cum duobus gravissimis hostibus Blachis et fame dimicare, sed annua stipendia eis persolvenda esse, statim dignitate privari et excaecari iussit, non moderatus iracundiae suae, quod illum per speciem defensionis concitare milites suspicabatur.

At Comneni Andronici filius, de quo modo diximus, haud scio an ut paternae defectionis mensuram impleret an ut patri operam ferret, non multo post eius excaecationem in maximum templum sese recipit, inde a coetu populi (erat autem dies festus) sed ad imperi-

ρεται τοῦ φωτός, μὴ ταῖς τῶν προσιόντων καὶ τῶν κατα σκοπὸν ἀποπεσόντων ποιναῖς παιδευθείς. καὶ δέον ἄλλον τινὰ εἶναι τὸν ὕστατα τιμωρούμενον ὡς βασιλείας ἐρῶντα καὶ C τῷ τεμένει προσιόντα, οὗτος ἐπισφράγισμά τι καὶ τελευτὴ γέγονε τῶν ἀποστατῶν· οὐ γάρ ἔκτοτέ τις τὴν αὐτὴν βαδίσαι προέθετο.

3. Ὡς δὲ τὰ κατὰ δύσιν χειρόνως εἶχον ἀεὶ καὶ οἱ Βλάχοι ληϊζόμενοι μετὰ Κομάνων καὶ δῃοῦντες τὴν ὑπὸ Ῥωμαίους ἐπῄεσαν συνεχῶς, ἔξεισιν αὖθις ὁ βασιλεὺς κατ' αὐτῶν, καὶ δὴ τὴν Ἀγχίαλον παραλλάξας ἐκ περιελεύσεως τὸν Αἷμον εἴσεισι. μηδέν τι δὲ ἔχων παρουσίας βασιλέως ἄξιον διαπράξασθαι δυσὶ μησὶ τὴν ἐκστρατείαν ἀφώρισε· τὰ γὰρ ἐκεῖσε φρούρια καὶ πολίχνια ἰσχυροτέραν πολλῷ τῆς προτέρας εὗρε περιβεβλημένα ἰσχὺν καὶ τείχεσι νεοδμήτοις καὶ ἀρτιστεφέσι προσδιειλημμένα βάρεσι, καὶ τοὺς ἔξωθεν ἀμυνομένους ὡσεὶ καὶ ἐλάφους ἐπὶ τὰ ὑψηλὰ τοὺς πόδας ἱστῶντας D καὶ δίκην αἰγῶν κρημνοβατοῦντας καὶ τὴν μὲν εἰς χεῖρας συμπλοκὴν ἀλυσκάζοντας. τὸ δὲ καὶ Σκυθῶν ἐπιδρομὴν ὑφορᾶσθαι τὸν αὐτοκράτορα (ἦν γὰρ καὶ ὁ καιρὸς εἰς τὴν τού-

10. καὶ δὴ τὴν] καὶ διὰ τῆς ἀχελῷ διελθών, καὶ εἰς τὴν ζαγορὰν εἰσελθών, καὶ μηδὲν ἄξιον ἔχων βασιλικῆς παρουσίας τι διαπράξασθαι, ἐπεὶ μὴ εἶχε τὸν στρατὸν ῥογεμένον (δύο γὰρ μόνον μηνῶν ῥόγαν δέδωκε τοῖς στρατιώταις), εὑρὼν δὲ καὶ τὰ ἐκεῖσε καστέλλια περισσοτέραν δύναμιν ἔχοντα ὑπὲρ τὴν προτέραν καὶ καλῶς ἀνακτισμένα μετὰ ἁρμάτων καὶ ξυλοκάστρων, καὶ τὰ τούτων ἐμπόρια κατοχυρωμένα στερρῶς, καὶ οἷον εἰπεῖν ἐκ τῶν ὑψηλῶν τόπων ἱσταμένους τοὺς ἐν αὐτοῖς οἰκοῦντας καὶ τὴν συμπλοκὴν τοῦ πολέμου ποιουμένους, ἄλλως τε δὲ ἐννοιαζόμενος ὁ βασιλεὺς καὶ τὴν τῶν κομάνων περαίωσιν (ἐλέγετο γὰρ καὶ τοῦτο, ἐπεὶ καὶ ἁρμόδιος ἦν ὁ καιρός), ἠθέλησε διὰ τοῦτο συντομώτερον στραφῆναι ἐξόπισθεν. B. 11. μηδὲν δέ τι A. 15. προειλημμένα A. 19. καὶ om A.

um abripi cupiens. sed antequam causa ingressus eius vulgo innotesceret, pro seditioso comprehensus excaecatur; et quia eorum exemplis qui rem eam frustra tentarant non, ut decuerat, factus erat cautior, suo exemplo caeteros omnes a simili conatu deterruit.

3. Ut autem res Occidentis subinde in peius ruebant et Blachi cum Comanis Romanas provincias ferro et igni vastabant, imperator iterum egressus, Anchialo praeterita, per ambages Haemum montem adit. sed cum nihil sua praesentia dignum gerere posset, bimestri tempore eam expeditionem circumscripsit. nam castella et oppida novis moenibus et turribus adornata longe munitiora reperit; et propugnatores eorum instar cervorum alta petentes, nec aliter quam caprae in rupibus saltantes, pugnam statariam detrectabant. et quia

των περαίωσιν οὐκ ἀνάρσιος) ὀξεῖαν τὴν ἐκεῖθεν ἠνάγκασε
ποιῆσαι μετάβασιν. οὐκοῦν μὴ δι' ἐκείνης ἀναχωρήσειν προ-
θέμενος δι' ἧς εἰσελήλυθεν, ἀλλ' ἐπιτομωτέραν ἄλλην μεταλ-
λῶν καὶ ἣν τέμνων εἰς Βερρόην διὰ τῶν ἐκεῖσε τεμπῶν ὑπο-
καταβήσεται, τό τε πλεῖον ἀπώλεσε τοῦ στρατεύματος, καὶ
εἰ μὴ κύριος ἦν ἐν αὐτῷ, καὶ αὐτὸς τῷ ᾅδῃ παρῴκησεν ἄν.
δέον γὰρ διὰ τῆς εὐρυνομένης ἐνιαχοῦ καὶ ἐνδιδούσης ἱκα-
νῶς ἐνιππάζεσθαι πορευθῆναι, ὁ δὲ τρυμαλιᾷ δυσβάτων χω-
ρίων καὶ ὀρεινῶν παρόδων αὐλῶνι παρενέβυσεν ἑαυτὸν καὶ
τὴν στρατιάν. παρέρρει δὲ κατὰ τὸν ἐκεῖ χῶρον καὶ ὑδάτιον
P. 275 ἐκ χειμάρρου. προῆγον μὲν οὖν ὁ πρωτοστράτωρ Μανουὴλ ὁ
Καμύτζης καὶ ὁ Κομνηνὸς Ἰσαάκιος ὁ τοῦ ὕστερον βασιλεύ-
σαντος Ἀλεξίου γαμβρὸς ἐπὶ θυγατρί, ὀπισθοφυλάκει δὲ ὁ
σεβαστοκράτωρ Ἰωάννης ὁ Δούκας ὁ πρὸς πατρὸς θεῖος τοῦ
βασιλέως. τὸ δὲ μέσον ἐπεῖχε τῆς φάλαγγος, ἧς ἐπίπροσθεν
ὥδευε τὰ σκευοφόρα καὶ τὸ ἑπόμενον ἔξω τάξεως ὑπηρετι-
κόν, αὐτός τε ὁ βασιλεὺς Ἰσαάκιος καὶ ὁ τούτου αὐτάδελφος
ὁ σεβαστοκράτωρ Ἀλέξιος. οἱ δὲ βάρβαροι παρ' ἑκάτερα τῆς
στενῆς ἐκείνης παρόδου φαινόμενοι δῆλοι ἦσαν ἀεί τι τελέ-
σοντες δεινόν. τὰ μὲν οὖν προπορευθέντα παρῆλθοσαν ἀμα-
B χεί, μή πω τῶν Βλάχων ἀπηντηκότων κατὰ τὰ στενὰ τῆς
ὁδοῦ, καὶ ἄλλως δὲ κρινάντων ἐπιεικῶς ὠφέλιμον τοὺς πρώ-

3. μεταλλέγων A. 9. παρέβυσεν A. 13. Ἀλεξίου om A. ὀπισθοφυλάκει etiam A. 19. τελέσοντες] ἐργασόμενοι A. 20. προπορευθέντα] προωδευκότα στρατεύματα A.

Scytharum quoque incursionem timebat (tempus etiam id ad traiiciendum non erat incommodum), non diu ibi morari licuit. cum autem non ea via qua venerat rediturus aliam breviorem consectaretur quae per amoenas convalles Berroen ferret, et maiorem exercitus partem amisit, et ipse (nisi divina ope conservatus esset) periisset. nam cum ea via, quae alicubi panderetur et equitationi esset idonea, incedendum fuisset, ille in angustas fauces et montium cavernas, ubi torrens exiguus praeterfluebat, et se et exercitum intrusit. praecedebat autem Manuel Camytzes protostrator et Comnenus Isaacius, Alexii eius qui post imperavit, gener. agmen claudebat Iohannes Ducas sebastocrator, imperatoris patruus. mediam phalangem, quam impedimenta et servitia extraordinaria praecedebant, ipse imperator Isaacius et eius frater sebastocrator Alexius obtinebant. barbaros vero, se ab utroque angustiarum latere ostendentes, satis apparebat semper malo cogitare. ac antegressae legiones citra dimicationem e faucibus illis evaserunt, quod Blachi nondum eo pervenerant; et e re quoque sua esse iudicarant ut primis neglectis mediam phalan-

τους παριόντας ἀναιμωτὶ τὰς ἄκρας ὑπερβαλεῖν, τῷ δὲ μέσῳ συνεπιστῆναι καὶ προσαράξαι σφᾶς τῆς φάλαγγος, καθὸ πάρεστι βασιλεὺς καὶ ἡ τούτου θεραπεία καὶ ὁπόσον αὐτῷ V. 226 κατὰ γένος ἐπίσημον προσεφέπεται. καὶ οὐκ ἐψεύσθησαν τῶν κατὰ σκοπόν. ἐπειδὴ γὰρ προυχώρησεν εἰς πολὺ τοῦ χαλεποῦ ἐκείνου τόπου καὶ μηδαμῇ διάφευξιν ἔχοντος ὁ αὐτοκράτωρ, οἱ βάρβαροι τηνικαῦτα μεθ' ὅτι πλείστου ὁμάδου ἐπέθεντο. ἀλλ' οὐδ' οἱ τοῦ πεζικοῦ Ῥωμαϊκοῦ στρατεύματος ἐπὶ τούτοις ἠμέλουν, ἀλλὰ καὶ αὐτοὶ μὴ ἐγκυκλωθῆναι σπεύδοντες, πρὸς τὸ ἄναντες ἐφορμῶντες τοῦ χώρου ἀνέστελλον, C εἰ καὶ πονήρως μάλα καὶ ἐπικινδύνως, τοὺς ὑποκατιόντας τῶν ἀκρωρειῶν βαρβάρους. ὡς δ' ἐβιάζοντο τῷ πλήθει καὶ τοῖς ἐπικυλιομένοις λίθοις κακῶς οἱ Ῥωμαῖοι ἔπασχον, ἐνεδίδοσαν εἰς τροπήν, πλὴν ὑφειμένως καὶ τότε οὐδ' ὑπεράγαν, καὶ τοῦτο οὐκ ἐπὶ πολύ· τὸ γὰρ ἀεί τι τοὺς ἀλλοθρόους πλεονεκτεῖν, ἐπιβρίθοντάς τε καὶ κατὰ πλείονας ἐγκειμένους, ἐπικατέβαλε σφᾶς ἀκόσμως τῇ στρατιᾷ. τὸ δ' ἀπὸ τοῦδε συγχύσεως γενομένης καὶ πάντων σώζειν ἑαυτοὺς προθεμένων, ὡς θρέμματα κατακλεισθέντα σηκῷ κατήκιζον οἱ πολέμιοι τὸν ἐπικαταλαμβανόμενον καὶ ἀεὶ τοὺς ἐν χερσὶν ἔκτεινον. ἀμύνων δὲ οὐδεὶς ἦν, οὐδ' ἠδύνατο. βασιλεὺς δὲ αὐτός, ὡς ἐν ἄρκυσι μέσος ληφθείς, πολλάκις μὲν ἀπώσα- D σθαι τὸ καθ' αὐτὸν ἐπιὸν ἀπεπειράσατο βάρβαρον, σὺν δὲ

3. καὶ ἡ τούτ.] καὶ αἱ κατοῦναι B. 19. κατήκιζον] ἐφόνευον ἀσυμπαθῶς B. 20. τὸν ἐπικαταλαμβανόμενον om A. τους] τὸν A. 22. μὲν ἀπώσασθαι] μὲν ἐδοκίμασεν ἀποδιῶξαι τοὺς εἰς αὐτὸν ἐρχομένους καὶ φυγεῖν, οὐκ ἠδύνατο δέ· ἔπεσε γὰρ καὶ τὸ κασσίδιον ἀπὸ τῆς αὐτοῦ κεφαλῆς B.

gem, in qua esset imperator eiusque ministri et reliqua nobilitas, aggrederentur. nec opinione sua sunt decepti. nam ut in faucibus illis fugae nullum spatium relinquentibus longe processerat, tumultuosissimam pugnam cient. neque Romanus peditatus segnior, ne circumveniretur, in arduum tendens barbaros cum labore et periculo e cacuminibus descendentes reprimebat. sed cum multitudine telorum et devolutis saxis urgerentur, fugae se paulatim et quasi dissimulanter initio mandarunt, donec barbaris maiori subinde successu et impetu irruentibus perturbati effuse fugerunt, de sua quisque tantum salute sollicitus, et velut pecudes in stabulo conclusae defendente nemine caeduntur. imperator vero tanquam in mediis cassibus irretitus, saepe quidem irruentes in se barbaros propulsare conatus, praeterquam quod nihil profecit, etiam tegumen capitis, quam casin vocant, amisit. sed cum multi fortissimi viri circa eum conglobati multa iu-

τῷ μηδὲν ἀνύειν καὶ τὸν τῆς κεφαλῆς ἀπεβάλετο κάσιν. πολλῶν δὲ καὶ κρατίστων συνειλεγμένων περὶ αὐτόν, καὶ πολλὰ μὲν ἀνῃρηκότων ὑποζύγια, ὡς δέ φασι καὶ στρατιώτας Ῥωμαίους, ὁπόσοι τῇ παρόδῳ διὰ τὴν συμπίλησιν προσίσταντο, οὕτως αὐτῷ ἡ ἔξοδος διηνμάριστο, καὶ σέσωστο μόνος ἀπολωλότων πολλῶν. καὶ ὁ μὲν τοῖς προηγησαμένοις συναφθεὶς τάγμασιν ἔθυε σῶστρα Δαυιδικῶς τῷ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ κατὰ τὸν τότε πόλεμον ἐπισκιάσαντι θεῷ· ὁ δὲ σεβαστοκράτωρ ὁ Δούκας μὴ βατὰ καθορῶν τὰ ἐν ὄψεσιν ἄλλην ἐβάδισεν, ἀγαθοῦ τινὸς ἡγεμόνος εὐπορήσας, ὃν τοῦ κατ' αὐτόν τις στρατεύματος Λιτοβόης τοὔνομα ἐκ τοῦ τῶν βαρβάρων τάγματος προσδιαλεξάμενος ἐπεσπάσατο, καὶ δι' ἐκείνης ἀπείρατος ἐξῆλθε κακοῦ. βασιλεὺς δὲ διὰ τοῦ λεγομένου
P. 276 Κρηνοῦ πρὸς τὴν Βερρόην ἀποσωθεὶς εὗρε τὴν προεξελθοῦσαν ἀπαθῶς στρατιὰν οὐκ ἀγαθὰ φανταζομένην περὶ ἑαυτοῦ· διεθρυλεῖτο γὰρ ὡς καὶ αὐτὸς τῷ λοιπῷ συναπολώλει στρατεύματι. διὰ γοῦν τὸ τῆς φήμης ἄγνωμον ὁ βασιλεὺς ὀλίγας ἡμέρας τοῖς ἐκεῖ που προσδιατρίψας μέρεσι πρὸς τὴν τῶν πόλεων ἐπάνεισι βασιλίδα. ἡ μέντοι ἀπευκταῖα περὶ τοῦ κρατοῦντος ᾄδουσα φήμη ὑφ' ἑτέρας ἀγγελίας παρηνδοκίμητο, ἣν πτερώσας ὁ βασιλεὺς ἀφῆκε κατὰ τὸν Καρχηδόνιον Ἄννωνα τὰς

5. μόνος ἄτρωτος ἐσώθη B. 7. δαυιτικῶς, ut supra quoque, APW. 9. μὴ βατὰ] ἄβατα ἀπὸ τῆς τῶν νεκρῶν σωμάτων πτώσεως B. καθορῶν] ὁρῶν τὰ ἔμπροσθεν A. 10. ἀγαθοῦ] προσοδοποιηθεὶς ὑπό τινος τοπικοῦ λιτοβόη ὀνομαζομένου B. 12. διαλεξάμενος A. 13. ἀπείρατος] ἀγαθιγὴς A. 15. οὐκ ἀγαθὰ] φήμην κακὴν περὶ αὐτοῦ ἔχουσαν B. 17. ὁ βασιλεὺς om A. 19. ἀπευκταία A, omisso ᾄδουσα. 21. κατὰ] καθώς ποτε καὶ ὁ καρχηδόνιος ἄννων θεὸν αὐτὸν θέλων ἀνακηρῦξαι μέσον τῶν ἀνθρώπων οὐκ ἐδέχετο οὐδὲ ὡς θεὸς ὠνομάζετο. ὅθεν

menta et nonnullos etiam, ut ferunt, Romanos milites progressioni obstantes occidissent, evadendi facultatem habuit; et multis interfectis solus vulnerum expers conservatus, cum ad antegressos pervenisset, more Davidico gratias deo persolvit, qui caput suum eo praelio obumbrasset. Ducas vero sebastocrator cum se progredi non posse videret, bonum ducem nactus, quem miles quidam eius Litoboes ex barbarica cohorte pellexerat, alia via sine ulla noxa est elapsus. imperator cum per Crenum Berroen pervenisset, incolumem exercitum qui antecesserat, nihil de se boni sperantem reperit. ferebatur etiam una cum copiis periisse. ad eum adversum rumorem abolendum, paucos dies in illis partibus commoratus in urbem imperatricem rediit, infausta fama alio nuntio abolita, quem ipse Carthaginensis Hannonis exemplo de sua victoria in urbibus spargendum cu-

πόλεις ἐπιοῦσαν νικητὴν αὐτὸν ἀναγορεύειν. ἀλλ' οὔτε Ἄννων ἐπὶ πολὺ ἀπώνατο τῆς τῶν ᾠδικῶν ὀρνίθων συλλογῆς, οὓς μετὰ τὸ διδαχθῆναι διὰ μειρακυλλίων ὡς Ἄννων θεὸς ἐνδελεχῶς παρακαθημένων αὐτοῖς καὶ τοῦτο ὑποβαλλόντων ἀεὶ μάθημα διαφῆκεν ἄλλοσε ἄλλον, ὡς ἁπανταχῇ διαρρεύσῃ τὸ B ὑπὲρ αὐτοῦ τῶν ὀρνίθων μέλος· λύσαντες γὰρ τὸ πτερὸν οὐκέτι Ἄννων ᾖδον θεός, ἀλλὰ τὰ τῶν ὀρνίθων καὶ πάλιν ἐμουσούργουν ὡς πρότερον· οὔτε μὴν ὁ βασιλεὺς ἐς μακρὸν τῆς εὐαγγέλου φήμης ἀπέλαυσεν· ἡ γὰρ πτῶσις πολυάνθρωπος γενομένη τὰς πόλεις ἐπιστεναχούσας ἐδείκνυ καὶ τοὺς ἀγροὺς κῶμον κωμάζοντας ἄγριον. εἰσιὼν δὲ τὴν τῶν πόλεων ἄρχουσαν ὑπεχάλασέ τι μικρὸν τῆς ὀφρύος, καὶ ἦν ἐπὶ τοῖς συμβεβηκόσι τούτοις δακνόμενος. πρώην δὲ οὐχ οὕτω διέκειτο, ἀλλ' ἀπαίρων κατὰ βαρβάρων, τὰ προφητικὰ ἐκεῖνα εἰς ἑαυτὸν ἐφελκόμενος ῥήματα, ᾤετο ἐν εὐφροσύνῃ ἐξελεύσεσθαι καὶ μετὰ χαρμονῆς εἰσελεύσεσθαι, καὶ ὡς τὰ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται προσδεχόμενοι αὐτὸν ἐν χαρᾷ, C καὶ πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἐπικροτήσει τοῖς κλάδοις, καὶ V. 227 ἀντὶ στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ κνύζης ἀναβήσεται μυρρίνη, ἐπεὶ καὶ ἀλλοκότοις δόξαις περὶ ἑαυτοῦ συγ-

καὶ τὰ μιμηλὰ τῶν στρουθίων, ἤγουν κίσσας χαμικηλάδας ψιττακοὺς καὶ ἕτερα, κρατήσας καὶ ἐν κλουβίοις κατακλείσας, ἐδίδασκον τὸ λέγειν παρ' αὐτοῦ ὡς θεός ἐστιν ὁ ἄννων. εἶτα ἀπολυθέντα παρ' αὐτοῦ πρὸς τὸ πανταχόθεν διακηρύττειν καὶ λέγειν ὡς ἄννων θεός ἐστιν, ἐκεῖνα μὲν τοιοῦτόν τι ὡς ὑπελάμβανεν οὐκ ἐποίησαν, ἀλλ' ἕκαστον τὴν συνήθη καὶ πρώην ἐχρῶτο φωνήν. οὔτε γοῦν μέχρι τέλους ὁ ἄννων ἐκηρύχθη θεός. οὔτε — B. 2. ᾠδικῶν] φιλομούσων A. συλλογῆς] ᾠδῆς A. 3. μειρακυλλίων] παιδαρίων A. 9. ἀπήλαυσεν A. 17. προσδεχόμενα A. 19. καὶ ἀντὶ κονύζης A.

rarat. caeterum neque Hanno diuturnum fructum ex Musicarum avium cantu percepit, quas a pueris continenter edoctas Hannonem esse deum alias alio dimiserat, ut volucrum illa cantilena passim audiretur: nam cum avolassent, destiterunt canere Hannonem esse deum, et veterem suam cantilenam repetiverunt; et imperator victricis famae gloriolam cito amisit: nam interfectorum multitudo urbes et agros luctu complebat. urbem ingressus cladis illius dolore nonnihil de supercilio remisit. nam ante eam expeditionem, propheticis illis verbis ad se accommodatis, putabat se cum laetitia egressurum et cum gaudio ingressurum, et montes ac colles prae expectatione sui hilariter exultaturos, et omnes silvae arbores ramis sibi applausuras; pro gramine cupressum et pro rubo myrtum nascituram. nam absurdis de semet ipso opinionibus imbutus ea quae in animi

κεκρότητο, καὶ πολλάκις τὰ ἐν μυχῷ καρδίας ἐπηλυγαζόμενα ἐκφέρων ἐφθέγγετο μὴ διὰ τὰ κοινῶς ὑφ' ἡμῶν ἡμαρτημένα καὶ τὸ θεοῦ κρίσιν πάντας καταλιπεῖν βαρυνθῆναι τὸ οὖς κυρίου τοῦ μὴ ἀκούειν ἡμῶν καὶ παραδοθῆναι ἡμᾶς εἰς μαστίγωσιν λαῷ μωρῷ καὶ οὐχὶ σοφῷ, ἀλλὰ τίνοντας δίκην τοῦ ὀπίσω τοῦ Βρανᾶ πορευθῆναι ἀποστασίαν κατ' αὐτοῦ νοσήσαντος τοιούτοις ἐκδεδόσθαι τοὺς προνομευομένους κακοῖς. ὢ τῶν τοῦ πονηροῦ σκεμμάτων τε καὶ ὑφηγημάτων, εἰ
D οὕτω τῶν ἀρχόντων τινὲς ὑπειλήφασιν, ὡς εὐσεβῶν μυριάδας τῆς ὁποιασοῦν ὑπό τινος αὐτῶν παροινήσεως ἀντάλλαγμα καὶ ἀντίψυχον ἐκδίδωσιν ὁ θεὸς συγκινηθεῖσιν ἔθνεσι καὶ ὡς πρόβατα σφαγῆς παρίησιν αὐτοὺς ἀπάγεσθαί τε καὶ ἀποκτείνεσθαι. τίς γὰρ Ἱερεμίας πολύδακρυς ἐθρήνησεν ἂν ἀρκούντως τοὺς αἰχμαλωτιζομένους, τοὺς ἀναιρουμένους, τοὺς εἰς τὰς πορρωτέρω χώρας ἀποδιδομένους, καὶ τούτων ἐφ' ὅσαις τὸ τοῦ Χριστοῦ μὴ ἐπικέκληται ὄνομα; οὐ ταῦτα δὲ μόνον διεξιὼν ἦν, ἀλλ' ὅτι καὶ μοναρχίαν περιβαλεῖται, καὶ θηλάσει γάλα ἐθνῶν, καὶ αὐτὸς ἐσεῖται τὴν Παλαιστίνην ἐλευθερῶν καὶ τὴν δόξαν τοῦ Λιβάνου κτώμενος καὶ τοὺς Ἰσμαηλίτας ὑπὲρ τὸν Εὐφράτην ποταμὸν κεραΐζων καὶ ληϊ-
P. 277 ζόμενος καὶ τὸ βαρβαρικὸν κύκλῳ ἀνακαθαίρων. προσεπῆγε δὲ καὶ ὡς οἱ τότε ὑπ' αὐτὸν ἡγεμόνες οὐκ ἔσονται τοῖς σήμερον ὅμοιοι, ἀλλ' ἰσχὺν περιβαλοῦνται πλείστην καὶ πλοῦτον ἐθνῶν ἔδονται καὶ τὰ πάχη αὐτῶν ἐκμυελιοῦσιν, εἰς τὴν

2. ἐκφέρων] ἐξαγγέλλων A. 11. συγκινηθεῖσιν] αἱμοχαρέσιν A. 12. αὐτοὺς om A. 17. διεξήει A.

penetralibus insederant proferebat, non ob publica nostra peccata et dei iudicium ab omnibus derelictum aurem domini esse obturatam, quo minus nos audiret, et populo stulto et barbaro nos flagellandos esse datos, sed poenas dedisse defectionis, quod Branam secuti essent ii qui hostibus praedae fuissent. o diabolicas cogitationes et inspirationes, si nonnullis principibus persuasum est multa piorum millia ob qualecunque in eos delictum sanguinariis gentibus ovium instar ad caedem et internecionem dedi. quis enim lacrymosus Hieremias satis deploret eos qui capiuntur, qui occiduntur, qui in longinquas regiones venduntur, eas praesertim in quibus Christi nomen non invocatur? neque illa insolentia contentus, monarchiam de se iactabat et opes gentium et Palaestinae liberationem, et gloriae Libani adeptionem, et Ismaelitarum ultra Euphratem fluvium profligationem, et barbararum gentium undique depulsionem. adiiciebat, quos tum duces habiturus esset, eos non fore nostris similes, sed summam potentiam habituros et divitias gentium comestu-

αὐτὴν ῥηξὶ καὶ τοπάρχαις ἐξουσίαν καὶ περιφάνειαν καθιστάμενοι. ἐλέγετο δὲ τούτων πάντων ὑφηγητὰς Ἰσαακίῳ καθεστάναι τοὺς ἐς ἡμᾶς ματαιολόγους, ὥσπερ σῆτας ταῖς κενοφωνίαις ταύταις τὴν ἐκείνου φύσιν πρὸς τὰ καινὰ τῶν ἀκουσμάτων οὖσαν κατάρροπον ὑπεισιόντας καὶ κατεσθίοντας, ἢ μᾶλλον ὡς αἱ τίτθαι τὰ βρεφύλλια ἐπικλινῆ τιθέντας πρὸς ῥαστώνην καὶ βίον ἐξημβλυμένον ἀναπεπτωκότα τε δεικνύντες τὸν βασιλέα τοῖς τῶν τοιούτων μυθολογημάτων ἐπᾴ- B
σμασιν, οἷα δὴ καὶ μηδὲν αὐτουργοῦντος αὐτοῦ, τῆς ὡρισμένης δ' ἐπιστάσης ὑποχεισομένων αὐτῷ πασῶν τῶν βασιλειῶν, καθ' ὃν δὴ τρόπον καὶ οἱ πάλαι ζωγράφοι Τιμόθεον ἔγραφον αὐτὸν μὲν καθεύδοντα, τὴν δὲ τύχην περιιοῦσαν καὶ εἰς ἕνα κύρτον τὰς πόλεις ἐμβάλλουσαν καὶ προσάγουσαν αὐτῷ καὶ παραδιδοῦσαν. τὸ δὲ δὴ θαυμάζεσθαι ἀξιώτερον, ἔλεγε διαρρήδην ὡς ὁ Κομνηνὸς Ἀνδρόνικος, ὃν αὐτὸς τοῦ ἄρχειν καθελὼν εἰς θάνατον ἐξέδωκε πονηρόν, ἐνναετίσειν ἤμελλε τῇ βασιλείᾳ Ῥωμαίων, συνέστειλε δὲ τὴν ἐκείνου ἐννεαρχίαν εἰς τριετίαν θεὸς ὡς ὄντος κακοεργοῦ, ἀμέλει τοι καὶ ὡς ῥάκος πορφύρᾳ ἐπιβέβληνται τῇ αὐτοῦ ἀρχῇ καὶ οἱ

2. ἐλέγετο δὲ τὰ μαντεύματα ταῦτα ἔχειν ἀπὸ τοῦ πατριάρχου τοῦ Δοσιθέου. εἶχε γὰρ αὐτὸν ὁ τοιοῦτος πατριάρχης κατὰ πάντα ὑπήκοον καὶ τοὺς λόγους αὐτοῦ δεχόμενον ὡς διδασκάλου, ἢ μᾶλλον εἰπεῖν ὥσπερ τὰ βρέφη ὑποτάσσονται ταῖς θηλαζούσαις καὶ κατάκεινται ἐν τοῖς κουνίοις αὐτῶν βίον ἀπράγμονα ἔχοντα, οὕτω καὶ οὗτος ὁ βασιλεὺς ὅλος ἦν ἀναπεπτωκὼς ἐν τοῖς τούτου μυθολογήμασι καὶ ἐπᾴσμασι, μηδὲν ὅλως ἐνεργεῖν βουλόμενος· ἐλεύσονται γὰρ τὰ πάντα κατὰ τὸν καιρὸν αὐτόν, ἐδόξαζέ τε καὶ ἔλεγε· ὅπερ δὲ ἔχειν διὰ θαύματος καὶ ἄξιον γέλωτός ἐστιν, τοῦτο ἦν. B. 4. καινὰ A. 7. δεικνύντας? 12. δὲ om APW. 16. πόνηρον ἐνν. ἔλεγε A.

ros et pinguedinis eorum medullas exhausturos, regibus et toparchis auctoritate et splendore similes. in huiusmodi ineptias impulsus est a vanis hominibus, qui nostra etiam aetate vigent, et veluti tineae vanitatibus istis ingenium eius novarum rerum avidum subibant et erodebant; aut potius, ut nutrices infantem in cunis collocant, ita illi ipsum ad socordiam et ignaviam suis fabulis et commentis impellebant, quasi vero ipso dormitante, cum fatalis hora instaret, regna in eius potestatem ultro casura essent, quemadmodum veteres Timotheum pinxerunt dormientem fortuna interim circumeunte et urbes in unum rete contractas ei tradente. et quod magis mireris, asseverabat Andronicum Comnenum, quem ipse imperio pulsum miserabiliter trucidandum curarat, IX annos in imperio exacturum fuisse, nisi a deo propter improbitatem illius ad triennium

C ἐκείνου ἓξ λυκάβαντες, καὶ μέλλει κατὰ τούτους αὐτὸς τοὺς χρόνους μὴ εἶναι πάνυ τι ἐπιεικής τε καὶ μέτριος μηδ' ὡς ἐπίπαν ταῖς ἀγαθοπραξίαις γαννύμενος, οἷα τῶν κακοποιῶν Ἀνδρονίκου ἐνιαυτῶν πρὸς τὴν ἐκείνου μεθελκόντων φύσιν αὐτὸν καὶ ἀντισπώντων ἀναγκαστῶς. ταῦτα δὲ εἰ καὶ Ἀνδρονίκῳ τὸ ἀνεπέγκλητον χαρίζονται ὡς κατὰ χρόνους ἄρξαντι κακοποιούς, καὶ συνίστησι τὴν εἱμαρμένην καὶ τὴν ἀνάγκην, παρίημι τοῖς βουλομένοις σκοπεῖν. ἐπεὶ δὲ οἱ ἓξ παρήλθοσαν ἐνιαυτοί, ἔδειξεν ἐκ τῶν πραγμάτων αὐτῶν μὴ τὴν χρονικὴν περίοδον ἀλλὰ τὴν γνωμικὴν ἰδιότητα ὑποβάλλειν καὶ ὑποτιθέναι τὰ βουλητέα τισίν· ἀγαθὰ γὰρ ἐπαγγελλόμενος
D μείζονα τοῖς ὑπηκόοις εἰς τοὺς μετέπειτα ἐνιαυτοὺς οὐδέν τι τῶν προτέρων εἰργάσατο ἄμεινον.

V 228 4. Οἱ μέντοι Βλάχοι τῷ ἀεὶ νικᾶν Ῥωμαίους ἐφρυαζόμενοι, καὶ πλοῦτον ἁβρὸν καὶ παντοῖον ὁπλισμὸν ἐκ τῶν Ῥωμαϊκῶν λαφύρων περιβαλλόμενοι, ἀκατάσχετοι τοῦ λοιποῦ ταῖς ὁρμαῖς ἐγεγόνεισαν, καὶ οὐκέτι κώμας καὶ ἀγροὺς ἐληΐζοντο ἐπιόντες, ἀλλὰ καὶ κατὰ τῶν εὐπύργων ἐφωπλίζοντο πόλεων. τήν τε οὖν Ἀγχίαλον ἐξεπόρθησαν καὶ τὴν Βάρναν παρεστήσαντο, καὶ κατὰ τὴν Τριάδιτζαν ἀφικόμενοι, ἥ ἐστιν ἡ πάλαι λεγομένη Σαρδική, τὸ πλεῖον αὐτῆς μέρος ἠφάνι-

4. χρόνων A. 5. ταῦτα] οἱ δὲ τοιοῦτοι λόγοι φανερῶς ἀθωοῦσι τὸν ἀνδρόνικον ὡς ἀνέγκλητον καὶ μὴ μετὰ γνώμης οἰκείας πράττοντα τὰ κακὰ ἀλλὰ ἀπὸ τῆς τῶν κακῶν χρόνων ἀνάγκης τε καὶ φορᾶς. φαίνεται δὲ ὁ ταῦτα λέγων καὶ προσκρούειν θεῷ, καὶ τύχην καὶ εἱμαρμένην δοξάζειν, ὡς τῶν ἑλλήνων τινές. B. εἰ καὶ] ἣν A.

contracti essent, et sex illius anni, tanquam panni purpurae, suo imperio adiecti; quibus non omnino clemens et moderatus futurus esset, neque beneficentiae rationem ubique habiturus, quippe cum a maleficis annis Andronici ad illius naturam per vim traheretur. quibus verbis an excusarit Andronicum ut maleficis temporibus imperio potitum, et fati necessitatem ut quidam ex Graecis probarit, aliis iudicandum relinquo. postquam vero sex anni praeterierunt, suo exemplo demonstravit non annorum circuitu sed animorum impulsu nonnullos ea fecisse quae voluerunt. nam cum maiora bona polliceretur, insecutis annis nihilo clementius tractavit subditos.

4. Enimvero Blachi crebris victoriis elati, et ex Romanorum spoliis magnas opes et omnis generis arma consecuti, deinceps nullo modo cohiberi potuerunt; nec iam villas et agros passim populabantur, sed munitas etiam urbes invadebant. Anchialum quidem vastarunt, Barnam subegerunt, et Triaditzae, quae olim Sardica dicebatur, maiorem partem deleverunt. Stumpio cives exegerunt. Nisa

σαν, καὶ αὐτὸ δὲ τὸ Στούμπιον τῶν ἐνοικούντων ἐκένωσαν. ἀλλὰ καὶ εἰς τὸν Νῖσον ἀφικόμενοι λείαν κἀκεῖθεν οὐκ ὀλίγην ἀνθρώπων τε καὶ ζώων ἐπεσπάσαντο. μὴ ἔχων δ' ὁ βασιλεύς, ὡς οἷα ὑπὸ μελισσῶν κηρίον κυκλούμενος, τίνι τῶν κακῶς πασχόντων ἐπαρήξει πρότερον ἢ τίνι τελευτῶν βραβεύσει τὴν P. 278 σύναρσιν εἰς ἀρχηγοὺς μερίζει τὴν στρατιάν. ἀμέλει καὶ τὴν Βάρναν ἀνέκτισε, καὶ ἐπύργωσε τὴν Ἀγχίαλον, καὶ φρουρὰν αὐταῖς ἐγκατέστησε. καὶ ἐδόκει μὲν οὐκ ἄπο προμηθείας εἶναι ταῦτα βασιλικῆς, ἦσαν δὲ καὶ οὕτω τὰ τῶν ἐναντίων αὖθις ἐπικρατέστερα. ἐξιὼν δὲ καὶ αὐτὸς κατὰ τὰς μετοπωρινὰς τροπὰς περὶ τὴν Φιλίππου ἐπαρχίαν, καὶ τὴν γυναικωνῖτιν συνεπαγόμενος, ὡς ἐνόν, ἀνέστελλε τὰς τῶν Βλάχων καὶ Σκυθῶν ἐπιδρομάς. ἀλλὰ καὶ τοῦ τῶν Σέρβων Ζουπάνου κακουργοῦντος καὶ τὰ Σκόπια φθείροντος, κατ' ἐκείνου ἐξώρμησε· καὶ ὡς συνερρώγεσαν αἱ τάξεις κατὰ τὸν Μοράβον λεγόμενον ποταμόν, ἐνέκλιναν οἱ βάρβαροι, καὶ καταδιώξεως γενομένης οὐκ ὀλίγοι τούτων ἀφανισμῷ παρεδόθησαν, B ὕδασι καταβαπτιζόμενοι καὶ δόρασι διαπειρόμενοι. παρελθὼν δὲ καὶ τὸν Νῖσον καὶ περὶ τὸν Σάουβον γενόμενος ποταμὸν τῷ οἰκείῳ συνέμιξε κηδεστῇ τῷ τῆς Οὐγγρίας ῥηγὶ τῷ Βελᾷ. καὶ συχνὰς ἐκεῖσε διατρίψας ἡμέρας ἐπάνεισιν αὖθις εἰς Φιλιππούπολιν, κἀκεῖθεν τὴν μεγαλόπολιν εἴσεισιν, ἐκκλίνων τὴν εἰς τὸν Αἷμον πάροδον.

1. στούμπιν B. 2. εἰς] πρὸς A. Νῖσον] νῆσσον B. ἀφιγμένοι A. 5. τὴν om A. 14. ἄπεισι κατ' αὐτοῦ A. 15 μονάβον A. 21. καὶ συχνὰς] καὶ ὀλίγας ἡμέρας μετ' αὐτοῦ ποιήσας B.

quoque non parvam hominum et pecorum praedam abegerunt. quamobrem imperator undique non aliter quam favus ab apibus circumventus, et quibus prius aut posterius opem ferret dubitans, exercitus inter duces distribuit, Barnam instauravit, Anchialum turribus et praesidio firmavit. quae quamvis ab imperatoria providentia non abhorrere viderentur, tamen hostes denuo superiores fuerunt. sed et ipse post aequinoctium autumnale in Philippicam provinciam egressus, adductis una mulieribus, Blachorum et Scytharum incursiones pro virili prohibebat: invasit et Serviorum Zupanum, qui maleficiis non abstinebat, et Scopia evertebat. commisso ad flumen Morabum praelio barbari terga dederunt; in eaque fuga non pauci aqua et ferro perierunt. Nisum quoque praetergressus, et ad Savum fluvium profectus, socerum suum Belam Hungariae regem adiit. et complures ibi dies commoratus, Philippopolim revertitur, atque inde in magnam urbem redit, declinato Haemi transitu.

Εἰς δ' ἑτέραν τῶν κατὰ Φιλιππούπολιν χωρῶν ἀπιδὼν κυβέρνησιν, ὡς τῶν ἐκεῖσε μάλιστα πασχόντων κακῶς ἀεί, στέλλει τὸν οἰκεῖον ἐξάδελφον Κωνσταντῖνον, ὃν καὶ δοῦκα τοῦ στόλου προυβάλετο, εἰς στρατηγὸν ἀποτάξας. ὁ δὲ κἂν οὔπω ὑπεραναβεβήκει τὸν μείρακα, τὸ γοῦν θυμοειδὲς παρα- C δεικνύων ὡς οἱ τῶν λεόντων σκύμνοι τὴν ὀφρὺν εὐθὺς ἐκ γενέσεως καὶ τῆς ἐπαυχενίου κόμης τὸ λάσιον καὶ τὰς τῶν ὀνύχων ἀκωκάς, οὕτω πρὸς ὑπακοὴν καὶ δέος τὸ συνὸν αὐτῷ ἐρρύθμισε στράτευμα ὡς νεύματι μόνῳ πείθεσθαί οἱ καὶ ἐννοήματι καὶ πρὸς τὰ ἐπιταττόμενα ῥᾳδίως ὑπάγεσθαι. ἐστρατήγει οὖν μετὰ τῆς φυσικῆς ὀξύτητος· εἰ δέ που ἡ νεότης σφαδάζουσα ἐξέπιπτε τοῦ καθήκοντος, ἡ τῶν ἐκείνῳ συνεζευγμένων ὑποστρατήγων ἐμπειρία ταύτην ἀνασειράζουσα μὴ ὅρους ὑπερβαίνειν ὑπετίθει τοὺς τακτικούς. ἔπτηξαν οὖν αὐτὸν οἱ ἀποστάται Βλάχοι ὅσον οὐδ' αὐτὸν τὸν βασιλέα ἐποπτανόμενον κατεπλάγησαν, καὶ πολλάκις ὁ Πέτρος σὺν D τῷ Ἀσὰν κείρειν τὰ κατὰ Φιλιππούπολιν καὶ Βερρόην προθέμενοι οὐκ ἔλαθον ἐξιόντες τὸν Κωνσταντῖνον, ἀλλ' ἐφέποντα εἶχον καὶ τὰς ἐκείνων κλονοῦντα φάλαγγας, ὥστε οὐχ ὡς πρότερον συχνὰς ἐποίουν τὰς ἐκδρομάς. ἀλλὰ δέον τὰ λυσιτελῆ ταῦτα τῇ πατρίδι καὶ ταῖς ἐκεῖσε πόλεσιν αἱρεῖσθαι τὸν Κωνσταντῖνον, ὁ δὲ τὴν ἐναντίαν ἐτράπετο. ἐπαρθεὶς γὰρ τοῖς μικροῖς ἀγωνίσμασι τούτοις, ὡς τὰς φρένας ἀστατῶν τῇ νεότητι, ἤρξατο ὑποποιεῖσθαι τοὺς συνόντας αὐτῷ

5. οὖν A. 16. ὀπτανόμενον ἐκεῖσε κατ. A.

Initaque alia ratione Philippopolitanam provinciam gubernandi, ut hostium grassationibus maxime obnoxiam, Constantinum fratrem patruelem cum imperio ablegat, quem classis quoque ducem crearat. qui etsi adhuc adolescens, tamen, quemadmodum leonum catuli a primo ortu supercilium iubam et unguium aciem ostendunt, sic ille statim animi vigorem et iracundiam prae se ferens ita exercitum ad sui metum et obedientiam assuefecit, ut ad nutum et cogitationem paratus iussa eius facile exequeretur. naturalem igitur in regendo milite acrimoniam secutus si quando aetatis vitio ab officio deerrabat, errata eius legati corrigebant, monentes ne ultra limites evagaretur. proinde Blachi magis eum formidarunt quam ipsum imperatorem; ac Petrus et Asan saepe Philippopolitanum et Berrōenum agrum populaturi Constantinum non fefellerunt, tergis subinde inhaerentem et phalangem eorum armis lacessentem; et minus crebras excursiones fecerunt. cum autem Constantino ii successus ad patriae et subiectarum urbium salutem referendi essent, is contrariam viam secutus,

στρατηγούς, κὰκ τῶν ἐγχωρίων στρατιωτῶν ὁπόσους τὸ γένος
αἰδεσίμους ἐγίνωσκε καὶ περιδεξίους εἰς ἔργα πολέμια. οὐκ-
οῦν καὶ βραχεῖαν ἐκ τούτων ῥοπὴν ἐσχηκὼς πρὸς τὴν τῶν
κατ' ἔφεσιν ἐκπεράτωσιν, τῆς στρατηγίδος ἀνθαιρεῖται στο-
λῆς τὴν βασίλειον, καὶ τοὺς πόδας εἰς ἑτοιμασίαν τῆς τυ- V. 229
ραννίδος φοινικοβαφὲς ἀμφιέννυσι πέδιλον. καὶ παραδηλοῖ P. 279
γράμμασι τὰ ἐπ' αὐτῷ τετελεσμένα τῷ τῆς ἀδελφῆς γαμέτῃ
τῷ μεγάλῳ δομεστίκῳ τῆς δύσεως Βασιλείῳ τῷ Βατάτζῃ. τὸν
δὲ οὐ μόνον οὐκ ἔσχεν ἐπαινοῦντα τὰ τετολμημένα ἢ προσ-
σχόντα οἷς ἔπραττε νηπιωδῶς καὶ οἷς ἔστελλεν αὐθαδῶς, εἰς
Ἀδριανούπολιν τότε διάγοντα, ἀλλὰ καὶ μᾶλλον τὴν ἄκαιρον
ὁμοῦ καὶ ἄλογον ἐκείνου φιλοτιμίαν καταμωκώμενον, καὶ ὡς
ὅσον οὐδέπω ἀπολούμενον αὐτὸν ὀδυρόμενον· ὃ καὶ παρὰ
πόδας ἐπηκολούθησεν. ἄρας γὰρ ἐκ τῆς Φιλίππου ἐπὶ σκοπῷ
τοῦ κατ' Ἀδριανούπολιν γενέσθαι καὶ μὴ ἑκόντα παραλήψε-
σθαι τὸν οἰκεῖον γαμβρὸν τὸν Βατάτζην συλλήπτορα τοῦ ἔργου
καὶ συνεπευδοκοῦντα τοῖς τελουμένοις, φθάσας περὶ τὸ λεγόμε- B
νον Νεούτζικον (τόπος δέ ἐστιν οὗτος διοριστικὸς τῶν ἐπαρχιῶν
ἀμφοτέρων, τῆς Ἀδριανοῦ φημὶ καὶ τῆς Φιλίππου) συλλαμβά-
νεται καὶ καταπροδίδοται βασιλεῖ παρ' αὐτῶν ἐκείνων τῶν εἰς
ἀποστασίαν ὑπονυξάντων καὶ ἀναγορευσάντων αὐτὸν αὐτοκράτο-
ρα. οἱ δ' αὐτοὶ καὶ τὸν ὑπὲρ ἑαυτῶν ἀπόλογον ἐφ' οἷς ἔδρασαν
πρὸς τὸ εὔσχημον μεθαρμόζοντες, διεμηνύσαντο βασιλεῖ τὸ

5. τῆς om A 9. ἢ] ταῦτα ἢ A. 11. ἄκ. αὐτοῦ καὶ ἄλ. φ. A. 17. συνευδοκοῦντα A. καὶ φθ. A. 23. εὔσημον A.

et parvis illis dimicationibus ob aetatis levitatem et temeritatem elatus, duces et milites nobiliores et rei bellicae peritiores sibi conciliare instituit quos cum dicto audientes et ad iuvandum institutum suum paratos invenisset, pro ducis habitu imperatoriam sumit, et ad tyrannidis occupationem declarandam purpureum calceum induit; sororisque maritum magnum domesticum Occidentis, Basilium Batatzem, ut secum actum sit, per litteras certiorem facit. is vero Adrianopoli tum degens non modo facinus eius non probabat, nec puerilibus eius actis et insolentibus litteris quicquam movebatur, sed etiam importunam eius ambitionem deridebat et ut iamiam perituram deplorabat. idque e vestigio est consecutum. nam cum eo consilio Philippopoli discessisset, ut Adrianopolim profectus sororium Batatzem vel invitum in partes suas pertraheret, ubi ad Neuzium pervenit (locus is est, qui Philippopolitanam et Adrianopolitanam provinciam disterminat) comprehenditur, et imperatori ab iis ipsis proditur, a quibus ad defectionem impulsus et imperator salutatus fuerat. qui ut suum facinus honesta specie velarent, ad imperatorem scripserunt se non alio

μὲν ὑποκλιθῆναι καὶ προσνεῦσαι τῷ ἀποστάτῃ μὴ καθ' ἕτερον τρόπον ἐργάσασθαι ἢ τῷ συμμεταβεβλῆσθαι ἀθελήτως τῷ καιρῷ καὶ τοῖς πράγμασιν (ὁρᾶν γὰρ οὐκ ἀκίνδυνον αὐτοῖς καὶ ἀκόνδυλον τηνικαῦτα τὸ ἀντιτείνειν πρὸς τὰ παρὰ C τοῦ Κωνσταντίνου ὑποβαλλόμενα· εἶναι γὰρ τῶν προηγησαμένων στρατηγῶν ἐπιχολώτατον καὶ τὸ ξίφος ἐκ τοῦ αὐτίκα γυμνοῦντα κατὰ τῶν μὴ ἐπευδοκούντων τοῖς αὐτοῦ δόγμασι), τὸ δὲ νῦν τελεσθὲν τῆς ἐς αὐτὸν τὸν βασιλέα ἀκραιφνοῦς τεκμήριον πίστεως τὸ οἰκεῖον ἐνδειξαμένων, ὁπηνίκα εὐκαιρίας ἐλάβοντο. καὶ ᾔδει μὲν ὁ βασιλεὺς παλιμβόλων ἀνδρῶν τεχνάσματα ταῦτα καὶ κατεσχηματισμένα προβλήματα, ἐπαινέσας δ' ὅμως τὸ γεγονὸς ὡς αὐτῷ ξύμφορον, τῶν μὲν συναραμένων τοῦ ἔργου τῷ Κωνσταντίνῳ οὐδένα ἐκ τοῦ προδήλου παραλελύπηκεν, αὐτὸν δ' ἐς τὸ φῶς ἐλυμήνατο. τοσοῦτον δ' εὐφράνθησαν οἱ Βλάχοι καὶ ἠγαλλιάσαντο Πέτρος τε καὶ Ἀσὰν ἐπὶ τοῖς συμβεβηκόσι τούτοις τῷ Κωνσταντίνῳ, D ὥστε κἀκεῖνον ἐπὶ τοῦ ἑαυτῶν ἔθνους τῇ βασιλείᾳ ἐπιβαλεῖν, καὶ βασιλέα μὴ ἔχοντα μειζόνως εὐεργετήσειν ἄλλως τοὺς Βλάχους ἢ τὰς κόρας ἐκκόψαι τοῦ Κωνσταντίνου, θυμοσο-

2. ἀθελήτως] ἀθεμίτως A. 6. αὐτίκα] παραχρῆμα A. 7. ἐπευδοκούντων] πειθομένων A. 9. ἐνδειξαμένων] ἐργασαμένων A. infinitivo opus. 14. τοσοῦτον] πολλὰ δὲ ηὐφράνθησαν οἱ βλάχοι καὶ ἐχάρησαν, καὶ ἐπὶ πλέον ὁ πέτρος καὶ ὁ ἀσάν, εἰς τὴν τοῦ κωνσταντίνου τύφλωσιν· ὑπελάμβανον γὰρ ὅτι εἰ τῆς βασιλείας ὁ κωνσταντῖνος ἐγκρατὴς γενήσεται, ἡ τῶν βουλγάρων ἀρχὴ ἐκ τοῦ παραυτίκα διαλυθήσεται. καὶ ἔλεγον ὅτι μεγαλωτέραν εὐεργεσίαν οὐ μὴ ἠδυνήθημεν παρὰ τοῦ βασιλέως εὑρεῖν ποτὲ ὅσην ἀρτίως ἐποίησεν εἰς ἡμᾶς, τοὺς ὀφθαλμοὺς ἐξορύξας τοῦ κωνσταντίνου διὰ τὴν ἡμετέραν ὠφέλειαν, γελῶντες καὶ ἐξουδενοῦντες τοὺς βασιλεῖς τῶν ῥωμαίων ὡς ὅτι τοσαύτας ἐστερήθησαν χώρας. B. 16. ἐπὶ] ἔλεγον? 19. ἢ expunxerim.

consilio seditiosum hominem secutos, nisi ut iniquae temporum conditioni servirent. vidisse enim se tum minime fuisse tutum Constantini voluntati refragari, qui omnes duces iracundia vinceret, et ensem statim in eos stringeret qui iussis eius non obsecundarent. id vero quod nunc per occasionem fecerint, argumentum esse suae inviolatae erga imperatorem fidei. imperator vero etsi levium virorum artes et fucatas excusationes non ignorabat, tamen eo facto quod e re sua esset probato, Constantinum excaecavit, adiutorum eius nemine aperte multato. Blachi vero tantum eo Constantini casu exhilarati sunt, Petrus et Asan fratres ita exultarunt, quasi et suae gentis regnum affectasset; neque imperatorem ullum maius beneficium in Blachos conferre potuisse dicerent excaecatione Constantini: quibus

φοῦντες ἐν τοῖς τοιούτοις, καὶ τὰ Ῥωμαίων μυκτηρίζοντες
πράγματα ἐπὶ τὸ κάταντες ἀεὶ προχωροῦντα καὶ τοῖς χείρο-
σι μέρεσιν ὑπενδιδόντα. οἱ δ' αὐτοὶ καὶ τοῖς ἐκ φύτλης τῶν
Ἀγγέλων τὴν τῶν Ῥωμαίων χειρίζουσιν ἀρχὴν πολυετὲς ἐπηύ-
χοντο κράτος, μηδὲ ἰδεῖν ποτὲ θάνατον, εἰ δυνατόν, ἐξελι-
πάρουν τὸ θεῖον, ἢ ἀφαίρεσιν τῆς βασιλείας παθεῖν· καὶ τὴν
αἰτίαν προστιθέντες ἐχρηστηρίαζον οἱ κατάρατοι ὡς αὐτῶν
βασιλευόντων ἔτι καὶ ἔτι τὰ τῶν Βλάχων προσεπιδώσουσί τε
καὶ μεγεθυνθήσεται, καὶ χώρας δὲ καὶ πόλεις ἀλλοτρίας
ἐπικτήσονται, καὶ ἄρχοντες ἐξ αὐτῶν καὶ ἡγούμενοι ἐκ τῶν
μηρῶν αὐτῶν ἐξελεύσονται, οὐκ οἶδ' ὅθεν καὶ ὅπως τὰ ἐσπου- P. 280
δασμένα ταῦτα διεξιόντες. ἔνθεν τοι καὶ οἱ μὲν ὡς ἐπί τι
ἐκπορθήσοντες φρούριον ἢ κώμας ἀναρπάστους θησόμενοι ἢ
πόλεις ἀναστάτους δείξοντες μετὰ φάλαγγος ἐπῄεσαν Σκυθι-
κῆς, καὶ τὸ προστυχὸν ἅπαν ἐσίνοντο, ποτὲ μὲν τῇ Φιλίπ-
που ἐπιόντες, ποτὲ δὲ τῇ Σαρδικῇ ἐφεδρεύοντες, ἐνίοτε δὲ
κατὰ τὴν Ἀδριανούπολιν ἐπερχόμενοι· οἱ δὲ Ῥωμαῖοι νω-
θέστερον ἐπεξῄεσαν, εἰ δέ ποτε καὶ ἀντετάχθησαν ἢ συνε-
πλάκησαν, κατὰ μετρητοὺς ἐκάκουν τοὺς ἀντιπάλους.

5. Ὁ δὲ βασιλεὺς οὗτος δολιχοδρόμῳ ἢ γοῦν σταδιεῖ
προσεοικὼς εὐθὺς πρὸς τῇ νύσσῃ κατέπαυσε τὸν τῆς ἀρίστης V. 230
βασιλείας δρόμον τρέχειν ἀρξάμενος· οὐδὲ γὰρ ἦν πολλοὺς

12. ὡς ἐπί] συνεχῶς ἢ? 17. νωθέστεροι A. 21. εὐθὺς] ταχέως A.

verbis iracundiae suae blandiebantur, et rem Romanam subinde in deterius ruentem subsannabant. iidemque Angelicae familiae suae diuturnum imperium precabantur, deumque orabant ne unquam, si fieri posset, morerentur aut unquam privatam vitam agerent. causam subiungebant homines execrabiles et veluti oraculum edebant, iis regnantibus Blachorum regnum magna incrementa capturum et amplificandum, alienis provinciis et urbibus augendum, principes ex ipsis et duces e femoribus eorum egressuros esse, haud scio unde et quomodo erudita haec edocti. proinde aut ad castellum aliquod vastandum aut ad pagos diripiendos aut ad urbes evertendas cum phalange Scythica proficiscebantur; et obvia quaeque populantes, alias Philippopolim invadebant, alias Sardicae insidiabantur, alias Adrianopolim petebant. Romani vero segnius cum eis pugnabant. quodsi quando in aciem descendebant et pugnam inibant, parum nocebant hostibus.

5. Ipse vero imperator cum optimae gubernationis cursum instituisset, instar ignavi cursoris non procul ab ipsis carceribus destitit. neque enim multos virtutis circulos absolvit, sed veluti fati-

B ἀμφιιὼν κύκλους τῆς ἀρετῆς, ἀλλ᾽ ὡς ἀποκαμὼν ὑπεχαλάσθη τοῦ συντόνου τῆς ὁρμῆς καὶ τῆς ἐπαινετῆς εἰς ἅπαν ἐξενευρίσθη προθέσεως. οὐκοῦν πολλοῖς τὰ χαλινὰ καὶ τὰς ἡνίας ὑπαλλάξας τῆς τῶν κοινῶν διοικήσεως, ὡς εἴπερ αὐτὸς ἀποπεφύκει πρὸς σπουδαίαν ἀρχῆς διοίκησιν, τέλος φέρων ἐνεχείρισε τὴν τούτων διεξαγωγὴν καὶ κυβέρνησιν τῷ πρὸς μητρὸς θείῳ Θεοδώρῳ τῷ Κασταμονίτῃ. ἦν δ᾽ οὗτος περὶ πραγμάτων ἐγχείρησιν καὶ μάλιστα περὶ τὰς δημοσίας συνεισφορὰς δεξιώτατος καὶ λόγων σοφωτέρων μέτοχος, ὃν καὶ λογοθέτην τῶν σεκρέτων προβαλόμενος ἤγετο ὑπ᾽ αὐτοῦ καὶ μετήγετο καθάπερ βασιλευόμενος, ὅθεν ὡς ἄν τις ἐν ὑπηρέτου C μοίρᾳ καθήμενος, πᾶν ὅπερ ὑπ᾽ αὐτοῦ ἐπετάττετο διεπράττετο σχεδὸν μηδὲν διακρίνων. νοσῶν δὲ τὰ ἄρθρα τῶν ποδῶν ὁ Κασταμονίτης φοράδην τὰ πολλὰ πρὸς τὸν κρατοῦντα εἰσήγετο, ὑπὸ δυοῖν φορέων αἰρόμενος διὰ σκίμποδος ὡς οἱ τῶν οἴνων ἀμφορεῖς· καὶ συνομιλῶν βασιλεῖ τὰ πρόσφορα, ἢ μᾶλλον καπηλεύων τὰ Ῥωμαίων πράγματα καὶ ὀλίγου ἀποδιδοὺς αὖθις ἐξήγετο. οἱ δέ γε λαοὶ καὶ τὸ τῆς πολιτείας γερούσιον, καὶ ὅσοι τῷ βασιλεῖ καθ᾽ αἷμα συνήπτοντο, εἵποντο ἐκείνῳ καὶ προπέμποντες ἐκύκλουν τὸν νεκροφόρον ἄντικρυς ὀκλαδίαν, τὰς οἰκείας τύχας, οὐκ ἐκεῖνον ἀποκλαιόμενοι. οὐ γάρ ἦν τι τῶν γινομένων ἄνευ ἐκείνου διαπραττόμενον, ἀλλ᾽ οὐδέ τις τῶν ἐν ὑπεροχαῖς συμμετεῖχε τῷ Κασταμονίτῃ κα-
D θέδρας, ἀλλὰ παρίσταντο πάντες δουλοπρεπεῖ σχήματι. καὶ

3. πολλῶν A. 6. τούτου A. 8. τὰ δημόσια εἰσοδήματα B. 13. νοσῶν] ποδαλγὸς δὲ ὢν B. 17. τὰ] καὶ πακτεύων τὰ B. 19. γερούσιον] περιούσιον A. 22. διαταττόμενον A.

gatus et enervatus de contentione honesti instituti plurimum remisit, summa rerum Theodoro Castamonitae avunculo denique mandata. erat is homo rebus gerendis, praesertim vectigalibus recipiendis, aptissimus et probe eruditus. quare Logothetam secretorum eum designarat, et illius arbitratu huc atque illuc instar mancipii trahebatur, et quicquid ille vellet agebat, nusquam fere iudicio suo interposito. sed quia morbo articulari laborabat Castamonites, lectica plerunque a duobus baiulis, ut vini amphorae solent, ad imperatorem ferebatur; cum quo ea quae res postulabant collocutus, ac potius Romanas res exiguo pretio cauponatus, rursus efferebatur sequente populo, proceribus item et cognatis imperatoris pheretrum illud comitantibus, et non illum sed fortunas suas deplorantibus. nihil enim sine illo constituebatur, neque quisquam ex principibus Castamonitae assidebat, sed omnes servili gestu astabant. eas res imperator non aegre ferebat; nec, cum suam gloriam ad alium trans-

ὁ κρατῶν ἐπὶ τούτοις οὐκ ἐδυσχέραινε, καὶ τὴν οἰκείαν δόξαν ὁρῶν ἀναρσίως πρὸς ἕτερον μεταβαίνουσαν καὶ διαρπαζομένην τὴν βασιλείαν οὐμενοῦν οὐδέν τι πρὸς τὴν ἀτοπίαν ταύτην ἐφρόνει ἐνδόσιμον, ἀλλ' ἦν τοῖς τελουμένοις ἐπευδοκῶν κατ' οὐδένα πρόδηλον δίκαιον σκοπόν. προϊὼν δὲ καὶ φάλαρα ὀξυβαφῆ αὐτῷ ἐνέδωκεν ἔχειν τοῦ ἱεροῦ σχοινίσματος ὄντι πρότερον, καὶ ἐφεστρίδα τοιαύτην ἐν τῷ ἱππεύειν κεκτῆσθαι, καὶ διὰ βαφῆς ὁμοίας ὑποσημαίνεσθαι τοὺς τόμους τῶν δημοσίων λόγων καὶ τὰ γραμμάτια. καὶ ἦν ὄντως τὰ πράγματα μετακεκλικότα πρὸς τὸ ἀσύνηθες καὶ τῇ ἰδίᾳ φύσει ἀντιτασσόμενα, ἕως τις νόσος φιλάνθρωπος ἐπέβρισε τῷ ἀνθρώπῳ ἐξ ὕλης μοχθηροτέρας, ἥτις τὰ ἄρθρα τοῦ σώματος ἀναμοχλεύουσα ἐπενέμετο, καὶ ἐπέθετο τῷ λογιστικῷ κραταιότερον. ἦγε δὲ τότε πεντεκαιδεκάτην ὁ Αὔγουστος μήν, καὶ ὁ Κασταμονίτης μετὰ φυσήματος καὶ πολυοχλίας ἀρχικωτάτης τῇ P. 281
μονῇ τῆς παντανάσσης διὰ τῆς ἀγορᾶς ἐπεφοίτησε, τὰ ὅσια τελέσων τῇ μεταστάσει τῆς θεομήτορος, ὅτε καὶ πρώτως ἀκούσας δεσπότης καὶ βασιλεύς, ἐπεὶ καὶ τοῦτο προσεφεῖτο ἐπιλέγειν τοῖς κόλαξι καὶ τοῖς αἰκάλλειν εἰωθόσι τοὺς δυναστεύοντας, ἔδοξε τοῖς κομψοτέροις τῶν συνελθόντων εἰς ἐπιλη-

5. προϊὼν] ἐνέδωκε δὲ αὐτῷ καὶ ὀξέα φορεῖν ὑποδήματα καὶ καβαλικεύειν καὶ ὀξέα κάτωθεν τῶν προσταγμάτων ὑπογράφειν καὶ ἕτερα γραμμάτια δι' αὐτοῦ ἐνεργούμενα B. 9. γραμματεῖα. καὶ ἦν οὕτως A. 11. ἕως τις] ἕως ποθὲν ἡ βαρυτάτη νόσος τῆς ποδαλγίας ἐπεισπεσοῦσα αὐτῷ, ἥτις καὶ τοὺς ἁρμοὺς τῶν χειρῶν καὶ τῶν ποδῶν ἐκνευρίσασα δυνατωτέρους τοὺς πόνους ἐποίησε καὶ εἰς ἐπιληψίαν αὐτὸν ἐνέβαλε, φιλανθρώπως ἐλεήσασα τοῦτον τὸν μὴ ἑαυτὸν ἐλεοῦντα, καὶ ἀπὸ τῆς τοιαύτης ὑπεροψίας καὶ σοβαρότητος ἐνέκοψε ποσῶς. B. 16. παντανάσσου A. τὰ ὅσια] ὡς ἑορτάσων τὴν κοίμησιν A.

ire et diripi regnum videret, quicquam de absurditate ista corrigenda cogitabat, sed omnia, nulla probabili ratione adductus, approbabat. deniqne etiam purpureas phaleras ei, quanquam ex sacro coetu esset, et simile pallium in equitando eundemque colorem in subscribendis publicis libellis et litteris concessit. ita res ad inusitatum morem devolutae naturae suae repugnarunt, donec morbus hominum misertus affluxu noxiorum humorum articulos eius elisit et rationis etiam arcem invasit. XV die mensis Augusti cum fastu et frequentissimo comitatu per forum in Pantanassae templum ad festum assumptionis dei genitricis celebrandum incedens primum dominus et imperator audivit (nam eum quoque titulum adulatores et potentiorum assentatores usurpabant), et tum primum cordatiorum iudicio ad epilepsiam inclinare visus est ob eius appellationis inso-

ψίαν ἀποκλῖναι διὰ τὸ καινότερον τοῦ ἀκούσματος. ἀλλὰ καί τις τῶν τοῦ Βήλου κριτῶν παρεστὼς (τὸ δὲ ὄνομα ἑκὼν ὑπερβήσομαι) διαχαλάσας τὴν ἐσθῆτα ἐδέσμει τὰς γαστροκνημίδας τοῦ λογοθέτου τῇ ζώνῃ τῆς ὀσφύος, ἐπισχήσειν τὸ ἀνωφερὲς τῆς ὕλης ἐντεῦθεν πειρώμενος. πλὴν ὁ μὲν καὶ οὕτως ἀλύτως εἶχε τῆς τῶν φρενῶν παρακοπῆς, ὁ δὲ τὸν παρὰ πάντων εὖ μάλα ὠφλίσκανε γέλωτα διά τε τῶν ἱματίων τὸ
B ἄνετον καὶ τὸ τῆς γνώμης εὐάγωγον. ἀλλὰ τότε δὴ βραχύ τι καὶ ὅσον ἡδυτέραν τὴν ἡμέραν ὑπολογίσασθαι τῆς καχεξίας ἀνανεύσας, πάλιν ἐμπέπτωκεν εἰς αὐτὴν καὶ μεθ' ἡμέρας ἀπέρρηξε τὴν ψυχήν, καὶ ἄλλως ἀσθενικὸς ὢν τὸ σῶμα καὶ τὰ περὶ τὴν ἕδραν ὑπὸ νόσου πολύτρητος. ἐκδηλότερον δὲ τὸ αἶσχος ἐγγὺς τοῦ κάλλους ὁρώμενον. τοῦ γὰρ Κασταμονίτου τελευτήσαντος διαδέχεται τὴν βασιλέως εὔνοιαν νεανισκάριόν τι γραμματιστοῦ καὶ πινακιδίου δεόμενον. καὶ τού-
V. 231 του τὸν ἐν ἡμῖν βίον ἀπολιπόντος παιδίον μικρὸν τὴν τῶν κοινῶν διοίκησιν ἀναζώννυται, οὔπω πέρυσιν ἀφειμένον δονακίσκου καὶ μέλανος, ὃς οὐ τὸν κρατοῦντα μόνον αὐτὸν ὡς τὸ κῆτος ὁ λεγόμενος προπομπεὺς μετῆγεν ὡς ᾑρεῖτο καὶ περιέφερεν, ἀλλὰ μετῄει καὶ ὅσα τῶν στρατιωτικῶν εἰσὶ κατα-

3. διαχαλάσας] ἀποζωσθεὶς καὶ τὰ ῥοῦχα αὐτοῦ ἀφεὶς κάτω σύρεσθαι ἔδενε τὰ μερία τοῦ κασταμονίτου καὶ ἔσφιγγε τῷ αὐτοῦ ζωναρίῳ, τεχναζόμενος δῆθεν τὴν κατερχομένην ὕλην τοῦ σώματος ἐπὶ τοὺς πόδας ἀνασύρειν ἐξόπισθεν. B. 7. ἱματισμῶν A. 12. τὰ περὶ] διάτρησιν ἔχων περὶ τὸν ἀφεδρῶνα δεινὴν B. 14. νεανίας τις ἁρμόδιος ὢν πρὸς τὸ κρατεῖν πινακίδιν καὶ προβίαν καὶ εἰς σχολεῖον πρὸς τὸ μανθάνειν ἀπέρχεσθαι B. 18. μόνον ὡς ὁ βραχύτατος ἰχθὺς τὸ κῆτος ὁ λεγόμενος προπομπὸς A.

lentiam. sed et quidam Beli iudex, cuius nomen de industria praetereo, veste laxata suras Logothetae cingulo suo constringebat, ut obstaret quominus humores sursum ferrentur. sed is ne sic quidem a delirio liberabatur; et ille ab omnibus cum ob fluxam vestem tum propter animi facilitatem ridebatur. etsi autem tum nonnihil ab acerbitate doloris respiravit, rursus tamen in idem malum incidit, et post dies aliquot expiravit, etiam alioqui corpore morbido, et ex morbo circa sedem fistulis excavatus. enimvero turpitudo cum pulchritudine comparata magis elucescit. nam Castamonita mortuo imperatoris benevolentia in adolescentulum quendam, cui adhuc litteratore et tabella erat opus, transfertur. eo quoque extincto parvus puer, qui non ita pridem a calamo et atramento discesserat, summam rerum administrabat. nec imperatorem duntaxat suo arbitratu, ut maximum cete minutissimus piscis qui propompus dicitur, traducebat et circumferebat: sed militares etiam catalogos tractabat, non

λόγων, ὡς εἴπερ ἐκ σπαργάνων αὐτῶν τῇ πηδαλιουχίᾳ τῶν C μεγίστων ἐνετέθραπτο πραγμάτων ἢ τὰς κοσμικὰς φροντίδας ἠπίστατο πρὸ γενέσεως, καθὰ καὶ περὶ Σιβύλλης φασὶν ὡς ἅμα τῆς μητρῴας νηδύος ἐξέθορε καὶ ἅμα περὶ τῆς τοῦ παντὸς ἐφιλοσόφει συστάσεως. πολλαπλασίονα οὖν καὶ οὗτος τοῦ Κασταμονίτου τὴν ἰσχὺν ἐνεδέδυτο, θυμόσοφος ὢν ἐν πλείστοις καὶ περιδέξιος τὸν νοῦν ἐν ταῖς ἐπιβολαῖς τῶν πραγμάτων, κἀκεῖνα τῷ αὐτοκράτορι θεμιτὰ ὁπόσα οἱ θελητὰ ἐδέδοκτο· ὅθεν ἀπαραίτητον ᾤετο ἀγαθὸν καὶ ἀσπάσιον, ὅσα καὶ τὸ παμβότανον τοῦ ἀγροῦ, εἰπεῖν δὲ καὶ τριπόθητον ὡς τὸ τοῦ Περόζου μάργαρον παρὰ τῷδε τῷ βασιλεῖ συλλελόγιστο. καὶ ἦν βομβύλιος ἀτεχνῶς εἴτε κώνωψ ὠτίον περιβομβῶν λέον- D τος, ἢ μυρμηκάνθρωπος μελάγχροος τὸ τῆς γῆς μέγιστον ἄχθος διακυβερνῶν ἐλέφαντα, ἢ μήρινθος λεπτὴ ἀπὸ ῥινὸς ἐφέλκουσα κάμηλον, εἴπῃ δ' ἄν τις οὐκ ἀκόμψως καὶ παχεῖα κυψελὶς περὶ τὸ τῆς βασιλικῆς ἀκοῆς ἐνσκήψασα ἕλιγμα καὶ τῶν ἑτέρωθεν ἐνηχουμένων τὴν εἰσροὴν ἀποφράττουσα, ἢ καὶ τεθλιμμένη παράθυρος καὶ στενὴ πυλὶς καὶ συνεπτυγμένη ὁδὸς εἰσάγουσα πρὸς τὰ βασίλεια. αἱ δ' εὐρεῖαι τῶν εἰσόδων, δι' ὧν προσεφοίτων πρότερον τοῖς κρατοῦσιν οἱ δεόμενοι, τέλεον ἐπεζυγώθησαν, καὶ ταῖς μωραῖς τῶν παρθένων

4. ἐξέθορε] ἐξώλισθε A. 5. συστάσεώς τε καὶ προοράσεως B. 8. ἐκεῖνα γὰρ τῷ αὐτ. θελητὰ ἐδόκει ὅσα οἱ ἀσπαστέα ἐκρίνετο A, omissis ὅθεν ἀπαρ. — βασ. συλλελόγιστο. quorum ne in B quidem vestigium, qui εἰ γὰρ καὶ θυμὸν εἶχεν, ἀλλὰ καὶ δεξιὸς ἦν ἐν ταῖς τῶν πραγμάτων μεταχειρίσεσιν, ἐκεῖνα λογιζόμενος δίκαια καὶ καλὰ ὅσα ὁ βασιλεὺς διέκρινέ τε καὶ ὥρισεν. ἀεὶ ποτε γὰρ ὡς κώνωψ —. 15. παχεῖα] ὡς ῥύπος παχύτερον εἰς τὸ τοῦ βασιλέως ὠτίον ἐμπεσὸν περιέφραττεν, ἵνα μὴ ἑτέρου τινὸς ἀκούσῃ φωνήν B.

secus ac si a cunabulis ad maximarum rerum administrationem esset enutritus, aut rerum humanarum scientiam ante natalem suum habuisset, quemadmodum Sibyllam, simulac e materna alvo prodierit, de fabrica universitatis rerum disseruisse ferunt. igitur is quoque auctoritatem longe maiorem quam Castamonita consecutus, ut erat in plerisque rebus acutus et in tractandis negotiis dexter, imperatori quicquid erat libitum, probat; et summum ab eo atque incomparabile bonum iudicabatur, non absimilis apiculae aut culici aurem leonis circumsonanti, aut atro pumilioni maximum terrae pondus elephantum gubernanti, aut tenui funiculo camelum naso trahenti, aut potius densis sordibus aures imperatoris, ne quid aliud audirent, obstruentibus, aut angustae portae et arto tramiti ad palatium ducenti. nam lati olim aditus penitus obstructi fuere, per quos qui

οἱ δι' ἐκείνων εἰσελθεῖν πειρώμενοι ἐῴκεσαν ἀτεχνῶς, ὅτι
P. 282 μηδ' ἦν ὁ κατ' ἐκείνας τῷ κρούοντι ὑπανοίγων. εἰ δέ τις ὀψέ ποτε διὰ τῆς τῶν πυλῶν συμμύσεως τοῖς ἐπιμένουσι τῷ κρούειν ἐπαπταίνετο, οὐδὲν μέντοι πρὸς τὴν πεῦσιν ἀπεκρίνετο, τὸ δ' ἀπελθεῖν εἰσηγεῖτο κατὰ τὴν παραπυλίδα τὴν πλάγιον. οὐδ' ἐνείνης ἦν εὐμαρῆ τὴν εἴσοδον εὕρασθαι μὴ καταθέμενόν τι τῶν ἐν τῷ κόλπῳ ἢ τὴν οἴκοι ἀποδόμενον δίπλακα. συνεμάχετο δὲ τῷ παιδιογέροντι τούτῳ πρὸς τὸ ὑπερφιλεῖσθαι παρὰ τοῦ αὐτοκράτορος καὶ εἷς ἀντὶ παντὸς λογίζεσθαι τό τε ἦθος σοφιστικὸν καὶ εὐτράπελον ὂν ἐν τοῖς παρεμπίπτουσι πράγμασι, καὶ τὸ πολυειδὲς ὡσαύτως τῆς γνώμης καὶ ὕφαλον, ἐπεὶ καὶ κατηγόρει ταῦτα ἡ τῶν ὀφρύων γραμμὴ συνεχὴς φυεῖσα καὶ μηδέν τι μεταίχμιον ἔχουσα.
B ἐπὶ πλέον δ' ἐποίει αὐτὸν ἀγαπᾶσθαι καὶ οἰκειοῦσθαι ἡ τῶν διδομένων αὐτῷ παρά τινων πρὸς τὸν βασιλέα ἀπόδοσις καὶ τὸ ἐμπορικὸν φρόνημα καὶ ὁ ὑπεράπειρος λημματισμός· οὐ γὰρ μόνον τοῖς ἐξ ὕλης παντοίας στατῆρσιν ἐνσκολιευόμενος ὑφεῖρπε καὶ ἐνήδρευε τοῖς πρὸς δίαιταν, ἀλλὰ καὶ ποτάνοις ἐνελύττα καὶ ἐνέχαινε πέποσι καὶ σύμπαν ἄλλο περιειργάζετο τῆς γῆς ὡραῖον ἐδώδιμον.

Ἀλλ' ἐπανακτέον τὸν λόγον ἐκτραπόμενον τοῦ ἴχνους ἐφ' ὅπερ ὥρμησεν ἐξ ἀρχῆς. τὰ δ' ἐφ' ὅσον ἐνεδήμει χρόνον τῇ

6. μὴ καταθέμενόν τι] εἰ μὴ διὰ δώρων χρυσίου καὶ ἑτέρας ὕλης χαριστικῆς B. μὴ om A. 8. παιδαριογέροντι B. 12. ἐπεὶ καὶ ἀπὸ τῆς θεωρίας τοιοῦτος ἐφαίνετο, τὰ δὲ ὀφρύδια αὐτοῦ ἔγεμον τριχῶν ἐξ ὁλοκλήρου, μὴ ἔχοντα ὑποκάτωθεν τοῦ μετώπου μέσον τινὰ χωρισμόν. B. 14. πλέον δὲ μάλιστα προσωκείου τῷ βασιλεῖ τὸ ἐμπ.

intrare conabantur, plane fatuis illis virginibus erant similes, quod nemo erat qui ibi pulsantibus aperiret. si quis vero per rimas forium iis cernebatur qui pulsare non desistebant, nullum tamen aliud responsum accipiebant nisi ut exiguam et obliquam portulam adirent; ac ne ibi quidem patebat ingressus nisi muneribus aperiretur, etiamsi vestis vendenda esset. ut autem senex iste puer plurimum ab imperatore diligeretur et solus ei esset instar omnium, id tum sophistico et faceto ac prompto ingenio; tum animo occulto et obscuro consequebatur, quod hirsuta supercilia et iuxta nasum nullo interstitio distincta arguebant. sed maxime illud ei commodabat, quod munera sibi ab aliis oblata imperatori restituebat. erat enim adeo mercatorio ingenio, tam inexplebili accipiendi fame flagrabat, ut non aurum et vestes duntaxat acciperet, sed et alia minuta, usque ad pepones et caetera esculenta et omnis generis poma.

Sed ad institutum redeundum est, et multa ex paucis, ut im-

βασιλίδι τῶν πόλεων ὑπὸ τοῦ βασιλέως τούτου πραττόμενα, ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν, φυτωσί πως διετετράνωτο. ἦν οὖν τὰ περὶ τὴν δίαιταν ὁ βασιλεὺς οὗτος πολυτελέστατος καὶ διαδοτικὸς βρωμάτων τοῖς παρεστῶσιν. εἶχεν οὖν ἀτεχνῶς τὴν τράπεζαν Σολομώντειον, καὶ τὰς ἐσθῆτας ὡς ἐκεῖνος καινοφανεῖς C *περιέκειτο, βουνίζων μὲν τοὺς ἄρτους, λόχμην δὲ κνωδάλων ἰχθύων τε διάπλευσιν καὶ πόντον οἴνοπα δεικνὺς τὴν ἑστίασιν. ναὶ μὴν ἑτερημέροις ἐνηυπάθει λουτροῖς, ὠσφραίνετό τε μυρεψουμένων εὐωδιῶν, καὶ ταῖς στακταῖς ἐρραντίζετο, ὡς ὁμοίωμά τε ναοῦ στολαῖς ἐξάλλοις ἐκέκαστο βοστρυχιζόμενος. ἐπιδεικτικός τε ἦν ὡς ταὼς ὁ φιλόκοσμος καὶ μὴ δὶς τὸν αὐτὸν χιτῶνα ἐνδιδυσκόμενος ὥσπερ ἐκ παστοῦ νυμφίος καὶ ὡς ἐκ λίμνης περικαλλοῦς ἥλιος προῄει καθ' ἑκάστην τῶν ἀνακτόρων. χαίρων δὲ ταῖς εὐτραπελίαις καὶ τοῖς ἐκ τῆς ἁπαλῆς Μούσης ᾄσμασιν ἁλισκόμενος, ἐγερσιγέλωσί τε ἀνθρωπίσκοις συμπαραθύρων, οὐκ ἐπεζύγου Κέρ-* V. 23 *κωψί τε καὶ μίμοις καὶ παρασίτοις καὶ ἀοιδοῖς τὰ βασίλεια. τοῖς δὲ τοιούτοις ὁ πάροινος κόσμος συνέζευκται πάντως καὶ ἡ* D *κατὰ τὰς κοίτας ἀσέλγεια συνεφάπτεται, καὶ ὅσα χρηστῆς καὶ*

2. *ἦν οὖν] ἐτρύφα καθ' ἡμέραν λαμπρῶς παρατιθέμενος ἑστίασιν Συβαρίτιδα καὶ τῶν ἡδυτάτων χυμῶν γευόμενος* A. *ἔτρωγε καθ' ἑκάστην ἡμέραν ἐνώπιον πάντων, ἔχων πολυτελῆ τράπεζαν ἀπὸ ποικίλων καὶ διαφόρων γλυκυτάτων βρωμάτων καὶ ἰχθύων μεγάλων καὶ ἄρτων τῶν λεγομένων μειαξωτῶν καὶ οἴνων τῶν εὐόσμων τε καὶ ποτίμων* B. 6. *β. τε τοὺς ἄρτους καὶ λ. κν.* A. 8. *ἑστίασιν] τράπεζαν* A. *ἑτερημέρως* A. 9. *ὠσφραίνετο] ἠλείφετο μυρίσματα ῥοδοσταμάτων παντοῖα μόσχους ζαπέτια ἄμπαρ* B. 11. *ὡς ταὼς] καθάπερ παόνιν* B. 13. *προϊὼν* A. 14. *χαίρων] ἠγάπα δὲ καὶ ἀνθρωπάρια γελωτοποιὰ ἀδιαφορίας λαλοῦντα καὶ φλυαρήματα* B.

perator in urbe se gesserit, explicanda. erat igitur in victu sumptuosissimus, et de ferculis distribuebat iis qui mensae astabant. mensam omnino Salomoniam aut Sybariticam habebat, et novis ut ille vestibus quotidie utebatur; nec erat eius convivium aliud quam collis panum, saltus ferarum, piscium mare, vini Oceanus. alternis diebus lavacris se reficiebat. pastillis et unguentis omnis generis delibutus instar pavonis superbi se ostentabat; et ut sponsus e thalamo aut ut sol ab Oriente, ita ipse e palatio quotidie prodibat. gaudebat facetiis et mollibus cantilenis. morionibus, scurris, histrionibus, parasitis, mimis, cantoribus palatii fores patebant; cum quibus rebus et hominibus utique Bacchi et Veneris intemperantia coniungitur, caeteraque bonum sani imperii statum corrumpere solita. cum aliquando in coena sibi alia afferri iussisset, mimorum illius aetatis festivissimus,

ὑγιοῦς βασιλείας συνδιαφθείρει κατάστασιν. ἀτὰρ εἴρηκέ ποτε ἐπὶ δείπνου „ἐνέγκατέ μοι ἅλας," παρεστὼς δὲ τῶν τότε μίμων ὁ χαριέστατος, ᾧ τὸ ἐπώνυμον Χαλιβούρης, περιβλεψάμενος τὸν τῶν γυναικῶν χορὸν ἔκ τινων προσπόλων καὶ συγγενῶν τοῦ βασιλέως κεκροτημένον „γνωσόμεθα" εἶπε „πρώτως ταύτας, ὦ βασιλεῦ· εἶθ' οὕτως ἄλλας εἰσενεχθῆναι κέλευσον." καὶ πρὸς τὸ ῥῆμα τοῦτο πᾶσαί τε καὶ πάντες ἐξεκάγχασαν. τῷ δὲ τρέπεται ὁ χρώς, καὶ μόλις τὸν θυμὸν ἐν πείσει κολάσας ἐμβριμήματι τὴν τοῦ γελωτοποιοῦ ἐλευθεροστομίαν ἀνέστειλε. μεταδιώκων δὲ τὰ τῶν χωρίων εὖ ἔχοντα καὶ ὥρας καὶ θέσεως, ἐκ διαλειμμάτων εἰς τὴν μεγαλόπολιν ἐπανήρχετο, καὶ κατὰ περιόδους ὡς ὄρνις ὁ Φοῖνιξ ἐπεφαντά-
P. 283 νετο. ὑπὲρ πᾶν δὲ ἕτερον τὰς τῶν ὑπερόγκων οἰκημάτων ἀνεγέρσεις περιεσπούδαζε, μανικώτερον ἐπὶ τὰ ἐραστὰ ἐμπηδῶν, κἂν τοῖς πλείστοις τοῦ καθήκοντος ἐκφερόμενος. ἐντός τε οὖν τῶν βασιλείων ἀμφοτέρων λουτρὰ καὶ διαιτήσεις λαμπροτάτας ἐδείματο, καὶ κατὰ τὴν Προποντίδα πολυτελεῖς δόμους ἀνήγειρε, νησίδιά τε τὴν θάλασσαν ἀπογαιώσας εἰργάσατο. προθέμενος δὲ καὶ πύργον τεκτήνασθαι κατὰ τὸ ἐν Βλαχέρναις παλάτιον, ἅμα μὲν εἰς ἔρυμα τῶν ἀνακτόρων, ὡς ἔφασκε, καὶ ὑπέρεισμα, ἅμα δὲ καὶ εἰς ἐνοίκησιν ἑαυτῷ, ναούς τε κατὰ τὴν ἀκτὴν πάλαι ἱσταμένους ἀτημελεῖς κατή-

1. ἀτὰρ] ποτὲ οὖν ἐσθίων ὁ βασιλεὺς μετὰ δορυφορίας βασιλικῆς, πάντων τῶν ἀρχόντων παρισταμένων καὶ ἀρχοντισσῶν ἀπὸ τῶν συγγενῶν αὐτοῦ καὶ τῶν παλακίδων B. 5. γνωσόμεθα] πρῶτον ταύτας ἀσδιέλθωμεν B. 9. πείσῃ? 13. τὰς — μανικώτερον om A. 17. περὶ τὴν προποντίδα κατὰ τὸν λεγόμενον στενοῦ τόπον οἰκήματα πολυέξοδα B. 22. κατὰ ἀκτῖνα A, περὶ τὸν αἰγιαλὸν B.

cognomento Calibures, conspecto coetu mulierum qui ancillis et cognatis imperatoris constabat, „cognoscamus prius has" inquit, „imperator, deinde alias adduci iubeto." quod dictum cum omnes et viri et mulieres risu excepissent, ille colore mutato et vix repressa iracundia morionis licentiam minis castigavit. loca et situ et temperie aëris amoena consectabatur, et ex intervallis in urbem redibat, et ut Phoenix avis non semper conspiciebatur. in primis vero immensis substructionibus delectabatur, et furore quodam ad ea ruebat quae desiderabat, officio in plerisque neglecto. in utroque palatio balnea et conclavia splendidissima et in Propontide sumptuosas aedes aedificavit, et insulas parvas mari aggeribus expleto excitavit. cum turrim in Blachernio palatio cum munitionis, ut aiebat, tum suae habitationis causa extruere statuisset, et vetera fana, quae in littore neglecta stabant, et multas illustres urbis domos demolitus

ρειψε καὶ πλείστους τῶν κατὰ τὴν βασιλίδα πόλιν περιφανῶν οἴκων ἔθετο εἰς ἐρήμωσιν, ὧν ἐσδεῦρό τινες θέαμα τοῖς παριοῦσι B δακρύων ἄξιον τοὺς θεμελίους προβάλλονται, καὶ τὴν ἐκ πλίνθου πάσης ὀπτῆς λαμπροτάτην τοῦ γενικοῦ οἰκοδομὴν κατηδάφισε. σὺν πολλοῖς δὲ καὶ τὸν περίκλυτον οἶκον τῶν Μαγγάνων κατέβαλε, μήτε τὸ τοῦ ἔργου κάλλος καὶ τὸ μέγεθος αἰδεσθείς, μήτε τὸν τροπαιοφόρον μάρτυρα πτοηθείς ᾧ ἀνέκειτο οὑτοσί. ἐπισκευάσαι δὲ βουληθεὶς καὶ τὸν ἐν τῷ ἀνάπλῳ νεὼν τοῦ ἀρχιστρατήγου τῶν ἄνω τάξεων Μιχαήλ, εἴ τις ἐν πλαξὶ ταῖς βασιλείοις δόμοις ὑπέστρωτο καὶ περιημπίσχε τοὺς τοίχους καλλίστῃ τε τῇ στιλπνότητι καὶ ῥανίσιν ἐστιγμένη ποικιλοχρόοις, ἐκεῖσε μετακεκόμικεν. ἀλλὰ καὶ τὰ τοῦ ἀρχαγγέλου διὰ χρωμάτων καὶ ψηφίδων τυπώματα, ὁπόσα ἡ πόλις ἔστεγεν ἢ κώμαις καὶ χώραις ἀνέκειντο φυλακτήρια, χειρὸς ἀρχαίας ἔργα καὶ θαυμασίας, κατὰ τὸ αὐτὸ συνήθροισε C τέμενος. ἡ δὲ τοῦ βασιλέως τούτου σπουδὴ ὅπως ἐκ τῆς νῦν λεγομένης Μονεμβασίας ἀνακομίσειε τὸν ἐπὶ σταυρὸν

7. τὸν τροπαιοφόρον μαρτ.] τὸν μεγαλομάρτυρα γεώργιον B. 8. ἐπισκευάσαι] βουληθεὶς δὲ καὶ τὸν ἐν τῷ ἀνάπλῳ ναὸν τοῦ ἀρχιστρατήγου τὴν νῦν ὀνομαζομένην λάβραν, ἀνακαινίσαι καὶ καλλωπίσαι, ὅπερ ἦν κάλλιστον ἐν τῷ πάτω τοῦ ναοῦ τοῦ ἀρχιστρατήγου τῶν ἄνω τάξεων μιχαὴλ τοῦ νῦν ὀνομαζομένου νέα, ἢ ἐν τοῖς τείχεσι ποικιλόχροόν τι καὶ ὡραῖον διὰ μαρμάρων ξένων, ὅπερ ἐκόσμει καὶ ἐκαλλώπιζε τὸν τοιοῦτον ναόν, μετεκόμισε τοῦτο ἐκεῖσε. ἀλλὰ καὶ ὅσαι στῆλαι ἀρχαγγελικαὶ διὰ χρωμάτων καὶ ψηφίδων ἀρίστων ἢ ἐν τῇ πόλει ἦσαν ἢ εἰς φυλακὴν καὶ ἀσφάλειαν ἑτέρων εἰκόνες ἀρχαῖαι εἰς κάλλος ἐζωγραφήθησαν, καὶ ταύτας περὶ τὸν τοιοῦτον συνῆξε ναόν. B. 14. ἢ] ἢ? 17. τὸν ἐπὶ σταυρὸν] τὴν εἰκόνα τοῦ σωτῆρος χριστοῦ τὴν ἱστορηθεῖσαν ἐντέχνως ὡς ἀξιοθαύμαστον καὶ τὴν χάριν τῶν θαυμάτων διὰ παντὸς ἐνεργοῦσαν. ἦν γὰρ ἐξεικονισμὸς καὶ θαυματουργῶν ἐν αὐτῇ ὁ δεσπότης χριστὸς καὶ θεὸς ἡμῶν ἑλκόμενος ἐπὶ τοῦ σταυροῦ. καὶ οὐκ ἐπαύσατο ἕως οὗ μετὰ δόλου ταύτην ἀπῆρεν B.

est, quarum fundamenta nunc quoque vix sine lacrimis spectari queunt; splendidissimum Generalis aedificium, quod totum latere coctili constabat, solo aequavit; et praeter alia multa inclitam Manganiam domum destruxit, neque operis elegantiam et magnitudinem veritus, neque victorem martyrem, cui ea dedicata erat, reveritus. aedem Divi Michaelis caelestium copiarum archiducis, in portu sitam, instauraturus, si qua in palatio marmorea tabula splendore et guttarum varietate illustris vel pavimentum tegebat vel parietes ornabat, eo transferendam curavit. sed et Archangeli pictas et fictas imagines, vel in urbe vel aliis locis praesidii causa dedicatas, vetustae et admirandae manus opera, in idem templum congregabat.

ἑλκόμενον Χριστὸν ὡς ἔργον ἀξιάγαστον καὶ τὴν τέχνην καὶ τὴν χάριν, οὐδὲν ἀπελείπετο τῶν ἐκφανεστάτων παθῶν· ὅλος γὰρ ἀνήρτητο ταῖς ἐλπίσιν, ἕως ἐκεῖθεν σὺν δόλῳ ἀφῄρηκεν· οὐ γὰρ ἀκίνδυνος ἦν παντάπασιν ἡ προφανὴς ἐπιχείρησις. ἀλλὰ καὶ τὰς χαλκᾶς πύλας ἐκεῖσε μετέθηκεν, αἳ πρώην μὲν ἐπεζύγουν τοῦ μεγάλου παλατίου τὴν εἴσοδον εὐρεῖαι οὖσαι καὶ ὕψισται, ἐς δ' ἡμᾶς τὴν εἱρκτὴν συνεῖχον ἥπερ ἐξ αὐτῶν Χαλκῆ κατωνόμασται. καὶ τὸν ἐν ἀνακτόροις περιώνυμον D ναὸν ὃς Νέα μονὴ κικλήσκεται, θείου παντὸς ἐπίπλου καὶ ἱεροῦ σκεύους ἐψίλωσε. κἀπὶ τούτοις λαμπρυνόμενος ἦν καὶ θρυπτόμενος ὡς οὔτις ἄλλος ἐπ' ἔργοις θαυμαστοῖς ἁβρυνόμενος. ᾤετο γὰρ προσένεξιν τὴν ἀφαίρεσιν καὶ πρόσθεσιν τὴν μετάθεσιν· τὴν γὰρ σκιὰν προὔκρινε τῆς εἰκόνος, οὐ μὴν ἀγαθοεργίας σκιογραφίαν καὶ μικρὸν ἢ οὐδὲν φιλοθεΐας ἴνδαλμα σώζουσαν. ἀλλ' οὐδὲ τὸ θεῖον χολᾶν, χαίρειν δὲ μᾶλλον, εἰ οὗτος μὲν V. 233 ὁ νεὼς τῆς πρώην ἀχρειοῦται λαμπρότητος εἰς ἐννόσσευσιν πτηνῶν καὶ κατοίκησιν ἐχίνων ἐώμενος, ἐγκαινίζεται δ' ἕτερος ὀθνείοις κειμηλίοις καὶ κόσμοις ἀλλοτρίοις καταγλαΐζεται.

P. 284 7. Ὁ δὲ τόλμης μετεῖχεν, ἵνα μετρίως γοῦν εἴποιμι, ἐκοίνου τὰ ἱερὰ σκεύη, κἀκ τῶν θείων αὐτὰ ναῶν ἀποσπῶν ταῖς ἑαυτοῦ τραπέζαις παρεισέφερεν. ᾤχει δὲ καὶ τοῖς δα-

2. post παθῶν cum A omisi τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν. 3. ἀφήρητο A. 17. καὶ κατοίκησιν] καὶ ἐχιδνῶν καὶ ὄφεων ὑπάρχειν κατοικητήρια B.

summum etiam studium adhibuit, ut Monembasia transferret Christum, qui in cruce trahitur, opus admirabili arte et elegantia, quod cruciatus domini et servatoris nostri evidentissime repraesentat; nec conquievit priusquam eam imaginem dolo abstulisset: nam aperte citra periculum id conari haud potuisset. aereas portas latas et altissimas, quae olim magnum palatium claudebant, nostra aetate carcerem, qui inde Chalce dicitur, muniebant, eodem transtulit. celebrem aulae aedem, quod novum monasterium dicitur, omni sacro ornatu, vasis omnibus spoliavit. atque his rebus gloriabatur et efferebatur magis quam quisquam alius mirabilia opera laudi sibi duceret. nam cum umbram imagini praeferret, subtractionem pro additione et transpositionem pro appositione habebat, quamvis ea nullum beneficentiae simulacrum, parvam aut nullam religionis speciem haberet: neque vero deum irasci, sed potius gaudere, si aliud templum pristino splendore privatum volucribus nidos et erinaceis foveas praeberet, aliud vero instauratum peregrinis donariis et alienis ornamentis splendesceret.

7. Ea quoque fuit audacia (ne quid dicam gravius) ut sacra vasa profanaret et templis avulsa mensis suis adhiberet. in comessa-

κτύλοις κατὰ πότον τὰ ἐν τάφοις βασιλέων ᾐωρημένα κυπελλοειδῆ τῷ θεῷ ἀναθήματα, ἐκ λίθων τιμαλφῶν καὶ χρυσίου ἀπέφθου ἐσκευασμένα, καὶ εἰς χέρνιβα χειρῶν ὑδροχόοι περιεφέροντο ἄμαχοι τὸ κάλλος καὶ ἄπληστοι τὴν ὥραν, οἷς ἀπομόργνυνται Λευῖται καὶ ἱερεῖς τὰ θεῖα μετιόντες μυστήρια. ἀφαιρῶν δὲ καὶ ἀπὸ τιμίων σταυρῶν καὶ πτυχῶν τῶν ἀκηράτων Χριστοῦ λογίων κόσμους πολυτελεῖς περιδέραια καὶ στρεπτοὺς ἐπίθετο ἐξ αὐτῶν, καὶ τούτους αὖ κατὰ τὸ αὐ- B τῷ δοκοῦν μεταβάλλων ἑτέραις ἐνήρμοζεν ἀπεριθαμβήτως βασιλικαῖς στολαῖς. πρὸς δὲ τοὺς εἰσάγοντας παραίφασιν, μὴ συμφέρειν αὐτῷ τὰ γινόμενα ταῦτα θεοφιλεῖ αὐτοκράτορι ὄντι καὶ ἄνωθεν ἐκ προγόνων τὴν εὐσέβειαν ἐπικαταβαίνουσαν ἔχοντι, καὶ θεοσυλίαν εἶναι προφανῆ τὰ γινόμενα, σφοδρὸς ἦν καὶ παροξυντικός, καὶ ἐπέπληττεν ὡς ἀνοηταίνουσι προδήλως καὶ δυσπραγοῦσιν ἄγνοιαν τοῦ καλοῦ τοῖς οὕτω φάσκουσι· πάντα γὰρ ἐξεῖναι τοῖς βασιλεύουσι ποιεῖν διετείνετο, καὶ θεοῦ καὶ ἄνακτος κατὰ τὸ ἄρχειν τῶν ἐπιγείων μὴ ὡς ἐπίπαν εἶναι τὸ διεστὸς ἀσύμβατον καὶ ἀντίθετον, ὡς τῇ καταφάσει ἀπόφασις. συνιστῶν δὲ ὡς δῆθεν ἀμεμφῆ καὶ C ἀνεύθυνα τὰ γινόμενα, παρῆγεν εἰς παράδειγμα τὸν ἐν βασιλεῦσι Χριστιανοῖς πρώτιστον καὶ κράτιστον Κωνσταντῖνον,

3. εἰς χέρνιβα] τὰ χερνιβόξυστα B. 7. περιδέραια] τραχηλέας B. 16. πάντα] οὐδὲν γὰρ τὸ διαφέρον ἔλεγεν ἐπὶ τῆς γῆς θεοῦ καὶ βασιλέως κατὰ τὴν ἀρχὴν ἐστίν· πάντα γὰρ τοῖς βασιλεῦσιν ἔξεστι ποιεῖν, καὶ σύμμικτα ἔχειν ὁμοῦ τὰ τοῦ θεοῦ καὶ αὐτῶν, ἐπεὶ καὶ παρὰ θεοῦ τὴν βασιλείαν ἔλαβον, καὶ οὐκ ἔστι διάστασις ἐν αὐτοῖς. B.

tionibus quoque ex gemmis pretiosis et solido auro calicum instar facta donaria, quae supra imperatorum monimenta pendebant, manibus versabat; et pelvibus insuperabilis elegantiae, quibus se Levitae et sacerdotes, cum sacra mysteria tractant, mundare solent, pro malluviis utebatur. auferebat particulas de venerandis crucibus, item ornatum maximi pretii de immortalibus Christi oraculis, iisque pro monilibus et torquibus utebatur: ipsos vero codices aliis imperatoriis stolis, quae nihil haberent admirationis, involvebat. et graviter succensebat iis a quibus monebatur ea facta non expedire religioso imperatori, qui pietatem a maioribus accepisset, nec aliud esse quam sacrilegium; eosque ut manifeste deliros et honestatis ignaros arguebat: licere enim imperatoribus omnia; et inter deum et regem, quod ad terrenarum rerum gubernationem attineret, non eam esse repugnantiam quae sit inter negationem et affirmationem contendebat. ac ut probaret scilicet se eo nomine non esse reprehendendum, primi et summi inter Christianos imperatoris Constantini exemplum

τὸν μὲν τῶν ἥλων δι' ὧν ὁ κύριος τῆς δόξης τῷ ξύλῳ τῆς κατάρας προσήλωτο τῷ ἱππείῳ χαλινῷ πατταλεύσαντα, τὸν δὲ τῇ κόρυθι ἐνερείσαντα. τὸν δὲ σκοπὸν ἑκὼν παρεβλέπετο, δι' ὃν ὁ τῆς πίστεως ἀρχηγὸς ἄναξ ταῖς τοιαύταις ἐνεκαλλωπίζετο πράξεσι, δύναμιν θειοτέραν τὸν τοῦ σταυροῦ λόγον δεικνὺς τοῖς Ἕλλησι καὶ τιθέμενος, οἳ μωρίαν τὸ κήρυγμα ἥγηντο.

Ἀλλὰ καὶ τὸ ἀργύριον κιβδηλεύσας ἀδόκιμον τὸ νόμισμα κέκοφε, καὶ τὴν τῶν χρημάτων συλλογὴν οὐκ ἀνέγκλητον D ἐποιεῖτο παντάπασι, τάς τε τῶν δημοσίων φόρων εἰσπράξεις ἐπέτεινε, καὶ περὶ τὴν τούτων ἀπόχρησιν ἠσωτεύετο. καὶ τὰς ἀρχὰς παρούβαλλεν εἰς ἐξώνησιν ὡς τὰς ὀπώρας οἱ ἀγοραῖοι. ἐνίοτε δὲ καὶ ἄτερ βαλαντίου καὶ πήρας ἀποστολικῶς εἰς τὰς ἐπαρχίας ἐξέπεμπεν οὓς ᾔδει μερίδα τῷ δικαίῳ διδόντας καὶ ἀκαταγοητεύτους χρυσίῳ, μηδ' οἴκοι καταβύοντας πάντα τὰ συλλεγόμενα ἀλλὰ καὶ τῷ δημοσίῳ ταμιείῳ κατατιθεμένους τὸ ἐφάρμοστον ὄφλημα. ναοῖς δὲ καὶ τεμένεσι καὶ εὐκτηρίοις οἴκοις καὶ ἱεροῖς φροντιστηρίοις, ὡς οὔ τις πρότερον, τὸ φιλότιμον ἐπεξέτεινε· τοὺς γὰρ καμόντας χρόνῳ ὑπήρεισε, καὶ ὅσοις τὸ ἀγλαοφανὲς ἠμαύρωτο, τούτους τοῖς ἐκ ψηφίδων καὶ χρωμάτων ὡραϊσμοῖς κατεκόσμησε. πρός δέ γε τὴν θεομήτορα τοσαύτην ἔτρεφε πίστιν ὡς καὶ τὴν

8. ἀλλὰ] ἐποίησε δὲ οὗτος ὁ βασιλεὺς καὶ τὸ χάραγμα αὐτοῦ κίβδηλον μετὰ χαλκοῦ καὶ ἀργύρου μεμιγμένον, καὶ ἀναμάρτητον τοῦτο εἶναι διεβεβαιοῦτο. B. 11. καὶ τὰς] καὶ τὰ κεφαλαττίκια καὶ τὰς ἐνοχὰς ἐπάκτευε καὶ ἐπώλει ὥσπερ τὰς ὀπώρας αἱ πορικοπώλισαι B. 20. ἠμαύρωτο] ὑφάντωτο A.

adducebat, qui alterum clavum, quibus gloriosus dominus execrabili cruci fuit affixus, freno equi inseruerit, alterum galeae infixerit. sed causam de industria dissimulabat, cur Christianae religionis princeps eius modismbus se ornarit, ut videlicet gentilibus ostenderet praedicationem crucis esse divinam potentiam, quam ipsi ut dementiam aspernabantur.

Argenteam monetam adulteravit, neque pecuniam plane citra reprehensionem collegit. publicorum vectigalium exactiones auxit, quibus ad luxum est abusus. magistratus, ut circumforanei poma, venales habuit; eosque nonnunquam apostolico more sine sacco et crumena in provincias ablegabat, quos aequitatis rationem aliquam habere, nec auro decipi, nec quicquid collegissent domi abstrudere norat, sed quod fisco deberetur bona fide pendere. tamen liberalitate in templa et monasteria superiores imperatores omnes superavit. nam tempore ruinosa suffulsit, vetustate deformata incrustationibus et picturis illustravit. dei genitricem tanta veneratione coluit

ψυχὴν ἐκκεχύσθαι ταῖς εἰκόσιν αὐτῆς. καὶ διὰ τοῦτο πλεί- P. 285 στας χρυσίῳ περιστείλας καὶ λίθοις τιμαλφέσι περιανθίσας ἀνέθηκε ναοῖς εἰς προσκύνησιν, καθ' οὓς γίνονται πολλάκις τῶν εὐσεβῶν συνδρομαί. ἀλλὰ καὶ τὴν ἐπὶ τὸ κάταντες ἐν τῷ λιμένι τῶν Σοφιῶν ἑστίαν Ἰσαακίου τοῦ σεβαστοκράτορος εἰς πανδοχεῖον μετασκευάσας, ἀνδρῶν μὲν ἑκατὸν παρέθηκε τράπεζαν καὶ κλίνας ἰσομέτρους, τοσαυταρίθμων δὲ ὑποζυγίων ἱππῶνας ἀνέστησε· καὶ εἱστιῶντο καθ' ἑκάστην οἱ πα- V. 234 ραβάλλοντες, ἄτερ καταθέσεως ἀργυρίου, ἐφ' ἡμέραις πλείοσι. μετέβαλε δὲ εἰς νοσοκομεῖον καὶ τοὺς βασιλικοὺς δόμους οὓς κατὰ τὸν νεὼν τῶν τεσσαράκοντα μαρτύρων ὁ βασιλεὺς Ἀνδρόνικος ἐδομήσατο. ἔτι γε μὴν τὸν τοῦ μεγάλου δρουγγαρίου ὀνομαζόμενον οἶκον ἐκ τοῦ δεσπόζοντος ὠνησάμενος, B ὁμοίως καὶ τοῦτον εἰς ἀνάπαυμα τῶν καχεκτούντων ἀπέταξεν, οὐδενὸς φεισάμενος ὁπόσα πρὸς ῥῶσιν ὁρῶσι τῶν ἀσθενούντων. καὶ πυρὸς τὸ προσάρκτιον κλίμα τῆς πόλεως ἀφανίσαντος, διαδόσεσι χρημάτων τοὺς ἐς δόμους καὶ τὰ ὄντα ζημιωθέντας παρεκάλεσε. καὶ βασιλεύσας τοῖς πολίταις διένειμε χρυσίου κεντηνάρια πέντε. καὶ τῆς μεγάλης ἑβδομάδος ἐφισταμένης καθ' ἣν τὰ ὑπὲρ ἡμῶν τοῦ θεανθρώπου πάθη σεβάζονται, πολλάς τε ἀποβαλομένας θανάτῳ τοὺς συνέτας ἀνεκτᾶτο τῆς χηρείας δι' εὐποιίας, καὶ παρθένοις ἐχο-

1. ἐκκεχύσθαι] διαχεῖσθαι ἐν ταῖς B. 3. πλειστάκις A. 4. τὴν ἑστίαν] τὸν οἶκον B. 10. νοσοκομεῖον] ξενῶνα B. 14. εἰς ἀνάπαυμα] τοῦτον ξενῶνα ἐποίησεν ἕτερον εἰς ἀνάπαυσιν ἀνθρώπων τῶν ἐν ἀσθενείᾳ ὄντων B. 22. παρθένοις ἀπόροις ἐπροικοδότει καὶ ἔξοδον ἐν τοῖς γάμοις ἐδίδου B.

ut ad eius imagines animo pene linqueretur; ideoque plurimas auro et gemmis ornatas in iis fanis adorandi causa dedicavit, ubi frequentissimus erat piorum hominum concursus. domum Isaacii sebastocratoris in ardua parte Sophiani portus sitam in pandocheum transformavit, ubi centum viri cibum capere, totidem lectis cubare, et totidem equi stabulari possent. et qui eo veniebant, sine pecunia diebus compluribus pascebantur. regias aedes quas Andronicus ad aedem SS. quadraginta struxerat, in nosocomium mutavit. redemit et domum quae magni drungarii dicitur a possessore; et in ea quoque male habentes refocillandos curavit, nulla re negata quae sanationem eorum iuvare posset. cum urbis pars septentrionalis conflagrasset, eos qui vel aedium vel bonorum iacturam fecerant distributione pecuniae sublevavit. imperio potitus, V auri centenarios civibus divisit. magna hebdomade, quae supplicii quod deus et homo pro nobis subiit memoria colitur, viduas eleemosynis, pauperculas virgines

ρήγει τὰ πρὸς γαμήλιον δόμα καὶ παστάδα καὶ ὑμέναιον ἐπι-
C τήδεια. οὐ μόνον δὲ καθ' ἕνα καὶ κατ' οἴκους καὶ συγγενείας ἐνεπίμπλα φιλοδωρίας, ἀλλὰ καὶ πόλεις ἔστιν ὅτε ὅλας εὐηργέτει ταῖς τῶν φόρων ἀνέσεσιν. ὡς δ' ἔπος εἰπεῖν, οὕτως ἔχαιρε τῷ ἐλέῳ καὶ πρὸς τὴν τῶν ἀγειρομένων ἀπόκτησιν ἔρρωτο ὡς ἀπαντλεῖν ἀμφοτέραις τὰ ἐπεισρέοντα· ὅθεν αὐτῷ ὑπεισέδυ καὶ ὑπούλως παρεισεφθάρη τὸ μὴ ἐκ πόρων ἀεί ποτε δικαίων τὰ χρήματα συγκομίζεσθαι. τὰς γὰρ τῶν δαπανῶν ὑπερόγκους τῇ ἀσωτείᾳ ἐγγιζούσας οἱ πλεῖστοι μὴ ὑφορώμενοι, εἰσπράξεων ἐφευρεταὶ καινῶν καθιστάμενοι ὡς γεωργίῳ ἡμέρῳ μελίνην ἢ ῥόδῳ ἀνεμώνην τὰ μὴ καλῶς μηδ' ὁσίως συλλεγόμενα συμφύρουσι χρήματα τοῖς δικαίοις πορί-
D σμασιν. κατάφορος δ' ὢν εἰς θυμὸν οὐδὲ τοῦ συμπαθοῦς ἤθους ἀπῴκιστο, ἀλλ' αὐτὸς ἑαυτὸν πρὸς εὐμένειαν ἐπανάγων σύνδρομον πολλάκις ἐπεποίητο τῇ ὀργῇ τὴν συμπάθειαν, καὶ ταῖς συμφοραῖς τῶν ἀνθρώπων ἐπικλώμενος τὰ πρὸς ὑφαίρεσιν ἑκάστῳ ἐπεμέτρει τῶν ἀλγεινῶν. ταῦτα δὲ πράττων, καὶ ἄλλ' ὁπόσα τὸ λέγειν παρέδραμεν, ᾤετο τῇ βασι-

1. δόμα] δᾶμα A. 5. τῷ ἐλ. — πορίσμασιν] καὶ ἠγαλλιᾶτο εἰς τὴν ἐλεημοσύνην καὶ εἰς τὰς εὐεργεσίας καὶ ἀσχολήσεις τῶν ἀνθρώπων, ὡς τὰ εἰσερχόμενα, ὅθεν ἄρα καὶ ἦσαν, πάλιν ἐξέρχεσθαι διὰ τρόπου τοιούτου. καὶ διὰ τοῦτο, εἴπερ καὶ ἐξ ἀπόρων συνήγοντο τὰ χρήματα, ἠπατᾶτο μὴ ἁμαρτάνειν ἐν οἷς πάλιν ἐδίδοντο οὕτως. αἱ γὰρ ὑπέρογκοι ἔξοδοι ἐποίουν αὐτὸν ἀναδέχεσθαι καὶ πέμπειν εἰς τὰς δημοσιακὰς ἐνοχὰς ἀνθρώπους διεφθαρμένους, οἵτινες ὑπέσχοντο πλεῖον δοῦναι τῶν ἄλλων. καὶ διὰ τοῦτο ἐφθείροντο καὶ τὰ πράγματα· τὰ γὰρ μὴ καλῶς μηδὲ δικαίως συναγόμενα χρήματα καὶ τὰ εὑρισκόμενα συμφθείρουσί τε καὶ ἀφανίζουσι B. Wolfii Constantinopolitanus hic integrum fere folium omisit.

dote et sumptu nuptiarum iuvabat. neque vero singulos duntaxat homines domos familias munificentia sua recreabat, sed interdum urbibus integris tributum remittebat. ut paucis complectar, ita propensus erat ad misericordiam beneficentiam et inopum sublevationem, ut quicquid undecunque per vim et iniuriam partum acceperat, id rursus utraque manu effunderet. eaque de causa etsi pecunia a pauperibus exigebatur, in eo errore versabatur ut se non peccare persuasum haberet, quod hoc modo iisdem restitueretur. nam immensi sumptus efficiebant ut in provincias mitteret homines corruptos, qui magistratus auctionarentur. quae causa erat ut res publica pessum iret. nam pecunia per vim et fraudem quaesita etiam bene partam una corrumpit et absumit. quamvis autem pronus in iram esset, tamen nec a clementia erat alienus, et saevitiam subinde moderabatur, et placabilitate hominum aerumnas sublevabat. quae, aliaque a nobis

λείᾳ ἐνεστηρίχθαι ὡς οὐδὲ οὐρανίῳ σφαιρώματι ἥλιος, ἢ ὡς στέλεχος φοίνικος ὑπὸ ὀσμῆς ἀναθηλούμενος ὕδατος καὶ κέδρος Λιβανίτης ὑψίκομος ἐς κύκλους διατηρηθῆναι μακραιώνων ἐνιαυτῶν. τοῦτο δ' ἂν καὶ ἄλλος τις ὑπετόπασε τὴν ἀγαθὴν ἀποκρίνας μερίδα καὶ ἀσπασάμενος, καὶ μὴ τοῖς ἑπτὰ μόνον διδοὺς τὸ ἀνάλογον, ἀλλὰ καὶ τὸ τῆς ὀγδόης μυστήριον ἔχων πρὸ ὀφθαλμῶν, καὶ τῷ τῆς ἐφ' ἑκάτερα ῥοπῆς P. 286 κύριος εἶναι προσρέπων μὲν ἀεὶ τοῖς ἀμείνοσιν, τοῖς δ' ἐναντίοις ἐπινηχόμενος βράδιον, ἀλλ' οὐ γινόμενος ὑποβρύχιος. θεὸς δὲ οὐχ οὕτω βεβούλευται. τίς δ' ἔγνω νοῦν κυρίου, ἢ τίς συμπαρείληπταί οἱ σύμβουλος; ἀμέλει καὶ ἐκποδὼν τὸν ἄνδρα θέσθαι τὸ θεῖον προμηθευσάμενον ἀρίστῃ πράξει καὶ καλλίστῃ προθυμίᾳ συνεπεγεῖραν οἷον αὐτὸν καὶ ἐπιρρῶσαν χρήσασθαι ἀσπαστὸν καὶ μετὰ τὴν ἀπόθεσιν τῆς ἀρχῆς τοῖς B πλείοσιν ἔδειξε.

8. Μὴ φέρειν γὰρ ἔχων τὰς μετὰ Σκυθῶν ἐπιδρομὰς καὶ λῃστείας τῶν Βλάχων, πληττόμενος δὲ καὶ τῷ τὸν Γίδον Ἀλέξιον καὶ τὸν Βατάτζην Βασίλειον, ὧν ὁ μὲν τῶν ἑῴων

1. οὐδ' ἐν A. 4. τοῦτο — ὑποβρύχιος] τοῦτο δὲ καὶ ἄλλος τίς ἵνα ὑπέλαβεν εἰς ἄνθρωπον τὸν τὴν ἀγαθὴν μερίδα ἐκλεξάμενον καὶ ἀγαπήσαντα, καὶ μὴ μόνον τὰ τοῦ παρόντος κόσμου φροντίζων ἀλλὰ καὶ τὰ τοῦ μέλλοντος αἰῶνος καθ' ἑκάστην ἡμέραν πρὸ ὀφθαλμῶν ἔχοντος, ἐπεὶ καὶ εἰς τὴν ἐξουσίαν καὶ διάκρισιν ἑνὸς ἑκάστου κεῖται τὸ ἀγαθὸν καὶ πονηρόν, ὅπως ἐκλέγηται καὶ ποιῇ τὸ τῷ θεῷ ἀρεστόν. ἐπεὶ καὶ ὁ τοιοῦτος εἰς πολλοὺς διαρκέσει χρόνους, ὥσπερ πάλιν τοὺς πονηροὺς λέγομεν εἰς ὀλίγον τὸ τῆς ζωῆς αὐτῶν ἔσεσθαι τέλος, κατὰ τὸν τοῦ προφήτου λόγον, τὸ „ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν." B. 13. προμηθίᾳ A. 17. γύδον B.

praetermissa cum faceret, se palmae instar ad flumen sitae florere, et imperio solidius infixum esse quam solem caelo arbitrabatur, et ut altam cedrum Libani in longas aetates duraturum. idem et alius iudicasset, qui optimam partem elegisset et dilexisset, nec mundana duntaxat curasset, sed et futurum seculum quotidie prae oculis habuisset. nam bonum et malum in uniuscuiusque potestate et iudicio situm est, ut id deligat et agat quod deo gratum est. quod qui facit, in multos annos durabit, quemadmodum contra improborum vitam brevem fore dicimus, prophetae auctoritatem secuti, qui viros sanguinarios et dolosos ad dimidium dierum suorum perventuros esse negat. deus vero non ita statuit. quis vero novit mentem domini, aut ab eo in consilium est adhibitus?

8. Caeterum cum eum ab imperio remoturus esset, animum eius ad res praeclaras atque optimas excitavit, ut eo etiam amisso plerisque carus et optatus esset. nam cum Blachorum cum Scythis

λίας συγκαλύπτειν πολλαχῇ τὸ μισάδελφον, καὶ ὡς πλείονές εἰσι φιλαλέξιοι μᾶλλον ἤπερ φιλισαάκιοι, ὡς λῆρον ἀπεπέμπετο τὰ λεγόμενα, μηδὲ τὸ ἐξεταστικὸν ὡς λίθον Ἡράκλειον προσάγων καὶ βασανίζων τῶν παρὰ τοῦ ἀδελφοῦ πραττομένων τὸ κίβδηλον, ἀλλὰ δριμὺς ὢν τοῖς τὰ τοιαῦτα εἰσηγουμένοις ὡς ἔχουσι πρὸς ἐφέσεως ἐξίτηλον ποιεῖν τὴν ἀνέκπλυτον καὶ οἷον εἰς βάθος ἐγκεκαυμένην τῇ ἑαυτοῦ ψυχῇ πρὸς τὸν κασίγνητον στοργήν, ὃν μόνον ἀπὸ πάντων ὁ λωβητὴρ Ἀν-
C δρόνικος οὐκ ἐσίνατο. ἀφιγμένος τοίνυν ἐς τὴν παραθαλαττίδιον Ῥαιδεστὸν τὴν μεγίστην ἐκτελεῖ καὶ κυριώνυμον ἀναστάσιμον ἑορτήν, καὶ θύει καὶ ἐσθίει τὸ πάσχα τὸ μυστικόν. ἔνθα καὶ τῷ Βασιλακίῳ συγγίνεται. ἦν δ' οὗτος ἀλλότροπόν τινα βίοτον μετιών, καὶ δόξαν παρὰ πάντων ἠνέγκατο προφητεύειν καὶ προβλέπειν τὰ ἔμπροσθεν, ὅθεν εἰς αὐτὸν τὰ
V. 236 πλήθη συνέρρεον ὡς οὐδ' ἐς μυρμηκιὰν οἱ ἐπανιόντες τε καὶ ἐξιόντες φιλόπονοι μύρμηκες ἢ γοῦν οἱ ἐς Ἄμμωνος πάλαι καὶ Ἀμφιάρεω ἀφικόμενοι. ἀλλ' οὐδὲν ἀληθὲς καὶ σαφὲς περὶ τῶν ἐσομένων οὗτος ἐφθέγγετο, πεπλανημένα δὲ καὶ ἀσύμφωνα ἑαυτοῖς καὶ γριφώδη διεξῄει ῥήματα· ἐν πολλοῖς
D δὲ καὶ γέλωτος διατεχνώμενος ἄξια, τὸν ἀγελαιοκόμον ὅμως καὶ πρὸς ὕννιν ἀφορῶντα καὶ κώπην ἐπεσπᾶτο λεών. τῶν γὰρ ἀφικνουμένων ἐς αὐτὸν γυναικῶν ἐμάστευε τοὺς μαστούς, καὶ περιαθρῶν τὰ σφυρὰ ληρῶν ἐπὶ τούτοις ἦν καὶ ἀποφοι-

1. καὶ ὡς — φιλισαάκιοι om A. 11. τὸ prius om A. 16. φιλοκάματοι B. 17. ἀλλ'] ἀληθὲς δὲ οὐδὲν A. 21. τῶν γὰρ] ἐμάλασσε δὲ καὶ τὰ τῶν γυναικῶν βιζύα B. 23. τὰ μερία B.

destinum odium benevolentiae praetextu dissimulare, ac plures esse Alexii quam Isaacii amantes, verba illa pro nugis aspernabatur, non adhibito iudicio, ut lapide Herculeo, ad adulterina fratris acta deprehendenda. imo asper in delatores erat, quasi caritatem suam erga fratrem indelebilem et firmissimis nixam radicibus abolere atque excindere vellent, quem solum omnium vastator Andronicus non laesisset. igitur ad Radaestum maritimam urbem profectus maximum et nomini suo respondens resurrectionis festum celebrat, et pascha mysticum immolat et comedit; ibique Basilacium convenit, inusitatae vitae hominem, eamque opinionem apud omnes consecutum quasi futura praevideret atque praediceret. unde maxima hominum frequentia ad eum, ut olim ad Hammonis et Amphiarai oraculum, confluebat. caeterum nihil veri et perspicui de rebus futuris loquebatur, sed verba confusa, inter se dissidentia et perplexa fundebat; et quamvis saepe ridicula quaedam admisceret, tamen turbam pastorum agricolarum et remigum ad se attrahebat. nam mulierum ad se ve-

βάζων ἀδιάγνωστα λόγια. ἀπεσιώπα δὲ κἀπὶ ταῖς πλείσταις τῶν πεύσεων αἵπερ αὐτῷ παρὰ τῶν προσιόντων ἐπήγοντο, καὶ τὰς οἰκείας πράξεις μεταβάσεσι τοπικαῖς καὶ σχηματισμοῖς ἐπέραινε Πανικοῖς. συνεστῶτα δὲ γύναια γραϊκά τινα οἰστρηλατοῦντά τε καὶ κωθωνιζόμενα, κατὰ γένος αὐτῷ συναπτόμενα, ὑφηγοῦντο τοῖς παραβάλλουσι τὰ ὑπὸ τοῦ Βασιλακίου τελούμενα, ὅ τι τῶν γενησομένων τεκμηριάζουσι, καὶ τὴν σιγὴν ὥς τι φθεγγομένην καὶ ὑποδηλοῦσαν σοφὸν διεσήμαινον. ἐδόκει οὖν ὁ ἀνὴρ οὗτος τοῖς μὲν πολλοῖς, ὡς ἔχω P. 288 εἰπεῖν, προφητικὸς καὶ προσημαίνων τὰ συμβησόμενα, καὶ μάλισθ' ὁπόσαις τῶν γυναικῶν αἱ τῶν πεύσεων ἄσεμνοι καὶ ἀσχήμονες τῶν ἐσθημάτων ἐγκομβώσεις ὥς παιδιά τις περιεσπούδαστο γέλωτι σύμμικτος, τοῖς δ' ἐς νοῦν βάπτουσι περίεργόν τι καὶ γελωτοποιὸν καὶ ληρῶδες γερόντιον ἥγητο. εἰσὶ δ' οἳ καὶ πνεύματι Πύθωνος κάτοχον εὐστόχως εἰρήκασιν, οἷς ἐθέμην μάλιστα καὶ αὐτός. τότε γοῦν ἐπιστάντι τῷ αὐτοκράτορι οὔτε προσέσχεν ὅλως ὡς περιβεβλημένῳ τοσαύτην καὶ τοιαύτην ἰσχύν, οὔτε πρὸς τὴν αὐτοῦ προσηγορίαν (ἣ δὲ ἦν „χαίροις ὦ πάτερ Βασιλάκιε") τὴν ἀπόκρισιν ἔθετο ἢ γοῦν ἀντησπάσατο σιωπῇ κατανεύσας τῇ κεφαλῇ, ἀλλ' B ὧδε κἀκεῖσε μετὰ πωλικῶν φερόμενος σκιρτημάτων καὶ παραφόρων μετακινήσεων ἐκακολόγει τοὺς προσιόντας, καὶ μάλιστα τὸν Μεσοποταμίτην Κωνσταντῖνον, ὃς ἦν τότε λίαν

4. γυναικάρια γραΐδια B. 6. τὰ ὑπὸ] τὰς μετακινήσεις καὶ μεταβάσεις τῶν ποδῶν αὐτοῦ B. 10. προσημαίνων] προφητεύων A. 14. ἥγητο] ᾤετο A. 22. καὶ μάλ. — βασιλεῖ om AB.

nientium mammis exploratis et talis contrectatis obscura promebat oracula, et ad plerasque quaestiones nihil respondebat, et suas divinationes discursationibus et insanis gestibus peragebat. astabant ei quoque cognatae aniculae, vecordes et insanae, quae consultoribus explicabant quid illi Basilacii gestus rerum futurarum designarent, et taciturnitatem ut sapientem orationem interpretabantur. is igitur homo, ut dixi, vates vulgo habebatur et futura praedicere putabatur, a mulierculis praesertim, quibus turpes quaestiones et deformes vestium implexiones pro ludo et ioco cordi erant. cordatis vero hominibus ineptus histrio et vecors silicernium videbatur. erant etiam qui eum Pythonico spiritu esse praeditum haud absurde coniectarent; quorum ego iudiciis maxime assentior. imperatorem neque ut tanta potentia praeditum excepit; neque salutationi eius quae erat „salve pater Basilaci," respondit; neque tacito nutu capitis gratias egit: sed huc atque illuc instar pulli equini aut hominis furiosi saltans

ᾠκειωμένος τῷ βασιλεῖ, μηδ' αὐτοῦ φειδόμενος τοῦ κρατοῦντος. ὀψὲ δὲ καὶ μόλις τῶν ἀτάκτων λήξας κινήσεων, τὴν χεῖρα ἐκτείνας ἀχρειοῖ διὰ τοῦ σκίμπωνος, ὃν ἔφερε ταῖν χεροῖν, τὴν εἰκόνα τοῦ βασιλέως, ἥτις κατὰ τὸ εἰς εὐχὴν αὐτῷ ἀποτεταγμένον οἰκίδιον χρώμασιν ἐπὶ τοίχου ἐστήλωτο, τοὺς ὀφθαλμοὺς διαλωβησάμενος. ὡρμήκει δὲ καὶ τὸν τῆς κεφα-
C λῆς τοῦ αὐτοκράτορος πῖλον ἁρπάσαι καὶ χαμαὶ κατενεγκεῖν. καὶ ταῦτα μὲν οὗτος διεπεπράχει, ὁ δὲ βασιλεὺς ἀφροσύνην καταγνοὺς τοῦ ἀνδραρίου ἐκεῖθεν μεθίσταται. αὐτοῖς μέντοι γε τοῖς συνειλεγμένοις, ὀφθαλμοῖς παραλαβοῦσι τὰ γεγονότα οὐκ εὐσύμβολος τῶν ἐσομένων οἰωνὸς συλλελόγιστο· ὡς δὲ καὶ τὰς ἀποβάσεις οὐ πάντῃ ἀπᾳδούσας τοῖς συμβόλοις τεθέανται, ἐπὶ πλέον ἕκαστος ἔτι τὴν περὶ τοῦ Βασιλακίου δόξαν ἐκράτυναν, ἀμφιρρεπῆ τε οὖσαν, ὡς ἤδη μοι λέλεκται, πρότερον κἀπὶ τοῖς πλείστοις ἀμφισβητήσιμον. ὡς δ' εἰς τὰ Κύψελλα ὁ κρατῶν ἀφίκετο, τὰ μὲν τῶν στρατευμάτων ἐς φάλαγγας καὶ ἴλας ξυνέταττε, τὰ δὲ καραδοκῶν προσέμενεν
D ἀφικέσθαι. τῶν δ' εὖ γεγονότων συχνοὶ τῇ ἀκομιστίᾳ τοῦ βασιλέως ἐκ μακροῦ δυσχεραίνειν πλαττόμενοι καὶ τῷ μὴ κατὰ τὸν εἰκότα λόγον τὰ κοινὰ διοικεῖσθαι πράγματα, εἰπεῖν δ' ἀληθέστερον τὰς μεταβολὰς τῶν πραγμάτων κατὰ πολὺ συμβαλλομένας αὐτοῖς ἐς χρηματισμὸν κατανοήσαντες, τότε τὰ

2. ὀψὲ] ὁ Α. 3. διὰ σκίπωνος Α, μετὰ τῆς νάρθηκος Β. 6. δὲ] οὖν Α. κεφαλῆς πῖλον. ἀφελέσθαι τοῦ βασιλεύοντος. ταῦτα μὲν οὖν ἐκεῖνος διεπεπράχει· ὁ δ' αὐτοκράτωρ ἀφρ. τοῦ ἀνδρὸς καταγνοὺς Α. 15. πρότερον om Α. 16. παρεγένετο Α. μὲν] μὲν ἐλθόντα Β. ἐς φάλαγγας] ἐς τάξεις συνέτ. Α. 18. δ' εὐγενῶν Α. 19. καὶ τῷ — πράγματα om Α. 20. δ'] δὲ καὶ Α.

accedentibus maledixit, Constantino Mesopotamitano in primis, qui tum Isaacio familiarissimus erat. nec ipsi denique imperatori parcens, vix tandem inquietis illis agitationibus omissis, scipione quem manibus gestabat, imaginis imperatoris, quae in eius oratoriae cellae pariete depicta erat, oculis erasis, etiam pileum de capite illius auferre studebat. quae cum fecisset, imperator eo deliro despecto recessit, populus vero qui ea viderat, nihil boni ominabatur. ut vero etiam eventum non plane ab illis signis abhorrere constitit, cuiusque opinio de Basilacio confirmata est, quae, ut dixi, anceps prius et in plerisque dubia fuerat. ut autem imperator Cypsella pervenit, exercituum partem centuriavit, partem, quae nondum advenerat, expectavit. sed nobilitatis magna pars aegre ferre se simulans quod longo tempore ab imperatore neglecta esset, quodque res publica

ἐνδεδυκότα τῇ ψυχῇ καὶ ὑποθαλπόμενα τοῦ στήθους ἀναμηρύοντες εἰς φῶς προήνεγκαν. τοίνυν ὁ μὲν αὐτοκράτωρ εἰς κυνηγέσιον ὁρμηθεὶς καὶ πρὸς τῷ ἔφιππος ὀφθῆναι γινόμενος μετεπέμπετο καὶ τὸν ἀδελφὸν Ἀλέξιον συνεξιέναι οἱ καὶ συνδιαχυθῆναι κατὰ τῶν ἐκεῖσε πεδίων τὰ ποώδη καὶ ἀνθηρά· V. 237 ὁ δὲ πρὸς τὸ ἐν χερσὶν ἔργον ἑτοιμασάμενος ἐπισπέσθαι οἱ ἀπείπατο, πρὸς σχάσιν φλεβὸς ἑτοιμασθῆναι λέγων, μαλακισμὸν ὑποκρινάμενος σώματος. καὶ οὕτως ὁ μὲν ἔξεισι καὶ μόνος καὶ τῆς προκειμένης ἔχεται, οἱ δὲ τοῦ σκέμματος κοινωνοῦντες τῷ Ἀλεξίῳ λοιμοὶ καὶ κύβοι καὶ εὔριποι καὶ σκηνῆς γέμοντες ἄνθρωποι, ὡσεὶ σταδίους τρεῖς τὸν βασιλέα P. 289 προϊόντα ἰδόντες τῆς σκηνῆς μετὰ τῶν πέλας καὶ φίλων οἷς πεπολίτευτο καὶ οἳ συνδιώκουν αὐτῷ τὰ κατ' ἔφεσιν, συναρπάζουσιν εἰρωνικῶς τὸν Ἀλέξιον, καὶ εἰς τὴν βασίλειον σκηνὴν τοῦτον εἰσάγουσι καὶ ἀναγορεύουσιν αὐτοκράτορα. ἦσαν δ' οὗτοι ὁ Βρανᾶς Θεόδωρος, ὁ Παλαιολόγος Γεώργιος, ὁ Πετραλίφας Ἰωάννης καὶ ὁ Ῥαοὺλ Κωνσταντῖνος, ὁ Καντακουζηνὸς Μιχαὴλ καὶ συχνοὶ ἕτεροι ἀνάρσιοι καὶ εὔριποι ἄνθρωποι, κατὰ γένος τῷ βασιλεῖ συναπτόμενοι, καὶ σμῆνος ἄλλο ἀγελαῖον περὶ τὸ σεβαστοκρατορικὸν πάλαι ἀλητεῦον

7. πρὸς σχάσιν] ὅτι ἀνώμαλόν ἐστι τὸ ὅλον μου σῶμα καὶ θέλω φλεβοτομηθῆναι B. 9. δὲ τῆς ἑταιρίας Ἀλεξίου καὶ τῶν σκεμμάτων ἐκείνω συμμέτοχοι A, omissis λοιμοὶ καί. 11. σταδίους] ἥμισυ μιλίου B. 13. τὰ om A. 14. εἰρωνικῶς om A. σκηνὴν] αὐλαίαν εἰσάγ. A. 16. ὁ πετραλείφας. ὁ ῥαοὺλ ἰωάννης· ὁ καντακουζηνὸς κωνσταντῖνος καὶ ἕτεροι ἄρχοντες συγγενεῖς αὐτοῦ B.

perperam et temere administraretur, cum re vera illud spectaret, quod ex imperii mutationibus se plurima emolumenta percipere animadvertebat, quae diu caelarat animis, tum in apertum protulit. cum autem imperator conscenso equo venatum iturus fratrem Alexium, ut secum exiret et in herbidis et floridis illis locis una oblectaretur, accersi iussisset, is destinatis exequendis intentus, aegritudine et venae sectione simulata, comitari eum recusavit. sic ille solus coeptum iter prosequitur. Alexii vero coniurati, homines leves, conscelerati, euripo mutabiliores, fucis et dolis referti, ubi imperatorem cum satellitibus et amicis, quorum in administranda re publica et cupiditatibus suis explendis opera utebatur, tria circiter stadia a tabernaculo recessisse viderunt, Alexium invitum scilicet abreptum et in imperatorium tentorium perductum imperatorem salutarunt. erant hi Branas Theodorus, Georgius Palaeologus, Raul Constantinus, Cantacuzenus Michael, et alii complures improbi et leves homines, imperatori sanguine iuncti, et agmen eorum qui

καὶ χαῖνον ἑστιατόριον καὶ χαῖρον ταῖς τῶν πραγμάτων ἐξ-
B αλλαγαῖς. προσχωρεῖ δέ οἱ καὶ πρὸς μόνην τὴν τῶν νεοχμωθέντων ἐνήχησιν ἅπαν τὸ στρατιωτικὸν ἰλαδόν, καὶ ὁπόσον Ἰσαακίῳ προσέρρεπε θεραπευτικὸν καὶ οἰκίδιον, καὶ οἵπερ εἰς βουλῆς ἀξίωμα ἠρθησαν. ὁ δὲ βασιλεὺς ἀσήμους τὰ πρῶτα φωνὰς εἰς ἀκοὴν ὠτίου δεξάμενος, εἶτα καὶ κατὰ τὴν ἀρχικὴν αὐλαίαν τῶν πλείστων θεώμενος συνδρομὴν καὶ τὴν τοῦ ἀδελφοῦ ἰνάρρησιν ἐνηχούμενος, μετ' οὐ πολὺ δὲ καὶ τοὺς ἀγγέλλοντας ἔχων ταυτὶ τὰ τολμώμενα, ἔστη τε τοῦ ἵεσθαι πρόσω, καὶ τὸ τοῦ σταυροῦ σημεῖον ἑαυτῷ ἐγχαράξας „ἱλήκοις Χριστὲ βασιλεῦ" ἀνεβόησε, καὶ ῥυσθῆναι τῆς ὥρας ἐκείνης πολλάκις ἐθεοκλύτησεν. ἐξενεγκὼν δὲ καὶ ὃ εἶχεν ἐν-
C στήθιον τῆς θεομήτορος μόρφωμα πυκνὰ τοῦτο περιεπτύσσετο, τὰ μὲν ἀνθομολογούμενος τὰ δὲ καὶ ἐξιλεούμενος, καὶ μετὰ συνοχῆς ἐδεῖτο καρδίας διαδρᾶναι τὸν ἐπιόντα κίνδυνον. ἐπεὶ δὲ καὶ τοὺς συλληψομένους αὐτὸν ἑώρα πάντα χαλινὸν ἀνεικότας καὶ ἓν πνέοντας καὶ πρὸς ἓν βλέποντας τὴν αὐτοῦ κατάσχεσιν, φυγαδείας ἅπτεται· καὶ τὸν ποταμὸν ἐπικινδύνως διαβὰς ὃς ἐκεῖσε βαθυδίνης διὰ τοῦ πεδίου σύρεται, εἴχετο τῆς ὁδοῦ, ἐς οὐδὲν μὲν προδήλως σῶζον κατάντημα συνορῶν, τὸν δ' ὄλεθρον ὡς ἀνυστὸν ἐκτρεπόμενος, ὃς ἐκ τοῦ μανιώδους τῶν ἐπομένων ὁρμήματος καὶ τοῦ μηδὲν ἀνιέναι

4. θ.] ὡς θ. A. 7. αὐλαίαν] σκηνὴν A. 9. ταυτὶ om A. 10. πρόσω] περαιτέρω A. 11. βασιλεῦ om A. 12. ἐνστήθιον] ἐγκόλπιον AB. 15. τὰ ἐπιόντα οἱ τῷ τότε δεινά A. 19. ὃς ἐκεῖσε] ὃς διὰ τούτου τοῦ τόπου διέρχεται, ὃν καὶ σήμερον ὀνομαστὶ μαρίτζαν ἢ ὁμαδίτζαν καλοῦσιν B. εἴχετο] ἐπορεύετο μόνος B. 20. ἐς οὐδέν τι πρ. σώζειν ἔχων A. 22. ἐπομένων] ἐπιόντων A.

mensam sebastocratoricam consectabantur, novis rebus gaudentes. totus item exercitus illo motu duntaxat audito turmatim ad Alexium deficit, domestici praeterea et ministri Isaacii omnes, et qui ab eo dignitate senatoria ornati erant. at imperator obscuris principio vocibus acceptis, deinde in tentorium suum concursu plurimorum viso et fratris declaratione audita, nec multo post facinoribus istis nuntiatis, cursu represso, signo crucis se muniit, et Christi pace implorata deum saepius oravit se ex illo discrimine liberari; et dei genitricis imaginem ex sinu prolatam crebro amplectens partim collaudabat, partim supplex efflictim orabat ut imminens periculum effugere liceret. cum autem quosdam comprehendendi sui causa laxis habenis irruere nec aliud spirare aut spectare nisi captivitatem suam cerneret, fugam arripit; et vorticoso fluvio, qui illic praeterfluit, non sine periculo superato pergit. quamvis enim nullum tutum receptum

τοῦ τάχους ὀξύτατος συλλελόγιστο. ἀφιγμένος δὲ κατὰ Στάγειραν, ἥτις Μάκρη λέγεται νῦν, συλλαμβάνεται παρά Παν- D τευγένου τινὸς καὶ καταπροδίδοται τοῖς ἐπιδιώκουσιν. οὐκοῦν καὶ τὸν ἔσχατον ἥλιον θεασάμενος ἄμφω τὼ ὀφθαλμὼ μικρὸν ὕστερον ἐξορύττεται κατὰ τὴν ἐν Βήρᾳ μονήν, ἧς δομήτωρ ὁ τοῦ βασιλέως Ἀνδρονίκου τοκεὺς Ἰσαάκιος. εἰ δὲ κατὰ θείαν νέμεσιν ἐκεῖσε ταύτην τὴν δίκην ἔτισεν ὡς δράσας κακῶς Ἀνδρόνικον, ἑτέροις σκοπεῖν ἀφίημι· βούλεται γὰρ ἡ τὸ πᾶν ἀρίστως διεξάγουσα πρόνοια καὶ τοῖς ἐχθροτάτοις τοὺς τιμωροὺς φιλανθρώπως προσφέρεσθαι, ὑφορωμένους τὸ μὴ ἀειπαγὲς τῆς ἀρχῆς καὶ τὴν τῆς ἰσχύος ἀπόζωσιν καὶ τὴν ἐκ τοῦ αὐτοῦ κινήματος ἐς τὸ αὐτὸ κατάντημα πολλάκις μετακύβευσίν τε καὶ παλινδρόμησιν. καὶ τὸν μὲν εἶχε μετὰ τοῦτο τὸ πάθος, ἡμερῶν συχνῶν μὴ προσενηνεγμένον σῖτα διὰ τὴν P. 290 σεισάχθειαν τῆς κολάσεως, τῶν βασιλείων ἔνδοθι κάθειρξις πρόσκαιρος, καὶ αὖθις ἡ κατὰ τὸν διπλοῦν κίονα περαία, βίον ἀγρότην ἀντλοῦντα, οἴνῳ τε καὶ σίτῳ μετρητῷ ὡς τὸν τυχόντα ἰδιώτην διαζῶντα, τὸν δ' ἀδελφὸν αὐτοῦ ἡ βασιλεία μετ' εἰρηναίας καὶ ἀστασιάστου τῆς καταστάσεως, ὡς V. 238

2. λέγεται] νῦν κέκληται A. 3. οὐκοῦν καὶ] καὶ τοίνυν A. 4. μικρῶ A. 7. ὡς — Ἀνδρόνικον om A. 10. ὑφορωμένους] οὐ γὰρ ἀεί ποτε τὸ στάσιμον ἐν τῇ ἀνθρωπείᾳ φύσει ἵσταται, ἀλλ' ἀεὶ μετασαλεύει καὶ μεταπίπτει ἀπὸ τοῦ ἑνὸς πρὸς τὸν ἕτερον, καὶ καθὼς ὁ ἄνθρωπος κρίνει καὶ μετρεῖ, οὕτως παρὰ τοῦ ἀγαθοῦ καὶ δικαίου κριτοῦ καὶ μετρεῖται καὶ κρίνεται. B. 11. τῆς ἀρχῆς] τῆς ἰσχύος καὶ τὴν τοῦ κράτους A. 13. τε καὶ] ἢ A. 14. σῖτον A. 15. σεισάχθειαν] δριμύτητα B. 17. βίον] καὶ ἦν ἡ ζωὴ αὐτοῦ ἄρτος καὶ οἶνος μόνος B. ὡς — ἰδιώτην om A.

cerneret, tamen ut exitium a populi furore summa festinatione persequentis imminens evitaret, Stagira pervenit, quae nunc Macra dicitur; ubi a Panteugeno quodam comprehensus et persecutoribus proditus sole postremum viso, paulo post ad Perae monasterium ab imperatoris Andronici patre Isaacio conditum excaecatur. utrum vero numinis vindicta poenas illas ibi dederit, aliis considerandum relinquo. vult enim providentia, quae omnia optime gubernat, etiam in inimicissimorum suppliciis moderationem adhiberi, et semper in conspectu esse potestatis lubricum et imperii amissionem, ne, ut omnium rerum vicissitudo est, quemadmodum quisque tractarit caeteros, ita et ipse divino iudicio ab aliis tractetur. post hanc calamitatem, ob ingentem cruciatum diebus compluribus cibo non gustato, palatino carceri includitur. paulo vero post in alteram urbis partem ad Diplocionium transfertur; nec quicquam praeter vini et panis demensum, ut homo plebeius ruri degens, accipit. frater vero eius

εἴπερ κατὰ τοὺς Διοσκόρους συνέθεντο δύνειν τε καὶ φαίνειν ἑτερημέρως τῷ τῆς βασιλείας στερεώματι. ἦρξε δὲ Ῥωμαίων Ἰσαάκιος ἐνιαυτοὺς ἐννέα σὺν μησὶν ἑπτά, φλογερὸς ὢν τὴν ὄψιν, τὴν τρίχα πυρσός, τὴν ἡλικίαν μέσος, τὴν ἰσχὺν εὔρωστος, οὔπω τεσσαράκοντα ἔτη γεγενημένος ὁπηνίκα τῆς βασιλείας καθῄρητο.

3. φλογερὸς] πυροειδὴς B. 4. πυρσός] ξανθὸς B. 5. ἐπ. καθῄρ. τῆς ἀρχῆς A.

imperio pacato et seditionum experte potitur, non aliter fere quam Castor et Pollux, qui alternis diebus oriri et occidere feruntur. imperavit Isaacius annos IX et menses VIII. fuit flammanti facie, rufo capillo, mediocri statura, robusto corpore, nondum annos XL natus, cum regno pelleretur.

ΒΑΣΙΛΕΙΑ

ΑΛΕΞΙΟΥ ΤΟΥ ΑΓΓΕΛΟΥ

ΕΝ ΤΟΜΟΙΣ Γ.

1. Καὶ τόνδε μὲν τὸν τρόπον ὁ Ἄγγελος Ἰσαάκιος τῆς P. 291
ἀρχῆς καταστρέφεται καὶ τὸν δυνάστην εὐχερῶς ἀποζώννυται, V. 239
προσπαθὼν φωτὸς στέρησιν, ὑφ' ὧν ὡς παρ' οἰκείων ὀφθαλμῶν χειραγώγησιν ἐφαντάζετο. τί γὰρ ἀδελφοῦ, καὶ τούτου φιλουμένου, ἐγγύτερον ἄλλο καὶ γνησιώτερον; εἰ δὲ τὸ ὕδωρ

2. ἀλεξίου τοῦ κομνηνοῦ ἀδελφοῦ ἰσαακίου τοῦ ἀγγέλου A. 3. τόμος α' B. 4. Καὶ τοιούτῳ μὲν τρόπῳ ὁ ἰσαάκιος ἀπὸ τῆς βασιλείας κατήχθη, οὐ μετὰ γνώμης μᾶλλον τοῦ ἀδελφοῦ αὐτοῦ, ὡς ἐλέγετο, ὅσον ἀπὸ τῆς τοῦ ὅλου στρατεύματος βίας καὶ συνδρομῆς κατ' αὐτοῦ τὰ ξίφη σπασάντων καὶ ἀποθανεῖν εἰπόντων, εἰ μὴ τὴν βασιλείαν αὐτὸς λάβοι καὶ ἀναδέξηται. καὶ αὐτὸν δὲ πάλιν τὸν ἰσαάκιον μετὰ τὸ στερηθῆναι τὴν βασιλείαν ἵνα λάβῃ καὶ φωτὸς στέρησιν παρ' ἐκείνων ὧν ἐνόμιζεν ἔχειν ὑπὲρ αὐτοῦ καὶ ὡς ὀφθαλμοὺς ὁδηγεῖν αὐτὸν καὶ ἐπάνω αὐτῶν στηρίζεσθαι, τόσον ἦν τὸ κακόν. τί γὰρ — B. cf. Wolf.

IMPERII

ALEXII COMNENI

FRATRIS ISAACII ANGELI

LIBER PRIMUS.

1. Ac Isaacius ad hunc modum levi momento et imperium et oculos amisit, eorum scelere de quibus summam sibi caritatem et observantiam pollicebatur. quid enim fratre, praesertim adeo dilecto, coniunctius et sincerius? quodsi aqua fauces strangulat, quid homi-

πνίγει, τί καὶ πιώμεθα ἄνθρωποι; καὶ εἰ καθ' ἑαυτῶν τὰ P. 291 μέλη ὁπλίζεται, τίνι ἂν συναρμολογηθέντες ζησώμεθα; καὶ ἡ μὲν φιλάνθρωπος τέχνη ἐξ ἀντιθέτων σαρκῶν ἀντίδοτον συνεκεράσατο σώζουσαν, ἔνιοι δὲ τῶν τῆς φύσεως σεμνῶν δώρων ἐπιλαθόμενοι ἐπανέστησάν τε ἀλλήλοις, καὶ ὅπερ εἰσίν, ἠγνοήκασι μοχθηρίᾳ γνώμης καὶ δόξης ἔρωτι μείζονος. ἦν τοίνυν παρ' ἔθνεσι καὶ τοῦτο Ῥωμαίων εἰς ἐξουθένημα, παρακολούθημά τε καὶ ἐπισύμβαμά τι λελόγιστο τῶν προηγησαμένων ἁπάντων αἴσχιον ἐπὶ ταῖς τῶν πραγμάτων μεταπεττεύσεσι καὶ ταῖς τῶν κρατούντων μεταθέσεσί τε καὶ ἀλλοιώσεσιν. ἦσαν δ' οἳ καὶ τῆς ἐς τοὺς πέλας φιλίας ἀφιστάμενοι ἀπολυόμενοί τε τὴν πάλαι συνήθειαν „ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος;" ἔλεγον. καὶ οἷς τὰ μυ- B στηριώδη τῶν βουλευμάτων τινὲς ἀπεκάλυπτον, τούτων τηνι- V. 240 καῦτα καὶ τὴν προσηγορίαν ὡς ἐπίβουλον ὑπεβλέποντο, πρὸς παράδειγμα τὸ γεγονὸς ἀφορῶντες. αὐτὸς δὲ ὁ τῆς ἀρχῆς ἐπιβήτωρ Ἀλέξιος, μὴ ἐν νῷ βαλλόμενος ὡς ἑαυτὸν καθῄρηκε τῆς ἀρχῆς τὸν ἀδελφὸν καθελών, ὡς τὸν βασιλικὸν αὐτίκα θρόνον ἐπὶ τῷ θερμῷ τούτῳ ἀνεπήδησεν ἀνομήματι, καὶ τοὺς ἱματισμοὺς καὶ τὸ στέφος διφήσας τοῦ κασιγνήτου καὶ περιθέμενος ὑπὸ παντὸς τοῦ στρατιωτικοῦ τάγματος, καὶ ὅσοι μέρος ἦσαν τῆς γερουσίας, βασιλεὺς αὐτοκράτωρ ἀναγορεύεται. καὶ τῇ μὲν γυναικὶ καὶ τοῖς ἐν τῇ πόλει καθήκουσι

2. τίνι ἂν] πῶς ἵνα οἱ ἁρμοὶ συνιστάμενοι στήσωνται B. καὶ ἡ μὲν θηριακὴ ἀπὸ θηρίων σαρκῶν συγκερασαμένη σώζει τὸν ἄνθρωπον B. 23. τῇ alterum om A.

nes bibamus? si membra contra sese armabuntur, qua tandem compage corpora nostra constabunt? medicorum quidem ars ex contrariis rebus salutare antidotum conficit. quidam vero praeclara naturae munera obliti mutuo se exagitant, et prae improbitate ingenii et maioris gloriae cupiditate se homines esse non meminerunt. peperit hoc quoque facinus Romanis apud exteras nationes contemptum, omnibus aliis quae in mutandis imperatoribus accidere solent turpius et flagitiosius. fuerunt et qui ruptis amicitiae vinculis veterem familiaritatem dirimerent. frater fratrem, inquiunt, non liberat: quid faciat alienus? quibus ante arcana commiserant, eorum vel colloquium metu insidiarum devitabant, in illud fraterni sceleris exemplum intuentes. ipse vero imperii occupator Alexius, non cogitans se fratre everso semet ipsum evertisse, statim imperatorium solium, flagrante adhuc eo delicto, conscendit, et fratris vestitu coronaque ornatus, ab omni militari turba et senatoriis viris imperator Augustus consalutatus, uxorem suam et propinquos in urbe degentes ea de re certiores facit;

δῆλα τὰ ξυνενεχθέντα παραχρῆμα ποιεῖ· αὐτὸς δὲ τοὺς συναραμένους αὐτῷ τῆς ἀρχῆς δεξιούμενος τῆς τε σπουδῆς ἀμειβόμενος, καὶ τὸ λοιπὸν ἅπαν πλῆθος θεραπεύων ὅτι C τε ἀσμένως προσεχώρησε καὶ οὐδέν τι διεστασίασεν, ἤρξατο μὴ σὺν λόγῳ καὶ τάξει τινὶ ἀλλὰ πρὸς τὴν ἑκάστου αἴτησίν τε καὶ ἔφεσιν διαδιδόναι τὰ χρήματα, ὁπόσα ἐκστρατεύων ἐπήγετο Ἰσαάκιος. τούτων δ' ὑπορευσάντων τῇ ἀσώτῳ καὶ ἀνομοίῳ διανομῇ γήδια καρποφόρα καὶ δημοσίους συνεισφορὰς παρεῖχε τοῖς αἰτουμένοις. ὡς δ' ἐπιλελοίπει καὶ ταῦτα, τοῖς τῶν ἀξιωμάτων ἐπεφύη λαμπροῖς, καὶ νῦν κἀπὶ τούτοις ἐξαίρων οὐ τόνδε ἢ τόνδε τῶν ἐλλογίμων, ἢ ἀνάγων εἰς τὸν προσεχῆ βαθμὸν καὶ ἀνάλογον, ἀλλὰ πάντα, καὶ τὸν βραχέος τιμώμενον τὴν τιμὴν καὶ τὸν οὐδέ ποτε τῆς πρώτης ἠξιωμένον D βαθμῖδος, ἐπὶ τὴν ἀνωτάτω καὶ κορυφαίαν μετεωρίζων ἀνεβίβαζεν, ὡς εἶναι τὸ πολύτιμον ἄτιμον καὶ τὸ φιλότιμον ἄχαρι. πολλοὶ δὲ καὶ ὑποβιβασμὸν τὴν ἄνοδον ᾤοντο, ὡς ὀψέ ποτε δικαίως ἠξιωμένοι ὧν ἄλλοι παρ' ἀξίαν προηυμοιρήκεισαν, κἀκείνοις τὴν αὐτὴν τιμὴν συγκληρούμενοι ὧν ἠξιωμένων τιμῆς αὐτοὶ παραβλεπόμενοι ἄδοξοι ἐκρίθησαν τιμηέστεροι. ἦν δὲ καὶ ἡ κτῆσις πρόχειρος· ὃν γάρ τις προσήνεγκε χάρτην τῷ βασιλεῖ, αὐτίκα ὑπεσημαίνετο, κἂν σολοίκως εἶχε τῆς φράσεως, κἂν ὁ προτείνων ἐδεῖτο ναυτίλλεσθαι μὲν τὴν

11. τόνδε ἢ τόνδε] τὸν δδεῖνα καὶ τὸν δδεῖνα B. 15. ὡς εἶναι] ἔβλεπον ἄλλους ἀναξίους ὄντας τὴν αὐτὴν ἐκείνοις τιμὴν ἴσην φέροντας καὶ ὀφφίκια, καὶ διὰ τοῦτο τὸ μὴ τὴν τιμὴν δέχεσθαι αὐτούς, ἣν αὐτοῖς τοῦτο τιμή B.

et ut eos quorum ope et studio imperium consecutus erat remuneraretur, et reliquum vulgus, quod libenter et citra seditionem accessisset, in officio retineret, sine ratione ulla et ordine sed pro cuiusque petitione et libidine pecuniam dilargiri coepit, quam in militiam Isaacius advexerat. quae cum immoderata et inaequali distributione dilapidata esset, praedia fructuosa et publica vectigalia petentibus donavit. iis quoque deficientibus, illustribus dignitatibus non paucos eosque non claros viros ornavit, aut ad proximum et convenientem gradum evexit: sed quosvis, qui eum honorem parvi aestimabant et primum gradum nondum conscenderant, in summo fastigio collocavit, ut dignitatum frequentia indignitatem haberet et omni gratia careret, aliqui etiam suo honori derogatum putarent illo honoris incremento, ut sero tandem iure id consecuti quod aliis praeter meritum ante tempus contigisset, dignitate secum exaequatis iis, quibus, quantumvis honore auctis, ipsi prorsus neglecti dignitate praestare indicarentur. neque vero difficilis erat honoris adeptio. quod enim scriptum imperatori offerres, id e vestigio subsignabatur, sive in-

ξηρὰν ἀροῦσθαι δὲ τὴν θάλασσαν ἢ τὰ ὄρη ἐν καρδίαις θα-
P. 293 λασσῶν μετατίθεσθαι, εἴτε μήν, ὡς ὁ μῦθος βούλεται, Ὀλύμ-
πῳ Ἄθων ἐπανατίθεσθαι. οὕτω δὲ ταῦτα πάντα τετελεκὼς
ἢ μᾶλλον συντετελεκώς, οἰκειότερον εἰπεῖν, ὡς χαρίζεσθαι
τῷ καιρῷ καὶ τοῖς πράγμασι βιαζόμενος διαφίησιν ἔπειτα τὰ
στρατεύματα εἰς ἤθη τὰ οἰκεῖα ἐπανελθεῖν, μηδένα θέμενος
λόγον εἰ τὰ ἐν ποσὶν οἱ Βλάχοι ληΐζονται μετὰ Σκυθῶν ἐπιόν-
τες. καὶ αὐτὸς μὲν οὐκ εὐθὺς ῥυτῆρι παντὶ τῆς εἰς τὴν πό-
λιν ἥψατο, ἀλλ' ὡς τοῦ ἀδελφοῦ συσχεθέντος καὶ πηρωθέν-
τος μηδένα ὑφορώμενος κίνδυνον, βάδην καὶ τοῖς σταθμοῖς
ἐμβραδύνων ἐπορεύετο. ἤδη γὰρ καὶ τὸ τῆς πολιτείας αὐτὸν
ἀνευφήμησε πλήρωμα, καὶ πρὸς τῆς γυναικὸς Εὐφροσύνης
ἡ τούτου προητοίμαστο εἴσοδος, τό τε τῆς συγκλήτου μέρος,
B εἰ καὶ μὴ ἅπαν, ἱλαρῶς ὅσα οἱ ξυνενήνεκται ἤνεγκε, καὶ τῶν
ἐκ τοῦ δήμου πρὸς τὴν ἀκοὴν τῶν ἠγγελμένων οὐδέν τις
ἀτάσθαλον ἐνεόχμωσεν, ἀλλ' ἠρέμησαν μὲν πάντες καὶ συνε-
πευδόκησαν τοῖς ἀκουσθεῖσι, μήτε βατταρίσαντες μήτε ἀνά-
φλεγέντες πρὸς δικαίαν ὀργὴν οἷς εἰωθὸς αὐτοῖς βασιλέα
χειροτονεῖν ὑπὸ τῶν στρατοπέδων καὶ τοῦτο ἀφῄρηνται. ἐπεὶ
δὲ πρὸς τὸ μέγιστον ἀρχεῖον ἡ δούκαινα Εὐφροσύνη ἄρασα
ἤλαυνε, τότε δὴ τῶν βαναύσων καὶ ξυγκλύδων τινὲς φιλοτά-
ραχοι φατρίαν κροτήσαντες καὶ σύστρεμμα ποιησάμενοί τινα
Κοντοστέφανον ὀνόματι Ἀλέξιον, ἐς τὸ μέγιστον ξυλλεγέντες

3. οὔπω δὲ πάντα pr A. τελέσας ἢ μᾶλλον ἀπολέσας B.
6. ἔθη APW. 20. ἡ δούκαινα] ἡ τοῦ ἀλεξίου σύνευνος A.
22. φατρ.] ὁμονοήσαντες καὶ κουμπανία μία γενόμενοι B. 23. ἀλ. ἐπ' ἀγορᾶς ἀναγ. A.

epta dictione constaret, sive ut mare arare, terra navigare et montes in medium mare transferre, sive (ut est in fabulis) ut Athon Olympo imponere liceret, peteres. his rebus omnibus ita perfectis vel potius confectis, quasi temporum et rerum conditioni servire coactus, legiones domum abire sinit, nihil curans quod Blachi cum Scythis obvia quaeque vastarent. et ipse non statim in urbem properat, sed fratre capto et excaecato nihil periculi metuens, pedetentim ac per otium in diversoriis commorando proficiscitur. iam enim a civibus quoque declaratus imperator et a coniuge Euphrosyna ingressus ei praeparatus erat; et senatus, licet non totus, eius successibus laetabatur. neque plebs ad illius mutationis famam concitata vel novis rebus studuit vel iusta iracundia exarsit, quod imperatoris creandi privilegium a militibus sibi ereptum esset: sed quieverunt et acta comprobarunt omnes. caeterum cum coniux eius ducissa Euphrosyna in magnum palatium abiret, tum vero colluvies opificum et turbulen-

τέμενος, ἀναγορεύουσιν αὐτοκράτορα, ἀστροθεάμονα ὄντα καὶ πάλαι τῇ βασιλείᾳ ἐνεδρεύοντα, οὐκέτι λέγοντες θέλειν ὑπὸ Κομνηνῶν βασιλεύεσθαι γεγενημένων αὐτοῖς εἰς πλησμονήν. C τῆς δὲ βασιλίσσης Εὐφροσύνης ἐπικινδύνως οὕτως τὸ μέγα V.241 παλάτιον εἰσιούσης, ἔνιοι τῶν ἀπ' εὐσήμου γένους ἐφεπόμενοι ἐκείνῃ κατὰ τοῦ Κοντοστεφάνου ὥρμησαν τολμηρότερον μᾶλλον ἢ συνετώτερον, καὶ τὸ χυδαῖζον στῖφος τῆς πόλεως αὐτίκα διασκεδάννυται, καὶ ὁ Κοντοστέφανος συλληφθεὶς φρουρᾷ παραδίδοται. (2) τοῦ δὲ δημώδους πλήθους οὕτως ἠρεμηκότος, καὶ αὐτὸ συναπτῶς τὸ τῆς ἐκκλησίας πλήρωμα τῇ νέᾳ τυραννίδι συμβαίνει, καί τις τῶν νεωκόρων ὀλίγοις ὑποφθαρεὶς κέρμασι (τοῦτο δὲ καὶ τῶν ἀγοραίων οἱ ταραχώδεις πεπόνθασι καὶ βραχεῖς τῶν ἐκ τοῦ δικαστικοῦ τάγματος· τὰ δὲ ὀνόματα προφέρειν οὐ δύναμαι) τῆς τοῦ Ἀλεξίου εὐφημίας κατάρχεται εἰς τὸν ἱερὸν ἀνάσταθμον ἀνιών, D μὴ ἀναμείνας ἐκ τοῦ ἀρχιποίμενος τὸ ἐνδόσιμον. ἀλλὰ καὶ οὗτος μικρόν τι ἐνστάς, καὶ ὅσον τὸν μὴ αὐτόκλητον ὑπεμφῆναι, τὴν γνώμην εἰς τὸν ἄρξαντα μετέθηκε. καὶ τοῦ πατριάρχου τοίνυν ὑποχαυνωθέντος οὐδεὶς ἦν ἐκ τούτου γνωσιμαχῶν, ἀλλὰ πάντες τὸ μέγιστον ἀρχεῖον καταλαμβάνοντες ηὐτομόλουν ἀτεχνῶς τῇ βασιλίδι ὡς ἀνδράποδα, καὶ πρὶν ἰδέσθαι τὸν τυραννήσαντα ἢ γνῶναι ἀκριβῶς ὁποῖα τὰ ξυνε-

2. βασιλείᾳ] ἀρχῇ A. τὴν βασιλείαν ἐκ πολλοῦ μαντευόμενον B. 4. βασιλίδος A. 5. εἰσιούσης καὶ τῶν — γένους ἐκείνῃ ἐφεπομένων κατὰ τοῦ κοντοστ. ἐξορμησάντων — συνετ. τό τε χυδ. στ. τῆς π. διασκ. A. 15. εἰς τὸν ἄμβωνα B. 20. ἅπαξάπαντες τὸ μέγα A.

torum hominum quendam astrologum Alexium Contostephanum, imperio iam olim insidiantem, in foro imperatorem consalutat: negabant enim se Comnenorum laturos diutius imperium, quorum pertaesum esset. imperatrice vero ita cum periculo magnum palatium ingressa, comitatus nobilium hominum audacius quam prudentius in Contostephanum facto impetu factionem illam dissipat, et Contostephanum in carcerem coniicit. (2) Eo populi motu compresso, etiam ecclesiastici novum imperatorem approbant; et quidam sacrificulus paucis nummis corruptus, (eodem modo et cum seditiosis circumforaneis et paucis ex ordine iudicum, quorum nominibus parco, actum) suggesto conscenso Alexii proclamationem orditur, sine patriarchae consensu; qui tamen paulisper refragatus, ne sua voluntate coactus videretur, et ipse in imperatoris partes concessit. quo facto nemo amplius est adversatus, sed universi in magnum palatium tanquam mancipia transfugerunt; et priusquam novum imperatorem viderent, aut quid veteri accidisset compertum haberent, eius uxori qui rerum potiri ferebatur obedive-

νεχθέντα τῷ πρώην ἄνακτι, τῇ τοῦ λεγομένου βασιλεῦσαι καθυπέκυπτον γυναικί, καὶ ὑπετίθουν ὡς θρανίδας τὰς κεφαλάς, καὶ τὴν ῥῖνα τῇ ἐμβάδι δίκην προσκνιζομένων κυνιδίων ἐνήρειδον, καὶ περιδεεῖ παρίσταντο τῷ σχήματι, τὼ πόδε συνάπτοντες καὶ τὼ χεῖρε συμβάλλοντες. καὶ οἱ μὲν ἀβέλτεροι
P. 294 οὕτως ἐξ ἀκοῆς ἀνασσόμενοι, ἡ δὲ βασιλὶς χρῆμά τι οὖσα ποικίλον καὶ πράγμασιν εὐμεθάρμοστον προσφυεῖς ταῖς νεύσεσι τὰς ἀποκρίσεις ἐμέριζε, καὶ τοὺς εὐήθεις διέχεε Βυζαντίους ἐν οἷς ἐκώτιλλεν· οἱ δὲ ὡς ὗες αἳ τὰς γαστέρας καταψώμεναι ὑπτιάζουσιν, ὑποκνώμενοι τὰ ὦτα τοῖς εὐπροσηγόροις ἀσπασμοῖς οὐδέν τι τῶν συμβεβηκότων ὑπὸ νέμεσιν ἔθεντο. καὶ τοιαύτη μὲν ἡ προεισόδιος ἑτοιμασία τοῦ βασιλέως ἦν Ἀλεξίου, ἀναίμακτος πάντῃ καὶ μηδένα τῶν ὅλων ἐς οὐσίαν ἀδικήσασα. εἴσεισι δὲ τὸ Βυζάντιον μεθ' ἡμέρας τινὰς καὶ αὐτός, καὶ κλίνῃ χρυσοπάστῳ νεόλουτος ἐνιζήσας κατὰ τὸ λεγόμενον
B ἔξω Φιλοπάτιον περιχαρῶς καὶ ἀσμένως τοὺς ἐς αὐτὸν ἀφικνουμένους προσίετο, μὴ καταπεπτωκὼς τὴν κατάστασιν τῆς ψυχῆς ἐξ ὧν εἰς τὸν ἀδελφὸν διεπράξατο. τινὲς δὲ τῶν τοῦ Βήλου κριτῶν μὴ εὐκαίρως τὸν καιρὸν κολακεύοντες βωμολόχους ἐπαφῆκαν φωνάς, ἐν αἷς καὶ ὦφλον καταγέλων. ἦσαν

1. τῇ τοῦ λεγ.] μετὰ παρρησίας ὡς δοῦλοι παρίσταντο τῇ τοῦ λεγομένου βασιλέως γυνῇ, καὶ ἐτίθουν τὰς κεφαλὰς αὐτῶν ὑπὸ τοὺς πόδας αὐτῆς· καὶ ὥσπερ τὰ ζαγάρια ἀνιχνεύοντα τὴν ὀσμὴν τῶν περδικίων γυρεύουσιν, οὕτω καὶ οὗτοι ἀνιστάμενοι ἀπὸ τῆς γῆς παρίσταντο δεδεμένοι τὰς χεῖρας, τοὺς πόδας μὴ μεταβαίνοντες, ἀλλὰ ταύτην προσέχοντες. B. 6. ἡ βασιλὶς δὲ γνῶσιν ἔχουσα ποικίλην καὶ γλῶσσαν λαλοῦσαν εὐάρμοστα καὶ γλυκαίνουσαν τοὺς ἀκούοντας ἐδελέαζε τοὺς καλογνώμονας καὶ φρονίμους τῶν πολιτῶν καὶ ὑπέσυρε, καὶ εἶχεν αὐτοὺς ὑπακούοντας ὥσπερ χοίρους κνηθομένους καὶ ὁμαλιζομένους. B. 15. ἐπὶ κλίνης βασιλικῆς ὅλης χρυσῆς καὶ λαμπρᾶς B. 19. μὴ εὐκ.] μετὰ ὑποκρίσεως B.

runt, et tantum non capita pro scabellis supposuerunt; et catellorum instar calceum eius deosculati, formidantium habitu, coniunctis pedibus et complexis manibus, soli famae obtemperantes, astiterunt. at imperatrix callida et tempori servire edocta mulier fatuos Byzantios verborum lenocinio demulcebat; qui ut porci resupini, quibus ventres fricantur, blanditiis deliniti, nihil non eorum quae acta erant approbabant. ingressu ad hunc modum sine sanguine et publicatione bonorum cuiusquam praeparato, post dies aliquot ipse Alexius in urbem venit; et recens lotus in aurato lecto in exteriore Philopatio sedens libenter et hilariter adiri se patitur, animo propter admissum in fratrem scelus non consternato. quidam vero ex Beli iudicibus,

δ' οἳ καὶ ἐπεστέναξαν τοῖς δρωμένοις, καὶ τοὺς βασιλείους κόσμους κατωπτευκότες, οὓς ἑαυτῷ ὑπέρραψεν Ἰσαάκιος, περιαμπίσχοντας ἄρτι τὸν ἐκείνου κασίγνητον ἐπωδύραντο, τὴν ἀτοπίαν ἐκπλαγέντες τοῦ πράγματος, καὶ τὴν τοιαύτην ἀλλοίωσιν τῆς ἀρχῆς ἀρχὴν προσφάτων οἰωνίζοντο συμφορῶν, τά τε Ὀσίριδος καὶ Τυφῶνος ἐβάλλοντο κατὰ νοῦν, ὑφ' ὧν ἐκακοπράγησεν Αἴγυπτος. εἰσελθὼν δὲ τὸ τῆς θεοῦ σοφίας περίπυστον καὶ μέγιστον τέμενος, ὅπως κατὰ τὸ ἔθιμον ἐς C βασιλέα χρισθῇ καὶ περιβαλεῖται τὰ τοῦ κράτους σύμβολα, πρῶτα μὲν ὀψιαίτερον τὸ τῆς πίστεως ἐγγράφει σύμβολον βαφῇ τῇ βασιλικῇ, ἔπειτα ταῖς ὡραίαις λεγομέναις τοῦ νεὼ πύλαις ἐγγίσας ἱκανὸν ἐκεῖσε χρόνον διέτριψε, προσδεχόμενος πότε ἂν ἐπιταχθείη τὴν εἴσοδον παρὰ τῶν ἀκριβούντων τὸ τῆς ὥρας καίριον τῶν ἱερῶν κατηχουμενείων ἀνωθεν. ἐξιὼν δὲ τοῦ νεὼ καὶ μέλλων ἐπιβῆναι τοῦ ὀχήματος, ὁ μὲν ἵππος (ἦν δὲ οὗτος φατνιστὸς καὶ Ἀράβιος) προσάγεται παρὰ τοῦ πρωτοστράτορος ἀπὸ τοῦ χαλινοῦ ἑλκυσθείς, γίνεται δέ τι τῶν ἀήθων καὶ ἀξίων θαύματος. οὐ προσίεται ὁ ἵππος τὸν ἀναβάτην, ἀλλὰ φριμάσσων ὕφαιμος τὸ ὄμμα καὶ τὸ οὖς με- D τέωρος καὶ συχνὰ κόπτων τὸ δάπεδον καὶ τὰς ἐμπροσθίους V. 242 ἀναβάλλων ὁπλὰς καὶ ῥύδην φερόμ.νος αὐτὸν ἀπεστρέφετο, ἀδοξῶν ὥσπερ ἐπὶ τῶν νώτων ὀχεῖν καὶ κατ' αὐτοῦ ἀγριού-

2. ἑαυτῷ] ἐκ νέου ἐποίησεν B. 6. τά τε] εἰς νοῦν ἔχοντες ὅσα κακὰ καὶ σημεῖα καὶ τέρατα ἐξαπέστειλεν ὁ θεὸς εἰς τὴν αἴγυπτον διὰ τὴν σκληρότητα φαραώ B. 13. παρὰ τῶν ἀκρ.] παρὰ τῶν ἐπάνωθεν τοῦ κατηχουμενείου ἱσταμένων ὡροσκόπων καὶ προσεχόντων καὶ ἀκριβολογούντων τὸν τῆς ὥρας καλὸν καιρόν. B.

intempestivis locis, quos adulatio suggerebat, risui se exposuerunt. erant etiam qui id spectaculum suspiriis prosequerentur, cum vestes, quas sibi confecerat Isaacius, fratrem eius induisse viderent, et indignum id facinus deplorarent, et eam principatus mutationem brevi malorum fore principium augurarentur, Osiridis et Typhonis recordati, a quibus afflicta esset Aegyptus. celeberrimum et maximum dei Sapientiae templum ingressus, ut de more inauguraretur et imperii insignia assumeret, primum fidei symbolum imperatorio colore tardius perscribit. deinde ad speciosam templi portam diutius commoratur, expectans, dum ingredi iuberetur ab iis qui opportunam horam in eo loco, ubi Catechumeni instituuntur, observabant. templo egressus, cum sublimem equum Arabicum a protostratore adductum conscensurus esset, res memoratu digna accidit. equus enim sessorem non admittit: sed oculis sanguine suffusis, auribus arrectis, crebro solum pulsans, et anterioribus ungulis cum fremitu sublatis, eum

μενος. πολλάκις οὖν πρὸς τὸ ἱππεύειν γενόμενον τὸν Ἀλέξιον ἀπεκρούσατο, τὰς ἐμπροσθίους ἐνσείων χηλὰς καὶ τὰς ὄψεις ἐπιστρέφων ὀπίσω. ὡς δέ ποτε μετὰ πλεῖστα περιποππύσματα καὶ διομαλίσεις τοῦ αὐχένος ἔδοξεν ἠρεμήσειν καὶ παύσασθαι τῶν ἀγερώχων ἐκείνων ἑλίξεων καὶ τῆς τῶν ποδῶν θρώσεως, ὁ μὲν βασιλεὺς ἐπ' αὐτὸν ἀνεπήδησε καὶ τῶν ἡνίων ἐλάβετο, ὁ δὲ ὥσπερ ἠπατημένος, καὶ δεξάμενος ἀναβάτην ὃν οὐκ ἤθελεν, ἠτάκτει τε ὡς πρώην καὶ τοὺς πόδας ἀνίστη μετ' ἐξακούστων τῶν χρεμετίσεων· οὐδ' ἔληξεν ἐκβακχευόμενος οὕτως, ἕως τὸ μὲν λιθόστρωτον στέφος ἐκ τῆς κε-
P. 295 φαλῆς τοῦ βασιλέως εἰς γῆν κατήνεγκεν, ὡς καὶ τούτου διαθρανσθῆναι μέρη τινά, αὐτὸν δ' ἀπεσφαίρισεν. ἵππου τοίνυν ἑτέρου προσενεχθέντος, οὐχὶ μεθ' ὑγιοῦς ἐποπτεύετο στεφανώματος, ὃ καὶ μὴ αἴσιον τῶν ἐσομένων ἔδοξε σύμβολον· μηδὲ γὰρ ἂν ἀδιαλώβητόν οἱ συντηρηθῆναι τὴν βασιλείαν, ἀλλὰ τοῦ ὕψους ἀποπεσεῖν καὶ προσπαθεῖν αὐτὸν ἀπὸ τῶν ἐναντίων κακῶς. συνεπόμπευον δὲ τῷ βασιλεῖ τῷδε ἔφιπποι καὶ οἱ δύο ἐπὶ θυγατράσι τούτῳ γαμβροὶ ὁ Κοντοστέφανος Ἀνδρόνικος καὶ ὁ Κομνηνὸς Ἰσαάκιος, καὶ ὁ πρὸς πατρὸς ἐκείνῳ θεῖος Ἰωάννης ὁ Δούκας, πεπαίτερος ὢν τὴν ἡλικίαν, ᾧ καὶ κατὰ τὴν πομπαίαν ἐκείνην πρόοδον συνέβη τι τοιοῦτον παράλογον· μὴ γάρ τινος διαταράξαντος τὴν κό-
B λουρον ἡμίονον ᾗ ἔποχος ἦν, τὸν σεβαστοκρατορικὸν ἀπεβάλετο στέφανον ἀνατραπέντα τῆς κορυφῆς καὶ αὐτομάτως καταπεσόντα εἰς ἔδαφος. πρὸς ὅπερ οἱ μὲν θεώμενοι ἐξεβόησαν

13. ἐπόπτευε A, ἐπόμπευσε B. 20. τὴν ἡλικίαν om A. 22. διαταράξαντος] σκιάσαντος τὴν ἐκείνου μούλαν B. 24. στέφανον] φόρεμα B.

ferocissime aversatur, quasi tergo recipere dedignaretur. atque ita saepius in posteriores pedes arrectus et aversis oculis Alexium repellit. ut autem post multos poppysmos et cervicis palpationes placatus et crebros illos gyros et calcitrationes omissurus videbatur, imperator in eum insiliit et habenas prehendit. is vero ut deceptus, sessore quem nollet recepto, aeque ac prius ferocit, cum claro hinnitu pedes attollit, nec prius importune saltare desistit quam gemmata corona capite eius excussa et ex parte comminuta ipsum quoque deiecisset. alio equo adducto, fracta corona inauspicatum omen visa est imperii cladium non expertis et imminentis ruinae et noxae hostilis. comitabantur eum in equis duo generi, Contostephanus Andronicus et Isaacius Comnenus, et patruus eius Iohannes Ducas, vir provecta aetate, cui in ea pompa mirum quiddam accidit. nam cum

καὶ εἰς γέλων διεκινήθησαν, τὴν ἐγκρυφιαζομένην τῷ στεφάνῳ πρότερον φαλάκραν ὡς πλησίφωτον σελήνην τότε κατωπτευκότες· ὁ δὲ Δούκας τὴν ἀνάγκην μετατιθεὶς εἰς τὸ εὔχαρι καὶ μείλιχον, ἄλλως τε κἂν τοῖς ἀβουλήτοις μὴ ἑτοίμως χολούμενος, ἔφερεν ὡς σύμμικτον ἡδονῇ παιδιὰν τὴν τῶν πλείστων ἐπὶ τῷ γεγονότι διάχυσιν, γεγηθὼς ἐν μέρει καὶ αὐτὸς καὶ μηδαμῶς τὸν ἀγανακτοῦντα ὑποκρινόμενος.

3. Ὁ δὲ βασιλεὺς τὴν ἀγγελωνυμίαν παρωσάμενος Κομνηνὸς ἐπελέγετο, εἴτε τὸ ἐπώνυμον ἀδοξῶν οἷα ὑφιζάνον πρὸς τὸ Κομνηνικὸν κλέϊσμα, εἴτε συναφαντῶν τῷ ὁμαίμονι C καὶ τὴν ἐκείνου ἐπίκλησιν. ἁπάντων δ' οἰομένων μετὰ τὴν ἀναγόρευσιν αὐτίκα καὶ τὴν τῶν πραγμάτων ἠρέμησιν ὁπλιτεύοντα φανῆναι καὶ θυραυλοῦντα τὸν Ἀλέξιον, καὶ οὐχ ὅπως ἀντιστήσεται τοῖς ἐν χερσὶ δυσχερέσιν, ἀλλὰ καὶ τὰ πρότερον ἡμαρτημένα πρὸς τοῦ κασιγνήτου μὴ ἄν ποτε ἀνασχέσθαι παροφθῆναί οἱ ὁπωσοῦν ἀδιόρθωτα, καὶ μάλισθ' ὅσα κακῶς ὑπὸ βαρβάρων ἔπαθον μὴ τὸν ἀνθιστάμενον ἔχοντα μηδὲ τὸν ὁτεδὴ παθηνάμενον, ὁ δὲ πρὸς ἅπαν τοὐναντίον μεθήρμοστο, καὶ ὡς τὸ ἀκρότατον ἤδη τῶν ἐφετῶν εἰληφὼς καὶ πρὸς ὃ πάλαι τὸ πᾶν ἐπέτεινε πρόθυμον πεφθακώς, ἀνέπεσε στεφηφορήσας, ὡς εἴπερ οὐκ ἐπιστασίαν ἔννομον ἀνθρώπων ἀλλ' εὐπορίαν χλιδῆς καὶ ἀνέσεως παροχὴν τὴν βασιλείαν D ᾤετο. οὐκοῦν καὶ τὴν τῶν κοινῶν διοίκησιν παρεικώς, ὡς τὸ πηδάλιον ὁ κυβερνήτης ὃς ἀπείρηκε πρὸς τὰ κύματα, χρυσο-

1. ἐγκρυφιαζομένην] ὑπὸ τοῦ χρυσοῦ σκεπομένην στεφάνου B.
2. ὡς πλησίφωτον] ὡς φεγγάριν ἀσπρίζουσαν B.

mula eius a nemine exterrita esset, corona sebastocratorica sponte de eius vertice humi cecidit. unde populus calvitio eius, quod instar plenae lunae relucebat, nudato cum risu exclamavit. Ducas vero, qui etiam alioqui non facile rebus adversis commoveretur, necessitate in iocum et festivum ludum conversa, hilaritatem populi adeo non indigne tulit ut etiam una laetari videretur.

3. Imperator vero Angeli cognomento sive ut humiliore repudiato, sive ut una cum fratre abolendo, Comnenus appellari voluit. cum autem omnes putarent eum post declarationem, rebus pacatis, statim in armis fore, nec urgentia duntaxat mala depulsurum, sed superiorum etiam temporum delicta fraterna correcturum, clades praesertim a barbaris propterea illatas quod eis nemo restitisset aut rerum curam suscepisset, ille contra, ut iam votorum omnium et unici ac diuturni desiderii compos factus, corolla insignis ignaviae sese dedidit, quasi non legitimam hominum curationem sortitus, sed deliciarum et ocii facultatem esse imperium opinaretur. igitur abie-

φορῶν ἦν καὶ τὴν ἀκοὴν ὅλην ἀναπεταννὺς καὶ πᾶσαν ἔντευξιν χαριζόμενος τοῖς ἐκ τῆς μερίδος τῶν συνεφαψαμένων αὐτῷ τῆς ἀρχῆς, καὶ ἀφειδῶς ἀμφοτέραις ἀπήντλει τὰ χρήματα ἅπερ συνέλεξεν Ἰσαάκιος, οὔτε τὴν ἐργώδη τούτων εἰσέπειτα συναγωγὴν σκοπούμενος οὐδὲ τὴν διακενῆς ἀπόκτησιν εὐλαβούμενος. τῷ τοι διαφορηθέντων δίκην ἀχυρμιᾶς καὶ κατὰ θερινὴν κόνιν ἐσκεδασμένων ταχέως πρὸς ἀργὰς γαστέρας ἃς οὐδ' ἦν ἐπιστάμενος, ὁ τῇ φιλοδωρίᾳ προσκείμενος εἰκῇ αὐτοκράτωρ ἑαυτὸν τῆς ἀσωτίας ἐμέμφετο ὕστερον, ἡνίκα χρημάτων ἐχρήτιζεν. ἦν δὲ καὶ ἡ τοῦ βασιλέως τοῦδε ἄκοιτις τὸ μὲν φρόνημα καὶ λίαν ἀνδρώδης καὶ γλῶτταν αὐτοφυῶς αὐχοῦσα
V.243 σοφιστικήν, χάρισι διηνθισμένην καὶ περιθεομένην γλυκύτητι,
P.296 καὶ προγνῶναι τὸ μέλλον ἱκανωτάτη καὶ τὸ ἐνεστὸς ἀρίστως διοικήσειν ἐπισταμένη, τὰ δ' ἄλλα κακὸν διωλύγιον, οὔ φημι τὰς κομμώσεις καὶ βασιλείας καθηδυπάθησιν, καὶ τὸ ἰσχύειν ὑπὲρ τὸν ὁμευνέτην εὐροίᾳ φύσεως μετενεγκεῖν τὰ καθεστῶτα καὶ μὴ ὄντα ἐπεξευρεῖν (ταῦτα γὰρ οὐ διὰ λόγου τῇ ἱστορίᾳ, κἂν εἶεν γυναιξὶν οὐχ ἁρμόδια, καὶ βασιλίσσαις οἵαισδὴ προσεγένετο), ἀλλ' ὅτι τὸ κάλυμμα τῆς αἰδοῦς ἀτιμάσασα ἐλκίζετο καὶ διεσυρίττετο καὶ εἰς ὄνειδος ἦν τῷ ταύτην ἁρμοσαμένῳ. ὁ δὲ τὰ μὲν πρῶτα εἰδέναι τὰ ἀτοπούμενα παρὰ πᾶ-

17. ταῦτα γὰρ οὐ διὰ λόγου λαλεῖν θέλω, ἐὰν καὶ μὴ πρέποντα μηδὲ ἁρμόδια εἰσὶ γυναιξὶ, καὶ ταῦτα βασιλίσσαις. ἀλλ' ὅτι τὴν γυναικείαν ἐντροπὴν ἀπορρίψασα διὰ τοῦ γουργούρου αὐτῆς κλώζους καὶ ἐρευγμοὺς ἐποίει καὶ σφυριγμοὺς μεγάλους ἐξέφερεν ἀπὸ τοῦ στόματος αὐτῆς· ἅπερ ἦσαν εἰς αἰσχύνην καὶ ὄνειδος τοῦ ταύτης ἀνδρός. B.

cta rei publicae cura, ut gubernator fluctibus defatigatus, in aureo vestitu se osiculabat; et apertis auribus omnium eorum petitionibus annuebat, quos adipiscendi imperii adiutores habuerat, et utraque manu pecuniam ab Isaacio collectam profundebat, non considerans cum quanta difficultate postea recolligenda esset et quam temere nunc dissiparetur. cum igitur instar palearum aut aestivi pulveris celeriter disiecta et in ventres ignavos, quos ne norat quidem, insumpta esset, temere munificus imperator ipse tandem profusionem suam damnare coepit, cum pecunia egeret. eius vero uxor, virili animo mulier et ab ipsa natura dicendi suavitate et lepore ornata, nec ad praesentia duntaxat optime administranda sed et ad futura providenda solertissima, aliis rebus teterrima pestis fuit. neque nunc de exquisito ornatu et luxu regio loquor, neque de eo quod ingenii felicitate in mutando recepto statu et rebus novandis maritum superabat (nam haec, etsi non decora mulieribus, reginis praesertim, ·tercunda censeo), sed de impudicitiae probro atque infa-

σιν ἐκρίνετο, τοῖς δ' ἀγνοοῦσι σχηματίζεσθαι· ἐξ ὧν δ' ὕστερον διεπεπράχει, ὅτε τὰ κατὰ τὴν σύνοικον γεγόνασιν ἔκπυστα, σαφῶς ὑπέδειξεν ὡς οὐδὲν τῶν τολμωμένων ἠπίστατο. B δηλώσει δὲ ταῦτα τὸ λέγειν κατὰ τὸν οἰκεῖον καιρόν. τῆς τοίνυν βασιλίδος τοὺς ὅρους ὑπερβαινούσης καὶ τὰ ταῖς πρὶν Αὐγούσταις Ῥωμαίων ἔθιμα ἀδοξούσης, εἰς δύο ἀτεχνῶς ἀρχὰς ἡ βασιλεία διῄρητο· οὐ γὰρ ὁ κρατῶν μόνον ὁπόσα ᾑρεῖτο διεκελεύετο, ἀλλὰ ταυτοδυνάμως τούτῳ κἀκείνη τὰ πρὸς βουλῆς διεπράττετο, ἐν πολλοῖς δὲ καὶ ἀνέλυε πρὸς τὸ θυμῆρες αὐτῇ μεταμείβουσα ἅπερ ἐδέδοκτο βασιλεῖ. ἀλλὰ καὶ πρεσβείας μεγίστης ἐθνῶν μελλούσης βασιλεῖ ἐποπτάνεσθαι, θρόνοι συμφυῶς πολυτελεῖς παρετίθεντο, καὶ συνεδρεύουσα προσεκάθητο λαμπρῶς διεσκευασμένη, λίθοις τε καὶ μαργάροις διαφανέσι τὸ τυμπάνιον ἀναδέουσα καὶ τὸν τράχηλον ὁρμίσκοις C πολυτίμοις διαλαμβάνουσα. ἐνίοτε δὲ κατ' ἄλλας βασιλείους οἰκοδομὰς διιστάμενοι, καὶ ἀνὰ μέρος ἀμφότεροι προφαινόμενοι, εἰς ἑαυτὸν ἐμέριζον τὸ ὑπήκοον· ᾗ καὶ πρώτως ἀπονεῖμαν βασιλεῖ προσκύνησιν, ἐκεῖθεν ἀπαῖρον πρὸς τὴν βασιλίδα μετεπορεύετο καὶ βαθυτέραν αὐτῇ παρεῖχε τοῦ γόνατος σύγκαμψιν. οὐ βραχεῖς δὲ καὶ τῶν καθ' αἷμα βασιλεῖ ἐγγιζόντων, καὶ οἷς τὰ ὑπερήφανα τῶν ὀφφικίων ἀνέκειντο, τοὺς ὤμους ὡς θρανίδας ὑποβάλλοντες ἐπὶ τῶν λαμπρῶν καὶ μετεώρων θώκων τὴν βασιλίδα ἀνέφερον.

13. λαμπρῶς διεσκ.] ἐξωπλισμένη B. 22. ὡς θρανίδας] ἀντὶ σουπεδίου A.

mia, qua maritum dehonestabat. qui cum initio id dedecus scire et dissimulare ab omnibus putaretur, tamen ea facinora se ignorasse, postea cum publicata essent, declaravit, ut suo tempore narrabimus. cum igitur imperatrix limites transiliret et superiorum Augustarum instituta contemneret, imperium plane in duos principatus est divisum. neque enim imperator duntaxat quicquid erat libitum mandabat: sed illa etiam pari auctoritate, quae visa erant, peragebat, imo aliquando pro sua libidine illius iussis intercedebat. et cum maximae legationes audiendae erant, duo pretiosa solia coniungebantur, et illa marito cum magno splendore ac pileolo gemmis et perspicuis margaritis ornato assidebat, et torques pretiosissimos de collo suspendebat. aliquando etiam in aliis palatiis seiuncti per vices adorabantur, subditis ab imperatore ad illam salutandam transeuntibus et genua submissius flectentibus. nonnulli etiam imperatoris consanguinei, qui summos magistratus gerebant, imperatricis splendidas et altas lecticas humeris tanquam mancipia subibant.

Ἀλλ' οὔπω μῆνες τρεῖς παριππεύκεισαν, καὶ φήμη τις πρόεισιν ἀψευδὴς ἐκ Κιλίκων τινὰ ὁρμώμενον Ἀλέξιον τοὔ-
D νομα, τῷ τοῦ βασιλέως Ἀλεξίου ὀνόματι ἐποχούμενον ὃν ὁ βασιλεὺς ἐγείνατο Μανουήλ, τῷ τῆς πόλεως Ἀγκύρας σατραπεύοντι προσρυῆναι καὶ ὑπ' αὐτοῦ προσδεχθῆναι ὡς υἱὸν ἀληθῆ τοῦ αὐτοκράτορος Μανουήλ, οὐχ ὅπως περατώσειεν αὐτῷ τὰ κατ' ἔφεσιν (ᾔδει γὰρ κἀκεῖνος ὡς ὁ βασιλεὺς Ἀλέξιος διὰ πνιγμονῆς ὑπ' Ἀνδρονίκου τὸν βίον κατέστρεψεν), ἀλλ' ἵν' ὁ βασιλεύων Ῥωμαίων συνδιαπλέκοιτο πράγμασι τοῖς στασιασταῖς ἀντικαθιστάμενος, καὶ αὐτὸς ἐντεῦθεν παρακερδαίνῃ τι, χρημάτων ὤνιον τὴν μετὰ Ῥωμαίων φιλίαν κτώμενος. ἐπεὶ δὲ εἰς ἔργον ταῦτα δὴ τὰ ἀγγέλματα ἐκβεβήκει, καὶ ὁ ψευδώνυμος οὗτος Ἀλέξιος τοῖς ὁμόροις τῇ Ἀγκύρᾳ Ῥωμαϊκοῖς πολίσμασιν ἐπεφύετο ἐνισχυόμενος παρὰ τοῦ Πέρσου καὶ κρατυνόμενος, στέλλεταί τις ἐκτομίας ᾧ τοὐπίκλην Ἠο-
P. 297 νοπολίτης, ἄρτι πρὸς βασιλέως παρακοιμώμενος τιμηθείς. μηδέν τι δὲ τοῦ θλαδίου κατορθοῦντος πρὸς τὴν ὑπόθεσιν δεῖν ἔγνω καὶ αὐτὸς ὁ βασιλεὺς ἐξελθεῖν, ἐν τῷ μέρει δὲ καὶ τῶν μετὰ τοῦ Πέρσου σπονδῶν ἐπιμεληθῆναι, εἰδὼς ὡς οὕτω μάλιστα ῥᾳδίως καταγωνίσεται τὸν ὀνόματι ἑτέρου, καὶ τούτου πάλαι τεθνεῶτος, ἐπερχόμενον αὐτῷ ἀντίπαλον. πλὴν ὁ Πέρσης τῷ καιρῷ καταχρώμενος οὐκ ἄλλως τὴν εἰρήνην ἐδέχετο, εἰ μὴ αὐτίκα δωρήσεταί οἱ βασιλεὺς ἀργυρίου κεντηνάρια πέντε κεκομμένα εἰς νόμισμα, ἐτησίως δ' ἔκτοτε τρι-
V. 244 σὶν ἐκ τούτων φιλοτιμεῖται καὶ Σηρικοῖς τεσσαράκοντα νήμα-

15. οἰνοπολίτης B.

Verum trimestri nondum elapso fama non fallax affertur, Cilicem quendam assumpto Alexii filii Manuelis nomine ad Ancyrae urbis satrapam se contulisse, ab eoque ut verum Manuelis filium susceptum esse, non ut eius postulatis annueret (noverat enim et ipse imperatorem Alexium ab Andronico strangulatum esse) sed ut imperator bellis distineretur, dum seditiosis resisteret, et ipse aliquid emolumenti inde perciperet, amicitia sua Romanis vendita. postquam autem Pseudalexius iste Persarum opibus adiutus Ancyrae vicina Romana oppida populabatur, eunuchus quidam cognomento Eonopolita, nuper ab imperatore accubitoris dignitate ornatus, ad eum reprimendum mittitur. qui cum rem male gereret, imperator ipsi sibi exeundum esse censuit, eademque opera de foedere Persico agendum, haud ignarus impostorem illum ea ratione facillime debellari posse. verum Persa occasione usus pacificationem se nulla alia ratione admissurum affirmavit, nisi argenti signati centenarii quinque in primis et dein-

σιν, ἅπερ ἐκ Θηβῶν ἑπταπύλων βασιλεῖ κεχορήγηται. ἀφικόμενος B οὖν κατὰ τὸ πόλισμα τὰ Μελάγγεια πρὸς τῶν ἐκεῖσε βασιλεὺς αὐτοκράτωρ ἀναγορεύεται, πλὴν οὐχὶ καὶ γενναίαν τὴν κατὰ τοῦ ἀντιστάτου Ἀλεξίου σύναρσιν εὕρισκεν, ἀλλ' ὡς βασιλεῖ Ῥωμαίων αὐτῷ προσανέχοντες οὐδὲ τὸν Ψευδαλέξιον ἐκεῖνον φιλοφροσύνης εἴων ἐκτός, τούτῳ τε κἀκείνῳ τὰ βλέμματα χαριζόμενοι πρὸς ἑκατέρους ταῖς γνώμαις ἔρρεπον, μηδαμῶς ἐμφαίνοντες ὅτῳ προσρέπουσιν ἀτεχνῶς· ὅθεν παντὶ τῷ βουλομένῳ παρεῖχον κατανοεῖν ὡς ἀμφίρροποι ὄντες οὐδετέρῳ μὲν ἐκ τοῦ αὐτίκα προσκείσονται, κατὰ δὲ καιρὸν τῷ νικῶντι προσθήσονται. ἀλλὰ κἂν ταῖς πρὸς βασιλέα ἐντεύξεσιν ὑπεξαίροντες τὸν Ἀλέξιον οὐδαμῶς ἔληγον. πολλάκις γοῦν ἔλεγον ὡς „καὶ σὺ ἀγάσαιο ἂν τὸν ἄνδρα, εἰ C θεάσαιο, δέσποτα βασιλεῦ. οὕτω πυρσαῖς καὶ ἐκτενέσι κόμαις ἠγλάϊσται ὡς εἰ χρυσίου ἦσαν ἀπορρινήματα. οὕτως ἐστὶν εὐῆλιξ, οὕτως ἱππότης ἀκράδαντος ὡς εἴπερ τῇ ἐφεστρίδι ἐμπεπερόνητο." πρὸς δὲ ταῦτα τοῦ βασιλέως ἀνθυπενεγκόντος ποτὲ ὡς ὁ τοῦ αὐτοκράτορος υἱὸς Μανουὴλ πάλαι ἀπεβίω θανάτῳ ᾧ δὴ πρὸς Ἀνδρονίκου καταδεδίκαστο, ὁ δὲ νῦν προσιὼν οὗτος πλάνος ἐστὶ καὶ τοῦ τῶν Κομνηνῶν γένους ἀλλότριος, εἰ δ' ἐκεῖνον δοίη τις ζῆν καὶ τοῦτον εἶναι τὸν ἐπιόντα, ἀλλ' αὐτὸς ἄρχειν δήπουθεν δικαιότερος ὁ καὶ τὰ Ῥωμαίων σκῆπτρα χειρίζων νυνί, ἐπελάβοντο τῶν λόγων οἱ ἀκροώμενοι, καὶ ἀπ' αὐτῶν πορισάμενοι τὴν ἀντίθεσιν „ὁρᾷς" ἔλεγον, „βασιλεῦ, ὡς ἄρ' ἀμφιγνοεῖς καὶ σὺ περὶ τοῦ D

ceps quotannis terni, et quadragenae vestes sericae, quae Thebis Boeoticis imperatori pendi solerent, sibi donarentur. ubi ad Melangia oppidum pervenit, ab illius loci incolis imperator Augustus salutatur, sed parum alacriter contra seditiosum adiuvatur, quamvis enim eum pro Romanorum imperatore colerent, tamen nec Pseudalexium plane contemnebant; et dum utrumque colunt, minime prae se ferunt utri prorsus sint addicti. unde quivis coniicere poterat eos duabus sedere sellis, et in praesentia neutri opem laturos, sed per occasionem in partes victoris concessuros. imo etiam quoties imperatorem adibant, Alexium extollere non desistebant, subinde interiicientes ipsi etiam miraculo eum fore, si videret ut ruso et promisso capillo esset ornatus, non secus ac si auri bracteae essent, ut esset procerus, ut robustus eques, quasi fibulis sellae affixus. ad quae cum imperator aliquando respondisset Manuelis filium ab Andronico iam olim sublatum, eum vero qui nunc illius nomen usurpet erronem esse et a Comnenia familia alienum, et ut ille viveret atque is

παιδός, καὶ τὸν ἐκείνου θάνατον ἀμφήριστον ἥγησαι; μὴ οὖν χαλέπαινε τοῖς τὸν νεανίαν οἰκτείρουσιν ἐκ μὲν τριγονίας τὴν βασιλείαν ἐς αὐτὸν καταβαίνουσαν ἔχοντα, ἀρχῆς δ' ὁμοῦ καὶ πατρίδος παρὰ δίκην ἀποπλαζόμενον." ἰδὼν τοίνυν ὁ βασιλεὺς ὡς οὐδὲν ὠφελεῖ, καὶ τὴν αὐτὸς αὐτοῦ παρουσίαν ἐπ' οὐδενὶ κερδαλέῳ κατανοῶν γίνεσθαι, τὰ φρούρια παρελθὼν, καὶ ἃ μὲν τούτων ἀποστήσας τοῦ Ἀλεξίου, ἃ δὲ πυρὶ παραδοὺς ὡς τῷ ἀντάρτῃ προσρέποντα, ἐπανόδου ἐμνήσατο, δυσὶ τὴν ἐκστρατείαν περιγράψας μησὶ καὶ τὰ κατὰ τὸν Κίλικα Ἀλέξιον ἐπιτρέψας τῷ Καντακουζηνῷ Μανουήλ. πλὴν οὐδ' οὗτος ἐξήνεγκε πόλεμον κατ' αὐτοῦ προφανῆ, καίπερ ἐμπλατυνομένου ἀεὶ τῇ ἐπικουρίᾳ τοῦ Πέρσου, καὶ τῶν
P. 298 περὶ τὴν Ἄγκυραν φρουρίων φορολογοῦντος τὰ πάντα ἢ τὰ πλείονα. ἦν δ' ἂν καὶ οὗτος ἐπὶ μακρὸν ἀμήχανον Ῥωμαίοις κακόν, εἰ μὴ θεὸς κἀνταῦθα φανεὶς καινουργὸς τὰ Ῥωμαίων ᾤκτειρε πράγματα· τὸ γὰρ φρούριον εἰσιὼν ὃ Τζούγγρα κατονομάζεται, νυκτὸς ἀποσφάττεται μαχαίρᾳ παρά τινος. οὕτω μὲν οὖν καὶ οὗτος ἠφάντωται, κατὰ τάχος ἀστραπῆς διαΐξας καὶ πάλιν ἀποκρυβείς, ἢ γοῦν ὡς ἐκ Κιλικίου Κωρυκίου πνεῦμα βίαιον διεκπνεύσας καὶ μέρος τῆς ὑπὸ Ῥωμαίους διακυκήσας, μετὰ βραχὺ διεκφυσηθεὶς ἐπαύσατο τῆς σφοδρότητος.

Ἐπὶ δὲ τῷ κακῷ τούτῳ παρὰ πόδας ἕτερον ἐπεισέφρησε
B χείριστον, ἢ μᾶλλον δόξαν πρὸς καιρὸν ὑπορρεῦσαι πάλιν

ipse esset qui arma inferret, se tamen meliore iure imperare, qui nunc sceptrum teneat, illi eius oratione interpellata et ex tempore refutata responderunt „vides ergo, imperator, te quoque de illo dubitare, et mortem eius incertam existimare? quare noli succensere iis qui adolescentis miserentur, cui regnum proavitum debetur, quo tamen una cum patria per iniuriam est privatus." itaque videns imperator se nihil sua praesentia proficere, castellis praeteritis, quorum alia ab Alexio dimovit alia incendit ut seditioso addicta, in urbem rediit, expeditione duobus mensibus terminata, et Ciliciae rebus Manueli Cantacuzeno mandatis. sed cum ne is quidem aperte illi bellum inferret, quamvis Persae auxiliis subinde crescenti et a castellis Ancyrae finitimis omnibus aut saltem pluribus tributa exigenti, diuturnis utique malis Romanos affecturus ille fuit, nisi deo nova hic quoque ratione nostri miserto, in castello Zungra noctu iugulatus a quodam fuisset. sic fulguris instar subito et emicuit et evanuit, aut ut flatus vehemens ex antro Corycio erumpens, qui paulo post in partem Romani imperii conturbatam saevire desiit.

Hoc malum e vestigio aliud pessimum est consecutum; et cum

ἀνέβλαστε κατὰ κώνειον φθοροποιόν, ὁ Κομνηνὸς οὗτος Ἰσαάκιος, ὃς ἐν τοῖς ἔμπροσθεν βιβλίοις ἐρρέθη μοι ὅτι ἐγκρατὴς ἅμα καὶ ὀλετὴρ τῆς τῶν Κυπρίων νήσου γενόμενος ἑάλω μὲν πρὸς τοῦ ῥηγὸς Ἰγγλινίας ἐς Παλαιστίνην ἀφικνουμένου διαποντίου, καὶ ὡς δοῦλος μαστιγίας τινὶ τῶν ὁμοφύλων ἐκείνῳ ἀποκεχάριστο. καὶ ἦν ἁπανταχῇ διαδόσιμος ὡς κατέστρεψε τὸν βίον κακῶς ὁ κακός· φήμη δ', ὡς δέδεικται ὕστερον, μόνῃ ἀποβιούς, καὶ δεσμῶν ἀπαλλαγεὶς καὶ φρουρᾶς ἀπολυθείς, ὡς μὴ ὤφελε, τὸν παλαιὸν ἀναθάλπει τῆς τυραννίδος ἔρωτα. ἀνεκαλεῖτο μὲν οὖν πρὸς τοῦ βασιλέ- V. 245
ως Ἀλεξίου διὰ γραμμάτων συχνῶν, ἐναγούσης αὐτὸν εἰς τοῦτο τῆς βασιλίδος Εὐφροσύνης δι' ἣν ἐκ συγγενείας ἐγ- C
γύτητα εἶχεν αὕτη πρὸς Ἰσαάκιον. ὁ δὲ ἀπεδυσπέτει καὶ πρὸς μόνην ἠγανάκτει τῶν ἐπιστελλομένων ἐνήχησιν, βασιλεύειν, οὐ μὴν βασιλεύεσθαι λέγων εἰδέναι, καὶ ἄλλων ἐξηγεῖσθαι, μὴ γοῦν ἑτέροις πείθεσθαι. συχνὰ τοίνυν γράμματα συνετίθει πρὸς τοὺς τῆς Ἀσιάτιδος γῆς πρωτεύοντας, τί μὲν τῶν ἀπειρημένων οὐκ εἰσηγούμενα, τί δὲ τῶν καθεστώτων οὐχὶ κινοῦντα, καὶ πάντα τοῖς πειθομένοις βραβεύοντα, εἴ πως τοῦ τῆς βασιλείας ὀνόματος ἐπιτεύξεται. ἀλλὰ καὶ πρώην διώκων ἦν τὰ ἀκίχητα, καὶ ἃ μὴ θεὸς βεβούλευται, διακενῆς μηχανώμενος· καὶ τότε ὁμοίως ἠλέγχετο μάτην διατεχνώμενος τὰ ἀνήνυτα. οὔτε γὰρ αὐτῷ προσέσχεν D
ὁ Πέρσης ὥσπερ ἱμείρετο (ἐγλίχετο δὲ μεθ' ὅλης τῆς οἰκείας

1. οὗτος] τοῦτο A. 2. ὅτι codices om.

exaruisse visum esset, instar letiferi aconiti refloruit. nam Comnenus Isaacius, a quo vastatam esse Cyprum supra memoravimus, captus quidem fuit a rege Angliae in Palaestinam navigante, et pro verberone servo cuidam populari eius donatus, fama ubique sparsa malum hominem male periisse. sed ut res postea declaravit, sola fama mortuus revixit, et vinculis et carcere (quod utinam factum non esset) liberatus pristinam imperii cupiditatem renovat. qui cum imperatricis Euphrosynae impulsu, quam propinqua cognatione attingebat, crebris Alexii litteris revocaretur, illam conditionem cum indignatione prorsus respuebat, se imperare, non parere didicisse, et ducem, non militem agere novisse affirmans. proinde frequentes litteras ad Asianos proceres mittit, quae nihil non vetitum suadebant, nihil non a maioribus institutum abrogabant, nihil non obtemperantibus promittebant, si quo modo imperii titulum consequeretur. verum ut olim ea sectabatur quae assequi non poterat, et ea frustra moliebatur quae in fatis non erant, ita tum etiam irritos conatus eius eventus

ἰσχύος ἕπεσθαί οἱ κατὰ Ῥωμαίων στρατεύοντι, καὶ πάνθ' ὁπόσα ἐπιτάττειν ἔχει ποιεῖν), οὔτε οἷς ἐπέστελλε κρύβδην οὗς τις ὑπέσχετο εὔεικτον, ἀλλὰ πάντες ὡς ἀσπίδες οἷς ἐπῇδε τὰς ἀκοὰς ἐπέφραττον. τίς γὰρ ἂν θηρίῳ κατηκολούθησεν αἱμοβόρῳ, μετ' οὐ πολὺ ταῖς ὄψεσιν ἐμπηδήσοντί τε καὶ ἀναιρήσοντι; ἢ μετ' ὄφεως ἰοβόλου φιλίαν συνέθετο, κἂν προσπλέκοιτό τις αὐτῷ, τὸν ἰὸν ἐξεμοῦντος θανάσιμον, κἂν ἐν κόλπῳ διαθάλπῃ, ὀλέθρια δάκνοντος; πλὴν ἀλλὰ καὶ οὗτος κατὰ θεῖον ἐξέρρηξε μετὰ βραχὺ τὸ ψυχίδιον, καὶ τοῖς λοιποῖς προσετέθη τυράννοις οὓς χεὶρ κυρίου ἠφάνισε, κἂν οὐκ εἴωθεν ἀμέσως ποιεῖν ἃ καινοποιεῖ πολλάκις σωτήρια. ᾔδετο δὲ μηδὲ φυσικῷ θανάτῳ δαμῆναι τὸν ἀλιτήριον, ἀλλὰ φαρμά-
P. 299 κῳ ἀπολωλέναι κυλικοφορηθέντι παρά τινος μεγάλοις δώροις ἐπιρρωσθέντος πρὸς τοὔργον ὑπὸ τοῦ βασιλέως αὐτοῦ.

4. Ἐπὶ πᾶσι δ' οἷς Ἀλέξιος ἐπειράσατο βασιλεύσας, εἴ πως σπείσαιτο Βλάχοις, καὶ πρέσβεις πέπομφε πρὸς τὸν Πέτρον καὶ τὸν Ἀσάν. ἐπέρανε δ' οὐδ' ὅλως τὴν εἰρήνην καὶ τὰς σπονδάς, οἷα τῶν ἀνδρῶν τούτων ὑπερόγκους τὰς ἀποκρίσεις ποιησαμένων, κἀκεῖνα προσθεμένων ὑπὲρ εἰρήνης ἃ Ῥωμαίοις ἀδύνατά τε καὶ ἄτιμα δήπουθεν ἦν. ἀμέλει τοι τοῦ βασιλέως κατὰ τὴν ἕω διατρίβοντος προσβάλλουσι τοῖς περὶ τὰς Σέρρας Βουλγαρικοῖς θέμασι, καὶ τὸ αὐλιζόμενον

8. πλὴν ἀλλὰ] ὅμως καὶ τοῦτον ὁ θεὸς συντόμως ἐκ μέσου ἠφάνισε, κἂν καὶ πολλάκις ἐπὶ ἀνταπόδει βραδύνῃ καὶ μακροθυμῶν ἀνέχεται B.

coarguit. neque enim Persa postulatis eius annuit (cupiebat autem cum Romanis bellum inferentem cum omnibus copiis suis sequi, et eius iussis omnibus obtemperare), neque quisquam eorum ad quos clam scribebat benignas aures ei praebuit. quis enim belluam sanguinariam paulo post in faciem invasuram et laceraturam sequeretur? aut cum venenato serpente amicitiam constitueret, qui, sive amplecterere, letale virus evomeret, sive in sinu foveres, pestiferos dentes infigeret? enimvero et hic paulo post mortuus ad caeteros tyrannos dei nutu sublatos abiit, mirabiliter quidem, sed non sine instrumentis salutem afferre soliti. ferebatur autem non naturaliter sed veneno per pincernam magnis largitionibus ab ipso imperatore corruptum propinato interiisse.

4. Caeterum Alexius potitus imperio, missis ad Petrum et Asanem legatis, pacem cum Blachis facere studuit. sed frustra is conatus fuit ob superbum et ferox barbarorum responsum et conditiones Romanis inhonestas et intolerabiles. dum autem imperator in Oriente versatur, in Bulgaricum agrum iuxta Serras incursione facta, victaque

ἐκεῖσε Ῥωμαϊκὸν σύνταγμα ἡττηκότες ἄλλους τε πλείστους
κακῶς εἰργάσαντο, καὶ δὴ καὶ αὐτὸν εἷλον ζωγρίαν τὸν B
Ἀσπιέτην Ἀλέξιον, ὃς ἀρχηγεῖν Ῥωμαίοις προυβέβλητο. κρατοῦσι δὲ καὶ πολλῶν ἐκ τῶν ἐκεῖθι φρουρίων, καὶ αὐτὰ μὲν εἰς τὸ ἐπικρατὲς ἠσφαλίσαντο, αὐτοὶ δ' ἐπανῆκον οἴκαδε λείαν ἐληλακότες οὐ σταθμητήν. βασιλεὺς δὲ μὴ καὶ μετέπειτα τοιοῦτόν τι διαπραχθείη προμηθούμενος, μεθ' ἱκανῆς ἐξέπεμψε στρατιᾶς τὸν ἑαυτοῦ γαμβρὸν Ἰσαάκιον τὸν σεβαστοκράτορα, ὅτε δὴ καὶ Ἀσὰν πρὸς τοὺς εἰσάγοντας παραίνεσιν Βλάχους μηκέτι τὰς κατὰ Ῥωμαίων ἐπελεύσεις μετὰ θερμότητος τίθεσθαι, μεμνῆσθαι δὲ καὶ μεθόδων στρατηγικῶν (ἄρχειν γάρ, ὡς πυνθάνονται, ἄνδρα πολεμικὸν καὶ λίαν τοῦ ἀδελφοῦ προφερέστερον), μετὰ κόμπου ἀπεκρίνατο μὴ δεῖν ἀεὶ ταῖς φήμαις ἐπικλίνειν τὸ οὖς, μήτε δ' ὃν ἀνδρεῖον αὔ- C
τη διαθρυλεῖ, ὡς ἤδη καὶ τοιοῦτον ὄντα τοῦτον κατεπτηχέναι, οὐδ' ὃν διέξεισι δειλὸν καὶ ἀνάλκιδα, πρὸ τῆς πείρας ἀθερίζειν καὶ ἀποπέμπεσθαι, ἀλλὰ τὴν μὲν φήμην μὴ πάμπαν ἀποστρέφεσθαι, ὅτι μηδ' ἐς ἅπαν ἀπόλλυται, καὶ μάλιστα ἣν πλεῖστοι λαοὶ φημίζουσιν, ἐπάγειν δ' ὡς λίθον Μάγνησσαν τὰς πράξεις τῶν ἐνδιαβαλλομένων εἴτε μὴν κροτουμένων παρ' αὐτῆς ἀνδρῶν, ἐν πολλοῖς δὲ καὶ τὸν ὀφθαλ- V.246
μὸν ἰζάνειν τῶν φημιζομένων δικαστήν, καὶ οὕτω προσίεσθαι τὴν φήμην ὡς ἀληθῆ ἢ γοῦν μύροις ἀλείφειν ὡς ψευδῆ καὶ ἄλλοθί που ἀφιέναι πέτεσθαι. „τὰ γὰρ ὦτα οὐκ οἶδε τὰ

3. ἀρχηγὸν A, ἀρχηγῶν PW.

legione Romana, tum alios plurimos male tractarunt, tum ipsum Ducam Alexium Aspietem ceperunt, multaque castella expugnarunt; quibus firmatis cum innumerabili praeda domum redierunt. imperator vero ut caveret ne quid simile in posterum accideret, Isaacium sebastocratorem generum suum cum iustis copiis ablegat. qua de causa cum Blachi a quibusdam monerentur ne temere et confidenter in Romanos irruerent, sed militaris etiam solertiae et doli meminissent (nam audire se imperare virum bellicosum et fratre longe praestantiorem), Asan insolenter respondit non semper famae praebendas esse aures, nec si quem, ea pro viro forti celebret, eum statim ut talem esse formidandum, nec si quis pro timido et ignavo traducatur, spernendum et reiiciendum esse: sed famam ut non omnino vanam, praesertim tam celebrem, non quidem plane contemnendam, sed ad res gestas eorum qui vel male vel bene audiant tanquam ad Lydium lapidem exigendam; saepe etiam oculo iudicium permittendum, et sic eam vel ut veram probandam vel ut falsam repudiandam. aures enim non videre ipsam rem, sed alienarum linguarum

δρώμενα, ἀλλὰ γλώττης ὄχλον εἰσοικιζόμενα φύλακές εἰσιν D ἀλλοτρίων, καὶ τούτων ἐναντίων πολλάκις ἐνηχημάτων. ἀσφαλὴς δέ ἐστι τῶν γινομένων διαιτητὴς ὀφθαλμός, καὶ μάρτυς ὧν τεθέαται ἀπαραλόγιστος, οὐχ ἑτέρωθεν εἰσχεομένην ἔχων τὴν πίστιν ὡς τὴν τῶν λεγομένων εἰς ἐνοίκησιν ἀκοήν. μὴ οὖν δὴ καὶ ὑμεῖς θροεῖσθε ὡς ὁ νῦν Ῥωμαίων βασιλεύων γενναῖος ὑπὸ φήμης κηρύττεται, ἀλλ᾽ εἰ τοιοῦτός ἐστιν ὁποῖος ᾄδεται χρεὼν σκέψασθαι. ὁδηγὸς δὲ ὑμῖν εἰς τοῦτο ἔστω βίος ὁ πρότερος, καὶ καθηγητὴς ἀκριβὴς τοῦ ἀνδρὸς καθιστάσθω. ἀτὰρ εἰ φιλοκρινήσετε, οὐκ ἂν ἐφ᾽ ὁτιοῦν εὐδοκιμηκότα εἴσεσθε τουτονί· οὔτε γὰρ πολέμοις ὡμίλησε καὶ κινδύνοις ὑπὲρ Ῥωμαίων παρενεβλήθη συστρατευόμενος καὶ συγκάμνων τῷ ἀδελφῷ, ὅσα γε αὐτὸς ἴσημι κείρων ἀεὶ καὶ P. 300 κατατρέχων τὴν πολεμίαν καὶ νίκας ἐπὶ νίκαις ἀναιρούμενος καὶ τροπαίοις ἐπιστοιβάζων τὰ τρόπαια, οὔτε μὴν μισθὸν καμάτων τὴν ἁλουργίδα καὶ τὸν βασίλειον εἴληχε στέφανον, ἀλλ᾽ ὡς ἐκ τῶν ἔργων ὑπέδειξε, τύχης ἀγνώμονος πέττευμα τὰ σκῆπτρα παρείληπται. οὗτος τοίνυν, ὃς οὐ τεθέαταί μοι μαχόμενος οὐδὲ φωνῇ καὶ χειρὶ καὶ βουλῇ τὰ Μυσῶν παραλυπήσας ἐνίοτε, ὅπως ἐξαίφνης εἰς ἅπαν τοὐναντίον μεταπεποίηται, ἐγὼ μὲν οὐκ ἔχω καὶ συνιδεῖν. ἵνα δὲ καὶ δι᾽ ὑποδείγματος, καθ᾽ ὅσον ἔξεστι, τὰ κατὰ τὸν ἄνδρα τουτονὶ καὶ τὸ λοιπὸν αὐτῷ γένος διασαφήσαιμι, ὁρᾶτε τὰ ἐπὶ τοῦ ἐμοῦ

5. ἀκοή? 17. ἀγνώμονος] ἀστάτου B. 23. ὁρᾶτε] βλέπετε τὸ ἐν τῷ κονταρίῳ μου κρεμάμενον φλάμουλον, πῶς πολυχρώματόν ἐστιν· ὅμως ἐκ μιᾶς ὕλης καὶ ἑνὸς διασειδίου ἐστί, καὶ εἷς αὐτὰ τεχνίτης ὑφάντωσε B.

et saepe adversarum strepitum conservare. visum vero certum esse rerum arbitrum; et pluris esse, ut ait Comicus, unum oculatum testem quam auritos decem, qui non alieno testimonio sed suo experimento nitatur. non igitur eos moveri oportere, quod hic Romanorum imperator vir fortis perhibeatur: sed an talis sit, ex ante acta eius vita coniecturam capiendam. quam si accuratius intueantur, nihil unquam ab eo esse gestum laude dignum. neque enim bellis et praeliis pro Romana re publica gestis interfuisse, neque una cum fratre labores et pericula adiisse, quod ipse quidem sciret, qui hostilem agrum perpetuo infestarit et victorias victoriis, triumphos triumphis cumularit. neque illi purpuram et diadema laborum praemium esse data, sed fortunae ludibrio contigisse. „is ergo qui nunquam in pugna visus sit, qui non voce, non manu, non consilio res Mysorum unquam labefecerit, qua ratione subito mutatus sit in contrarium, plane non intelligo. ut autem" inquit „virum illum,

δόρατος ἀπαιωρούμενα καὶ ἀνεμούμενα διάφορα ταῖς χροιαῖς, εἰ καὶ μὴ ταῖς ὑφαῖς, νήματα. ταῦτα μιᾶς μὲν προελήλυθεν ὕλης, καὶ εἷς ὑφάντης αὐτὰ ἐμηρύσατο· τοῖς δὲ χρώμασι διαλλάτ- B τοντα διεστάναι δοκοῦσι καὶ κατὰ τὸ τοῦ εἶναι ποιητικὸν αἴτιον. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. Ἰσαάκιος οὖν καὶ Ἀλέξιος οἱ ὁμαίμονες, ὧν ὁ μὲν τῆς βασιλείας ἤδη καθῄρηται, ὁ δὲ τηβεννοφορεῖ νῦν καὶ διαδεῖται ἀρχικῷ στεφανώματι, ἕνα τοκέα ἔσχον, τῆς αὐτῆς νηδύος ἐξώλισθον, κατὰ τὴν αὐτὴν γεγένηνται γῆν, τὰ πάνθ' ὅμοια ἐκληρώσαντο, κἂν ἅτερος τούτων Ἀλέξιος τῷ χρόνῳ προήκων ἑώραται. ὅθεν οὐδὲ κατὰ τοὺς πολέμους διαφέροιεν ἄν, ὡς ἔμοιγε γοῦν δοκεῖ καὶ ὡς ἐν πείρᾳ πάντες γνωσόμεθα. χρῆναι τοίνυν φημὶ μετὰ τῆς αὐτῆς καὶ προτέρας προθέσεως καὶ πάλιν τῶν κατὰ πόλεμον ἅπτεσθαι, εἰδότας ὡς οἷς καὶ πρότερον ἐξ ἐναντίας μοίρας καὶ νῦν στησόμεθα, ἵνα μὴ καὶ χείροσιν εἴποιμι C ἀφορῶν μὲν καὶ πρὸς τὸ καταβεβλημένον καὶ ἀτονώτερον ἤδη φρόνημα τῶν Ῥωμαίων, οἳ πολλάκις ὑφ' ἡμῶν τροπωθέντες οὐδ' ἅπαξ τὰ κατ' αὐτοὺς ἀναλαβεῖν ἐσχήκασι πράγματα, ἐννοῶν δὲ καὶ ἣν θεόθεν ἐπεσπάσαντο οἷδε μῆνιν, τὸν αὐτοὺς βαρείας τυραννίδος ἀπηλλαχότα Ἰσαάκιον βασιλείας ἐννόμου καθῃρηκότες· οἱ γὰρ οὕτω κατὰ τῶν σεσωκότων ὁπλισάμενοι οὐκ ἂν φθάνοιεν ὑπὸ τῶν ἐχθρῶν ὡς παράσπονδοι ἀναιρούμενοι." τοιαύταις γνώμαις ὁ βάρβαρος τὰ τῶν ὑπ'

quantum licet, similitudine depingam et genus eius declarem, videtis fila diversi coloris, etsi non diversae telae, de hasta mea pendentia? haec una eademque materia constant, ab uno textore confecta sunt. sed quia coloribus discrepant, ex alia materia et ab alio artifice confecta putantur, cum res aliter sese habeat. eodem modo Isaacius et Alexius fratres, quorum alter imperio deiectus est, alter purpura et diademate insignis conspicitur, eundem patrem habuerunt, eodem utero sunt editi, eadem terra nati, omnia eadem sunt consecuti, quamvis Alexius sit natu maior. quare, mea quidem sententia, nec in re militari quicquam inter eos intererit; iamque re ipsa omnes cognoscemus. itaque rationem belli pristinam sequendam esse nobis affirmo, cum iisdem arma inferenda sint quos prius oppugnavimus, ne deterioribus dicam. nam Romanorum animi crebris cladibus fracti et enervati sunt, et crebro a nobis in fugam versi ne semel quidem vires suas recuperare potuerunt. nec illud praetereundum, eos iram dei contra se concitasse, Isaacio, cuius opera gravi Andronici tyrannide liberati fuere, legitimo imperio pulso. nam qui servatores suos ita tractarunt, primo quoque tempore ab inimi-

αὐτὸν ἀναστήσας φρονήματα μετὰ κόμπου μείζονος ἐπῄει κατὰ τῶν περὶ Στρυμόνα τε καὶ Ἀμφίπολιν ἐπαρχιῶν. ἐπεὶ D δὲ καὶ ταῖς Σέρραις ἐμβαλεῖν Ἰσαακίῳ ἤκουσται τῷ σεβαστοκράτορι, νέος ὢν οὗτος καὶ προσεχεῖ τινὶ τῶν Βλάχων ἐπαρθεὶς πταίσματι, μὴ προεξετάσας τὴν τῶν πολεμίων δύναμιν, τῇ δ' ἀκοῇ συνάψας τὴν κατ' αὐτῶν ἐξόρμησιν, ἀνίστησί τε παραχρῆμα τὴν στρατιὰν τῆς σάλπιγγος ἐνδούσης τὸ σύνθημα, καὶ τὸν πολεμιστήριον ἵππον πρῶτος ἀναβὰς καὶ θωρακισά- V. 247 μενος κατ' ἐπειγωλήν, οὐχὶ βάδην, τὸ δόρυ κατὰ τῶν ἀντιπάλων τιταίνων ἔξεισιν ὡς εἴπερ ἐλάφων αὐτῷ κυνηγέσιον προηυτρέπιστο ἢ θηρευτικὰ ἐκεῖ που ἀθύρματα προητοίμαστο. διελθὼν οὖν ἀνέτῳ ῥυτῆρι ὡσεὶ σταδίους τριάκοντα τό τε ἱππικὸν ἀποκναῖσαι πεποίηκεν, ὡς ἀχρεῖον εἶναι κατὰ τὴν ὥραν τῆς προσβολῆς, καὶ τὸ πεζικὸν ἐκλυθὲν ἐς οὐδὲν γεγονέναι μετέπειτα χρήσιμον. ὡς δὲ ἤγγισεν ἔνθα παρενέβαλε P. 301 τὸ πολέμιον, τοῦ μὲν Ἀσὰν τὸ πλεῖστον καὶ κράτιστον στράτευμα εἰς ἐνέδρας καὶ λόχους διαμερίζεται, ὁ δ' Ἰσαάκιος μὴ τὸ στρατήγημα τοῦτο καὶ τὸν δόλον κατανοήσας, ὡς ἡττήσων καὶ τροπωσόμενος βακχευτικῷ ἐπῆλθεν ὁρμήματι· διὸ καὶ τῶν ἐν τοῖς λόχοις ἐπιθεμένων, ὡς ἐν μέσοις συσχεθεὶς ἄρκυσι, πολλοὺς μὲν ἀπέβαλε τῶν ἰδίων, τέλος δὲ καὶ αὐτὸς ἑάλω ζωγρίας ὑπὸ Σκυθῶν. ἐκ δὲ τούτων συμβέβηκεν ὡς ἐν κτήνεσι λέοντα πρός τε τὰς ἐπελεύσεις ἀδεεστάτως καὶ τὰς προνομὰς τὸν βάρβαρον ἐφορμᾶν, οἷα μηδενὸς ἀντεξιόν-

2. κατὰ τὸν τόπον τοῦ στρυμόνος περὶ τὴν σήμερον λεγομένην πωπωλίαν B. 12. σταδ. τριάκ.] μίλια ἓξ B.

cis ut homines perfidi occidentur." huiusmodi sententiis barbarus suorum animis excitatis, provincias iuxta Strymonem et Amphipolim maiore saevitia invasit. cum autem sebastocrator, homo adolescens et recenti clade Blachorum elatus, hostes Serranum agrum incursare audivisset, non prius exploratis eorum viribus, statim signo tuba dato, primus in armis equo conscenso hastam in hostes vibravit, quasi ad paratam cervorum venationem aut ludicrum aliquod exiret. cum igitur laxis habenis circiter XXX stadia processisset, et equitatum et peditatum ita fatigavit ut pugnae tempore inutiles essent. ut propius hostium castra ventum est, maxima et potissima pars copiarum Asanis in insidias distributa est. quo stratagemate et dolo Isaacius non animadverso, certa spe victoriae concepta insano impetu eos invasit. cum autem illi ex insidiis consurrexissent, ut mediis cassibus irretitus, multis suorum amissis tandem et ipse a Scythis capitur. unde barbari ad incursiones et rapinas more leonum in armenta irruentium animosiores facti sunt, quippe cum nemo Romanorum eis oc-

τος ἔτι ἐκ τῶν Ῥωμαίων, ἀλλὰ πάντων ἀποδειλιασάντων καὶ τῇ πόλει ταῖς Σέρραις μετ' ἀνέτων ἡνιῶν εἰσρυέντων, ὅσοι τέως μὴ ξίφους ὤφθησαν πάρεργον ἐν τῇ συμβολῇ. ὁ δὲ B
συνειληφὼς τὸν σεβαστοκράτορα Σκύθης παντοίως αὐτὸν περιέκρυπτεν, ὡς εἴη ἀφώρατος τῷ Ἀσάν, ὑποσαινόμενος ἐλπίσι μή τινων ἐνδεεστέραις, ὡς εἰ τοὺς Βλάχους διελθὼν εἰς τὰ οἰκεῖα ἤθη τοῦτον ἀπενέγκαι, πλεῖστα ἂν αὐτῷ κατάθοιτο λύτρα ὁ βασιλεύς. τῆς δὲ φήμης κατειπούσης συλληφθῆναι τὸν στρατηλάτην, ἐπιμελοῦς γεγενημένης ἐρεύνης δῆλος γίνεται καὶ τῷ Ἀσὰν ἐμφανίζεται.

5. Καὶ τῇδε μὲν ἀπέβη ταῦτα· τότε δὲ καὶ τῶν δορυαλώτων τις ἱερέων, εἰς τὸν Αἶμον αἰχμάλωτος ἀπαγόμενος, δεῖται τοῦ Ἀσὰν ἀφεθῆναι, δι' ὁμοφωνίας ὡς ἴδρις τῆς τῶν Βλάχων φωνῆς εἰς ἔλεον αὐτὸν ἐκκαλούμενος. ὁ δ' C
ἀνανεύσας ἔφατο μηδέ ποτε προθέσθαι Ῥωμαίους ἀπολύειν, ἀλλ' ἀπολλύειν· τοῦτο γὰρ καὶ θεὸν βούλεσθαι. πρὸς ὃ τὸν θύτην λέγεται ἀνθυπενεγκεῖν, στενάξαντα βύθιον καὶ δακρύοις τὰ ὄμματα τέγξαντα, μηδ' αὐτῷ θεὸν ὑπολείπεσθαι οἰκτίρμονα ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος μετὰ πένητος ἀνδρὸς διὰ ἱερωσύνης θεῷ πλησιάζοντος, ἐγγὺς δέ οἱ παρεστάναι καὶ τὸ τῆς ζωῆς τέρμα, καὶ τοῦτο μὴ ὡς ἐν μαλακῷ ὕπνῳ τῷ φυσικῷ μόρῳ ἐπελευσόμενον, ἀλλ' ὡς εἴωθε τὰ πλεῖστα τοῖς σφάττειν ἐν μαχαίρᾳ προτιθεμένοις. καὶ οὐ

4. Σκύθης] κόμανος B. 7. ἔθη APW. 12. τὸν Αἶμον] τὴν ζαγορὰν B. 15. λύειν A. 18. θεὸν om A. μηδὲ σὺ τύχοις ἐλέους B.

currere auderet, sed omnes territi laxis habenis in urbem Serras confugerent, qui in illa clade non occubuerant. Scytha vero sebastocratorem a se captum quovis modo celare conatus est, ne id Asan resciseeret, spe maximae pecuniae eius redimendi causa accipiendae concepta, si hominem in Scythiam abducere liceret. sed cum fama captum esse ducem hostium vulgasset, inquisitione diligenti compertus ad Asanem perducitur.

5. Hic illius expeditionis exitus fuit. tum etiam quidam captivus sacerdos, Blachicae linguae peritus, cum in Haemum abduceretur, Asanem miserabili oratione obtestatus ut se demitteret, ubi id ille renuit, neque enim sibi propositum esse Romanos dimittere sed perdere, idque deo etiam probari, ille cum alto suspirio et lacrimis subiecisse fertur nec ipsi reliquum esse dei misericordiam, quod viri pauperis, deo ob sacerdotium familiaris, non sit misertus, ac instare ei cruentum vitae exitum, quali homines sanguinarii plerunque perire soleant. nec fefellit ea sacrificuli divinatio. nam paulo

διέπεσε τοῦ θυηπόλου τὸ πρόρρημα· μικρῷ γὰρ ὕστερον εἰς
D τὴν Μυσίαν ἐπανηκὼς παρά τινος τῶν οἰκείων διαχειρίζεται. ἦν δὲ ὁ τρόπος οὗτος τῆς αὐτοῦ ἀναιρέσεως. ἀνήρ τις ὁμοφυὴς αὐτῷ καὶ ὁμότροπος καὶ ᾧ πάνυ προσέβλεπεν ἥμερον (Ἰβαγκὸς ὄνομα τῷδε, σημαίνει δὲ ἡ λέξις τὸν Ἰωάννην), τῇ τῆς γυναικὸς αὐτοῦ κασιγνήτῃ λάθρᾳ συνήρχετο. πυθόμενος οὖν τὰ τῆς μίξεως ἐκεῖνος τὰ μὲν πρῶτα εἰς εὐθύνας ἦγε τὴν ὁμευνέτιν, καὶ θανάτου ἐτίμα τὴν ἐπὶ τοῖς δρωμένοις παρασιωπησιν· ὡς δ' ἄλλοις τε αὐτὸν ἡ γυνὴ λόγοις τοῦ φονίου κατηύναζε βλέμματος καὶ ὁρμήματος, ἀλλὰ δὴ καὶ τῷ προσάγειν ὕστερον ὡς εἰκαίως χολᾷ κατ' αὐτῆς, ἀκριβῶς γὰρ κἀκεῖνον τὰ περὶ τὴν μῖξιν ταυτηνὶ συνειδέναι, τὸν κατὰ τῆς ὁμολέκτρου χόλον εἰς Ἰβαγκὸν μετατίθησι, καὶ δὴ μεταπέμπεται τὸν ἄνδρα τῶν νυκτῶν ἀωρί, μηδὲν καθυφεὶς τῆς ὁρμῆς. ὁ δὲ τὸ τῆς χρείας ἔξωρον οὐκ ἀναίτιον καὶ ἀνεύθυνον οἰηθεὶς ἐς τὴν αὔριον τὴν ἄφιξιν ὑπερτίθεται.
P. 302 ἐκείνου δ' αὖ πάλιν ἐγκειμένου καὶ μὴ φέρειν ἔχοντος τὴν ῥαστώνην ὡς παρόρασιν, κοινοῦται τοῖς καθ' αἷμα καὶ φίλοις τὸ ποιητέον ὁ Ἰβαγκός, εἰς νοῦν ὀψέ ποτε βαλὼν τὸ τῆς ἀφίξεως αἴτιον. οἱ δ' ὑποτιθέασι τούτῳ τὴν προτενῆ περι-
V. 248 ζώσασθαι μάχαιραν, καὶ ταύτην τῷ ἱματίῳ ἐνθάψαντα εἰσελθεῖν, καὶ τοῦ μὲν Ἀσὰν ἠρέμα προσεπιπλήττοντος καὶ τὸ τοῦ θυμοῦ κατ' αὐτοῦ βράττον ὕβρεσι συμμετροῦντος, καὶ

2 ἐπανεικὼς APW. 6. λάθρᾳ συνήρχετο] κρυφίως ἐμίγνυτο B.

post in Mysiam reversus a familiarium suorum quodam occiditur. idque hoc modo factum est. quidam natura et moribus ei similis, et intima familiaritate coniunctus, nomine Ibancus (sic Iohannes a Blachis dicitur), clam cum uxoris eius sorore consueverat. quo stupro comperto, principio uxorem accusabat et propter eius facinoris dissimulationem capitis damnabat. a quo crudeli proposito cum aliis verbis uxoris suae deterritus, tum eo quod affirmabat ipsum quoque eius rei probe gnarum esse, iram a muliere in Ibancum transfert, eumque nulla mora interposita intempesta nocte accersit. is vero se alieno tempore non sine gravi causa et crimine vocari ratus, adventum suum in crastinum differt. sed illo rursus instante et procrastinationem sui contemptum interpretante, Ibancus vix tandem causa cur vocaretur intellecta, cum amicis et cognatis deliberat. ii monent ut longo gladio sub veste occultato accinctus ingrediatur. quodsi Asan eum modice obiurget et iracundiae impetum conviciis terminet sine cruciatu corporis, ut fortiter ferat et culpam deprecetur. sin ensem postulet, tum et ipse virum se praebeat, et operam det

τοῖς λοιποῖς ἃ μὴ λυμήνηται τὸ σῶμα τὴν κόλασιν ἀφορίζοντος, φέρειν γενναίως καὶ τὴν ἐφ' οἷς ἑάλω παραλύπησιν συγγνώμην αἰτεῖν, εἰ δ' ἐκεῖνος διφῴη τὸ ξίφος κατ' αὐτοῦ, τηνικαῦτα κἀκεῖνον ἀνδρίζεσθαι, καὶ σπεύδειν ὥστε φθάσειν ὃ μελλήσας αὐτίκα πείσεται, καὶ πάσας καιρίας ἐπάγειν καὶ κατα- B γούσας εἰς ᾅδου τὸν ἀναιδῆ καὶ φιλαίματον. ὃ καὶ εἶχεν ὅδε διαπραξάμενος· μηδὲν γὰρ ἐπ' αὐτῷ διανοουμένου μέτριον τοῦ βαρβάρου, ἀλλὰ καὶ πρὸς τὴν πρώτην εὐθὺς θέαν ἐκθηριωθέντος καὶ τὸν σφαγέα ζητοῦντος κνώδοντα, κατὰ τοῦ βουβῶνος οὗτος φθάσας ἐκεῖνον πλήττει καὶ ἀναιρεῖ. οὐκοῦν καὶ διαδρὰς Ἰβαγκὸς παραχρῆμα πρόσεισι τοῖς τοῦ ἔργου συνίστορσι καὶ μηνύσας τὸ γεγονὸς ἔγνω αὐτοῖς ἅμα πρὸς ἀποστασίαν ἰδεῖν· μηδὲ γὰρ ἠρεμήσειν τοὺς τοῦ πεσόντος ὁμαίμονας καὶ ὅσον αὐτῷ πρὸς γένους καὶ φίλιον. κἂν μὲν προχωροίη τὰ κατὰ σκοπόν, καὶ χώρας ἐκείνους καὶ Μυσίας ἄρξειν αὐτῆς τοῦ Ἀσὰν δικαιότερόν τε καὶ ἐννομώτερον. καὶ μὴ τῷ ξίφει C τὰ πάντα ὡς ὁ πεσὼν διοικεῖν, καὶ ὅπερ ἂν ὑποβάλλῃ θυμός, τοῦτο καὶ διαπράττεσθαι· εἰ δ' ἄλλως αὐτοῖς μεταρριφείη τὰ διαβούλια μήτε μὴν ὅλως προβαίνουσι τὰ κατ' ἔφεσιν, πρὸς ἄλλον μετασκευάσασθαι πλοῦν, τοῖς τὰ Ῥωμαίων πράγματα κυβερνῶσι τὰ κατ' αὐτοὺς ἐπιτρέψαντες. ἔτι τοίνυν οὔσης νυκτὸς οὐ μόνον τὴν σκέψιν ταύτην ἐκράτυναν, ἀλλὰ καὶ πολλοὺς παρώξυναν τῶν βουλευμάτων αὐτοῖς συλλαβέσθαι. ὅθεν κρατήσαντες τοῦ Τερνόβου (ὃ δέ ἐστιν ἡ ἐρυμνοτάτη ἅμα καὶ προφερεστάτη τῶν κατὰ τὸν

1. λοιποῖς ἑτέροις ἃ μὴ λυμήνεται A. 11. τοῦ om APW.
14. γένος APW. 24. τρίνοβον B.

ut antevertat hominem impudentem et sanguinarium, nec ullum ictum nisi letalem ei inferat. id consilium Ibancus statim exequitur. nam cum barbarus nihil moderati in eum cogitaret, sed ad primum eius conspectum efferatus ensem quaereret, ille facinus occupat et ense in inguine defixo Asanem occidit. inde elapsus statim ad conscios se recipit, ac caede indicata cum eis consilium defectionis init. neque enim fratres cognatos et amicos interfecti quieturos. quodsi res ex sententia successerit, se regioni illi et toti Mysiae iustius et aequius quam Asanem dominaturos, neque, ut ille fecerit, ferro grassaturos in omnes, et quicquid iracundia suaserit perpetraturos. sin res aliter ceciderit nec eventus consiliis responderit, aliam rationem inituros et salutem suam Romanorum imperatori commissuros. haec nocturno adhuc tempore non modo decreverunt, sed multos etiam in suas partes pertraxerunt; et Ternobo occupata (ea est

Αἵμον ἁπασῶν πόλεων, τείχεσί τε ἰσχυροῖς περιβεβλημένος καὶ ῥεύματι ποταμείῳ διειλημμένος καὶ ὄρους ἀκρωνυχίᾳ πε- D πολισμένος) τοῖς περὶ τὸν Πέτρον ἀντέστησαν· ἡ γὰρ φήμη ἅμα ἕῳ οὐκ ἐπ' ἄκρων μόνον τῶν τοῦ Τερνόβου τειχέων ἀλλὰ καὶ τοῖς ἔξω καὶ πόρρωθεν τὸν τοῦ Ἀσὰν περιεσάλπιζε θάνατον. ὡς δ' οὐθ' ὁ Πέτρος ῥᾳδίαν εὕρισκε τὴν Ἰβαγκοῦ καταστροφὴν οὐθ' οὗτος ἀποκρούσασθαι Πέτρον ἠδύνατο, ὁ μὲν χρονοτριβεῖν ἐπεβάλετο καὶ μίαν ταύτην ᾤετο προσδοκίαν καταπαλαίσασαν τὸν ἀντίδικον Ἰβαγκόν, ὁ δὲ τῷ τῶν Ῥωμαίων προσρυῆναι βασιλεῖ δεῖν ἔγνωκε καὶ διὰ τῆς ἐκεῖθεν συνάρσεως περιγενέσθαι τῶν διαφόρων. ἐλέγετο δὲ καὶ ὑποθήκαις Ἰσαακίου τοῦ σεβαστοκράτορος ἀναιρεθῆναι πρὸς Ἰβαγκοῦ τὸν Ἀσάν, ἄλλαις τε πλείσταις ὑποσχέσεσι πρὸς τουτο ἐπιρρωσθέντος, καὶ προσέτι γε μὴν πτερωθέντος τῷ κατ' ἐπιγαμίαν συναρμόσασθαί οἱ καθυποσχέσθαι τὴν οἰκείαν θυγατέρα τὴν Θεοδώραν. πλὴν ὁ μὲν ἐναφῆκε τοῖς δεσμοῖς τὴν P. 303 ψυχήν, καὶ μηδέπω τοῦ φόνου κατεργασθέντος· (6) ὁ δ' Ἰβαγκὸς δηλώσας βασιλεῖ τὸ γινόμενον στεῖλαί τινα μετὰ στρατιᾶς διηρέθιζε τὸν παραληψόμενόν τε τὸν Τέρνοβον καὶ σὺν αὐτῷ περὶ τῆς ὅλης Μυσίας ἀγωνισόμενον. καὶ τάχ' ἂν τετέλεστό τι τοῖς Ῥωμαίοις σωτήριον, εἰ βασιλεὺς αὐτίκα προθύμως πρὸς τὴν ἀγγελίαν ταύτην πραξικοπεῖν ἐπεβάλετο, ἐπειδήπερ καὶ εἰ Τέρνοβον εἷλεν, εἶχεν ἂν εὐμαρῶς καὶ ἀπόνως Μυσίαν ἅπασαν. νῦν δὲ ὁ μὲν βλακευσάμενος ἐνέφυ τοῖς

2. ῥεύματι] ποταμὸν ἔχον γύροθεν B. 18. τινας vulgo.

ποιῶν ταύτην ἀνείληφεν ἀμοιβήν, στείλας εὐθὺς τῶν δορυφόρων ἕνα, ᾧ ἐπίκλησις Βαστραλίτης, τίθησιν ἐξ ἀνθρώπων. ὁ μὲν γὰρ τοῖς περὶ Βιθυνίαν διέτριβε μέρεσιν, ἔτι ἀντιστατοῦντος Ἀλεξίου τοῦ Κίλικος· ὁ δὲ Βαστραλίτης ἀφικόμενος καὶ τοῦτον τοῦ στρατοπέδου ἀπαγαγών, ὡς ἂν οὕτω μηδενὸς B ἀΐοντος ἀπαγγελεῖ τὰ βασιλέως ἐντάλματα ἅπερ εἰς ἐκεῖνον ἥκει φέρων ἀπόρρητα, αὐτός τε τὸ ξίφος ἐσπάσατο καὶ οἱ τῶν ἐκείνου πρὸς φονουργίαν προητοιμάσθησαν, καὶ ἦν ὁ μεῖραξ ἐντεῦθεν ὡς βόσκημα διαμελιζόμενον. καὶ τὸ μὲν ἔργον τοῦτο βαρέως καὶ δυσφόρως ἅπας ἤνεγκεν ὁ στρατός, ὁπόσοις τὸ πραχθὲν ἐν ὀφθαλμοῖς προὔκειτο· ὁ δὲ Βαστραλίτης πηριδίῳ τὴν τοῦ Βατάτζη κεφαλὴν ἐνθέμενος εὔζωνος ἐπανήκεν ἐς βασιλέα. καὶ οὗτος τῷ κρανίῳ πρὸ τῶν ποδῶν ῥιφέντι λὰξ ἐναλλόμενος, καὶ ἱκανῶς αὐτῷ ἐμβλέπων, προσλαλιάν τινα διεξῄει μηδαμῶς ἱστορίᾳ δοθῆναι πρέπουσαν. C

3. Καὶ βασιλεὺς μετὰ τοῦτο τῆς προκειμένης ἐχόμενος ἄπεισι πρὸς τὰ Κύψελλα, σωτήριόν τι ταῖς Θρᾳκίαις πόλεσιν ἐργασόμενος, ἃς οἱ Βλάχοι καὶ Σκύθαι κακῶς ἐτίθεσαν, ἔπειτα δὲ συλλαβεῖν τὸν Χρύσον προθέμενος ἢ γοῦν ἀνακόψαι τῶν ἐκδρομῶν ἃς ἐποίει λαθραίως τὰ περὶ τὰς Σέρρας κείρων χωρία. ἦν δ᾽ ὁ Χρύσος οὗτος Βλάχος τὸ γένος, τὴν

3. τοῖς περὶ] εἰς τὴν μεσοθηνίαν B. 12. πηριδίῳ] εἰς τάγιστρον B. τηριδίω APW. 20. τῶν ἐκδρομῶν] ἐξερχόμενον καὶ κουρσεύοντα τὰ περὶ τὰς σέρας καὶ τὸν στρυμόνα. ἦν δὲ οὗτος ὁ χρῦσος τὸ μὲν γένος βλάχος, τὴν ἡλικίαν μέτριος, ὁμογνωμονήσας μὲν μετὰ τοῦ πέτρου καὶ τοῦ ἀσὰν εἰς ἣν ἐποίησαν ἀποστασίαν, μὴ θελήσας δὲ ἀκολουθῆσαι αὐτοὺς μεθ᾽ ὧν εἶχε τότε πεντακοσίων. B.

tatzen statim per satellitem nomine Bastralitem occidendum curat, qui adhuc in Bithyniae partibus agebat, Alexio Cilice adhuc rebellante. Bastralita vero illuc profectus eum, ut arcani aliquid ab imperatore nuntiaturus, longius a castris abducit, et stricto ense cum ipse in eum irruit, tum ii qui ad caedem subornati erant eius ministri, membratim adolescentem tanquam pecudem dissecuerunt. id factum et crudele spectaculum totus exercitus aegre tulit. Bastralita vero caput eius capsulae impositum celeriter ad imperatorem pertulit. is cum in id ante pedes suos proiectum calcibus insiliisset ac diu contemplatus esset, sermonem habuit quem historiae inseri non decet.

3. Deinde institutum iter persequens Cypsella abiit, ut Thraciis urbibus opem ferret, quas Blachi et Scythae populabantur, et Chrysum etiam comprehenderet, aut saltem excursiones eius prohiberet, quas clam in Serranum agrum faciebat. erat is Chrysus genere Bla-

νος, οὐκέτι ὁμιλῆσαι ταύτῃ καὶ συνδειπνῆσαι προσέθετο. ἡ δὲ κρίσιν ἐπὶ τοῖς εἰσαγομένοις κατ' αὐτῆς ἐξαιτοῦσα ἐνέκειτο, καὶ πάντα παθεῖν ἑτοίμως ἔλεγεν ἔχειν, ὁπόσα ἂν ἡ κατ' αὐτῆς ἐξενεχθεῖσα ψῆφος ἀποφανεῖται· ἐδεῖτό τε τοῦ βασιλέως μὴ τῇ κομψείᾳ καὶ συγγενείᾳ τῶν καταγορευσάντων αὐτῆς προσώπων, τῇ δ' ἀληθείᾳ καὶ ἀκριβείᾳ τῶν πραγμάτων προσισχεῖν. ὁ δὲ πρὸς οὐδέν τι τοιοῦτον ἑαυτὸν ἀπευθύνας, ἀλλά τινας τῶν κατευναστριῶν γυναικῶν βασάνοις ὑπαγαγὼν κἀκ τῶν θαλαμηπόλων εὐνούχων ἀκριβωσάμενος τὰ τοῦ πράγματος, ἀπάγειν αὐτὴν μεθ' ἡμέρας τῶν βασιλείων ἐκέλευσε, παντὸς ἐστερημένην ἀρχικοῦ στολίσματος καὶ προβλήματος λαμπροῦ. ἐξάγεται οὖν τῶν ἀνακτόρων διὰ καθόδου τοῖς πολλοῖς ἀδήλου, εὐτελὲς περικειμένη χιτώνιον, ὁποῖον τῶν γυναικῶν αἱ χερνήτιδες, καὶ δύο ἀμφιπόλους βαρβάρους ἔχουσα, παραγραμματιστρίας καὶ ταύτας τῆς Ἑλληνίδος φωνῆς, καὶ δικώπῳ ἁλιάδι παραρριφεῖσα κατά τινα γυναικείαν μονὴν ἀπάγεται περί που τὸ τοῦ Πόντου στόμα δεδομημένην καὶ τῆς Νηματαρέας ὠνομασμένην. ἀλλ' οὕτω τῆς δεσποίνης ἐκποδὼν γενομένης οἱ μὲν κατειρηκότες αὐτῆς οὐ πάντῃ ἀνεπαχθῶς ὑπέφερον τὸ συμβάν, ἐπειδήπερ καὶ τοῦ ἄγαν ἐκχροῦσαι τὴν βασιλίδα πειρώμενοι κατεῖπον αὐτῆς ἐς τὸν ἄνακτα, οὐ μὴν ἐκσφαιρίσαι παντάπασι τῆς ἀρχῆς βουλόμενοι ἢ γοῦν ἐκθεμελίων αὐτῶν εἰς τέλεον κατασεῖσαι, καὶ τὸν βασιλέα οὐκ ᾤοντο ὅλως τοιαῦτα δράσειν ποτὲ κατ' αὐτῆς,

1. προέθετο? B οὐ κατεδέξατο. 14. αἱ χερνήτιδες] αἱ πλύτριαι B. καὶ δύο] μετὰ δύο γυναικῶν σκλάβων μὴ δυναμένων συντυχαίνειν ὀρθῶς B. 19. ἐκποδὼν] ἐκβληθείσης ἀτίμως B.

recusare, si convicta esset; imperatorem orare ut non eloquentia et cognatione delatorum, sed veritate et certitudine rei moveretur. is vero ad nullam huiusmodi rem se demisit: sed quaestionibus de nonnullis cubiculariis mulieribus habitis, eunuchis etiam illius diligenter interrogatis, post dies aliquot eam omnibus ornamentis et principatus insignibus ademptis palatio educi iubet. educitur illa per descensum quendam vulgo ignotum, vili vestitu, quali utuntur mercenariae mulierculae, cum duabus barbaris ancillis, sermonis nostri non satis peritis; et in cymbam coniecta in Nematareum, muliebre monasterium circa Ponti fauces situm, abducitur. domina sic amota, delatores eius casum illum non prorsus sine dolore tulerunt. nam ea de causa illam detulerant, ut auctoritatem eius imminuerent, non ut ipsam imperio deiicerent aut a fundamentis everterent. neque unquam hoc imperatorem commissurum crediderant, cuius mollitiem et animum quavis aura impelli solitum non ignorarent. eos igitur

εἰς τὴν τούτου ἀφορῶντες μαλακότητα καὶ τὸ φέρεσθαι αὔ- P. 310
ραις μικροῦ καὶ ῥιπίζεσθαι. καὶ οἱ μὲν ἐφ' οἷς τὸ γένος ᾔσχυναν ἤχθοντο, εἰ καὶ μὴ ἐς ὅσον ἔδει καὶ δυσφορεῖν· καὶ οἱ ὀνειδισμοὶ δὲ τοῦ λεὼ καὶ αἱ κερτομίαι τούτου ἐπιπίπτουσαι ἐπεπίεζον. ἓξ μὲν οὖν μῆνες ἐξίκοντο, καὶ ἡ βασιλὶς Εὐφροσύνη τῶν βασιλείων ἀποβέβλητο. ἐς τέλος δ' ἂν παρεωρᾶτο, εἰ μή γε οἱ τρώσαντες ἰάσαντο, οὐχ ὃν τρόπον Ἀχιλλεὺς Τήλεφον, ἀλλὰ τὸ πρὸς αὐτοὺς πάγκοινον μῖσος, ὅτι τὴν δοξάσασαν αὐτοὺς οὐδὲν δέον αὐτοὶ ἀπεδόξασαν, εὕραντο πρὸς ἐπάνοδον οἷδε πανάκειαν ἄντικρυς. παντὸς γὰρ τοῦ ἐκ συγγενείας τῷ βασιλεῖ συνωμονοηκότος, καὶ τοῦ Μεσοποταμίτου Κωνσταντίνου πάντα κάλων, ὅ φασι, κεκινηκότος B
καὶ ἀνταρκέσαντος, ἐπανακαλεῖται αὖθις καὶ προσλαμβάνεται, καὶ ἣν ἰσχὺν τὴν προτέραν ὑπερβαλοῦσα τῇ ὕστερον. τοῖς δ' ἀντίφροσι πρὸς οὐδὲν ἐβαρυμηνίασε προδήλως ἢ ἐδολορράφησε τὰ ἀντίσταθμα, οὔτε μὴν τῇ κατοχῇ τοῦ θυμοῦ ὡς V. 260
Μήδεια ἀνοίστρησε βακχευτικῶς κατ' αὐτῶν, ἀλλὰ θηροκομοῦσα τὸν σύζυγον καὶ πάλαι μὲν ἀποστέργοντα, τότε δὲ καὶ τέλεον αὐτῆς ἀποσχόμενον καὶ πρὸς εὐνὴν ἐκείνῃ μηδαμῶς συνερχόμενον, σοφιστικῶς ὑπήρχετο, θωπεύουσά τε σὺν τέχνῃ ἐχρῆτο ὡς ᾑρεῖτο τῷ τοῦ ἀνδρὸς ἤθει, μικροῦ πᾶσαν ἀναζωσαμένη τῆς ἀρχῆς τὴν διοίκησιν. καὶ τῇδε μὲν εἶχε ταῦτα.

11. καὶ] πολλὰ καὶ τοῦ μεσοποταμίτου συνδραμόντος καὶ συνεργήσαντος καὶ πᾶσαν μηχανὴν κατασκευάσαντος καὶ οἰκονομήσαντος. B. 14. ὑπερβάλλουσα? 17. ἀλλὰ τὸν ἄνδρα αὐτῆς ἔκτοτε κολακεύουσα καὶ τὸ αὐτοῦ κατὰ πάντα πληροῦσα θέλημα, ἐπεὶ καὶ πρότερον μὲν βραδέως ὡμίλει αὐτῇ, τότε δὲ καὶ παντελῶς οὐ συνανεμίγνυτο αὐτῇ. B.

facti poenitebat, etsi non tantum quantum conveniebat: sed vulgi dicteriis et conviciis admodum mordebantur. abfuit Euphrosyna VI menses a palatio; ac prorsus abiecta et perpetuo neglecta esset, nisi ii qui vulnerarant eam sanassent (non eo quidem animo quo Telephum Achilles, sed publico populi odio impulsi, quod nulla necessitate coacti eam ignominia affecissent, a qua ipsi honoribus affecti essent) et Panaceam ad eius restitutionem invenissent. nam cum omnes imperatoris cognati consensissent, et Mesopotamita Constantinus omnem, quod aiunt, lapidem movisset, ab imperatore revocata maiorem etiam potentiam quam prius obtinuit. nec tamen delatores vel aperta vi vel occulta fraude ulta est, insigni moderationis exemplo. maritum vero iampridem a se abalienatum, tum vero eius consuetudine prorsus abstinentem, miris artibus et blanditiis reconciliavit, ut in ipsius potestate esset; omniaque fere imperii negotia suo arbitratu administravit. atque haec hactenus.

C 4. Ὁ δὲ Μεσοποταμίτης Κωνσταντῖνος (δοτέον γὰρ ἔτι τῷ λόγῳ τὰ κατὰ τὸν καθ' ἡμᾶς Πρωτέα καὶ πολυτροπώτατον ἅμα καὶ ποικιλώτατον τόνδε ἄνθρωπον) ἀνέσπα τὴν ὀφρὺν καὶ βλακῶδες ἔβαινε διὰ τὴν τῆς δεσποίνης ἐπάνοδον. καθ' ὃν, οἶμαι, λόγον μηδ' ἐξαρκεῖν αὐτῷ ἐς τιμὴν τὸ παρὰ βασιλεῖ δύνασθαι τὰ πάντα οἰόμενος, τὸ μὲν ἐπὶ τοῦ κανικλείου ὀφφίκιον, ὅπερ Ἰσαακίου εἶχεν ἀνάσσοντος, βραβευόμενον αὖθις ὡς μὴ χωροῦν αὐτοῦ τῆς ἰσχύος τὸ μέγεθος ἀπηνήνατο, ἐκ δ' ἀναγνώστου κληρωθῆναι εἰς διάκονον ᾑρετίσατο, μὴ καὶ τῶν ἱερῶν ἐπιθιγγάνειν ἀξόνων οὐ κρίνων ὅλως ἀνασχετόν. καὶ ἦν ἡ πρόθεσις ἔργον εὐθύς, καὶ βασιλεὺς αὐτὸν κατὰ τὸν ἐν Βλαχέρναις περίπυστον καθίει νε-
D ών, καὶ ὁ πατριάρχης ἅμα οἱ παρῆν προχειρίζων τοῦτον ἐξ ἀναγνώστου διάκονον, καὶ στάσις αὐτῷ καὶ βαθμὸς ἀναβάσεως συγκεχώρηται πρώτιστος. τοῦτο δ' ἠνυκὼς σχηματίζεται τὸν ὑπονοστοῦντα καὶ μηκέτι τοῖς ἀρχείοις παραβαλοῦντα ἢ ὑποδρηστεύοντα βασιλεῖ ὅλως· τοὺς γὰρ κανόνας μὴ ἐνδιδόναι οἱ ὁπωστιοῦν καὶ θεῷ ἱερᾶσθαι καὶ κοσμικαῖς προσπλέκεσθαι πραγματείαις· ἀποδιεστάναι γὰρ ἄμφω καὶ μηδαμῶς συναλείφεσθαι, ὥσπερ καὶ τὸ δουλεύειν θεῷ τε καὶ μαμωνᾷ κατὰ διάμετρόν εἰσιν ἀντικείμενα. ὁ γοῦν βασιλεὺς ὅσα καὶ κιττὸς ἐξεχόμενος τούτου καὶ περιεχόμενος τόμον εὐθὺς ἐκθέσθαι τὸν πατριάρχην Ξιφιλῖνον ἠνάγκασεν, ἐνδι-

1. δοτέον] ἐπὶ τούτῳ γὰρ τῷ λόγῳ καὶ τὰ κατ' αὐτὸν διηγήσομαι. οὗτος γὰρ ὁ ἡμέτερος ἀρχηγὸς ὁ πολυτροπώτατος ἅμα καὶ ποικιλώτατος ἄνθρωπος B. 12. κατήει A.

4. Constantinus autem Mesopotamitanus (plura enim de Vertumno aetatis nostrae et homine calidissimo ac versutissimo dicenda sunt) elato supercilio insolenter incedebat ob dominae reditum; eaque de causa opinor non contentus quod apud imperatorem posset omnia, Canielii officium, quod Isaacio imperante obtinuerat ac rursus offerebatur, ut suo fastigio inferius renuit, sed ex lectore diaconum creari se voluit, non ferendum ratus ni sacras etiam dignitates contrectaret. continuo quod libitum est impetrat: ab imperatore in inclitum Blachernium templum mittitur, a patriarcha statim ex lectore diaconus creatur, stationem et gradum principem consequitur. hoc confecto negotio, se relicturum palatium et imperatori non amplius operam navaturum simulat. neque enim permittere canones, eundem et deo sacra facere et civilibus rebus ullo modo implicari. distare illa inter sese, neque coniungi posse, quemadmodum servire deo et servire mammonae ex diametro pugnent. imperator vero eum ut hedera vitem complexus, statim patriarcham Xiphilinum

δόναι τῷ Μεσοποταμίτῃ θεῷ καὶ βασιλεῖ νεῷ τε καὶ ἀρχεί-
οις συνδιαπλέκεσθαι, μηδὲν ὑφορωμένῳ βλάβος ἐκ τῶν κα- P. 317
νόνων οἳ τοῖς ἀμφιβίοις τούτοις δριμύσσονται δυσκολαίνον-
τες. τετέλεστο γοῦν καὶ τοῦτο, μικρῷ δ' ὕστερον καὶ τῆς
λαμπροτάτης πόλεως Θεσσαλονίκης ἀρχιερεὺς προχειρίζεται.
ἦν ἂν οὖν τὰ τῆς δόξης ταύτης κληρούμενος οὐκ ἀπόβλητος
ἴσως ὁ ἄνθρωπος, οὐδ' ὧν ἐς ὕστερον πέπονθε δεινῶν αὐτὸς
ἑαυτῷ παραίτιος, εἰ τῶν βασιλείων ἀπέστη λαμπρῶς, ὅρον
ὀψέ ποτε τῇ ἐφέσει τῶν χρημάτων θέμενος ἢ τῆς φιλοπρά-
γμονος γνώμης βραχύ τι καθυπενδούς. νῦν δὲ ἀλλ' ἡ τῶν
πολλῶν καὶ μεγίστων τιμῶν, καὶ τούτων ἀνομοίων, λυσσώ-
δης καὶ ἀπέραντος λίχνευσις καὶ τῶν χθαμαλωτέρων αὐτὸν
ἐξέκρουσε, καὶ προύθηκεν εἰς παράδειγμα τὸν αὐτὸν ὕψους
ὑπερφυοῦς καὶ ταπεινότητος ἀμέτρου ἡ τοῖς ἀνθρωπίνοις B
πράγμασι βραβεύουσα πρόνοια, καὶ ἀναβὰς ἕως τῶν οὐρα-
νῶν καταβέβηκεν ἕως τῶν ἀβύσσων τῇ παλιμπνοίᾳ τῶν πρά-
ξεων. οὐκ ἀνασχετὰ γὰρ κρίνων εἰ μὴ τῇ λαιᾷ μὲν τῶν ἱε-
ρῶν ἔχοιτο πραγμάτων τῇ δεξιᾷ δὲ τῶν κατὰ τὰ ἀνάκτορα
λάζοιτο, συμμάρπτων τὰς ἀρχὰς ἀμφοτέρας καὶ περισφίγ-
γων ὅσα καὶ λίθος τῶν διεστώτων συνδέτης ἀκρόγωνος, ἀμε-
ταθέτως εἶχε καὶ πάλιν τῆς πρώην προθέσεως. ἀλλὰ μηδ'
ἄτερ τῆς αὐτοῦ γνώμης περατοῦσθαί τι βουλόμενος, ὡς
σφῆνάς τινας καὶ βλῆτρα τοὺς ἑαυτοῦ κασιγνήτους ἐνέβυσε

6. ἦν ἂν] καὶ εἶχεν ἂν τὸν θρόνον μέχρι τέλους αὐτοῦ, οὐδὲ τοσαῦτα δεινὰ ἐπάνθανεν αἴτιος ἑαυτῷ γενόμενος B. 9. τῶν χρημάτων om A. 23. βλῆτρα] μεσοχάλικα B.

privilegio concedere cogit, ut Mesopotamitano simul et deo et imperatori, et templo et palatio, sine fraude canonum, qui acerbas poenas in istos ambidextros statuunt, inservire liceat. hoc quoque peracto, non multo post Thessalonicae pontifex designatur. tantam gloriam adeptus homo fortasse non contemnendus fuisset, nec ea mala in quae post incidit ipse sibi ex parte accersisset, si plane palatio excessisset et cupiditati suae tandem modum aliquem statuisset, aut de curiositate ingenii et rerum gerendarum cupiditate aliquid remisisset. nunc multorum et maximorum honorum, eorumque inter sese dissimilium, insana et infinita affectatione etiam humiliore statu est excussus, ut divina in eo providentia et celsitudinis immoderatae et humilitatis immensae exemplum statueret, et ad caelos usque elatum insigni rerum vicissitudine ad inferos deprimeret. nam cum vitam sibi acerbam esse duceret, nisi laeva templum, dextra palatium teneret, et utrasque dignitates ut lapis angularis bina aedificii latera complecteretur, a pristino instituto non recedebat. et ne quid sine sua au-

τῇ ἀρχῇ, ἢ ὡς ἐνώτια ταῖς τοῦ βασιλέως ἑκατέραις ἀπῃώ-
C ρησεν ἀκοαῖς, ἵν' εἴ ποτε τῇ ἐκκλησίᾳ παραβάλλων τῇ συνό-
δῳ συγγίνοιτο, μηδὲν εἴη διαπραχθὲν ἢ καὶ λεχθὲν ἀφώρα-
τον, μηδὲ λάθῃ τις αὐτὸν εἰς τὸν ἐκείνου χῶρον παρεισιών.
V. 261 οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν Θεσσαλονίκην ἀφικόμενος, καὶ
μικρόν τι φανεὶς καὶ ὅσον ἐνιδρυθῆναι τῷ θρόνῳ, ἐς τὸ Βυ-
ζάντιον αὖθις πτηνὸς ἀνέζευξε, μὴ περιβλέψας εἰς τὰ ὀπί-
σω μηδὲ στὰς ἐν πάσῃ τῇ περιχώρῳ, καὶ κατ' αὐτὸ μὲν δὴ
τοῦτο ὑπερόπτης τῶν ἁπάντων γενόμενος, ὅτι τὰ πάντα τῷ
δακτύλῳ μετῆγέ τε καὶ ἔφερε, μάλιστα δ' ὅτι τοῦ βασιλέως
κατὰ τοῦ Χρύσου αὖθις ἐξωρμηκότος αὐτὸς ἐς ὅσα τῷ βα-
σιλεῖ πρὸς βουλῆς τὰ κατὰ τὸν ἀποστάτην τοῦτον διῳκηκὼς
ἔδοξε τακτικαῖς ἐνδέξιος ἐπιβαλεῖν ὑποθέσεσι καὶ ἀτεχνῶς
βασίλειον ἱεράτευμα. ὅθεν ὅπερ ἐπὶ τῶν σωματικῶν ἕξεων
D ὁ Κῷός φησι ποιητής, ὡς εἰς τὸ ἄκρον προελθοῦσαι φιλοῦσι
πρὸς τὸ κάταντες ὡς φιλυπόστροφοι μεταφέρεσθαι, μὴ ἀτρέ-
μας ἔχουσαι μένειν τῷ συνεχεῖ ἀεὶ τῆς κινήσεως, τοῦτο καὶ
ἐπὶ τῷ Μεσοποταμίτῃ συμπέπτωκεν ἄντικρυς· ἀεὶ γὰρ τοῦ
προβαίνειν πειρώμενος καὶ μηδένα τοῦ δοξοθηρεῖν εἰδὼς κό-
ρον, ἔλαθεν ὡς ὁ μυθικὸς κώνωψ ὁ λέοντι συμπλακεὶς ἀρα-
χνίῳ λεπτῷ συλληφθεὶς καὶ πᾶσαν ἐπαναλύσας δόξαν δι' ἀτι-
μίας, ἣν περισπερχῶς ἀνώδευσε πρότερον, κατὰ τὸ ψαλτῴ-
δημα τοῦ Δαβὶδ „κύψας ἦν καὶ πεσὼν ἐν τῷ κατακυριεῦσαι

1. ἐνώτια] σχολαρίκια B. 19. μηδένα] μηδεμίαν χορτασίαν ἐπὶ τούτῳ ἔχων B. 21. ἐξαναλύσας A. 22. ἀνώδευσε] καθὼς φησι καὶ ὁ προφητάναξ B.

ctoritate gereretur, fratres suos tanquam clavos et vectes inserebat, ac potius velut inaures de utraque imperatoris auricula suspendebat, ut si quando ecclesiasticis conventibus interesset, nullum dictum aut factum ignoraret, nec quisquam suum se imprudente occuparet. Thessalonicam vero profectus, et vix tantisper ibi commoratus dum in solio collocaretur, summa cum festinatione Byzantium rediit. ac ea ipsa de causa contemptor omnium evasit, quod uno digito regebat omnia, praesertim cum imperatore rursus contra Chrysum profecto, suo consilio industria et opera omnibus rebus contra seditiosum quam optime administratis, magnam ingenii laudem esset consecutus. unde quemadmodum Hippocrates optimam corporis habitudinem, quod diu in eodem statu permanere non possit, periculosam esse affirmat, ita etiam Mesopotamitano accidit, qui dum semper crescere studet, dum nullum gloriolae modum statuit, instar culicis illius, ut fabula narrat, post leonem oppugnatum, exiguo araneae filo implicatus, omnem gloriam amisit; et dum in pauperes imperi-

τῶν τότε πενήτων γνώσεως." ἐς γὰρ φατρίαν οὐ μετρίαν ἀθροισθέντες καὶ κοινῇ συνελθόντες ὁπόσων αὐτὸς ταῖς κεφαλαῖς κατὰ τὴν τῆς κωμῳδίας ψύλλαν ἐφήλατο καὶ οὓς μικροῦ κατὰ κόρρης ἐρράπιζεν ὡς ἀνδράποδα, καί τινας οὐχ ὑγιεῖς κατ' αὐτοῦ κατηγορίας ὡς ἀφυσγετὸν ἠθροικότες προσ- P. 318 ίασι βασιλεῖ, καὶ τὸ αὐτοῦ εὐένδοτόν τε καὶ ῥᾴδιον παντὶ καθυπάγεσθαι ῥήματι συνέριθον πρὸς τὸ ἔχθος εὑράμενοι κατέδραμον γενναίως· καὶ τὸ ἐντεῦθεν οὐ μόνον τῶν ἀνακτόρων ἐκτοπίζεται ὡς σφαῖρά τις εὐπερίγραπτος διαφεθεῖσα ἰσχυρῷ μηχανήματι, ἀλλὰ καὶ τῆς ἀρχιερωσύνης ἐξοστρακίζεται, ἑνός τινος προκοιλίου ἐς ἀγορητὴν ἐπιλέγδην παρὰ τῶν ὅλων προβληθέντος, λέγω δὴ τοῦ τότε δουκὸς τοῦ στόλου Μιχαὴλ τοῦ Στρυφνοῦ, ᾧ καὶ μᾶλλον ὁ Μεσοποταμίτης ἀντεπολιτεύετο ὡς καὶ ὑπὲρ πάντας ὄντι φιλοκερδεῖ καὶ τὰ κοινὰ νοσφιζομένῳ καὶ χανδὸν καταβροχθίζοντι χρήματα. πλὴν ἀλλὰ τοῦτο μὲν οὐ πάνυ δεινόν, καίπερ ὂν δεινόν, τό τινας ἀβασανίστως καὶ ἄλλης μὲν ὑπηρεσίας ἀδίκου B γλώττης ἀπάγεσθαι πάρεργον, μάλιστα δ' ἀποπίπτειν τοῦ τῆς ἱερωσύνης μεγίστου χρήματος. ἐκεῖνο δὲ καὶ λίαν ἀσύγγνωστον καὶ πολλὴν ἀβελτηρίαν τῶν δεδρακότων κατηγοροῦν. δεῆσαν γὰρ ἕτερον ἀρχιερέα ψηφισθῆναι Θεσσαλονίκης, ἡ τοῦ Μεσοποταμίτου καθαίρεσις κατ' ἐρήμην προτίθεται πρὸς

1 ἐς γὰρ] συναχθέντες γὰρ καὶ μία φωνὴ γεγονότες καὶ ἓν χεῖλος οἱ πρότερον ὑπ' αὐτοῦ κατεπατοῦντο καὶ εἰς οὐδὲν ἐλογίζοντο B. 9. ὡς σφαῖρά] οἷα μάπα στρογγύλη B. 11. ἑνός] ἕνα ἀπὸ τῶν ὅλων εἰς κατηγορίαν ὁ βασιλεὺς ἐκλεξάμενος B.

um exercet, inclinatus concidit, ut est in Psalmis Davidicis. nam ii quorum capitibus ut comicus ille pulex insultarat, et quibus veluti mancipiis tantum non colaphos infregerat, non parvo coetu coacto et criminibus parum sanis concinnatis imperatorem adierunt, et eius facilitate ac levitate (nam quovis verbo flectebatur) ad rei odium abusi acriter hominem insectati sunt. ex eo non modo ut parvus globus robusta machina palatio facile excussus est, sed pontificatu etiam deiectus, uno ventroso ab omnibus accusatore delecto, Michaelum Stryphnum classis praefectum intelligo, cui ut omnium avarissimo peculatori et publicam pecuniam hiantibus faucibus devoranti in primis Mesopotamitanus adversatus fuerat. verum hoc quanquam grave, non tamen adeo grave est, aliquem incomperto crimine cum alio munere, tum vero sacerdotio re maxima propter improbae linguae susurros deiici: illud vero nullam prorsus habet excusationem et insignem stultitiam arguit. nam cum alius Thessalonicae pontifex creandus esset, deliberatio de Mesopotamitani absentis abrogatione in quaestionem voca-

ἐξέτασιν. καὶ ὡς ἔδοξαν σκάζοντά τε καὶ μὴ ἐρρωμένα τῶν ἐν αὐτῇ κεφαλαίων τινὰ πρὸς ἀρχιερωσύνης ἀφαίρεσιν, ὁ δὴ πατριάρχης εἴτε βασιλείῳ ὑπείκων κελεύσματι, εἴτε τῷ πρὸς τὸν Μεσοποταμίτην ἔχθει φρονεῖν οὐκ ἔχων τὰ καίρια, εἴθ' ἑτέρως καθ' ὃν οὐκ ἴσημι λόγον ἐκκρουσθεὶς τοῦ καθήκοντος, τινὰς τῶν ἀρχιερέων ἀγηοχὼς καὶ δικαστὰς αὐτῷ συνεδριάσας, ὁπόσοι κακόσχολοι καὶ τὴν ἐκ βασιλέως εὔνοιαν
C ὅλῳ ποδὶ καὶ συντόνῳ προθυμίᾳ μεταδιώκοντες, μεταλλοιοῖ τὴν καθαίρεσιν, καὶ παρέντα τινὰ τῷ τόμῳ προσθεὶς αἰτιάματα ἐκ τοῦ δήπουθεν ἀναμφηρίστου πάσης ἱερᾶς ἀποξενοῦντα λειτουργίας τὸν τούτοις ἁλόντα τῷ χαρτοφυλακίῳ ἀποτίθησιν, ἐκδοὺς ἔκτοτε καὶ τῷ Χρυσάνθῳ ἀντίγραφον, ὃς τῆς Θεσσαλονίκης ἐνεχειρίσθη τοὺς οἴακας. κἀπὶ τοῖς τελεσθεῖσι τούτοις δέον ἐγκαλύπτεσθαι, τῶν δέ τινες καὶ ἐπεσκίρτων, ὡς εἴπερ πολεμίων ἐθνῶν ὑπόπτωσις ἐντεῦθεν κατώρθωτο, ἢ θηρίον δυσάλωτον πόλεις ἐξερημοῦν καὶ τοὺς κατοίκους διαφθεῖρον καὶ πρὸς χρόας ἀνομοίους μεταλλαττόμενον, ὁποῖα τὰ Λιβυκά φασιν, ἢ ὁ παρὰ τῷ Ἰὼβ ἀνάλωτος δράκων συνείληπτο, καὶ ὁ βορὸς μυρμηκολέων ἀπώλετο, εἴτε
D μὴν ἡ πολυθύσανος αἰγὶς καὶ δειματώδης ἐκείνοις εἰς χάος ἐλήλαται καὶ διέσπασται. καὶ οὕτω μὲν ὁ Μεσοποταμίτης
V. 262 Κωνσταντῖνος καὶ οἱ τούτου δύο κασίγνητοι τῶν κοινῶν ἐκκρούονται διοικήσεων, ἀντεισάγεται δ' ἕτερος περὶ τὰς κοινὰς διοικήσεις οὐκ ἐνδέων τοῦ ἀκριβοῦς, χαρίεις τὸ ἦθος,

9. παρέντα] παρεθέντα? τόμῳ] νόμῳ A. 14. ἐγκαλύπτεσθαι] γωνιάζειν μᾶλλον καὶ κρύπτεσθαι B. 24. χαρίεις] χαρωπὸς B.

tur; et cum in ea criminatione quaedam capita claudicare nec satis firma esse ad pontificatus abrogationem viderentur, patriarcha, sive iussu imperatoris sive Mesopotamitani odio sive alia de causa mihi ignota, temere et contra officium, aliquot primariis sacerdotibus secum adductis et in iudicum numerum quibusdam male feriatis hominibus relatis, qui benevolentiam imperatoris per fas et nefas captabant, abrogationem decernit; et praetermissis ante quibusdam criminibus, quae utique convictum omni sacro ministerio pellerent, insertis, id decretum in chartophylacium refert, dato exemplo eius Chrysantho, cui Thessalonicae gubernatio commissa erat. quae acta cum summum dedecus haberent, tamen erant qui iis non aliter gloriarentur quam si hostes devicissent aut feram immanem cepissent. hoc modo Mesopotamitano Constantino et duobus eius fratribus ab administratione rei publicae remotis, alius succedit, homo accuratus, suavibus moribus, disertus

μάλα τε τοὺς λόγους ἀποτορνεύειν εἰδὼς καὶ ἀπομηκύνειν εἰς περιόδους ῥητορικῶς· ὁ Εἰρηνικὸς ἦν οὗτος Θεόδωρος, καὶ παρεῖχεν ἑαυτὸν τοῖς πᾶσι κατάλληλον. συνέζευκται δέ τις ἐκείνῳ καὶ τῶν πόνων συνελαμβάνετο φιλοχρηματῶν ἱκανῶς καὶ βηχὶ συνεχεῖ κάτοχος. ἀμφότεροι οὖν ταῖς πολιτικαῖς ἐπεστάτουν πράξεσι. πλὴν τὸ τοῦ Μεσοποταμίτου πτῶμα μηδαμῶς ἐν γέλωτι ἔχοντες, ἀλλὰ διὰ παντὸς προορώμενοι καὶ τὸ τοῦ κράτους εὔκολον ὑφορώμενοι οὐκ ὄρθιοι καὶ ἀκλινεῖς, ὡς οἱ ἀκράδαντοι τῶν ἱπποτῶν, κατά τε πρανῶν καὶ P. 319
ὀρθίων ἐφέροντο, ἀλλὰ τὸ δυναστεῦον ὑποποιούμενοι ἀνεῖργόν τε καὶ ἀνεσείραζον ἀεὶ τὴν ἰσχύν, καὶ πολλὰ τῶν δεόντων παρέτρεχον τὴν ἀπόβασιν εὐλαβούμενοι.

5. Ἐν τούτοις μὲν οὖν καὶ τοιούτοις παραπλησίοις ἐνιαυτὸς ἐξίκετο τρίτος ἄρχοντι Ῥωμαίων Ἀλεξίῳ τῷ Κομνηνῷ. τὰ δ' ἐφεξῆς οὐδὲν ἀντιστατοῦντα τοῖς προτέροις· δίαιτα γὰρ ἦν ἡ αὐτὴ καὶ πάλιν καὶ βίος χαλαρὸς καὶ ἐξημβλυμένον φρόνημα ἀεί. τότε δὲ καὶ αἱ εἰρηνικαὶ σπονδαὶ παρωράθησάν τε καὶ συνεχέθησαν ἃς εἶχε βασιλεὺς ἐκτελέσας μετὰ Πέρσου τοῦ διέποντος τὸ Ἰκόνιον. ὁ μὲν γὰρ Καϊχοσρόης (τοῦτο γὰρ ἦν ὄνομα τῷ βαρβάρῳ) δύο Ἄραβας ἵππους ἐκ B
τοῦ σουλτὰν τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας τῷ βασιλεῖ στελλομένους ἀφείλετο. τοίνυν καὶ θατέρῳ τούτων τὸ γόνυ

6. πλὴν τὸ] ὅμως τὸ τοῦ μεσ. γελοῖον πτῶμα εἰς νοῦν ἔχοντες, καὶ οἷα ἐκεῖνος ἔπαθε καθ' ἡμέραν βλέποντες, οὐκ ὀρθῶς καὶ δικαίως ἐπορεύοντο, ἀλλὰ τοὺς ἐνδόξους καὶ περιβλέπτους προσέχοντες ἀεί ποτε ἐνεδυναμοῦντο, καὶ πολλὰ τῶν πρεπόντων παρέτρεχον καὶ παρέβλεπον, τὸ μέλλον σκοποῦντες καὶ τὴν ἐκ τούτου κατάβασιν B.

ac potius eloquens, Theodorus Irenicus, qui se comem erga omnes praebuit. collega ei adiunctus est alius, ab avaritia non alienus et perpetuo tussi laborans. qui ambo publicis muneribus occupati Mesopotamitani casum non deridebant, sed perpetuo ob oculos habebant; et imperatoris facilitatem metuentes, non erecti et immoti ut periti equites per montes et valles ferebantur, sed velut fascibus submissis auctoritatem suam subinde astringebant, et multa necessaria praeteribant mutationis metu.

5. His et huiusmodi rebus Alexius Comnenus triennium in imperio exegit. reliqua ab eadem ratione nihil recesserunt. consuetudo mansit eadem, vita mollis et perpetuo socors ingenium. tunc foedus Iconiense violatum est. nam Caichosroes, eius urbis Sultanus, duos equos qui imperatori ab Alexandrino Sultano mittebantur eripuit; quorum alterius genu in cursu luxato, per legatos ab imperatore

ἐξαρθρωθέντι ἐν τῷ πρὸς δρόμον ἀνίεσθαι πέμψας εἰς βασιλέα συγγνώμην ᾔτεῖτο, ὅτι τε ὅλως εἰς αὐτὸν διαβαίνοντας ἵππους ἔσχεν ἰδιωσάμενος, καὶ ὅτι περ ἡ τοῦ ἑνὸς ἀχρείωσις καὶ τὴν ἑτέρου ἀποστολὴν πεποίηκεν ὑποστείλασθαι· πάντως δὲ φροντιεῖν τοῦ τῷ φίλῳ ἀνεπαχθοῦς καὶ τοῦ μὴ τῶν ἵππων ἐς μακρὸν στέρεσθαι. καὶ ὁ μὲν ἐφ' οἷς ἔδρασεν εὐπρόσωπον οὕτως ἠγόρευε τὸν ἀπόλογον· ὁ δὲ μήτε τὸ μεγαλόψυχον ἐπαινέσας μήτε μὴν τὴν ἀνάγκην τρέψας εἰς τὸ φιλότιμον, ἢ γοῦν ἐν νῷ βαλλόμενος τὸν καιρὸν βαρὺν ἐνστάτην ἀεὶ αὐτῷ ἐφιστάμενον καὶ πρὸς πνῖγμα ἐπὶ πᾶσι κατα-
C σχόντα, ὡς πρῖνος αὐτίκα καιόμενος τῷ θυμῷ ὑπεβρόντα. πλὴν ἕτερον μὲν οὐδέν τι γενναῖον πρὸς ἀντιλύπησιν τοῦ Πέρσου συνεώρακε διαπράξασθαι, καθ' ἑαυτοῦ δὲ στρατεύεται ἀτεχνῶς καὶ τὸ ξίφος τῷ τέως κρυπτόμενον ἀναδείκνυσι. τοίνυν ἐπιτάττει φυλακαῖς ἐνειρχθῆναι καὶ τὰ ὄντα πάντα ἀφαιρεθῆναι ὁπόσοι Ῥωμαῖοί τε καὶ Τοῦρκοι πραγματευταὶ τοῦ Ἰκονίου ἀπάραντες τὸ Βυζάντιον ἐπεισῄεσαν. καὶ τὰ μὲν ἐκείνων ἐμπορεύματά τε καὶ ὑποζύγια οὔτ' αὐτὸς εἶχεν ὡς δέον οἰκειωσάμενος, οὔτ' ἐναπέλειψεν ἐκείνοις· ἄλλα γὰρ ἄλλοις καὶ πάνθ' ὁμοῦ διεσκέδαστο καὶ ἠφάνιστο· ὁ δὲ βάρβαρος τὸ συμβὰν ἐνωτισάμενος, μηδέν τι τῆς προθυμίας καθυφεὶς μήτε μὴν εἰς δευτέραν βλέψας πρεσβείαν, κατὰ Ῥω-

2. συγγνώμην] ἔγραψε οὖν ὁ κ. πρὸς τὸν βασιλέα συγγνωμονηθῆναι, διότι τὰ ἄλογα ἐρχόμενα ἐκράτησε, καὶ ὑπεραπολογεῖτο καὶ τοῦτο, ὅτι δι' ἣν ἔχω φιλίαν καὶ πληροφορίαν πρός σε, καὶ διότι τὸ ἓν ἄλογον ἐκινδύνευσεν, ἐκράτησα καὶ τὸ ἕτερον ὡς ἀνωφελοῦς ὄντος τοῦ ἑνὸς τοῦ ἑτέρου χωρίς· ἡ σὴ δὲ ἀγάπη πάντως δέξηται τοῦτο B. 4. τὴν] τὴν τοῦ? 19. ἄλλα γὰρ] ἀλλ' ἐσκορπίσθησαν καὶ ἐχαώθησαν B.

veniam petiit quod eius equos intercepisset et quod propter alterius laesionem alterum quoque mittere non fuisset ausus. caeterum se omnino curaturum ne amico esset molestus, neve diu equis careret. hanc speciosam defensionem imperator non, ut magnanimum virum decuit, aequo animo accepit, neque necessitati voluntatem accommodavit, neque temporum rationem habuit quorum difficultatibus undique urgebatur, sed statim effervescente bile fulminat. nec tamen quicquam facit quo Persam ulciscatur, sed sibi ipsi plane bellum infert et gladium contra sese stringit. iubet in carcerem duci et omnibus bonis multari negotiatores omnes tam Romanos quam Turcos, qui Iconio Byzantium venissent; eorum vero merces et iumenta nec ipse ut decuit sibi vendicavit, nec illis reliquit: unde alia alibi dissipata perierunt. quo barbarus audito denuo legatos mittere

μαίων ὅπλα βαστάζει, καὶ προσπεσὼν ἀπροσδόκητος ταῖς κατὰ D Μαίανδρον κωμοπόλεσι Καρίαν τε καὶ Τάνταλον καθ' ἡλικίαν ἠνδραποδίσατο, καὶ πόλεις ἄλλας ὅτι πολλὰς ληϊσάμενος πρὸς αὐτὴν ἠπείγετο τὴν κατὰ Φρυγίαν Ἀντιόχειαν. καὶ τάχ' ἂν ἐξεῖλε καὶ ταύτην ὥσπερ χθιζὰ Καρίαν καὶ Τάνταλον, εἰ μὴ παρὰ δόξαν ἐπέστη τῷ βαρβάρῳ πρὸς τὸ ὀξὺ τῆς σκυλεύσεως οὐκ ἐκ προνοίας τινὸς ἀνθρωπίνης ἀλλά πως αὐτομάτως ἢ καὶ θεόθεν παρεισπεσόν τι συγκύρημα. ὁ μὲν γὰρ νύκτωρ ἐξαναστὰς κατὰ κράτος εἰς Ἀντιόχειαν ἤλαυνεν, ἐπιθησόμενος ὄρθριος καὶ πορθήσων τὸ πόλισμα· ἔτυχε δ' ἡμέρας ἐκείνης τῶν παρὰ τῇ πόλει δυναμένων τινὰ θύειν γάμους θυγατρί. ἦν οὖν, ὡς ἐν ταῖς τοιαύταις εἴθισται τελεταῖς, ὅμαδος ἀνθρώπων θαλιαζόντων, κύμβαλά τε δι' ὅλης τῆς νυκτὸς ἐκείνης ἀλαλάζοντα καὶ τύμπανα περικτυπούμενα καὶ ὀρχησταὶ τὼ πόδε παρενσαλεύοντες καὶ χοροὶ γυναίων τοῖς ὑμεναίοις πρόσφορα ᾄδοντες. ὡς οὖν ἤγγισε τῇ πόλει P.320 Καϊχοσρόης, τῶν ὀργάνων ἁρμονίαν εἰς ὦτα δεξάμενος καὶ V.263 τῆς συμφωνίας τῶν ᾀδόντων ἀκροασάμενος οὐχὶ τοῦ ὄντος κατεστοχάσατο, ἀλλ' ἀνδρῶν ἡτοιμασμένων πρὸς πόλεμον συνθήματα εἶναι ταῦτα ὑπολογισάμενος, τὴν ἐκείνου προεγνωκότων ἔφοδον, ᾤχετο ἐκεῖθεν καὶ πρὸς τὴν Λάμπην ἀφίκετο. ἔνθα δὴ ἀπογραφεῖς ἐπιστήσας τῶν αἰχμαλώτων περί τε τῆς πατρίδος ἕκαστον καὶ τῆς κλήσεως ἐπυνθάνετο, καὶ ὅστις ὁ συλλαβὼν ἀνηρώτα, καὶ εἴ τι τῆς οὐσίας ἀπολωλέ-

12. ἦν οὖν] καὶ κατὰ τὴν συνήθειαν ἦν σύναξις τῆς ὅλης χώρας ἐκεῖ, κύμβαλά τε καὶ βούκινα καὶ τύμπανα δι' ὅλης ἠλάλαζον τῆς νυκτός. B. 24. εἴ τι] τί ἀπὸ τοῦ πράγματος αὐτοῦ ἐχάωσε B.

noluit, sed armis alacriter arreptis improvisa incursione Cariam et Tantalum oppida ad Maeandrum sita vastavit. inde ad Phrygiae Antiochiam contendit, eamque fortassis aeque ac heri Cariam et Tantalum cepisset, nisi casus quidam fortuitus impetum eius divina potius quam humana providentia fregisset. nam qua nocte ad urbem opprimendam properabat, quidam homo potens filiae nuptias celebrabat. erat igitur, ut in huiusmodi festivitatibus solet, tumultus hominum convivantium. cymbala, tympana, saltatores et mulierum coetus hymenaeum cantantium per totam noctem perstrepebant. ut autem ad urbem accessit, Caichosroes, audita organorum harmonia et hominum concentu, non rem ipsam coniectura assecutus, sed militum tesseras esse, qui suum adventum praecognossent, putans, ad Lampen discessit, ibique captivos describendos curavit; et cuiusque patriam et nomen, et a quo captus esset, item an aliquid suarum rerum

κει, καὶ εἰ παῖς ἢ θυγάτριον ἢ ἄλοχος ὑπό του τῶν Περσῶν ἀποκέκρυπται. καὶ τοιαύτην ἔκταξιν ποιησάμενος, πάντα ἀποδοὺς Ῥωμαίοις καὶ κατὰ φῦλα καὶ συγγενείας πάντας ἀπομερίσας, τῆς ἐπὶ τὰ πρόσω εἴχετο. συγκεκεφαλαίωτο δὲ ἡ B τῶν ἀνδραποδισθέντων πληθὺς εἰς πέντε χιλιάδας ἀνθρώπων. ἐν δὲ τῇ ἀπαγωγῇ ταύτῃ ἐμέλησε τῷ βαρβάρῳ καὶ ὅπως τῶν ζωαρκῶν μὴ σπανίζωνται οἱ αἰχμάλωτοι, καὶ σῖτον αὐτοῖς διαδοὺς οὐδὲ τὸ τῆς ὥρας ψῦχος παρῆκεν ἀνήκεστον· πέλεκυν γὰρ ἐγχείριον ἔχων καὶ αὐτουργῶν ἐς σχίδακας διῄρει, τυχὸν οὕτω, χρόνῳ ἀνατραπὲν γεράνδρυον. ἀλλὰ καὶ τοῖς συνδραμοῦσι πρὸς τὴν θέαν Πέρσαις ὁμοίως δρᾶν ὑπετίθετο, προσεπάγων ἅμα καὶ ὑποβάλλων τὸ τῆς ἐργασίας αἴτιον καὶ τὸ πρὸς τί εὔχρηστον αὐτοῖς ἐπιλέγων· Πέρσαις μὲν γὰρ ἐξεῖναι διὰ παντὸς ἐξιέναι τῆς παρεμβολῆς καὶ ξυλεύεσθαι, ὅτι μηδ' ἔσται τις αὐτοῖς προσιστάμενος, Ῥωμαίοις δὲ οὐχί, φυλαττομένοις τὸ μὴ δοκεῖν ἀποδιδράσκειν καὶ τὰ ἐκ τοῦδε ὑφορωμένοις ὡς φυγάσιν ἐπικεισόμενα δεσμά. ἐπεὶ C δὲ τὸ Φιλομίλιον κατέλαβεν, ἐπαύλεών τε μετέδωκε καὶ γῆς ἐπεμέτρησε μέρος πρὸς ἐργασίαν ἀγαθῆς, σῖτόν τε αὖθις διέδωκε καὶ ὅσα τῶν ἡμέρων καρπῶν σπόριμα. καὶ μὴν ἐλπίδων χρηστῶν ἐνέπλησε, τέλος εἰπὼν ὡς αὐτοῦ καὶ βασιλέως αὖθις φιλιωθέντων καὶ πρὸς τὰς πρότερον σπονδὰς ἀποδόντων προῖκα καὶ αὐτοὶ τὴν οἴκαδε ἐπάνοδον ἕξουσιν· εἰ δέ τι ἕτερον μεταβουλεύσεται βασιλεύς, ἐπὶ πέντε ὅλοις ἐνιαυ-

8. οὐδὲ] καὶ ἐπεὶ καὶ ψῦχος ἦν, δέδωκε καὶ ἀξινάρια καὶ τζυκούρια ἀνὰ χεῖρας ὥστε κόπτειν ξύλα καὶ ἑστίας ἅπτειν καὶ θερμαίνεσθαι, τοὺς τούρκους δὲ ἐκώλυε τοῦτο ποιεῖν B.

amisisset, et an filius aut filia aut uxor alicuius a Persa aliquo occultata esset, pervestigavit. hac inquisitione facta Romanis omnia restituit; et omnibus captivis in tribus et familias distributis, qui quinque millium numerum explebant, perrexit. in ea abductione barbaro illud quoque curae fuit, ne captivis victus deesset; et distributo inter eos frumento, ne frigus quidem neglexit, sed correpta securi ipse collapsam arborem dissecuit. et id spectaculum Persas concurrentes monuit ut idem et ipsi facerent, adiecta laboris eius causa, et quem inde fructum percepturi essent. ac Persis perpetuo licere lignatum extra castra ire, quod a nemine impedirentur: Romanis vero non item, caventibus ne fugere visi compedibus vincirentur. postquam vero Philomilium est perventum, et domicilia et agros fertiles eis assignavit, et rursus frumentum caeteraque mitia legumina distribuit; et spe bona impletis denique dixit reconciliata inter se et imperatorem gratia et foedere renovato se eos gratuito remissurum

τοῖς ἀδασμολόγητοι καθεδοῦνται, μηδένα τὸν ὁποιονοῦν ἀπόδομα εἰσπράττοντα ἔχοντες, μετέπειτα δὲ καταβαλοῦνται ὃν αὐτὸς ἀνεπαχθῆ διατάξαιτο σφίσι φόρον, οὐχ ὑπερβαίνοντα τὸν ὅρον, ὡς εἴθισται Ῥωμαίοις, οὐδὲ πρὸς τὸ πολλαπλάσιον κορυφούμενον. καὶ ὁ μὲν ταῦτα οὕτω διατεταχὼς ἐπα- D νῆκε πρὸς τὸ Ἰκόνιον· τὸ δὲ φιλάνθρωπον τοῦτο διάγγελμα οὐδένα τῶν αἰχμαλώτων πατρίδος ἀφῆκε μνήσασθαι, ἀλλὰ καὶ πρὸς πολλοὺς ὁπόσοι πρὸς Περσῶν οὐχ ἑάλωσαν ἐς τὸ Φιλομίλιον ἐφειλκύσατο, ἀκηκοότας ὅσα τοῖς καθ᾽ αἷμα καὶ πατριώταις ὁ Πέρσης εἰργάσατο. οὕτως ἐκ τῆς τῶν εἰς ἡμᾶς Ῥωμαίων γενεᾶς οὐχ ὅπως ἐκλέλοιπεν ὅσιος καὶ ὠλιγώθησαν αἱ ἀλήθειαι, ἀλλὰ καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἀπεψύγη τῶν πολλῶν ἡ ἀγάπησις, ὡς τὴν παρὰ βαρβάροις ἀποικίαν πόλεις ὅλας Ἑλληνίδας ἑλέσθαι καὶ τῆς πατρίδος ἀσμένως ἀλλάξασθαι· αἱ γὰρ συχναὶ τυραννίδες τὸ τε ὑπ᾽ ἀρχὴν τῆς σώφρονος διαίτης ἐξέκρουσαν, καὶ ταῖς ἁρπαγαῖς τῶν κρατούντων οἱ πλείους ἐγγυμνασάμενοι οὐδέν τι πρὸς τοὺς ὁμοφύλους μέτριον ἐνενόουν καὶ διεπράττοντο. ἀλλ᾽ οἷα καὶ τὰ P. 3 παρὰ βασιλέως πρὸς τὰ οὑτωσὶ συμβάντα διῳκημένα. στέλλει τὸν Δοῦκαν Ἀνδρόνικον νεανίαν πρώτως ὑπηνήτην τῷ Πέρσῃ συμπλακησόμενον. ὁ δὲ μεθ᾽ ὧν ἡγεμόνευεν, ὀψὲ ποιεῖται τὴν κατὰ τῶν Τούρκων ἔφοδον. ἀμέλει καὶ νυκτὸς ἐπιθέμε-

2. μετέπειτα] ἐγὼ ὑμῖν ἐπιθήσω τέλος πρὸς τὴν ἣν εἴχετε ῥωμαϊκὴν συνήθειαν, πλὴν οὐκ ἐν ἀνάγκῃ ἢ βίᾳ B. 8. ὁπόσοι] ὅσοι ἀπὸ τῶν τούρκων ἐγλίτωσαν καὶ οὐκ αἰχμαλωτίσθησαν B. 16. τῶν κρατούντων om A. 22. τὴν om A.

esse domum. sin aliud consilium caperet imperator, eos V integros annos immunes futuros, nullo quaestore quicquam postulaturo: deinceps vero se tolerabile tributum eis impositurum, quod non, ut apud Romanos moris sit, constitutum excedat nec multiplicetur. his ita ordinatis Iconium rediit. ea tam humana denuntiatio neminem patriae meminisse passa est, sed multos etiam a Persa non captos Philomilium attraxit, cum audissent quomodo cognati et populares eorum a Sultano tractarentur. sic ab ortu Romanorum ad nostra usque tempora non modo sancti defecerunt et veritas imminuta est, verum etiam ob iniquitatem multiplicatam caritas vulgo refrixit, ut integrae civitates Graecae patria cupide relicta ad barbaros in colonias abierint. nam crebrae tyrannides subditis sobriam vivendi rationem extorserunt; et plerique imperatores rapinis assueti nihil in suos moderati vel cogitarunt vel fecerunt. iam videamus quid imperator gesserit. Andronicum Ducam adolescentulum adhuc mittit ad bellum Persae inferendum. is cum suis Persas sero tandem aggreditur, et noctu pastores et armenta cuiusdam Amerae Arsanae adortus

νος ποιμνίταις καὶ βουκολίοις ἀμηρᾶ τινὸς Ἀρσανῆ μετ' οὐ πολὺ ἐπανέζευξεν. ἀλλὰ καὶ βασιλεὺς αὐτὸς ὡς ἀπὸ λωτοῦ καὶ Σειρήνων τῶν τρυφερῶν χωρίων τῆς Προποντίδος μόλις ἀποσπασθεὶς κατὰ Νίκαιαν καὶ Προῦσαν ἀφίκετο, οὐκ ἀντιμετρήσων ἢ ἀνταποδώσων τοῖς Πέρσαις ὃ ἐμέτρησαν καὶ ἀνταπέδωκαν ἡμῖν ἀνταπόδομα, ἀλλ' ἵνα μὴ τὰς ἐκεῖσε πόB λεις καὶ χώρας κακῶς διάθωνται τῶν τοῦ Βάθυος ἐξαναστάνV. 264 τες μερῶν, ἐν οἷς οὐ μέτριοι τότε ηὐλίζοντο. πλὴν καὶ βασιλεὺς μῆνα τοῖς ἐκεῖσε ἕνα προσδιατρίψας ὀξέως ἐπάνεισιν εἰς Βυζάντιον. ἀνατείλαντος δ' ἔαρος γίνονται πάλιν συνδρομαὶ τῶν στρατευμάτων καὶ συλλογαὶ μεθ' ὅσης οὐκ εἴπῃ τις ἂν ὁρμῆς καὶ συντονωτάτης ἐπειγωλῆς, ἐπεὶ καὶ ταῖς πολλάκις τοῦ ἔτους συνόδοις καὶ ταῖς συχναῖς συντάξεσιν ὁ στρατὸς ἀποκναίσαντες στῆναί τε τῶν ἐπαλλήλων συνελεύσεων ἤρων καὶ τῆς οἴκοι ἀναβολῆς ἐγλίχοντο. ὡς ὑπὲρ ἰσχὺν τοίνυν ἀγωνιούμενοι συνελέγησαν, καὶ ἢ κρείττους τῶν ἀλλοφύλων ἐσόμενοι ἢ μετ' εὐκλείας ὑπὲρ τῶν πατρίδων ἀποθανούμενοι. καὶ οὕτω μὲν αἱ δυνάμεις ὡς εἰς ἓν στρατόπεδον τὰ Κύψελλα συνηθροίζοντο.

C 5. Ὁ δὲ βασιλεὺς αὐτογνωμονῶν ἀποθαρρεῖ ὅπερ ὁ λόγος λέξων ἔρχεται. ἔπασχε τὰ ἄρθρα τοῦ σώματος κατὰ κύκλον οἱονεὶ καὶ περίοδον, τοὺς δὲ πόδας καὶ μάλιστα ὕλης ἐνσκηπτούσης μοχθηροτέρας καὶ ὀδύνας δυσυποίστους ὑποτι-

1. ἀρσινῆ A. εἰς ἕνα τόπον εἰσελθὼν καὶ πρόβατα καὶ βόας ἀμηρᾶ τινὸς ἀρσανὴ καλουμένου μετὰ τῶν πιστικῶν λαβὼν B. 2. λωτοῦ] γλυκοκαλάμου B. 3. τῆς Προπ.] τοῦ κατὰ στενοῦ B. 7. τῶν τοῦ] οἱ ἀπὸ τοῦ μέρους τοῦ λεγομένου βαθέου ῥύακος B. 21. κατὰ κύκλον] κατὰ τὴν τῆς σελήνης ἔκλειψιν B.

non multo post recessit. sed et ipse imperator ab amoenis Propontidis locis aegre tanquam a loto aut cantu Sirenum avulsus, Nicaeam et Prusam est profectus, non ut Persas ulcisceretur, sed ne ex Batho digressi, ubi magnus eorum numerus stativa habebat, urbes et agros finitimos popularetur. nec amplius uno mense ibi exacto, Byzantium rediit. inchoante vere denuo cum summa festinatione coguntur exercitus. milites enim frequentibus eodem anno expeditionibus fatigati ea molestia carere et diutius domi manere cupiebant. concurrunt igitur ut ultra dimicaturi, et aut superaturi barbaros aut pro patria occubituri. ita copiae Cypsella ut in una castra convenerunt.

5. Ausus est et imperator sua sponte id quod iam dicam. morbo articulari per certa intervalla laborabat, et dolore pedum in primis affligebatur, peiore materia eo delabente et cruciatus intolerabi-

κτούσης, ἐξ ὧν ἀκινησίαι τε προσεπήγοντο τοῦ πάθους φλεγμαίνοντος καὶ λάβροι πυρετοὶ πολλάκις ἐπήγιζον. κατά τινα οὖν ἡμέραν τὰς θύρας τοῦ κοιτῶνος ἐπιζυγώσας, ἄλλῳ μὲν οὐδενὶ τοῖς δὲ προκοίτοις ἐκφήνας τὸ ἀπόρρητον, σιδήρια πυρακτωθέντα τοῖς σκέλεσιν ἐπιτίθησι, καὶ εἰς βάθος τὸν καυτῆρα ἐπαγαγὼν τὰ μὲν πρῶτα φιλοσοφῶν τὰς ὀδύνας πρὸς D τὰς καύσεις τῶν ποδῶν ἀπεμάχετο, μεθ' ὕβρεών τε τοὺς ἰατροὺς ἀπεπέμπετο, περὶ μόνα τὰ καθάρσια τούτους λέγων ἀεὶ στρέφεσθαι καὶ μηδέν τι πλέον τῶν κενωσίμων εἰδέναι καὶ μετιέναι τοῖς κάμνουσιν ἴαμα. τὰ δ' ἐφεξῆς φλεγμοναὶ τῶν καυτηριῶν καὶ περιωδυνίαι τῶν πρώην δριμύτεραι. ἰατροὶ ἐπὶ τούτοις εἰσκεκλημένοι οὐχ ὁ μὲν ὁ δ' οὔ, ἀλλὰ πάντες κοινῶς. πρὸς δὲ τούτοις καὶ δέος ὑποθράττον τὸ αἷμα, μή πως τὸ τῆς ὕλης μεθιστάμενον, τῆς περὶ τοὺς πόδας καθόδου ἀνακοπέν, εἴς τι καίριον ἐνσκήψῃ μέρος τοῦ σώματος, καὶ αὐτὸν μὲν παρασύρῃ τοῦ ζῆν αἰφνηδόν, ἡ δ' ἀρχὴ μεταπεσεῖται παρὰ δόξαν πρὸς ἕτερον. οἱ μὲν οὖν τῶν σωμάτων θεραπευτῆρες φαρμακεύειν αὐτὸν ἔγνώκεσαν· οὕτω γὰρ ἂν τὸ τῆς ὕλης κινούμενόν τε ἅμα καὶ πλεονάζον γαληνιάσειε ταῖς κενώσεσι. καὶ ἦν τὰ φάρμακα ἦμαρ παρ' ἦμαρ σχεδὸν κεραννύμενα, καὶ τὸ ἀνύσιμον αὐτοῖς ἐφωμάρτει. ἡ δὲ βασιλὶς Εὐφροσύνη ἐφρόντιζε μὲν καὶ τῆς ὑγείας, ὡς εἰκός,

2. λάβροι] πυρετοὶ διακαεῖς αὐτὸν ἐξέκαιον B. 8. περὶ μόνα] ὡς μηδὲν ἄλλο γινώσκοντας ἢ ποτίζειν μόνον βοηθήματα καὶ καυχωμένους δι' αὐτῶν τὴν βοήθειαν ἀνθρώποις παρέχειν B. 12. οὐχ ὁ μὲν] οὐχ εἷς καὶ εἷς ἀλλὰ πάντες ὁμοῦ. καὶ φόβος ἦν παρὰ τοὺς αὐτοῦ συγγενεῖς μήπως B.

les excitante, qui et motum adimebant et acres febres inflammabant. quadam ergo die foribus cubiculi clausis arcanum nemini praeterquam cubiculariis indicat; et ferramentis candentibus in tibias profunde impressis principio dolores animo philosophico perfert et contumeliosis dictis medicos repudiat, quod in solis purgationibus versari didicissent, neque quicquam remedii ultra evacuationes adhibere scirent. deinde vero ustionibus inflammatis, et maioribus doloribus subsecutis, medici non singulatim sed omnes simul convocati sunt, cognatis eius metuentibus ne decursus humorum ad crura impeditus principali aliquo membro insesso necem illi subito inferret, et imperium praeter expectationem ad alium transferretur. ac medici pharmaca ei praebere decreverunt, ut commotio simul et redundantia humorum egestionibus sisteretur. itaque medicamenta singulis fere diebus temperabantur, neque sane frustra erant. at imperatrix Euphrosyne, quanquam de valetudine mariti ut par erat

P. 322 τοῦ εὐνέτου, ἐσκέπτετο δὲ πλέον μετὰ τῶν συνήθων, καὶ οἷς τὰ κρυφιώδη τῶν βουλευμάτων προσανετίθει καὶ τοῦ στήθους ἀνεμήρυε τὰ ἀπόρρητα, καὶ περὶ τοῦ παραληψομένου τὴν βασιλείαν, ὡς ἔσται τις αὐτῇ μὴ ἀνάρσιος μηδ' ἀπεχθὴς ἀλλ' ἀσπάσιος. βασιλεῖ μὲν γὰρ οὐκ ἦν διάδοχος υἱὸς τῆς ἀρχῆς, δυάζουσαι δὲ θυγατέρες, καὶ αὗται τῶν συνεύνων μικροῦ σπανιζόμεναι· ἡ μὲν γὰρ προφερεστέρα καθ' ἡλικίαν Εἰρήνη θανάτῳ μαλακῷ δαμέντα τὸν σύλλεκτρον Ἀνδρόνικον τὸν Κοντοστέφανον ἀπεβάλετο, Ἄννα δὲ ἡ κατὰ γένεσιν ἐφεπομένη, τῷ δὲ κάλλει προτερεύουσα, Ἰσαακίῳ συνῴκει τῷ Κομνηνῷ, ὃς κατὰ Μυσίαν ἐναπέθανε τοῖς δεσμοῖς,
B ὡς ἐν τοῖς ἔμπροσθεν λόγοις εἰρήκειμεν. ἐπιλογαὶ τοίνυν καὶ ψηφηφορίαι τῶν ἀρξόντων ἄλλαι τε παρ' ἄλλων ἐγίνοντο καὶ πᾶσαι πρὸς τὸ τῶν προβαλόντων ἐτελοῦντο χρήσιμον. τοῦ δ' ἀξίως βασιλεύσοντος Ῥωμαίων καὶ ὡς ἄριστα τὰ κοινὰ διακυβερνήσοντος πράγματα οὐδεὶς οὐδένα λόγος εἰσήρχετο, ὥστε ὑπὸ τῶν ἀβελτέρων καὶ νήπια ἔτι ἐν γάλαξιν ὄντα καὶ σπαργάνοις ἐνειλημένα πρὸς τὴν ἀρχὴν ἐπεκρίνετο. αὐτῶν μέντοι τῶν ἐν γένει καὶ πλούτῳ περιβλεπομένων ὁ μὲν πρωτοστράτωρ Μανουὴλ ὁ Καμύτζης τῷ πρὸς μητρὸς ἐπεκάθητο θείῳ τῷ σεβαστοκράτορι Ἰωάννῃ, οὗτος δ' αὖθις κατ' αὐτοῦ ἀντωφθάλμει. οἱ δὲ τοῦ βασιλέως κασίγνητοι τρεῖς ὄντες
C καὶ παρ' Ἀνδρονίκου τυφλωθέντες, ἀλλὰ δὴ καὶ ὁ ἐπὶ τῇ

1. μετὰ τῶν ὧν εἶχε συνήθειαν μυστηρεύεσθαι B. 17. ὥστε] καὶ τοσοῦτον ὅτι καὶ νήπια βυζάνοντα ἐψόφουν εἰς τὴν τῆς βασιλείας ἀρχὴν B. 22. τοῦ βασ.] τῆς βασιλίσσης A.

sollicita, tamen cum iis quibus arcana sua committebat de successore imperii magis deliberabat, ne is sibi inimicus et infensus esset, sed potius amicus. nam imperator filium non habebat, sed duas duntaxat filias, easque viduas: nam Irenes maritus Andronicus Contostephanus obierat, Anna vero ut natu minor, ita forma praestantior, Isaacio Comneno nupta fuerat, qui in Mysia in vinculis obiit, ut supra narravimus. igitur alii atque alii imperatores nominantur, sed omnes qui iis opportuni essent a quibus nominabantur. de eo vero deligendo qui rem publicam optime et e dignitate Romanorum administraret, nemini quicquam in mentem veniebat. unde vecordes homines etiam infantes in cunis adhuc vagientes designabant. ex nobilitate et opibus claris Manuel Camizes protostrator avunculo suo Iohanni sebastocratori adversabatur. is vero vicissim illum impediebat. tres vero imperatoris fratres ab Andronico excaecati, et eorum sororius Iohannes Cantacuzenus, et ipse orbus oculis, filiis suis fa-

ἀδελφῇ αὐτῶν γαμβρὸς ὁ Κανταχουζηνὸς Ἰωάννης ἐξόμματος V. 265 καὶ αὐτὸς δεικνύμενος, παισὶ τοῖς ἑαυτῶν τὴν ἀρχὴν ἠνδρολόγουν. ἦσαν δ' οἳ χθές τε καὶ πρώην διαμασσώμενοι τὰ δρυόκαρπα καὶ τὰ Ποντικὰ ὕεια κρέα ἐπὶ στόματος ἔτι φέροντες ἐπείρων καὶ ἤρων τῆς βασιλείας μάλα λαμπρῶς, καὶ ὅλοις ἐς αὐτὴν περιέργοις ἐνητένιζον ὄμμασι, προαγωγοῖς καὶ προμνήστορσι χρώμενοι ὁπόσοι τῶν ἀγοραίων ὤνιοι χρημάτων καὶ κοιλιόδουλοι, ὡς μακρῷ κάκιον τοῦ καθ' ἕνα τὸ κοινῇ γινόμενον ψήφισμα. ὢ περίπυστον πρᾶγμα Ῥωμαίων ἀρχή, καὶ πᾶσιν ἔθνεσι ζηλωτὸν καὶ προσκυνητὸν ἀξίωμα, οἵους ὑπήνεγκας βιαστάς! οἷοί σοι ἐπανέστησαν ὑβρισταί! D οἷοί σοι ἐπεμάνησαν ἐρασταί! οἵους ἐνηγκαλίσω! οἵοις ὑπέθηκας ἑαυτὴν καὶ φιλοτήτων μετέδωκας ἑταινιώκεις τε τῷ στεφάνῳ καὶ περιέβαλες τὸ διάδημα καὶ τὸ φοινικόχρουν περιέδησας πέδιλον! θυμαλγέστερά εἰσιν ὄντως τὰ σὰ ὧν πέπονθε Πηνελόπη παραλληλιζόμενα, καὶ κατ' οὐδὲν ἀπέοικας βασιλείας γυναικὸς πανευδαίμονος, σεμνῆς τὸ κάλλος, εὐφυοῦς τὸ μέγεθος, εὐπρεποῦς τὴν ὄψιν, ἑαλωκυίας μέντοι χερσὶν ἐραστῶν ἀναιδῶν μηδὲ τιμωμένων ὀβολοῦ παρ' ἐχέφροσιν, οὔτε μὴν ἐχόντων τὸ μεγαλοπρεπὲς αὐτῆς συνιδεῖν μηδ' εὐλαβουμένων τὸ ὕψος μηδ' ὑποστελλομένων τὸ εὐγενές, ἐνίοτε δὲ καὶ πρὸς ὕβριν περιελκόντων καὶ εἰς κοίτην ἀπαγόντων

1. ἐξ ὀμμάτων A. 3. οἳ χθές] οἳ τὰ βαλάνια καὶ τὸ λαρδὶν τρώγοντες πρὸ ὀλίγου καὶ αὐτοὶ ἐπεθύμουν τὴν βασιλείαν B. διαμασσώμενα APW. 9. ὢ περίπυστον καὶ ἐξάκουστον ἄκουσμα ἡ τῶν ῥωμαίων ἀρχή, ἡ παρὰ πάντων τῶν ἐθνῶν φθονουμένη B. 13. ἑταινιώκεις etiam A. 15. ὧν] οἷς A. 19. μηδὲ] μηδενὸς ὀβολοῦ ἀξιαζόντων B.

vebant. erant etiam qui Ponticarum nucum et suillarum carnium reliquias adhuc in dentibus gestantes, imperium haud dissimulanter et amarent et ambirent, et curiosos in id oculos defigerent, sed pronubis seu lenonibus utentes hominibus circumforaneis, qui ventri serviebant et pecunia facile corrumpebantur. quanto deterius est suffragium multorum quam unius! o celebre Romanorum imperium, et omnibus gentibus admiranda et adoranda maiestas, quales tyrannos pertulisti! quibus iniuriis exagitata es! quales amatores in te insanierunt! quales homines es amplexa! qualibus te substravisti et oscula praebuisti! quales corona et diademate et purpureo calceo exornasti! graviora utique ab illis pertulisti quam Penelope a procorum frequentia. nimirum ab omni parte similis es regiae matronae felicissimae, forma venerabili, iusta magnitudine, vultu venusto, sed captae impudentium amatorum manibus, quos cordati homines vix centusse liceantur, qui magnificentiam illius aestimare nequeant, celsi-

ἀθέμιτον. αἲ αἲ τῆς αἰσχρουργίας! οἷα πέπονθας, οἷα τε-
P. 323 θέασαι! ὄψις πόρνης ἐγένετό σοι χρῆμα περίπυστον καὶ πρᾶγμα περίδοξον. καὶ φροῦδον μέν σοι τὸ ἀπέριττον ἐκεῖνο κάλλος καὶ τὸ τοῦ προσώπου αἰδῆμον καὶ ἡ σώφρων καὶ προτέρα ἐγκρατὴς δίαιτα, περίεργον δὲ καὶ μετεγγραφὲν ἐντρίψεσι καὶ φαρμάκοις τὸ σὸν πρόσωπον, καὶ διεσκεύασαι πρὸς τρυφὴν καὶ πρὸς ἦθος ἀκόλαστον μετερρύθμισαι· οἱ γάρ σε βιασάμενοι τὴν πρώην ἀπεριέργως καλὴν καὶ τὸ εἶδος ἀγαστὴν καὶ ἐπέραστον πρὸς τὸ ἑταιρικὸν μετεπλάσαντο σχῆμα. πότε ἀνανεύσεις τῆς ἀμόρφου ταύτης εὐμορφίας καὶ τοῦ δυσειδοῦς εἴδους καὶ τοῦ ἐπιποιήτου βλέμματος καὶ βαδίσματος; ἢ τίς ὁ ἐξάξων σε τῶν πρὸς βίαν τυραννικῶν τούτων περιπλοκῶν καὶ πρὸς τὴν πρώην ἐπανάξων ἀκαπήλευτον καὶ ἐλευθέραν διαγωγήν; ὡς νῦν γε καὶ τὸν οἶκτον εἰς γέλων
B μετενεγκεῖν κινδυνεύομεν, οἷς οὐ δεῖ συμφερομένην ὁρῶντες σε, καὶ τὰ τῆς ἀσχημοσύνης προβλέποντες δεδίαμεν μὴ εἰς τέλος ἀφαντωθείης καὶ καταρραγείης εἰς πτῶμα τὸ δυσανόρθωτον. ἀλλ' εἶεν.

Ὁ δὲ δὴ αὐτοκράτωρ μήπω καθαρῶς ἀνασφήλας τῆς νόσου μηδ' ἐπὶ τῶν ποδῶν στῆναι δυνάμενος ἔξεισι καὶ ἄπεισι πρὸς τὰ Κύψελλα, ἐξαρτύσας ὅσα πρὸς πόλεμον ἄραρεν.

1. οἷα τεθέασαι] οἷα εἶδες ἡ ἀθεώρητος B. 3. φροῦδον] εἰς μάτην εἶχες τὸ πρότερον ἐκεῖνο κάλλος καὶ τὴν εὐκατάστατον ἐντροπὴν καὶ τὴν τῆς σωφροσύνης ἀκριβῆ δίαιταν B. 14. καὶ ἐλευθέραν om A.

tudinem non revereantur, nobilitate nihil moveantur, aliquando etiam eam per contumeliam in nefarium cubile pertrahant. hei dedecus, hei flagitium, qualia perpessa es! qualis visa es! facies meretricis, o inclita et celebris maiestas, contigit tibi. evanuit naturalis illa tua pulchritudo et vultus verecundia et frugi pridem et modesta vitae ratio. nunc facies tua luxu et fucis est corrupta; ad delicias exorbitasti, ad mores dissolutos deflexisti. nam qui tibi vim fecerunt pridem citra curam formosae, vultu admirabili et amabili praeditae, ad meretricium habitum te redegerunt. quando istam deformem formam exues? quando accersitum aspectum et gressum mutabis! quis te a tyrannicis istis amplexibus per vim vindicabit, et ad veterem castimoniam et libertatem reducet! nam nunc quidem parum abest quin te rideamus potius quam misereamur, eorum utentem consuetudine qui te dedecent, atque id opprobrium intuentes, vereamur ne prorsus deleаris et ad extremum corruas.

Sed ad institutum redeamus. imperator nondum plane recuperata valetudine cum pedibus nondum insistere posset, Cypsella abit rebus ad bellum gerendum necessariis instructus. verum illo adhuc

αὐτοῦ δ' ὄντος ἐν καχεξίᾳ, Σκύθαι μετὰ μοίρας Βλάχων τὸν Ἴστρον διαβάντες τοῖς Θρᾳκικοῖς πολίσμασιν, ὁπόσα περὶ Μεσήνην καὶ Τζουρουλόν, καὶ τὰ ἔτι τούτων ἐχόμενα ἐξ ἐφόδου ἔκειρον κατ' αὐτὴν τὴν ἐτήσιον μνήμην Γεωργίου τοῦ χριστομάρτυρος. ἦν μὲν οὖν, ὡς ᾔδετο, τοῖς βαρβάροις σκέμμα C καὶ σύνθημα πρὸς τῶν ἡγεμόνων τῆς ὁδοῦ δοθὲν ἐς τὸ Κουπέριον ἀφικέσθαι (τὸ δέ ἐστιν ἐκ γειτόνων τῆς Τζουρουλοῦ διακείμενον, ἔνθα ἤγετο τηνικαῦτα τῷ μάρτυρι ἑορτὴ καὶ πανήγυρις συγκεκρότητο), ὁμίχλης δὲ περισπασθείσης ἕωθεν χαμαιφερῶς τὸ μὲν πολὺ τῶν βαρβάρων τῆς προκειμένης ἀπορραγὲν εἰς χωρία μετέρρευσεν ἕτερα, μέχρι καὶ τοῦ παράλου Ῥαιδεστοῦ κατιόν, μοῖρα δέ τις αὐτῶν περὶ τὸ Κουπέριον ἐνσκήψασα εἰς μὲν τὸν ναὸν καὶ τὸ περίαυλον οὐκ εἰσήλθοσαν· τὸ γὰρ συνελθὸν πλῆθος ἐπὶ τῷ τὰ ὅσια τελέσαι τῷ μάρτυρι, δρᾶσαί τι μᾶλλον φθάσαν ἢ παθεῖν ἀναμεῖναι κεκρικὸς δέον, ἁμάξας ἀγηοχὸς καὶ τὸν νεὼν περιφρα- V. 268 γμῶσαν κατὰ τὴν πρώτην εὐθὺς τῶν βαρβάρων ἐπέλευσιν τὰ ἐκεῖσε πεποίηκεν ἄβατα ἄλλως τε καὶ τοῖς Σκύθαις ἀπείρητα τειχομαχεῖν τὰ ἐν κώμαις ἐκτρεπομένοις ἐς δεῦρο καὶ πόλεσιν D ὀχυρώματα, ὡς οἷα πρὸς τὴν πρώτην ὁρμὴν κατὰ λαίλαπος κίνησιν ἀναρριπτόντων τὰ ἐν ποσὶ καὶ πρὸς ἤθη τὰ οἰκεῖα μεταχωρούντων. τοὺς δέ γε τοῦ νεὼ ἀφεμένους καὶ πρὸς τὰ

3. τζουρουλῷ B. 7. τζουρουλῷ A, τζουρουλῷ B. 10. τῆς προκειμένης] τὴν στράταν χαώσαντες B. 13. εἰς — εἰσήλθοσαν add B. 16. ἁμάξας συνάξαντες καὶ περιφράξαντες καὶ τούτων ἐπάνω πύργους ποιήσαντες B. 18. ἀπείριτα A. B ἄλλως τε δὲ ὅτι οὐδὲ οἱ κόμανοι κάστρα ἤθελον μάχεσθαι, ἐπεὶ ἕτερα χωρία κουρσεύειν χωρὶς μάχης ηὕρισκον. 21. ἔθη APW.

male affecto, Scythae cum cohorte Blachorum Istro traiecto Thracia oppida Mesenae et Zurulo finitima in ipso divi Georgii martyris festo subita incursione populantur. ac decrevisse barbari et eam tesseram a ducibus accepisse ferebantur, ut Cuperii convenirent. locus is est non procul Zurulo dissitus, ubi tum festum martyris magna hominum frequentia celebrabatur. sed mane humili nebula orta, maxima barbarorum pars in alia loca est delata et usque ad maritimam Radaestum descendit. pars tamen eorum quaedam in Cuperium irrupit. caeterum multitudo quae ad festum convenerat, potius rata vim propulsare quam tolerare, curribus templum vallavit, et primae barbarorum incursioni aditum facile interclusit, cum Scythae pagos oppugnare non solerent, et nunc etiam urbium munitiones declinent, ut qui turbinis instar primo duntaxat impetu obviis quibusque vastatis domum sese recipiant. eos tamen qui omisso templo Zurulum

πόλισμα τὸν Τζουρουλὸν ὡς ἔχον σῶσαι μεταχωρήσαντας πανδημεὶ ἠχμαλώτευσαν, μὴ λαβέσθαι φθάσαντας τοῦ ἐρύματος. ἦσαν δ' ἂν ἅπαντες τοῦ κακοῦ τῆς αἰχμαλωσίας ἀπείρατοι, εἰ μὴ ὁ κάκιστ' ἀπολούμενος ῥακενδύτης ὃς ἐκ τῆς Ἀντιγόνου μονῆς ἐκεῖσε ἀφίκετο τελωνήσων τὴν πανήγυριν, παρ' οὐδὲν ἔθετο ὅσα ἦν ἐπιστείλας ὁ Βρανᾶς Θεόδωρος, ὃς τῶν ἐκεῖθι χωρῶν ἡγεμόνευεν, ἀπαγορεύσαντα μὲν τὴν τῶν πολλῶν ἐς τὸ Κουπέριον συνδρομήν, τὴν δ' ἐπιδρομὴν τῶν Σκυ- P. 324 θῶν ἀπαγγέλλοντα καὶ προτιθέντα αἵρεσιν, ἢ κακῶν ἀπαθεῖς εἶναι τοὺς συνελθόντας τῶν ἐντελλομένων ἀκούσαντας ἢ τεθνάναι παρακούσαντας. νῦν δὲ ὁ τοῖς ἐν κόσμῳ ἐπίπαν ἀποταξάμενος καὶ λαμπρῶς τῶν κάτω ἀπορραγείς, τὸ δὲ κατὰ Χριστὸν τριβώνιον ἐθελοντὴς ὑποδύς, δείσας μὴ χάλκεος στατὴρ αὐτὸν διαδράσειε τοῦ λεὼ διασπαρέντος, τὴν μὲν δέλτον τῷ κόλπῳ ἐνέβυσε καὶ ὡς ἐν σκότει τῇ μελανειμονίᾳ παρέπεμψε, τοῖς δ' ἀγειρομένοις προύλεγεν, ὡς εἰ καὶ προφήτου ἦν περισσότερος ὁ τῆς ἐννοίας, ἔνθα τὸ κέρδος, ἐμπορικὸς καὶ δριμύτατος, ὡς οὐδέν τι πείσονται ἀηδὲς καὶ ὁποῖον αἱ φῆμαι τὰ B πολλὰ τὴν ἀλήθειαν τυραννοῦσαι μὴ ἀκριβὸν καταγγέλλουσι. καὶ οὕτω μὲν οἱ Σκύθαι λείαν ἐλάσαντες πολλὴν ἀνεζεύγνυον, ὁ δὲ τὴν Βυζίην φυλάσσων Ῥωμαϊκὸς στρατός, μαθὼν ἐπανιέναι τοὺς Σκύθας, τὴν ἐπ' αὐτοὺς ἐτράπετο. ἐπεὶ δὲ καὶ συνέβαλον ἀμφότερα τὰ στρατεύματα, κρατεῖ τὸ ἡμέτερον, φόνος τε καὶ τροπὴ γίνεται τῶν Σκυθῶν, καὶ τὸ τῆς αἰχμα-

4. ὁ κάκιστ'] ὁ παγκάκιστος καὶ βέβηλος μοναχὸς ὁ ἀπὸ τοῦ Ἀντιγόνου ἐλθὼν ἐπὶ τὸ κομερκεῦσαι τὴν π. B. 6. ὃς τῶν] ὁ ἐκεῖσε κεφαλατικεύων B. 13. χάλκεος στατὴρ] τουρνέσιν τὸ χαλκοῦν νόμισμα B. 21. βιζύην B.

petebant omnes interceperunt. verum universi malorum expertes fuissent, nisi perditissimus Racendytes, qui colligendi vectigalis ergo venerat, Branae Theodori, qui ei provinciae praeerat, monita sprevisset. edixerat autem ne populus ad festum conveniret, et Scytharum incursionem indicarat, optione data utrum dicto audientes et incolumes esse an spretis suis monitis perire mallent. nunc is qui mundo prorsus renuntiarat, qui plane a terrenis rebus avulsus erat, Christiano pallio ultro induto, veritus ne sibi aereus stater disperso populo elaberetur, litteras eas in sinu abdidit et in nigra veste tanquam in tenebris occultavit; et populo praedixit, quasi vates esset homo corradendi nummos et nundinandi peritior, eos nihil mali passuros: famam saepe veritatem opprimere, neque certi quicquam afferre. Scythas autem cum magna praeda recedentes Romanus exercitus, qui Byziam tuebatur, aggreditur, caedit, in fugam conicit,

λωσίας πλεῖστον ἀνίεται, καὶ τοῦτ' ἐπὶ βραχύ· ἡ γὰρ σύμφυτος καὶ μανιώδης κἀπὶ τοῖς μηδαμῶς καθήκουσιν ἀμετάθετος Ῥωμαίων λίχνευσις τὴν νίκην διέφθειρεν. ὅλοι γὰρ τοῦ ἁρπάζειν καὶ μεταφέρειν γινόμενοι ἅπερ ἦγον οἱ Σκύθαι τὰς Ῥωμαϊκὰς χώρας πορθήσαντες, τὸ ἀπιὸν καὶ δραπετεῦον πολέμιον ἐπέστρεψε καθ' ἑαυτό, καὶ παλίωξιν ἐντεῦθεν εἰργάσαντο.

ΤΟΜΟΣ Γ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ.

1. Καὶ τῇδε μὲν καὶ ταῦτα συμβέβηκε, βασιλεὺς δ' P. 325
ἀπάρας ἐκ τῶν Κυψέλλων τῇ Θεσσαλονίκῃ ἐφίσταται, κἀκεῖ- V. 267
θεν ἀναστὰς κατὰ τοῦ Χρύσου ὁρμᾷ. οὗτος γὰρ τὴν Στρούμμιτζαν ἰδιωσάμενος, Βλάχος ὢν τὸ γένος, καὶ φρούριόν τι ἀπολαβὼν λεγόμενον Πρόσακον ἐς τυραννεῖον ἑαυτῷ κατεσκεύασε, κρατύνας παντοίως τὸ ἔρυμα, ὅπερ ἡ μὲν φύσις ἀρχῆθεν

3. λίχνευσις] λειξουρία B. 8. Γ] δεύτερος B 9. ΚΟΜΝ.] ἀγγέλου B. addit A ἔνθα καὶ διήγησις, PW ἔνθα καὶ διήγησις τῶν συμβάντων τῇ μεγαλοπόλει ἀνιαρῶν. 13. Βλάχος ὢν τὸ γένος om A, habet B. 14. εἰς τυραννεῖον καὶ κάθισμα αὐτοῦ αὐτὸ ᾠκονόμησεν B.

maximam praedae partem recuperat, eam tamen non diu tenet. nam Romanorum naturalis et insana et in rebus minime convenientibus contumax avaritia victoriam corrupit; qui cum toti in eo essent ut Scythis praedam ex agro Romano receptam extorquerent, eos qui fugiebant in se converterunt et vicissim fugati sunt.

IMPERII ALEXII COMNENI LIBER TERTIUS.

1. His ita gestis imperator Cypsellis Thessalonicam proficiscitur. inde contra Chrysum iter intendit qui Strumiza sibi vindicata castellum quoque Prosacam, et natura et opere munitissimum, pro regia occupavit. sunt enim solidae rupes bifidae, inter se contiguae,

φιλοτίμως ἐξεῦρέ τε καὶ ἀνέδωκε· πέτραι γάρ εἰσιν ἀπορρῶγες δισχιδεῖς, συνεπτυγμέναι ἀλλήλαις, μία δ' ἐς αὐτάς ἐστιν ἄνοδος στενὴ καὶ βίαιος καὶ ἀμφίκρημνος, ἡ δὲ λοιπὴ περίμετρος τῶν πετρῶν αἰγίλιψ ἅπασα καὶ ἀπρόσβατος, καὶ ποταB μὸς βαθυδίνης ὁ Ἀξιὸς ἀμφιπερικλώμενος ἐπιτειχίζει ταύτας παραλογώτερον· ἐλθοῦσα δ' εἰς ὕστερον ἡ τέχνη ἀνθαμιλλήτρια τῇ φύσει ἀναλώτους αὐτὰς μικροῦ ἐτεχνήσατο· τείχη γὰρ ἀρραγῆ διειληφυῖα κατὰ τὴν ἐνδοθεῖσαν ἄνοδον ὑπερφυὲς τετέλεκεν ὁρμητήριον. ἀλλὰ τὸ τοιοῦτον ἔρυμα τὸν Πρόσακον Ῥωμαῖοι μὲν πάλαι παρεῖδον, Βουλγάρων ἀφροντιστοῦντες, καὶ κατέλιπον ἔρημον, ὁ δὲ Χρύσος ἐπιποιήσας εἶχε V. 268 κατὰ Ῥωμαίων ἀπρόσμαχον οἰκητήριον, πᾶν ὅτι περ ὅπλοις τρόφιμον ἐκεῖσε συνηλικώς, ἀφετήριά τε ὄργανα περιστήσας καὶ τὰ πρὸς τὸ ζῆν ἐνθέμενος ἄφθονα, ποίμνιά τε καὶ βουκόλια κατ' ἀγέλας ταῖς ἀκρωνυχίαις ἀνεὶς νέμεσθαι· οὐ γὰρ εὐπερίληπτος ἡ τοῦ φρουρίου τοῦδε περίC μετρος, ἀλλ' ἐς ὅτι πλεῖστον εὐρύνεται καὶ μηκύνεται, καὶ ἄλσεσιν ἐξ ὄμβρων κομᾷ, καὶ χωρίοις δρυμώδεσι βέβριθεν. ἑνὸς δέ τινος καλοῦ, καὶ τούτου ἀπαραιτήτου, καλλίστου καὶ κρατίστου τὸ φρούριον στέρεται· οὐδὲ γὰρ βραχεῖά τις ὕδατος λιβὰς ἐκεῖ που ἐκδίδωσιν, οὐδὲ φρεάτιά εἰσιν ὀρυκτά, ἀλλὰ δεῖ ἐς τὸν ποταμὸν κατιέναι καὶ ὑδρίαις

1. πέτραι γάρ εἰσι συγκεκωλυμμέναι ἀλλήλαις, σχίσμα μέσον ἔχουσαι, ἄνοδον δὲ μίαν στενὴν καὶ βιαστικὴν καὶ κρημνώδη. γύρωθεν δὲ ὁμαλαὶ αἱ πέτραι καὶ ἀπίαστοι διὰ τῶν χειρῶν. περιτριγυρίζει δὲ ταύτας ὁ ἀξιὸς ποταμὸς ὁ νῦν βαρδάριος λεγόμενος βαθὺς καὶ ἀπάτητος. B. 12. ἀπρόσμαχον] μέγαν ἀκούμβισμα καὶ ὁσπήτιν ἀφρόντιστον B. 16. περίμετρος] πέριοδος A, περίορος B. 18. ἄλσεσιν] δασώματα δένδρων ἔχει ἀπὸ ὑδάτων βραχῆς B. 20. οὐδὲ γὰρ] οὐ γὰρ ἔχει ἐντὸς βρύσιν ἢ πηγάδιν ἢ σταλαγμὸν τινος ὕδατος, ἀλλὰ κατέρχονται εἰς τὸν ποταμὸν καὶ ἐπαίρουσι τὸ νερὸν καὶ πίνουσι. B.

in quas unus patet aditus angustus difficilis et praeceps: reliquus ambitus rupium vel capreolis inaccessus est, et Axius profundus amnis eas, quod mirere, circumfluit. deinde ars aemula naturae pene inexpugnabiles eas fecit, et firmissimis moenibus in aditu structis mirabile propugnaculum absolvit. id castellum Romani olim nihil de Bulgaris solliciti desertum et neglectum iacere passi sunt. Chrysus vero domicilium ibi tutissimum constituit. praesidio veteranorum imposito, tormentis in circuitu dispositis et commeatu abunde importato, greges et armenta in verticibus montium vagari et pasci sivit. neque enim castelli ambitus facile comprehendi potest, qui longe lateque patet, saltibus etiam et nemoribus floret. uno tamen bono

ἀρύσασθαι τὸν ποτόν. τοιούτου τοίνυν ἐρύματος ἐγκρατὴς ὁ Χρύσος γενόμενος πρὸς οὐδὲν ὅτι κατ' αὐτοῦ βασιλεὺς ἔπεισιν ἐτετάρακτο, ἀλλ' ὡς ἀντιταξόμενος ἡτοιμάσατο. τοῖς μὲν οὖν ἐν πείρᾳ πολέμου Ῥωμαίοις, εἴ τίς που τέως καὶ ὑπολέλειπτο, καὶ οἷς ἡ τῶν ἐκεῖσε θέσις χωρῶν οὐδαμῶς ἠγνόητο, δέον ἐκρίνετο καὶ τῷ βασιλεῖ συνεβούλευον παραλλάξαι μὲν τὸν Πρόσακον, μετελθεῖν δὲ τὰ λοιπὰ πολίσματα καὶ τὰς κώμας ὁπόσαι κατήκοοι Χρύσῳ γεγόνασι, μετὰ δὲ τὴν τούτων χείρωσιν τῷ Προσάκῳ παρεμβαλεῖν· οὕτω γὰρ ἔσεσθαι καὶ τὸ στράτευμα εὐθαρσέστερον, τὰ εὐχείρωτα καταστρεψάμενον πρότερον καὶ λείαν ἐκεῖθεν περιβαλόμενον, καὶ αὐτὸν δὲ τὸν Χρύσον τῇ βίᾳ τῶν πραγμάτων ἀγχόμενον μεταβου- P. 326
λεύσασθαί τι χρηστότερον, ἐνδόντα τοῦ ἄγαν ἢ καὶ ἀπογνόντα τῶν καθ' αὐτόν. τοῦ δέ γε κατὰ τὴν πρώτην ὁρμὴν τοῖς ἀπροσμάχοις εὐθὺς προσβαλεῖν καὶ πρὸς ὄρη διαμιλλᾶσθαι ἀπότομα, μὴ καὶ εἶναι μάταιον ἔλεγον, καὶ ἄλλως ἱδρῶτας ὁρᾶν αἱματόεντας καὶ προσκείμενον πόνον πολύν, καὶ φαντάζεσθαι κόρσας ἀναύχενας τῶν μαχουμένων ἀνδρῶν. καὶ οἱ μὲν ταῦτα παρῄνουν, ἀντέστησαν δὲ γενναιότερον οἱ μὴ ἐνόρχαι τοῦ βασιλέως πρόκοιτοι, ὧν ἐπρωτίστευεν ὁ Οἰναιώτης Γεώργιος, καὶ τὰ ἐπὶ τῆς θεραπείας λειογένεια μειράκια. οὗτοι γὰρ περιστάντες τὸν βασιλέα παλαιοὶ καὶ πανδέξιοι ἔπεισαν ἐς τὸν Πρόσακον εὐθυώρως ἄγειν τὴν στρατιάν, καὶ κατ' αὐτοῦ τοῦ Χρύσου ἀντίον τὰ ὅπλα ἄγειν καὶ τὸ δό- B

14. τοῦ] τὸ? 21. τὰ ἐπὶ] τὰ τοῦ κελλίου αὐτοῦ παιδόπουλα B.

eoque summe necessario et praestantissimo caret, quod ne una quidem aquae gutta ibi scaturit, nec fossiles putei sunt, sed ad flumen descendendum et hydriis aqua haurienda est. Chrysus igitur tali castello potitus, imperatoris contra se expeditione nihil territus, ad resistendum se paravit. Romani vero rei militaris periti, si qui forte supererant. et situs locorum non ignari, monebant imperatorem ut praeterito Prosaco reliqua oppida et pagos Chrysi invaderet, et iis expugnatis demum ad illud castellum accederet. sic et exercitum fore fidentiorem victoria et praeda ex minus firmis castellis parta, et ipsum Chrysum vi belli urgente aut consilium mutaturum remissa pertinacia, aut de rebus suis desperaturum. caeterum in arcem inexpugnabilem principio facere impetum et cum praeruptis petris dimicare cum vanum esse, tum cruentis sudoribus et multis aerumnis et caedibus plenum. his spadones, Georgius Oenaeotes in primis, et imberbes adolescentuli acriter adversati, imperatori persuaserunt ut recta ad Prosacum adduceret exercitum, quo capto nihil deinceps posse resistere, praesertim cum nihil impediret quo minus arcem

ρυ διαγκωνίζεσθαι, ὡς „εἰ οὕτω ἁλώσεται, οὐκ ἔστιν ὅστις ἐς τὸ ἑξῆς ἀντιστήσεται. καὶ ἄλλως δὲ τί τὸ προσιστάμενον μὴ κατὰ τοῦ καιρίου μέρους αὐτίκα χωρεῖν, ἀλλ' ἐκ περιόδων καὶ κύκλων μετέρχεσθαι τὸ πολέμιον; πρὸς δὲ τούτοις τίς ἂν ἀνέξεται ὅλως ταῖς βαρβαρικαῖς ταύταις καὶ ἀχαριτώτοις χώραις διατρίβειν ἐπὶ πολὺ δι' οὐδὲν ἢ μικρὸν ὄφελος, τῆς τῶν συκίων καὶ τῶν πεπόνων ὥρας ἐφισταμένης καὶ τῶν ἄλλων περκαζόντων ὡραίων τῆς γῆς, οἷς ὑπερβέβριθε Προποντὶς ὅσα καὶ παράδεισος χειρὶ θεοῦ φυτευθείς. εἴθε ὑπὸ πλακὶ Ῥηγίου C γενοίμεθα καὶ Ἀφάμειαν θεασαίμεθα, ὅπως προσείποιμεν τὴν ἱερὰν Κωνσταντινούπολιν, κἀκεῖθεν ἐς τὰ τοῦ πρὸ τοῦ Πόντου τρυφερὰ χωρία προσαναπλεύσαιμεν, ἔνθα πραεῖά τις αὔρα βόρειος καὶ ζωογόνος προσβάλλει διὰ παντός, καὶ ἰχθύες νεαλεῖς περισκαίρουσι, καὶ δελφῖνες ἥδιστον ἀναθρώσκουσι λουτρῶν τε χάριτες διαγελῶσιν ἁπανταχῇ, καὶ ἀργύρεα πλανώμενα ὕδατα τὸν θεατὴν διαχέουσι, καὶ τὰς ἀκοὰς τῶν δεῦρο κἀκεῖσε περιφοιτώντων ἑστιῶσι κατακηλοῦσαι κωτίλλουσαι χελιδόνες καὶ μελεάζουσαι ἀηδόνες καὶ πᾶν ἕτερον ἄλλῃ καὶ ἄλλῃ τρύζον ἐν ταῖς λόχμαις καὶ τιτυβίζον μουσικὸν πτερόν." ὅλῳ τοίνυν ῥυτῆρι πρὸς τὸν Πρόσακον φέρεται βασιλεύς, εἴπερ ἐς ἴσον αὐτῷ κατέστη τῇ θέᾳ ὁ λόγος. ὅθεν τινὰ μὲν ἐρύματα πάρεργον ὁδοῦ κατεστράφησαν, θη- D μωνίαι τε καρπῶν καὶ λήϊα πυροφόρα κατηθαλώθησαν, καὶ παρὰ Περσῶν ἑάλωσαν Βλάχοι δορύκτητοι, οὓς ὁ τῆς πόλεως

6. τῶν om APW. 9. πλάκα A. 21. ὡς εἴπερ? 23. πυροφόρα] ποηφόρα A.

belli invaderet, nec quidquam esset quod hostem per ambages quaerere cogeret. praeterea neminem esse qui in barbaricis et foedis illis locis diutius commorari sustineat, nullo aut exiguo cum fructu, ficuum et peponum tempore instante, et caeteris pomis maturescentibus, quibus Propontis ut paradisus dei manibus consitus abundet. „utinam" inquiunt „in Rhegii planitie essemus, et Aphameam cerneremus, ut sacra Cpoli salutata in Propontidis amoenitates navigaremus, quam lenes et fecundae Aquilonis aurae iugiter perflant, ubi pisces recentes palpitant, ubi delphines iucundissime saltant, ubi lavacra passim arrident, ubi limpidorum rivulorum flexus spectatorem exhilarant, ubi auribus obambulantium garritus hirundinum et cantus lusciniarum caeterarumque avium blandiuntur." igitur imperator laxis habenis ad Prosacum fertur, quasi oculis ea usurpasset quae auribus acceperat. obiter tamen castella quaedam eversa sunt, et horrea et segetes incensae; et a Persis, quos Ancyranus satrapa imperatori auxilio miserat, Blachi aliquot capti. tum orthodoxae fi-

Ἀγκύρας σατράπης ἐπικούρους ἀπέσταλκε βασιλεῖ, ὅτε καὶ τὸ μὲν περὶ τὴν ὀρθόδοξον πίστιν ὑγιὲς καὶ θερμότερον τὸν βασιλέα ἐξελιπάρησε μὴ συγχωρῆσαι ὅλως τοῖς Τούρκοις οἴκαδε ἀνθρώπους μετενεγκεῖν θεὸν ὃν ἡμεῖς πρεσβεύομεν σεβο- V. 269 μένους, ἵνα μὴ τὴν πίστιν ἄκοντες μεταθέμενοι τὸ θεῖον κατὰ τῶν ἐκδόντων ἐκμήνωσιν, ἀλλὰ τὸ μὲν Βλαχικὸν αἰχμάλωτον ἐς οἰκετικὸν ἀποδοθῆναι Ῥωμαίοις, αὐτοὺς δὲ τοὺς χειρωσαμένους Πέρσας φιλοφρονηθῆναι δεξιώσεσιν ἑτέραις βασιλικαῖς· ὁ δὲ οὐδ' ὅλως ἐπένευσεν. ἐπεὶ δὲ καὶ ἐς αὐτὸν ἐφθάκει τὸν Πρόσακον, βαλὼν ἐκεῖ που στρατήγιον ἔγνω τοῦ φρουρίου αὐτίκα πειράσασθαι. καὶ ἦν ἔργα πρὸς Ῥωμαίων τηνικαῦτα τελούμενα κατιδεῖν γέρατος καὶ θαύματος ἄξια· ὑπὲρ γὰρ ἐλπίδας διηγωνίσαντο. οἱ μὲν γὰρ θυρεοῖς καὶ γυμνοῖς φραξάμενοι ξίφεσιν, οἱ δὲ τόξα καὶ βέλη φέροντες περὶ τὰ ἀνάν- P. 327 τη τοῦ φρουρίου ἀνερριχῶντο γεώλοφα, καὶ τοῖς ἀπὸ τειχῶν καὶ τῆς ἄκρας μαχομένοις ἐπεγχρίπτοντες ἔβαλλον. ἀμέλει καὶ μετὰ κάματον καὶ φόνον πολὺν ἐξέκρουσαν τοὺς βαρβάρους τοῦ προτειχίσματος, ὅπερ προφύλαγμα τῶν ἐκεῖσε πυλῶν ἐπῳκοδόμητο νεωστί. ἦσαν δ' οἳ καὶ διὰ τῶν κρημνωδῶν ἀνιμώμενοι ἀνόδων ἠκροβάτουν ὡς αἴγαγροι, πειρώμενοι γενέσθαι εἴσω τειχῶν καὶ πρὸς αὐτὴν τὴν ἄκραν ἀναδραμεῖν. ἀλλ' ὅτε τι διανύσαι ἔργον ᾠήθησαν σωτήριόν τε ἅμα καὶ κάλλιστον, τοὺς ἐπὶ τῶν τειχῶν ἀμυνομένους τρεψάμενοι καὶ εἴσω συγκλείσαντες, τότε εἰκαίως διαπονούμενοι ἔγνωσαν· αἰτήσαντες γὰρ σκαπάνας εἰς τὴν τῶν περιβόλων κα- B

dei cultores imperatorem obtestati sunt ne a Turcis homines qui eundem deum colant quem nos veneraremur, abduci ullo modo pateretur, ne religionem abiurare coacti deum contra eos a quibus dediti essent instigarent; sed Blachis in Romanorum servitia distributis Persae, qui eos cepissent, aliis largitionibus placarentur. verum ille plane renuit; et castris ad Prosacum positis statim oppugnationem tentare instituit. ac Romani opera edebant praemio et admiratione digna, spem omnem alacritate superantes. nam alii clipeis et strictis ensibus muniti, alii arcus et sagittas gestantes in arduos castelli tumulos arrepebant, et moenium defensores facti propiores impetebant. denique post fatigationem et caedem multam barbaros munitione recens portis obducta depulerunt. erant etiam qui per praecipites tramites funibus sese attollentes, et in rupibus instar caprearum haesitantes, moenia transcendere et in ipsam arcem evadere niterentur. sed cum propugnatoribus profligatis et in castellum compulsis se rem salutarem et pulcherrimam confecisse putarent, tum demum laboris sui vanitatem intellexerunt. nam cum ones ad moenia diruenda postu-

θαίρεσιν οὐδένα εἶχον τὸ αἰτηθὲν ὅπλον προσάγοντα. ἐπιμένοντες δὲ καὶ οὕτω τῷ μόχθῳ καὶ κατὰ τῶν ἐπὶ τῶν βασιλικῶν ὅπλων ἀγανακτοῦντες, χερσί τε καὶ ξίφεσιν ὡς ἀμάλαις χρώμενοι, τοὺς λίθους ἀπέσπων τῆς ἁρμογῆς καὶ τὰ θωράκια καθῄρουν ἀναθορνύμενοι. σχολαίτερον δὲ τοῦ ἔργου προβαίνοντος, καὶ αὐτῶν προσπασχόντων κακῶς ἐκ τῶν ἐπικειμένων ἄνωθεν ἀντιπάλων, ὀψὲ καὶ βραδέως ὁ τοῖς ὅπλοις ἐφεστὼς θλαδίας ἀφίκετο, σκαπάνας κομίζων εἰς ἕνα ὁρμαθὸν διὰ μηρίνθου συμβεβλημένας. δέον οὖν αὐτίκα καταποντισθῆναι τὸν ἐπίρρητον, ἢ γοῦν δυσφόρως καὶ χαλεπῶς τὸν
C κρατοῦντα ὑπενεγκεῖν τὸ πραχθὲν εἰς βραχεῖαν ἀνάψυξιν τῶν μάχῃ καὶ δίψει καὶ πνίγει κακουχουμένων διὰ τὸν ἐξ ἡλίου καύσωνα, ὁ δὲ μόνῃ ἐπιπλήξει, καὶ ταύτῃ ἀκκισμῷ κατεχούσῃ, καὶ τῇ περιψοφήσει τῶν χειλέων τὸν ἀγανακτοῦντα ὑποκρινάμενος κατέβαλεν οὕτω τὰ τῶν γενναίων ἐκείνων ἀνδρῶν φρονήματα. ἐπὶ δὲ τούτῳ καὶ κλίμακας αἰτησάμενοι, ὅπως δι' αὐτῶν ἐς τὰ ἄνω γένωνται τῶν τειχῶν, οὐδὲ τούτων αὐτίκα ηὐμοίρησαν. ὅθεν μὴ ἐπ' ἀνηνύτοις εἰσέτι μογεῖν ἀνεχόμενοι μετέβησαν ἐκεῖθεν οὐχ ἑκοντί. ἐκ τοῦ ἀναμφιλέκτου δ' ἄν, ὡς οἱ τειχομαχούμενοι Βλάχοι διετείνοντο ὕστερον, ἑάλω τὸ φρούριον. καὶ ὁ Χρύσος συνείληπτο καὶ
D Ῥωμαίοις εὔφημον τὸ ἔργον τόδε γεγένητο καὶ πολλῶν ἐσέπειτα

19. ἐκ τοῦ] ἔλεγον δὲ καὶ διεβεβαιοῦντο μετὰ ὅρκου οἱ στρατιῶται ὅτι εἰ ἐξ ἑτοίμου εἴχομεν τὰ πρὸς τὸν χαλασμὸν τοῦ τείχους ἐπιτήδεια ὅπλα, καὶ ἐδίδοντο ἡμῖν κατὰ τὸν καιρὸν ὃν αὐτὰ ἐζητοῦμεν, καὶ τὸ κάστρον κρατηθῆναι ἔμελλε καὶ ὁ χρύσος αὐτός. B.

lassent, nemo fuit qui ea instrumenta suppeditaret. caeterum nihilominus in opere perseverantes fabrum praefecto succensebant, et manibus ac gladiis pro ligonibus usi saxa e compagibus eruebant, et pinnas assiliendo revellebant. sed cum res tardius procederet et ipsi ex superiore loco male tractarentur, vix tandem armamentario praefectus spado ligones in unum fascem colligatos attulit. cum autem homo execrandus statim submergendus fuisset aut saltem graviter obiurgandus, ut milites pugna labore et aestu ex ardore solis afflicti nonnihil recrearentur, imperator prope invito similis, murmure labiorum duntaxat simulata iracundia, animos fortium illorum virorum deiecit. deinde scalae etiam ad summa moenia conscendenda flagitantibus vix tandem datae sunt, itaque inani labore se conficere nolentes non sponte inde recesserunt. alioqui castellum, ut Blachi obsessi postmodum affirmarunt, citra controversiam expugnatum et Chrysus ipse captus esset, et Romani magnam laudem consecuti mul-

ναμάτων ἀναίρεσις, εἰ τὰ πρὸς τὴν καθαίρεσιν τοῦ τείχους ὄργανα προητοίμαστο καὶ κατὰ καιρὸν αἰτουμένοις παρείχετο. νῦν δὲ ἡ τῶν καθηκόντων ἀμέλεια ἢ καὶ θεὸς αὐτὸς (ἀλλ' ἡμῖν ἱλήκοι θεός, εἰ ἐμπλήκτως τοῖς αὐτοῦ ἐπιβάλλομεν κρίμασι) μὴ ἐν τοῖς τότε ἀνθρώποις ἐπευδοκῶν προσέστη τοῖς ἀγωνίσμασι. καὶ κατ' ἐκείνην μὲν τὴν ἡμέραν οὕτω Ῥωμαῖοι διημιλλήθησάν τε καὶ διελύθησαν, τὴν δ' ἐπιοῦσαν αὖθις πρὸς δευτέραν ἐξῄεσαν συμπλοκήν, εὗρον δὲ μετὰ φρονήματος καὶ κόμπου τὸ ἀνθιστάμενον ἁμιλλώμενον διὰ τὰ συνενεχθέντα χθιζά. ἀλλὰ καὶ τὰ πετροβόλα μηχανήματα οἷς ἐχρῶντο οἱ βάρβαροι ἀνῄρουν οὐχὶ βραχεῖς, ἐπιτυχῶς καὶ ἀφ' ὕψους τοὺς λίθους διακοντίζοντες· ἦν γὰρ καὶ ὁ ταῖς τῶν πετρῶν ἀφέσεσιν ἐφεστὼς καὶ τὸν λύγον περιάγων καὶ τὴν σφενδόνην διατιθεὶς ἐν μηχανουργοῖς ἄριστος, Ῥωμαίοις μὲν ἐπὶ μισθῷ τὰ πρῶτα ὑπηρετούμενος, τότε δὲ πρὸς Χρύσον ἀπονοστήσας ἐκ τοῦ μὴ ἔχειν τὸν μισθὸν χορηγούμενον. P. 328
οὐ μόνον δὲ οἱ ἐξ ἀφετηρίων ἀποσφενδονούμενοι σφαιρωτοὶ V. 270
λίθοι κακῶς ἐτίθουν τὸ στράτευμα, ἀλλὰ καὶ οἱ κατὰ πρανοῦς ἐπικυλιόμενοι ἄνωθεν. ἐν πολλοῖς δὲ καὶ τὰ μὴ ἐφικνούμενα σωμάτων ἐκ τῶν μηχανῶν χερμάδια εἰς θάνατον κατῆγον οἷς προσεπέλαζον· ταῖς γὰρ ἀνεστηκυίαις πέτραις προσαρασσόμενα, εἶτα τῇ τοῦ ἀφεικότος βέλους σφοδρότητι πρὸς πλεῖστα διαιρούμενα τμήματα, τῇδέ τε κἀκεῖσε διακρι-

10. *τὰ πετροβόλα] τὰ χαλαστάρια* B. 12. *ἦν γὰρ] ἦν δὲ παρ' ἐκείνοις καὶ ὁ ἄριστος καὶ πρῶτος τῶν τεχνιτῶν βάλλων εἰς τὴν σφενδόνην καὶ ῥίπτων αὐτάς, ὃς τὰ μὲν πρῶτα ὑπὸ τοῖς ῥωμαίοις ἦν, ὑπηρετῶν τῇ βασιλείᾳ μετὰ ῥόγας, τότε δὲ τῆς ῥόγας αὐτοῦ κρατηθείσης πρὸς τὸν χρύσον ἀπῆλθεν.* B. 21. *ταῖς γὰρ ἐρριζωμέναις πέτραις κρούοντες* B.

tis postea laboribus caruissent, si instrumenta ad diruendum murum idonea statim in promptu fuissent. nunc vel officii neglectus vel deus ipse (is vero veniam concedat in sua iudicia temere inquirenti) iis hominibus offensus illis conatibus obstitit. ac eo die Romani sic a pugna discesserunt; qua postridie renovata, barbaros fortiter et insolenter ob hesternum casum pugnantes repererunt; nec pauci ex nostris tormentorum saxis icti, ex superiore loco solerter emissis, ceciderunt. nam qui eas machinas instruebat, solertissimus artifex, principio Romanis mercede inservierat, tum vero ob non solutum stipendium ad Chrysum defecerat. neque vero globis duntaxat machinarum, sed saxis etiam superne devolutis nostri affligebantur. ea quoque saxa quae primo impetu corpora non attingebant, cum eminentibus rupibus allisa in plurima frusta dissilirent, huc atque illuc

δὸν σκεδαννύμενα θανατηφόρον ἦσαν κακόν. καὶ νυκτὸς δὲ λάθρᾳ τοῦ ἐρύματος ἐξιόντες οἱ βάρβαροι τάς τε μηχανὰς διέλυσαν ἃς ἐπὶ τῶν ἐκεῖσε γηλόφων διέστησαν Ῥωμαῖοι, καὶ B τὸ νυκτοφυλακοῦν διαθροήσαντες στράτευμα τῇ τοῦ πρωτοβεστιαρίου Ἰωάννου σκηνῇ φεῦγον ἐπικατέλαβον, ὡς καὶ τοῦτον θορυβηθέντα ἐξαναστῆναί τε αὐτίκα τοῦ λέχους, ὡς εἶχε καταδαρθάνων, καὶ δρασμῷ χρήσασθαι ὠρακιῶντα καὶ ὑπὸ δέους βαλλόμενον. ἀμέλει καὶ τὰ ἐν τῇ σκηνῇ διελόμενοι, ἐν οἷς ἦν καὶ τὰ βατράχεια τὸ χρῶμα πέδιλα τοῦ πρωτοβεστιαρίου, ὅλην ἐκείνην τὴν νύκτα ἐν μωκείᾳ καὶ γέλωτι τὰ Ῥωμαίων ἐτίθεσαν πράγματα. ἔτι δὲ καὶ οἴνων δοχεῖα τυμπανοειδῆ ἐκ λύγων διάκενα διαχαλῶντες ἄνωθεν ἐξίστων τῷ δούπῳ τὸ στράτευμα, μὴ εἰδὸς ὡς ἐν σκότει τὸ γινόμενον. ταύτῃ τοι καὶ βασιλεὺς τὰ κατὰ σκοπὸν οὐχ ὁρῶν περαινόμενα, ἄλλως τε μηδὲ χρονοτριβεῖν ἐκεῖσε προθέμενος, C ἐς ξυμβάσεις τρέπεται. τοῦ τε οὖν Προσάκου καὶ τῆς Στρουμίτζης καὶ τῶν χωρῶν τῶν πέριξ Χρύσῳ ἐξίσταται, καὶ μίαν τῶν ἐκ τοῦ γένους συνευνάσαι οἱ συντίθεται, μὴ γυναικὸς σπανίζοντι. ἀμέλει καὶ εἰσιὼν τὸ Βυζάντιον τὴν τοῦ πρωτοστράτορος θυγατέρα τοῦ συνοικοῦντος ἀπέζευξε, καὶ τῷ Χρύσῳ ταύτην ἐκπέπομφε, νυμφαγωγὸν ἀναδείξας τὸν σεβαστὸν Κωνσταντῖνον τὸν Ῥαδεινόν. τελεσθέντων δὲ τῶν νυμφευμάτων καὶ τῆς γαμηλίου δαιτὸς παρατεθείσης ὁ μὲν Χρύ-

2. μηχανὰς] τετραραίας B. 8. παλλόμενον? 9. τὰ βατράχεια] τὰ πράσινα ὑποδήματα B. 11. καὶ οἴνων] καὶ βουτζία εὔκαιρα ἔχοντα πέτρας ἐντός, ἅτινα καὶ κυλιόμενα ἐποιοῦσαν κτύπον μέγαν B. 21. νυμφαγωγὸν] σύντεκνον καὶ πληρωτὴν τοῦ γάμου B.

sparsa letiferum erant malum. et barbari noctu clam e castello egressi machinas quas Romani in tumulis disposuerant deiecerunt, et excubias territas ad protovestiarii Iohannis tentorium fugientes adepti sunt, ut is quoque somno excussus statim e lecto surgeret et trepidus fugeret. praedam in eius tabernaculo repertam partiti, in qua etiam virides calcei erant, insigne dignitatis illius, per totam eam noctem res Romanas deriserunt et subsannarunt. praeterea vacua dolia demittendo sonitu exercitum, quid rei esset in tenebris ignarum, perterrefaciebant. quamobrem cum imperator non succedere institutum suum cerneret, nec alioqui diutius immorari constituisset, per pactiones Chryso Strummiza et Prosaco finitimisque regionibus cedit; et quamvis uxorem habenti quandam ex cogitatione sua se ei desponsurum promittit. Byzantium reversus protostratoris filiam a marito seiunctam Chryso per Sebastum Constantinum Rhadaenum mit-

σος ἐζωροπότει καὶ ἤσθιε τονθευόμενος, ἡ δὲ γυνὴ τὸν τῶν νεονύμφων αἰδουμένη νόμον ἐγκρατῶς εἶχε τῶν παρακειμένων. ἐπιταχθεῖσα δὲ πρὸς τοῦ νυμφίου συμμετέχειν ἐκείνῳ βρώσεως, καὶ μὴ οὕτως αὐτίκα δράσασα, εἰς ὀργὴν ἐκμαίνει τὸν ἄνδρα. ἀμέλει καὶ πλεῖστα καθ' ἑαυτὸν ὑποβαρβαρίσας D
καὶ θυμομαχήσας ἐφ' ἱκανόν, μεθ' ὑπεροψίας ἔφησεν ὕστερον „μὴ φάγῃς μηδὲ πίῃς" Ἑλληνίδι φωνῇ.

2. Τότε δὲ καὶ Σκυθῶν ἔφοδος ἐγεγένητο μεγίστη τε καὶ φρικαλεωτέρα τῶν πρότερον· εἰς γὰρ τέσσαρα διαιρεθέντες στρατεύματα πᾶσαν τὴν Μακεδονίαν ἐπῆλθον, ἀποπειρασάμενοι καὶ πόλεων εὐτειχίστων καὶ κορυφὰς ἐπανιόντες ὀρῶν, ὥστε καὶ τὸ Γάνος τὸ ὄρος διερευνησάμενοι πολλὰ φροντιστήρια ἐσκύλευσαν καὶ μονάζοντας ἀπέκτειναν, μηδενὸς εἰς χεῖρας τολμῶντος ἰέναι διὰ δέος, ὅτι καὶ μετ' ἐλιτόνων ἔμελλον πρὸς πλείους συμπλέκεσθαι καὶ διὰ τοῦτο τῆς ἑαυτῶν ἐρᾶν οὐκ εἶχον ψυχῆς.

Ὁ δὲ βασιλεὺς τὰς θυγατέρας ὁρῶν ὀργάδας ἐπὶ λέχος δεύτερον διὰ νεότητα καὶ ὥραν σώματος ἐφιλοκρίνει τοὺς συζευξομένους αὖθις αὐταῖς, ὥστε καὶ δυνάστας ἐθνῶν ἐξελέγετο τὰ τῶν Χριστιανῶν πρεσβεύοντας, οὓς ὡς πολεμίους P. 329
ἦν δεδιώς. ὀψὲ δὲ τῶν τοιούτων σκεμμάτων μεθαρμοσθεὶς Ῥωμαίοις αὐτὰς ἐκδέδωκε, τὴν μὲν Εἰρήνην συνάψας τῷ Παλαιολόγῳ Ἀλεξίῳ, διαζευχθέντι πρότερον ἥτις ἐννόμως αὐτῷ

10. πᾶσαν τὴν θράκην ἐκούρσευον B. 19. ὥστε καὶ] καὶ ἐξελέγετο καὶ ἀπὸ τῶν πλησιαζόντων αὐτῷ ἐχθρῶν χριστιανῶν ὄντων, καὶ ὡς πολεμίους φοβούμενος B.

tit. sponsalibus peractis et nuptiali convivio apposito Chrysus strenue potabat et comedebat. uxor vero eius observata sponsarum consuetudine nihil attingebat; et cum ab eo vesci iussa non statim paruisset, ira inflammatus, et multis barbaris verbis per indignationem obmurmuratis, tandem per contemptum Graece dixit „neque edito neque bibito."

2. Sub id tempus Scythae in quatuor exercitus divisi, maiori cum terrore quam unquam prius per totam Macedoniam sunt grassati. munitis etiam urbibus, et montium cacuminibus tentatis, ac monte Gano pervestigato, multa monasteria diripuerunt, multos monachos occiderunt, nemine cum eis ob multitudinem eorum ex periculi metu congredi auso.

Imperator vero cum filias suas ob adolescentiam et formam secundas nuptias desiderare videret, delectu ex omnibus gentibus Christianis habito, eos principes praeferebat caeteris, quos metuebat. tandem eo consilio omisso, Romanis eas despondit, Irenen

ἐγινώσκετο, ὥρας εὖ ἔχουσα, τὴν δ' Ἄνναν συνηρμόκει Θεο-
δώρῳ τῷ Λάσκαρι, νεανίᾳ τολμητίᾳ καὶ ῥαγδαίῳ πρὸς ἔργα
πολέμια. ἦν δ' ὁ καιρὸς καθ' ὃν αὗται γεγόνασιν αἱ συνά-
φειαι ἐγγίζοντος ἀπόκρεω, καὶ τοῦ κηδεστοῦ βασιλέως οὔκουν
ἐνσχολάσαι προθεμένου σταδιοδρόμων ἵππων ἁμίλλαις οἱ νεό-
γαμοι ἐνέκειντο θέατρα ἐξαιτούμενοι. διαιτῶν τοίνυν καὶ
βασιλεὺς ἑαυτῷ τε καὶ τοῖς γαμβροῖς εἰς μὲν τὸ μέγα πα-
B λάτιον οὐδαμῶς ἀφικνεῖται, οὔτε μὴν ἐσάνεισι τὸ στάδιον,
V. 271 τὰς δ' ἱππικὰς ἄντυγας εἰς τὸ ἐν Βλαχέρναις ἀρχεῖον προσ-
τάξας ἐνεχθῆναι σχεδιάζει θέατρον. καὶ δὴ αἱ μὲν φῦσαι
τῶν πολυαύλων ὀργάνων κατὰ τὴν ἐκεῖσε αὔλειον εἰς καμ-
πτῆρας διατίθενται, εἰς δ' ἔπαρχον τῆς βασιλίδος διασχημα-
τίζεται πόλεως ἐκτομίας τις· τὸ δὲ ὄνομα ἑκὼν παραδρά-
μοιμι, πλούτῳ δ' ἦν οὗτος περιβριθὴς καὶ μεγίστας χειρί-
ζων ἀρχὰς καὶ τοῖς περὶ τὴν βασίλειον γραφὴν ἐγγραφόμε-
νος. πλεγμάτιον τοίνυν ἐκ λύγων συγκείμενον, ὃ φησιν ἡ
δημώδης φράσις ὄνον ξύλινον, χρυσοπάστῳ σάγῳ ζῳωτῷ ἐς
τὸ διαμπερὲς σκεπόμενον διαζωσάμενος τὸ σχέδιον ἐκεῖνο
θέατρον εἴσεισιν, ὅτε καὶ ἦν τὸν αὐτὸν ὁρᾶν καὶ ὡς ἀναβά-
C την μεγαλοπρεπευόμενον καὶ ἵππον εὐήνια προποδίζοντά τε
καὶ χρεμετίζοντα· μετὰ βραχὺ δὲ κατὰ τοὺς πάλαι τῶν

4. οὔκουν] μὴ θέλοντος ξυλοκονταρέας καὶ ἐγκράσματα ἀλύγων ποιῆσαι B. 14. μεγίστας] μεγάλας δουλείας τῆς βασιλείας ποιῶν B. 16. πλεγμάτιον] ξυλάλογον ποιήσας καὶ χρυσοῦν βλατὶν σκεπάσας αὐτὸ καὶ σαγίσας ὡς δῆθεν καβαλλικεύων αὐτὸ εἰσῆλθε μέσον τοῦ θεάτρου, καὶ ποτὲ μὲν ὡς ἄλογον ἐφαίνετο καμαρώνων καὶ τὸν σφόνδυλον ὑψῶν καὶ τζατζαρίζων καὶ χρεμετίζων, ποτὲ δὲ ὡς καβαλλάριος ἐπὶ ἀλόγου δῆθεν ἐγκαθήμενος καὶ ἐπαιρόμενος. μετ' ὀλίγον δὲ πεζεύσας ἀπὸ τοῦ ἀλόγου ὑποκρίνεται μετὰ ἄλλων ἑτέρας ἀνθρώπων μορφάς. B.

Alexio Palaeologo, cum prius formosam uxorem repudiasset, Annam Theodoro Lascari, adolescenti animoso et bellicosissimo. eae nuptiae cum sub Carnisprivium celebrarentur, imperator, qui decursionibus equestribus supersedere statuisset, sponsis spectacula flagitantibus, ut et sibi ipsi et generis morem gereret, nec magnum palatium nec stadium ingreditur, sed curribus in Blachernium palatium translatis theatrum ex tempore instituit, organa musica in fornicibus disponit; praefecti urbis personam sustinere iubet eunuchum quendam opulentissimum et summis magistratibus praeditum, ordinis senatorii hominem, cuius nomini libens parco. is fabrica, quae vulgo ligneus asinus dicitur, aurato et picturato sago tecta succinctus, extemporale illud theatrum ingreditur. ac eundem equitem magnifice incedentem, et equum leniter progredientem et hinnientem: et paulo post, ut

δραμάτων ὑποκριτάς, τὸν ἔφιππον ἀποδυσάμενος ἔπαρχον, τὸν μαπτάριον ὑποκρίνεται. ἦσαν δὲ οἱ τὸν γυμνικὸν ὑποδύντες ἀγῶνα οὐ τῶν ἐξ ἀγορᾶς καὶ τριόδων τινές, ἀλλ' εὐπατρίδαι νεανίαι, πρώτως φύοντες γένειον. ἐθεᾶτο γοῦν τὰ σκηνικὰ ταῦτα καὶ γελοιώδη ὁ βασιλεὺς παίγνια καὶ ἡ βασιλίς, καὶ ὅσον αὐτοῖς τοῦ γένους ἐπίσημον, καὶ τὸ τῆς θεραπείας εὐπαρρησίαστον· τοῖς δ' ἄλλοις πᾶσα πάροδος ἀποκέκλειστο. ἐπεὶ δ' ἐφειστήκει καιρὸς καθ' ὃν ἔδει πρὸς τὸ τρέχειν γενέσθαι τοὺς τὸν γυμνικὸν ἐκτελέσοντας δίαυλον, ὁ μὲν ὑποδὺς τὸν μα- D
πτάριον εὐνοῦχος, τὴν μέσην εἰληχὼς χώραν, εἰς βραχίονας τὰς χεῖρας ἀνεκάλυψε, καὶ τὸ καταντυγῶδες ἀργύρεον κάλυμμα τῇ κεφαλῇ περιθέμενος ἐκ τρίτου ἦν εἰς τὸ θέειν τὰ μειράκια προσκαλούμενος· ἑστὼς δέ τις ἐξόπισθεν νεανίσκος εὐγενής, ἀξιώματι λαμπρῷ περίβλεπτος, τοσαυτάκις αὐτὸν τοῦ ποδὸς τῷ πλατεῖ κατὰ τῶν πυγῶν καὶ τῶν γλουτῶν ἔτυπτεν εἰς ἐξάκουστον ὁσάκις συνιζάνων ἐκεῖνος τὸ τοῦ δρόμου παρείχετο σύνθημα.

Ἀλλ' οὔπω ἀκριβῶς διηγώνιστο τὰ μειρακιώδη ταῦτα ἀθύρματα, καὶ οἰκτρά τις ἀγγελία τὴν ἐν τούτοις διαδέχεται χαρμονήν. ἡ δὲ ἦν τὸ ἀποστῆναι τὸν Ἰβαγκὸν κατὰ τὴν Φι-

4. τὸν μαπτ.] τὸ A. 7. ἐπεὶ δὲ καὶ δραμεῖν ἔμελλον τὰ μαμουκώδη ἐκεῖνα πρόσωπα μετὰ τοῦ ἀλόγου δῆθεν τοῦ ἐπάρχου, ὁ μὲν ὑποκρινόμενος τοῦτο εὐνοῦχος ἐξεγύμνωσε τὰς χεῖρας αὐτοῦ μέχρι καὶ τοῦ βραχίονος, καὶ ἐν τῇ κεφαλῇ φορέσας ἐξ ἀργύρου φόρεμα ἔκραζε τοὺς νέους εἰς τὸν δρόμον τοῦ μέσου ἐλθεῖν καμαρώνων δῆθεν καὶ καταπαίζειν καὶ καταπηδᾶν τὸ τούτου ἄλογον. ἱστάμενος δέ τις ὄπισθεν αὐτοῦ νέος εὐγενής, ὀφφίκιον ἔχων λαμπρόν, καθ' ἓν τοῦ τοιούτου εὐνούχου ἀναπήδημα ἔκρουεν αὐτὸν κλωτζάτον, ὡς τὸν αὐτοῦ κτύπον ἀκούεσθαι B.

olim histriones, deposita equestris praefecti persona peditem videres. qui gymnicos ludos frequentabant, non erant homines circumforanei et triviales, sed adolescentes patricii. ea scenica et ridicula ludicra imperator et imperatrix spectabant, una cum cognatis et honoratioribus ministris, caeteris omnibus exclusis. cum tempus currendi adesset, eunuchus medium locum tenens, manibus ad cubitos usque nudatis et argenteo tegmine capiti imposito, tertium adolescentes ad cursum provocabat. quidam vero nobilis et dignitate illustri praeditus adolescens a tergo eius stans toties eius nates et femora planta pedis clare feriebat, quoties ille considens certaminis signum dabat.

His puerilibus ludicris nondum absolutis, tristis nuntius Philippopoli affertur de Ibanci defectione. is, ut supra diximus, nomine

λιπποῦπολιν. ὡς γὰρ ἄνωθεν εἴπομεν, μετονομασθεὶς ὅδε Ἀλέξιος καὶ γαμβρὸς ἐπὶ θυγατρόπαιδι τῷ βασιλεῖ γεγονὼς καὶ πλείω τῆς δεούσης ἰσχὺν ὑποδὺς στρατηγεῖν εἰλήφει καὶ προεστάναι τῶν τάξεων αἳ τοῖς ὁμογενέσιν αὐτῷ Βλάχοις περὶ τὴν Φιλίππου ἐπαρχίαν ἀντεκάθηντό τε καὶ ἀντεφέροντο. ἀμέλει καὶ τῶν ἐκεῖσε χωρῶν φανεὶς κύριος ἦγε τὰ πάντα καὶ P. 330 ἔφερεν, ἀγχίστροφος ὢν καὶ δραστήριος πρὸς ἅπαν σύνδρομον ἔργον τοῖς ἐν τῇ ψυχῇ κινήμασι καὶ βουλεύμασιν. ἤσκει τε εἰς πόλεμον τὸ περὶ αὐτὸν ὁμόφυλον, δωρεαῖς πιαίνων καὶ ὁπλισμοῖς κρατύνων, καὶ φρουρίων ἐρυμνῶν ἀνεγέρσεσι τὰ ἀντικείμενα τῷ Αἵμῳ ὄρει ἀνεπιχείρητα μικροῦ ἀπειργάζετο. βασιλεὺς μὲν οὖν ἐπῄνει ταῦτα μανθάνων, καὶ δι' αἰδοῦς ἐτίθετο τὸν Ἀλέξιον, πολλαῖς καὶ μεγίσταις φιλοφρονούμενος αὐτὸν δωρεαῖς, ἡδέως τε αὐτοῦ ἤκουε, καὶ τὰς αἰτήσεις ἐξεπέραινε ῥᾴδιον· τὰ δὲ παρὰ τοῦ ἀνδρὸς τοῦδε πραττόμενα οἱ περὶ τὸν βασιλέα συνορῶντες καλὰ μὲν ἀπεφαίνοντο εἶναι καὶ ἀρίστως ἔλεγον δρᾶσθαι, οὐ μὴν καὶ ἐπὶ B σκοπῷ Ῥωμαίοις συνοίσοντι παρὰ τοῦ πράττοντος γίνεσθαι, ὅθεν καὶ παραινέσεις εἰσῆγον τῷ αὐτοκράτορι παραλῦσαι τῆς ἀρχῆς τὸν Ἀλέξιον· μηδὲ γὰρ ἂν βάρβαρον ἄνδρα μὴ πάνυ πρώην Ῥωμαίοις πολεμιώτατον οὕτως ἐξαίφνης μεταπεσεῖν εἰς ἀκραιφνῆ διάθεσιν, ὡς φρούρια καὶ πολίχνια ἐν τοῖς ἐπικαίροις νεουργεῖν τόποις, καὶ αὔξειν μὲν τὸ ἐμφύλιον αὐτῷ στράτευμα, σμικρύνειν δὲ τὸ Ῥωμαϊκόν, ἐνιαχοῦ δὲ καὶ

21. πολ. δὲ οὕτως A.

in Alexium mutato desponsaque nepte imperatoris, maiorem quam decuit auctoritatem nactus, et cohortibus praefectus quae Blachis ad Philippopolim resistebant, ac potius locorum illorum dominus factus, suo arbitratu regebat omnia: quippe homo callidus et strenuus, facile quicquid animo destinasset exequens, et populares suos liberalibus donativis saginatos et armis exornatos ad bellum exercebat, et loca monti Haemo finitima firmis castellis ita muniebat ut ea hostes pene invadere non auderent. quamobrem ab imperatore collaudabatur et magni fiebat, multis amplissimis muneribus afficiebatur, audiebatur libenter; quicquid petiisset, impetrabat. aulici vero illius viri facta egregia et utilia quidem esse fatebantur, sed ad Romanorum utilitatem referri negabant, et imperatori auctores erant adimendi ei magistratus. neque enim hominem barbarum, paulo ante Romanis infestissimum, usque adeo subito mutatum esse tantamque benevolentiam concepisse, ut nova castella et oppida in opportunis locis extruat. neque eum cohortes Blachicas aucturum, Ro-

ὡς δύσχρηστον τιθέναι ἀπόμαχον, εἰ μή τις αὐτῷ ἐνέσπαρτο τοῦ τυραννίδι ἐπιβαλεῖν ἔννοια, ἐπεὶ μηδὲ τά τινων ἐννοήματα φιλεῖν πως ἀεὶ ὡς διὰ πυλῶν τῶν χειλέων ἐκφέρεσθαι, ἀλλ' ἐν πολλοῖς καὶ φωνῆς τρανότερον ὅσα κέκευθεν ἡ φρὴν αἱ πράξεις ἐξαγγέλλουσιν. οὐ μὴν εἰς ὦτα ἀκουόντων τὰς C σοφὰς ταύτας γνώμας ἦσαν εἰσηγούμενοι· ὁ γὰρ βασιλεὺς V. 272 ἐχέγγυον εἰς πίστιν τὸν τῆς υἱωνοῦ Θεοδώρας γάμον καθάπαξ ὑπολαβὼν οὐκ ἔστιν ὅπως ἐπὶ πᾶσιν οὐκ ἀσφαλῆ τὰ πρὸς εὔνοιαν καὶ ἀπρόσκοπον ἔκρινε τὸν Ἀλέξιον, καταγοητευούσης, οἶμαι, κἀνταῦθα τῆς κακοποιοῦ δυνάμεως τῆς ἐπὶ τὸ κάταντες ἀεὶ φερούσης τὰ Ῥωμαίων πράγματα. ὡς δ' οὐ πολλῷ ὕστερον εἰς ἔργον τὸ δέος ἐκβέβηκεν, ἐννεὸς ἐπὶ τοῖς ἠκουσμένοις φανεὶς καὶ μὴ ἔχων ὅ τι καὶ δράσειεν ὡς ἀναρραγέντος τοῦδε τοῦ κακοῦ ἀπροόπτως, καὶ ὅτι τῶν στρατευμάτων ἐργώδης ἡ συλλογή, ἐν μὲν τῷ παραυτίκα στέλλει πρὸς τὸν ἀποστάτην θλαδίαν τινά, τὰ πρῶτα τῶν ᾠκειωμένων αὐτῷ, ὑπομνήσοντα τοῦτον τῶν συνθηκῶν καὶ τοῦ μηδέν τι πώποτε παθεῖν ἀηδὲς καὶ τῶν ἐλπίδων ἀνάξιον, ἐξ D ὅτου περ αὐτῷ προσκεχώρηκεν· οὐδὲ γὰρ ἦν ἀπογινώσκων τὴν τῆς γνώμης μεταβολήν. τοῦ δὲ κατόπιν καὶ οἱ νεόνυμφοι γαμβροὶ τοῦ βασιλέως συνεξῄεσαν μετά γε παντὸς τοῦ οἰκιδίου καὶ συγγενικοῦ πληρώματος καὶ τῶν τότε ἐν τῷ παλατίῳ εὑρισκομένων στρατιωτῶν. ἀφιγμένος οὖν ὁ βέβη-

7. Θεοδώρας om A. 17. τοῦτον] τούτῳ APW. 20. οἱ νεόνυμφοι] οἱ δύο νεόγαμβροι μετὰ τῶν ἀνθρώπων αὐτῶν καὶ τῶν συγγενῶν B.

manis immunitis et aliquando etiam ut inutilibus a pugna remotis, nisi regni cupiditatem aleret. neque enim omnes ea quae pectore lateant ore proferre, sed ipsa facta saepenumero omni oratione evidentius animi recessus declarare. verum surdo, ut aiunt, fabula narrabatur. imperator enim neptis suae Theodorae sponsalia satis firmos quasi obsides ratus, de integritate et fide Alexii nihil dubitabat, malefica quapiam vi hic quoque, opinor, mentis oculos perstringente, cuius impulsu res Romana subinde ruit in peius. ut autem non multo post id evenit quod timebatur, eo inopinato nuntio attonitus et inops consilii ob difficilem exercitus convocationem, ad seditiosum statim spadonem quendam ei familiarissimum mittit, qui pacta et conventa in memoriam ei revocaret; et quod nihil unquam ex eo tempore, quo se ad Romanos contulisset, molesti aut spei suae contrarium perpessus esset, admoneret. neque enim de eo reconciliando desperabat. eum non longo intervallo secuti sunt imperatoris generi cum omni ministrorum et cognatorum comitatu, et militibus qui in

λος εὐνοῦχος πρὸς τὸν Ἀλέξιον οὐ μόνον οὐδέν τι πρὸς τὴν ὑπόθεσιν ὡράθη διαπραξάμενος, ἀλλὰ καὶ προσεπέρρωσε μᾶλλον ἐκεῖνον τῇ ἰδίᾳ παρουσίᾳ εἰς ἔργον τὸ ἐν χερσί, προσημάνας προπετῶς τὴν κατ' αὐτοῦ τῶν Ῥωμαίων ὅσον οὐδέπω ἐπέλευσιν, καὶ διδάξας οἷς εἴρηκεν ἀποσχέσθαι μὲν τῶν πεδινῶν ἐπιλαβέσθαι δὲ τῶν ὀρεινῶν, ὡς ἐκείνων σώζειν P. 331 ἐχόντων καὶ τὸ συναποστὰν ὁμόφωνον σύνταγμα. οἱ δὲ περὶ τοὺς γαμβροὺς τοῦ βασιλέως καὶ τὸν πρωτοστράτορα Μανουὴλ τὸν Καμύτζην ἐδίωξαν μὲν ὀπίσω ἱκανῶς τοῦ ἀντάρτου, καὶ ἦν θαυμαστή τις ἡ προθυμία, καὶ πρωταγωνιστεῖν ἠβούλοντο ξύμπαντες· τὴν δὲ τοῦ καιροῦ ῥοπὴν ἀπολέσαντες ἐκ τοῦ διασοβηθῆναι τὸ θήραμα τὸ πρόθυμον ἔσχασαν. τοῖς μὲν οὖν θερμοτέροις ἐπιδιώκειν καὶ οὕτως ἐδόκει καὶ διερευνᾶν ἐφέποντας οἷ τῶν ὀρέων ἀπέδρα Ἀλέξιος, τοῖς δ' ἀσφαλεστέροις οὐχ ἥνδανεν ὅλως ἀετοῦ ἴχνη ἀναδιφᾶν ἐπιποτωμένου πάγοις καὶ ὄρεσιν, ἢ μεταλλᾶν ἑρπυσμὸν ὄφεως ἐπὶ πέτραν, ἢ ἐκμαίνειν εἰς συμπλοκὴν χαυλιόδοντα μονιόν, πολ-
B λάκις τὸ στῆθος εἰς διακόντισιν προτεινάμενον, περιελθεῖν δὲ τὰ πολίχνια ὁπόσα ἐπεσκεύασε καὶ ἀνήγειρεν ὁ Ἀλέξιος, καὶ θέσθαι βασιλεῖ κατήκοα. καὶ τῆς βουλῆς ταύτης ὡς ἀμείνονος κυρωθείσης, τῷ φρουρίῳ προσβάλλουσιν ὃ καθ' ὑπόβασιν ὄρους ἐν τόπῳ Κριτζιμῷ λεγομένῳ ἐδομήσατο ὁ Ἀλέξιος· ἔνθα καὶ πλεῖστα Ῥωμαῖοι καμόντες καὶ φιλοκινδύνως ἁμιλλησάμενοι οὐκ ὀλίγους ἄνδρας ἀγαθοὺς ἐν τῷ προσάγειν τῷ

2. προσεπέρρωσε] ἐπτέρωσεν B.

palatio reperiebantur. sed nefarius spado ad eum profectus non modo nihil quod ad rem pertineret confecit, sed illum sua praesentia ut coepta persequeretur magis confirmavit, cum temere effutiisset Romanos e vestigio illum invasuros, et monuisset ut campestribus relictis salutem suam et popularium montanis locis committeret. imperatoris vero generi, et protostrator Manuel Camyzes, alacritate et aemulatione mira seditiosum persecuti sunt: sed opportunitate ob praedam fugatam amissa contentionem remiserunt. ac fervidioribus sic etiam placebat persequi et in montibus quaerere Alexium. prudentiores autem haud consultum putabant aquilae vestigia montes et rupes pervolantis consectari, aut volumina serpentis in saxo quaeritare, aut aprum dentatum, qui pectus saepe iaculis obtulerit, ad pugnam irritare, sed oppida ab Alexio instaurata et condita recuperanda esse. quo consilio praelato, castellum in loco qui Crizimus dicitur ab Alexio conditum oppugnant; ubi Romani promptissime et fortissime dimicantes multos viros fortes, quorum princeps erat

τείχει τὰς κλίμακας ἀπεβάλοντο, ὧν ἦν πρώτιστος ὁ Παλαιολόγος Γεώργιος. ὀψὲ δ' ἐξελόντες τὸ ἔρυμα καὶ ἕτερ' ἄττα πολίσματα ἐπὶ τῷδε συναφῶς ἐχειρώσαντο, πῇ μὲν μεθ' αἵματος πῇ δὲ καὶ ὁμολογίᾳ τούτων περιγινόμενοι. εὐμήχα- C
νος δ' ὢν ὁ Ἀλέξιος καὶ πολύχους εἰς ἔργα πολέμια ἄλλα τε πλεῖστα κατὰ Ῥωμαίων ἔργα στρατηγικῆς ἐμπειρίας πλήρη μαχόμενος ἐπεδείξατο, τέλος δὲ καὶ τοιόνδε τι μεθόδευμα μετιὼν δεξιώτατον σὺν ἄλλοις καὶ αὐτὸν χειροῦται τὸν πρωτοστράτορα. πλεῖστα γὰρ ὅσα τῶν ἀγελαίων ζώων ἐκ τῶν περιωπῶν εἰς τὸ πεδίον μετενεγκών, καὶ ταῦτα παραδοὺς τοῖς πρὸς Αἷμον ἀπάξουσιν ὁμοφύλων μετὰ καὶ μοίρας αἰχμαλώτων Ῥωμαίων ὥσπερ τι σκύλων ἀφαίρεμα καὶ ἀπόδασμα τῷ ἄρχοντι τῆς Ζαγορᾶς Ἰωάννῃ καὶ χάριν ἀμοιβὸν ἐσόμενα, ἐπεὶ καὶ σπεισάμενος Ἀλεξίῳ ἐκεῖνος κατὰ Ῥωμαίων διαθήκας διέθετο, λόγους ἔκτοτε ὑποκαθίσας Ῥωμαίους ἐπά- D
λευεν· ᾔδει γὰρ τὸ ἁρπαλέον καὶ πρὸς κέρδος ἑτοιμοτρεχὲς τῶν ἀνδρῶν, οὐδ' ἦν ἀγνοῶν ὡς αὐτίκα μάλα τοῖς φιλικοῖς ἐντυχόντες σφίσι Ῥωμαῖοι τὰς ψυχὰς αὐτοῖς ἐπιθήσουσιν ἐξερεθισθέντες καὶ μηδένα λόγον τῆς σωτηρίας ἑαυτῶν V. 273
ποιησάμενοι. ἀμέλει καὶ εἶχε Ῥωμαίους μετὰ μικρὸν αὐτὰ ταῦτα διαπραττομένους, ὁπόσα κατὰ νοῦν ἔστρεφεν. ὁ γὰρ δὴ πρωτοστράτωρ ἅμα τῇ ἀκοῇ τῶν δρωμένων ἐκ τοῦ Βατραχοκάστρου ἀπάρας, ἔνθα ἦν σκηνούμενος, ἐς τὸ Βακτού-

9. ἐκ τῶν] ἀπὸ τῶν βουνῶν εἰς τὸν κάμπον B. 13. χάριν κανισκίου· ἤδη γὰρ καὶ μετ' ἐκείνου εἰρήνην ἐποίησε B. 16. ᾔδει] ἐγίνωσκε γὰρ τὸ τῶν ῥωμαίων πρὸς κέρδος λείξουρον, καὶ ὡς ἑτοίμως ἔχουσι τὰς ψυχὰς αὐτῶν θεῖναι ὑπὲρ τοῦ κέρδους αὐτῶν, μηδένα λόγον ὑπὲρ τῆς σωτηρίας αὐτῶν ποιουμένων B.

Georgius Palaeologus, in admovendis ad moenia scalis amiserunt. tandem eo expugnato etiam alia quaedam oppida deinceps, alia sanguine profuso, alia deditione ceperunt. Alexius vero, callidus homo et solers bellator, cum alia plurima disciplinae militaris specimina edidit, tum uno insigni stratagemate praeter alios ipsum etiam protostratorem cepit. nam plurimis pecoribus ex speculis in campos agi et a popularibus suis cum parte Romanorum captivorum in Haemum ad Iohannem Zagorae principem, cum quo foedus contra Romanos inierat, muneris loco et grati animi ergo duci iussis, Romanis insidias collocavit, rapacitatis et avaritiae eorum et caritatis erga suos non ignarus, prae quibus etiam salutem suam neglecturi essent. nec eum fefellit opinio. nam paulo post protostrator eo nuntio accepto, Batrachocastro, ubi stativa habebat, Bactunium profectus, specie rei decipitur; et

νιον παραγίνεται. καὶ τῷ φαινομένῳ προσσχὼν, τὸ δὲ σόφισμα τοῦ Ἀλεξίου παραδραμὼν, τὰ ἐν ὀφθαλμοῖς σκυλεύειν διαφῆκε τὸ στράτευμα, καὶ αὐτὸς δὲ μὴ πολεμιστηρίῳ ἵππῳ ἔποχος ὢν ἐπιπαριὼν ἐθεᾶτο τὰ δρώμενα. ἐκ δὲ τούτου τῶν λόχων ἀνακύψας Ἀλέξιος ὡς ἐς κύκλωμα τὸν πρωτοστράτορα περίεισι, καὶ ὥσπερ ἀμφίβληστρον ἢ σαγήνην τὸ περὶ αὐτὸν ἐκτείνας ὁπλιτικὸν αὐτόν τε τὸν στρατηγοῦντα ζωγρεῖ, καὶ τὸ κλέμμα τοῦτο τοῦ ἀποστάτου καὶ διανόημα τὴν μὲν περιλειφθεῖσαν Ῥωμαϊκὴν στρατιὰν ἐξενεύρισε τέλεον, τὸ δ' ἀποστατικὸν ἐπτέρωσε πλήρωμα. οὐκέτι γοῦν
P. 332 a ηὐχρήστουν Ῥωμαῖοι ἢ γοῦν ἀπεθάρρουν ἀντιμέτωποι στῆναι τῷ Ἀλεξίῳ κατὰ μάχην ἀγχώμαλοι, ἀλλὰ περὶ τὴν Φιλίππου στρεφόμενοι ἠγάπων εἰ μὴ καὶ ταύτην Ἀλέξιος παραστήσεται. ὁ δὲ πρὸς τὸ δοκοῦν οἱ καταστησάμενος ὅσα πολισμάτιά τε καὶ φρούρια εἰς ὀρῶν ὑπερβολὰς ἀνεστήκασιν ἀντικαθιστάμενα τῷ Αἵμῳ καὶ ἀνυψούμενα καὶ ταῖς δυσχωρίαις οὐχ ἧττον φιλοτιμούμενα, οὐδὲ τὰ λοιπὰ μένειν ἐπὶ χώρας κατέλιπεν, ἀλλ' ἣν ὑπονοθεύων καὶ ἀφιστῶν Ῥωμαίων ὁπόσα ἐς Μοσυνόπολιν ἐπινένευκε, μέχρι καὶ Ξανθείας αὐτῆς, καὶ πρὸς ὄρος τὸ Πάγγαιον καὶ ἐπ' Ἄβδηρα παρατεί-
B νουσιν. ἀμέλει καὶ τὸ θέμα τῶν Σμολένων ὑπεποιήσατο, καὶ τὰ ὅμορα ἐπενέμετο κατὰ καχέκτημα διαδόσιμον, ἐξαιρῶν μὲν Ῥωμαίους καὶ ἀναιρῶν, ἀπ' ἐνίων δὲ καὶ λύτρα διαλαμ-

3. μὴ πολεμ.] καβαλλάριος ἱστάμενος μετὰ ἀλόγου ἱπποσελιακοῦ B. 9. περιληφθεῖσαν A. 21. ἀμέλει] ἀλλὰ καὶ τὸ θέμα τὸ τῶν σμολαίνων προσέπεσε καὶ ὑπετάγη αὐτῷ, καὶ τὰ περὶ τὸν πάνακα ποταμὸν πλησιάζοντα χωρία B.

non animadverso Alexii dolo exercitum ea quae in conspectu essent spoliare iubet; ipse equo non bellico circumiens spectatorem agit. tum vero ex insidiis consurgit Alexius, et protostratorem circumventum diductaque suorum acie veluti cassibus implicatum capit. hoc desertoris commento Romani exercitus reliquiae prorsus enervatae, ii vero qui defecerant elati sunt. neque iam Romani eum lacessere aut aggredi audebant, sed iuxta Philippopolim versantes bene secum agi putabant, si urbem defendere possent. verum Alexius, oppidis et castellis, quae in altissimis montibus e regione Haemi sita nec minus impeditis itineribus firma sunt, suo arbitratu constitutis, ne caetera quidem tranquilla esse patiebatur: sed quae ad Mosynopolim vergunt, ad ipsam usque Xanthiam Pangaeum montem et Abdera, ad defectionem impulit, et Smolenorum provinciam subegit; et finitima quaeque instar contagiosi morbi depascendo, Romanos partim cepit partim sustulit partim pretio dimisit, populares vero suos ultro deditionem

βάνων, τοὺς δ' ὁμογενεῖς ἐκείνῳ προστιθεμένους ἑκόντας ἐπὶ τῶν σφετέρων μένειν ἐῶν. καὶ ὁ μὲν ἐμπλατυνόμενος ἦν ἀεὶ καὶ μακρῷ κακίων τῶν πρώην ἀποστατῶν, ἐπεὶ καὶ ἐς τοσοῦτον ὠμότητος ἤλασεν, ἣν ἀνδρείαν οἱ πλεῖστοι τῶν βαρβάρων οἴονται, ὡς τοὺς ἐν πολέμῳ ζωγρουμένους Ῥωμαίους κατὰ πότον μελιστὶ διαιρεῖν· ὁ δὲ βασιλεύς, ὡς ἐξ ὧν ἔδρασε καθυπέδειξεν, ἕρμαιόν τε καὶ χάριεν καὶ κάλλιστον τύχης βράβευμα τὴν τοῦ πρωτοστράτορος ψήθη κατάσχεσιν, ὅθεν τῇ τοῦ ἀνδρὸς ἐπιθέμενος οὐσίᾳ ῥυηφενεῖ καὶ τυραννι- C κῇ ἄντικρυς οὔσῃ, καὶ μηδὲν αὐτῆς ἀναψηλάφητον ἢ ἀνεξερεύνητον ἀφεικώς, ἀλλὰ καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν ὑποδικάσας φρουρᾷ, οὐκ οἶδ' ὅ τι δοκοῦν, ἔαρος ὑπολήγοντος ἔξεισι καὶ ἄπεισιν εἰς τὰ Κύψελλα, (3) ὅτε καὶ τὸ περὶ τῶν θείων μυστηρίων ἀνακαλυφθὲν δόγμα πρὸς μοίρας ἐναντίας διέστησε τὸ Χριστώνυμον, καὶ λαμπρῶς ἐπ' ἀγορᾶς καὶ τριόδων παρὰ τοῦ βουλομένου παντὸς τὰ τιμῆς ὁμοῦ καὶ σιγῆς ἐξεφαυλίζετο ἄξια.

Μετὰ γὰρ τὸν Ξιφιλῖνον Γεώργιον, ὃς ἔτεσιν ἑπτὰ τὴν ἐκκλησίαν διεκυβέρνησεν, ὁ Καματηρὸς Ἰωάννης τὸν πατριαρχικὸν εἴληφε θρόνον, καὶ δέον τὸ ἐπὶ τῶν ἡμερῶν τοῦ Ξι- D φιλίνου ἀρξάμενον ὑπολαλεῖσθαι καὶ φύεσθαι δόγμα πρόρριζον ἐκτεμεῖν, καὶ καθυποβαλεῖν μὲν ἀναθέματι τὸν γεννήτορα τούτου τὸν ψευδομόναχον Σικιδίτην ὡς αἱρεσιάρχην καὶ νέα ἐπεισάγοντα δόγματα, τοὺς δ' ἄλλους ἐχεμυθεῖν πεῖσαι

3. καὶ μακρῷ] χείρων καὶ χειρότερος ἀεί ποτε γενόμενος B. 9. ὅθεν] πλουσίῳ γὰρ σφόδρα ὄντι καὶ πάνυ πολλὰ πλουσίῳ πᾶσαν τὴν αὐτοῦ περιουσίαν ἀπῆρε καὶ εἰσῆξεν εἰς τὸ βεστιάριον αὐτοῦ B. 10. ἀψηλάφητον?

facientes pristinas tenere sedes passus est. cum ita subinde cresceret, prioribus hostibus longe peior et crudelior extitit, ad eam progressus immanitatem quam barbari plerique fortitudinem esse censent, ut in compotationibus captivos Romanos membratim dissecaret. imperator vero factis suis declarans se protostratoris captivitatem singulare fortunae beneficium iudicare, maximis eius opibus ac plane regiis direptis, nec ulla re impervestigata relicta, uxore quoque et filio eius in vincula nescio quo consilio coniectis, Cypsella proficiscitur. (3) Eodem tempore dogma de divinis mysteriis vulgatum Christianos in factiones divisit. unde in foro et triviis res veneratione et silentio dignae palam contemnebantur.

Nam Georgio Xiphilino septem annis patriarchatu functo Iohannes Camaterus successit: qui, cum opinio quae sub Xiphilino pullularat radicitus extirpanda, et eius auctor nequam monachus Sicidites ut haeresiarcha et homo seditiosus condemnandus fuisset, et

τῷ καθ' ἑαυτὸν ὑποδείγματι ὡς εἶναι τὸ μυστήριον αὖθις μυστήριον, ὁ δὲ λογικαῖς μεθόδοις ἐχρῆτο καὶ ἀποδείξεσι βιαζομέναις εἰς συγκατάθεσιν τὸν προσδιαλεγόμενον ἐν τοῖς ὑπερφυέσι καὶ μηδὲν ἔξωθεν δεομένοις ἐπιτεχνήσεως. ἀλλὰ καὶ κατηχητηρίους συντιθεὶς λόγους τὴν τῶν νηστίμων ἡμερῶν προθεσμίαν ἐφεστάναι προκαταγγέλλοντας καὶ τοὺς τῆς πνευματικῆς πάλης πρὸς τὸν ἀγῶνα ὑπαλείφοντας, ἐν μέρει μνημονεύων τοῦ δόγματος ὅπως μὲν συνεζητήθη καὶ τίνα τὰ
V. 274 παρ' αὐτοῦ δοξαζόμενα καὶ ἅ φασιν οἱ ἀντίφρονες σιωπῇ παρεδίδου, οἶμαι τὴν ἀντίφασιν ἐκτρεπόμενος, τῷ δὲ δόγματι ἐπιβάλλων ἐκεῖνα κινῶν κατηγόρευεν ἃ οὐδ' ὅλως ᾔδεσαν
P. 333 οὐδ' ἐβάλλοντό ποτε κατὰ νοῦν. ζητήσεως γὰρ οὔσης εἰ τὸ μεταλαμβανόμενον ἅγιον σῶμα Χριστοῦ ἄφθαρτόν ἐστιν ὁποῖον μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν, εἴτε μὴν φθαρτὸν ὡς πρὸ τοῦ πάθους, οἱ μὲν ἔλεγον ἄφθαρτον· ὁμολογίαν γάρ τινα καὶ ἀνάμνησιν εἶναι τοῦ τεθνάναι τε καὶ ἀναβιῶναι δι' ἡμᾶς τὸν κύριον τὴν τῶν θείων μυστηρίων μετάληψιν κατὰ τὸν μέγαν ἐν θεολογίᾳ Κύριλλον, καὶ ὡς ὃ ἂν μέρος τις δέξηται, ἐκεῖνον εἰσδέχεται ὅλον τὸν παρὰ τοῦ Θωμᾶ ψηλαφηθέντα, καὶ ὡς ἐσθίεται μετὰ τὴν ἀνάστασιν, καθὼς ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης φησὶ πρὸς τοῖς ἑπομένοις „ὢ τοῦ θαύματος, ὁ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος ἐν ταῖς χερσὶν

4. μηδὲν] τῆς pr A. 13. ἅγιον om A. 14. μὴν om A. 15. πάθους καὶ τῶν μὲν λεγόντων ἄφθ. A. 21. πρὸς — μετατίθησιν om A.

aliis ipsius exemplo silentium imperandum, ut mysterium rursus esset mysterium, disserendi arte et demonstrationibus quae adversarium convincerent, in rebus ingenii humani captum excedentibus et artificium respuentibus usus est. composuit etiam orationes catechisticas, quae dies ieiuniorum instare nuntiarent et sacerdotes ad id certamen exhortarentur, mentione inserta, quem dogma illud ortum habuerit, et quid sentiat ipse exposuit: adversariorum vero dicta plane silentio dissimulavit, refutationem, ut arbitror, veritus; et ea tribuit adversariis, quae neque norant neque unquam cogitarant. nam cum in quaestione esset, utrum Christi corpus post perceptionem incorruptibile sit, quale post passionem et resurrectionem fuit, an corruptibile ut ante passionem, alii dicebant incorruptibile esse, quod divinorum mysteriorum perceptio confessio sit et recordatio quaedam domini propter nos mortui et redivivi, ut magnus in theologia Cyrillus tradit; et quam partem quisque acceperit, ab eo Christum integrum percipi, quem Thomas palparit, eumque comedi post resurrectionem, ut Iohannes Chrysostomus affirmat his verbis „o rem miram! qui ad dexteram patris sedet, in nostrum peccatorum

ἡμῶν εὑρίσκεται τῶν ἁμαρτωλῶν" καὶ πάλιν „ἤνθησεν ἐν τῷ B νόμῳ, ηὔξησεν ἐν τοῖς προφήταις, ὡρίμασεν ἐν τῷ σταυρῷ, ἐσθίεται μετὰ τὴν ἀνάστασιν," καὶ πρὸς τούτοις ὡς οὐδὲν ἕτερόν ἐστιν ἢ ἐκεῖνο τὸ σῶμα ὃ τοῦ θανάτου κρεῖττον ἐδείχθη καὶ τῆς ζωῆς ἡμῶν προκατήρξατο· καθάπερ γὰρ μικρὰ ζύμη, καθά φησιν ὁ ἀπόστολος, ὅλον τὸ φύραμα πρὸς ἑαυτὴν ἐξομοιοῖ καὶ ἰσάζει, οὕτω καὶ τὸ ἀθανατισθὲν τοῦ θεοῦ σῶμα ἐν τῷ ἡμετέρῳ γενόμενον σώματι ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ καὶ μετατίθησιν. κἀκεῖνα δὲ τῶν τοῦ λαμπτῆρος τῆς ἐκκλησίας Εὐτυχίου προυτίθεσαν ἕτεροι „ὅλον οὖν τὸ ἅπαν ἅγιον σῶμα καὶ τὸ τίμιον αἷμα τοῦ κυρίου δέχεται, κἂν εἰ μέρος τις τούτων δέξηται· μερίζεται γὰρ ἀμερίστως ἐν ἅπασι διὰ τὴν ἔμμιξιν, καθὼς καὶ σφραγὶς μία πάντα τὰ ἐκτυπώματα αὐτῆς καὶ μορφώματα τοῖς μεταλαμβάνουσιν με- C ταδίδωσι, καὶ μία μένει καὶ μετὰ τὴν μετάδοσιν, οὐκ ἐλαττουμένη οὐδὲ ἀλλοιουμένη πρὸς τὰ μετέχοντα, κἂν ᾖ τῷ ἀριθμῷ πλείονα, ἢ καὶ ὡς μία φωνὴ ὑπό τινος προαχθεῖσα καὶ εἰς ἀέρα χεθεῖσα καὶ ἐν τῷ ταύτην προεμένῳ πᾶσα μένει καὶ ἐν τῷ ἀέρι γενομένη πᾶσα ταῖς ἀκοαῖς πάντων ἐναπετέθη, οὐδενὸς πλεῖον ἢ ἔλαττον τοῦ ἑτέρου τῶν ἀκουσάντων εἰσδεχομένου, ἀλλ' ὅλη ἐστὶν ἀδιαίρετος καὶ ὁλόκληρος παρὰ πᾶσι, κἂν μύριοι τὸν ἀριθμὸν ἢ πλείους ὦσιν οἱ ἀκούσαντες, καίτοι σῶμα ὑπάρχουσα· οὐδὲν

6. φύραμα ζυμοῖ καὶ πρὸς B. 9. δὲ om A, qui mox ἐκκλ. προτιθέντων εὐτυχίου ὅλον. 11. τίμιον om A. 14. αὐτῆς om A. μεταμορφώματα B.

manibus invenitur." item „quamcumque partem acceperis, eum totum accipis, qui a Thoma palpatus est." et alio loco „floruit in lege, adolevit in prophetis, maturuit in cruce, comeditur post resurrectionem. neque enim aliud id est quod percipitur, quam illud corpus quod morte superata vitam nostram auspicatum est. ut enim parum fermenti totam massam fermentat et sibi similem et parem reddit, ut divus apostolus ait, sic immortale factum dei corpus, cum in nostro corpore fuerit, totum id in se commutat et transfert." ait et magnus Eutychius „totum igitur sacrosanctum corpus et pretiosum sanguinem domini accipit homo, etsi horum partem aliquam acceperit. distribuitur enim impartibiliter inter omnes propter immistionem, ut unum sigillum omnes imagines suas omni materiae imprimit, et unum manet etiam post communicationem, non imminutum, non mutatum in ea in quibus expressum est, etsi numero plura fuerint. eodemque modo una vox ab aliquo prolata et in aëre diffusa, in eo qui eam protulit tota manet, et per aërem tota ad aures perfertur, nemine auditorum plus minusve percipiente: sed

γὰρ ἕτερόν ἐστι φωνὴ ἢ πεπληγμένος ἀήρ. μηδεὶς οὖν ἀμ-
φιβολίαν ἐχέτω, τὸ ἄφθαρτον μετὰ τὴν μυστικὴν ἱερουργίαν
D καὶ τὴν ἁγίαν ἀνάστασιν καὶ ἀθάνατον καὶ ἅγιον καὶ ζωο-
ποιὸν αἷμα τοῦ κυρίου τοῖς ἀντιτύποις ἐντιθέμενον διὰ τῶν
ἱερουργιῶν ἔλαττον τῶν προειρημένων παραδειγμάτων τὰς
οἰκείας ἐναπομόργνυσθαι δυνάμεις, ἀλλ' ὅλον ἐν ὅλοις εὑρί-
σκεσθαι." τῶν μὲν οὖν ταῦτα προτεινομένων καὶ μαρτυρίας
ἄλλας πλείστας τῆς ἐκκλησίας παραγαγόντων, τῶν δ' ἐκ τῆς
ἑτέρας μοίρας φασκόντων μὴ καὶ ἀναστάσεως ὁμολογίαν ἀλλὰ
θυσίαν μόνην τὸ τελούμενον εἶναι, καὶ φθαρτὸν ἀκολούθως
καὶ ἄνουν καὶ ἄψυχον, μηδὲ τὸν τῇ μεταλήψει προσιόντα
P. 334 ὅλον δέχεσθαι τὸν Χριστὸν ἀλλὰ μέρος ὡς καὶ μέρους με-
ταλαμβάνοντα· εἰ γὰρ ἦν, φησίν, ἄφθαρτον καὶ ἔννουν καὶ
ἔμψυχον, ἦν ἂν καὶ ἀναφὲς καὶ ἀθέατον, μηδ' ὀδοῦσι κει-
V. 275 ρόμενον καὶ ἀληθόμενον, οὐδ' ἐν τῷ τμᾶσθαι μηδαμῶς δυσ-
B χεραῖνον καὶ ὀδυνώμενον, ἐπεὶ καὶ ὡς εἰ τῶν σωμάτων

3. θάνατον A. 6. οἰκείας ἐλαττοῦν ἐναπορμίγνυσθαι δ. B. 8. nonne παραγόντων? 9. μοίρας] μερίδος A, μέρους B. 16. ἐπεὶ καὶ — ἄφθαρτον] καὶ ταῦτα τοῦ ἱερέως λέγοντος „ὁ τρώγων με ζήσεται, καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα," ὥσπερ εἰ μετὰ κακῆς γνώμης καὶ θελήσεως αὐτῶν τὴν τοσαύτην ἄγνοιαν καὶ ἀνοησίαν ἐσχηματίζοντο ἔχειν. τὸ γὰρ βάπτισμα κατὰ τὸ ὁμοίωμα τοῦ θανάτου τοῦ Χριστοῦ ταφή ἐστι καὶ ἀνάδυσις· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνεδύθημεν καὶ εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν, καὶ ἡ τῶν θείων μυστηρίων ἐνέργεια διὰ τῆς πρὸς θεὸν εὐχῆς καὶ ἐπικλήσεως καὶ ἐπελεύσεως τῆς ἐξ οὐρανοῦ χάριτος πληροῦται. ταῦτα γοῦν καὶ ἄλλα λέγουσιν οἱ πονηροί, ἅτινα ὡς σαθρὰ καὶ ἀνωφελῆ κατελείψαμεν B.

tota est indivisibilis, et integra apud omnes, etsi decem millium numerum superent, quamvis ipsa corpus sit. neque enim aliud est vox quam aër ictus. nemo igitur ambigat, quin incorruptibile post mysticum sacrificium et sanctam et immortalem resurrectionem, sanctum et vivificum corpus, sanguis domini per sacrificia in res solidas impositus, minus quam commemorata exempla suas vires minuens exprimatur et totus in totis inveniatur." his ergo haec proferentibus et alia plurima testimonia Ecclesiae citantibus, alteros, id mysterium non confessionem resurrectionis sed sacrificium duntaxat esse, et proinde corruptibile et amens et inanime; ad quod qui accedat, non totum Christum percipiat sed partem, ut qui partem percipiat. nam si, inquiunt, incorruptibile esset, etiam mentis esset particeps et animatum et intactile et inaspectabile, neque dentibus scinderetur et moleretur, et in scindendo nullam omnino molestiam aut dolorem sentiret; praesertim cum sacrificus dicat „qui comedit me, vivet. quemadmodum misit me pater, et ego vivo propter patrem." quasi cum malo animo et voluntate tantam ignorantiam et

ἠθέτουν τὴν ἔγερσιν, ἔφασκον (εἰδεῖεν δ' ἂν ὅπως) ἐκεῖνοι ἔσεσθαι ἡμᾶς μετὰ τὴν ἀνάστασιν ἀφῇ τε καὶ ὁράσει καὶ σχήματι ἀνθρωπείῳ μηδαμῶς ὑποπίπτοντας, ἀλλὰ κατὰ τὰς ἀσωμάτους σκιὰς ἀΐσσοντας, καὶ τὴν διὰ τῶν κεκλεισμένων θυρῶν εἰσέλευσιν τοῦ Κυρίου μὴ θαῦμα ἰσχυρίζοντες εἶναι ἀλλά τι προσφυὲς καὶ ἐφάρμοστον τοῖς ἀνισταμένοις ἐκ τῶν νεκρῶν. τοιοῦτον μὲν ἐν τοῖς γραφεῖσιν οὐκ ἔστιν ὅλως εὑρεῖν οὐδέν, καταδρομὴν δέ τινα ἀναιδῆ καὶ ἀμάρτυρον, ὡς C οἷα λεγόντων ἐξ αὐτῆς ἑνώσεως καὶ κοινωνίας ἠφθαρτίσθαι τὸν κυριακὸν ἄνθρωπον καὶ ἀναλυθῆναι εἰς θεότητα, καὶ διὰ τοῦτο φρονοῦντες καὶ τὸ μεταλαμβανόμενον ἄφθαρτον.

4. Ὅ γε μὴν βασιλεὺς τῇ κρείττονι προστεθεὶς δόξῃ παραγέγονεν, ὡς ἔφην, ἐς τὰ Κύψελλα, καὶ τὸ συναθροισθὲν ἐκεῖσε παρειληφὼς στράτευμα ἄνεισιν εἰς Ὀρεστιάδα· ἔνθα καὶ πλείους ἡμέρας ἐνδιατρίψας ἀμηχανίᾳ συνείληπτο, τὸν μὲν ἀποστάτην ὁρῶν δυσμαχώτατον, τὸ δὲ συνὸν αὐτῷ στράτευμα ἀντιθέτως ἔχον καὶ πρὸς μόνην ἐκθνῆσκον τὴν τῶν D πολεμίων ἐνήχησιν. τοῖς δὲ πολλοῖς καὶ ὄνομα χλευαζόμενον ἡ βασίλειος ἐκεῖθεν ἀνελογίζετο ἄφιξις, καὶ μηδέν τι μηδαμῶς χρηστὸν κατορθοῦν, καὶ τὸν βάρβαρον μᾶλλον ἐν τῷ ὑποστέλλεσθαι προσεπαίρεσθαι εἰς θρασύτητα. ὁ δὲ τὸ τῶν

11. an φρονούντων? 14. Ὀρεστιάδα] ἀδριανούπολιν B.

vecordiam se coniunxisse faterentur. nam baptisma pro similitudine mortis Christi sepultura est et emersio. quicunque enim in Christum baptizati sumus, Christum induimus, et in mortem eius baptizati sumus, et divinorum mysteriorum efficacia per dei adorationem et invocationem et gratiae coelestis descensum perficitur. quae et id genus alia improborum hominum verba ut impia et inutilia praetermisimus. nam quasi etiam corporum resuscitationem improbarent, dicebant: ipsi viderint quomodo nos post resurrectionem nullo modo sub tactum aspectum et figuram humanam casuros affirment, sed ut in corporeas umbras volaturos. et Christi per clausam ianuam ingressum non miraculum, sed aliquid cognatum et aptum resurgentibus ex mortuis esse asserebant. ac tale nihil prorsus in scriptis reperitur, sed exagitatio impudens et nullis nixa testibus, quasi dicerent ex ipsa unione et communione dominicum hominem incorruptibilem esse factum, proptereaque sentirent id etiam quod perciperetur esse incorruptibile.

4. Caeterum imperator meliori assensus parti, Cypsella, ut dixi, profectus, et congregato ibi exercitu assumpto, Orestiadem contendit; ibique complures dies commoratus inops consilii erat. nam desertorem oppugnatu difficillimum esse; exercitum suum timore perculsum audita duntaxat voce hostium emori; imperatoria adventum vulgo ridiculum haberi, nomen sine ullis successibus, et barbari

πραγμάτων ἄγριον καὶ δυσπρόσιτον, ὡς ὁ καιρὸς ἐδίδου,
περιποππύζων καὶ διασαίνων παντοῖος ἐγίνετο, καὶ τοὺς αὐτῷ
οἰκειοτάτους βιβλιοφόρους ἔπεμπε πρὸς Ἀλέξιον, ἐς συμβά-
σεις αὐτὸν προσκαλούμενος. ἔστι δ' ὅπῃ καὶ δολοφονίας
ἐφρόντιζε, μηδὲ τοῦ πολέμου παντάπασι μεθιστάμενος. τῷ
τοι καὶ τὴν στρατιὰν ἀναλαβὼν καὶ τὴν Φιλίππου ἐπαρχίαν
καταλαβὼν περὶ τὸ φρούριον στρατοπεδεύεται τὸν Στενίμα-
χον, εἰς ὃ πολλοὶ τῶν βαρβάρων συνέφυγον, καὶ διειληφὼς
P. 335 αὐτὸ τοῖς στρατεύμασιν ἐξεῖλέ τε κατὰ κράτος καὶ τοὺς ἐνόν-
τας ἠνδραποδίσατο. ὁ δ' ἀποστάτης ἀφικέσθαι μὲν ἐς βασι-
λέα οὐδαμῶς συνετίθετο, ἀλλὰ μηδ' ἂν ἑτέρως σπείσασθαι
διετείνετο, εἰ μὴ χωρῶν καὶ πόλεων ἐγγράφως αὐτῷ βασι-
λεὺς ὑπεκσταίη ὁπόσας αὐτὸς ἐχειρώσατο, καὶ τὴν κατηγ-
γυημένην αὐτῷ Θεοδώραν μετὰ τῶν ἀρχικῶν ἐκπέμψειε πα-
ρασήμων. τῶν δὲ συνθηκῶν ὀψέ ποτε καὶ τῶν ὅρκων τετε-
λεσμένων ὡς ᾐτεῖτο Ἀλέξιος, βουλεύεταί τι μετέπειτα βασι-
λεὺς οὐκ οἶδα εἰ στρατηγοῖς καὶ βασιλεῦσιν ἁρμόδιον, οὓς
παρὰ πᾶν ἕτερον τὸ εὐορκεῖν τιθέναι περὶ πλείστου χρεών·
τὸν γὰρ Ἀλέξιον θείων ἀκουσμάτων ἀποσταλαῖς διὰ τοῦ πρε-
B σβυτέρου τῶν γαμβρῶν Ἀλεξίου πρὸς ἑαυτὸν ἐφελκυσάμενος
μετὰ τὴν τῶν ὅρκων, ὡς ἔφην, συμπλήρωσιν, συνειληφὼς

2. παντοῖος ἐγίνετο καὶ om. A. 9. τοὺς ἐνόντας] τοὺς τοπικοὺς ἐδέσμευσεν B. 19. τὸν γὰρ Ἀλέξιον] τὸν γὰρ ἰβαγγὸν μετὰ τὸ τοὺς ὅρκους συμπληρωθῆναι, πέμψας ὁ βασιλέα ἕνα τῶν ἱερέων αὐτοῦ μετὰ τοῦ θείου καὶ ἁγίου εὐαγγελίου ἀλλαγμένον ὡς ἵνα αὐτὸν φέρῃ πρὸς τὸ τὴν αὐτοῦ εὐλογηθῆναι ἐγγόνην, ἐλθόντα τὸν ἰβαγγὸν ἐκράτησε καὶ ἐν φυλακῇ ἔβαλε. B.

audaciam retro cedendo magis invalescere videbat. tamen temporum difficultates utcunque leniendo, Alexium per fidelissimos suos tabellarios ad pactiones invitat; aliquando etiam per dolum necem ei machinatur, neque a bello penitus recedit. itaque cum exercitu in Philippopolitanam provinciam profectus, circa Stenimachum castellum, quo multi barbari confugerant, castrametatur. quo legionibus circumdato et vi expugnato, captivos in servitutem redegit. desertor vero nec ipse ad imperatorem venire, nec aliter de pace quicquam audire voluit, nisi imperator dato diplomate urbibus et agris ei cederet quas ante occupasset, et desponsam Theodoram cum imperatoriis insignibus mitteret. pactionibus et iureiurando vix tandem de Alexii sententia confectis, imperator consilium init haud scio an ducibus et imperatoribus dignum, quibus iurisiurandi religionem caeteris rebus omnibus antiquiorem esse decet. nam Alexium sacrosancto evangelio misso per generum natu maiorem Alexium ad se

εἶχεν ἐν δεσμοῖς, τὴν „μετὰ ὁσίου ὅσιος ἔσῃ καὶ μετὰ στρεβλοῦ διαστρέψῃς" Δαβιδικὴν φωνὴν οὐχ ὡς ἐρρέθη ἐπενεγκών. κἀκ τοῦδε τῶν τε πόλεων καὶ φρουρίων ἀπονητὶ περιγίνεται ὧν ἦρχεν Ἀλέξιος, καὶ τὸν ἀδελφὸν αὐτοῦ Μῖτον φυγάδα τίθησι. καὶ τοιαῦτα δράσας ἐπάνεισιν ἐς τὸ Βυζάντιον.

Εὑρίσκει δὲ καὶ τὴν σύνευνον Εὐφροσύνην μὴ πάντῃ τὴν οἰκουρίαν ἀσπασαμένην, ἀλλὰ κατὰ στασιαστῶν καὶ δημοκόπων κἀκείνην ἀνδρισαμένην καὶ ὡς μίτον Πηνελόπειον V. 276 ἀναλύσασαν τὰ παρά τινος Κοντοστεφάνου ἐξυφανθέντα συστρέμματα. ἦν δ' ἂν οὐκ ἀσπούδαστα ταῦτα οὐδὲ τοῦ ἄγασθαι πόρρωθεν, ὡς ὑπὸ γυναικὸς κατορθούμενα, εἴπερ ᾔδεσαν μέτρα καὶ ὅροις ὑπήγοντο. C νῦν δ' τὸ ἄγαν τυφομανὲς καὶ πολυσπερχὲς τῆς δεσποίνης καὶ τὸ δοκοῦν ἴσως δεόντως ἀκριβωθῆναι ἠχρείου τε καὶ διέφθειρεν, ὡς νέφεσιν ἥλιος, τοῖς ἐπιγινομένοις ἀπευκταίοις ἀφαυρούμενα. τραπομένη γὰρ ἐς προγνώσεις τῶν γινομένων ἀρρητουργίαις καὶ μαντείαις προσέκειτο καὶ πολλὰ τῶν ἀθεμίτων εἰργάζετο, ὥστε καὶ τοῦ Καλυδωνίου συὸς τὸ ῥύγχος ἀπέτεμεν, ὃς ἐν τῷ ἱππικῷ χαλκοῦς ἱστάμενος φρίσσει τὴν λοφιὰν καὶ χωρεῖ χαυλιόδους πρὸς λέοντα, καὶ τὸν καλλίνικον Ἡρακλῆν τοῦ Λυσιμάχου ἔργων τὸ κάλλιστον ὄντα, χειρὶ βαλόντα τὴν κεφαλὴν τῆς λε-

1. τὴν — ἐπενεγκών om A. 16. quidni ἀφαυρούμενον? 21. τοῦ] τῶν Λυσίππου? 22. χειρὶ] τὴν αὐτοῦ κρατοῦντα κεφαλὴν καὶ τὰς τύχας κλαίοντα κατὰ τοῦ νώτου καὶ τῆς ῥάχης πολλαῖς μάστιξιν ἐμαστίγωσεν. B

pellectum, dato, ut dixi, utrinque iureiurando, in vincula coniicit, Davidica illa sententia „cum sancto sanctus et cum perverso perversus eris" abusus. inde urbibus et castellis citra laborem potitus, fratrem eius Mitum in exilium mittit.

His peractis Byzantium reversus, coniugem Euphrosynen non otiosam desedisse domi reperit, sed homines factiosos et peculatores viriliter ultam cuiusdam Contostephani conatus oppressisse, non contemnendum sane facinus, sed (ut mulieris) potius admiratione dignum, si is sexus intra certos quasi officii limites se cohibere sciret. nunc immodica superbia et curiositas praeceps et rei bene gestae opinio recte facta ut solem nubes obscurarunt. nam cum futura cognoscere vellet, in nefarias divinationes incumbebat et multa illicita peragebat. itaque aenei apri Calydonii rostrum praecidit, qui setis horrentibus et exertis dentibus leonem in Hippico invadit; et inclitum Herculem, pulcherrimum Lysimachi opus, qui leoninae pelli incumbens capite in manum inclinato suas fortunas deplorat,

οντῆς ὑπεστρωμένης κοφίνῳ καὶ τὰς ἰδίας τύχας ὀλοφυρόμε-
D νον, πολλαῖς κατὰ νώτου ξᾶναι διενοεῖτο. Ἡράκλεις τοῦ ἀτοπήματος, καὶ παπαὶ τῶν ἐπὶ σοὶ τολμωμένων, ἥρως ἄλκιμε καὶ μεγαλόθυμε. τίς σοι Εὐρυσθεὺς τοιοῦτον πώποτε προύθηκεν ἄεθλον; ἢ τίς Ὀμφάλη, ἐπίτριμμα ἐρώτων καὶ κακότεχνον γύναιον, οὕτω σοι ὑπερηφάνως προσενήνεκται; οὐ ταῦτα δὲ μόνον ἀναιδῶς διεπράττετο, ἀλλὰ καὶ ἄλλων ἀνδρεικέλων ἀφήρει μόρια, καὶ σφυρῶν καρατομαῖς ἐκαρατόμει ἕτερα. τὸ δὲ τῆς πόλεως πλῆθος ἐπὶ τούτοις τί μὲν δυσχεραῖνον ἀπρεπὲς οὐκ ἐφθέγγετο, ποίαις δ' οὐκ ἐπέπλυνε τὴν ταῦτα πράσσουσαν ὕβρεσιν; ἔνιοι δὲ τῶν ἀγοραίων καὶ τὰ μιμηλὰ τῶν πτηνῶν, καὶ ὅσα ἡ φύσις ἐστόμωσε πρὸς μουσουργίαν, ἀεὶ μίαν ὑποβάλλοντες μάθησιν, καὶ ταύτην
P. 336 κοινόλεκτον, ᾄδειν ἐπὶ στενωπῶν καὶ τριόδων „πολιτικὴ τὸ δίκαιον" ἐξεπαίδευσαν. ἡ δ' αὐτὴ καὶ δορὰν χρυσόπαστον ἐγχείριον ἔχουσα διεσχισμένην ἐς δάκτυλον, κυνητίναν εἶχεν ὄρνιθα, καὶ ἐξιοῦσα πρὸς θήραν ἐπέκλωζέ τε καὶ ἐπεθώϋζε, καὶ τοὺς περὶ τὴν θεραπείαν τούτων καὶ κομιδὴν ἱκανοὺς εἶχεν ἑφεπομένους.

Οὐ πολὺς δ' ὁ ἐν μέσῳ καιρός, καὶ Καϊχοσρόης ὁ τοῦ

7. ἀνεικέλλων APW: B ἄλλων στηλῶν ἱσταμένων τοὺς μὲν τοὺς ὄρχεις αὐτῶν ἔκοπτεν, ἄλλα δὲ μετὰ βαρέων κατὰ κεφαλῆς κρούων συνέτριβε. 11. ἔνιοι] τινὲς δὲ τῶν ἐν τῇ ἀγορᾷ καθημένων καὶ πωλία ἐχόντων ἐν τοῖς κλωβίοις κρεμάμενα καὶ μιμούμενα ἀνθρωπίνως λαλεῖν, ἐπαιδεύοντο παρ' αὐτῶν τὴν φωνὴν λέγειν ταύτην „πολιτικὴ τὸ δίκαιον." B. 15. ἡ αὐτὴ δὲ καὶ χειρόρτιον ἐφόρει χρυσοῦν καὶ ἱεράκιν ἐκράτει καὶ εἰς κυνήγιν ἐξήρχετο καὶ ἐφώναζε καὶ κατέλεγε τὰ ζαγάρια καὶ πολλοὺς εἶχε πετριταρίους καὶ ἱερακαρίους μετ' αὐτῆς κυνηγῶντας B. 16. κυνηγετίδα?

multis verberibus afficere instituit. o rem absurdam, o facinus, heros illustris et magnanime, contra te susceptum. quis unquam Eurystheus tale certamen tibi mandavit? quae Omphale, exercitata meretrix et malefica muliercula, tam superbe tecum egit? neque hac impudentia contenta, aliarum quoque statuarum partes aliquas mutilabat, nonnullis capita malleis contundebat. urbana vero multitudo, quibus obscoenis verbis abstinuit, quibus conviciis eam non proscidit? quidam etiam ex circumforaneis aves humanarum vocum imitatrices sedulo edocuerunt, ut in triviis et angiportis vulgari voce canerent, „Politica iustitiam." eadem aurata chirotheca accipitrem sustinebat, et in venatu canes inclamabat, cum magno venatorum et aucupum comitatu.

Non multo post Caichosroes Iconii satrapes imperatorem adit,

Ἰκονίου σατράπης ἀπαντᾷ πρὸς βασιλέα, κυρβασίαν ἐπὶ κεφαλῆς ἔχων καὶ στολὴν διηνθισμένην χρυσῷ ἀμπεχόμενος. ἀλλὰ μικρόν τι περὶ τοῦ γένους τοῦ Πέρσου τοῦδε τὸ λέγειν διαλαβὸν τῆς τῶν ἑξῆς ἱστορίας αὖθις ἅψοιτο. τῷ Ἰκονιεῖ Κλιτζασθλὰν, ὃς ἐν τοῖς ἄνω χρόνοις ἠδυνήθη τὰ μέγιστα κἀπὶ πολλοῖς ἀντετάξατο τῷ βασιλεῖ Μανουὴλ καὶ νίκαις διαπολεμῶν ἐστεφάνωται, πλείους γεγόνασιν υἱεῖς. B Ἀμάσειαν μὲν οὖν καὶ Ἄγκυραν καὶ Δορύλαιον καὶ πόλεις ἄλλας Ποντικὰς εὐδαίμονας τῷ Μασοὺτ ἀπεκλήρωσε, Μελιτηνὴν δὲ καὶ σὺν Καισαρείᾳ Κολώνειαν, ἣ νῦν Τάξαρα λέγεται, ὁ Κοππατῖνος διεῖπεν· Ἀμινσὸν δὲ καὶ Δόκειαν καὶ παράλους πόλεις ἑτέρας ὁ Ῥουκρατῖνος παρείληφεν εἰς ἀρχήν· Καϊχοσρόης δέ, οὗ πρὸ βραχέος ἐμνήσθημεν, ἡγεμόνευεν Ἰκονίου Λυκαονίας τε καὶ Παμφυλίας προΐστατο, καὶ ὅσα παρατείνει ἐς αὐτὸ Κοτυάειον. ὡς οὖν ὁ Κοππατῖνος τοῦ ζῆν παρελέλυτο, περὶ τῆς σατραπείας τοῦδε διαμιλλῶνται ὅ τε τῆς Δοκείας κρατῶν Ῥουκρατῖνος καὶ ὁ κατάρχων τῆς Ἀγκύρας Μασούτ. C ἅτερος τοίνυν αὐτῶν ὁ Ῥουκρατῖνος τὸν ἀντιτρέχοντα ὑποφθάσας κασίγνητον τὸ νῖκος ἤρατο, δεξιωτέραν φύσιν λαχὼν καὶ πολεμοχαρὴς διαφερόντως δεικνύμενος. ἀμέλει καὶ μείζονος εὐμοιρήσας ὁ Ῥουκρατῖνος ἐντεῦθεν δυνάμεως τὸν μὲν Μασοὺτ ὑπενδόντα οἱ καὶ φίλα φρονεῖν συνθέμενον, μέρος τῆς τοπαρχίας ἀφελόμενος, τῆς λοιπῆς χώρας ὡς πρώην διαφῆκε προΐστασθαι, τῷ δέ γε Καϊχοσρόῃ

1. κυρβασίαν] ἐφόρει χρυσοῦν φακεώλιν καὶ ζοῦχον ὁλόχρυσον B. 9. εὐδαίμονας] μεγάλας B. 13. οὗ — ἐμν.] ὅδε A. 16. παρελύετο B.

tiaram capite gestans, veste auro interpuncta amictus. verum ubi pauca de Persae huius familia disseruero, historiae seriem prosequar. Clyzasthlani Iconiensi, qui superioribus temporibus potentissimus fuit et multa cum Manuele imperatore bella gessit, multas victorias adeptus est, filii plures fuerunt. Amasiam Ancyram Dorylaeum et alias beatas urbes Ponticas Masuto assignavit. Melitenen Caesaream et Coloniam, quae nunc Taxara dicitur, Coppatinus gubernabat. Aminso Docea, et aliis maritimis urbibus Rucratinus potiebatur. hic vero Caichosroes Iconium tenebat, item Lycaoniam et Pamphyliam, et quae ad Cottyanum usque pertinent. Coppitano mortuo, de eius satrapia Dociae princeps Rucratinus et Masutus Ancyranus certant. sed Rucratinus ingenio et rei bellicae peritia superior, auctis ea victoria opibus, Masuto cedenti et amicitiam offerenti, toparchiae parte adempta, reliqua ut prius tenenda concessit. sed in Caichosroen magno cum furore impetum fecit, iampridem

μάλα ἐμμανῶς ἐπεφύη, παλαιὸν ὑποτύφων Ἰκονίου ἔρωτα ὡς
ἀρχαίου πατρῴου, καὶ τοῦτον ὡς μητρόθεν Χριστιανὸν μυ-
σαττόμενος. πέμπων οὖν ὑπεκστῆναί οἱ παρῄνει τοῦ Ἰκονίου
D καὶ τῆς ὅλης ἀπαρεῖν δυναστείας, εἴγε βούλοιτο εὖ μάλα
V. 277 πράξειν αὐτός, τὰς δὲ πόλεις κατ' ἄνδρα καὶ κατ' ἔθνος
ἀπειράτους μεῖναι τῶν ἐκ τοῦ πολέμου δεινῶν· οὕτω κεκομ-
πασμένος ἦν καὶ ἀνυπέρβλητος τὸν τῦφον ὁ βάρβαρος, καὶ
τὴν ὀφρὺν ὑπερνέφελος, καὶ ὡς ἰὸς πολύφθορος κατὰ πλεῖ-
στον διασκιδνάμενός τε καὶ διαχεόμενος. πρόσεισι τοίνυν
Καϊχοσρόης τῷ βασιλεῖ ἐκεχειρίας γενομένης, τὸν ἑαυτοῦ
τοκέα κατὰ τοῦτο ἐζηλωκώς, ἐπεὶ κἀκεῖνος τοὺς ἀφ' αἵματος
ἀδικῶν καὶ ὑπ' αὐτῶν ἀδικούμενος μετὰ τὴν τοῦ φύσαντος
ἐκεῖνον Μασοὺτ ἀποβίωσιν, ὡς εἰς ἄγκυραν ἱερὰν καὶ στε-
ρεὰν χεῖρα δυναμένην ὑπολαβεῖν, τὸν αὐτοκράτορα προσέβλε-
ψε Μανουήλ. ἀλλ' ἐκεῖνος μὲν οὐ κατόπιν ἐλήλυθε τῶν ἐλ-
πίδων, μᾶλλον μὲν οὖν καὶ ὑπὲρ δόκησιν ἁβραῖς αὐταῖς ἐν-
τετύχηκε· Καϊχοσρόης δὲ βραχέα ἄττα φιλοφρονηθεὶς καὶ
τῶν ἐν νῷ οὐδ' ὅσον εἰπεῖν ἐνδεέστερα, μήτε σύναρσιν εὑρη-
κὼς τῆς πρὸς τὸν κασίγνητον ἀντιτάξεως ἐπανέκαμψεν οἴκαδε·
P. 337 ἀλλ' οὐκ ἔφθη καθαρῶς εἰσιὼν τὸ Ἰκόνιον, καὶ τοῦ Ῥουκρα-
τίνου κατ' αὐτοῦ ἐπιόντος τῆς τε ἀρχῆς ἐκσφαιρίζεται καὶ
φυγὰς εἰς Ἀρμενίαν παρὰ Λεβούνῃ γίνεται. τὰ δ' ἐπὶ τού-
τοις οὐκ ἀμυδρὰ μὲν τὰ τῆς ἐκεῖ παραδοχῆς τοῦ ἀνθρώ-

19. post οἴκαδε cum AB omisi quae vulgo addunt, τοῦτο δὲ καὶ ὁ Μασοὺτ ἐσέπειτα πεποίηκεν. 20. οὐκ ἔφθη] μήπω δὲ καλῶς εἰς τὸ ἰκόνιον αὐτοῦ εἰσελθόντος A. 21. καὶ φυγὰς] ὁ δὲ πρὸς τὸν ῥῆγα ἀρμενίας τὸν λεβούνην παραγίνεται B.

Iconii, ut paternae sedis, potiundi cupidus, et illum ut matre Christiana genitum odio prosequens. per legatos igitur fratrem monet ut sibi Iconio cedat et toto principatu excedat, si et saluti suae et subiectarum civitatum incolumitati consultum velit. tantus erat fastus, tam immanis arrogantia barbari, et supercilium supra nubes arrectum; ita exitiale venenum late diffundebatur. quare Caichosroes factis induciis, patrem suum imitatus, imperatorem adit. nam is quoque mutuis iniuriis cum fratribus suis certans post Masuti patris obitum ad imperatorem Manuelem ut sacram ancoram et salutare praesidium confugit. verum illum spes sua adeo non frustrata est, ut etiam spe ampliora fuerit consecutus: Caichosroes vero parvam benignitatem et infinito intervallo expectatione sua minorem expertus, nec impetratis contra fratrem auxiliis, domum rediit. sed vixdum Iconium ingressus a Rucratino opprimitur; et patria pulsus ad Lebunem in Armeniam confugit, ubi humaniter et splendide est sus-

που, ἐπαγωγὰ δὲ μᾶλλον καὶ ἄλλως χαρίεντα, εἰ καὶ ξυνέβη σφᾶς πολλάκις κατ' ἀλλήλων ἐξενεγκεῖν πόλεμον, ἐπεὶ καὶ φιλοῦσιν ἄνθρωποι μὴ μόνον τὸ συγγενὲς καὶ ὁμόφυλον πάσχον κακῶς ἀλλά πως καὶ τὸ ἀλλόγλωττον οὐ φανὲν πολλάκις πολέμιον προσιὸν καὶ προσπῖπτον φιλανθρωπίας καταξιοῦν· τὰ δέ γε τῆς ἀμύνης καὶ τῆς καταγωγῆς ἐς τὴν προτέραν ἡγεμονίαν ὁλοσχερῶς ὁ Λεβούνης ἀπείπατο, Ῥουκρατίνῳ σπείσασθαι φάσκων, καὶ μηδὲ τὴν σύναρσιν ἔχειν ὁρᾶν B ἀναίμακτον. διὰ ταῦτα τοίνυν ἐς βασιλέα Καϊχοσρόης μετακεχώρηκε πάλιν, συλλήψεσθαί οἱ πρὸς τὴν ἀνάρρυσιν τῆς ἀρχῆς ὁπωσδήποτε φανταζόμενος. τῶν δὲ κατὰ σκοπὸν αὖθις διαμαρτὼν Ῥωμαίοις συνῆν, μὴ πάνυ μεταλαγχάνων θεραπείας τῷ γένει ἐπεοικυίας.

5. Τῷ δ' ἐφεξῆς ἔτει μετὰ Κομάνων πάλιν ἐπεξιόντες οἱ Βλάχοι, καὶ τὰ κράτιστα τῆς χώρας κείραντες, ἀσινεῖς ἐπανέλυσαν. τάχα δ' ἂν καὶ ταῖς χερσαίαις πύλαις τῆς βασιλίδος προσήγγισαν, ἐπ' αὐτὴν τραπόμενοι, εἰ μὴ τὸ χριστιανικώτατον οἱ Ῥὼς γένος καὶ οἱ τούτων ἀρχικῶς προεδρεύοντες, τοῦτο μὲν κατ' αὐθαίρετον ὁρμὴν κινηθέντες τοῦτο δὲ ταῖς τοῦ ἀρχιποίμενος αὐτῶν λιταῖς ὑπενδόντες, ἀξιάγα- C στον οἷον τὸ πρόθυμον ἐπὶ τοῖς Ῥωμαίων ἐπεδείξαντο πράγμασι, καὶ διὰ τὸν τοῦ Χριστοῦ λαὸν τὸν κακῶς ὑπὸ τῶν βαρβάρων πάσχοντα ταῖς τοῦ ἔτους πολλάκις ἀπαγωγαῖς καὶ ταῖς ἀποδόσεσι τούτων εἰς ἔθνη τὰ μὴ χριστώνυμα δυσχε-

4. οὐ] καὶ? 7. λεβούλης A. 18. οἱ ῥῶσοι B.

ceptus. etsi enim multa bella inter se gesserant, tamen solent homines non tantum cognatos et populares afflictos, sed hostes etiam supplices benigne tractare. caeterum eum in integrum restituere prorsus noluit Lebunes, quod sibi foedus cum Rucratino intercedere affirmabat, nec incruentum fore auxilium cerneret. quapropter Caichosroes denuo ad imperatorem abit, spe principatus eius ope recuperandi concepta. sed iterum frustratus apud Romanos vixit minori splendore quam pro nobilitate generis.

5. Sequenti anno Blachi cum Comanis impressione in Thraciam facta, et optimis quibusque provinciae partibus vastatis, incolumes recesserunt; ac forsitan ad terrestrem imperatricis urbis portam accessissent, nisi Rossi Christianissima gens eorumque principes, partim sua sponte partim pontificis precibus adducti, admirabili studio pro Romanis oppugnassent, Christiani populi miserti, qui a barbaris male tractabatur, et indignati eum saepius eodem anno abduci et gentibus a Christiana religione alienis venundari. unde Cali-

ῥάναντες. ὅθεν καὶ διὰ ταχέων παρασκευασάμενος ὁ τῆς
Καλίτζης ἡγεμὼν Ῥωμανός, ἀγαθήν τε καὶ πολλὴν ἠθροικὼς
στρατιάν, κατὰ Κομάνων ἐξώρμησε, καὶ τὴν γῆν αὐτῶν κατὰ
πολλὴν εὐπέτειαν ἐπιὼν ἔφθειρε καὶ ἠφάνισε. καὶ τοῦτο φι-
λοφρόνως εἰς καύχημα καὶ μεγαλωσύνην τῆς τῶν Χριστια-
νῶν ἀμωμήτου πίστεως πολλάκις διαπραξάμενος, ἧς καὶ τὸ
βραχύτατον καὶ ὅσον κόκκος σινάπεως μεθίστησιν ὄρη καὶ
D μετατίθησι τὰ μετέωρα, τὰς τῶν Κομάνων ἐφόδους ἔστησε
καὶ τοῖς ἀνήκεστα πάσχουσι Ῥωμαίοις ἀνακωχὴν ἐβράβευσε
τοῦ κακοῦ, ἀνυπονόητος ἀρωγὴ καὶ ἀσυλλόγιστος συνασπι-
σμὸς καὶ φάλαγξ ὡς εἰπεῖν θεοσύλλεκτος ἔθνει ὁμοπίστῳ φα-
νείς. πλὴν οὐδὲ τὰ κατὰ τοὺς Ταυροσκύθας τούτους ὁ τότε
χρόνος παρέδραμεν ἀστασίαστα, κατὰ δ' ὁμοφύλου σφαγῆς
τὸ ξίφος ἔβαψεν ὅ τε Ῥωμανὸς οὗτος καὶ ὁ διέπων τὸ Κίαβα
Ῥούρικας· νίκην δ' ὁ Ῥωμανὸς ἀπενεγκάμενος, ῥωμαλέος
ὢν τὸ σῶμα καὶ τὰς χεῖρας δραστήριος, πολλοὺς καὶ τότε
V. 278 τῶν Κομάνων κατέτρωσεν, οἳ συνεφήψαντο τῆς μάχης τῷ
Ῥούρικα, κρατίστη καὶ γενναιοτάτη φάλαγξ περὶ αὐτὸν ἐρρω-
μένοι.

Ἀλλὰ χρεὼν μηδὲ τοῦτο παριδεῖν ἀνιστόρητον. ἦν τις
κολλυβιστής, Καλομόδιος τὴν προσηγορίαν. οὗτος χρήμασιν
ἐβεβρίθει πολλοῖς, ἀργαλέας καὶ δολιχὰς ἐκδημίας κατ' ἐμ-
P. 338 πορίαν πολλαχῇ στειλάμενος, κερδαλεόφρων ἄνθρωπος. ἀμέ-
λει καὶ συγκαθεύδων τῷ φασκωλίῳ καὶ πρίθων τὸ κύμινον

2. γαλίτζης B, omisso Ῥωμανός. 14. κίαβε B. 21. κολλυβιστής] πραγματευτής B.

zae princeps Romanus, magno et forti exercitu subito coacto, in Comanorum agrum irrupit, et sine ullo negotio diripuit et vastavit omnia; eoque saepius in gloriam et amplificationem inculpatae Christianae fidei, cuius minima pars et grano sinapis par montes transponit et sublimia transfert, benigne facto, Comanorum incursiones repressit, et Romanis in excidii periculo constitutis auxilium tulit inopinatum prorsus et improvisum, divinitus omnino procuratum per eiusdem religionis populum. caeterum eo anno hi Tauroscythae quoque seditione conflictati sunt, et Romanus hic et Ciabae princeps Ruricas caede popularium suorum enses imbuerunt. sed Romanus homo robustus et strenuus tum quoque multos Comanos cecidit, qui optima et fortissima phalange Ruricae opem tulerant.

Sed nec hoc silentio praetereundum est. fuit nummularius quidam Calomodius nomine, qui longinquis et difficilibus negotiationibus maximam pecuniam acquisierat, homo avarus et sordidus, tantum non indormiens marsupio et pecuniae postponens omnia. qui

καὶ πάντα τιθεὶς τοῦ χρηματίζεσθαι δεύτερα δέδωκε καθ' ἑαυτοῦ πολλάκις λαβὰς τοῖς χρυσοθήραις ἄρχουσιν, ἀνθρώπων εἶναι ῥυηφενέστατος καὶ ὡς κῆπος Ἀλκινόειος καὶ τῆς ὥρας τὸ ἀκαρές, οὐκ ὄγχνην τρέφων ἐπ' ὄγχνῃ σῦκόν τ' ἐπὶ σύκῳ παρέχειν, χρυσὸν δὲ φέρειν ἐπὶ χρυσῷ, ἐπὶ δ' ἀργυρίῳ φύειν ἀργύριον. ὁ δὲ φυτὸν ἄντικρυς γνώσεως ἦν, ὡς ἐν Ἐδὲμ πεφυτευμένον τῇ ἀγορᾷ καὶ τοῖς τῆς πόλεως στενωποῖς. οὐκοῦν ὡς ἡ ἄνθη τῆς ὀπώρας πάλαι τοὺς γενάρχας ἐδουλαγώγησεν, οὕτω δὴ καὶ τοῦ χρυσίου τότε τὸ πυρωπὸν τοὺς ἐπὶ τῶν βασιλείων χρυσώνων εἰς τὴν ἐκείνου τρύγην ἐφείλ- B κυσεν. ἀλλ' ἅμα τῷ Καλομοδίῳ τὰς χεῖρας ἐπέβαλλον, καὶ ἅμα τὴν πόλιν εἰς στάσιν ἀνέσεισαν, μεῖζόν τι τῶν προτέρων πεπονθότες δυστύχημα· οἱ μὲν γὰρ τοῦ καρποῦ δρεψάμενοι καὶ μεταλαβόντες, μηδὲ τὴν λιχνείαν ἐς μόνην τὴν ὅρασιν περιστήσαντες, τῇ δίκῃ δικαίως ὑπέπεσον, οἱ δὲ μηδ' ἐμβλέψαι τοῖς χρήμασι φθάσαντες μάτην ἠλέγχθησαν ἐγχανόντες καὶ δίψος Ταντάλειον ἔπασχον. ἔχοντες γὰρ τὴν πηγὴν οὐκ εἶχον καὶ πιεῖν ἐξ αὐτῆς, ἀλλὰ συχνάκις ὡρμηκότες ἀρύσασθαι εὕρισκον τὸ χρυσίον τῶν οἰκείων χειρῶν ἀφαντούμενον. οἱ γὰρ ἀγοραῖοι ἑσπέρας μαθόντες τὴν τοῦ Καλομοδίου κατάσχεσιν καὶ τὸ αἴτιον αὐτῆς ἐπιγνόντες κατὰ φατρίας ὁρ- C

3. ῥυηφενέστατον A. πλούσιος σφόδρα, χρήματα ἔχων πολλά, καὶ ἦν τοῖς πολίταις πᾶσι καὶ τοῖς ἐν ἀγορᾷ εὑρισκομένοις ὡς κῆπος χρυσοῦς καὶ τοῖς πᾶσι δανείζων καὶ κυβερνῶν τοῖς πραγματείας ποιοῦσι. ἐπραγματεύετο δὲ καὶ αὐτὸς εἰς μακρὰς καὶ ἐπικερδεῖς στράτας, ἀεί ποτε κερδαίνων εἰς τὰς πραγματείας αὐτοῦ καὶ μηδὲν ἐξοδιάζων ἀλλὰ πάντα ποιῶν καὶ πρὸς μόνον ἀποβλέπων τὸ ἐπισυνάγειν χρήματα. B. 7. τοῖς] ταῖς? 9. τοὺς ἐπὶ] τοὺς περὶ τὸν βασιλέα εἶχεν ἐς τρύγην ἐφελκυσάμενον B.

cum pro ditissimo celebraretur, et non ut hortus Alcinoi ficum super ficum et pyrum super pyrum, sed aurum auro, argentum argento cumulatum gignere diceretur, avarorum principum insidiis est appetitus saepe. sed erat idem omnino arbor cognitionis, in foro et urbis angiportis tanquam in Edem plantata. ut igitur pomi elegantia quondam primos parentes nostros in servitutem redegit, sic tum auri nitor aulicos ad rapinam invitavit. sed simul et Calomodio manus iniecerunt, seditionem in urbe excitarunt, maiorem quam maiores nostri calamitatem perpessi. nam illi in solo aspectu contenti, sed decerpto et gustato fructu, iure poenas dederunt: hi vero nondum viso auro frustra inhiarunt; et Tantaleam sitim perpessi, cum fontem haberent, bibere non potuerunt, sed crebro haurire conati aurum ex manibus amiserunt. nam circumforanei, Calomodii captivitate et

θρου ἠθροίσθησαν, καὶ τὸν τοῦ θεοῦ νεὼν εἰσιόντες καὶ τῷ πρώτῳ ἐποφθέντες ἀρχιερεῖ (ἦν δὲ οὗτος ὁ Καματηρὸς Ἰωάννης) περιστάντες μικροῦ καὶ διασπᾶν ἠπείλουν καὶ κύμβαχον ἐκ τῆς ἑστίας κάτω βαλεῖν, εἰ μὴ ὅσα καὶ σύριγγι τοῖς πρὸς βασιλέα χρησάμενος γράμμασιν ὡς πρόβατον ἀπολωλὸς ἢ καὶ ἀπόνομον τὸν Καλομόδιον αὐτοῖς ἐπανακαλέσεται. ὁ δὲ μόλις καταστείλας τοῦ λεὼ τὸν θόρυβον τῇ τῶν χειλέων περιψοφήσει καὶ τῷ λαμπρῶς ἐπὶ τούτῳ παθαίνεσθαι ἐπανήγαγεν αὐτοῖς ὡς ἀμνὸν τὸν ζητούμενον, μὴ τὸν χρυσὸν ὡς δορὰν ἀποσυρέντα παρὰ τῶν συσχόντων αὐτὸν λυκιδῶν, μηδὲ λυμανθέντα τὴν τρίχωσιν.

D Καὶ τὸ μὲν οὕτως ἀναιμωτὶ προελήλυθεν, ἐξ αἰτίου τραγικοῦ τε καὶ σκυθρωποῦ ἐς κωμικὸν κατέληξεν ἀκοὰς διαχέον ἄθυρμα καὶ σχηματίζον τὸν κλαυσιγέλωτα· οὐ πολλαῖς δ' ἡμέραις ὕστερον ἕτερον ἀνερράγη κακόν, ὅ τι καὶ εἰς αἱμάτων προύκοψεν ἔκχυσιν. Ἰωάννης γάρ τις, Λαγὼς τὸ ἐπώνυμον, ἐκ βασιλέως εἰληφὼς προΐστασθαι τῆς τοῦ πραιτωρίου φρουρᾶς, ἤθελεν ἑαυτῷ τε καὶ τοῖς προσισταμένοις ἐνθένδε πορίζειν χρήματα· φεῦ τῆς ῥυπαρότητος τῆς γνώμης! οὐ γάρ τι πλέον ὁ τῆς ἱστορίας νόμος εἰπεῖν ἐπιτρέπει μοι. ὅθεν τὰς ψυχικὰς τῶν φιλοθέων οἰκειούμενος διαδόσεις, νυκτὸς ἀνίει φρουρᾶς καὶ δεσμῶν τοὺς ἐπὶ κλεπτοσύ-

2. ἀποφθέντες A. 7. καταστείλας] καταστήσας A. τῇ τῶν] τὰ χείλη κτυπῶν καὶ τὰς χεῖρας κρούων B. 21. τὰς ψυχικὰς] τὰ παρά τινων φιλοχρίστων εἰς φυλακὰς πεμπόμενα χρήματα B.

causa eius cognita vesperi, mane tributim convenerunt, et dei templum ingressi patriarcham Camaterum Iohannem circumsteterunt, tantum non discerpturos eum aut de fenestra praecipitaturos comminati, nisi litteris ad imperatorem datis Calomodium ut ovem perditam aut aberrantem a grege revocaret. is populi tumultu aegre sopito facundia sua et commiseratione eum quem quaerebant ut agnum reduxit, non auro pro pelle abrepto a lupis, neque lana direpta.

Atque hic motus citra sanguinem desiit, et ex principio tristi et tragico in comicum ludum festivamque fabulam est mutatus, fletu in risum converso. non multis diebus post, aliud malum erupit, quod ad sanguinis effusionem est progressum. nam Iohannes, qui quidem cognomento Lagus, praetorii custodiae ab imperatore praefectus, inde et sibi et suis pecuniam comparare instituit. o sordidum ingenium! nec enim historiae lex me plura dicere sinit. et stipe, quam homines pii ultro conferebant, in suam rem conversa, noctu celebres fures vinculis liberatos carcere educebat; qui aedibus clam perlu-

τῇ διαβοήτους· οἱ δὲ λάθρᾳ τὰς οἰκίας διερευνῶντες προσῆγον ἐκείνῳ τὰ φώρια, καὶ ἆθλον ἀσεβείας ἐκ τῶν σύλων τοῖς νυκτιλόχοις διαδιδοὺς τὰ λοιπὰ οἷς οὐ δέον προσέφερε, τὸν πιστὸν ὑπηρέτην ὁ θεῷ τὸ πᾶν ἄπιστος ἐν τοῖς ἀτολμήτοις σχηματιζόμενος. τούτου δὴ τοῦ Λαγὼ πολλοὶ κατεῖπον ἐς P. 339 βασιλέα ὡς δρῶντος ἀνόσια· ὁ δὲ τὴν διόρθωσιν ἐπαγγειλάμενος ὥσπερ οὐ δυνάμενος ἀνεβάλλετο· ὅθεν οὐδαμῶς ἐπὶ τοῖς τολμωμένοις ὑποπτήσσων ἦν ὁ Λαγώς, ἀλλ' ὡς ἀνεύθυνον χειρίζων ἀρχὴν ἀναίδην τὰ θεομισῆ διεπράττετο. ἐνίοτε δὲ τῶν ἀγοραίων ἕνα συνειληφώς, μετὰ τὸ πλῆξαι πολλὰς κατὰ νώτου τριχῶν ὑποδικάσας κουρᾷ, τὸ θερμότερον τῆς πόλεως καὶ τῷ παθόντι ὁμότεχνον πρὸς στασιασμὸν ἀνερρίπισε. V. 279 σύγχυσις οὖν τὴν πόλιν κατείληφε, καὶ πλῆθος χειρωναξικὸν οὐκ ὀλίγον ἐς τὸ πραιτώριον συλλεγὲν θηρεύσειν ἐπεβάλλετο τὸν Λαγών. ὁ δὲ ὑπὲρ δασύποδα συντονίᾳ δρόμου χρησάμενος ἐκεῖθεν ἠφάνισται. ὁ μέντοι λεὼς καὶ οὕτως B ἐπισυρρέοντες ὥρμων τὸν μέγαν εἰσιέναι νεὼν καὶ βασιλέα ἕτερον ἀνειπεῖν. προκαταληφθέντος δὲ τοῦ τεμένους παρὰ τῶν εἰς αὐτοῦ φρουρὰν ἀπεσταλμένων πελεκυφόρων, μὴ μεθιστάμενοι τοῦ πραιτωρίου κατὰ τοῦ κρατοῦντος ἐρεσχελίας ἠφίεσαν ἀπρεπεῖς. ὁ δὲ μὴ παρὼν τῇ πόλει, ἀλλὰ περὶ τὴν Χρυσόπολιν ἐναυλιζόμενος, πέμπει μοῖραν τῶν περὶ τὴν φυ-

2. καὶ ἆθλον] καὶ ἐδίδου αὐτοῖς ὀλίγα ὑπὲρ τῶν κόπων αὐτῶν, τὰ δὲ ἐπίλοιπα, ὡς πιστὸς δοῦλος, τοῦ δὲ θεοῦ ἄπιστος, προσέφερε τῷ τὴν ἐξουσίαν αὐτῷ εὐεργετήσαντι. τούτου πολλοὶ πρὸς τὸν βασιλέα ἐνεκλήτευσαν B. 6. δρῶντα APW. 13. τὸ πλῆθος τῶν ἐπιστημῶν B. 17. ναὸν A.

stratis furta ad illum conferebant. unde praemio furibus distributo, reliqua homo facinorosus male collocabat, fideli ministro simulato, cum omnibus in rebus deo perfidus esset. hunc Lagum multi apud imperatorem sacrilegii detulerunt. qui correctione promissa rem subinde differebat, quasi viribus destitueretur. unde Lagus ob scelera minime trepidans, sed tanquam libero magistratu fungens, aperte facinora deo invisa perpetrabat. quodam vero tempore, cum foraneo quodam multis verberibus affecto et raso, audaciorem populi turbam et eiusdem opificii ad seditionem incitavit. statim igitur orto tumultu, non parva opificum pars Lagi capiendi causa ad praetorium convolat. sed cum is quovis lepore velocius evanuisset, populus nihilominus confluens magnum templum occupare et alium imperatorem creare voluit. sed quia aedem sacram bipenniferi praesidii causa eo missi iam occuparant, non digressi a praetorio verbis indecoris imperatorem insectati sunt. qui Chrysopoli tum agens partem satellitum ad praetorium occupandum mittit; eo-

λακὴν τοῦ σώματος καταληψομένην τὸ πραιτώριον. ἵκετο δ' ἐκεῖσε καὶ ὁ τῆς πόλεως ἔπαρχος Κωνσταντῖνος ὁ Τορνίκης· ἡ δὲ πληθὺς καὶ πρὸς μόνην τὴν αὐτοῦ θέαν ἐκτραχυνθέντες τόν τε ἔπαρχον λαϊβολίαις ἐκτρέπονται καὶ τοὺς σωματοφύ- C λακας ἀποπέμπονται. ἐπεὶ δὲ τὰς τοῦ πραιτωρίου ἀνατρέψαντες πύλας ἄνεσιν τοῖς ἔνδον διδόασι, σκυλεύουσί τε τὸν ἐκεῖσε Χριστιανικὸν ναόν, τὸ δὲ τῶν Σαρακηνῶν συναγώγιον ἀνασπῶσιν ἐκ βάθρων αὐτῶν. καὶ ταῦτα σὺν οὐδενὶ διαπραξάμενοι λόγῳ ἐφίστανται τῇ φρουρᾷ τῇ λεγομένῃ Χαλκῇ, κἀκεῖσε τὰ ὅμοια δράσοντες. στρατιᾶς δ' ἀφιγμένης βασιλικῆς μεθ' ἑνὸς τῶν τοῦ βασιλέως γαμβρῶν (ἦν δ' οὗτος ὁ Παλαιολόγος Ἀλέξιος) ἀνασειράζονται τῆς ὁρμῆς, οὐ μὴν ἀφίστανται τέλεον, ἀλλὰ σώμασι γυμνοῖς, εἶτα καὶ βραχεῖς τοὺς μεθ' ὅπλων ἐφισταμένους ἔχοντες ὅλαις καταφράκτοις συμπλέκονται στρατιαῖς, πρὸς οὐδὲν ἀνύσιμον ἢ παρεκτικὸν ἔργον εὐκλείας τελευτᾶν ἑλόμενοι. ἦσαν δ' οἳ καὶ τῶν τεγῶν D ὑπερφερόμενοι κεράμους κατέφερον, καὶ λίθους ἔνιοι χειροπληθεῖς ἐπιπέμποντες καὶ ὀϊστεύοντες ἕτεροι τῇ βασιλείῳ ἀντεμάχοντο φάλαγγι. ὅλης οὖν τῆς ἡμέρας ἐκείνης μηδέν τι παραλύσαντες τῆς ὀργῆς ὑπενόστησαν πρὸς ἑσπέραν. τῇ δ' ὑστεραίᾳ οὔτε τι ἐβαττάρισαν ὅλως οὔτε πρὸς ἀγῶνα συνέδραμον δεύτερον.

5 ἐπεὶ] ἔπειτα? 12. οὐ μὴν δὲ παντελῶς, ἀλλὰ μαχόμενοι μετ' αὐτοῦ τὴν ὅλην ἐκείνην ἡμέραν, γυμνὸν ὂν τὸ πλῆθος καὶ ἀναμάρτωτον πρὸς ἀρματωμένους καὶ ταῦτα στρατιώτας ἀνθίστατο B. 16. τῶν τεγῶν] ἐπάνω τῶν ἀνωγαίων ἀνερχόμενοι B.

denique praefectus urbis Constantinus Tornicius venit. ad cuius solum conspectum exasperati lapidibus hominem petunt, et satellites profligant; et praetorii foribus effractis et captivis emissis Christianam illius loci aedem spoliant, Sarracenorum vero conventiculum a fundamentis evertunt. quae cum sine ulla ratione fecissent, ad castellum quae Chalce dicitur eodem modo grassari voluerunt. sed cum imperatoris gener Alexius Palaeologus exercitum in urbem reduxisset, furore nonnihil represso coeptis non plane destiterunt: sed principio nudis corporibus, deinde paucis armatis ascitis, cum legionibus ferro undique fulgentibus congrediuntur, nullo cum fructu et gloria morituri. erant etiam qui tectis conscensis tegulas deiicerent, et lapides quantos vola capit iacularentur. alii sagittas in imperatorium exercitum torquebant. ac toto eo die nihil remissa iracundia, sub vesperam demum abierunt postridie nec obmurmurarunt quicquam nec pugnam iterarunt.

6. Ἀλλὰ καὶ τοῦδε τοῦ κακοῦ παρελθόντος, ἐκ τούτων Κομνηνῶν τις γένους τῷ βασιλεῖ ἐπανίσταται, Ἰωάννης τοὔνομα· προκοίλιος δ᾽ ὢν καὶ πιθώδης τὴν πλάσιν τοῦ σώματος τὸν παχὺν εἰς ἐπώνυμον εἴληχεν. οὗτος τοίνυν τῷ μεγίστῳ νεῷ ἐξάπινα εἰσρυείς, καὶ τῶν στεφανίσκων ἕνα τῇ κεφαλῇ περιθεὶς οἳ τὴν ἱερὰν ἀμφιπεριῃώρηνται τράπεζαν, ἔξεισιν ἐκεῖθεν· καὶ προσληφθεὶς ὑπὸ τῶν ὁμοτῶν (πλεῖστοι δὲ ἦσαν οὗτοι, καὶ σχεδὸν τοῦ ἐπισήμου πάντες αἵματος), συνδραμόντων καὶ ὄχλων οὐκ ὀλίγων πρὸς τὴν φήμην τῶν πραττομένων, τὸ μέγα παλάτιον εἴσεισιν εὐμαρῶς, καὶ αὐ- P. 340 τὸς μὲν ἐπὶ θρόνου διαχρύσου καθίσας τινὰς ἐπὶ τῶν μεγίστων ὀφφικίων προβάλλεται, ὁ δ᾽ ὄχλος καὶ τοῦ συναποστάντος μέρους τινές, τὰς ἀγορὰς καὶ ἀγυιὰς διιόντες καὶ τὰς ἠϊόνας καταλαμβάνοντες, βασιλέα Ῥωμαίων αὐτὸν ἀνηγόρευον καὶ οἰκίας κατέσπων περιφανεῖς. νυκτὸς δ᾽ ἐπιούσης οὔτε τῆς φρουρᾶς, ὡς ἔδει, τῶν ἀρχείων ὁ Ἰωάννης ἐφρόντισεν οὔτε τὰς ἀνατραπείσας πύλας ἀνέστησεν· ἀλλ᾽ ὡς ἐν τῷ ἀσφαλεῖ καθιστάμενος καὶ μηδένα ἔχων ἤδη τὸν ἀνθιστάμενον, κατὰ δελφῖνας ἀναφυσῶν καὶ ὕδατος ὅλα κεράμια ἐκκενῶν, δίψει ἀμάχῳ ἐχόμενος οἷα κρεωβριθής, ἀπέψα τοὺς ἱδρῶτας κρουνηδὸν ἀποστάζοντας καὶ θερμὸν ἀπατμίζοντας. τὸ δὲ περὶ αὐτὸν ὁπλιτικὸν τὴν ἱπποδρομίαν περιιὸν ἤλυε B τηνάλλως ἐκεῖσε· οἱ γὰρ ὄχλοι δύναντος ἡλίου κατ᾽ ἀγέλας ὀρνίθων διέστησαν, τάχιον διαγελάσαι τὴν ἕω γλιχόμενοι,

9. τὴν om A. 22. τὴν] λαμπρὰν τὴν A. 24. διαγελῶσαν A.

6. Hoc quoque malo elapso, quidam ex Comnenia familia contra imperatorem insurgit, nomine Iohannes; qui cum homo ventrosus et dolii similis esset, Crassi cognomentum tulerat. is subito in maximum templum confugit; et corolla ex iis quae circum sacram mensam pendent capiti imposita, rursus egreditur, et a coniuratis (qui plurimi erant, et plerique nobilitate insignes) et magnae turbae concursu facile in magnum palatium perductus in aurato solio consedit, et quibusdam maxima officia committit, interim vulgo et parte seditiosorum per fora vicos et littora eum Romanorum imperatorem proclamante et magnificas aedes diruente. nocte instante Iohannes nec palatii custodiam curavit, ut oportuit, nec eversas fores restituit: sed velut adversariis omnibus sublatis in tuto collocatus, tanquam delphin anhelans et ob sitim vehementissimam totas amphoras aquae exhauriens, sudorem rivi instar ex vasto corpore decurrentem et fumantem abstergebat. eius vero milites ad Circum equestrem temere deambulabant. nam plebs post solis occasum ut grex avium dissipa-

ὡς αὖθις συνδραμόντες τοῖς ὑπερηφάνοις ἐπεισπέσωσιν οἴκοις καὶ τά σφισιν ἐνόντα διαρπάσωσι. βασιλεὺς δ' ὁπόσον συγγενὲς συναθροίσας καὶ τὸ περὶ αὐτὸν οὐκ ἀπόλεμον πέμπει
V. 280 κνεφαίως ἐπιθέσθαι τῷ Ἰωάννῃ· οὐδὲ γὰρ ἂν ἡμέρας διαφαυσάσης ἡσυχίαν ἀγαπήσειν τὸν τῆς πόλεως ὅμιλον, ἀλλὰ πλείονα πολλῷ καὶ δυσκάθεκτον περὶ τὸν τύραννον συνελθεῖν ὀρθριαίτερον, συλληψόμενον ἐκείνῳ τοῦ ἔργου καὶ πολυμερῶς αὐτοῖς ἀντιμαχησόμενον. οἱ μὲν οὖν πλοίων ἐπέβησαν,
C καὶ τῇ ἀκτῇ προσίσχουσι τῆς μονῆς τῶν Ὁδηγῶν, κἀκεῖθεν τοῖς πελεκυφόροις συμμίγνυνται τοῦ βασιλέως ὑπασπισταῖς· οὐδὲ γὰρ ἦν ὁπλοφόρους διὰ μέσης τῆς πόλεως παρελθεῖν. καὶ μὴν ἐξάπινα συρραγέντες τοῖς περὶ τὸ θέατρον στασιώταις τοῦ Ἰωάννου αὐτούς τε ῥᾳδίως διασκεδάζουσι, καὶ κατὰ ῥαστώνην πᾶσαν τῷ Ἰωάννῃ προσβάλλουσι, κτείνουσί τε ὡς βόσκημα πανσώμους ἐπενεγκόντες πληγάς, καὶ τὴν κεφαλὴν ἀφελόμενοι τῷ βασιλεῖ προσάγουσι. καὶ ἡ μὲν τῇ κατὰ τὴν ἀγορὰν ἁψῖδι μετεωρίζεται πρὸς θέαν πάνδημον, ἔτι τοῦ αἵματος ἀποβλύζουσα, σεσηρυῖά τε δεινὸν καὶ μεμυκυῖα τὼ ὀφθαλμώ· ὁ δὲ λοιπὸς Ἰωάννης ἀρθεὶς ἐπὶ κλίνης αἴθριος προτίθεται κατὰ τὴν μεσημβρινὴν πύλην τῶν ἐν Βλαχέρναις
D ἀρχείων. καὶ βασιλεὺς τὰς ἄνωθεν αὐτῆς ἀρχικὰς διαίτας εἰσιὼν ἐθεᾶτο κάτωθεν, ὁμοῦ μὲν τὰς ὄψεις διδοὺς τῷ πτώματι ὑπὲρ βοῦν διῳδηκότι μεγαλόπλευρον, ὁμοῦ δὲ διαχεό-

8. οἱ μὲν] ταχυνεύσαντες γοῦν οὗτοι καὶ εἰς κάτεργον ἐμβάντες κατὰ τὸ παραπόρτιον τοῦ μοναστηρίου τῆς ὁδηγητρίας εἰσέρχονται B. 12. καὶ] ναὶ A. 18. μεμυκυῖα] τοὺς ὀφθαλμοὺς ἀνεῳγμένους ἔχουσα B.

ta, ut aurora celerius oriretur optabat, quo locupletum aedes diriperet. imperator vero cognatos, et quicquid bellicosorum hominum secum habebat, misit, ut in tenebris Iohannem opprimerent. nam si diluxisset, urbanam turbam non esse quieturam, sed longe plures et importuniores concursuros ad tyrannum adiutandum et defendendum. quare hi naviculis ad Hodegium monasterium traiiciunt, atque inde cum bipenniferis imperatoris satellitibus se coniungunt (neque enim armatis per forum transire licebat), et circa theatrum factionem Iohannis subito adorti sunt. qua facile profligata, per summum otium ad ipsum Iohannem irrumpunt, eumque tanquam pecudem totis corporibus connixi caedunt, et caput eius imperatori offerunt. id in fornice fori pro publico spectaculo est suspensum, cruore adhuc destillante, cum foedo oris hiatu et clausis oculis. reliquum eius cadaver in lecto collocatum in meridionali porta Blachernii palatii sub dio exponitur. imperator vero e superiori conclavi simul et specta-

μενος τῷ ῥεύματι καὶ καταλαζονευόμενος τὸ κατόρθωμα. μετὰ δὲ τὸ σῶμα ἐκεῖθεν ἀρθὲν κυσὶ καὶ ὄρνισι βορὰ παρατίθεται, ὃ καὶ θηριῶδες μικροῦ καὶ ἀπάνθρωπον τοῖς ἅπασιν ἔδοξεν· οἱ δ' ἐκ τῆς συνωμότιδος μερίδος τοῦ Ἰωάννου συσχεθέντες, καὶ βασάνοις ὑποβληθέντες ὅπως ἐκφήνωσι τοὺς συνίστορας, δεσμοῖς καὶ φρουραῖς παραπέμπονται.

Ἀλλ' οἷον καὶ τόδ' ἔρεξεν οὗτος ὁ βασιλεύς. ἀνδρί τινι παραδοὺς τριήρεις ἕξ, ᾧ ἡ μὲν κλῆσις ἦν Κωνσταντῖνος ἡ δ' ἐπίκλησις Φραγγόπουλος, ἐς τὸν Εὔξεινον Πόντον ἐξέπεμψε, τῷ μὲν δοκεῖν περὶ φορτίου πλοίου τινὸς ἐξετάσοντα, ἐκ Φάσιδος καταίροντος εἰς Βυζάντιον, περὶ δὲ Κερασοῦντα ναυαγήσαντος, τῷ δὲ ὄντι ταῖς ἐς πόλιν τὴν Ἄμινσον καταπλεούσαις ὁλκάσιν ἐπιθησόμενον καὶ τούτων τὰ ἀγώγιμα προ- P. 351 νομεύσοντα. ὁ δὲ κατ' ἐπίταγμα τὸ βασιλικὸν ἐς τὸν Εὔξεινον ἀναπλεύσας οὐδεμιᾶς φείδεται νηός, ἀλλὰ πάσας σκυλεύσας, ὅσαι τε ἐς Βυζάντιον ἐμπορευμάτων πλήρεις κατήγοντο, καὶ ὅσαι αὖθις ἀνήγοντο ἀποδιδόμεναι τὰ ἑαυτῶν καὶ ἄλλ' ἄττα ἐνθέμεναι, μετὰ δύο μῆνας ὑπέστρεψε, τινὰς τῶν ἐμπόρων μαχαίρᾳ ὑποδικάσας καὶ τῷ βυθῷ παραπέμψας, ὧν τὰ χρήματα αὐτὸς ἰδιώσατο, τοὺς δ' ἄλλους ὑπέρου γυμνοτέρους ἀποπεμψάμενος. οἱ δὲ τὴν πόλιν εἰσιόντες πολλάκις

5. βασάνοις] μαστιγωθέντες B. 7. ἀνδρί τινι φραγγοπώλω μὲν ὀνομαζομένω B. 9. ἐς τὸν] πρὸς τὴν λεγομένην μαύρην θάλασσαν ἐξέπεμψε, τὸ μὲν φαινόμενον διὰ γόμον τινὰς καραβίου ἀπὸ τοῦ τάνα ἐρχομένου πρὸς κωνσταντινούπολιν καὶ περὶ τὴν κερασούνταν ναυαγήσαντος B. 17. ἀποδόμεναι? 20. ὑπέρου] κοπάνου B.

culo illo fruebatur cadaveris instar vasti tauri tumentis, simul et tanto successu cum insolentia laetabatur. cadavere inde sublato et canibus ac volucribus proiecto, quod omnibus fere immane et inhumanum facinus visum est, coniurati eius comprehensi et quaestionibus adhibiti, ut conscios nominarent, in vincula et carceres coniiciuntur.

Fecit et aliud imperator, nescio quale. Constantinum quendam Francopulum cum sex triremibus in Pontum Euxinum misit per speciem de mercibus navis cuiusdam, quae ex Phaside Byzantium navigans iuxta Cerasuntem fracta esset, inquirendi, re vera autem ut oneraria navigia, quae Aminsum appellerent, spoliaret. is, ut iussa imperatoris exequeretur, nulli navi parcit: sed spoliatis omnibus quae et Byzantium plenae mercibus ibant, et suis rebus venditis et aliis impositis inde recedebant, post bimestre in urbem rediit, quibusdam negotiatoribus occisis et in mari demersis, quorum pecuniam sibi vendicavit, caeteros Leberide nudiores dimisit. ii urbem et palatium ingressi saepe suas iniurias conquesti sunt, et cum luminibus sacras

μὲν ἱκέτευσαν ὑπὲρ ὧν παρὰ δίκην πεπόνθασιν, ἀρχείοις προσιόντες καὶ θείοις μετὰ φώτων τεμένεσι παραβάλλοντες,
B οὐκ εἶχον δὲ τὸν βασιλέα πρὸς οἶκτον ἐπιρρεπῆ, τὰς αὐτῶν ἐμπορίας καθάπαξ ἐξαργυρώσαντα καὶ τῷ αὐτοῦ ταμιείῳ ἐγκαταθέμενον. οἱ ἐξ Ἰκονίου τοίνυν ὁρμώμενοι ἔμποροι τῷ Ῥουκρατίνῳ προσίασι, καὶ πέμψας οὗτος ἐς βασιλέα τὰ τούτων ἀπῄτει χρήματα· ἦν δὲ καὶ λόγος τότε περὶ σπονδῶν. βασιλεὺς δὲ ἀποστάτην ὀνομάζων ἑαυτοῦ τὸν Φραγγόπουλον, τῆς οἰκείας γνώμης ἀπῆγεν ὅσα οὗτος ἀνοσιούργησεν, ἐπὶ ψεύδει τὴν ἐλπίδα τιθέμενος καὶ τῇ ἐναργείᾳ τῶν πραγμάτων ἀντιμαχόμενος. τελεσθείσης δὲ τῆς ἀγάπης ὁ μὲν Ῥουκρατῖνος μεθ' ἑτέρων αἰτήσεως φόρων καὶ μνᾶς ἀργυρίου προσειλήφει πεντήκοντα εἰς ἀπόδομα ὧν οἱ ἔμποροι ἀφῃρέθησαν, ὁ δὲ βασιλεὺς φωρᾶται μεθ' ἡμέρας τῇ ἐκείνου ἐπι-
C βουλεύων ζωῇ. μεγίσταις γὰρ ὑποσχέσεσι Χασίσιόν τινα ἐλαφρίσας, καὶ τούτῳ ἀμαθῶς, ὡς ἐς φιλίαν ἀστάθμητος, ἐγχειρίσας γραμμάτιον ἐρυθρόγραφον, ἐκπέμπει τὸν Ῥουκρατῖνον ἀναιρήσοντα. συλληφθέντος δὲ τοῦ Χασισίου καὶ τὸ γράμμα καὶ τὸ δρᾶμα ἐκφήναντος, παρεβάθησαν μὲν αἱ σπονδαί, πολλαὶ δ' ἐκ τῶν Τούρκων ἐπιδρομαὶ διὰ τὴν τοιαύτην αἰτίαν ταῖς ἑῴαις ἐπανέφυσαν πόλεσι. καὶ Μιχαὴλ δέ
V. 281 τις ἐκ νοθείας υἱὸς Ἰωάννου τοῦ σεβαστοκράτορος, τῆς ἐπαρχίας Μυλάσσης φυρολόγος ἀποσταλείς, νέος ὢν καὶ αὐθάδης

1. ἀρχείοις] κατέφυγον καὶ πρὸς πατριάρχην καὶ μοναχοὺς πνευματικούς B. 12. μνᾶς] ἀσήμους λίτρας B. 15. χάσιόν APW.

aedes frequentarunt. sed nihil ab imperatore impetrarunt, qui bonis illis iam venditis pecuniam in fiscum redegerat. quare Iconienses negotiatores Rucratinum adeunt, qui per legatos res eorum ab imperatore repetebat, pacis quoque mentione facta. imperator vero Francopulum defecisse causatus nefaria illius facinora a se removebat, spe in mendacio collocata et rerum veritate dissimulata. pace facta Rucratinus praeter annui tributi pactionem etiam L minas argenti accepit, quas spoliatis mercatoribus restitueret. imperator vero post dies aliquot Rucratini vitae insidiari deprehensus est. nam Chasium quendam maximis pollicitationibus impulsum levis amicitiae cultor cum rubricatis litteris ad eum tollendum ablegat. verum capto Chasio, litteris deprehensis et omni fabula explicata, ruptum est foedus; eaque de causa Turcae multas Orientales urbes infestarunt. ad haec Michael quidam, Iohannis sebastocratoris nothus filius, ad exigenda Mylasseuae provinciae tributa missus, homo adolesceus et contumax, de-

τοῦ βασιλέως ἀφίσταται. πολέμῳ δὲ ἡττηθεὶς καὶ φυγὼν τῷ Ῥουκρατίνῳ προσρύεται, καὶ τῷ τοῦ βασιλέως μίσει προσδεχθεὶς ἀσμενέστατα, στρατείαν ἐξ ἐκείνου δεχόμενος, τὰς Μαιανδρικὰς πόλεις πολυτρόπως ἐσίνετο, χείρων τῶν ἀλλοφύλων καὶ νηλεέστερος ἀνδροφόνος δεικνύμενος. εἴ τι D γοῦν αἰτιώτατον τοῦ τὴν Ῥωμαίων ἀρχὴν ἐς γόνυ καταπεσεῖν καὶ χωρῶν καὶ πόλεων χειρώσεις παθεῖν, ὕστατα δὲ καὶ αὐτὴν ἐξαπολωλέναι, τοῦτο οἱ ἐκ Κομνηνῶν γεγόνασιν ἀφιστάμενοι καὶ βασιλειῶντες· παρὰ γὰρ ἔθνεσι καταλύοντες μὴ φίλια Ῥωμαίοις νοοῦσι τῆς πατρίδος ἦσαν πανώλεια, καίπερ ἐν τῷ παρ' ἡμῖν μένειν πράγμασιν ἐγχειρήσειν ἑλεῖν τε καὶ κρατήσειν ἀνεπιτηδειότατοι ὄντες καὶ πάντων ἀχρειότατοι καὶ σκαιότατοι.

Διὰ δὲ τὴν τοῦ Μιχαὴλ νεωτέρισιν περὶ μῆνα τὸν φυλλοχόον ἔξεισιν εἰς ἕω Ἀλέξιος, ὑποστρέφων δ' ἐκεῖθεν παρενέβαλεν εἰς τὰ Πύθια, τοῖς θερμοῖς ἐννηξόμενος ὕδασιν. ὡς δ' ἅλις εἶχε λουτήρων καὶ κρατήρων, ἐρᾷ καὶ μακροτέρου πλοός· διημφισβήτουν γὰρ παρὰ τῷδε τῷ ἄνακτι καὶ ἀνὰ P. 352 μέρος ἐκράτουν αἱ ἐπίγειοι καὶ ἐνάλιοι χάριτες, καὶ λαμπρὰν ἀνεδοῦντο τὴν νίκην. νῆα τοίνυν εἰσιὼν στρατηγίδα εὐθὺ

5. εἴ τι γοῦν κακὸν εἰς τὴν τῶν ῥωμαίων βασιλείαν συνέβη γενέσθαι τὸ κάτω ταύτης κλῖναι καὶ πεσεῖν καὶ πόλεις καὶ χώρας ἀπολέσθαι; ὕστερον δὲ καὶ αὐτὴν τὴν βασιλείαν ἀφαιρεθῆναι, τοῦτο οἱ κομνηνοὶ ἄγγελοι ἐποίησαν βασιλεύσαντες· τοῖς γὰρ πλησιάζουσιν ἔθνεσι μὴ κατὰ τὸ πρέπον αὐτοῖς ἐνεργοῦντες τῆς αὐτῶν πατρίδος ὀλεθρευτῆρες ἐγένοντο, καὶ ταῦτα ἐξουσίαν ἔχοντες πρὸς τὸ ποιεῖν τὰ τῆς βασιλείας ἄξια, αὐτοὶ δὲ καὶ ἀνεπιτήδειοι καὶ ἀχρεῖοι καὶ κακογνώμονες πρὸς τὴν τῆς βασιλείας οἰκονομίαν ἐφάνησαν. B.

ficit: sed praelio victus et fugatus ad Rucratinum se confert. a quo imperatoris odio cupidissime susceptus, acceptoque exercitu, Maeandricas urbes variis affligit modis, barbaris ipsis crudelior. quodsi ulla gravissima causa fuit, cur Romanum imperium labefactatum urbes atque provincias amiserit et ipsum denique corruerit, Comnenii regni cupiditate ad hostes deficiendo eam suppeditarunt. nam cum ad gentes Romanis inimicas confugerent, patriae pernicies erant, quanquam apud nos rebus gerendis et administrando imperio ineptissimi et stolidissimi.

Caeterum Alexius Novembri mense contra Michaelem in Orientem profectus in reditu ad Pythia castrametatus est, ut calidis aquis innataret. balneis et crateribus satiatus longiorem navigationem desideravit. nam in eius animo terrestrium et marinarum voluptatum cupiditas ex aequo certabant, nunc his nunc illis vincentibus. conscensa

τῶν νησιδίων διαπλωΐζεται ἃ ἄγχιστα τῆς Κωνσταντίνου ἀμφιρρέονται, τὸν Ἀστακηνὸν κόλπον ἀφεὶς περιπλεῖν· λαίλαπος δ' ἀνεγερθείσης ἐξαίφνης καὶ μετεωρισάσης τὸ κῦμα ὀρθὸν τὸ πλοῖον ἐκ πρώρας ἐπὶ πρύμναν αἴρεται καὶ μικροῦ καταδύεται, ἔνθεν καὶ ἔνθεν ἐπικλυζόμενον. ἐθορύβουν μὲν οὖν οἱ πλωτῆρες καὶ ἱδρῶσι περιερρέοντο, βοαὶ δὲ τῶν ἐμπλεόντων καὶ θεοκλυτήσεις ἦσαν, οἰμωγαί τε καὶ ὀλολυγαὶ διωλύγιον ἐξηκούοντο· συνέπλεον δὲ βασιλεῖ πᾶσαί τε καὶ B πάντες ἐπιτήδειοι, οἷς καὶ ποθεινὴ μὲν ἡ γῆ τοῖς βαδίζουσι, ποθεινὴ δὲ καὶ αὐτοῖς ἐδόκει τις ἐντυχεῖν. πολλὰ δὲ καὶ παντοῖα διακινδυνεύσαντες ἀγαπητῶς καὶ μόλις περὶ τὴν Πρίγκιπον διασώζονται, ἐκ δὲ ταύτης τοῦ κύματος ἠρεμήσαντος ἐς Χαλκηδόνα καταίρουσιν· ἔνθα τοῦ ἰλίγγου ἀνεθέντες καὶ τὴν ἅλμην ἀποπτύσαντες, καὶ λήθης βυθῷ παραδόντες τὰ χαλεπὰ τοῦ κινδύνου καὶ φοβερά, ἐς τὸ μέγα διαπεραιοῦνται παλάτιον, ἁμίλλας τελέσοντες ἵππων καὶ θεάτροις τὸν δῆμον δεξιωσόμενοι. ὡς οὖν εἰλήφει πέρας καὶ τάδε, βασιλεὺς μὲν ἀπελθεῖν ἐς Βλαχέρνας αὐτίκα ἤθελε, τῆς δὲ τῶν Ῥωμαίων ἀκαιρίας προσισταμένης (οἱ γὰρ ἐς C ἡμᾶς αὐτοκράτορες καὶ μέχρι βηματίσαι τὴν τῶν ἄστρων θέσιν περιεργάζονται) τὴν πρώτην τῶν νηστειῶν ἑβδομάδα τῷ

2. τὸν κόλπον τῆς νικομηδείας B. 5. ἐθορυβήθησαν οὖν οἱ ναῦται B. 9. οἷς καὶ] ηὔχοντο γοῦν καὶ ἐπεθύμουν τὴν γῆν ἰδεῖν B. 13. τοῦ ἰλίγγου ἀνεθ.] ἀποσκοτισθέντες B. 19. Ῥωμαίων] χρόνων margo W et codicis Par. 20. μέχρι μετακινήσεως μικρᾶς B.

igitur navi imperatoria, recta ad parvas insulas passim iuxta urbem sitas contendit, Astacenum sinum circumvectus. orto autem subito turbine, fluctu in altum erecto, navis a prora in puppim sublata propemodum submergitur, undis undique urgentibus. nautae tumultuari, sudare vectores, vociferari, deum invocare, suspirare, clare eiulare. vehebantur enim una omnes imperatoris familiares utriusque sexus, terrae videndae et attingendae cupidissimi. post multos labores et pericula vix optatissimam principis insulam attingunt. ex ea, tempestate sedata, Chalcedonem traiiciunt. ubi vertigine posita et salsugine reiecta, timoribus et periculis oblivioni traditis, in magnum palatium transeunt ad edendos Circenses ludos et populum spectaculis exhilarandum. quibus finitis imperator statim in Blachernas se conferre voluit: sed quia tempus incommodius obstabat (nam nostri temporis imperatores nec minimam mutationem astris inconsultis instituunt), primam ieiuniorum hebdomadem in magno palatio haud sane volens permansit. ut vero dies VI ad migrationem non erat in-

μεγάλῳ παλατίῳ προσέμενεν οὐχ ἑκών. ὡς δ᾽ ἦν ἡ ἕκτη τῶν ἡμερῶν οὐκ ἀνάρσιος πρὸς μετάβασιν, καὶ μάλιστα τῷ βαθέος ὄρθρου μεθισταμένῳ, ἔγνω μεταναστεῦσαι κνεφαῖος καὶ μήπω τοῦ ἡλίου διασπείραντος τὰς ἀκτῖνας τὰς Βλαχέρνας καταλαβεῖν. ἥ τε οὖν τριήρης παρὰ ταῖς ἀκταῖς τῶν ἀρχείων ἐσάλευεν, καὶ τὸ συγγενὲς ἅπαν τοῦ βασιλέως παρ᾽ αὐτὸν μετὰ φώτων συνήλιστο, σύμπλουν ἐσόμενον· τοῦ θεοῦ δὲ δεικνύντος ὡς κύριός ἐστιν ὡρῶν καὶ χρόνων αὐτός, καὶ παρ᾽ αὐτοῦ κατευθύνεται εἴτε μὴν συμποδίζεται τά τινων διαβήματα, τὸ πρὸ τῆς βασιλείου κλίνης δάπεδον αὐτομάτως ὑποχαλᾷ καὶ εἰς χάσμα ἱκανῶς διανοίγεται. καὶ βασιλεὺς V. 282
μὲν παραδόξως τοῦ κινδύνου ῥύεται, ἅτερος δὲ τῶν τούτου γαμβρῶν ὁ Παλαιολόγος Ἀλέξιος καὶ συχνοὶ ἄλλοι ἐνίσχονται τῷ διαστήματι καὶ πάσχουσι κακῶς τὰ βάθρα τοῦ σώματος· εἷς δέ τις ἐκτομίας καὶ ἐτεθνήκει, εἰς τὸ βάθιστον τοῦ χάσματος καταδύς. οἵαν μὲν οὖν ἔννοιαν ἢ μετάνοιαν ἐπὶ τούτοις εἴληφεν ὁ κρατῶν, οὐδαμῶς ἔχω ἐπεξιέναι· ὃ δὲ κατὰ D
πόδας ἐπηκολούθησε, τοῦτο δὴ καὶ τῇ ἱστορίᾳ παραδίδωμι.

7. Τῷ βασιλεῖ τῷδε καὶ τρίτη θυγάτηρ ἦν, Εὐδοκία τοὔνομα. ταύτην ἔτι τοῦ τεκόντος Ἀνδρόνικον ἐκδιδράσκοντος Ἰσμαηλίτας τε καὶ Παλαιστίνην περιιόντος πλάνητος ὁ

1. οὐχ ἑκών] οὐχὶ μετὰ γνώμης αὐτοῦ, ἀλλὰ τὴν καλὴν ἐξετάζων ὥραν. ὡς γοῦν παρῆλθεν ἡ παρασκευή, ἔδοξε τοῖς ἀστρολόγοις περὶ ὄρθρον ἤδη τοῦ σαββάτου τὴν μετάβασιν ποιῆσαι ἀπὸ τοῦ ἑνὸς παλατίου πρὸς τὸ ἕτερον. B. 7. μετὰ λαμπάδων ἁπτομένων B. 10. τὸ πρὸ] τὸ τοῦ κελλίου τοῦ κοιτῶνος αὐτοῦ πάτωμα χαλασθὲν καὶ εἰς χάος ἀνοιγὲν πίπτει καὶ ὑποχαλᾷ B. 13. ἐνίσχονται] ἐκρεμάσθησαν εἰς ξύλα τῶν πατωμάτων καὶ ἔλαβον οἵ τε πόδες καὶ τὰ μερία αὐτῶν. B.

commodus, praesertim si ea summo mane fieret, diluculo ante solis ortum transire Blachernas instituit. igitur et triremis in ancoris ad palatium fluctuat, et omnis imperatoris cognatio cum luminibus adest, ut naviget una. deo vero monstrante se esse horarum et temporum dominum, et a se itinera hominum vel prosperari vel impediri, solum ante imperatorium cubile ultro cedens profunde dehiscit, ac id periculum imperator mirabiliter evadit. sed alter eius gener Alexius Palaeologus et alii plures voragine illa impliciti in curribus male afficiuntur; quidam vero eunuchus in imum hiatum delapsus periit. quid imperator ea de re cogitarit, et an consilium mutarit, dicere nullo modo possum. quod vero e vestigio consecutum est, referam.

7. Habuit Alexius tertiam quoque filiam, Eudociam nomine; quam ipso adhuc Andronicum fugiente et apud Ismaelitas et in Pa-

πατράδελφος Ἰσαάκιος ἑνὶ τῶν παίδων ἐκδέδωκε τῷ Στεφάνῳ τοῦ Νεεμάν· ἦν δ' οὗτος ἡγεμὼν τῶν Τριβαλλῶν. ἀλλ' ὁ
P. 343 μὲν βραχὺν ἐπιμείνας τῇ ἀρχῇ χρόνον τὸ ὄρος ἄνεισι τὸ Παπύκιον καὶ βίον ὕπεισι τὸν μοναδικόν· ὁ δέ οἱ υἱὸς Στέφανος κληροῦχον τῆς πατρῴας σατραπείας τὴν Εὐδοκίαν δεικνὺς ἡλίους συχνοὺς ἐξεμέτρησε, καὶ παίδων ἐξ αὐτῆς ἀκούει πατήρ. καινοτόμος δ' ὢν ὁ χρόνος καὶ προβολεὺς τῶν ἀνομοίων ἄληκτος διίστησιν ἀμφοτέρους τῆς πρὶν ἑνότητος καὶ συμπνοίας, οὐκ ἄχρι τῶν ἐσχάτων ἀναπνοῶν συμφυΐαν παρεὶς ἀνόθευτον, ὃ τοῖς ἐχέφροσι συζυγίταις πλήρωμα τῆς ἀνθρωπίνης εὐδαιμονίας κρίνεται. οὐκοῦν ὁ μὲν τῇ γυναικὶ ἐνεκάλει τὸν τῆς ψωρώδους ἀκρασίας ὀδαξησμόν, ἡ δὲ τἀνδρὶ προσῆπτε τὸν εὐθὺς ἐξ ἑωσφόρου ἀκροχάλικα καὶ τὸ μὴ
B πίνειν ὕδατα ἐξ οἰκείων ἀγγείων καὶ τὸ κρυφίων ἄρτων ἐμπίπλασθαι. καὶ προβαινούσης οὕτω τῆς διχονοίας ἀεὶ ἐπὶ μέγα σκέπτεταί τι βαρβαρώτερον ἔργον ὁ Στέφανος, καὶ αὐτὸ μέτεισι· πλασάμενος γάρ, ἤτοι καὶ φάμενος ἀληθῶς, μοιχευομένην ἁλῶναι τὴν Εὐδοκίαν παντὸς ἀπογυμνοῖ περιβλήματος γυναικείου, τὸν ἔσχατον αὐτῇ καὶ λεπταλέον χιτῶνα μόνον καταλιπών, καὶ τοῦτον κύκλῳ περικοπέντα ὡς μόλις περιστέλλειν τὰ τῶν μελῶν ἀσχήμονα, καὶ διαφίησιν οὕτως ἀτίμως, ἔνθα καὶ διοργυίῃ πορεύεσθαι. πρὸς δὲ ταυτηνὶ τὴν

2. ἡγεμὼν] ἄρχων τῶν σέρβων B. 12. τὸν τῆς] ὡς περιπλεκὰς καὶ συνουσίας ἀνδρῶν ἀγαπῶσα B. 13. τὸ μὴ] τὸ ἑτέραις συμμίγνυσθαι γυναιξὶ B. 19. τὸν ἔσχ.] μέχρι τοῦ ὑποκαμίσου μόνου B.

laestina oberrante patruus Isaacius Stephano filio Neemanis despondit, Triballorum principi. verum in exiguo tempore in principatu exacto in Papicio monte fit monachus. filius vero eius eodem nomine Stephanus Eudocia paternae satrapiae domina declarata plusculo tempore exacto liberos ex ea suscipit. sed tempus omnia innovare et perpetuo dissimilitudines inducere solitum ambos a pristina coniunctione consentione disiungit, nec in eo numero esse patitur quos Lyricus his versibus celebrat. „felices ter et amplius quos irrupta tenet copula, nec malis divulsus querimoniis suprema citius solvit amor die." nam ille uxori pruritum libidinis, ea contra marito bibacitatem a primo diluculo et aliarum mulierum consuetudinem obiiciebat. ita dissidio subinde crescente Stephanus barbaricum consilium init atque exequitur. nam sive conficto sive vere obiecto adulterii crimine, Eudociam omni vestitu muliebri spoliat, sola tenui interula relicta, eaque undique praecisa, ut vix pudendas partes tegeret, atque ita ignominiose quo libitum esset abire sinit. huic poenae tam inhonestae

πρᾶξιν τὴν ὄντως ἄσεμνον καὶ ἀπότομον καὶ τὴν ὑπέρογκον ἀμυντηρίαν ὁ ἀδελφὸς ἀντιστὰς Βόλκος ἔς τε τὸ ἀπάνθρωπον ἦθος ὠνείδισε τὸν κασίγνητον, μεθαρμοσθῆναί τε τῆς C
ὀργῆς καὶ καθυφεῖναί τι μικρὸν καθικέτευσεν, ἀπιδόντα πρὸς τὸ μεγαλεῖον τοῦ γένους τῆς Εὐδοκίας καὶ ἑαυτὸν δὲ οἰκτειρήσαντα, γενησόμενον οὕτως ἐπ' ἀσχήμοσιν ἔργοις ἀοίδιμον. οὐκ ἔχων δὲ καὶ πείθειν ὡς τὴν γνώμην ἀκαμπῆ καὶ δυσμείλικτον, αὐτὸς τὴν Εὐδοκίαν προσηκούσης κομιδῆς ἀξιώσας παραδίδωσι τοῖς ἀπάξουσι δεόντως εἰς τὸ Δυρράχιον. μαθὼν δὲ τὸ γεγονὸς ὁ πατήρ, πέμψας ἀμφικέφαλον καθέδραν καὶ κόσμους περιδερραίους ἄλλας τε λαμπρειμονίας βασιλικὰς εἰσοικίζεται τὴν θυγατέραν. πλὴν οὐδὲ τοῦ Νεεμὰν οὗτοι υἱοὶ ἀδελφὰ φρονοῦντες εἰς τέλος διήρκεσαν, ἐκπολεμωθέντες δὲ κατ' ἀλλήλων τῷ χορῷ τῶν ἄλλων καὶ οἵδε συνή- D
φθησαν, οὓς μικρῷ πρόσθεν εἰρήκειμεν ἠγνοηκέναι τὴν φύσιν διά τε φιλαρχίαν καὶ τρόπου σκαιότητα· καὶ φανεὶς κρείττων ὁ Βόλκος τῆς ἀρχῆς ἅμα καὶ τῆς πατρίδος ἐκτοπίζει τὸν Στέφανον. ἐκ γὰρ τῆς τῶν πόλεων βασιλίδος ὥσπερ τινὸς ὑπογραμμοῦ καὶ τύπου καὶ κοινοῦ θεμιστεύματος τῆς ἀδελφοκτονίας ἐξιούσης καὶ διαδραμούσης τῆς γῆς τὰ πέρατα, οὐ Πέρσαι μόνον καὶ Ταυροσκύθαι καὶ οἵδε οἱ Δαλμάται καὶ μετέπειτα Πάννονες, ἀλλὰ καὶ λοιποὶ ἕτεροι παρ' ἔθνεσι δυναστεύοντες στάσεων καὶ φόνων τὰς ἑαυτῶν πατρίδας ἐνέπλησαν, καθ' ὁμογενῶν τὰ ξίφη σπασάμενοι.

2. βέλκος B. 12. οὗτοι οἱ υἱοί? 13. ἀδελφὰ] ἔμειναν ἀσκανδάλιστοι B. 16. φανεὶς] νικήσας ὁ βέλκος B. 22. Παίονες?

atroci et immodicae frater eius Volcus intercedit; et obiurgata eius inhumanitate, orat ut deposita iracundia paulo clementius agat, habita ratione illustris generis Eudociae, et famae suae consulat, ac tantam ignominiae labem caveat. sed cum pertinax et implacabile eius ingenium movere non posset, ipse Eudociam ita susceptam ut dignitas eius postulabat, Dyrrachium perducendam curat. quo casu cognito pater filiam lectica et ornamentis muliebribus missis, in aedes suas recipit. caeterum ne hi quidem Neemanis filii longo tempore concordes permanserunt, sed inimicitiis susceptis in caeterorum coetum transierunt, quos supra diximus per ambitionem et vecordiam naturae oblitos esse; et Volcus victor Stephanum et principatu et patria exegit. nam cum fraternae caedis exemplum ex urbe imperatrice promanasset et extremos orbis terrarum fines pervagatum esset, non Persae tantum et Tauroscythae et hi Dalmatae et postea Pannonii, sed et alii plures caeterarum gentium principes ensibus in cognatos suos strictis seditionum et caedium patrias suas compleverunt.

Κατὰ δὲ τοὺς χρόνους τούτους ἔξεισι τῆς Μυσίας ὁ Ἰωάννης μεγίστῳ τε καὶ παγχάλκῳ στρατεύματι, καὶ διειληφὼς τὴν Κωνστάντιαν χειροῦται ταύτην κατὰ πᾶσαν εὐπέ-
P. 344 τειαν, διάσημον οὖσαν ἐν τοῖς τῆς Ῥοδόπης σχοινίσμασι. καὶ καθελὼν τὸν ταύτης περίβολον ἐκεῖθεν ἀπανίσταται καὶ περὶ τὴν Βάρναν στρατοπεδεύεται, καὶ πολιορκεῖ γενναίως καὶ ταύτην κατὰ τὴν ἕκτην τῶν τοῦ Χριστοῦ παθημάτων ἡμέραν. παντοίαν δ' ἔνστασιν ἐνδεικνυμένων τῶν ἔνδοθι, κρατίστων
V. 283 ὄντων τῶν πλείστων κἀκ τοῦ Λατινικοῦ στίφους συγκεκροτημένων, τετράπλευρον συντίθησι μηχανὴν συμμηκιαζομένην τῷ εὔρει τῆς τάφρου καὶ ἰσοϋψῆ τῷ τείχει τῆς πόλεως, καὶ ταύτην ὑπότροχον οὖσαν τῆς τάφρου ἄγχιστα στήσας, εἶτα ἀνατρέψας ἀμφοτέρων τῶν περάτων ἐπιλαμβάνεται, καὶ τῷ αὐτῷ καὶ ἑνὶ μηχανήματι ζεύγματί τε τῆς τάφρου χρησάμενος καὶ κλίμακι ἐξικνουμένῃ τοῦ ὕψους τῆς πόλεως τρισὶν ἡμέραις τῆς Βάρνας κρατεῖ. οὔτε δὲ τῆς ἡμέρας τὴν δύνα-
B μιν ὁ βάρβαρος πτοηθεὶς (ἦν δὲ τὸ ὑπερευλογημένον σάββατον καθ' ὃ ὕπνωττεν ἐν τάφῳ Χριστὸς) οὔτε τὸν Χριστιανὸν αἰδεσθείς, ὃν μόνοις περιέφερε χείλεσιν, ἀλλὰ φιλαιμάτοις δαίμοσιν ἐλαστρούμενος πάντας οὓς συνείληφε ζῶντας κατὰ τῆς τάφρου ὠθεῖ, καὶ χοῦν ἐς ἰσόπεδον ἐπιχέας πολυάνδριον τὸν τόπον δείκνυσιν. ἔπειτα καὶ τὰ τείχη καταστρεψάμενος εἰς Μυσίαν ἐπάνεισιν, ἐναγίσμασι τοιούτοις καὶ τελεταῖς μυσα-

5. τὸν ταύτης] τὸ ἐξώκαστρον B. 7. τῶν τοῦ] τῆς μεγάλης ἑβδομάδος B. 10. ἴσην τοῦ χαντακίου B. 12. εἶτα] καὶ κουντήσας καὶ ἀνατρ. B. 17. δὲ] γὰρ A.

Sub hoc tempus Iohannes cum maximo et armis instructissimo exercitu Mysia egressus Constantiam insignem urbem Rhodopaei territorii sine ulla difficultate capit, et moenibus dirutis Varnam sexto die passionis Dominicae fortiter oppugnat. sed cum ii qui urbem tenebant, plerique fortissimi viri et Latini generis, summa ope resisterent, quadrilateram machinam fabricat, quae longitudine latitudini fossae et altitudine fastigio moenium responderet; et ea rotis subiectis proxime fossam collocata et deinde eversa utrosque fines apprehendit; eademque machina et ad explendam fossam et ad conscendenda moenia pro scalis usus triduo Barnae potitur. neque diei solennitatem (erat enim id sanctissimum sabbatum, quo Dominus in sepulcro dormivit) neque Christianum nomen veritus barbarus, quod solis labiis iactabat, sed intemperiis sanguinarii alicuius daemonis actus, omnes quos vivos ceperat in fossam praecipitavit, iniectaque humo et expleta sepulcretum locum illum facit; nec multo post, etiam moenibus eversis in Mysiam revertitur, huiusmodi victimis et

ρωτάταις τὴν μίαν τῶν σαββάτων καὶ τῶν ἡμερῶν κυρίαν τετιμηκώς.

Καὶ τῇδε μὲν καὶ ταῦτα ἐφέρετο· ὁ δέ γε πρωτοστράτωρ Μανουὴλ ὁ Καμύτζης, χρόνιος ἐν Μυσίᾳ καθειργνύμενος, δεῖται τοῦ ἐξαδέλφου καὶ βασιλέως ἐκ τῆς οἰκείας οὐσίας λυθῆναι μηδ' ὡς κακοῦργος ἐπὶ πολὺ παροφθῆναι παρὰ C βαρβάροις δορύκτητος. οὐκ εἶχε δὲ καὶ πείθειν δι' ὧν ἐπέστελλεν. ἀπειρηκὼς οὖν τὸν κηδεστὴν μέτεισι Χρύσον, καὶ παρ' αὐτοῦ δεῖται λυθῆναι, καὶ ὡς εἶχε τὰ ᾐτημένα πεπερασμένα, ἐκ Μυσίας ἐς Πρόσακον ἄπεισιν. ἀλλ' οὐδ' ἐκεῖσε γενόμενος καθυφῆκε τοῦ βασιλέως δεόμενος, εἴ πως τῷ Χρύσῳ τὰ λύτρα κατάθοιτο, εἰς δύο ποσούμενα χρυσοῦ κεντηνάρια, πολλαπλασίονα τούτων ἀφαιρεθῆναι φάσκων πλὴν τῶν ἀργυρέων καὶ χρυσέων σκευῶν τῶν Σηρικῶν τε νημάτων καὶ τῶν περιφανῶν ἐσθημάτων, οἷς ὑπερεκόμα ῥυηφενέστατος ἀνθρώπων φανείς. ὁ δὲ τὴν σχέσιν τοῦ πρωτοστράτορος ἐν πλάστιγγι μιᾷ τοῦ τῆς φρενὸς ζυγοῦ καταθείς, ἐν δὲ θατέρᾳ τὰ τούτου χρήματα, καὶ ταλαντεύων ἀμφότερα, πολλῇ D τῇ ῥοπῇ βαρυτέραν τὴν δευτέραν εὕρισκεν, ὅθεν οὐδ' ἄκροις ὠσὶν εἰσῳκίζετο τὰ ὑπ' ἐκείνου γραφόμενα. ἀπειπὼν οὖν ὁ

5. ἐκ τῆς] ἀπὸ τοῦ πράγματος αὐτοῦ ἀγορασθῆναι B. 8. ἀπειρηκὼς] ὅθεν καὶ ἀπογνοὺς γράφει πρὸς τὸν γαμβρὸν αὐτοῦ τὸν χρύσον καὶ παρακαλεῖ δι' αὐτοῦ ἀγορασθῆναι καὶ ἐκβληθῆναι τῆς φυλακῆς B. 12. τὰ λύτρα] δοῦναι τῷ χρύσῳ ὅσα αὐτὸς ἔδωκε εἰς τὴν ἀγορὰν αὐτοῦ B. 13. πολλαπλασίονα] τοῦ βασιλέως πολλαπλασίονα τούτων ἀπὸ τοῦ βίου αὐτοῦ λαβόντος ἄνευ τῶν βλατίων καὶ τοῦ ἀσημίου καὶ χρυσαφίου καὶ ἑτέρας ὕλης ὧν ἀπῆρεν ἀπὸ τῆς περιουσίας αὐτοῦ B. 18. ταλαντεύων] καμπανίζων B.

abominandis inferiis celebre illud sabbatum veneratus. atque haec sic gesta sunt.

Manuel vero Camyzes protostrator, longo tempore in Mysia captus, imperatorem et consobrinum orat ut de sua re familiari redimatur neque ut maleficus longo tempore in barbarorum potestate relinquatur. sed iis litteris nihil impetravit. desperata igitur cognati ope ad Chrysum se convertit, et solutione ab eo impetrata Prosacum abit. ac ne ibi quidem imperatorem obtestari desinit ut Chryso duos auri centenarios pro sui redemptione solvat, cum longe plus ex suis opibus rapuerit, praeter aurea et argentea vasa et telam sericam et vestes pretiosas, quarum rerum copia mortalium locupletissimus fuerit habitus. ille vero protostratoris cognatione in una lance animi sui pensata, pecunia vero eius in alteram collocata, et utraque perpensa, posteriorem multum praeponderare deprehendit.

Καμύτζης ἔγνω σὺν Χρύσῳ τοῖς ἀγχιτέρμοσιν Προσάκῳ Ῥωμαϊκοῖς ἐπιθέσθαι τέρμασιν. εὐμαρῶς οὖν Πελαγονίαν χειροῦνται, καὶ ῥαδίως ὑπάγονται Πρίλαπον, ἐπιφύονται τὰ ἑξῆς, ἀφιστῶσι τὰ πόρρωθεν, διεκπίπτουσι Τεμπῶν τῶν Θετταλικῶν, τῶν πεδιάδων ἐπιλαμβάνονται, παρακινοῦσι τὴν Ἑλλάδα, παλίμβολον τιθέασι τὴν τοῦ Πέλοπος. τότε δὲ καὶ δεύτερος ἀποστάτης κατὰ τοὺς σπαρτοὺς ἐπανέτειλε γίγαντας. Ἰωάννης γάρ τις τὸ γένος Κύπριος, Σπυριδωνάκης τοὐπώνυ-
P. 345 μον, τὸ εἶδος φαῦλος, τὴν ἡλικίαν φαυλότερος, στράβων τὰς ὄψεις, χειρῶναξ τὴν τέχνην, τὴν τύχην χθόνιος, τῷ βασιλεῖ τῷδε ὑπηρετούμενος, ταῖς δὲ παραλόγοις προόδοις καὶ ἀναβάσεσι τῶν ἔσω λεγομένων ταμιείων φύλαξ ταχθείς, εἶτα τὴν ἀρχὴν τῶν Σμολένων χειρίζειν λαχών, καταγινώσκει τοῦ πεπομφότος εὐτέλειαν νοὸς καὶ ἀφέλειαν, καὶ τῷ δυσπροσόδῳ τῆς χώρας ἐπαρθεὶς εἰς ἀπόνοιαν διασσούμενον ἐκείνῳ γίνεται ἀντιστάτημα καὶ Σατὰν καὶ σκώλοψ καὶ ἀπρόσκοπον συγκύρημα χείριστον. ὁ δὲ βασιλεὺς καὶ τρίτῳ τότε κακῷ τῇ συνήθει καχεξίᾳ τρυχόμενος, ἥτις ἐπενέμετο τὰ ἄρθρα τοῦ σώματος, τὸν Ἐπιμηθέα εἶχε κατ' ἄμφω δεινῶς ἐπικείμενον καὶ εἰς πνῖγμα μικροῦ ἐναλλόμενόν τε καὶ ἐπεμβαί-
B νοντα, ὅτι τὸν ἐξάδελφον οὐκ ἐλύσατο καὶ ὅτι τὸν οὐτιδανὸν ἐν ἀνθρώποις Σπυριδωνάκην εἰς ὄνειδος οἰκεῖον πόλεων τοσούτων ἐρυμνοτάτων κατέστησεν ἄρχοντα. διχῇ οὖν διαι-

10. χειρῶναξ] τὰς χεῖρας ἔχων εἰς ὑπηρεσίαν ζωῆς B. 13. σμολαίνων B. 17. τρίτον εἶχε τότε κακὸν τὴν τῆς ποδάγρας ἀσθένειαν B.

itaque flagitationes eius nec extremis auribus admisit. unde Camyzes desperatione coactus statuit cum Chryso finitimos Prosaco Romanorum agros vastare, ac Pelagoniam celeriter subigunt; et Prilapo sine difficultate potiti ordine caetera invadunt, remota ad deditionem impellunt, per Tempe Thessalica penetrant, campestria occupant, Graeciam commovent, Peloponnesum ad rebellionem instigant. tunc et alius seditiosus, velut olim terrae filii, extitit, Iohannes Spyridonaces Cyprius, homo deformi vultu, statura foediore, strabis oculis, sordidus opifex, fortuna infima. sed dum imperatori inservit, mirabilibus successibus et promotionibus interioris fisci custodiae praeficitur. deinde Smolanis praepositus eum a quo missus erat aspernatur ut vili et simplici ingenio praeditum; et difficili provinciae aditu fretus bifariam illi resistit, inopinatum et pessimum infortunium. at imperator tertio tum malo conflictans, familiari sibi articulari morbo, duplici poenitentia supra modum angebatur, quod nec consobrinum redemisset et nequam hominem Spyridonacem cum suo dedecore tot

ρῶν τὸ συναγόμενον στράτευμα, τὸ μὲν τῷ γαμβρῷ παρεδίδου Ἀλεξίῳ τῷ Παλαιολόγῳ τὸν ἀνθρωπίσκον μετιόντι Σπυριδωνάκην, τὸ δ' ἐξέπεμψεν εἰς τὸν Οἰνουπολίτην Ἰωάννην V. 284 τῷ πρωτοστράτορι ἀντικαθιστάμενον. ὁ μὲν οὖν τοῦ βασιλέως γαμβρὸς Ἀλέξιος ἀρετὴν καὶ τόλμαν ἐνδειξάμενος ἔμφρονα τὸν Σπυριδωνάκην καταγωνίζεται σὺν πόνῳ βραχεῖ, καὶ φυγάδα τίθησι τὸ Πυγμαϊκὸν ἀνδράριον ἐς Μυσίαν· ἡ δὲ τοῦ πρωτοστράτορος ἀντιστασία ἐφ' ἱκανὸν μὲν διήρκεσε χρόνον, αἴσιον δὲ καὶ αὕτη πέρας ἐδέξατο. ὁ γὰρ βασιλεὺς C ἄλλαις τε μεθόδοις ἐχρήσατο μεθ' ὑπουλίας μετιὼν τὸν Χρύσον, καὶ δὴ καὶ τὴν θυγατρόπαιδα Θεοδώραν, ἣν τῷ Ἰβαγκῷ κατηγγύησεν, ἐμνήστευσεν αὐτῷ εἰς εὐνέτιν, ἐκ Βυζαντίου μεταπεμψάμενος. καὶ τούτοις τοῖς μεθοδεύμασιν ἀνασώζεται Πελαγονίαν καὶ Πρίλαπον, καὶ Θετταλίας ἀπανίστησι τὸν Καμύτζην, πῇ μὲν πολέμῳ κατατροπούμενον, πῇ δὲ φυγῆς ἐθελοντὶ ἁπτόμενον. ὕστατα δὲ καὶ αὐτοῦ τοῦ Στανοῦ μετανάστην δείκνυσιν, εἰς ὃν ὡς εἰς ἀνάλωτον ἀπέδρα κρησφύγετον. καὶ τοιούτοις ἔργοις ἑαυτὸν περιανθίσας, ἐπὶ μακρὸν ὀφθέντα οἰκουρὸν καὶ ἀπόλεμον, εἰς Βυζάντιον ἐπανέδραμε. τότε δὲ καὶ τῆς Στρουμμίτζης ἐκράτησεν, ἀπάτῃ κἀνταῦθα τὸν Χρύσον περιελθών, καὶ τὰς πρὸς Ἰωάννην σπονδὰς ἐξεπέρανεν.

3. οἰονοπολίτην B. 15. φυγῆς] φωνῆς A. 17. εἰς ὃν αὐτὸς ἀκούμβισμα ἑτοιμάσατο B. 19. οἰκουρὸν] ὀσπητικὸν B. 21. καὶ τὰς] ἐπλήρωσε δὲ καὶ τὴν εἰρήνην μετὰ τῶν βλάχων B. post ἐξεπέρανεν A rubrica: ἀπὸ τῶν ἐνταῦθα τὰ σύμβαντα εἰς τὴν μεγαλόπολιν, B: τόμος τρίτος τῆς βασιλείας ἀλεξίου τοῦ ἀγγέλου καὶ διήγησις περὶ τῶν συμβάντων ἐν τῇ πόλει καὶ τῆς ταύτης ἁλώσεως.

munitissimis urbibus praefecisset; et copiis quas coegerat, in duas partes distributis, alteram Alexiae Palaeologo genero suo tradit ut homuncionem Spyridonacem ulciscatur, alteram ad Oenopolitam Iohannem, qui protostratori resistebat, mittit. ac imperatoris gener Alexius prudentia et audacia adhibita Spyridonacem exiguo cum labore devincit et nanum illum in Mysiam fugat. protostratoris vero rebellio cum longo sane tempore durasset, prospero exitu est terminata. nam imperator cum aliis artibus et dolis Chrysum circumvenit, tum neptem Theodoram, pridem Ibanco desponsam, Byzantio accersitam illi uxorem dedit. et hac ratione Pelagonia et Prilapo recuperatis Thessalia quoque Camyzen expellit, alias proelio victum, alias ultro fugientem, tandem ipso etiam Stano eiicit, quo ut in asylum inexpugnabile se receperat. huiusmodi praeclaris operibus post diuturnam desidiam et ignaviam editis Byzantium recurrit. tunc Strommiza quoque potitus est, ibi etiam Chryso circumvento, et pacem cum Iohanne fecit.

D 8. Ἀλλὰ μέχρι μὲν δὴ τούτων εὔδρομος ἡμῖν ὁ λόγος καὶ διὰ λείας φέρων ὁδοῦ, τὸ δ' ἐντεῦθεν οὐκ οἶδ' ὅπως τῷ λόγῳ χρήσομαι. τίνα γὰρ γνώμην ἔχειν εἰκὸς τὸν τὰς κοινὰς διεξιέναι μέλλοντα συμφοράς, ὧν ἡ τῶν πόλεων αὕτη πεπείραται βασιλὶς τῶν γηΐνων ἀγγέλων βασιλευόντων; ἐβουλόμην μὲν οἷός τε εἶναι διεξελθεῖν ἀξίως τῷ λόγῳ τὰ πάντων τῶν κακῶν ἀχθεινότατά τε καὶ χαλεπώτατα· ἐπεὶ δὲ τοῦτο ἀδύναιον, ἐν ἐπιτόμῳ δὴ καὶ ποιήσομαι τὴν διήγησιν, κερδαλεωτέραν ἐσομένην δήπου τοῖς ὀψιγόνοις διὰ τὴν τῶν ἀλγεινῶν ἀκουσμάτων μετριάσιν καὶ τὴν ἐντεῦθεν τῆς πλείονος λύπης ὑφαίρεσιν.

Εἶχε μὲν οὖν ὁ βασιλεὺς Ἀλέξιος τὸν ἀδελφὸν Ἰσαάκιον καθῃρηκὼς τῆς ἀρχῆς· δέον δὲ μὴ πάντῃ ἀμελῆσαι τῆς φυλακῆς αὐτοῦ, ὁ δὲ λαθόμενος ὡς ἐγκαίονται τοῖς πλείστοις
P. 346 αἱ συμφοραὶ καὶ εἰσὶν ἀναπόνιπτοι, οὔτε μὴν ἡ δίκη δι' ὅλου τίς ἐστιν ἀδιύπνιστος καὶ ταῖς χρονίαις φιληδοῦσα μεταβολαῖς, ἀλλ' ἔπεισι καὶ ταχύπους καὶ ἀψόφως ἐπιπίπτειν φιλεῖ τοῖς ἔργα ῥέζουσιν ἄδικα, ἐνδίδωσι τῷ κασιγνήτῳ διάγοντι κατὰ τοὺς κίονας, οἳ περὶ τὸν πορθμὸν ἀκταῖοι καὶ δυάζοντες ἵστανται, βίοτον ἔχειν ἄνετον, καὶ πᾶσιν ἀνεπέγκλητον εἶναι τὴν εἰς αὐτὸν διαπλώϊσιν. ἦν οὖν τοῦ βουλομένου παντός, καὶ οἳ ἐκ γένους μάλιστα τῶν Λατίνων, εἰς Ἰσαάκιον ἀναπλεῖν· οἷς καὶ κρυφίων κοινωνὸς ἐδείκνυτο βουλευμάτων,

5. τῶν ἐπὶ γῆς γηΐνων ἀγγέλων B. 17. ἀψόφως] ἀψηφεὶ A. 18. ἄδικα] ἔνδικα A. κατὰ τοὺς] περὶ τὰ οἰκήματα τὰ ἐν τῷ διπλοκιονίῳ πέρα ὄντα B.

8. Hactenus expeditus fuit nostrae orationis cursus, et molli processit via. deinceps vero quid dicam nescio: quo enim animo eum esse par est, qui publicas clades, quibus regina urbium terrenis istis Angelis imperantibus afflicta est, commemorabit? vellem equidem me omnium gravissima et tristissima mala pro dignitate posse exponere. sed quia id fieri non potest, historiam compendio exequar, utiliorem futuram posteris ob moderatam tristium rerum commemorationem et doloris diminutionem.

Alexius fratrem Isaacium imperio deiectum excaecarat: sed cum eius custodia non prorsus negligenda esset, oblitus plerisque inuri calamitates nec deleri posse, et vindictam non perpetuo stertere, sed seris gaudere mutationibus, et celeriter ingruentem tacito eos pede consectari qui nefaria facinora perpetrent, fratrem iuxta duas columnas quae in freti littore sunt libere vivere passus est, neque quenquam ad eum traiicere vetuit. erat igitur cuiusvis Isaacium adire, tum vero Latinorum, cum quibus arcana consilia de ulciscendis iniuriis

ἐπόσα τὴν ἀντιπάθειαν ἐβυσσοδόμευον καὶ τὴν Ἀλεξίου καθαίρεσιν ἐμεθόδευον, γραμμάτια πρὸς Εἰρήνην πέμπων τὴν θυγατέρα, κοινωνὸν λέχους Φιλίππῳ τῷ κρατοῦντι τότε τῶν B Ἀλαμανῶν, πρὸς τὴν πατρῴαν ἐκδίκησιν ὑπαλείφοντα, κἀκεῖθεν διαποτώμενα ἔχων ἀντίγραφα τὸ ποιητέον αὐτῷ εἰσηγούμενα. εἶτα καὶ τὸν υἱέα τούτου Ἀλέξιον τῆς εἱρκτῆς ἀνειμένως ἐλεύθερον ἀφῆκε στρέφεσθαι. ἐν δὲ τῷ μέλλειν κατὰ τοῦ πρωτοστράτορος ἐξιέναι καταλύσας εἰς Δαμοκράνειαν συνέκδημον καὶ τοῦτον ἐπήγετο. ὁ δὲ κατὰ γνώμην δήπουθεν τοῦ πατρὸς Πισσαίῳ τινὶ περὶ δρασμοῦ κοινολογησάμενος, στρογγύλης προεστῶτι μεγίστης νεώς, ἐκαιροφυλάκει θέσθαι ἐν θαλάσσῃ τὸ ὅρμημα καὶ τὸ ἴχνος ἐν πολλοῖς ὕδασιν. ὡς δ' ἐπέστη καιρὸς πρὸς τὴν ἄπαρσιν οὐκ ἀνάρσιος, ἡ μὲν ναῦς ἱστίοις πτεροῦται καὶ κατ' οὖρον φέρεται καὶ προσοκέλλει τῇ καθ' Ἑλλήσποντον Αὐλωνίᾳ, τὸ δὲ ταύτης ἐφόλκιον C κατᾶραν ἐς τὸν Ἀθύραν ἐπὶ τῷ δέξασθαι τὸν Ἀλέξιον, τιθὲν τὴν σκέψιν ἀφώρατον, ἐνεφόρει ψάμαθον φόρτον ἐσομένην τῇ νηῒ κεκενωμένῃ δῆθεν τῶν ἀγωγίμων. ὁ δ' Ἀλέξιος ἐκ Δαμοκρανείας ἐκεῖσε παραγενόμενος τὴν ὁλκάδα εἴσεισι καὶ πρὸς τὴν νῆα μετακομίζεται. γνωσθείσης δὲ τῆς τούτου φυ- V. 285 γῆς πέμπονται μὲν παρὰ τοῦ βασιλέως οἱ τὸ πλοῖον ἐξερευνήσοντες, οὐ μὴν ἴσχυσαν συλλαβεῖν τὸν Ἀλέξιον· οὗτος γὰρ τὴν κόμην κειράμενος περιτρόχαλα καὶ τὴν αὐτὴν τοῖς

6. εἶτα καὶ] ἦν δ' ..: ὁ τούτου υἱὸς Ἀλέξιος ἐλεύθερος ἐν τῷ παλατίῳ διάγων B. 14. ἱστίοις] ἡρμένισε B. 15. τὸ δὲ] ἐβάλλε δὲ B. 17. ἐνεφόρει] ὡς δῆθεν σαβούραν ἐπαίρουσι B. 23. τὴν κόμην] ῥοῦχα ἐκ τοῦ παραυτίκα φορέσας φραγγικά, καὶ νιζεφάτον αὐτῷ ποιήσαντες B.

et evertendo fratre Alexio conferebat, litteris ad Irenen filiam missis, Philippi Alemannorum regis coniugem, quibus eam ad opem sibi ferendam instigabat, atque inde litteras recipiebat quibus quid agendum esset monebatur. deinde filius quoque eius Alexius custodia eductus libere quo libuit ambulavit, et ab imperatore contra protostratorem exituro itineris comes est assumptus. is vero de sententia patris, cum Pisano quodam maximae rotundae navis domino consilio fugae inito, navigandi opportunitatem captabat. quae cum contigisset, maius navigium plenis velis ad Hellesponti Auloniam fertur, minus vero Athyrae Alexii recipiendi causa appulit; et quo id consilium lateret, nautae arenam intulerunt saburrandi scilicet vacui navigii gratia. quo Alexius, Damocrania eo profectus, conscenso ad magnam navem pervehitur. fuga eius cognita mittuntur ab imperatore qui navem perscrutentur, nec tamen Alexium deprehendere potuerunt: nam

Λατίνοις στολὴν ἐνδυσάμενος, ὡς ἐν ὁμίλῳ πολλῷ συναναστρεφόμενος, τοὺς διψῶντας ἐλάνθανεν. ἀπαχθεὶς οὖν ἐς
D Σικελίαν δῆλος τῇ ἀδελφῇ γίνεται· ἡ δὲ δορυφορίαν ἱκανὴν ἀποστείλασα τὸν ἀδελφὸν ἀγκαλίζεται, καὶ δεῖται τοῦ ἀνδρὸς Φιλίππου τὰ δυνατὰ τῷ πατρὶ ἐπαμῦναι φάος ἅμα καὶ κράτος ὑπὸ τῶν γνησίων ἀφῃρημένῳ, καὶ τῷ ἀδελφῷ ἐπαρήξειν ἀστέγῳ τε καὶ ἀπόλιδι κατ' ἀστέρας μεταφερομένῳ τοὺς πλάνητας καὶ μηδὲν ἐπαγομένῳ πλὴν τοῦ σώματος.

Ἀλλὰ γὰρ πρὸς τούτοις καὶ ἄλλα μοι ἐπιρρεῖ, ἃ μὴ χρεὼν παρόψεσθαι. οἱ Ἀγγελώνυμοι κασίγνητοι καὶ ἄλλως μὲν πλημμελῶς διῴκουν τὰ τῆς ἀρχῆς, ὡς ἤδη λέξαντες ἔχομεν, μάλιστα δὲ φιλοχρηματίαν νοσοῦντες οὔτ' ἀπὸ δικαίων πόρων πλουτεῖν ἠνείχοντο οὔτε συνεῖχον τὰ συλλεγόμενα, ἀλλ' ἐξέφερον ἀμφοτέραις αὐτὰ καὶ περιττῇ μὲν θεραπείᾳ καὶ κόσμῳ πολυτελεῖ σώματος, πλέον δ' ἀπεπλούτουν πρὸς ἑταιρίδας καὶ συγγενεῖς ἀλυσιτελεῖς παντάπασι τῷ κοινῷ. οὐ μό-
P. 347 νον τοίνυν τὰς Ῥωμαΐκὰς πόλεις ἐκαλαμῶντο καὶ ἀπεφύλλιζον, εὑρεταὶ τῶν καινῶν εἰσφορῶν καθιστάμενοι, ἀλλὰ καὶ τοὺς ἐκ φυλῶν Λατινίδων ἐν οἷς εἶχον εἰσέπραττον. πολλάκις οὖν τὰς πρὸς Βενετίκοις ξυνθήκας παραβλεψάμενοι αὐτούς τε ἐς χρήματα ἐζημίωσαν καὶ τὰ πλοῖα τούτων ἠργυρολόγουν, καὶ τοὺς ἐκ τῆς Πίσσης αὐτοῖς ἐπανίστησαν. ἀμέ-

18. εὑρεταὶ] νέας ἀπαιτήσεις καὶ κεφάλαια ἐφευρίσκοντες B.
21. τὰ πλοῖα] τὰ καράβια αὐτῶν ἐκομέρκευον B.

coma in orbem rasa et Latina veste induta, ut in turba magna obversans, inquisitores latuit. perductus in Siciliam sorori indicatur; quae iusto praesidio misso fratrem amplexa, maritum Philippum orat ut patri suo pro virili opem ferat simul imperio et lumine privato, et fratrem quoque iuvet exulem et extorrem et errantium stellarum instar vagantem, neque quicquam ferentem secum praeter corpus.

Sed praeter haec alia quoque in mentem mihi veniunt, quae negligenda non sunt. Angelici nominis fratres cum aliis rebus imperium perperam administrabant, ut iam diximus, tum pecuniae cupiditate aestuantes neque iustis rationibus opes augere volebant, nec ea quae coegerant conservabant, sed ambabus manibus dissipabant, non tam supervacuo comitatu et pretioso corporis ornatu, quam meretricibus et cognatis rei publicae prorsus inutilibus largiendo. unde novis vectigalibus institutis non modo Romanas urbes et provincias exhauriebant, sed Latini etiam nominis gentes, quantum poterant, tributis vexabant. Venetos quidem saepe pactis et conventis violatis pecunia multarunt, et vectigal ab eorum navibus exegerunt; et Pi-

λει καὶ ἦν ὁρᾶν ὁτὲ μὲν τῆς πόλεως ἔνδοθεν, ὁτὲ δὲ κατὰ μέσην τὴν θάλατταν, διὰ μάχης ἀμφότερα τὰ γένη χωροῦντα, κρατοῦντά τε ἀνὰ μέρος καὶ κρατούμενα, καὶ παλίωξιν ἐντεῦθεν καὶ ἀντισκύλευσιν. (9) ἀτὰρ οἱ Βενέτικοι παλαιῶν μεμνημένοι πρὸς Ῥωμαίους σπονδῶν, καὶ μεταχωροῦσαν πρὸς Πισσαίους B τὴν σφετέραν δεξίωσιν οὔκουν ὁρᾶν ἀνεχόμενοι, δῆλοι ἦσαν Ῥωμαίων κατὰ βραχὺ ἀφιστάμενοι καὶ μελετῶντες ἐν καιρίοις τὴν ἀντιλύπησιν, καὶ μάλισθ' ὅτι κιμβικευόμενος ὁ Ἀλέξιος οὐκ ἀπεδίδου σφίσι χρυσίου μνᾶς διακοσίας ἐνδεούσας ἔτι πρὸς τὸ ἅπαν ὀφείλημα τῶν δέκα πρὸς τοῖς πέντε κεντηναρίων, ἃ συνέθετο δοῦναι τοῖς Βενετίκοις ὁ βασιλεὺς Μανουήλ, ἡνίκα συνειληφὼς τοὺς Βενετίκους δημόσια τὰ τούτων ἔθετο χρήματα. ἦν δὲ δεινὸν οὐκ ἐλάχιστον καὶ ὁ τηνικαῦτα δοὺξ Βενετίκων Ἐρίκος Δάνδουλος, ἀνὴρ πηρὸς μὲν τὰς ὄψεις καὶ τῷ χρόνῳ πέμπελος, ἐπιβουλότατον δὲ πρᾶγμα Ῥωμαίοις καὶ φθονερώτατον, ὃς παιπάλημα ὢν ἀγυρτείας C καὶ φρονιμώτερον τῶν φρονίμων ἑαυτὸν ὀνομάζων καὶ δοξομανῶν ὡς οὐχ ἕτερος θανάτου ἐτιμᾶτο τὸ μὴ τίσασθαι Ῥωμαίους δίκας τῆς ἐς τὸ γένος αὐτοῦ παροινίας, φρεσὶν ἀναπεμπάζων καὶ λογιστεύων ὁπόσοις κακοῖς οἱ Βενέτικοι προσωμίλησαν τῶν Ἀγγελωνύμων ἀδελφῶν ἀνασσόντων, καὶ πρὸ τούτων Ἀνδρονίκου, καὶ ἀνόπιν ἔτι τοῦ Μανουὴλ τὰ

1. μέσην τὴν om A. 9. μνᾶς] λίτρας B. 12. τοὺς om A.
14. πηρὸς] τὸ εἶδος πυρρὸς καὶ γηραιὸς ὑπὲρ ἅπαντας, παλαιὸν κακὸν καὶ δοκόφρων B. 19. δίκας om A.

sanos cum eis ita commiserunt, ut aliquando intra ipsam urbem, aliquando in mari congrederentur, victoria nunc his nunc illis favente, et mutuo sese fugarent et spoliarent. (9) caeterum Veneti antiquo Romano foedere prolato, suam dignitatem ad Pisanos translatam esse aegre ferentes, a Romanis paulatim alienati se vicissim nostris per occasionem aegre facturos ostendebant, praesertim cum Alexius per avaritiam CC auri minas, quae debito XV centenariorum auri adhuc deerant, non solveret, quos Manuel, cum Venetorum bona publicasset, se pensurum pepigerat. neque minimum malum erat dux Venetorum Ericus Dandulus, homo caecus ille quidem et capularis, sed Romanis infensissimus et insidiosissimus, ut calliditate singulari, ita arrogantia immensa, ut se prudentum prudentissimum appellaret et gloriolae cupiditate omnes superaret. is vitam sibi morte acerbiorem fore putabat, nisi genti suae factas a Romanis contumelias ulcisceretur, animo repetens et recensens quot malis populares sui Angelis fratribus imperantibus affecti essent, et ante hos Andronico et Manuele rerum potientibus. sed quia norat in suum

τῶν Ῥωμαίων σκῆπτρα διέποντος. εἰδὼς δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς προχωρήσειν, εἴ τι που Ῥωμαίοις ἐπίβουλον μετὰ μόνων τῶν ὁμοφύλων ἐργάσεται, καὶ ἄλλους προσλαβέσθαι συλλήπτορας σκέπτεται, καὶ τούτοις κοινωνῆσαι τῶν ἀπορρήτων οὓς ᾔδει πρὸς Ῥωμαίους ἄσπονδον μῖσος τρέφοντας καὶ τοῖς τούτων καλοῖς βάσκανον καὶ λίχνον ἐνατενίζοντας.
D τοῦ δὲ καιροῦ χορηγήσαντος αὐτομάτως τοπάρχας τινὰς εὐγενεῖς, οἵτινες πρὸς Παλαιστίνην ὥρμων τραπέσθαι, κατὰ κοινοπραγίαν τούτοις συγγίνεται καὶ συνωμότας ἐπισπᾶται τοῦ κατὰ Ῥωμαίων κινήματος. ἦσαν δὲ οὗτοι ὁ Μάντης Φεράντης μαρκέσιος Βονιφάτιος, ὁ κόμης Φλάντρας Βαλδουΐνος,
V. 286 ὁ κόμης τοῦ ἁγίου Παύλου Ἐρίκος καὶ ὁ κόμης Πλέης Δολόϊκος καὶ συχνοὶ ἕτεροι τολμητίαι πολεμισταὶ καὶ συμμηκιζομένην οἷον τῷ δολιχῷ τῶν δοράτων τὴν ἡλικίαν προφαίνοντες. ναυπηγηθέντων οὖν εἰς Βενετίαν δι' ὅλων τριῶν λυκαβάντων δρομώνων μὲν ἱππαγωγῶν ἑκατὸν δέκα, νηῶν δὲ μακρῶν ἑξήκοντα, ἔτι δὲ πλοίων συναθροισθέντων στρογγύλων μεγίστων ὑπὲρ τὰ ἑβδομήκοντα, ὧν ἓν Κόσμος παρ' αὐτοῖς ὠνομάζετο ὡς πολὺ τῶν ἄλλων ὑπερφέρον ἐς μέγεθος, εἴσεισιν ἐκ παραγγελίας αὐτὰ ἵππος μὲν χιλία σιδήρῳ κατάφρακτος,
P. 358 ἀσπὶς δὲ τρισμυρία εἰς ὁπλίτας πλείστους διῃρημένη, μάλιστα δὲ εἰς τοὺς καλουμένους τζαγροτοξότας. ὡς δ' ἦν ὁ στόλος πρὸς ἀναγωγὴν ἕτοιμος, κακὸν ἐπὶ κακῷ προσ-

8. πρὸς om A. 10. μοντεφαράντος B. 13. φλοΐκρος B. 16. ἱππαγωγῶν] ταρίδες ἔχουσαι ἐντὸς ἄλογα B. 18. μεγίστων om A. 20. σιδήρῳ om A. 22. μάλιστα] μετὰ τῶν ὧν εἶχε τζαγρατόρων B.

caput redundaturum, si quid cum sola sua gente contra Romanos conaretur, de auxiliis aliorum asciscendis cogitat arcanisque cum iis communicandis, quos norat irreconciliabili odio a Romanis dissidere eorumque felicitati invidere. cum autem ipsum tempus nobiles quosdam toparchas, qui Palaestinam visere cupiebant, sponte obtulisset, societatem et foedus cum eis contra Romanos coit. erant hi Montisferrati marchio Bonifacius, Flandriae comes Balduinus, comes sancti Pauli Ericus, Pleae comes Doloicus, et alii complures audaces bellatores et statura suis hastis propemodum pares. igitur toto triennio Venetiis fabricatae sunt celeres naves equestres CX, naves longae LX, rotundae ultra LXX sunt coactae, quarum una ob insignem magnitudinem Mundus ab eis appellabatur. eas naves constituto tempore conscenderunt equites cataphracti M, scutati XXXM, plurimis armorum generibus instructi, sed plerique zagrotoxotae. classe ad oram solvendam parata, malum malo cumulatur et fluctus fluctum urget,

βάλλει καὶ κῦμα, ὅ φασιν, ἐπὶ κύματι Ῥωμαίοις ἐπικυλίνδεται· Ἀλέξιος γὰρ ὁ παῖς Ἰσαακίου τοῦ Ἀγγέλου γράμμασιν ἐφοδιασθεὶς τοῦ πάπα Ῥώμης τῆς πρεσβυτέρας καὶ τοῦ ῥηγὸς Ἀλαμανίας Φιλίππου, χάριτας μεγίστας ὁμολογούντων τοῖς πειρατικοῖς τούτοις ἐργαστηρίοις εἰ τὸν Ἀλέξιον εἰσδέξονται καὶ πρὸς τὴν πατρῴαν ἐπαναγάγωσι βασιλείαν, τρισάσμενος μετὰ καιρὸν τῷ στόλῳ ἐφίσταται, καὶ προσβλέπεται ὡς οὐ μόνον τὸν κατὰ Ῥωμαίων λῃστρικὸν ἔκπλουν μετασχηματίσων πρὸς τὸ εὐάφορμον καὶ διαμορφάσων πρὸς τὸ εὐπρόσωπον, ἀλλὰ καὶ χρημάτων ἀποθεραπεύσων σωρείαις τὸ B κερδαλέον ἐκείνων καὶ φιλοχρήματον φρόνημα. τὸν τοίνυν Ἀλέξιον οὐ μᾶλλον τὴν ἡλικίαν ἢ τὰς φρένας νεάζοντα πανοῦργοι πάντες καὶ πράγμασιν ἐντακέντες ἄνδρες παραλαβόντες ἐκείνοις ἐν ὅρκοις συνθέσθαι παρέπεισαν ἃ μηδαμῶς ἐπεφύκει πέρας λαβεῖν. οὐ γὰρ μόνον θαλάσσας χρημάτων αἰτησαμένοις κατένευσε τὸ μειράκιον, ἀλλὰ καὶ σύναρσιν κατὰ Σαρρακηνῶν μεθ' ὁπλομάχων Ῥωμαίων καὶ τρικρότων νηῶν πεντήκοντα. τὸ δὲ δὴ μεῖζον καὶ ἀτοπώτατον, παρεκτροπὴν πίστεως, ὁποία τοῖς Λατίνοις ἀσπάζεται, καὶ τῶν τοῦ πάπα προνομίων καινισμόν, μετάθεσίν τε καὶ μεταποίησιν τῶν πα- C λαιῶν Ῥωμαίοις ἐθῶν συγκατέθετο.

Καὶ δὴ ὁ μὲν στόλος τὰ πρυμνήσια λύσας κατάγεται πρὸς Ἰάδαρα, καὶ ἦν αὐτὰ πολιορκῶν, δόξαν οὕτω τῷ τῆς

7. μετὰ] κατὰ? 19. τὸ τὸν πάπαν πρῶτον μνημονεύειν B. 20. κενισμὸν A.

ut dicitur. nam Alexius Isaacii Angeli filius, litteris veteris Romae pontificis et regis Alemanniae Philippi instructus, qui piraticis istis collegiis plurimum se debituros profitebantur, si adolescentem in patrium imperium restituerent, aliquanto post cupidissime ad classem et pervenit et excipitur, ut qui non tantum latrocinium illud contra Romanos institutum promovere et honesta specie fucare, sed et pecuniarum acervis ipsorum avaritiam explere posset. is non aetate magis quam animo puer, a viris callidis et versutis susceptus, pepigit et sacramento firmavit ea se praebiturum quae perduci ad exitum minime poterant. nec enim maria pecuniarum duntaxat illis postulantibus promisit; sed et auxilium contra Sarracenos cum Romanis militibus et L triremibus. et quod maius est ac longe absurdius, Latinorum depravatam religionem amplectitur, et privilegiorum papalium innovationem et veterem Romanorum institutorum mutationem pollicetur.

Classe Iadara provecta iussu Danduli Venetorum ducis urbs obsidetur ob vetus quoddam foedus violatum, ut aiebat. at Romanorum

Βενετίας Δανδούλῳ δουκί, ὡς δῆθεν παλαιὰς συνθήκας πρὸς τοὺς ἐκ γένους ἐκείνῳ παραβλεψάμενα· ὁ δέ γε κρατῶν Ῥωμαίων Ἀλέξιος ἐκ πολλοῦ τὴν τῶν Λατίνων ἐνωτιζόμενος κίνησιν πρὸς οὐδέν τι ἄμεινον ἑαυτῷ τε καὶ Ῥωμαίοις διέκειτο· τὸ γὰρ περιττὸν ἐς μαλακίαν ἴσην ἔχει πως καὶ τὴν βλακείαν πρὸς τὰ κοινωφελῆ καὶ τὰ δέοντα. οἱ δὲ τῶν περιφύτων ὀρῶν φύλακες ἐκτομίαι, ἃ τοῖς βασιλεῦσιν ἀνεῖται πρὸς κυνηγέσια, καθάπερ ἱερῶν ἄλσεων, εἰπεῖν δὲ καὶ θεοφυτεύτων παραδείσων, ἐφείδοντο τουτωνί, καὶ διηπειλοῦντο τὸν ἔσχα-
D τον κίνδυνον τοῖς ἐκτεμεῖν προθεμένοις ἐκεῖθεν ξύλα ἄττα ναυπηγήσιμα. καὶ μὴν καὶ ὁ τοῦ στόλου δοὺξ Μιχαὴλ ὁ Στρυφνός, κασιγνήτῃ τῆς δεσποίνης συνεζευγμένος, δεινότατος ὢν μὴ μόνον γόμφους καὶ ἀγκύρας χρυσίου ἀλλάξασθαι ἀλλὰ καὶ λαίφεσιν ἐπιθέσθαι καὶ ἐξαργυρίσαι πρότονα, ἀπαξάπαντος πλοίου μακροῦ τὰ νεώρια Ῥωμαίων ἐκένωσε. καὶ βασιλεὺς οἷς οὐκ ἐπετίμα τοῖς ἀβελτέροις τὰ τῶν κακῶν κάκιστα δρῶσιν, ἐπευδοκῶν τοῖς γινομένοις ἡλίσκετο. μᾶλλον μὲν οὖν καὶ αὐτὸς οἰκουρίᾳ χαίρων νῦν μὲν γεώλοφα καθῄρει καὶ ἀνεπλήρου φάραγγας, ἀλωὰς αὐτουργῶν, νῦν δὲ εἰς ἐπιδείπνιον εἶχε γέλωτα τὴν τοῦ Λατινικοῦ στόλου ἀπόπλοιαν, καὶ ὡς εἰς μῦθον ἀπέλυε τὰ τοῖς ὠσὶν ἔναυλα δεινὰ καὶ
P. 349 πρὸ ὀμμάτων πολλοῖς κείμενα. ἐπεὶ δὲ παρεστήσαντο μὲν οἱ

6. post δέοντα B: πρὸς δὲ τοὺς λέγοντας αὐτῷ ὅτι συμφέρει ἵνα καὶ ἅρματα παρασκευάσωμεν καὶ κάτεργα καὶ ὄργανα πολεμικὰ ποιήσωμεν ἐπάνω τοῦ κάστρου, ὅπως ἔχωμεν αὐτὰ ἐξ ἑτοίμου, νεκρῷ ἐφαίνετο λέγειν· οὐκ ἀπελογεῖτο γὰρ ἀλλ' ἐκάθητο γελῶν καὶ ἐμπαίζων B. 14. πρότονας A.

imperator Alexius iam pridem Latinorum motu audito nihil praeparavit, quod e re vel sua privatim vel publice omnium esset: nam immodica mollities rebus gerendis nihilo aptior est quam dementia. et spadones silvosorum montium custodes, qui imperatoribus tanquam sacri luci aut divini paradisi venandi gratia consecrati sunt, parcebant arboribus, et extremum periculum iis minitabantur qui ad fabricandas naves ligna inde peterent. adhuc classis dux Michael Stryphnus, cui dominae soror nupta erat, non tantum clavos et ancoras auro permutare sed vela etiam et rudentes vendere solitus, longis navibus prorsus omnibus navalia Romana spoliarat. imperator vero vecordes homines pessima facinora perpetrantes adeo non castigabat, ut iis cum primis propitius esse videretur. iam quia libenter domi desidebat, nunc colles aequabat et valles complanabat et areas faciebat; nunc Latinae classis expeditionem a coena pro ludicro deridebat, et ut fabulam elevabat ea pericula quae multi audie-

Λατῖνοι τὰ Ἰάδαρα, τῇ δ' Ἐπιδάμνῳ προσώκειλαν, καὶ βασιλεὺς Ῥωμαίων ὁ συνὼν ἐκείνοις Ἀλέξιος παρὰ τῶν Ἐπιδαμνιτῶν ἀνηγόρευτο, καὶ τὴν περὶ τούτων φήμην ἀναμφήριστον εἶχεν ὁ βασιλεύς, γίνεται παροιμιώδης ἀσπαλιεύς, V. 287 ὃς πληγεὶς κομίζεται νοῦν. ἤρξατο τοίνυν ἐπισκευάζειν τὰ τῶν σκαφιδίων ὑπόσαθρά τε καὶ θριπηδέστατα μόλις ἐς εἴκοσιν ἀριθμούμενα, περιελθὼν δὲ καὶ τὰ τείχη τῆς πόλεως τὰς ἔξωθεν οἰκήσεις κατερείπειν προσέταττεν. ὁ δὲ στόλος ἄρας ἐξ Ἐπιδάμνου τῇ τῶν Κερκυραίων παρενέβαλε, καὶ περὶ τὰς εἴκοσιν ἡμέρας σχάσας ἐκεῖθεν τὸν πλοῦν, ὡς ἔγνω τὴν ἄκραν δυσεπιχείρητον, εὐθὺ τῆς Κωνσταντίνου τὰ λαίφη διαπετάννυσιν· ἤδεσαν γὰρ ἐκ μακροῦ τὴν τῶν Ῥωμαίων οἱ ἀφ' B ἑσπέρας ἀρχὴν ἐς μηδὲν ἕτερον περιστᾶσαν ἢ κραιπάλην καὶ μέθην καὶ τὴν Βυζαντίδα Σύβαριν ἀτεχνῶς τὴν ὑμνουμένην ἐπὶ τρυφῇ. ὅθεν εὐπλοίας παραδόξου τυχόντες (αὖραι γὰρ διὰ παντὸς ποντιάδες πραεῖαί τε καὶ πλησίστιοι ταῖς ναυσὶν ἐκείνων ἐπέπνεον) τῇ πόλει ἐφίστανται μηδενὸς εἰδότος σχεδόν. κατάραντες οὖν ἐς Χαλκηδόνα πρὸς τὴν ἀντίπορθμον ἔκτοτε τῇ ἑῴ Περαίαν τὴν κάτωθεν μικρόν τι τοῦ διπλοῦ κίονος, κώπαις μὲν αἱ νῆες, τὰ δὲ πλοῖα λαίφεσιν ἀφικνοῦνται μετὰ μικρόν, καὶ σαλεύουσιν ἐπ' ἀγκυρῶν ἄποθεν τῆς χέρσου ἐς ὅσον μὴ εἶναι βέλους ἐντός. οἱ δέ γε δρόμωνες τῷ Σκουταρίῳ προσίσχουσιν. ἠκροβολίζοντο μὲν οὖν Ῥωμαῖ-

2. τῶν Ἐπιδαμνιτῶν] τῶν τοπικῶν B. 5. ἐπισκευάζειν] καλαφατίζειν καὶ ἀνακτίζειν B. 10. τὰς — εὐθὺ om A. 11. τῆς] τὴν A. 15. εὐπλοίας] ἀνέμου ἐφόρου B.

bant et velut in conspectu habebant. postquam vero Latinos Iadaris ad deditionem compulsis Epidamni appulisse et Alexium imperatorem ab Epidamniis salutatum esse haud dubiis nuntiis cognovit, ut de piscatore proverbio dicitur, ictus sapere incipit, et scaphulas putrescentes et erosas a vermibus vix XX reficit, et moenia urbis obiens aedes extrinsecus eis contiguas dirui iubet. classis Epidamno ad Corcyram provecta Cpolim versus vela fecit: nam Occidentales multo ante norant Romanum imperium nihil esse aliud nisi crapulam et ebrietatem, nec aliud esse Cpolim quam Sybarim illam luxu celebrem. et prosperam navigationem mirabiliter consecuti (nam aurae lenes et secundae perpetuo navibus eorum aspirabant), et urbe ignaris fere omnibus occupata, cum Chalcedonem appulissent, naves partim remigio partim velificatione paulo post in obversam orienti Peraeam non multum infra duas columnas perveniunt, et in ancoris extra teli iactum a littore fluctuant. dromones vero ad Scutarium appellunt. ac Romani ex tumulis et littore irrita tela et plerumque na-

C οἱ κατὰ τῶν πλοίων ἐκ τῶν ἐκεῖσε λόφων προφαινόμενοι καὶ ταῖς ἀκταῖς ἐφιστάμενοι· ἀλλ' ἦν οὐδαμῶς ἀνύσιμα τὰ πεμπόμενα, τὰ δὲ πλείω μηδ' ἐξικνούμενα τοῦ μήκους κατὰ θαλάσσης ἐβάλλοντο. καὶ φάλαγξ ἑτέρα τις ἄνωθεν περὶ τὸν Δαματρύα ἠγραύλει, τὰς τῶν ἱππέων ἐκδρομὰς ἐπισχήσουσα. πλὴν καὶ αὕτη πρὸς οὐδέν τι χρήσιμος ἐγεγόνει· οὐ γὰρ μόνον τοῖς πολεμίοις οὐδ' ἐπὶ βραχὺ προσεπέλασεν, ἀλλὰ καὶ στρέψασα τὰ μετάφρενα τοῖς ἐπιδιώκειν ἐθέλουσιν, οἱ μὲν ἔπιπτον, οἱ δ' ἔμελλον, οἱ δ' ἀνὰ κράτος ἐδραπέτευον, καὶ μάλιστα οἱ στρατηγοὶ ὡς κραδέλαφοι πλέον δείλανδροι. πῶς δ' ἂν καὶ συμβαλεῖν ἀνδράσιν ὑπήνεγκαν, οὓς ψυχάρπαγας ἀγγέλους καὶ χαλκηλάτους ἀνδριάντας οὐκ ὤκνουν ἀποκαλεῖν, καὶ πρὸς τὴν αὐτῶν θέαν τῷ δέει ἐξέθνησκον;

D 10. Ἀλλ' οὔπω συχνοὶ παρῆλθοσαν ἥλιοι, καὶ γνόντες οἱ Λατῖνοι ὡς οὐδεὶς ὁ κατὰ χέρσον σφίσιν αὐτοῖς ἀντιστησόμενος, ταῖς ἀκταῖς προσπελάζουσι. κἀντεῦθεν ἡ μὲν ἱππικὴ στρατιὰ ἵετο βραχύ τι τῆς θαλάσσης ἀπέχουσα, αἱ δὲ νῆές τε καὶ οἱ δρόμωνες καὶ ἐπὶ τούτοις τὰ πλοῖα πρὸς τὸν ἐσέχοντα κόλπον μετέβαινον. ὡς δ' οἱ μὲν ἐπίγειοι οἱ δ' ἐνάλιοι τῷ φρουρίῳ ἐπέστησαν ἐν ᾧ εἴθισται Ῥωμαίοις σιδηρᾶν βαρυτάλαντον ἀποδέειν ἅλυσιν, ἡνίκα πλοίων πολεμίων ἐνσταίη τις ἔφοδος, εὐθὺς προσβάλλουσι τῷ ἐρύματι· καὶ ἦν ἰδεῖν οὓς μὲν τῶν φυλάκων Ῥωμαίων μετ' ἀντιμάχησιν βραχεῖαν φυγάδας δρωμένους ἐκεῖθεν, οὓς δὲ ἀναιρουμένους

5. δαματρὺν B. 11. οὓς ἐκεῖνοι ὠνόμαζον χάροντας καὶ στήλας ὁλοσιδήρους καὶ ἀνδριάντας χαλκοῦς B. 20. post ἐπέστησαν B: ὅπερ ἄρκλα ὠνομάζετο.

ves non attingentia in mare iaciebant. excubabat et alia phalanx ad Damatryn, quae excursiones equitum cohiberet. sed nec illius ulla fuit utilitas: nam adeo ad hostes non prope accesserunt, ut obversis tergis alii ceciderint alii mortem vix effugerint, duces praesertim, cervis timidiores. et quo pacto cum iis viris congressi essent, quos angelos raptores animorum et aereas statuas appellabant? ad quorum conspectum propemodum emoriebantur?

10. Paucis diebus elapsis, cum Latini cognovissent neminem in terra esse qui resistere vellet, propius ad littora accedunt. exinde equitatus paululum a mari recessit, naves in sinum sese contulerunt. ut autem alii terra alii mari castellum id, ad quod ferrea catena maximi ponderis alligari solet cum hostilis classis expectatur, statim oppugnare coeperunt, videres alios ex nostris post exiguam defensionem aufugere, alios occidi et capi, alios per catenam quasi funem in triremes nostras descendere, multos catenam non ade-

καὶ ζωγρουμένους, ἐνίους δὲ καὶ ὡς διά τινος ἱμονιᾶς τῆς ἁλύσεως κατιόντας τε καὶ εἰσιόντας τὰς ἐκεῖσε ἡμετέρας τριήρεις, πολλοὺς δὲ καὶ κυμβάχους κατὰ βυθοῦ φερομένους ἐν τῷ τῆς ἁλύσεως διαμαρτεῖν. εἶτα καὶ αὐτῆς διαρραγείσης εἴσω ξύμπας ὁ πολέμιος στόλος εἰσρύεται. τῶν δ' ἡμεδαπῶν P. 350 τριηρέων αἱ μὲν αὐτίκα χειροῦνται, αἱ δὲ τῷ τῆς πόλεως αἰγιαλῷ προσεγχρίψασαι τιτρῶνται μετὰ τὴν τῶν ἐμπλεόντων κένωσιν. καὶ ἦν πολυειδὲς τὸ κακόν, μηδ' ἐπὶ καρδίαν ὅλως τινὸς ἀνιόν. ἐνίστατο δὲ τότε μὴν Ἰούλιος, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑνδεκάτου ἔτους. ἀνοχευσάμενοι δ' ἐπὶ τούτου μικρὸν οἱ Λατῖνοι, καὶ ὅσον τὸ ποιητέον σκέψασθαι, οἱ μὲν μετὰ τῶν νηῶν, ἡ δ' ἵππος μετὰ τῆς προβεβλημένης πεζῆς στρατιᾶς τῷ Κοσμιδίῳ ἐφίστανται, μικρὰν ἐφευρηκότες ἐκ τῶν Ῥωμαίων ἀντίστασιν περὶ τὴν ἐκεῖ που γέφυραν καὶ τὸν λεγόμενον Τρυπητὸν λίθον. καὶ τὰ μὲν πλοῖα καὶ αἱ νῆες καὶ οἱ δρόμωνες ἐκεῖ που προσίσχουσιν, ὁ δὲ στρατηγὸς στρατήγιον πήγνυσι διειλημμένον ἐν μέρει ὀρυκτοῖς χαρακώ- B μασι καὶ ξυλίνοις περισταυρώμασι περὶ τὸ γεώλοφον ἀφ' οὗπερ ὁρατὰ μὲν τὰ ἐν Βλαχέρναις ἀνάκτορα, ὁπόσα νένευκε πρὸς ἑσπέραν· περὶ δέ γε τὴν τούτου ὑπόβασιν ὑπτιάζει τις αὔλειος, V. 288 πρὸς μεσημβρίαν μὲν ἐς τὸ τεῖχος λήγουσα ὅπερ ἔρυμα τῶν ἀρχείων ὁ βασιλεὺς ἀνήγειρε Μανουήλ, κατὰ δὲ βορρᾶν ἄνεμον τῇ θαλάσσῃ ἐγγίζουσα. σκηνάς τε οὖν ὀρθὰς ἑώρων οἱ ἐν τοῖς τείχεσι, καὶ μικροῦ διομιλεῖσθαι εἶχον τοῖς ἐν αὐ-

9. ἑξακισχιλιοστοῦ] ,ϛψια B. 14. τὴν ἐκεῖσε ὀνομαζομένην καμήλων γέφυραν B. 20. περιαύλειος αὐλὴ πρὸς μεσημβρίαν κειμένη, ἀκουμβίζουσα εἰς τὸ τεῖχος τῶν παλατίων B.

ptos in undas praecipitari. deinde illa fracta tota classis hostilis ingreditur. mox triremes nostrae partim capiuntur, aliae ad littus urbis appulsae fugatis vectoribus lacerantur. erat malum id adeo varium ut nullius hominis cogitatione integrum comprehendi possit. actum hoc est mense Iulio, anno VI M DCCXI. inde Latini cum tantum quievissent quantum ad deliberandum satis esset, alii cum navibus, equites vero cum adiuncto peditatu ad Cosmidium accedunt, parum Romanis armis ad pontem et locum qui Perforatus lapis dicitur impediti, ac naves omnis generis ibi appellunt. dux castrametatur partim fossa partim vallis iuxta collem circumdata, ex quo Blachernia regia, qua ad occasum vergit, conspicitur. circa descensum illius vestibulum quoddam versus meridiem aperitur, in eum murum desinens quem Manuel muniendi castelli causa struxit; versus Septentrionem vero prope mare porrigitur. ergo qui in urbe erant, erecta

ταῖς, περὶ τὴν Γυρολίμνην στρεφομένοις. καὶ οἱ μὲν οὐ χάρακι ἐπίκαν καὶ ὅπλοις, τῷ δὲ περιβόλῳ τῆς πόλεως ἡμῶν διειργοντο· ὁ δὲ βασιλεὺς Ἀλέξιος πάλαι τεθησαυρικὼς ἐν
C τῇ ψυχῇ τὴν φυγὴν καὶ ἅπας αὐτῆς γενόμενος ὡπλοφόρησεν οὐδαμοῦ, οὐδ' ἀντιμέτωπος ὤφθη τοῖς ἔξωθεν, ἀλλὰ θεατὴς τῶν δρωμένων ἐκάθητο, τοὺς ὑπερυψήλους δόμους ἀνιὼν οἳ τῆς ἐξ Ἀλαμανῶν δεσποίνης κικλήσκονται. οἱ δέ γε περὶ τὸν βασιλέα οἰκειακοί τε καὶ συγγενεῖς, ὁσονοῦν ἀγηοχότες στράτευμα ἱππικὸν καὶ μοῖραν εὐάριθμον πεζικήν, ἐκ διαλειμμάτων ἐξῄεσαν, μόνον οὐ προθέμενοι δεικνύειν μὴ ἔρημον ἀνθρώπων τὴν πόλιν εἶναι παντάπασιν. ἐπελάσεις τοίνυν ἐξ ἐπιδρομῆς μερικαὶ καὶ διακοντίσεις ἱπποτῶν πρὸς ἱππέας κατ' ἐρεθισμὸν καὶ ζῆλον ἀνδρείας πολλάκις τῆς ἡμέρας συνέβαι-
D νον ἑκατέρωθεν· καὶ ἦσαν ἐπὶ τούτοις οὐκ ἀγεννῆ τὰ ἡμέτερα, καὶ μάλιστα ἡνίκα διεστρατήγει τὸν πόλεμον ὁ τοῦ βασιλέως γαμβρὸς Θεόδωρος ὁ Λάσκαρις· οὗτος γὰρ ῥαγδαιότερον συμπλεκόμενος εἶναι καὶ παρὰ Ῥωμαίοις ἀρεϊκοὺς ἄνδρας τοῖς Λατίνοις ἐκ τῶν ἔργων ἐξέφαινεν. ἀλλὰ καὶ πεζῶν ἐκπηδῶσαι δυνάμεις ἐς τὴν αὔλειον μάλιστα ἣν εἰρήκειμεν τοῖς ἐναντίοις προσέβαλλον. ἦν δὲ καὶ ἀπὸ τῶν πετροβόλων μηχανημάτων ἀχρειούμενα τὰ βασίλεια, ἐνιαχοῦ δὲ

4. γινόμενος A. 11. ἐπελάσεις] ἐγένοντο οὖν καθ' ἑκάστην ἡμέραν ἀνεμοπόλεμοι καὶ συμπλοκαὶ καβαλλαρικαὶ B. 17. ἀρεϊκοὺς] ἀνδρειωμένους B. 20. καὶ ἀπὸ τῶν τείχων τοῦ κάστρου τῆς πόλεως λίθους μετὰ τῶν τετραραίων ῥίπτοντες τοὺς λατίνους ἐξέπλήττον. πλὴν καὶ οὗτοι διὰ τῶν μηχανημάτων ὧν ἐποίησαν λίθους καὶ αὐτοὶ ῥίπτοντες κατέλυον τὰ παλάτια. B.

tabernacula cernebant, et pene colloqui poterant cum iis qui ad Gyrolimnam versabantur; nec illi vallo et armis sed moenibus urbis a nobis distinguebantur. caeterum imperator Alexius, qui pridem fugam animo destinarat in eaque totus erat, nusquam arma tulit neque in aciem contra hostes prodiit, sed spectator assedit conscensis altissimis aedibus, quae ab Alemannorum domina nomen habent. eius vero familiares et cognati cum quantocunque equitatu et exiguo peditatu per intervalla exibant, tantum non ut ostenderent urbem hominibus non omnino esse vacuam. saepe igitur eodem die utrinque cohortes aliquot levia equestria certamina aemulatione fortitudinis faciebant; qua in re nostri haud segniter se gerebant, praesertim cum imperatoris gener Theodorus Lascaris copias ducebat. is enim magno impetu invehi solitus re ipsa docebat Latinos apud Romanos quoque viros fortes reperiri. sed et peditum cohortes in id quod diximus vestibulum egressae hostes lacessebant. palatia ma-

καὶ τῶν τειχέων τῆς πόλεως βάρη λίθων ἀποσφενδονούμενα τοὺς ἐναντίους κατέπληττον. ἐνστάσης δὲ τῆς ἑπτακαιδεκάτης τοῦ Ἰουλίου μηνὸς χερσαῖοί τε καὶ ὑδραῖοι ἀνδρικώτερον ἔγνωσαν διαγωνίσασθαι οἱ ἀντίμαχοι, ὡς ἢ τῶν κατὰ σκοπὸν ἐπιτευξόμενοι ἢ τούτων διαπεσόντες ἐς συμβάσεις βλέψοντες· ἀμφότερα γὰρ ἡ φήμη διιπταμένη λαμπρῶς ἐκώτιλλεν. οἱ μὲν τοίνυν τὰ πλοῖα φέροντες ἔστησαν κατέναντι τῶν P. 351 Πετρίων, βοείαις δοραῖς φραξάμενοι ταῦτα, ὡς εἶεν πυρὶ ἀδήωτα, κἂν ταῖς κεραίας τεκτηνάμενοι κλίμακας τὰς βαθμῖδας μηρινθώδεις ἐχούσας, ὑποχαλωμένας διὰ κάλων καὶ αὖθις αἰρομένας εἰς ὕψος προσδεδεμένων τοῖς ἱστοῖς· οἱ δὲ τειχεσιπλήτην κριὸν κρατυνάμενοι, καὶ τοὺς τζαγροτοξότας πολλαχῇ περιστήσαντες, ὡς ἀφ' ἑνὸς συνθήματος ποιοῦνται τὴν σύρρηξιν. καὶ ἦν ἡ μάχη φρικαλέα τις καὶ στονόεσσα πάντοθεν. οἵ τε γὰρ περὶ τὸν κριὸν ὁπλισάμενοι Λατῖνοι τὸ τεῖχος ῥήξαντες πάροδον ἔσχον ἔνδοθεν, ὃ παρατείνει πρὸς θάλασσαν περὶ τόπον ὃς Ἀποβάθρα βασιλέως ὀνόμασται, εἰ καὶ πρὸς τῶν ἐπικούρων Ῥωμαίοις Πισσαίων καὶ τῶν πελεκυφόρων βαρβάρων γενναιότερον ἀπεκρούσθησαν καὶ τραυματίαι οἱ πλείους ἀνέζευξαν· οἵ τε τοῖς πλοίοις ἐνόντες τοῖς περὶ τὰ Πετρία τείχεσι προσπελάσαντες καὶ δι' ἀκατίων τὰς ἀγκύρας τῶν πλοίων ἔραζε ῥίψαντες ἐκ τῶν κλιμάκων, B

2. ἐνστάσης] τῇ δὲ ἑνδεκάτῃ ἡμέρᾳ τοῦ B. 7. τοῦ κάστρου τῶν πετρίων λεγομένου B. 8. βοείαις] μετὰ πετζίων βοεικῶν B. 20. οἵ τε τοῖς] οἱ δέ γε ἐν τοῖς καραβίοις ὄντες διὰ τῶν βαλκῶν τὰ σίδηρα ἐπὶ γῆς στερεώσαντες καὶ μέχρι τῶν τοῦ κάστρου τειχῶν ἀκουμβίσαντες καὶ τὰς σκάλας ὑψώσαντες, ὡς ἐπάνω τῶν τειχέων ὑπεραναβῆναι ταύτας, διὰ τούτων τοῖς ῥωμαίοις ἐμάχοντο. B.

chinis diruebantur; alicubi etiam ex moenibus ingentium saxorum iactibus hostes terrebantur. enimvero XVII die Iulii terra marique simul fortius dimicare instituerunt, ut aut votorum compotes futuri, aut si iis frustrarentur, ad pactiones descensuri. nam utrumque rei fama haud obscura vagabatur. ac alii naves boum tergoribus contra ignem munitas ad Petrium adduxerunt, scalis in antennis ex funibus factis, quae rudentibus ad malos alligatis demittebantur et in altum attollebantur. alii ariete ad moenia adducto, et Zagrotoxotis passim dispositis, tanquam uno signo dato congrediuntur, et atrox praelium committitur. nam Latini qui cum ariete erant, perfracto muro qui ad mare pertinens Scala imperatoris dicitur, intro penetrarunt: sed ab auxiliaribus Pisanis et bipenniferis barbaris fortiter propulsati et plerique vulnerati recesserunt. qui vero navibus Petrium occuparant, aggressi moenia, ancoris navium per cymbas ex scalis humi proiectis, Romanos ex turribus fa-

ἔπειτα τοῖς ἐκ τῶν πύργων Ῥωμαίοις συμπλέκονται, καὶ τρέπονται τούτους ῥᾳδίως ὡς ἐξ ὑπερδεξίων μαχόμενοι καὶ οὐ μόνον ἀπὸ ὕψους ἀλλὰ καὶ κατὰ κορυφὴν οἷον ἐφεστῶτες καὶ βάλλοντες· κατὰ πολὺ γὰρ τῶν τῆς πόλεως τειχέων ὑπερανεστήκεσαν αἱ ἐν τοῖς πλοίοις κλίμακες, μετέωροι διὰ C πεισμάτων γινόμεναι. τὸ δ' ἀπὸ τοῦδε λαβόμενοι τῶν τειχισμάτων οἱ πολέμιοι πῦρ ἐνιᾶσι ταῖς οἰκίαις, ὁπόσαι τοῖς τείχεσιν ἐκκρεμεῖς, διασκεδασθέντες πολλαχῇ. καὶ γίνεται τῆς ἡμέρας ἐκείνης ἐλεεινόν τι θέαμα καὶ ποταμοὺς ἕλκον δακρύων ἀντιρρόπων τῷ πολλῷ τῆς πυρκαϊᾶς· πάντα γὰρ ὅσα ἐκ τοῦ τῶν Βλαχερνῶν βουνοῦ πρὸς τὴν μονὴν διήκει τοῦ Εὐ- V. 289 εργέτου κατηθάλωτο, καὶ ὑπερεμηκίσθη τὸ καλούμενον Δεύτερον ἡ τοῦ πυρὸς ἐρωή. ἰδὼν δ' ὁ βασιλεὺς τὸ οἰκτρὸν τοῦτο τῆς βασιλίδος δυστύχημα, καὶ τὴν συνοχὴν τῶν ἀνθρώπων εὐλαβηθείς, ὁπλίτης γίνεται μόλις, καὶ μάλισθ' ὅτι πρὸς ὀργὴν τοὺς πλείους ἐπιφρίσσοντας ἑώρα καὶ λόγους ἐπαχθεῖς κατ' αὐτοῦ καὶ προπηλακισμοὺς ἀφιέντας, οἷς οἰκουρεῖν ἑλο- D μένου ἐπὶ μᾶλλον τὰ τῶν ἐναντίων φρονήματα ἤρετο, μηδεμιᾶς ἀρωγῆς ὑπονοθευομένῃ τῇ πόλει προσγινομένης, ἀλλ' ἀφεὶς τὸν πόλεμον τοῖς τείχεσι προσελθεῖν, πρᾶγμα μὴ ἐσδεῦρο πραχθέν, ὡς εἴπερ οὐδένες τῶς ἐνόντων ἠπίσταντο πολεμεῖν, μηδὲ βέλτιον ᾔδεσαν τὰ φθάσαι τὸν ἀντίπαλον μᾶλλον ἢ παρ' αὐτοῦ προληφθῆναι, ὅσα καὶ σῶμα δεινῷ καχεκτήματι τὴν ἴασιν ὑπερπαίοντι. ἐξιὼν τοίνυν τῶν ἀρχείων ἐκ-

7. πῦρ] βάλλουσιν ἰστία εἰς τὰ ὀσπήτια B. 13. δ' om A. 20. ἀφεὶς] ἀφῆκε τοὺς ἐχθροὺς μέχρι καὶ τῶν τειχῶν ἀκουμβίσαι τῆς πόλεως B. 23. ὅσα καὶ] ὥσπερ καὶ τὸ σῶμα ὅτι κρεῖττον ἐστὶ πρὸ της ἀσφαλείας ἀσφαλίζεσθαι ἢ ὑπὸ τῆς ἀσθενείας κυριευθῆναι καὶ καταβληθῆναι. B.

cile deturbarunt, quippe cum ex superiore loco pugnarent, ac tantum non supra vertices eorum astantes tela coniicerent: nam scalae navium rudentibus in altum eductae longae supra moenia eminebant. quibus hostes occupatis aedes illis contiguas incendunt passim vagantes. editur eo die miserabile spectaculum, quod flumina lacrimarum tanto incendio paria postulet. nam quicquid a colle Blachernio usque ad Euergetae monasterium pertinet, flamma est absumptum, flammae impetu ultra Deuterum elato. imperator tam miserabili infortunio viso, anxietatis populi mensertus vix tamen arma induit; idque cum a plerisque iratis urgeretur, qui maledictis et conviciis non abstinebant, quod desidia sua hostium animos augeret nec ullam urbi afflictae opem ferret, sed bellum ad moenia accedere pateretur, quod hactenus nunquam accidisset; quasi vero nemo esset qui pugnare sciret, neque praestaret hostem antevertere quam anteverti, ut cor-

πότας πλείστους πρὸς ἑαυτὸν ἐπεσπάσατο, καὶ πεζή τις φάλαγξ οὐκ ἀγεννὴς συνδεδράμηκεν ἐκ τῆς ἀκμῆς τῆς πόλεως, ὥστε καὶ τῷ κατὰ χέρσον πολεμίῳ στρατεύματι φρικασμὸς ἐπεγένετο σώματος, μεγίστην αἰφνηδὸν θεασαμένῳ παράταξιν. τάχα δ' ἂν καὶ σωτήριον ἔργον διήνυστο, εἰ ὁμόσε κεχωρήκει τοῖς ἀντιπάλοις ἢ τῷ κηδεστῇ Λάσκαρι τὴν συμπλοκὴν συγκεχώρηκεν, συμμῖξαι τοῖς Λατίνοις σφαδάζοντι. νῦν δὲ ἡ ἐνδελεχὴς τῆς φυγῆς ἔννοια καὶ τὸ τῶν περὶ αὐτὸν εὐπτόητον τοῦ τί δεῖ ποιεῖν ἐξέκρουσε τὸν Ἀλέξιον. καὶ παραταξάμενος μόνον, ὅθεν ἐξῆλθε Ῥωμαίοις ἀσπάσιος ὡς δῆθεν ἀν- P. 352
τιταξόμενος τοῖς Λατίνοις, εἰσῆλθεν αἴσχιστος καὶ ἐφύβριστος, σοβαρώτερον μᾶλλον καὶ θρασύτερον πεποιηκὼς τὸ ἀντίμαχον, ἐπεὶ καὶ κατεπαρθὲν τῶν Ῥωμαίων ὀπίσω τούτων εἵπετο τραπομένων πρὸς ὑπονόστησιν, καὶ τὰ δόρατα ἐπεκράδαινον. εἰσιὼν οὖν Ἀλέξιος τὰ βασίλεια πρὸς ἀπόδρασιν ἐνσκευάζεται, ὡς εἴπερ φερομένην τὴν πόλιν εἰς ἀτυχὲς πτῶμα καὶ ὑπὲρ αἶσαν ἀφαντῶσαι διενοεῖτο, καὶ τὸν ταύτης ἀποτεταμένον συνέτεμεν ὄλεθρον. τὰ τοῦ σκοποῦ τοίνυν κοινωσάμενος μετρίοις τῶν κατευναστριῶν ἐκείνῳ καὶ συγγενῶν, κἀκ τῶν θυγατέρων τὴν Εἰρήνην καὶ δέκα χρυσίου ἐνθέμενος κεντηνάρια καὶ κόσμους ἄλλους βασιλικοὺς ἐκ λίθων τιμαλ- B
φῶν συγκειμένους καὶ μαργάρων διαφανῶν, περὶ τὴν πρώτην ὥρας φυλακὴν τῆς νυκτὸς ἤλαυνεν εἰς τὸ Δεβελτόν, ἔνθα τὴν οἰκείαν προητοίμασεν ἄφιξιν, δείλαιος ἐν ἀνθρώποις, μὴ φίλ-

pus gravi valetudine et omnem medicinam respuente oppressum. igitur palatio egressus plurimos equites ascivit; et pedestris phalanx non contemnenda ex flore civitatis est contracta, ut hostes qui in terra erant, maximo exercitu ex improviso conspecto, horrore afficerentur. ac forsitan res bene gesta esset, si vel ipse pugnam commisisset vel id Lascari genero permisisset, in Latinos irruere cupienti. nunc perpetua fugae cogitatio et familiarium eius trepidatio eum consilii inopem fecit, ut tantum acie instructa, qua Romanis carus et gratus ut Latinos aggressurus exierat, eadem turpissime et summo cum dedecore rediret, aucta et confirmata hostium ferocia, qui Romanorum discedentium tergis inhaerebant et hastas in eos vibrabant. in palatium reversus ad fugam se parat, quasi de industria urbem afflictam et contra fatum perditam et remotius eius exitium acceleratum vellet. eoque consilio cum paucis mulierculis et cognatis communicato, et Irene filia et decem auri centenariis cum alio ornatu imperatorio ex pretiosis gemmis et perspicuis margaritis in navem impositis, sub primam noctis vigiliam Debeltum contendit, ubi suum adventum praepararat, homo timidissimus, qui non caritate liberum

τρῷ παίδων μαλαχθείς, μὴ γυναικὸς ἔρωτι δαμασθείς, μὴ τηλικαύτῃ πόλει μαλακισθείς, μηδέ τι τῶν ἄλλων εἰς νοῦν βαλόμενος, φιλοψυχίᾳ δὲ καὶ δειλανδρίᾳ σωτηρίαν ἑαυτῷ, καὶ ταύτην ἀμφίβολον, χωρῶν καὶ πόλεων τοσούτων καὶ γένους παντὸς ἀλλαξάμενος. ἐβασίλευε μὲν οὖν ἐνιαυτοὺς ὀκτὼ καὶ μῆνας τρεῖς καὶ ἡμέρας δέκα, ἦν δὲ τὰ μὲν ἐς πόλεμον C ὁποῖος εἴρηται, οὐδὲ τὰ πρὸς κοινὴν διοίκησιν ἀπεξεσμένος παντάπασιν, ἵνα μὴ λέγοιμι ὡς ἐξέκλινεν εἰς τὸ πάντῃ ὀλίγωρον. τὰ δ' ἄλλα οὐκ ἦν τις ἀπόβλητος, χαρίεις δὲ τὸ ἦθος, εὐῆλιξ καὶ ὄρθιος. πλέον δὲ πάντων τῷ μειλιχίῳ τοῦ ἤθους ἐκέκαστο, μὴ δυσπρόσοδος ὤν, οὔτε μὴν ὑποσκυζομένῳ προσώπῳ καὶ ὑπεροφρυάζοντι βλέμματι ἐκκρούων καὶ τὸ ὑπ' ὀδόντα γρύξαί τινα, ἀλλ' ἦν τοῦ βουλομένου παντὸς προσελθεῖν ἐκείνῳ καὶ δεηθῆναι, ἐνιαχοῦ δὲ καὶ πρὸς ἀντιφάσεις χωρεῖν οὐχ ὑποστελλομένῃ φωνῇ. καὶ τοὺς ἐπαλλήλους διαβόλους καὶ τοὺς κόλακας λαμπρῶς περιίστατο. ἔχων δὲ τὴν συνείδησιν βάλλουσαν ἐφ' οἷς ἠνόμησεν εἰς τὸν ἀδελφόν, D τὸ χρεὼν ἐδεδίει καὶ τὴν πάντα περισκοποῦσαν τὰ θνητῶν πράγματα δίκην διηνεκῶς ὑπεβλέπετο, ὅθεν κατανύξει καρδίας συνείχετο, καὶ δεικνὺς ἀκηδιῶν πνεῦμα ἤλυέ τε καὶ ἐδυσφόρει καὶ ἤχθετο. εἰ δὲ μέγα καὶ βασιλεῦσιν ἐργῶδες V. 290 τὸ μὴ τῶν ἀσταχύων ἐκτέμνειν τοὺς ὑπερέχοντας μηδὲ θηριωδῶς ἐμπηδᾶν τοῖς παραλυπήσασι, καὶ τοῦτο προσπλουτοῦντα ἴδῃ τις ἂν τὸν Ἀλέξιον· οὐδὲ γὰρ πρὸς φυτείαν σκότους ὀφθαλμοὺς ἐπαττάλευσεν, οὐδὲ κλαδῶν ἦν ὡς ἀμπέ-

9. χαρίεις — ὄρθιος om A.

emollitus, non amore coniugis subactus, non tantae urbis miseratione fractus, de generi vitae cupiditate, salutem suam, eamque ambiguam, tot urbibus, tot provinciis totaque sua familia commutavit. imperavit annos VIII, III menses, et dies X. in re bellica talis fuit ut dictum est, nec ad civilia munia satis aptus, ne dicam plane fuisse negligentem; caetera non aspernandus, clementia et lenitate omnibus superior, aditu facilis, non severitate vultus, non arrecto supercilio quenquam a suo alloquio deterrebat. cuivis eum adire et orare licebat; aliquando etiam non submissa voce illi refragari. calumniatores et adulatores frequentes circum se habebat. sed cum sceleris in fratrem admissi conscientia flagellaretur, fatum timebat et vindictam omnes res humanas perlustrantem perpetuo reformidabat. itaque animo angebatur, metu sollicitudine poenitentia aestuans. quodsi regibus magnum est ac difficile spicas eminentes non decutere, nec immaniter eos prosternere a quibus offensi fuerint, etiam ea laude abundavit Alexius. neque enim vel oculos effodiebat vel membra

λους τὰ τοῦ σώματος ἀκρωτήρια, μάγειρος ἀνθρώπων γενόμενος. οὐδ' ὅσον χρόνον τὴν στυγνόχροον πορφύραν ἐνεδέδυτο, γυνή τις ἠμφιάσατο μέλανα χήτει ἀνδρός, ὃν μέλας ἐκάλυψε θάνατος. οὐδὲ πῦρ ἔβλεψε τῶν ὀμμάτων ὡς τῶν λίθων οἱ ἀκτινώδεις, οὐδ' ἐνέφυ τισὶν εἰς ἐπήρειαν ὡς λείβειν θρόμβους δακρύων ὁποῖα τὰ τῶν μαργάρων σφαιρώματα.

mutilabat, neque carnificina hominum delectabatur; neque ulla matrona, quandiu is imperavit, ob maritum interfectum pullam vestem induit; neque quisquam contumeliis ab eo affectus fortunas suas deploravit.

ΒΑΣΙΛΕΙΑ ΔΕΥΤΕΡΑ

ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΑΓΓΕΛΟΥ

ΚΑΙ ΤΟΥ ΥΙΟΥ ΑΥΤΟΥ ΑΛΕΞΙΟΥ.

P. 353 1. Ὧδε μὲν οὖν ἤλαυνεν ἐς Δέβελτον Ἀλέξιος, ὑπ' οὐ-
V. 291 δενὸς ἐλαυνόμενος. ἦν δ' ἄρα οὐ μόνον χαλεπὸν γυνή, καὶ τὸ τῆς συνευνάσεως φίλτρον βλάψειε μᾶλλον ἢ ὠφελήσειε, καθά τις ἐγνωμάτευσε τῶν πάλαι, κακῶς ἐς βασιλείαν παθὼν προχοίτου γυναικὸς εἰσηγήσεσιν· ἀλλὰ καὶ γύννις ἀνὴρ ἀργαλέον πρᾶγμα καὶ χείριστον, καὶ τί οὐκ ἂν ἐπαχθὲς καὶ εἰς κίνδυνον ἐλαῦνον τὸν ἔσχατον τὸ ὑπ' ἐκεῖνον ταττόμενον πείσεται; ὃ δὴ καὶ Ῥωμαίοις αὐτοῖς συνενήνεκται, ἀνειμένους καὶ χαλαροὺς καὶ τὸν ἀπολαυστικὸν βίον μεταδιώκοντας

8 προσχοίτου?

ISAACII ANGELI

UNA CUM ALEXIO FILIO

ITERATUM IMPERIUM.

---

1. Ac sic Debeltum fugit Alexius, cum a nemine fugaretur. neque vero mulier duntaxat res gravis est, et coniugalis amor plus nocet quam iuvat, ut quidam ex veteribus a muliere afflicto imperio queritur, sed vir etiam mollis et effeminatus res pessima et molestissima est, cui qui parent, quid infortunii, quid extremi periculi non subibunt? id quod ipsis Romanis accidit, cum adverso quodam fato

δυστυχήσασιν αὐτοκράτορας, τοὺς δ' αὐτοὺς καὶ δυσπάλαιστον μὲν τὴν ἀνάγκην ἀνύποιστον δὲ τὸ περὶ ψυχῆς δέος δι' ὅλου κρίνοντας. ἀλλ' ὁ μὲν ὥδευεν ἣν προέθετο, ὁ δ' ἐντὸς P. 354
τῶν ἐν Βλαχέρναις ἀρχείων εὑρεθεὶς τῷ τότε λεὼς σφόδρα ἤνεγκεν ἀφορήτως τὴν Ἀλεξίου ἀπόδρασιν, συστρεφόμενός τε καὶ συγχεόμενος τὴν ψυχὴν διὰ τὰς ἐμφαινομένας τῶν κακῶν ἐλπίδας· καὶ γὰρ ᾤοντο μηδὲν μελλήσαντας τοὺς Λατίνους, οἷα μηδὲ σκηνουμένους ἄποθεν ἢ τὸν ἐπισχήσοντα ἔχοντας, μεθ' ὅπλων αὐτίκα ἐπιρρεῦσαι τῇ πόλει καὶ τῶν τειχέων εἴσω παρεισελθεῖν. οὐκοῦν καὶ τοὺς μὲν γένει προσήκοντας Ἀλεξίῳ καὶ τοὺς ἄλλως ἐπιτηδείως ἔχοντας ἐκείνῳ καὶ τὴν ἄνασσαν Εὐφροσύνην, προδότου δόξαν λαβόντας, οὐ προσεκαλέσαντο εἰς τὴν ἀρχήν. διὰ δὲ τὸ ἄμαχον τῆς τῶν πρα- B
γμάτων ἀγρίας προσβολῆς εἰς αὐτὸν ἀφορῶσιν Ἰσαάκιον τὸν Ἀλεξίου κασίγνητον, ὡς εἰς τὴν καλουμένην ἱερὰν ἄγκυραν τελευταῖον οἱ τοῖς ἀκαταστορέστοις περιστοιχιζόμενοι κύμασιν, ἔνδον τῶν ἀρχείων εἱργνύμενον. καὶ δὴ τοῦ ἐκτομίου Κωνσταντίνου, ὃς ἐπὶ τῶν βασιλικῶν ἐτέτακτο θησαυρῶν, τοὺς πελεκυφόρους συναγαγόντος καὶ τούτοις ὡμιληκότος τὰ δέοντα, συνδραμούσης δὲ καὶ συμμορίας τινῶν οἳ βασιλεύσειν αὖθις τὸν V. 292
Ἰσαάκιον διὰ σπουδῆς πάλαι ἐτίθεντο, ἡ μὲν βασιλὶς Εὐφροσύνη συλλαμβάνεται, χειροῦται δὲ καὶ τὸ συγγενὲς αὐτῇ, ὁ δ' Ἰσαάκιος ἀναγορεύεται αὐτοκράτωρ· καὶ χειραγωγούμενος δι' ἣν ὑπέστη πήρωσιν, ὁ τὸ πᾶν ταττόμενος ἐφορᾶν, C
εἰς θῶκον ἀνάγεται τὸν βασίλειον. πέμψας δ' εὐθέως ἀγγέ-

5. συνεστρεφόμενος A, εὐστρεφόμενος PW.

in molles ignavos et voluptarios imperatores incidissent, qui labores non ferendos et vitae pericula intolerabilia iudicabant. caeterum eo coeptum iter prosequente, populus qui in palatio convenerat Alexii discessum gravissime tulit, animis imminentium periculorum metu consternatis. putabant enim Latinos, qui castra in propinquo haberent nec a quoquam prohiberentur, statim armatos in urbem irrupturos. igitur Alexii cognatis et familiaribus et imperatrice Euphrosyna ut proditoribus contemptis, ob gravissimorum periculorum procellas, intra palatium tanquam in carcere inclusi Isaacium Alexii fratrem tanquam sacram ancoram intuentur; et cum spado Constantinus fisci praefectus bipenniferos coegisset et apta oratione conciliasset, concursu etiam ab ea factione quae iam olim Isaacio restitutum cupiebat imperium facto, imperatrix Euphrosyna una cum cognatis comprehenditur, Isaacius vero imperator salutatur; et manu ductus ob excaecationem is cui prospicienda erant omnia, in imperatorio

λους Ἀλεξίῳ τε τῷ υἱῷ καὶ τοῖς τοῦ Λατινικοῦ στρατεύματος ἡγεμόσι παρίστησι τὴν τοῦ βασιλέως καὶ ἀδελφοῦ φυγήν. οἱ δὲ οὔτε τι τῶν προσδοκωμένων κατὰ τῆς πόλεως ἐνεόχμωσαν, καὶ τὸν Ἰσαακίου δὲ υἱὸν οὐ πρότερον αἰτησαμένου τοῦ πατρὸς ἐκπεπόμφασιν, εἰ μή γε καὶ αὐτὸς Ἰσαάκιος εἰς πέρας ἀγαγέσθαι συνέθετο ὅσα ὑπέσχετό σφισιν ὁ υἱὸς αὐτοῦ Ἀλέξιος. τὰ δὲ ἦσαν, ὡς ἐν τοῖς λόγοις ἐρρέθη τοῖς ἔμπροσθεν, μηδεμίαν τῶν πρὸς δόξαν καὶ κέρδος τοῖς διαθεμένοις Λατίνοις D ὑπερβολὴν ἀπολείποντα· ὑπὲρ γὰρ τοῦ μὴ τῆς πατρῴας ἀρχῆς ἀποτεύξασθαι πάντα πράττων Ἀλέξιος, χαλίφρον καὶ πραγμάτων ἀδαὲς μειράκιον, οὔτε ἠκριβολόγησέ τινα τῶν ζητημάτων οὔτε μὴν τὸ μισορώμαιον φρόνημα τῶν Λατίνων ὁπωσοῦν ἐβάλετο κατὰ νοῦν. ἐπὶ τοιαῖσδε τοίνυν τοῦ βασιλείου ὕψους καταστροφαῖς τὴν εἰς τὴν πόλιν πριάμενος εἴσοδον, συνεδρίας ἠξίωτο πατρικῆς καὶ βασιλείας προσλέληπται κοινωνός. ἅπας τοίνυν φυλέτης τῆς πόλεως εἰς τὰ ἀρχεῖα συνέτρεχε σὺν τῷ πατρὶ τὸν υἱὸν ὀψόμενος καὶ ἀμφοῖν ἀποδώσων προσκύνησιν. μετ' οὐ πολλὰς δ' ἡμέρας καὶ οἱ τῶν Λατίνων ἡγεμόνες ἐς τὰ βασίλεια παραβάλλουσιν, οὐχ οὗτοι δὲ μόνον ἀλλὰ καὶ οἱ τὸ γένος παρ' ἐκείνοις ἐπίσημοι· καὶ παρενηνεγμένων σκιμπόδων τοῖς βασιλεῦσι συνήδριζον ἅπαντες, εὐεργέται καὶ σωτῆρες ἀκούοντες καὶ πᾶσαν ἄλλην ἀγαθὴν προσηγορίαν δεχόμενοι, ὡς τὸν φίλαρχον Ἀλέξιον ἐς αὐτὰ τισα-

16. ἅπασαι τοίνυν αἱ γενεαὶ αἱ ἐντὸς οὖσαι τῆς πόλεως B. 20. παρενηνεγμένων σκιμπόδων] σουπεδίων χρυσῶν προτεθέντων B. 23. ὡς τὸν φίλαρχον] ὡς τὸν υἱὸν αὐτοῦ τὸν ἀλέξιον τὸν ἐκ νεαρᾶς ἡλικίας δυστυχήσαντα πρὸς τὴν βασιλείαν ἀναβιβάσαντες. οὐ — B.

solio collocatus, missis statim ad Alexium filium et Latini exercitus duces nuntiis fratris sui imperatoris fugam eis nuntiat. ii vero nec contra urbem eorum quicquam quae expectabantur praetermiserunt, nec Alexium prius ad patrem remiserunt, quam ipse Isaacius quoque se rata illa habiturum esse quae filius eius pollicitus esset assentiretur. quae quidem, ut supra exposuimus, huiusmodi erant, ut ad gloriam et emolumentum Latinorum nihil amplius posset accedere. nam Alexius vecors et rerum imperitus adolescentulus, in id unum intentus ut paternum imperium recuperaret, nec ullam conditionem consideravit, neque quam infesti essent Latini Romano nomini cogitavit. ac talibus imperatorii fastigii depressionibus aditum in urbem mercatus patri assedit, collega imperii ascitus; et populus universus in palatium concurrit, filii et patris videndi simul et adorandi causa. non multis diebus post etiam Latinorum duces et nobilitate insignes viri palatium ingressi sunt; et subselliis allatis imperatoribus

μενοι τὰ παιδικὰ καὶ δυσπραγοῦσιν αὐτοῖς ἐπαμύναντες. οὐ P. 355 ταῦτα δὲ μόνον, ἀλλὰ καὶ πάσης μετεῖχον φιλοφροσύνης καὶ δεξιώσεως, θεραπευτήριά τε καὶ τρυφητήρια τούτοις ἐπινενόηνται· Ἰσαάκιος γὰρ εἴ τί που ἔστεγεν ἔνδον τὸ βασιλείας γαζοφυλάκιον, καὶ αὐτὸς δὲ συμπορισάμενος ἦν συνειληφὼς Εὐφροσύνην τὴν βασιλίδα καὶ τοὺς τὸ γένος εἰς αὐτὴν ἀναφέροντας, ἐξεφόρει τε ἀμφοτέραις καὶ μετήγγιζεν ἀδεέστερον. ἐπεὶ δὲ ταῦτα ὡσεὶ καὶ ῥανὶς ἐκρίνετο τοῖς λαμβάνουσιν (οὐδὲν γὰρ ἔθνος ἐρασιχρηματώτερον τοῦδε τοῦ γένους τρεχεδειπνότερόν τε καὶ δαπανηρότερον ἕτερον) καὶ διψῶντες ἦσαν ἀεὶ προχοῶν πελάγους Τυρσηνικοῦ, ἅπτεται καὶ τῶν ἀψαύστων παναθεμίτως, ὁπόθεν, οἶμαι, καὶ τὰ Ῥωμαίων ἀνατέτραπται τέλεον καὶ ἠφάνισται· ὡς γὰρ χρημάτων ἐσπά- B νιζε, καὶ τοῖς θείοις ἐπεφύη διὰ τοῦτο τεμένεσιν. ἦν γὰρ ἰδεῖν οὐ μόνον τὰς ἱερὰς εἰκόνας Χριστοῦ ἀξίναις ἐκκοπτομένας καὶ χαμαὶ ῥιπτομένας, καὶ τοὺς αὐτῶν κόσμους μὴ σὺν φειδοῖ ἀλλ' ὡς ἔτυχεν ἐκσπωμένους καὶ πυρὶ παραπεμπομένους, ἀλλὰ καὶ σκεύη τὰ σεπτά τε καὶ παναγῆ ἀπεριθαμβήτως ἐκ τῶν ναῶν ἁρπαζόμενα καὶ πυρούμενα καὶ ὡς κοινὸν ἀργύριον καὶ χρυσίον τοῖς πολεμίοις στρατεύμασιν παρεχόμενα. καὶ τῆς κατὰ τῶν ἁγίων τῆσδε λύττης οὔτ' αὐτὸν τὸν κρατοῦντα εἰσῄει τις αἴσθησις ὁπωσοῦν, τῶν τε ἄλλων οὐδεὶς παρρησιαζόμενος ἦν τὴν εὐσέβειαν, ἀλλὰ τῆς

9. οὐδὲν γὰρ ἔθνος] οὐδὲ γὰρ ἐπιθυμητότερον εἰς χρήματα πλέον παρὸ τὸ ἔθνος τοῦτο, οὐδὲ καινοτομεῖν καὶ ἐξοδιάζειν εἰς τρυφὰς καὶ ταυλία καὶ ζάρια περισσότερον τούτων B.

assederunt, ut bene meriti, ut servatores celebrati, et omnibus aliis honestis titulis ornati, ut qui ambitiosum Alexium erepto, quod tantopere appetierat, imperio probe ulti et calamitosis opitulati essent. praeter haec omnibus aliis officiis et exquisitis honoribus affecti et lautissime tractati sunt. nam Isaacius, si quid imperatorius fiscus celabat, si quid ipse capta Euphrosyna imperatrice et cognatis eius acquisierat, id universum utraque manu in illos conferebat. quae cum ab illa gente omnium avarissima et luxuriosissima exiguae guttae instar acciperentur, Tyrrheni maris undas desiderante, etiam sacrosancta profanat; unde, ut opinor, Romana res funditus subversa et deleta est. nam cum pecunia destitueretur, templa quoque invasit. nec sacrae tantum Christi imagines securibus excidebantur, et humi proiectae sine ulla reverentia ornatu adempto in ignem coniiciebantur: sed et sacrosancta vasa, absque metu e templis rapta et conflata, ut vulgare aurum et argentum hostibus dabantur. huius impietatis furor neque imperatori in mentem venit unquam, neque

C ἐχεμυθίας ἕνεκεν, εἴτ' οὖν ἀναλγησίας εἰπεῖν οἰκειότερον, οὐδὲν τῶν παραφόρων διενηνόχαμεν ἅπαντες, ὅθεν ὡς ὑπεύθυνοι πεπόνθαμέν τε καὶ εἴδομεν ὁπόσα βαρυσυμφορώτερα τῶν κακῶν.

Ὁποῖον γὰρ τὸ χυδαΐζον στῖφος τῆς πόλεως, μήτ' αὐτόθεν τοῖς ἐπαινετοῖς προσχωροῦν μήθ' ἑτέρῳ πειθόμενον εἰσηγουμένῳ
V. 293 τὰ λῴονα, ἤδη ταῖς Ῥωμαϊκαῖς χώραις εἰσκεχυμένων τῶν πολεμίων εἰς ἔδαφος καθαιρεῖ καὶ διαλύει παραλόγως εἰς χοῦν τὰς πρὸς θάλασσαν οἰκίας τῶν ἐξ ἑσπέρας ἐθνῶν, μὴ διαστεῖλαν τοῦ πολεμίου τὸ φίλιον. ἐδυσχέραινον οὖν πρὸς τὴν ἀβουλίαν ταύτην καὶ ἀτοπίαν οὐ μόνον ὅσοι ἐκ τῆς Ἀμόλφης ἤθεσιν ἐντεθραμμένοι Ῥωμαϊκοῖς, ἀλλὰ καὶ οἱ τῶν
D ἐκ τῆς Πίσσης τὴν Κωνσταντίνου ἀνθείλοντο. μήπω τοίνυν φυγὰς ὀφθεὶς ὁ βασιλεὺς Ἀλέξιος χρησταῖς ἐλπίσι τοὺς ἐκ τῶνδε τῶν γενῶν ἐβουκόλει καὶ τὸ τῆς λύπης ἀφῄρει πολύ. ὡς δ' ὁ μὲν δρασμῷ ἐχρήσατο, βασιλεύσας δ' ἦν Ἰσαάκιος, καταλλάσσει τοὺς ἐκ τῆς Πίσσης τοῖς Βενετίκοις, καθ' ἡμῶν καὶ τοῦτο ἀσυντηρήτως ἐπιτεχνώμενος· οἱ δὲ πρὸς τὴν Περαίαν ἀπάραντες, ἐν ᾗ κατέλυον οἱ διάφοροι, γίνονται τοῖς πρώην ἀντίφροσι σύσκηνοι καὶ ὁμόδειπνοι καὶ τὰ πάντα συμφυεῖς καὶ ὁμόφρονες. ἐννακαιδεκάτην διάγοντος τοῦ Αὐγούστου μηνός, τῆς ἕκτης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ καὶ ἑνδεκάτου ἔτους, (2) τινὲς τῶν Φραγγίσκων

2. τῶν παραφόρων] τῶν δαιμονιζομένων B. 11. οὐ μόνον ὅσοι] οὐχὶ μόνον οἱ βενέτικοι ἐχθροὶ φαινόμενοί τε καὶ νομιζόμενοι B. 23. τινὲς τῶν φραντζίσκων οἱ καὶ φλαβίονες ὀνομαζόμενοι B.

quisquam fuit qui pietatis caussam libere agere auderet: sed quod quidem ad silentium, ne stuporem dicam, attinet, plane attoniti fuimus omnes. unde violatae religionis rei ea mala toleravimus et vidimus, quibus graviora vix inveniuntur.

Nam populi turba, ut solet, nec sua sponte sana consilia amplectens nec meliora suadentibus obtemperans, cum iam hostes in Romanas provincias irrupissent, praeter omnem expectationem solo aequat et in pulverem redigit maritimas Occidentalium gentium aedes, amicis ab hostibus non distinctis. eam temeritatem et absurditatem non tantum cives Romani sed et Pisani inquilini aegerrime tulerunt. Alexius autem antequam fugeret, earum gentium homines bona spe lactabat doloremque mitigabat. ut vero is in pedes se coniecit, Isaacius imperio recuperato Pisanos cum Venetis in nostram fraudem magna cum temeritate reconciliat. ii vero Peraeam profecti, ubi adversarii diversabantur, veterum inimicorum hospitiis et convi-

(οὗτοι δέ εἰσιν οἱ πάλαι Φλαμίονες κικλησκόμενοι) Πισσαίων καὶ Βενετίκων μοῖραν προσειληφότες, ὡς εἰς ὄψον ἕτοιμον καὶ προχειρότατον ἕρμαιον τὰ τῶν Σαρακηνῶν διαπλωΐζονται χρήματα. καὶ δὴ τὸ σύνταγμα ἐκεῖνο τὸ πονηρὸν τῇ πόλει προσσχὸν δι' ἁλιάδων (οὐδὲ γὰρ ἦν τις ὁ προσιστάμε- P. 356 νος ὅλως ἐπιπλέειν σφᾶς τῇ πόλει καὶ αὖθις ἀνάγεσθαι) τῷ τῶν ἐξ Ἄγαρ συναγωγίῳ λάθρᾳ ἐπεισπίπτουσιν, ὃ φησι Μιτάτον ἡ δημώδης διάλεκτος, καὶ τὰ ἐνόντα μετὰ ξίφους λῃστεύουσιν. ὡς δ' οὕτω ταῦτα παραλόγως καὶ ὑπὲρ δόκησιν πᾶσαν παρηνομεῖτο, ἠμύνοντο μὲν αὐτοὺς οἱ Σαρακηνοὶ τὰς χεῖρας τοῖς παρατυχοῦσιν ὁπλίσαντες, ἐπιβοηθοῦσι δὲ καὶ Ῥωμαῖοι, παρὰ τῆς τοῦ κακοῦ φήμης ἐκεῖσε συνηλισμένοι. καὶ οὔκουν μὲν ἅπαν ὁπόσον καὶ ἔδει κατήνυσαν, ἐπὶ δὲ βραχὺ τῆς τῶν ἀνδρῶν ἐκείνων ὁμαιχμίας ἀναχώρησις γίνεται. οἱ δὲ τὸ δι' ὅπλων ἀντέχειν μεθέντες ἐπὶ τῷ μὴ πάνυ πρότερον ἐμπρησμῷ διανοοῦνται καὶ δεύτερον, ἀνυσιμώτατον ἀμυντή- B ριον καὶ ὑπὲρ ἅπαν ἕτερον τὴν πόλιν ἔχον ταχὺ κατεργάσασθαι πείρᾳ μεμαθηκότες τὸ πῦρ. καὶ δὴ κατὰ πλείστους διαστάντες τόπους πῦρ ταῖς οἰκίαις ὑφάπτουσι. τὸ δὲ μεταρσιωθὲν ὑπὲρ ἔννοιαν τὴν νύκτα ὅλην ἐκείνην καὶ τὴν ἐπιοῦσαν ἡμέραν καὶ τὴν ταύτης διάδοχον ἑσπέραν τὸ πᾶν ἐπενέμετο. καὶ ἦν καινὸν τὸ δρώμενον καὶ πᾶσαν ὑπερβαῖνον λό-

2. ὡς] καὶ APW. ὥσπερ μαγείρευμα ἑψημένον B. 12. καὶ οὔκουν] καὶ τοσοῦτον μὲν κακὸν ὅσον ἐβούλοντο ποιῆσαι τοῖς σαρακηνοῖς οὐκ ἐποίησαν· ἐνεμποδίσθησαν γάρ· ὅθεν καὶ ἀνεχώρησαν B.

ctu utuntur, summa cum eis familiaritate inita, mensis Augusti die XIX, VI indictione, anni VI MDCC XI. (2) Quidam vero ex Francis, qui olim Flaminii vocabantur, Pisanorum et Venetorum cohorte assumpta, ad diripiendas Sarracenorum facultates tanquam ad paratam praedam traiiciunt. ea scelerata factio cum ad urbem appulisset (neque enim quisquam erat qui eorum vel accessum vel recessum impediret), in Sarracenorum synagogam, quam vulgo Mitatum dicunt, irrumpunt et per vim omnia diripiunt. eam inexpectatam iniuriam Sarraceni armis obiter arreptis ulciscuntur, Romanis etiam eius mali fama excitatis adiutantibus: neque tamen tantum proficiunt quantum oportebat, coetu illo militum paulisper duntaxat regresso, et omissa defensione ad alterum incendium priore vixdum restincto properante, cum experientia didicissent nihil esse efficacius ad urbem ulciscendam et evertendam quam ignem. proinde variis in locis dispersi aedes incendunt. flamma vero supra cogitationem in altum elata totam illam noctem et postridie, eo item die qui sequebatur ad vesperam usque, omnia pervagata est. inusitatum id spectaculum

γου δύναμιν· πολλῶν γὰρ καὶ ἄλλων τῇ πόλει πρότερον ἐμπρησμῶν, οὐμενοῦν· εἴπῃ τις ὁπόσων καὶ οἵων γεγενημένων, ὁ τότε συμβὰς ἐναύσματα βραχέα τοὺς πάντας ἀπέδειξε. πολλαχοῦ γὰρ διαιρούμενος καὶ διασπώμενος τῆς συνεχείας αὖθις συνήρχετο, καὶ ὡς εἰς ὁλκὸν ἕνα πυρόεντος συνήπτετο ποταμοῦ. ἀνετρέποντο στοαί, ἀγορῶν κάλλη κατερριπτεῖτο, C κιόνων μέγεθος διεφορεῖτο καθ' ὕλην εὔπρηστον. οὐκ ἦν τῶν ὄντων οὐδὲν ὃ ἦν ἐκείνου τοῦ πυρὸς σθεναρώτερον. τὸ δὲ δὴ παράδοξον, ὡσεὶ ψωμοὶ πυρὸς ἐξ ἐκείνης τῆς βαρυβρόμου καὶ σιδηρᾶς ἐμπρήσεως ἀποσπώμενοι καὶ φερόμενοι διαέριοι τὰς πόρρωθεν οἰκοδομίας κατέφλεγον, κατὰ διαστήματά πως ἀκοντιζόμενοι καὶ ὡς οἱ ἐν αἰθέρι διάττοντες ἐκτεινόμενοι· καὶ τὸν ἐν μέσῳ χῶρον ἀθιγῆ τῷ τέως ἐῶντες καὶ ἀκατάπρηστον, μετὰ βραχὺ κἀκεῖνον ἐπανιόντες συνέμαρπτον καὶ ἠφάνιζον. ἐν πολλοῖς δὲ καὶ κατ' εὐθυωρίαν τὸ πῦρ προϊόν, ὑπ' ἀνέμου βορρᾶ ἐλαυνόμενον, μετὰ βραχὺ παρεκκλῖναν, ὡς εἰ νότος αὐτὸ διερρίπιζεν, ὡρᾶτο δόχμιον, ἀμαυροῦν ἐπιστροφάδην καὶ τὰ ὅλως ἐμπρησθῆναι ἀνυπονόητα. συνεπελάβετο D δὲ καὶ τοῦ μεγίστου νεὼ τὸ δεινόν. καὶ δὴ ὅσα πρὸς ἁψῖδα νένευκε τοῦ Μιλίου καὶ τῷ ἀνδρῶνι συνῆπται τῷ Μάκρωνι

6. ἀνετρέποντο] κάμαραι ἐχαλῶντο B. 7. κιόνων ὕψη εἰς ἄσβεστον μετεβάλλοντο B. 8. τὸ δὲ θαυμαστότερον ὅτι εἰς κομάτια μεγάλα ἀπὸ τοῦ κτύπου τοῦ πυρὸς καὶ τῆς φλογὸς ἐπετῶντο καὶ ὑπὸ τοῦ ἀνέμου ἐφέροντο καὶ ἔπιπτον εἰς τὰ μακρότερα καθάπερ ἄστρα φαινόμενα καὶ χεόμενα, καὶ κατέκαιον ἔνθα ἔπιπτον. B. 18. συνεπελάβετο] ἔφθασε δὲ τὸ πῦρ μέχρι καὶ τοῦ μεγάλου ναοῦ, καὶ ὅσα περὶ τὴν ἁψίδα τοῦ μιλίου καὶ τῷ οἴκῳ τῷ τοῦ μάκρωνος λεγομένῳ συγκείμενα ὁσπήτια, καὶ κατέκαυσε ταῦτα καὶ τέφραν ἐποίησε. B.

fuit, et tale quod nulla oratio possit consequi. nam cum prius maximis et innumeris fere incendiis urbs afflicta fuerit, illud eiusmodi fuit ut caetera prae eo pro nihilo putarentur. cum varie interrupta serie spargeretur, rursus coibat, ut igniti fluminis alveum repraesentaret. porticus corruebant, elegantissima fora evertebantur, maximae columnae veluti sarmenta absumebantur; neque quicquam erat quod illius ignis vehementiae resisteret. globi flammarum ab immani illo incendio avulsi mirabiliter remotas aedes per certa intervalla consumebant, iis qui interiectae erant intactis: sed paulo post eas quoque reversi cremabant. in multis locis recta progressus ignis ab aquilone impulsus, paulo post quasi ab austro exagitatus, obliquus cernebatur; et ea quoque consumebat quae omnis periculi expertia putabantur. id malum etiam templum maximum comprehendit; et quaecunque ad Milii fornicem vergunt et cum Macrone et Synodis co-

καὶ τῷ λεγομένῳ αἱ Σύνοδοι, εἰς ἔδαφος κατερράγησαν, μὴ V. 294 τῆς ὀπτῆς ἐπαρκεσάσης πλίνθου, μὴ τῶν βαθέων ἀντισχόντων θεμέθλων, ἀλλ' ἐνδόντων πάντων καὶ δίκην θρυαλλίδων κατεργασθέντων. ἤρξατο μὲν οὖν ἡ πρώτη τοῦ πυρὸς ἀφὴ ἀπὸ τοῦ συναγωγίου τῶν Σαρρακηνῶν (τὸ δέ ἐστι κατὰ τὸ πρὸς θάλασσαν ἐπικλινὲς βόρειον μέρος τῆς πόλεως καὶ τῷ τεμένει ἐγγίζον ὃ ἐπ' ὀνόματι τῆς ἁγίας Εἰρήνης ἵδρυται), καὶ πρὸς ἕω κατ' εὖρος λωφῆσαν ἐς τὸν νεὼν τὸν παμμέγιστον, κατὰ δ' ἑσπέραν ἐς τὸ λεγόμενον Πέραμα ἐξεμηκίσθη, καὶ διερρύη ἔκτοτε τοῦ πλάτους λαβόμενον τῆς πόλεως, ἢ μᾶλλον τὸ καινότατον, καὶ ταῦτα κατ' ἐπίβασιν ὥσπερ ὑπεραλάμενον τὰς ἔξωθεν τῆς πόλεως οἰκήσεις κατενεμήσατο, P. 357 καὶ νῆα περιπλέουσαν ἄνθρακες ἐκτιναχθέντες κατέφλεξαν. ᾐθάλωντο δὲ καὶ οἱ τοῦ Δομνίνου λεγόμενοι ἔμβολοι, αἵ τε ὑπόστεγοι ἀμφίδυμοι ἄμφοδοι αἱ ἀπὸ τοῦ Μιλίου ἀρχόμεναι, ὧν ἁτέρα εἰς αὐτὸ παρατείνει τὸ Φιλαδέλφιον. σὺν αὐτοῖς δὲ ἡ Κωνσταντίνειος ἀγορὰ καὶ τὰ μεταξὺ πάντα, ὅσα πρὸς βορρᾶν καὶ νότον πρόεισιν ἄνεμον. οὐδ' αὐτὸ τὸ ἱππικὸν ἀδιαλώβητον ὑπολέλειπτο, ἀλλὰ καὶ τούτου τὸ πρὸς δυσμὰς ἅπαν μέρος ἐξεπυρώθη, καὶ ὅσα κάτεισιν ἐς Σοφίας καὶ κατ' αὐτὸ τὸ Βύκανον παρεκτείνεται, καὶ καθεξῆς ὁπόσα τοῖς τοῦ Ἐλευθερίου ἀγχιτέρμονα μέρεσι. τοῦ δὲ πυρὸς ἀπὸ θαλάσσης ἕως θαλάσσης τὴν πόλιν οὑτωσὶ διαζώσαντος καὶ

10. λαβόμενον om A. 12. τῆς πόλεως om A. 13. ἄνθρακες] κάρβουνα B. 14. αἵ τε] καὶ αἱ σκεπασμέναι διπλαῖ στράται B. 19. δυσμὰς] δήμους AB.

haerent, corruerunt, nihil opere latericio, nihil altissimis fundamentis adiuvantibus, sed omnibus cedentibus et instar lychnorum absumptis. coepit incendium a synagogio Sarracenorum, quod ad Septentrionalem urbis partem ad mare et aedem divae Irenes vergit. versus Orientem in latitudine in templo maximo desiit. ad occasum usque ad Perama se extendit, atque inde in latitudinem urbis se diffudit; aut potius inusitato modo eam veluti transiliens domos surburbanas absumpsit, et navis in medio cursu carbonibus in eam excussis conflagravit. in cineres redacta sunt et Domini rostra, et duplices tecti ambitus a Milio incipientes, quorum alter ad ipsum Philadelphium pertinet; unaque Constantini forum, et quae interiecta sunt omnia versus Septentrionem et Austrum. nec ipsum Hippicum inviolatum permansit: sed eius quoque pars occidenti obversa penitus conflagravit, et quae ad Sophias et Baccanum porriguntur, et deinceps Eleutherii partibus contermina. cum autem incendium urbem a mari usque ad mare hoc modo vastaret et in hiatum vastissi-

διελθόντος ὡς εἰς χάσμα μέγιστον, ἢ ποταμοῦ πυρὸς μέσον B ἕλκοντος, οὐκ ἦν ἀκίνδυνον συμμῖξαι τοῖς φιλουμένοις, εἰ μή τις ἀκατίῳ διεπορθμεύετο. τότε καὶ οἱ πλείους τῶν οἰκητόρων τῆς πόλεως τῶν οὐσιῶν ἀπεψίλωντο, οἷα του πυρὸς τοῖς μὲν ἀπαρασκεύοις ἐπιφθάσαντος, τῶν δὲ τὰ ὄντα μεταθεμένων πρὸς ἑτέρας καταγωγὰς καὶ μηδ' οὕτω διασωσαμένων αὐτά· ἕλιξι γὰρ καὶ περικαμπαῖς ἐκτροπαῖς τε πλείσταις καὶ ἐπανόδοις τὸ πῦρ χρησάμενον ἡφάντου τὰ μεταγόμενα. ὦ μοι τῶν λαμπροτάτων καὶ περικαλλῶν δόμων καὶ παντοίας γεμόντων χάριτος, καὶ του ῥυηφενοῦς πλούτου καὶ ζηλωτέου παρ' ἅπασι!

Πρὸς δὲ τὰ δεινότατα ταῦτα συναντήματα ὁ μὲν βασιλεὺς Ἰσαάκιος ἤχθετο, εἰ καὶ μὴ ἐς ὅσον εἰκός, ὁ δὲ τούτου υἱὸς C Ἀλέξιος οὐχ ὅπως οὐκ ἐδυσχέρανεν, ἀλλὰ καὶ συντελεσμὸν ἐπηύχετο τοῦ παντός, ὁ τῆς πατρίδος δαλὸς καὶ τὴν ὄψιν φλογερὸς κἀντεῦθεν διαχαράττων τὸν γραφικὸν ἐμπρηστὴν πονηρὸν ἄγγελον. μήπω δὲ καθαρῶς λωφήσαντος τοῦ πυρὸς ἡ τῶν θείων αὖθις κειμηλίων συλλογή τε καὶ καταχώνευσις ὑπὲρ τὸ πρὶν ἐπετείνετο. ὁ δέ γε τῶν Λατίνων στρατὸς τὸν χορηγούμενον αὐτοῖς οὑτωσὶ χρυσόν τε καὶ ἄργυρον εἴς τε τὰς σωματικὰς χρείας ὡς ὕλην βέβηλον μετεσκεύαζον καὶ τοῖς

8. ὦ μοι] αἲ αἲ μοι καὶ φεῦ εἰς τοὺς λαμπροτάτους μου οἴκους καὶ περικαλεῖς, τοὺς πάσης γέμοντας χάριτος, καὶ τοῦ πλουσίου μου βίου καὶ ἀνεπιφθόνου παρὰ παντός. B. 12. πρὸς δὲ] εἰς ταῦτα δὲ τὰ κακὰ πάντα συναντήματα ὅ τε βασιλεὺς ἰσαάκιος καὶ ὁ τούτου υἱὸς ἀλέξιος οὐχ ὅπως ὅτι ἠγανάκτων ἢ ἐλυποῦντο, ἀλλὰ καὶ τὸ ὅλον ἀφανισθῆναι ηὔχοντο καὶ ὁρέγοντο οἱ δαυλοὶ τῆς πατρίδος, οἱ φλογεροὶ τὴν ὄψιν, οἱ τὸν γεγονότα ἐμπρησμὸν ἀπὸ τῆς αὐτῶν διαχαράττοντες ὄψεως. B.

mum discessisset, ignito flumini simile, amici non citra periculum nisi navigio adiri poterant. tunc maior pars habitatorum urbis rei familiaris iacturam fecit, quippe cum ignis alios nec opinantes oppressisset, alii bona sua alio translata multis anfractibus et regressibus ignis aeque amisissent. heu splendidissimas et elegantissimas aedes et omni venustate et summis opibus plenas, quae apud omnes celebrantur!

His atrocissimis casibus Isaacius imperator dolebat ille quidem, sed non quantum oportebat. eius vero filius Alexius adeo non graviter eos ferebat, ut totam urbem interire optaret, patriae fax, flammea facie, et malum illum Angelum incendiarium exprimens, cuius sacrae litterae meminerunt. incendio nondum plane sopito sacer ornatus accuratius perquiritur et conflatur quam prius. Latinorum vero exer-

βουλομένοις προὔβαλλον εἰς πρατήριον, ἑαυτοῖς μὲν τὸ ἀνεπέγκλητον ἐπιμαρτυρόμενοι (οὐ γὰρ ἠγνόουν ὁπόθεν συνείλεκτο τὰ σφισι βραβευόμενα χρήματα) ὡς τὰ ὠφειλημένα λαμβάνουσι, τοῖς δὲ Ῥωμαίοις τὴν ὕψόθεν ἐπιχαλῶντες ὀργὴν ὡς περιέπουσι μὲν τὰ οἰκεῖα κοινοῦσι δὲ τὰ θεοῦ.

3. Δεῆσαν δὲ κἀκ τῶν Λατινικῶν δυνάμεων σύναρσιν D εὕρασθαι τὸν Ἀλέξιον (ὁ γὰρ θεῖος αὐτῷ καὶ πρώην βασιλεύων Ἀλέξιος ἀναστὰς τοῦ Δεβελτοῦ τὴν Ἀδριανοῦ κατέλαβε, καὶ ἣν ἀπείπατο βασιλείαν, ἐρασταῖς καταπροδοὺς ἐκμανέσιν ἐρᾶν τε πάλιν καὶ πειρᾶν οὐκ ᾐσχύνετο), οὐκ ἄλλως συνέκδημον αὐτῷ καὶ συστράτηγον τὸν μαρκέσιον ἐπεσπάσατο Βονιφάτιον, εἰ μὴ χρυσίου δέκα πρὸς τοῖς ἓξ καταθέσθαι οἱ συνέθεντο κεντηνάρια. ἐξιὼν τοίνυν φυγάδα δείκνυσι τὸν Ἀλέξιον συντονωτέρῳ τοῦ προτέρου καὶ πολλῷ μακροτέρῳ χρησάμενον δραπετεύματι. ἀμέλει καὶ τὰς Θρᾳκίας πόλεις περιελθών, καὶ ταύτας καταστησάμενος, εἰπεῖν δὲ καὶ καλαμησάμενος (ὁ γὰρ συνέκδημος ἐκείνῳ στρατὸς συχνάκις P. 358
ὠρεκτία τῶν χρυσορρείθρων ἀρύεσθαι, καὶ κατὰ τοὺς διψάσι δηχθέντας πίνων οὐκ ἐκορέννυτο) καὶ μέχρι Κυψέλλων V. 295
κατιών, ἐπάνεισι πάλιν εἰς τὰ βασίλεια, ἅπας τῆς φατρίας ἐξηρτημένος οἳ τὴν τοῦ πατρὸς πήρωσιν καὶ τὴν ἐκ τῆς ἀρ-

10. ᾐσχύνετο] ἠνίσχετο A. 14. συντονώτερον et μακρότερον A. 16. εἰπεῖν] ἢ μᾶλλον εἰπεῖν ἀπογυμνώσας· ὁ γὰρ στρατὸς ὁ ἐκείνῳ ἀκολουθῶν κατὰ πολὺ ὠρέγετο τοῦ χρυσοῦ καὶ τρώγειν καὶ πίνειν· ὡς γὰρ οἱ πυρεκτικοὶ οὐδέποτε τῆς δίψης κορέννυνται, οὕτω καὶ οὗτοι. B.

citus aurum et argentum, quod ita praebebatur, ad usum corporis ut profanam materiam transferebat et publice vendebat, ac se criminis absolutum (nec enim ignorabat unde essent quae dabantur) quod acciperet debitum, Romanis vero iram dei impendere vaticinabatur, quod rem privatam conservarent, sacram vero profanarent.

3. Cum autem Latinae copiae Alexio auxiliari deberent (nam patruus eius et dudum imperator Alexius Debelto relicto Adrianopolim occuparat, et imperium quod repudiarat, insanis amatoribus condonatum, repetere et amplecti non verebatur), Bonifacium marchionem aliter secum attrahere ad belli societatem non potuit nisi auri centenarios XVI promisisset. verum egressus Alexium fugat longe celerius et longinquius quam prius; et Thracias urbes passim componit, ne dicam deglubit. nam qui eum sequebatur exercitus, saepissime ex aureo flumine haurire cupiebat veluti morsi a dipsadibus inexplebili siti ardens. usque ad Cypsella progressus in palatium revertitur, totus eorum factioni deditus, qui patris excaecandi et evertendi Alexio patruo adiutores fuerant. quod cum Isaacius fer-

χῆς καθαίρεσιν Ἀλεξίῳ τῷ θείῳ συνδιεπράξαντο. ὃ καὶ μὴ φέρειν Ἰσαάκιος ἔχων, ὅτι καὶ ἣν καιροφυλακῶν εἰς φῶς ἐκρῆξαι τὸν κότον ὃν ὑπέτυφεν ἐκ μακροῦ τῇ ψυχῇ κατὰ τῶν σχέτλια ἐκεῖνον ἐργασαμένων δεινά, κακηγορῶν οὐκ ἐνέλιπε τὸν υἱόν, καὶ μάλισθ᾽ ὅτι τὴν οἰκείαν ἑώρα ἰσχὺν ὑποβαίνουσαν καὶ κατὰ βραχύ πως ἀφιπταμένην καὶ πρὸς τὸν υἱὸν μεταρ- B ρέουσαν. ἀπεπνίγετο δὲ καὶ πρὸς τὴν μετάθεσιν τῆς ἀναγορεύσεως· ὁ μὲν γὰρ υἱὸς προταττόμενος κατατεινομέναις ἀνευφημεῖτο φωναῖς, ὡς τῷ πατάγῳ κόπτεσθαι τὰ ἀνάκτορα, ὁ δὲ κατὰ τὸ τῆς ἠχοῦς ὑστερόφωνον παρηκολούθει ταῖς ὑϊκαῖς καὶ στερροτέραις ἀνακηρύξεσιν. οὐδὲν δέ τι δρᾶσαι πρὸς τὰ γινόμενα οὕτω δυνάμενος ὑπ᾽ ὀδόντα ἐτονθόρυζε, καὶ οἷς ὡς ἐξ ἀδύτων τῆς καρδίας ἀνεμήρυε τὰ ἀπόρρητα, κατὰ τοῦ υἱοῦ ἀπόφημα διελέγετο, ἕωλα μὲν αὐτῷ τὰ χρηστὰ λέγων εἶναι, καὶ ὡς οὐδ᾽ ὅλως σωφροσύνῃ ἐρρύθμισται, ἐν τοῖς χειρίστοις τὸ ἦθος τυπούμενος, φθόροις τε ἀνδράσι συνδιαιτώμενος καὶ τὰ ἤθη τούτων ἀναματτόμενος. οὐ μάτην δὲ ταυτὶ καὶ εἰκαίως κατὰ τοῦ υἱοῦ ἠγόρευεν Ἰσαάκιος, C ἀλλὰ καὶ πλείω ἕτερα καὶ ἀσελγέστερα πολλῷ πλημμελῶν τὸ μεγαλοπρεπὲς καὶ παγκλέϊστον τῆς τῶν Ῥωμαίων βασιλείας κατερρύπαινεν ὄνομα. εἰς γὰρ τὰς τῶν βαρβάρων σκηνὰς μετὰ μετρίων ὀπαδῶν περαιούμενος συνεκραιπάλα τοῖς ἐν

2. ὅτι — ὑπέτυφεν om A. 12. ὑπ᾽ ὀδ.] ἔτρυζε τοὺς ὀδόντας αὐτοῦ B. 14. ἕωλα] ὡς ὅτι οὐδέποτε ὁ τὰ πονηρὰ ἔργα μαθὼν ἐργάζεσθαι καλὸν ποιῆσαι δυνήσεται· ἀδιαφόρως γὰρ ἀνορῶν καὶ φθορέων τὰ ἤθη μιμησάμενος χείρων τούτων ἐγένετο, παίζων μετ᾽ αὐτῶν καὶ σφονδηλέας κρούων αὐτοῖς καὶ οὗτοι πάλιν αὐτόν. B. 22. μετὰ μετρίων] μετὰ ὀλίγων τῶν παιδοπούλων αὐτοῦ ἀπερχόμενος συνεμέθυε μετ᾽ αὐτῶν καὶ δύο ἡμέρας πολλάκις ἐποίει παίζων ταβλία καὶ ζάρια B.

re non posset, iam longo tempore ultionem illorum cogitans filio maledicere non desistebat, praesertim cum auctoritatem suam imminui et paulatim exolescere et ad filium transire cerneret. indignissime quoque ferebat proclamationis mutationem: nam filius priore loco contentis vocibus, ut palatium resonaret, salutabatur, ipso tanquam Echo submissius sequente. sed quia prohibere illa non poterat, submurmurabat, et apud eos quibus arcana sui pectoris committebat, male de filio loquebatur: neque enim quicquam virtutis ei esse, non bonis moribus informatum esse, sed pessimis studiis occupari et pessimorum hominum consuetudine corrumpi. neque haec falsa erant aut inania: nam Alexius pluribus et gravioribus peccatis magnificum et inclitum imperii Romani nomen foedabat, ut qui paucis comitantibus in barbarorum tentoria traiiciens crapulae et aleae una

αὐταῖς καὶ συνδιημερεύων ἐκύβευεν. οἱ δὲ συμπαίγμονες ἐκείνῳ τὸ τῆς κεφαλῆς ἀφαιροῦντες διάδημα, χρυσόκολλον ὂν καὶ λιθόστρωτον, αὐτοὶ μὲν ἐκεῖνο περιετίθεντο, τὸν δ' Ἀλέξιον περιέβαλλον τὸ λαχνῆεν καὶ ἐρεοῦν καὶ τῆς Λατινικῆς ταλασίας περίβλημα. οὐ μόνον δὲ ὁ Ἀλέξιος ἐνευκαιρῶν ταῖς πράξεσι ταύταις παρὰ τοῖς τῶν Λατίνων εὐσχήμοσι καὶ τοῖς τῶν Ῥωμαίων σώφροσι βδελυγμίας ἐκρίνετο, ἀλλὰ καὶ ὁ τούτου πατὴρ Ἰσαάκιος οὐκ ἐπ' ἔλαττον ἦν στυγητός, ἐπειδήπερ καὶ πάλιν ἀλλοκότοις δόξαις περιεφέρετο, λόγιά τε D
καὶ ὀμφὰς συντιθεὶς οὐκ ἔληγε τῶν ἐπὶ τῆς προτέρας ἀρχῆς ἀῤῥητότερα, εἴγε πάλαι μὲν τὸν μόναρχον ἐφαντάζετο, καὶ αὐτὸς εἶναι ἀναιδῶς διετείνετο ὁ τῇ δυσμῇ συνάψων τὴν ἕω καὶ κράτος περιζωσόμενος τὸ παγκόσμιον, τότε δὲ καὶ τὴν πήρωσιν ἀποτρίψασθαι προσεδόκα τῶν ὀφθαλμῶν καὶ ὡς λεβηρίδα τὴν νόσον ἀποξύσασθαι τὴν ἀρθρίτιδα καὶ τὸ ὅλον εἰς ἄνδρα θεοείκελον ἀμειφθήσεσθαι, ὥστε καὶ τῶν μοναστῶν οἱ καταρατότατοι καὶ βαθεῖ λήϊῳ κομῶντες τὴν τοῦ πώγωνος ἄρουραν, εἰς αἰσχύνην τε οἰκείαν τὸ θεοφιλὲς οἱ θεομισεῖς περικείμενοι σχῆμα, τὰς ἀρχικὰς τραπέζας μεταδιώκοντες καὶ τῶν ἰχθύων τοὺς νεαλεῖς καὶ πίονας περιχαίνοντες, συνδειπνοῦντες Ἰσαακίῳ συγκαθίστων ἐκείνῳ τὴν μοναρχίαν ἐν λόγοις, τὸν ἀνθοσμίαν ζωρότερον προσφερόμενοι, ἐνίοτε δὲ καὶ

5. περίβλημα] add B: ὅπερ καπούτζιν κατονομάζεται. 14. ὡς λεβηρίδα] ὥσπερ πετυρίδα B. 19. τὰς τραπέζας χυρεύοντες τὰς βασιλικάς, καὶ τὰ λαβράκια καὶ τὰ μεγάλα ἄλλα καὶ λιπαρὰ ὀψάρια τρώγοντες μετ' ἐκείνου, καὶ τὸ τριγλιανὸν καὶ σάμεον κρασὶν πίνοντες μετ' αὐτοῦ ἀκραιῶς B.

cum illis per totos dies indulgeret. eius vero collusores diadema aureum et gemmatum ei detractum suis capitibus, illi vero laneum hirsutum pileum imponebant. neque vero Alexius duntaxat ob huiusmodi res apud honestiores Latinos et modestiores Romanos execrabilis habebatur: sed et pater eius Isaacius nihilo minus invisus erat, cum rursus absurdarum opinionum intemperiis agitaretur, et divinationibus atque oraculis foedioribus quam prius incumberet. nam ante monarchiam sibi imaginabatur, seque impudenter eum esse iactabat qui Occidentem cum Oriente coniuncturus et totius mundi imperio potiturus esset. tum vero visum se recepturum, et articularem morbum ut serpentem exuvias positurum, et in virum deo similem se transformatum iri somniabat. proinde monachi quidam summe execrabiles, promissis barbis, homines invisi deo, religioso habitu cum sua ignominia conspicui: qui mensam principalem persequebantur, qui recentibus et pinguibus piscibus inhiantes cum Isaa-

P. 369 τὰς ἐξηρθρωμένας χεῖρας περιπτυσσόμενοι καὶ τοῖς ὀφθαλ-
μοῖς αὐτὰς προσάπτοντες τὴν ὅσον οὐδέπω τούτων προηγό-
ρευον ἀνακαίνισιν καὶ κραταίωσιν. ὁ δὲ διεχεῖτο πῶς ἂν εἴ-
ποι τις τοῖς λεγομένοις, καὶ ἐπεσκίρτα τοῖς βωμολοχεύμασι
τούτοις ὡς ἀψευδέσι θεσπιῳδήμασιν. ἐν πολλοῖς δὲ καὶ τοὺς
τῇ ἀστρικῇ προσκειμένους προσιέμενος ἄλλα τε ταῖς αὐτῶν
ὑποθήκαις ὑπείκων εἰργάζετο, καὶ δὴ καὶ τὸν Καλυδώνιον
σῦν, ὃς ἐν τῷ ἱππικῷ φρίσσων τὴν ἐπινώτιον τρίχα ῥύδην
φέρεται, τῆς βάσεως καθελὼν μετήνεγκεν εἰς τὸ μέγα παλά-
τιον, τὸν τὴν ὁρμὴν συώδη καὶ ἀτάσθαλον δῆμον τῆς πόλε-
B ως καταστελεῖν ἐντεῦθεν οἰόμενος. ἀλλὰ καὶ τῶν ἀγοραίων
οἱ φιλοινότεροι τὸ ἑστὸς ἐπὶ στήλης ἐν τῷ Κωνσταντινείῳ
V. 296 φόρῳ τῆς Ἀθηνᾶς ἄγαλμα εἰς πλεῖστα διεῖλον τμήματα· ἐδό-
κει γὰρ τοῖς ἄφροσι σύρφαξιν ὑπὲρ τῶν ἐξ ἑσπέρας ἐστοι-
χειῶσθαι τοῦτο στρατῶν. ἀνέβαινε μὲν τὴν ἡλικίαν ὄρθιον

1. ἐξηρθρωμένας] τὰς ἐξστραμβουλισμένας χεῖρας ἐκείνου τὰς ἀθρητικὰς B. 7. τὸν ἀγριόχοιρον τὸν καληδώνιον λεγόμενον, τὸν ἐν τῷ ἱπποδρομείῳ ἱστάμενον B. 11. ἀλλὰ καὶ οἱ τῆς πόλεως μεθυσταὶ τὸ τῆς ἀθηνᾶς ἄγαλμα τὸ ἐν τῷ κωνσταντείῳ φόρῳ ἱστάμενον εἰς πολλὰ μέρη κατέκοψαν B. 15. ἀνέβαινε] ἦν μὲν γὰρ ἐκ χαλκοῦ, τὴν ἡλικίαν ὄρθιον, εἰς λ' πόδας ὑψούμενον, ἐφόρει δὲ ῥοῦχον ἐκ πάντων τῶν χρωμάτων καὶ μέχρι τῶν ποδῶν συνεσταλμένον καὶ συνεσφιγμένον, ὅπως μὴ φαίνηται ἀπὸ τῶν μελῶν τοῦ σώματός τι, ἐζωσμένη ζωνάριον πολεμικὸν περισφίγγον αὐτήν. εἶχε δὲ ἀπὸ τῶν ὤμων μέχρι καὶ τοῦ στήθους ἕτερον ἔνδυμα ποικιλόχροον καὶ αὐτό. ὁ τράχηλος δὲ ταύτης μακρότερος ἦν καὶ γυμνός. ἐξαίρετον πρᾶγμα πρὸς ἡδονὴν τῶν βλεπόντων ἦν. τοσοῦτον δὲ ἦν ὁ χαλκὸς ἐξομοιούμενος τὴν φύσιν τῶν χρωμάτων ὡς καὶ τὰ χείλη αὐτῆς ὑπολαμβάνειν τινὰ ὡς εἴπερ πλησιάσαι αὐτῇ φωνὴν πραεῖαν ἐκ ταύτης ἀκοῦσαι. αἱ φλέβες δὲ ὅλου τοῦ σώματος τοσαύτην ἐφαίνοντο ἔχειν τὴν ὑγρότητα ὡς ζῶσαν οὖσαν καὶ τοὺς ὀφθαλμοὺς γλυκέως διανοίγουσαν. ἐπὶ δὲ τῇ κεφαλῇ αὐτῆς σκέπη ἦν κειμένη ἐπιτηδείως νεύουσα. αἱ τρίχες τῆς κεφαλῆς αὐτῆς πεπλεγμέναι ὄπι-

cio coenitabant, mero largius hausto monarchiam illi verbis confirmabant. aliquando etiam nodosas manus eius oculis admotas e vestigio renovatum et confirmatum iri praedicebant. ille vero mirum quam blanditiis istis exhilarabatur, et scurrilibus iocis aeque ac certissimis oraculis fidem adhibebat. de astrologorum quoque sententia cum alia fecit, tum aprum Calydonium, qui horrentibus in tergo setis in Hippico impetu fertur, in magnum palatium transtulit; ea se ratione temerarii et apro non dissimilis populi rabiem cohibiturum existimans. sed et ebriosi quidam ex circumforaneis Minervae simulacrum in foro Constantini columnae insistens in multas partes comminuerunt, quod demens turba id pro exercitibus occidentalibus

ὡς ἐς τριακάδα ποδῶν, ἠμφίεστο δὲ στολὴν ἐξ ὁποίας ὕλης
ὅλον τὸ ἰνδαλλόμενον κεχαλκούργητο. ποδήρης δ' ἦν ἡ στο-
λὴ καὶ συμπτυσσομένη πολλαχῇ τῶν μερῶν, ὡς μή τι τοῦ
σώματος παραφαίνοιτο ὅπερ ἡ φύσις περιστέλλειν ἐπέταξε.
μίτρα δ' Ἄρεος τὴν ἰξὺν διειλημφυῖα ἱκανῶς αὐτὴν περιέσφιγ-
γεν. εἶχε δὲ κἀπὶ τοῖς στέρνοις ὀρθότιτθον ὂν ποικίλον αἰ-
γιδῶδες ἐπένδυμα, τῶν ὤμων διεξιμούμενον, τὴν τῆς Γοργ- C
γόνης τυποῦν κεφαλήν. ὁ δέ γε αὐχὴν ἀχίτων ὢν καὶ πρὸς
τὸ δολιχόδειρον ἀνατεινόμενος ἄμαχον εἰς ἡδονὴν θέαμα ἦν.
τοσοῦτον δ' ὁ χαλκὸς πρὸς τὴν ἐκείνου μίμησιν πειθήνιος
ὑπηλλάττετο, ὥστε καὶ τὰ χείλη δόξαν παρεῖχον ὡς εἰ προσ-
μενεῖ τις μείλιχον φωνὴν ἐνωτίσεται. καὶ φλεβῶν δὲ διεκ-
τάσεις ὑπεκρίνοντο, καὶ ὡς ὑγρὸν ὅλον τὸ σῶμα ἐν οἷς ἔδει
περιεκλᾶτο, καὶ ζωῆς ἀπέχον μετεῖχεν ὡς ζῶν ἀνθηρότητος,
τοὺς ὀφθαλμοὺς ἱμέρῳ παντὶ ῥεύμενον. ἵππουρις δ' ἐπικει-
μένη τῇ κεφαλῇ δεινὸν καθύπερθεν ἔνευεν. ἡ δὲ κόμη ἐς
πλέγμα διεστραμμένη καὶ δεσμουμένη ὄπισθεν, ὅση κέχυτο
ἐκ μετώπων, τρυφή τις ἦν ὀφθαλμῶν, μὴ ἐπίπαν τῷ κράνει
συνεχομένη, ἀλλά τι καὶ παρεμφαίνουσα τοῦ πλοχμοῦ. τῶν D
δὲ χειρῶν ἡ μὲν λαιὰ τὰ συνεπτυγμένα τῆς ἐσθῆτος ἀνέστελ-
λε, ἀτέρα δ' ἐκτεινομένη πρὸς κλίμα τὸ νότιον εἶχε τὴν κε-
φαλὴν ἠρέμα πως ἐγκλινομένην ἐκεῖ καὶ τὰς τῶν ὀφθαλμῶν

σθεν καὶ κατερχόμεναι στρογγυλοειδῶς καὶ χρυσίζουσαι. καὶ ἦν τρυφή τις τῶν ὀφθαλμῶν τῶν βλεπόντων καὶ ἀγαλλίαμα. αἱ χεῖρες δὲ ταύτης ἡ μὲν ἀριστερὰ τὰ συνεσφιγμένα ῥοῦχα ταύτης ἀνέσυρνεν, ἡ δεξιὰ δὲ πρὸς τὸ μέρος τοῦ νότου ἁπλωμένη οὖσα ὀλίγον καὶ τὴν ταύτης κεφαλὴν πρὸς αὐτὴν ἔκλινε βλέπουσα ταύτην. B.

formatum esse credebat. id in XXX pedum altitudinem assurgebat, indutum aerea veste, qua materia totum constabat, demissa ad pedes et multis in partibus complicata, ne quid appareret quod natura tectum esse voluit. balteus lumbos arcte constringebat. in pectore rectis mammis insigni Aegidem cum Gorgoneo capite ab humeris dependentem gerebat. collum nudum et longum erat iucundissimum spectaculum. aes enim deam ita repraesentabat, ut labia suavem editura vocem, si quis expectaret, viderentur. apparebant et venae et totum corpus, qua decebat, mollius inflectebatur; et quamvis exanime animati corporis vigorem referebat. cauda equina capiti imposita terrorem quendam prae se ferebat. coma a fronte dependens, in nodum contorta et a tergo constricta oculorum erat deliciae. galea non penitus contecta, sed ex parte prominens. laeva manus plicas vestis continebat; altera versus Austrum caput paulum in-

ἐπ' ἴσης τεινομένας βολάς, ὅθεν οἱ μηδὲ τὰς θέσεις τῶν περάτων ὁπωσοῦν ἐπιστάμενοι ἐς ἑσπέραν ἀφορᾶν τὸ ἄγαλμα διετείνοντο καὶ οἷον ἐπισπᾶσθαι χειρὶ τὰ ἐκ δυσμόθεν στρατεύματα, κακῶς κρίνοντες καὶ μὴ πρὸς ἔννοιαν ὀρθὴν τοῖς ὁρατοῖς ἐπιβάλλοντες.

Οἱ μὲν οὖν μετὰ τοιούτων κινημάτων τῆς διανοίας τὸ τῆς Ἀθηνᾶς συνέτριψαν ἄγαλμα, ἢ μᾶλλον τοῖς χείροσιν ἀεὶ προβαίνοντες καὶ καθ' ἑαυτῶν ὁπλῖται γινόμενοι τὴν ἀνδρείας καὶ φρονήσεως ἐπιστάτιν κἂν τοῖς τύποις αὐτοῖς ἀπεώσαντο. οἱ δὲ βασιλεῖς οὐδὲν ὅτι μὴ τὴν συλλογὴν τῶν χρημάτων ἔργον ἀσχολίας πάσης εἶχον καὶ πάλιν ἀνώτερον, ἐπεὶ
P. 360 μηδὲ κόρος ἦν παρὰ τοῖς λαμβάνουσι λήψεως, ἀλλ' ὅσον αἱ δόσεις προύβαινον, τοσοῦτον ἐνήκμαζε τὸ φιλόχρυσον. ἀμέλει κἀκ τῶν πολιτῶν φόρων ὠδίνοντο συλλογαί. τούτου δὲ μὴ ὁμαλῶς προχωροῦντος (ὁ γὰρ λεώς, ὅσα καὶ πέλαγος ἀχανὲς καὶ ἀόριστον ἀνέμῳ, τοῖς μὴ θυμήρεσι διαρριπιζόμενον ἐπέφρισσεν εἰς ἀπόστασιν) τῆς μὲν προθέσεως ταύτης ἀπέστησαν, τοὺς δὲ ζαπλούτους ἐπιλέγδην ἐσύλησαν, ὅπως ἡ Λατινικὴ γαληνιάσειε βούπεινα. καὶ τὰ χρύσεα δὲ τοῦ μεγίστου νεὼ ἔπιπλα βαρυτάλαντα ὄντα, καὶ αἱ λυχνίαι σὺν αὐτοῖς αἱ ἀργύρεοι ἀφαιρούμεναι καὶ παραδιδόμεναι πυρί,

18. τοῖς δὲ ζαπλούτοις ἐπιλέγδην, ὡς ὑπέβαλεν ἡ φήμη, ἐπιφυόμενοι ἤμελγον οὐχ ὅσον ἔδει καὶ ὡς ἔσται βούτυρον, ἀλλ' ὅπως A. 19. καὶ τὰς χρυσᾶς δὲ ποδέας τῶν ἁγίων τοῦ μεγάλου ναοῦ καὶ τὰ ἅγια σκεπάσματα τὰ πολύτιμα τὰ ἐκ σύρματος χρυσοῦ ὄντα, τά τε μανουάλια καὶ κανδύλας τῷ πυρὶ καιόμενα καὶ χωνευόμενα εἰς βρῶσιν καὶ πόσιν τῶν σκύλων ἐδίδοντο B.

clinatum sustinebat. oculorum acies eodem intendebatur, ut qui situm angulorum non satis norant, simulacrum Occidentem spectare et veluti manu allicere Occidentales exercitus affirmarent, haud sano iudicio oculorum decepti.

Ac illi hac opinione impulsi Minervae simulacrum contriverunt; ac potius subinde ruentes in deterius, et contra semet ipsos armati, fortitudinis et prudentiae praesidem nec typis expressam apud se ferre potuerunt. imperatorum vero summa et unica occupatio erat pecuniae collectio, quod nulla erat accipiendi satietas: sed quantum donativa augebantur, tantum crescebat auri cupiditas. cupiebant etiam a civibus exigere tributum. sed cum ea res non expedite succederet (nam populus invisa postulatione irritatus, instar vasti maris vento conturbati, defectionem spectabat), omisso illo proposito eos qui ditissimi esse ferebantur spoliarunt, ut Latinorum cupiditati immensae fieret satis. praeterea maximi templi aurea suppellectilia

πρὸς βρῶσιν ἀτεχνῶς προβέβληντο τοῖς κυσί, καὶ μῖξις ἦν τῶν ἀμίκτων ἀνόσιος.

4. Ἀλλὰ καὶ τούτων οὕτω γινομένων καὶ προδήλως ἀνομουμένων οὐδὲν ἐπεραίνετο. ἠβούλοντο γὰρ οἱ τῶν χρημάτων B εἰσπράκτορες, τῆς τῶν Ῥωμαίων εὐηθείας κατατρυφῶντες καὶ τῆς τῶν κρατούντων ἠλιθιότητος καταπαίζοντες, τοὺς μὲν τὰς τιμίας ὕλας ἀποφορτίζεσθαι παρ' αὐτοῖς, τοὺς δὲ παρεστάναι ἀχθοφοροῦντας, ἄλλους προσιέναι χρυσαγωγούς, ἐνίους δ' ἐνσκευάζεσθαι πρὸς τὴν ἄφιξιν, καὶ τοῦτο δρᾶσθαι διὰ παντός. ὅθεν τοῖς περὶ τὴν μεγαλόπολιν τρυφηλοῖς χωρίοις καὶ τοῖς ἱεροῖς ἐν Προποντίδι τεμένεσι τοῖς τε λαμπροτάτοις οἰκοπέδοις τῶν βασιλέων παραλλὰξ οἱ στρατηγοὶ ἐφιστάμενοι, καὶ παρὰ θάτερον ἅτερος ὁπλιζόμενοι, ἐσκύλευόν τε τὰ ἐνόντα καὶ αὐτὰ πυρὶ παρεδίδοσαν, φειδόμενοι μηδενὸς V. 297 παραλίου οἰκοδομήματος οἱ τοῦ καλοῦ ἀνέραστοι κηρεσιφόρητοι βάρβαροι. πλεῖστα δὲ κἂν ταῖς ᾐόσι τῆς πόλεως C ἐπιπλέοντες συνίστων πόλεμον. καὶ ἦν ἡ νίκη ἀμοιβαδὸν ἐπιμειδιῶσά ποτε καὶ Ῥωμαίοις καὶ μὴ τιθεῖσα πάντῃ τὰ τῶν ἐναντίων ἀπρόσμαχα, ὁπότε καὶ τὸ δημῶδες τῆς πόλεως ἀνδριζόμενοι ἐνέκειντο τὸν βασιλέα αἰτούμενοι συνάρασθαί σφισι μετὰ στρατεύματος κατὰ τῆς τῶν πολεμίων ἀντιμαχήσεως, πιστοῖς οὖσι. καὶ πατριώταις, εἴπερ μὴ χείλεσι μὲν Ῥωμαίοις προστίθεται, τῇ δὲ καρδίᾳ Λατίνοις προσνένευκεν. ἦσαν

multorum talentum et argentei lychni una abrepti conflabantur, et plane canibus obiiciebantur rebus non miscendis nefarie commistis.

4. Neque tamen manifestis iniuriis istis quicquam proficiebatur. nam pecuniae exactores Romanorum simplicitati insultantes et imperatorum vecordiae illudentes postulabant ut alii materiam pretiosam apud se deponerent, alii onera sustinentes astarent, alii auri baiuli accederent, alii se ad accessum pararent, idque continenter fieret. unde hostium duces suburbana praedia amoenissima et sacras aedes Propontidis et splendidissima imperatorum palatia, alii ab aliis instigati, direptis per vices iis quae inerant, cremabant, nulli maritimo aedificio parcentes, homines barbari ab omni elegantia alieni et in perniciem hominum nati. multi etiam urbana littora legentes pugnam ciebant, victoria non ipsis perpetuo addicta, sed alternis etiam Romanis aliquando favente. et urbanus populus, fiducia sumpta, ab imperatore postulavit ut sibi, qui fideles ipsi et populares ipsius essent, cum exercitu ad resistendum hostibus opem ferret, nisi forte labiis duntaxat Romanis faveret, animo vero ad Latinos propenderet. verum illae postulationes erant irritae. nam et Alexius ab armis contra Latinos sumendis abhorrebat, idque inutile esse putabat; et

δὲ αἱ ἐπαγγελίαι πρὸς μηδὲν ἀνύσιμον προϊοῦσαι· ὅ τε γὰρ Ἀλέξιος ὡπλίσθαι κατὰ Λατίνων μὴ πεφυκὼς ᾤετο καὶ ἀσύμφορον, καὶ ὁ τούτου πατὴρ Ἰσαάκιος εἰσῆγε παραίφασιν κενοφωνεῖν τοὺς ἐκ τριόδων ἐᾶν, τοὺς δ' αὐτὸν καταγαγόν- D τας εἰς τὴν πατρίδα τιμῆς τῆς ἀνωτάτω καταξιοῦν. ταῖς δὲ γνώμαις ταύταις προσεπέρρεπον καὶ τὰ τοῦ βασιλείου γένους ἐγκαταλείμματα, ἥλικες ἥλικα τέρποντες τὸν Ἀλέξιον. ἔνιοι δὲ καὶ τοῖς Λατίνοις εἰς ἑταίρους ἀνακραθέντες ὡς ἑώλους ὕθλους τὰς τῶν πολιτῶν ἐντεύξεις παρέτρεχον, τὸν τῶν Λατίνων ἐκτρεπόμενοι πόλεμον ὡς οὐδὲ λέοντα βρυχητίαν ἐλάφων στρατόπεδον. μόνος δ' ἐκ πάντων ὁ Δούκας Ἀλέξιος, ὃς ἐκ τοῦ συνεσπάσθαι τὰς ὀφρῦς καὶ οἷον τοῖς ὀφθαλμοῖς ἐπικρέμασθαι πρὸς τῶν συνεφήβων ἐπωνόμαστο Μούρτζουφλος, πλὴν καὶ οὗτος βασιλειῶν καὶ τὴν τῶν πολιτῶν ἐπιτεχνώμενος εὔνοιαν, τὸν κατὰ τῶν Λατίνων ἀπεθάρρει πόλεμον, ἀρε- P. 361 τῆς τε ὡς μάλιστα ποιούμενος ἔνδειξιν περὶ τὸν λεγόμενον Τρυπητὸν λίθον καὶ τὴν ἐκεῖσε περιαγομένην ἀψῖδα τοῖς δυσμενέσι συμπλέκεται. μηδενὸς δὲ τῶν παρεστώτων ὁμοφύλων ἡγεμόνων, δόξαν οὕτω βασιλεῖ, ἐπαρήξαντος μικροῦ συνείληπτο ἄν· ὅ τε γὰρ ἵππος ἐπὶ γόνυ ὤκλασεν ᾧ ἐπεκάθητο, καὶ πᾶσα ἡ ξυμβολὴ πρὸς ἕνα ἀπεκρίθη πολέμαρχον,

1. ὅ τε] ἀδύνατον γὰρ ἦν τὸν ἀλέξιον κατὰ τῶν φράγγων ἁρματωθῆναι, ἄνθρωπον ὃς πρὸς αὐτοὺς ὅρκους καὶ ὑποσχέσεις μεγάλας ἐποίησεν· ὁ τούτου δὲ πάλιν πατὴρ ἔλεγεν ἄφες αὐτοὺς καὶ ἂς φωνάζωσι· σὲ γὰρ πρέπει μεγάλως αὐτοὺς τιμᾶν, ἐπεὶ ἔφερόν σε εἰς τὴν πατρίδα σου. B. 8. καὶ τοῖς] φιλίας μετὰ τῶν φράγγων ποιήσαντες καὶ ἀδελφοποιησίας B. 12. ἐκ τοῦ] ἀπὸ τοῦ τὰ ὀφρύδια ἔχειν δασέα καὶ ἡνωμένα ἐπάνω τῶν ὀφθαλμῶν αὐτοῦ κρεμάμενα B. 17. τὴν ἐκεῖσε] τὴν καμάραν B. 20. ἐγονάτισε γὰρ τὸ ἄλογον ὅπερ ἐκαβαλλίκευε, καὶ ἔδραμον ἅπαντες κατ' αὐτοῦ B.

pater eius id consilium dabat, inanes promiscuae turbae clamores negligendos, eos vero quorum ope in patriam restitutus esset, summis honoribus afficiendos esse. huic sententiae reliquiae quoque imperatorii generis in Alexii aequalis sui gratiam assentiebantur. quidam etiam Latinis familiares facti colloquia civium ut veteres nugas aspernabantur, Latinum bellum magis reformidantes quam cervorum exercitus rugientem leonem. solus omnium Ducas Alexius, cui ob coniuncta supercilia et velut oculis imminentia Murzufli cognomentum ab aequalibus erat inditum, regni cupiditate flagrans, ut civium gratiam colligeret, cum Latinis pugnare ausus ad Perforatum saxum et contiguum illi fornicem illustre virtutis specimen edidit. sed popularium ducum nullo adiutante (nam id imperator vetuerat) captus esset,

εἰ μὴ τοξότις νεολαία τῆς πόλεως τὰ δυνατὰ παρατυχοῦσα ἐπήμυνε. τὸ τοίνυν λεῶδες τῆς πόλεως μηδένα τῆς ἐπὶ Λατίνους ξιφουλκίας συναγωνιστὴν εὑρίσκον καὶ ξύμμαχον εἰς ἀποστασίαν οἰδαίνειν ἤρξατο, καὶ ὡς λέβης ἐκ πυρὸς κατὰ τῶν κρατούντων ἀτμοὺς ἀνιέναι ὕβρεων καὶ τὴν πάλαι ὕφαλόν τε καὶ ἄγνωστον γνώμην ἐκζέειν πρὸς φῶς. ἦγε μὲν οὖν τότε πέμπτην καὶ εἰκοστὴν ὁ Ἰανουάριος τῆς ἑβδόμης ἰν- B δικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ δωδεκάτου ἔτους, συνδρομῆς δ' ὅτι πλείστης εἰς τὸν μέγαν γινομένης νεὼν ἠναγκάζετο καὶ ἡ σύγκλητος ἥ τε τῶν ἀρχιερέων ὁμήγυρις καὶ οἱ τοῦ βήματος λόγιμοι συνελθεῖν ἐκεῖσε καὶ συνδιασκέψασθαί σφισι περὶ τοῦ ἄρξοντος. περὶ τῶν προκειμένων τοίνυν τὸ παριστάμενον εἰπεῖν λιπαρούμενοι ἐκ μὲν τοῦ αὐτίκα ἐπιθέσθαι τοῖς βασιλεύουσι καὶ χειροτονεῖν ἕτερον εἰς ἀρχὴν οὐδ' ὅλως ἐδοκιμάζομεν ὑποθέσθαι τοῖς συνιοῦσι· καλῶς γὰρ ᾔδειμεν ὡς τὸ μεῖον ὁ προβληθεὶς ἀποίσεται τῇ τε ἄλλῃ καὶ ὅτι τῶν Λατίνων οἱ στρατηγοὶ ἀμφοτέραις καὶ πάλιν ἀνθέξονται τοῦ Ἀλεξίου καὶ περιέξονται. οἱ δὲ λαοὶ χρῆμά τι ὄντες ἀφελὲς καὶ εὐρίπιστον, C καὶ πλέον τοῦ θεληματαίνειν οὐδὲν ἐπιστάμενοι, οὐκέτ' ἔφασκον ὑπ' Ἀγγέλων βούλεσθαι βασιλεύεσθαι, καὶ ὡς οὐκ ἄλλως ὁ σύλλογος ἐκεῖνος διαλυθήσεται, εἰ μή τις τῶν πραγμάτων προστήσεται θυμήρης αὐτοῖς. πείρᾳ τοίνυν γνόντες τὸ τῶν ἀνδρῶν· ἀμετάθετον ἡσυχάζομεν, ἑαυτοὺς ταλανίζον-

4. οἰδαίνειν] ὀγγώνειν B. καὶ ὡς] καθάπερ τὸ κακάβιν βράζον ἀναπέμπει ἀτμόν B. 11. τοῦ βήματος] τοῦ κλήρου B.

equo in genua prolapso et omnibus unum ducem petentibus, nisi manus sagittariorum eum defendisset. proinde plebeia multitudo, cum neminem qui contra Latinos opem ferret inveniret, defectionis consilia agitare coepit et conviciis imperatores insectari, cogitationibus quae diu animis latuerant erumpentibus. agebatur tum XXV dies mensis Ianuarii, VII indictione, anno VI MDCCXII. concursu autem maximo in magnum templum facto, etiam senatus et collegium pontificum et ecclesiasticorum primores eo convenere, et de imperatore deligendo una deliberare sunt coacti. cum autem sententias rogaremur, nullo modo auctores esse poteramus ut imperatoribus statim eiectis alium crearent, haud ignari, quisquis designatus esset, eum cum ob alia, tum quod Latinorum duces rursus Alexium summis viribus defensuri essent, posteriores laturum. at plebs, ut simplex est et mutabilis et nihil nisi libidinem in consilio habet, se Angelorum imperium diutius toleraturam negabat, neque prius discessuram quam imperatorem ex sententia nacta esset. igitur ipsa re contumaciam hominum experti, fortunas nostras miserantes et affatim

πας, καὶ πολλὰ τῶν παρειῶν κατειλείβομεν δάκρυα, τὸ μέλλον, ὡς εἰκός, προορώμενοι. οἱ δὲ τὸν ἄρξοντα ἐπιμελῶς ἀνεδίφων, καὶ νῦν μὲν τόνδε νῦν δ' ἐκεῖνον ἐκ τῆς εὐγενοῦς φυταλιᾶς αὐτοσχεδιάζον αὐτοκράτορα. τέλος δ' ἀπειρηκότες τοῖς ὅλοις, τοὺς ὀχλαρχικοὺς καὶ δημοκόπους, ἐνίους δὲ καὶ τοῦ καθ' D ἡμᾶς τάγματος τῆς χειρὸς ἐπισπώμενοι, στεφηφορεῖν ἀνέπειθον ξιφήρεις ὁρώμενοι. φεῦ φεῦ, τί τοῦ τότε πειρατηρίου θυμαλγέστερον ἢ ἀχθεινότερον, ἢ τῆς τῶν συνειλεγμένων V. ἀβελτηρίας γελοιωδέστερόν τε καὶ ἀλογώτερον; τὸ γὰρ „ἱμάτιον ἔχεις· γενοῦ ἡμῶν ἀρχηγὸς" ἦν ὁρᾶν ἀτεχνῶς περαινόμενον. (5) μόλις δὲ καὶ τρίτης ἡμέρας παριππευσάσης νεανίσκον τινὰ λαβόντες Νικόλαον τὴν κλῆσιν, Καναβὸν τὴν ἐπίκλησιν, εἰς βασιλέα χρίουσιν ἄκοντα. ὡς δ' Ἀλεξίῳ ταῦτα ἠνώτιστο τῷ ἀνάσσοντι (ὁ γὰρ Ἰσαάκιος ἔκειτο πνέων τὰ λοίσθια, τῶν μακρῶν ἐκείνων προαγγελμάτων τῆς μοναρχίας φρούδων ἐληλεγμένων καὶ ὡς κλινεγέρτου ἀποπτάντων ἐνυπνίων), μετάκλητος τίθεται ὑπ' αὐτοῦ ὁ Βονιφάτιος μαρκέσιος, καὶ περὶ τῶν ἐνεστώτων ἄμφω σκεψάμενοι δεῖν ἔγνωσαν δυνάμεις Λατινικὰς εἰσενεχθῆναι τοῖς παλατίοις, δι' ὧν ἀπόβλητος ἐσεῖται ὁ δημοπρόβλητος καὶ ὁ τοῦτον ἀρχαιρεσιάσας λαός. ὡς δ' ἦν τὰ ἐσκεμμένα ταῦτα πεφωραμένα, P. τὸν καιρὸν ἁρπάσας ὁ Δούκας ὁ Μούρτζουφλος ὡς πρὸς ἣν ὤδινεν ἀποστασίαν ἁρμόδιον, σὺν τῶν ἐκ τοῦ γένους ἐκείνῳ

10. post ἀρχηγός B: ἤγουν ῥοῦχον ἔχεις, γενοῦ αὐθέντης ἡμῶν. 14. πνέων] ψυχοραγῶν καὶ πνέων τὰ ἔσχατα B.

lacrimantes quiescimus, quid futurum esset, multo ante prospicientes. dum autem illi diligenter imperatorem quaerunt et alios atque alios ex nobilibus familiis designant, tandem iis omnibus improbatis, plebeios magistratus et quosdam nostri ordinis manibus prehensos accipere coronam strictis ensibus hortabantur. heu, heu, quid illo periculo gravius atque acerbius? quid illius conciliabuli vecordia dementius magisve ridiculum? designationis ea ratio afferebatur. „vestem habes: esto noster imperator." (5) Vix tandem triduo elapso, adolescentem quendam Nicolaum Canabum invitum imperatorem inaugurant. quae ubi Alexius audivit (nam Isaacius animam agebat, illis diuturni imperii praedictionibus ipso eventu refutatis et non aliter quam febricitantium somnia evanescentibus), Bonifacium marchionem accersit; initoque consilio utrique visum est Latinas cohortes in palatium admittendas esse, quibus novus iste imperator, et populus qui illum designasset, submoveretur. eo consilio nuntiato, Murzuflus Ducas arrepta occasione ad defectionem quam parturiebat idonea, cognatis suis spadonem fisco praefectum sibi conciliat,

συχνοῖς καὶ τὸν ἐπὶ τῶν ἀρχικῶν χρυσώνων ὑποποιεῖται Θλαδίαν, ἁλωτὸν ἀνθρώπιον τιμῶν ἀναβάσεσι καὶ εὐχείρωτον λήμμασιν. ὁ δὲ τοὺς πελεκυφόρους ἐκκλησιάσας, καί σφισι κοινωσάμενος τὴν βασιλέως πρόθεσιν, ἐκεῖνα φιλητέα τίθησι κρίνοντας ὅσα οἷ βουλητέα καὶ Ῥωμαίοις ἀσπάσια. κἀντεῦθεν ἡ τοῦ βασιλέως ὡδέ πως δραματουργεῖται καθαίρεσις. πρόσεισιν ὁ Δούκας τῷ βασιλεῖ τῆς νυκτὸς ἀωρὶ (ἐπῳκείωτο γὰρ ὑπὲρ ἅπαντας, τιμηθεὶς πρωτοβεστιάριος καὶ τὰ τοῖς πολλοῖς ἑτερόχρωμα καθυποδούμενος πέδιλα) καί φησι συμπαθῶς ὡς οἱ τοῦ αἵματος ἐκείνῳ, ἀλλὰ δὴ καὶ πλεῖστον τῶν B ἀνωνύμων, πρὸ δὲ πάντων τὸ πελέκεσιν ὁπλιζόμενον βάρβαρον, πάρεισιν ἐπὶ θύραις ὁρμαῖς μανιώδεσιν, αὐτοχειρὶ αὐτὸν διασπάσοντες ὡς ἤδη τοῖς Λατίνοις ἐκφανθέντα ὁμόνοα καὶ τῆς αὐτῶν ἐξηρτημένον φιλίας. ὁ δὲ πρὸς τὴν ἀκοὴν ταύτην μορμολυχθεὶς καὶ φανεὶς ἔκθαμβος ὑποθέσθαι οἱ τὸ πραχθησόμενον λιπαρεῖ. περισχὼν τοίνυν τὸν βασιλέα τῷ κατακεχυμένῳ μέχρι ποδῶν καὶ πλατεῖ ἐπενδύτῃ τοῦ σώματος συνέξεισιν ἐκείνῳ, καὶ ἄπεισι δι' ἀφανοῦς τοῖς πλείστοις πυλίδος ἐς τὸ σκήνωμα ὃ δὴ τῶν βασιλείων εἶχεν ἐντός, ὡς δῆθεν αὐτὸν ῥυσόμενος. καὶ βασιλεὺς μὲν ἐπὶ τοῖς οὕτω δρωμένοις μικροῦ καὶ χάριτας ὡμολόγει τῷ Δούκᾳ, καὶ τὰ τοῦ Δαβὶδ ὑπέκραγεν ἄντικρυς ἐπ' αὐτῷ „ἔκρυψέ με ἐν σκη- C

3. τοὺς πελεκυφόρους] βλέπων δὲ καὶ τὰ ἔμπροσθεν κακὰ συνάγει τοὺς βαράγγους, καὶ ὡς ἐκ προσώπου τοῦ βασιλέως συντυχαίνει αὐτούς, καὶ λέγει ἐκεῖνα κρίνει ὁ βασιλεὺς δίκαια καὶ καλὰ ὅσα καὶ τὸ πλῆθος ἀγαπᾷ καὶ ὀρέγεται. B. 8. καὶ τὰ] πράσινα φορῶν ὑποδήματα B. 9. περιπαθῶς A. 13. διασπάσοντες] διασπῶντες A. 19 ἐς τὸ σκήνωμα] εἰς τὸ σκοτεινὸν τῆς βασιλείας κελλίον, ὅπερ ἦν παρ' αὐτῶν ἐνδότερον B.

homuncionem incrementis dignitatis et largitionibus non inexpugnabilem. is vero imperatoris consilio bipenniferis nuntiato efficit ut ea amplectenda censeant quae ipse vellet et Romanis grata essent. ex eo imperatoris expulsio quasi per ludum inchoatur, eumque Ducas intempesta nocte adit (erat enim ei intima familiaritate coniunctus, protovestiarii dignitate et insignibus calceis ab eo ornatus), et moesta voce ait cognatos eius et plurimos obscuros homines, in primis vero bipenniferos barbaros, furioso impetu in foribus esse ad eum ob initam cum Latinis familiaritatem et amicitiam discerpendum. is vero eo nuntio territus atque obstupefactus orat ut quid agendum sit moneat. tum ille imperatorem lata veste et ad pedes usque fusa complexus, per portam plerisque ignotam in tentorium, quod in palatio habebat, quasi liberaturus perducit. qui ob id factum ei pene

νῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου· ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ." ὁ δὲ καθ' ἕτερα ψαλμῳδήματα τοῦ Δαβίδ, ἅ φησι „χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά· καὶ ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο," ταῦτα ἦν μετιών. καὶ παραχρῆμα ὁ μὲν σιδήρῳ τοὺς πόδας ἀσφαλισθεὶς καὶ παραρριφεὶς δεινοτάτῃ παρὰ πάσας εἰρκτῇ ἔθετο οὕτω σκότος ἀποκρυφὴν αὐτοῦ, ὁ δὲ τοῖς βασιλικοῖς κοσμεῖται συμβόλοις. τὰ δ' ἐπὶ τούτοις οἱ μὲν τῷ Δούκᾳ προσρύονται, καὶ τὰς εἰωθυίας τῷ αὐτοκράτορι προσρήσεις ἀναδιδόασιν· οἱ δὲ τῷ καθημένῳ ἐπὶ νεῷ
D προσνεύουσι Καναβῷ, ἀνδρὶ τὸ ἦθος μειλίχῳ καὶ δεξιῷ τὴν γνώμην, μηδ' ἀγεννεῖ τὰ πολέμια. ἐπεὶ δὲ τὰ χείρω ἐπικρατέστερα παρὰ τοῖς Κωνσταντινουπολίταις καὶ μάλιστα (φιλτέρα γὰρ ὑπὲρ τοὺς ὁμογενεῖς ἡ ἀλήθεια), ὁ μὲν Δούκας ἐκραταιοῦτο καὶ ηὔξανεν, ὁ δὲ Καναβὸς ἀμαυρουμένην εἶχε τὴν αἴγλην κατὰ σελήνην λειψίφωτον. χειροῦται δὲ καὶ πρὸς τῶν ὁπλοφόρων τοῦ Δούκα οὐκ εἰς μακρὸν καὶ φρουρᾷ παραδίδοται, πρὸς οὐδὲν ἐπαρκέσαντος αὐτῷ τοῦ βασιλευτοῦ λεώ, ἀλλὰ πάντων διασπαρέντων εὐθὺς μετὰ τὴν ἀνάρρησιν. τῷ δὲ βασιλεῖ Ἀλεξίῳ δὶς μὲν προύτεινεν ὁ Δούκας ζωῆς κατευνάστριαν κύλικα· ὡς δ' ἦν ὁ μεῖραξ τοῦ φαρμάκου νεανικώτερος, ἀντιδότοις χρώμενος λάθρα, δι' ἀγχόνης τὸν τῆς ζωῆς ἐκείνῳ μίτον ἐκτέμνει, ἢ καὶ οὕτως εἰπεῖν, διὰ στενῆς

15. ἀμαυρουμένην] ἠλαττοῦτο καὶ ἀποχεομένην εἶχε τὴν δύναμιν, ὥσπερ καὶ τὸ φεγγάριν τὴν αὐτοῦ ὅταν ἔχῃ ἀπόχυσιν B. 18. πρὸς οὐδὲν] μηδὲν δυνηθέντων τῶν αὐτὸν εἰς βασιλέα χειροτονησάντων B. 22. δι' ἀγχόνης] μετὰ κόρδας πνίγει αὐτὸν B.

gratias agebat, et Davidicum illud canebat „occultavit me in tentorio suo, in die malorum meorum: texit me in occulto tabernaculi sui." ille vero alternis respondebat „labia dolosa in corde, et in corde locutus est mala; ac pacate mecum locuti sunt, et irati dolos struxerunt." ac Alexius statim compedibus iniectis in omnium teterrimum carcerem coniicitur, Murzuflus vero insignia imperii sumit, eumque deinceps alii imperatorem de more consalutant: alii ad Canabum in templo sedentem confluunt, virum leni ingenio, cordatum et non imbellem. sed quia peiora apud Cpolitanos in primis vincunt (nam popularium meorum gratiae veritatem antepono), Ducae opes crescebant et firmabantur, Canabi vero splendor ut lunae deficientis obscurabatur; nec multo post a satellitibus Ducae captus custodiae traditur, populo nihil opitulante, post proclamationem eius dispersis omnibus. caeterum Alexio imperatori Ducas bis venenum pro-

καὶ τεθλιμμένης τῆσδε πορείας τὴν ψυχὴν ἐκείνῳ ἐκθλίβει καὶ πρὸς τὸ τοῦ ᾅδου ἐκπυρηνίζει πέταυρον βασιλεύσαντι μῆνας ἓξ σὺν ἡμέραις ὀκτώ.

pinavit; quod cum adolescens tum aetatis robore tum antidotis, quibus clam utebatur, vicisset, laqueo ei guttur elidit, mense imperii sexto, die octavo.

ΒΑΣΙΛΕΙΑ

ΑΛΕΞΙΟΥ ΤΟΥ ΔΟΥΚΑ

ΤΟΥ ΚΑΙ ΜΟΥΡΤΖΟΥΦΛΟΥ.

P. 363 1. Ὡς οὖν καθαρῶς εἰς Δούκαν ἡ βασιλεία μετακεχύ-
V. 299 βευτο, ὁ μὲν ὤδινε πραγμάτων μεταβολὰς καὶ τὸ πᾶν ἀνακυκήσειν ἐσκέπτετο, σοφισματίας ὢν τὸ ἦθος καὶ τὸν τρόπον φρονηματίας, καὶ τὸ κρυψίνουν ἀγχίνουν οἰόμενος, καὶ ἐπὶ πᾶσι τὸν εὐεργέτην ἐς τοὺς μετ᾽ αἰῶνας αἰῶνας ἀναδυόμενος ἐκ τοῦ μὴ κρίνειν, ὡς ἔλεγε, βασιλικὸν τὸ αὐτόματον καὶ ἀνάκριβον ἐν ταῖς πράξεσι, τὸ δὲ περιεσκεμμένον καὶ χρόνιον.

6. σοφισματίας] σεσοφισμένον ἦθος ἔχων καὶ ἐκ τρόπου φρόνιμον δεικνύων ἑαυτόν B. 8. μετ᾽ αἰῶνας] μετέωνος PW, μετίωνος cod Par, μετίωνας A. correxi ego. 9. τὸ αὐτόματον] τὸ ἐκ τοῦ ἀπεντεῦθεν ἀποφαίνεσθαι B.

ALEXII DUCAE,

COGNOMENTO MURZUFLI SEU SUPERCILIOSI,

IMPERIUM.

1. Imperio citra controversiam potitus Ducas mutationes rerum parturiebat, et conturbare omnia in animo habebat, homo callidus et arrogans, qui prudentiam in dissimulatione et cunctatione ponebat, ac beneficia subinde in Meteonis aetatem differebat. negabat enim regium esse subito ac temere quicquam facere, sed cum mora et deliberatione. ad has sententias cum suapte sponte pro-

πρὸς δὲ τὰς τοιαύτας γνώμας ὡρμᾶτο μὲν καὶ αὐτόθεν, οὐδὲν ἐκεῖνον λεληθέναι τῶν καθηκόντων ἰσχυριζόμενος ἀλλὰ πᾶσι πεφυκέναι πράγμασιν· εἶχε δὲ καὶ συνερίθου σκίασμα ἰσχνὸν παρεπόμενον τὸν κηδεστὴν Φιλοκάλιον, ὃν οὐχ ἑτέρως ἔχων ἐπὶ τοῦ ἄκρου στῆσαι τῆς συγκλήτου βατῆρος, ἡμᾶς μὲν ἀπ' οὐδεμιᾶς εὐσχήμονος προφάσεως τοῦ τοῖς σεκρέτοις λογοθετεῖν παραλέλυκεν, ἐκεῖνον δ' ἀντιπροβέβληκεν. ἀμελέ- P. 364
τητος δ' ὢν ὁ ἀνὴρ ὅδε τοῦ ἑαυτὸν εἰδέναι παντάπασιν, ὑπὸ τῆς ἄγαν φιλοτιμίας τῶν ὑπὲρ τὸ καθῆκον σφαλερῶς ἐφιέμενος, τὸ μὴ σύνθρονος εἶναι τῶν ἐν τιμαῖς ἐνίοις ὑπενόθευε ποδάγραν σχηματιζόμενος, ὡς εἴπερ συνδιέρρεε ταῖς πτέρναις τὸν ἐγκέφαλον κἀντεῦθεν ἀλλοφρονέων ὀλιγώρως εἶχε τοῦ πρέποντος. ἀλλὰ καὶ τοὺς βασιλείους θησαυροὺς οὐκ ἐπιχειλεῖς οὐδ' ἡμιδεεῖς ἀλλ' ἐν στενῷ πάντῃ ἀπειλημμένους ὁ ἄρξας οὑτοσὶ Δούκας εὑρὼν θερίζων ἦν ἔνθα οὐκ ἔσπειρε καὶ συνάγων ὅθεν οὐ διεσκόρπισεν, ἐτάσεσι βαρείαις ὑπάγων τοὺς τὰς μεγίστας ὑπ' Ἀγγέλων ἀνεζωσμένους πρώην ἀρχὰς καὶ μεταρσιωθέντας εἰς ὕψος σεβαστοκρά- B
τορσι καθῆκον καὶ Καίσαρσι, καὶ πρὸς τὰς κοινὰς ἀπεκτᾶτο χρείας ὁπόσα ἐνθένδε συνέλεγε χρήματα. ἀπειροκάλως V. 300

1. ὡρμᾶτο] ἐκινεῖτο μὲν καὶ ἀφ' ἑαυτοῦ B. 4. τὸν κηδεστὴν] τὸν αὐτοῦ πενθερὸν τὸν φιλοκάλην B. 7. ἀμελέτητος] μὴ γινώσκων δὲ νόμους κρίσεως ὁ ἀνὴρ πολλὰ τῶν οὐ πρεπόντων ἐποίει καὶ σφαλερῶς ἔκρινε. θέλων δὲ καὶ μηδένα τῶν πρὸς αὐτὸν ἐρχομένων προτιμῆσαι ἔν τε ταῖς εἰσόδοις καὶ ταῖς ἐξόδοις ποδαγρίαν ἐσχηματίζετο ἔχειν, ὥσπερ εἰ ἀνθρώπους ἔβλεπεν ἀνοήτους καὶ τὴν γνῶσιν εἰς τὰς πτέρνας αὐτῶν ἔχοντας. B. 14. οὐκ ἐπιχειλεῖς] οὐ γεμάτους ἀλλ' εὐκαίρους B.

pensus erat, quippe qui se nihil scitu necessarium ignorare sed omnibus rebus gerendis idoneum esse profiteretur, tum a Philocalio socero suo umbratili adiutore in ea opinione confirmabatur. quem cum aliter in summo consilii gradu collocare non posset, nos nulla probabili de causa ab officio logothetae secretorum removit, eumque in nostrum locum substituit. is vero vir cum a sui cognitione alienissimus esset, dum prae nimia ambitione ea quae dignitatem eius superabant cum periculo appetit, ne quosdam honoratos viros assessores haberet, pati podagram simulat, quasi una cum pedibus cerebrum etiam amisisset, et quasi alienata mente decorum negligit. caeterum Ducas hic cum suscepto imperio thesauros non plenos nec semiplenos sed admodum exhaustos reperisset, metebat ubi non severat, et colligebat ubi nihil sparserat. ac gravi quaestione in eos habita qui sub Angelis maxima imperia gesserant ad fastigium Sebastocratoricum et Caesareum evecti, pecuniam inde collectam ad

δ' ἔχων τῆς τῶν Λατίνων ἀντιμαχήσεως, κατὰ τοῦτο τὸ μέρος πάντων ἐπρώτευε· τά τε γὰρ παράλια τείχη τῆς πόλεως διὰ δοκῶν ἀνύψωσε, καὶ τὰς χερσαίας πύλας τειχισματίοις διείληφε, καὶ τὴν στρατιὰν ἀνεζωπύρει τῷ καθ' αὑτὸν ὑποδείγματι. ἐν πολλοῖς δὲ καὶ αὐτὸς ξίφος ἀγκυλιζόμενος καὶ χαλκήρει κορύνῃ τὴν χεῖρα καθοπλιζόμενος τοῦτο μὲν τὰς τῶν ἐναντίων ἀνέκοπτεν ἐκδρομάς, τοῦτο δὲ τοῖς σποραδικῶς ἐξιοῦσιν εἰς πορισμὸν σιτίων ἐφιστάμενος ἦν αὐτεπάγγελτος
C καὶ αὐτενέργητος. ἀμέλει διὰ ταῦτα τοῖς πολίταις ἠσπάζετο, εἰ καὶ ὕποπτος ἦν τὰ πολλὰ καὶ ἀσύμβατος τοῖς ἐξ αἵματος· ἅτε γὰρ ἐντραφέντες οὗτοι βλακείᾳ καὶ μαλακίᾳ συνανδρωθέντες, ἀναγωγικὴν αὐστηρίαν καὶ δίαιταν σώφρονα περιιστάμενοι, ὡς τὰ κεκρατημένα σώματα νοσοκόμησιν, ἐτραχηλίων καὶ ἐσκληρύνοντο. τὴν τοῦ Δούκα τοίνυν ἐμβρίμησιν καὶ ἐπίπληξιν (ἦν γὰρ καὶ φύσει κοῖλος καὶ βαρὺς τὴν φωνὴν καὶ τὸν φάρυγγα βραγχιῶν) ὅσα καὶ γεῦσιν πολύποδος ὠμοῦ ἢ ἐλλεβόρου τράπεζαν εἴτε μὴν ταυρείου αἵματος κέρασμα ἐκτρεπόμενοι, τὴν τούτου καταστροφὴν ἐπιστροφὴν ᾤοντο θεϊκήν. ἔνθεν τοι καὶ Βαλδουίνου τοῦ τῆς Φλαντρίας
D κόμητος τὰ περὶ τὸν Φιλέαν κείροντος μέρη, κἀκεῖθεν φόρους συλλέγοντος, ἔξεισι κατ' αὐτοῦ βασιλεύς. ὡς δ' ὁ μὲν ἀπιὼν οἱ δ' ἐκ τοῦ πολεμίου στίφους ἀναζευγνύντες ἀλλήλοις συνέμιξαν, Ῥωμαῖοι μὲν δέει ξυνέχονται καὶ συντόνου φυγῆς ἔχονται, περιλειφθεὶς δὲ μόνος ὁ βασιλεὺς αὐτός τε μικροῦ

3. δοκῶν] δοκάνων B. 15. φύσει] φωνὴν ἔχων βαρέαν καὶ βραχνήν B. 20. φιλέα A. 21. ὡς δὲ οὗτοι μὲν ἀπήρχοντο ἐκεῖνοι δὲ ἤρχοντο B. an ἐπιών?

publicos usus referebat. cum autem Latinis, hostium viribus male aestimatis, resistere cuperet, eaque re omnium primus esset, murum maritimum trabibus altiorem fecit, et terrestres portas tibicinibus fulsit; et legionibus suo exemplo, dum gladio accinctus et ferream clavam manibus versare conspicitur, ad fortitudinem excitatis, partim hostium excursiones reprimit, partim eos qui frumentatum sparsim exibant persequitur. quae cum ultro nemine flagitante faceret, ut carus erat civibus, ita cognatis suis fere suspectus et invisus. qui ut in otio nutriti et in deliciis adulti, severam et modestam vitae rationem ut morbida corpora temperantiam aversantes ab eo abhorrebant, et eius castigationem et increpationem (erat enim natura voce gravi aspera et rauca) gravissime et iniquissimis animis patiebantur, et eius exitium ut divinum beneficium exoptabant. cum autem imperator contra Balduinum Flandriae comitem, qui Phileae loca finitima populabatur et tributa exigebat, exiret, atque in eo itinere uterque alteri occurrissent, Romanis perterritis et trepide fu-

παραπώλετο, καὶ ἡ τῆς Θεομήτορος εἰκών, ἣν οἱ βασιλεῖς Ῥωμαίων ποιοῦνται συστράτηγον, τοῖς ἐναντίοις ἑάλωκεν. ἦν δ' οὐ μόνον ταῦτα δεινά, ἀλλά γε καὶ τὰ ἐλπιζόμενα πολὺ χείρω καὶ χαλεπώτατα· ἐν γὰρ τοῖς μείζοσι τῶν πλοίων φρικώδεις πάλιν κλίμακες ἐτεκταίνοντο καὶ μηχαναὶ παντοῖαι κατεσκευάζοντο, σημαῖαί τε ἐπὶ τούτων ἠνέμωντο, καὶ τοῖς εἰς αὐτὰς ἀνιοῦσιν ἐπὶ τῷ μάχεσθαι δωρεαὶ παρὰ Λατίνων προυτείνοντο μέγισται.

2. Καὶ ταῦτα μὲν τῶν δεινῶν ἐκινεῖτο, τὰ δὲ ἐγίνετο, P. 365
τὰ δ' ἤμελλεν· ἠλόγηντο δὲ καὶ οἱ περὶ φιλίας λόγοι καὶ παντάπασι κατημέληντο. μᾶλλον δὲ καὶ τούτους πονηροί τινες Τελχῖνες πολλάκις συνέχεον. ὁ γὰρ δοὺξ Βενετίας Ἐρίκος Δάνδουλος ὁμιλῆσαι περὶ σπονδῶν ἑλόμενος βασιλεῖ, νῆα εἰσιὼν τριήρη, περὶ ταῖς ἀκταῖς προσέχει τοῦ Κοσμιδίου. ὡς δ' ἔφιππος ἐκεῖσε καὶ βασιλεὺς ἀφίκετο, ἐκοινοῦντο μὲν ἀλλήλοις τὰ πρὸς εἰρήνην ῥήματα, μηδενὶ τῶν ἄλλων τὴν σπουδὴν χαριζόμενοι. καὶ ἦσαν τὰ παρὰ τοῦ δουκὸς Βενετίας καὶ τῶν λοιπῶν στρατηγῶν αἰτούμενα χρυσίου πεντήκοντα κεντηνάρια ἐκ τοῦ αὐτίκα μάλα καταβαλλόμενα, καὶ συμφωνίαι τινές, ἐπ' αὐτοῖς ἀποκναίουσαι μὲν καὶ δυσπαράδεκτοι τοῖς γενομένοις ἐλευθερίας καὶ εἰωθόσιν ἐπιτάσσειν, B
οὐκ ἐπιτάσσεσθαι, καὶ Λακωνικαὶ βαρεῖαι κρινόμεναι μάστιγες, οἷς δ' αἰχμαλωσίας πρόκειται κίνδυνος καὶ πάνδημος

9. τὰ δὲ ἐγίνετο om. A. 14. περὶ] παρά? 19. καταβαλούμενα A.

gientibus solus derelictus pene periisset; et genitricis dei imago quam Romanorum imperatores belli sociam asciscunt, ab hostibus capta est. neque haec tantum gravia erant, sed et longe graviora timebantur. nam in maioribus navibus horrendae rursus scalae fabricabantur et omnis generis machinae parabantur, vexillis superne volitantibus; et iis qui pugnandi causa ea conscenderent, a Latinis maxima praemia proponebantur.

2. Ita periculis partim instantibus partim urgentibus, nulla spes pacificationis supererat, pactionibus per invidos et sceleratos quosdam homines saepe confusis. nam dux Venetiarum Ericus Dandulus cum imperatore de pace acturus triremi iuxta Cosmidium appellit: eodem et imperator equo advehitur. rebus aliis omnibus relictis de pace verba conferunt. ac a duce Venetiarum caeterisque principibus auri centenarii L statim numerandi postulantur, adiectis conditionibus aliquot durissimis et minime accipiendis iis qui libertatis dulcedinem sunt experti et imperare, non parere didicerunt, et Laconici flagelli acerbitatem superantibus. quibus vero captivitatis periculum imminebat ac publicum exitium et inchoatum et exaspe-

ἀνέῤῥωγεν ὄλεθρος τὸ μέν τι πρῴην τὸ δὲ καὶ ὑπογυίως ἀνιστομούμενος, ἀνεκταὶ πάντως μηδὲ παντάπασιν ἀχθεινόταται. ἐν ᾧ δὲ τὰ πρὸς εἰρήνην εἰς διάλεξιν προὔκειντο, ἱππικαὶ Λατινικαὶ δυνάμεις ἐξ ὑπερδεξίων αἴφνης φανεῖσαι ἡνίαις ὅλαις τῷ βασιλεῖ ἐπιτίθενται, ὡς μόλις ἐκεῖνον παρερύσαντα τὸν ἵππον διεκφυγεῖν τὸν κίνδυνον, τῶν δὲ συνόντων χειρωθῆναί τινας· τὸ γὰρ ἄκρον τῆς ἐκείνων πρὸς ἡμᾶς ἀπεχθείας καὶ τὸ ὑπερβάλλον τῆς ἐπ' ἐκείνους ἡμῶν διχο-
C νοίας οὐδεμίαν ἑκατέροις παρεισῆγε ῥοπὴν φιλάνθρωπον. τὰ δ' ἐπὶ τούτοις ἀποσαλεύονται τῶν ᾐόνων τὰ μέγιστα τῶν ἀν-
V. 301 τιπάλων σκαφῶν, ἐφ' ὧν αἱ κλίμακες εὐτρεπεῖς καὶ ὅσα τῶν ὀργάνων πρὸς τειχομαχίαν ἡτοίμασται καὶ ὡς ἐπὶ ζυγοῦ κατατείναντα ἐπὶ τὴν πρὸς τὰ τείχη μεταβαίνουσι πλάστιγγα, καὶ διειλήφασι τὸν χῶρον, ἐς τὸ ἀποχρῶν ἀλλήλων διιστάμενα, ὃς ἐκ τῆς τοῦ Εὐεργέτου μονῆς ἐς τὰ ἐν Βλαχέρναις ἀνάκτορα γραμμικῶς ἐκμηκίζεται, ἐμπεπυρισμένος ὢν καὶ ἀνεσκαμμένος τὰ ἔνδον οἰκόπεδα καὶ παντὸς ἐψιλωμένος ἡδέος θεάματος. ὅπερ ἰδὼν ὁ Δούκας, δρῶν καὶ αὐτὸς τοῖς πολεμίοις ἀντίθετα, τὴν βασίλειον αὐλαίαν προσετετάχει διατεθῆναι κατὰ τὸν ἐν τῇ μονῇ τοῦ Παντεπόπτου κολωνόν, ὅθεν
D ἦσαν ὁραταὶ μὲν αἱ νῆες αἱ πολεμιστήριοι, καταφανῆ δὲ καὶ τὰ παρ' αὐτῶν ἐν ταυταις δρώμενα. ὡς δ' ἐπέφωσκεν ἡ ἐνάτη τοῦ Ἀπριλλίου μηνὸς τῆς ἑβδόμης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ δωδεκάτου ἔτους, τὰ μὲν πλοῖα

19. τὴν β.] τὰς βασιλικὰς τέντας B. 22. παρὰ τῶν ἐν? 24. τὰ μὲν πλοῖα] τὰ μὲν καράβια καὶ τὰ κάτεργα B.

ratum, plane tolerabiles erant nec omnium difficillimae. dum vero de pace disputatur, Latinorum equestres copiae ex superiore loco subito erumpentes laxis habenis imperatorem petunt, ut vix equo converso periculum effugeret et comitum eius aliquot caperentur. nam summum eorum erga nos odium et immensum nostrum cum illis dissidium obstabat quo minus utrinque de aequis conditionibus agi posset. exinde maximae hostiles naves, in quibus paratae erant scalae caeteraque instrumenta ad oppugnationem necessaria, a littoribus reductae recta ad moenia accedunt, et iustis invicem distinctae intervallis id spatium occupant, quod ab Evergetae monasterio ad amussim ad Blachernium palatium extenditur, incendio desolatum aspectuque foedum. quo viso Ducas, ut paria cum hostibus faceret, ipse quoque imperatoria tentoria in tumulo ad Pantepopti monasterium figi iussit; unde et hostium naves, et quicquid agerent, conspici poterat. ut autem IX dies Aprilis illuxit, indictione VII anni 6712, naves ad moenia contendunt; et quidam audaces milites scalis conscensis tela

καὶ οἱ δρόμωνες τοῖς [illegible]εσι προσπελάζουσι, θαρσαλέοι δέ τινες πολεμήτορες ἐπανίασι τὰς κλίμακας, τὰ δὲ βέλη παντοῖα κατὰ τῶν ἐν τοῖς πύργοις ἠφίεντο. ὅλην μὲν οὖν ἐκείνην τὴν ἡμέραν μάχη ἐνειστήκει στονόεσσα, ἣν δέ πως τὰ Ῥωμαίων ἐπικρατέστερα· αἵ τε γὰρ κλιμακοφόροι νῆες σὺν τοῖς ἱππαγωγοῖς δρόμωσιν ἄπρακτοι τῶν τειχῶν ἀπεκρούσθησαν, καὶ τὰ τῶν λίθων ἐκ τῆς πόλεως ἀφετήρια πλείστους ὅσους τῶν πολεμίων διέφθειραν. ἀνοχευσάμενοι δὲ οἱ πολέμιοι τὴν μετ' ἐκείνην ἡμέραν καὶ τὴν ἐφεξῆς κυριώνυμον, τῇ ὑστεραίᾳ πάλιν τῇ πόλει προσπλέουσι καὶ ταῖς ᾐόσι προσίσχουσιν, ἥτις ἦν δωδεκάτη μὲν τοῦ Ἀπριλλίου μηνός, δευ- P. 366 τέρα δὲ τῆς ἕκτης ἑβδομάδος τῶν νηστειῶν. μέσῃ μὲν οὖν ἡμέρᾳ καὶ κατίσχυον τὰ ἡμέτερα, καὶ ἡ ἀκμὴ τοῦ κακοῦ ἰσχυροτέρα τις ἦν καὶ δριμυτέρα τῆς πρότριτα· ἐπειδὴ δὲ ἔδει δούλειον ζυγὸν ὑποδῦναι τὴν τῶν πόλεων ἁπασῶν ἄρχουσαν, ἐν κημῷ τε καὶ χαλινῷ τὰς σιαγόνας ἡμῶν ἄγξαι θεὸς ἐδικαίωσεν, ὅτι καὶ πάντες ἐξέστημεν, ἱερεὺς ὁμοῦ καὶ λαός, ὡς ἵππος θρασαύχην τε καὶ δυσχάλινος, ἐκ τῶν κλιμάκων μιᾶς, ἥτις ἄγχιστα ἦν τῶν Πετρίων καὶ βασιλέως ἔναντι διεπονεῖτο, ἄνδρες δύο παραδόντες ἑαυτοὺς τῇ τύχῃ πρῶτοι τοῦ ἑταιρικοῦ ἐς τὸν κατ' ὄψιν πύργον καταπηδῶσι, B καὶ διασοβοῦσι τὸ ἐκεῖσε Ῥωμαίοις φυλακικὸν συμμαχικόν, ἐκ δὲ τούτου διασείσαντες τὴν χεῖρα ἄνωθεν οἷον σύμβολον χαρᾶς καὶ θάρσους τοὺς φυλέτας ἐπέρρωσαν. ἐξ ἴσου δὲ

5. σὺν τοῖς] καὶ αἱ ταρίδες B. 7. τὰ τῶν] τὰ ἱστάμενα δὲ χαλαστάρια εἰς τοὺς πύργους B. 12. τῶν νηστειῶν] τῆς τεσσαρακοστῆς B. 20. ἑαυτοὺς παραδόντες πρὸς θάνατον ἢ ζωὴν B.

omnis generis in eos iaculantur qui moenia defendebant. ac eo toto die acriter pugnatum est, victoria tamen ad Romanos inclinante. nam scaligerae et equestres naves re infecta sunt ab urbe repulsae, et tormentis magna hostium multitudo occubuit. postridie et sequenti die dominico quieverunt hostes. inde Aprilis XII, II die VI hebdomadis ieiuniorum, rursus urbem petunt. ac res nostra usque ad meridiem superior fuit, et pugna atrocior quam nudiustertius commissa. sed cum omnium urbium dominae civitati servitutis iugum subeundum esset, et maxillas nostras freno et camo constringendas censuisset deus, quod omnes declinaveramus, sacerdos simul et populus, ut equus effrenis et contumax, duo viri salute sua fortunae permissa, ex scalis quae proxime Petrium adversus imperatorem in opere erant, prae caeteris sociis in turrim desiliunt et Romanum praesidium deturbant. deinde agitata manu, quod alacritatis et fiduciae signum

τοῖς εἰς τὸν πύργον ἁλαμένοις καί τις ἐκ τῆς ἱππάδος Πέτρος
τοὔνομα διὰ τῆς πύλης εἴσεισι τῆς ἐκεῖσε, ὅλας φάλαγγας
κλονῆσαι κρινόμενος ἱκανώτατος, καὶ τὴν ἀναδρομὴν τοῦ σώ-
ματος ὡς γίγας μικροῦ προφαινόμενος ἐννεόργυιος, καὶ αὐ-
τὸν δὲ τὸν κάσιν τῆς κεφαλῆς διεσκευασμένον ἔχων κατὰ πό-
λιν πυργόεσσαν. οὐδὲ κόρυθος τοίνυν μέτωπον ἑνὸς ἀνδρὸς
ἱππαστοῦ, καταπληκτικοῦ τὸ εἶδος, ἀξιοθεάτου τὸ μέγεθος
C οἱ περὶ τὸν βασιλέα τῷ γένει ἐπίσημοι καὶ τὸ λοιπὸν στρά-
τευμα κατιδεῖν ἐνεγκόντες ἀγαθὸν τοῦ σώζεσθαι φάρμακον
τὴν ἐθάδα φυγὴν ὑπειλήφασιν, ὥσπερ εἰς μίαν ἐνηθισθέντες
καὶ συντακέντες ἀγεννῆ ψυχήν, ὅθεν εἰς δειλίαν τῶν ὀχυρω-
μάτων αὐτοῖς τεθειμένων (ἐπὶ γὰρ γηλόφων ὀρθίων ἵσταντο)
κατὰ χιλίους ὑφ' ἑνὸς ἐδιώκοντο, καὶ ταῖς χρυσέαις χερσαί-
αις πύλαις ἐπιστάντες τῆς πόλεως τὸ νεόδμητον ἐκεῖσε κατα-
σπῶσι τῶν πολλῶν ἐπιτείχισμα, καὶ τρέχουσί τε καὶ διασκι-
δνανται, ὡς ὄφελόν γε τὴν ἐς βάραθρον καὶ πανώλειαν βα-
διούμενοι. οἱ δὲ πολέμιοι μηδενὸς εἰς χεῖρας ἰόντος διαθέουσι
πολλαχῇ, καὶ τὰ ξίφη σπῶσι καθ' ἡλικίας πάσης καὶ γένους
D παντός, οὐχ εἷς ἑνὶ συνημμένοι καὶ κατὰ σύνταξιν πλείους
ἀλληλουχούμενοι, ἀλλὰ διακεχυμένοι σποράδες ὡς ἤδη παρὰ
πᾶσιν ἐπιφοβώτατοι. ἑσπέρας δὲ παραδόντες πυρὶ τὰ πρὸς
ἕω καὶ ἔτι πρόσω μικρὸν τῆς τοῦ Εὐεργέτου μονῆς, ὃ καὶ κατε-
νεμήσατο τὰ πρὸς θάλασσαν ἐκεῖθεν ἐπικλινῆ καὶ μέχρι τῶν
102 Δρουγγαρίου καταλήγοντα μέρη τῆς πόλεως, ἐπαναλέουσιν

15. πολλῶν] πυλῶν margo PW. διασκιδν.] σκορπίζονται, ἄν ποτε ἵνα καὶ ἐποντίζοντο καὶ ἠφανίζοντο B. 24. δρογγαρίου B.

esset, populares suos confirmant. eodem quoque tempore quidam eques nomine Petrus per portam ibidem ingreditur, qui totas phalanges fugare posse censeretur, giganteae propemodum staturae, cassidem turritae urbis instar capite gestans; cuius unius equitis torvo vultu et spectabili proceritate, stipatores imperatorii, homines nobiles, et reliquus exercitus non tolerato, consuetam fugam egregium salutis praesidium iudicarunt, quasi in unum degenerem animum conflati essent omnes; ac desertis munitionibus (nam in editis tumulis stabant) mille ab uno fugabantur, et per auream terrestrem urbis portam egressi, ac nuper structo propugnaculo diruto, quo quemque metus tulit (utinam vero in barathrum et internecionem incidissent) diffugiunt. tum hostes resistente nemine passim discurrunt, et gladios in omnem aetatem et sexum stringunt, non conservata acie, non integra cohorte, sed sparsim diffusi ut iam omnibus formidabiles. vesperi iis quae ad Orientem tendunt immissis (quod incendium ab Evergetae monasterio ea quae ad mare inclinant usque

αὖθις, καὶ περὶ τὴν μονὴν τοῦ Παντεπόπτου στρατήγιον βάλλουσι, τὴν βασίλειον ἐσκυλευκότες σκηνὴν καὶ αὐτῶν τῶν ἐν Βλαχέρναις ἀρχείων ἀπραγμόνως τε καὶ ἐξ ἐφόδου κεκρατηκότες. ὁ δὲ βασιλεὺς τῇδε κἀκεῖσε τῶν τῆς πόλεως περιιὼν στενωπῶν ἐπεχείρει μὲν συνιστᾶν καὶ διακροτεῖν πρὸς σύνταξιν τὸν εἰκῇ περιφοιτῶντα λαόν· οἱ δ' οὔτ' ἐπείθοντό οἱ ἐπιρρωννύοντι οὔθ' ὑπήκουον ἐπιπλήττοντι, ἀλλ' ἀπογνώσεως πᾶσιν αἰγὶς ἐπεσέσειστο. καὶ ἵνα τῷ λόγῳ προβιβάσω τὸ λοιπόν, κέκλικεν ἡ ἡμέρα καὶ ἡ νὺξ προύκοπτε, καὶ τῶν μὲν ἀστυπύλων ἕκαστος ἐνεπόνει τῇ μεταθέσει καὶ καταχώσει τῶν P. 367 οὐσιῶν, ἦσαν δ' οἷς ἡρέτιστο καὶ ἡ ἐκ τῆς πόλεως ἄπαρσις, καὶ ὡς ἑκάστοις προυχώρει σώζεσθαι ἠπείγοντο.

3. Ἰδὼν τοίνυν ὁ Δούκας ὡς οὐδὲν ὠφελεῖ, καὶ δεδιὼς ἅμα μὴ συλληφθείη καὶ ὡς ὄψον ἢ ἐπιτράγημα ταῖς γνάθοις τῶν Λατίνων προκείσεται, εἴσεισιν ἀρχεῖον τὸ μέγιστον. καὶ δὴ τὴν βασίλισσαν Εὐφροσύνην τὴν τοῦ βασιλέως Ἀλεξίου γυναῖκα καὶ τὴν ταύτης θυγατέρα Εὐδοκίαν λεμβαδίῳ ἐνθέμενος, ἧς τῷ ἔρωτι προκατείληπτο πολυοχλητος ἐκ πρώτης τριχὸς καὶ ῥυηφενὴς εἰς κοίτας δεικνύμενος καὶ δύο κουριδίους ἀλόχους παρὰ δίκην ἀποπεμψάμενος, τῆς πόλεως ἔξεισι, βασιλεύσας μῆνας δύο καὶ ἡμέρας ἓξ πρὸς ταῖς δέκα. B τοῦ δὲ βασιλέως οὕτω μεταναστεύσαντος, νεανιῶν ξυνωρὶς

1. παντ πεζεύουσι, καὶ τὰς ἐκεῖσε τέντας καταλύσαντες καὶ εἰς τὰ ἐν βλαχέρναις παλάτια εἰσελθόντες καὶ κρατήσαντες αὐτῶν ὑποστρέφουσι πάλιν ἐν τῇ τοῦ παντεπόπτου μονῇ βάλλοντες χάρακα· B. 21. post δέκα B: τοῦ αὐτοῦ χωνειάτου τόμος ιη: φιλονεικία τοῦ δούκα καὶ τοῦ λάσκαρι περὶ τῆς βασιλείας.

ad Drungarii aedes absumpsit) reversi ad Pantepoptae monasterium castra locant, imperatoris tentorio spoliato et Blachernio palatio citra negotium primo impetu capto. at imperator in alios atque alios urbis angiportus discurrens studebat ille quidem temere oberrantem populum colligere et centuriare: sed ii neque monitis eius movebantur, nec increpationes curabant turbine desperationis omnes oppressi. et ut ea quae restant adiungam, dies inclinavit, nox processit, et urbis habitatores omnes transferendis et defodiendis suis opibus occupabantur. erant etiam qui ex urbe vellent discedere, qua quisque posset ratione salutem quaesituri.

3. Ducas igitur cum se nihil proficere videret, simulque timeret ne captus paratum opsonium maxillis Latinorum esset, maximum palatium ingreditur, et Euphrosyna imperatoris Alexii coniuge et eius filia Eudocia, cuius amore tenebatur (erat enim homo a pubertate libidinosus et salax, et duas iuvenculas uxores per iniuriam repudiarat), lembo impositis, urbe egreditur, cum duos menses et

νηφαλίων τε καὶ ἀρίστων τῇ κατὰ πόλεμον δεξιότητι (ὁ Δούκας οὗτοι καὶ ὁ Λάσκαρις, ἀμφοῖν δ' ἡ κλῆσις ὁμώνυμος τῷ ἀρχηγῷ τῆς πίστεως βασιλεῖ) ὡς περὶ νηὸς χειμαζομένης διαφέρονται τῆς ἀρχῆς, τύχης βράβευμα καὶ φορᾶς ἀλογίστου πέττευμα τὸ μέγιστον ὁμοῦ καὶ περίπυστον χρῆμα τὴν τῶν Ῥωμαίων βασιλείαν ὁρῶντες προκείμενον. εἱστήκεισαν οὖν ἀμφήριστοι τὸν μέγαν εἰσιόντες νεών, ἁμιλλώμενοί τε ἀλλήλοις καὶ παραβαλλόμενοι, καὶ μηδὲν πλέον ἢ ἔλαττον ἔχοντες ἀλλὰ τῆς ἴσης ῥοπῆς ἀξιούμενοι, ὅτι μηδ' ἦν ὁ ἐλέγχων ἢ καὶ ἐπικρίνων ἑκάτερον. ἐκ δὲ κλήρου τὸ πρωτεῖον εἰληφὼς ὁ Λάσκαρις τὰ μὲν τῆς βασιλείας οὐ προσίετο σύμβολα, C συνεξιὼν δὲ τῷ πατριάρχῃ κατὰ τὸ Μίλιον οὐκ ἀνίει παραινῶν τοῖς συνιοῦσι καὶ σφᾶς ὑποθωπεύων εἰς ἀντιμάχησιν. ἀλλὰ καὶ τοὺς σείοντας ἐξ ὤμων τὰ ἀρεϊκὰ σιδήρια ἐς τὸν προκείμενον ἀγῶνα πέμπων ἐπώτρυνε, μὴ χρῆναι λέγων Ῥωμαίων ἔλαττον ἐκείνους τὸ διολωλέναι δεδιέναι, εἰ πρὸς γένος ἕτερον τὰ Ῥωμαίων ἀνακυμβαλισθήσεται πράγματα· οὐδὲ γὰρ μισθοφορήσουσιν εἰσέτι ἁδρῶς, οὐδὲ γέρα περιώνυμα τῆς βασιλέων φυλακῆς ἀπολήψονται, ἀλλ' ἐν αἴσῃ Καρὸς τετάξονται. καὶ ὁ μὲν πρὸς τούτοις ἦν· ὡς δ' οὔτε τοῦ λεὼ τις τῶν φωνῶν ἐπεστρέφετο, καὶ αὐτὸ δὲ τὸ πελεκυφόρον ἐπὶ μισθῷ τὴν σύναρσιν ἐπηγγέλλετο, ἐμπορίας καιρὸν ὑπούλως καὶ ἐπικλόπως τὴν ἀκμὴν τοῦ κινδύνου τι-

2. ἀμφοῖν] καὶ ἀμφότεροι Θεόδωροι καλούμενοι B. 10. ἐκ δὲ] κλῆρον οὖν βάλλοντες B. 14. ἀλλὰ] καὶ τοὺς βαράγγους δὲ καὶ τὰς παραμονὰς εἰς τὸν προκείμενον διήγειρε πόλεμον B.

dies XVI imperasset. post eius discessum duo iuvenes modestissimi et bellicosissimi, Ducas et Lascaris, uterque Theodorus, de imperio tanquam de nave tempestatibus conflictante certant, cum maximam et celebratam illam rem Romanum imperium fortunae ludibrio et incerti casus temeritati propositum viderent. maximum igitur templum ingressi inter sese contendebant, nec erat qui in comparatione alteri praeponderaret, ambobus velut in aequilibrio constitutis. neque enim erat qui censuram aut iudicium faceret. Lascaris tamen a clero praelatus, insignibus imperii repudiatis, cum patriarcha in Milium egressus confluentem populum blandiendo et rogando ad resistendum cohortari non desistebat, et satellites ad pugnam concitabat. neque enim exitium minus eis timendum esse quam Romanis, si imperium ad aliam nationem devolveretur; neque ampla stipendia neque imperatoris stipandi honorem retenturos, sed mercenariorum militum loco futuros. quibus verbis cum nec e populo quisquam moveretur, nec bipenniferi nisi stipendio promisso auxilium promitterent, urgens illud periculum callid[illegible] nundinatu[illegible], [illegible] cataphra-

θέμενον, ἤδη δὲ καὶ κατάφρακτοι Λατινικαὶ προυφαίνοντο D φάλαγγες, ἐκεῖθεν μεθίσταται καὶ τὸ σωθῆναι φυγῇ διατίθησιν.

Οἱ δὲ πολέμιοι μηδένα παρὰ δόξαν ἐρῶντες ἰθυμαχοῦντα ἢ ἀντεγχειροῦντά σφισι καὶ ὁπλιζόμενον, ἀλλ' εὔοδα τὰ ἐν ποσίν, εὔκολα τὰ ἐν χερσί, τὰ ἐν στενωποῖς εὐδιάβατα, τὰ ἐν τριόδοις ἀπρόσκοπα, ἀπὸ πολέμων ἀσφάλειαν, ἀπὸ πολεμίων ὠφέλειαν, τύχης τινὸς προαγούσης εὐμενοῦς καὶ συλλαμβανούσης πάντας σφίσι προσυπαντᾶν μετὰ σταυρικῶν σημείων καὶ σεπτῶν ἐκτύπων Χριστοῦ, ὡς ἐν πανηγύρεσιν εἴθισται καὶ πομπαῖς, οὐ πρὸς τὴν ὄψιν τῶν ὁρωμένων τὴν τῆς ψυχῆς μεταμορφοῦσι κατάστασιν, οὐδὲ μέχρι χειλέων ἐπεμειδίασαν, οὐδὲ ἡ ἄελπτος ἐκείνη θέα τὸ στυγνὸν καὶ μανιῶδες ὅρμημα καὶ βλέμμα εἰς εἰκόνα μετέχρωσεν ἱλαρό- P. 368 τητος, ἀλλ' ἐπρονόμευον ἀδεῶς, ἐκ τῶν ὀχημάτων πρώτως V. 303 ἀρξάμενοι, οὐ τὰ τῶν πολλῶν μόνον χρήματα ἀλλ' ἤδη καὶ τὰ τῷ θεῷ ἀνακείμενα, ξιφηφόροι πάντες, οἱ δὲ καὶ σκεπαστηρίοις ὅπλοις τοὺς πρὸς σάλπιγγα ἐγειρομένους ἵππους ἑαυτῶν περιφράττοντες. τί δ' ἂν πρῶτον, τί δ' ἔπειτα, τί δ' ὑστάτιον καταλέξαιμι τῶν τηνικαῦτα τολμωμένων παρὰ τῶν παλαμναίων ἐκείνων ἀνδρῶν; ὤ μοι τῆς ἀτίμου τῶν προσκυνητῶν εἰκόνων κατεδαφίσεως! ὢ τῆς τῶν λειψάνων τῶν ὑπὲρ Χριστοῦ παθόντων κατ' ἐναγῶν ἀκονιύεως τόπων!

13. ἀδεῶς] ἀναιδῶς A, ἀπανθρώπως B. 20. ὤ μοι] φεῦ μοι εἰς τὴν καταπάτησιν τῶν ἁγίων καὶ προσκυνητῶν εἰκόνων B. 22. κατ' om A.

ctae Latinorum cohortes apparerent, inde discedit et fuga salutem quaerit.

Hostes vero cum praeter expectationem arma contra ferre neminem, neminem resistere cernerent, omnia plana et expedita, angiportus pervios, trivia aperta, a bello securitatem, ab hostibus utilitatem esse. fortuna quadam propitia et adiutrice, omnibus cum crucibus et sacris Christi imaginibus, ut in pompis et festivitatibus moris est, obviam prodeuntibus, nihil eo conspectu habitum animorum immutarunt, neque arriserunt paululum, nec insperato illo spectaculo tristis et furiosus eorum impetus mitigatus est, quo minus non tantum privatorum pecuniam, a iumentis auspicati, sed et deo sacra impudenter diriperent, strictis ensibus, equos ad tubae sonitum excitari solitos in armis tenentes. quid vero primo, quid secundo, quid tertio loco referam ex iis quae nefarii isti viri perpetrarunt? heu ignominiosam adorandarum imaginum conculcationem! heu reliquiarum sanctorum martyrum in foeda loca abiectionem! quod vero vel auditu horrendum est, id tum erat cernere, ut divinus sanguis et corpus Christi humi effunderetur et abiiceretur. qui

B τὸ δὲ φρικῶδες καὶ ἀκουόμενον, ἣν ὁρᾶν τὸ θεῖον αἷμα καὶ σῶμα Χριστοῦ κατὰ γῆς χεόμενον καὶ ῥιπτόμενον. οἱ δὲ τὰ τιμαλφῆ δοχεῖα τούτων διαρπάζοντες τὰ μὲν διέθραυον καὶ τοὺς ἐγκειμένους κόσμους ἐνεκολπίζοντο, τὰ δὲ εἰς σίτων κανᾶ καὶ οἴνων κεράσματα ταῖς ἑαυτῶν τραπέζαις παρέφερον οἱ τοῦ Ἀντιχρίστου πρόδρομοι καὶ τῶν προσδοκωμένων πανασεβῶν πράξεων ἐκείνου πρωτουργοὶ καὶ προάγγελοι. ἀτεχνῶς τοίνυν ὑπὸ τοῦδε τοῦ γένους ὡς πάλαι ποτὲ καὶ τότε ἀπημφιάζετο Χριστὸς καὶ ὑβρίζετο, καὶ μερισμοὶ καὶ κλῆροι τῶν αὐτοῦ ἱματίων ἐγίνοντο, καὶ μόνον οὐ λογχευόμενος τὴν πλευρὰν θεορρύτου ῥύακας αἵματος εἰς γῆν καὶ πάλιν ἀπέσταξε. τὰ δ' ἐπὶ νεὼ τοῦ μεγίστου ἠσεβημένα οὐδὲ ἀκοαῖς
C εἰσὶν εὐπαράδεκτα. ἡ μὲν θυωρὸς τράπεζα, τὸ ἐκ πασῶν τιμίων ὑλῶν σύνθεμα συντετηγμένων πυρὶ καὶ περιχωρησασῶν ἀλλήλαις εἰς ἑνὸς ποικιλοχρόου κάλλους ὑπερβολήν, ἐξαισίου τῷ ὄντι καὶ ἀξιαγάστου παρ' ἔθνεσιν ἅπασι, κατετεμαχίσθη καὶ διεμερίσθη τοῖς σκυλευταῖς, ὥσπερ καὶ πλοῦτος ἅπας ὁ ἱερὸς ὁ τοσοῦτος τὸ πλῆθος καὶ τὴν ἀγλαΐαν ἀπέραντος. δεῆσαν δ' ἐκκομισθῆναι καθά τινα σκῦλα τὰ παναγῆ σκεύη καὶ ἔπιπλα τὰ τὴν χάριν καὶ τὴν τέχνην ἄμαχα καὶ τὴν ὕλην σπάνια, ἀλλὰ δὴ καὶ τὸ δόκιμον ἀργύριον ὃ τὸν τοῦ βήματος, θριγκὸν καὶ τὸν οἷον ἐκπλῆξαι ἄμβωνα καὶ

2. τὰ τιμ.] τὰ ἅγια δισκοποτήρια B. 3. διέθραυον] ἐτζάκιζον B. 4. εἰς σίτων] ἀντὶ σκουτελλίων καὶ πινακίων καὶ οἰνοχοείων B. 15. ἐξαισίου om A. 17. πλοῦτος] ὁ ἱερώτατος πάτος τῶν ἱερῶν σκευῶν B. 19. τὰ πανάγια σκεύη καὶ τὰς συρματένος ποδέας καὶ χρυσὰς καὶ τὸν καθαρώτατον ἄργυρον, ὃς ἐκόσμει τὸν θεῖον πάτον καὶ τὸν ἄμβωνα καὶ τὰς ὡραίας πόρτας B.

autem pretiosas eorum capsulas rapiebant, ornamenta quae in iis continebantur in sinum congerebant, ipsas confractas pro patinis et poculis usurpabant, Antichristi praecursores, et nefariarum eius actionum quae in expectatione sunt auspices et praenuntii. plane profecto a gente illa tum, ut et olim, Christus exuebatur et illudebatur, et vestes eius sorte distribuebantur: illud tantum aberat, ne latus hasta traiectus rivos divini cruoris humi effunderet. violatio porro maximi templi nec auribus aequis potest accipi. nam sacra mensa ex omnis generis pretiosis materiis conflata in excellentis pulchritudinis varietatem omnibus gentibus admirabilem, in frusta est dissecta et inter milites distributa, ut et omnes sacrae opes tam immensae et infiniti splendoris. cum autem sacrosancta vasa et supellectilia insuperabilis artis et gratiae raraeque materiae, et probum argentum, quod tribunalis clathros et ambonem artis admirabilis et

τὰς πύλας περιήμπισχε καὶ εἰς παμπόλλους ἄλλους κόσμους περιετέτηκτο, χρυσῷ περιτρεχόμενος ἅπας, ἡμίονοί τε καὶ D ὑποζύγια σεσαγμένα μέχρι τῶν ἀδύτων εἰσήγοντο τοῦ νεώ, ὧν ἔνια διωλισθηκότα μηδ' ἐπὶ ποδῶν στῆναι δυνάμενα διὰ τὴν τῶν ἐπιπέδων λίθων στιλπνότητα μαχαίραις ἐξεκεντήθησαν, ὡς ἐκ τῆς τῶν χολάδων κόπρου καὶ τοῦ προχυθέντος αἵματος τὸ θεῖον μολυνθῆναι δάπεδον. (4) ἀλλὰ καὶ γυναικάριόν τι σεσωρευμένον ἁμαρτίαις, Ἐριννύων ζάκορον, δαιμόνων πρόσπολον, ἀρρήτων τε γοητειῶν καὶ ἐπιρρήτων ἐπῳδῶν ἐργαστήριον, καταστρηνιῶσαν Χριστοῦ, ἐπὶ τοῦ συνθρόνου ἵζησαν κεκλασμένον ἀφῆκε μέλος, καὶ πολλάκις περιδινηθὲν εἰς ὄρχησιν τὼ πόδε παρενεσάλευε. καὶ οὐ ταῦτα μὲν ἠνομεῖτο οὕτως, ἀλλὰ δ' οὔ, ἢ ἐκεῖνα μὲν ἐπὶ πλέον, εἰς δ' ἔλαττον ἕτερα, ἀλλ' ὁμοθυμαδὸν πάντα παρὰ πάντων ἀνωσιουργεῖτο τὰ παναθέμιτα. πάνυ δ' ἂν ἐφείσαντο γυναικῶν P. 369 εὐλαβῶν καὶ κορίων ἐπιγάμων ἢ τῶν τῷ θεῷ ἀνακειμένων καὶ παρθενεύειν ἑλομένων οἱ κατὰ τῶν θείων οὕτω λυττήσαντες. ἐπὶ πᾶσιν ἐργῶδες ἦν καὶ δυσμήχανον τὸ μειλίξασθαι λιταῖς ἢ ἐλεεινολογίαις ὑπαγαγέσθαι ὁπωσοῦν καὶ εὔνουν θέσθαι τὸ βάρβαρον, οὕτω μὲν εὐπαρόξυντον ὄν, οὕτω δ' ἐρευξίχολον

2. περιτρεχομένων ἡμ. A. 3. εἰσήγοντο ζῶα πρὸς τὸ φορτώνειν αὐτὰ μέχρι καὶ τοῦ ἄμβωνος, τινὰ δὲ ἐγλιστρῶντα καὶ πίπτοντα ἀπὸ τοῦ πάτου τῶν μαρμάρων B. 7. γυναικάριόν] γυνὴ πόρνη ἁμαρτωλὸς δαιμονιώδης, τοῦ σατανᾶ ὄργανον, μάγισσα καὶ μαντεύτρια, κατὰ τοῦ χριστοῦ μανεῖσα, εἰς τὸ τοῦ πατριάρχου καθίσασα σύνθρονον ἐτραγῴδει καὶ ὠρχεῖτο B. 15. πάνυ] πῶς δὲ οὗτοι ἵνα ηὐλαβήθησαν γυναῖκας σεμνὰς καὶ ἐναρέτους B.

portas et multa alia ornamenta ambiebat, auro circumfusum, pro manubiis efferenda essent, muli et iumenta sellis instrata usque ad templi adyta introducebantur, quorum nonnulla cum ob splendidum et lubricum solum pedibus insistere nequirent, prolapsa confodiebantur, ut effuso cruore et stercore sacrum pavimentum inquinaretur. (4) imo et muliercula quaedam, cooperta peccatis, ministra Furiarum, ancilla daemonum, incantationum et veneficiorum officina, Christo insultans et in patriarchae solio considens fractum canticum cecinit, et saepe in orbem rotata saltavit. neque vero haec admittebantur, alia non admittebantur; aut haec remissius, illa vehementius: sed uno consensu omnia summa scelera et piacula omnibus ex aequo studio erant. an vero illi matronis honestis et nubilibus puellis aut deo consecratis virginibus pepercissent, qui tantam in ipsum deum rabiem exercuerunt? nihil autem erat difficilius et operosius quam precibus mollire et benevolos reddere barbaros adeo iracundos, adeo bilem evomentes ad quodvis ingratum verbum, ut nihil non furorem eorum in-

ἀκριβῶς πρὸς πᾶσαν ἀκοὴν ἀθέλητον. πάντα δ' ἐκρίνετο θυμοῦ ὑπεκκαύματα, καὶ ἄνοιαν ὤφλίσκανε καὶ γέλων. καὶ ὡς τὴν γλῶτταν ἀταμίευτος ἐπεπλήττετο, ἐν πολλοῖς δὲ καὶ τὸ παραξιφίδιον εἶχεν ἐπ' αὐτὸν σπώμενον ὁ καὶ μικρὸν ἀν-
B τειπὼν ἢ πρὸς τὰ θυμήρη σφίσιν ἀναδυόμενος. ὅθεν ἦν εἰς
V. 304 πόνον ἅπασα κεφαλή, ἐν στενωποῖς θρῆνοι καὶ οὐαὶ καὶ κλαυθμοί, ἐν τριόδοις ὀδυρμοί, ἐν ναοῖς ὀλοφυρμοί, ἀνδρῶν οἰμωγαί, γυναικῶν ὀλολυγαί, ἑλκυσμοί, ἀνδραποδισμοί, διασπασμοί τε καὶ βιασμοὶ σωμάτων συναφῶν πρότερον. οἱ τῷ γένει σεμνοὶ ἀτίμως περιῄεσαν, οἱ τῷ γήρᾳ γεραροὶ γοεροί, οἱ πλούσιοι ἀνούσιοι. οὕτως ἐν πλατείαις, οὕτως ἐν γωνίαις, οὕτως ἐν τεμένεσιν, οὕτως ἐν καταδύσεσιν· οὐδὲ γάρ ἦν τις τόπος ἀνεξερεύνητος ἢ ἀσυλίαν τοῖς προσρυομένοις παρεχόμενος, ἀλλὰ πάντα πανταχοῦ πάντων κακῶν ἔμπλεα ἦν. Χριστὲ βασιλεῦ τῆς τότε θλίψεως καὶ τῆς συνοχῆς τῶν ἀν-
C θρώπων! ὁ δ' ἦχος ὁ θαλάττιος, ὁ δὲ τοῦ ἡλίου σκοτασμὸς καὶ ἡ ζόφωσις, ἡ δὲ τῆς σελήνης εἰς αἷμα μεταστροφή, οἱ δὲ τῶν ἀστέρων ἔξεδροι, ὅπῃ καὶ ὅπως οὐ τὰ τελευταῖα τάδε κακὰ προεσήμηναν; καίτοι τὸ βδέλυγμα τῆς ἐρημώσεως τεθεάκαμεν ἑστὼς ἐν τόπῳ ἁγίῳ καὶ πορνικὰ στρογγύλιζον λογάρια, καὶ τἆλλα κἂν μὴ ἐπίπαν, ἀλλ' ἐκ τοῦ δῆθεν μετα-

8. ὀλολυγμοὶ ταβρισμοὶ διαχωρισμοὶ καὶ βιασμοὶ σωμάτων ἀπὸ τῆς ἧς εἶχον ἑνώσεως B. 18. ἔξεδροι] οἱ δὲ τῶν ἀστέρων σχηματισμοὶ οἱ παρηλλαγμένοι οὐχὶ τὰ — B. 21. καὶ τὰ ἄλλα κἂν μὴ παντελῶς ὅμοια, ὅμως πρὸς τὸ ἐναντίον μετέβησαν τὰ σεμνὰ καὶ εὐπρεπῆ πράγματα, καὶ ὁ τῆς πίστεως λόγος παρετράπη ἀφ' ἧς εἶχεν εὐγενείας καὶ καταστάσεως. B.

flammaret. quod qui conabatur, ut amens et homo linguae intemperantis deridebatur. saepe etiam pugio stringebatur in eum qui paululum refragabatur aut postulata eorum detrectabat. itaque nemo luctus erat expers. in angiportis, in triviis, in templis querelae fletus lamentationes planctus, virorum gemitus, mulierum eiulatus, lacerationes, stupra, captivitates, coniunctissimorum divulsiones. nobiles cum ignominia, ob senectam venerabiles lacrimosi, divites spoliati bonis circumibant. sic in plateis, sic in angulis, sic in templis, sic in speluncis agebantur. nec enim ullus locus inexcussus relinquebatur aut supplices defendebat. omnia ubique malis omnibus referta erant. deum immortalem, quanta hominum afflictio, quantae angustiae? fremitus maris, solis obscuratio, cruenta lunae facies, stellarum exorbitatio, ubi et quomodo haec mala praenuntiarunt? enimvero abominationem desolationis in loco sancto stare vidimus, meretricios sermones rotundo ore proferentem, et caetera etsi non peni-

βάντα πρὸς τὸ ἀντίστροφον, ὅσα παρὰ Χριστωνύμοις σεμνὰ καὶ τὸν τῆς πίστεως λόγον ἐξευγενίζοντα.

Τοιαῦθ', ὡς ἐκ πολλῶν βραχέα δοῦναι τῇ ἱστορίᾳ, οἱ ἐξ ἑσπέρας στρατοὶ κατὰ τῆς Χριστοῦ κληρονομίας παρηνομήκασιν, ἐπ' οὐδενὶ τῶν ὅλων τὸ φιλάνθρωπον ἐνδειξάμενοι, ἀλλὰ πάντας ἀποξενώσαντες χρημάτων καὶ κτημάτων οἰκημάτων D τε καὶ ἐσθημάτων, καὶ μηδενὸς τῶν πάντων μεταδόντες τοῖς ἔχουσι, ταῦτα ὁ χαλκοῦς αὐχήν, ἡ ἀλαζὼν φρήν, ἡ ὀρθὴ ὀφρύς, ἡ ἀεὶ ξυριῶσα καὶ νεανισκευομένη παρειά, ἡ φιλαίματος δεξιά, ἡ ἀκρόχολος ῥίν, ὁ μετέωρος ὀφθαλμός, ἡ ἄπληστος γνάθος, ἡ ἄστοργος γνώμη, ἡ τορὴ καὶ τροχαλὴ λαλιὰ καὶ μόνον οὐκ ἐπορχουμένη τοῖς χείλεσι, μᾶλλον δὲ οἱ παρ' ἑαυτοῖς ἐπιστήμονες καὶ σοφοί, οἱ εὔορκοι καὶ φιλαλήθεις καὶ μισοπόνηροι καὶ τῶν Γραικῶν ἡμῶν εὐσεβέστεροί τε καὶ δικαιότεροι καὶ τῶν Χριστοῦ διαταγμάτων φύλακες ἀκριβέστεροι, τὸ δὲ πλέον, οἱ τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενοι, καὶ πολλάκις κατὰ τούτου καὶ τῶν θείων λογίων ἐπομοσάμενοι τὰς μὲν τῶν Χριστωνύμων χώρας παρελθεῖν ἀναιμωτί, P. 370 μὴ προσνεύσαντες ἀριστερὰ μηδ' ἐκκλίναντες δεξιά, κατὰ δὲ Σαρρακηνῶν ὁπλίσαι τὰς χεῖρας καὶ τὰ ξίφη πορ-

9. ἡ ἀεὶ] τὸ ἀεί ποτε ξυριζόμενον καὶ νέον φαινόμενον μάγουλον B. 10. ἡ ἀκρ.] ἡ ὀργῆς μίτυς γέμουσα B. 11. ἡ τορὴ] ἡ τετορνευμένη καὶ τραγανὴ συντυχία B. 15. τῶν χριστοῦ δογμάτων καὶ ἐντολῶν ἀκριβέστεροι φύλακες· ἀλλ' ἐγὼ τοῦτο οὐδὲ ἐν εἰρωνείᾳ ἢ ὡς γελοῖον εἴπω διὰ λόγου ποτέ· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; τὸ δὲ περισσότερον, οἱ τὸν στ. B.

tus similia, tamen in contrarium conversa iis quae apud Christianos honesta et religioni consentanea iudicantur.

Haec pauca de multis Occidentalium exercituum in Christi hereditatem scelera, qui erga neminem humanitate usi omnes pecunia, possessionibus vestimentis, aris et focis spoliarunt, nec possessoribus quicquam impertierunt, litteris mandanda esse censui. haeccine collum aereum, superbus animus, arrectum supercilium, iuveniliter rasa maxilla, sanguinaria dextra, iracundae nares, elatus oculus, inhumanum ingenium, rotunda et incitata loquela ac tantum non saltans in labiis? imo potius, vos qui vestra opinione docti sapientes fideles veraces probi, nobis Graecis religiosiores iustiores et praeceptorum Christi observantiores estis (ego vero haec nunquam per ludibrium et iocum dixerim: nam quod luci cum tenebris est commercium?) et quod maius est, qui crucem Christi in humeros sustulistis eamque et divina oracula saepe testati estis vos Christianas provincias citra sanguinem transituros, nec ad dexteram nec ad laevam declinantes, sed contra Sarracenos armasse manus, eorumque san-

φυρῶσαι τοῖς αἵμασιν οἱ τὴν Ἱερουσαλὴμ ἐξεπόρθησαν, μηδ' ἀνδρίσασθαι γυναιξὶν ἢ καθ' ὁμιλίαν αὐταῖς συνελθεῖν ἐφ' ὅσον ἂν χρόνον τὸν σταυρὸν ἐπωμάδιον φέρωσιν, ὡς ἡγνισμένοι θεῷ καὶ τὴν αὐτοῦ πορείαν στελλόμενοι. ὄντως λογοποιοὶ ἐξεφάνθησαν, καὶ τοῦ θείου τάφου διφῶντες ἐκδίκησιν κατὰ Χριστοῦ προδήλως ἐλύττησαν, καὶ μετὰ σταυροῦ τὴν τοῦ σταυροῦ κατάλυσιν ἠνομήκασιν, ὃν ἐπινώτιον ἔφερον, B τοῦτον πρὸ ποδῶν τιθέναι μὴ φρίττοντες διὰ χρυσίον βραχὺ καὶ ἀργύριον. καὶ μαργαρίτας ἐγκολπιζόμενοι, τὸν πολύτιμον μαργαρίτην Χριστὸν ἠθετήκασι, τοῖς ἐναγεστάτοις τῶν ζώων τὸν παναγιώτατον διασπείραντες. οἱ δ' ἐξ Ἰσμαὴλ οὐχ οὕτως, ὅτι μὴ καὶ πάνυ φιλανθρώπως καὶ προσηνῶς τοῖς ἐκ τοῦ γένους αὐτῶν προσηνέχθησαν, τῆς Σιὼν κατισχύσαντες. οὔτε γὰρ γυναιξὶ Λατινίσιν ἐπεχρεμέτισαν, οὔτε τὸ Χριστοῦ κενήριον πολυάνδριον πεσόντων ἔδειξαν, οὐδὲ κάθοδον ἐς ᾅδου τὴν πρὸς τὸν ζωηφόρον τάφον εἴσοδον, οὐδὲ θάνατον τὴν ζωήν, οὐδὲ πτῶσιν τὴν ἀνάστασιν, ἁπαξάπασι δ' ἀνέντες τὴν ἔξοδον χρυσίνοις ἀριθμῷ κατ' V. 305 ἄνδρα βραχέσιν ἀφώριζον τὰ ζωάγρια, τὰ λοιπὰ τοῖς κεκτη- C μένοις παρέντες, κἂν ψάμμῳ ἦσαν παρόμοια. καὶ τοιῶσδε μὲν τὸ Χριστομάχον τοῖς ἀλλοπίστοις Λατίνοις ἐχρήσατο, μὴ ξίφος, μὴ πῦρ, μὴ λιμόν, μὴ διωγμόν, μὴ γυμνότητα, μὴ

1. μηδ'] μὴ βλέψαι γυναῖκα ποσῶς ἢ συνελθεῖν μετ' αὐτῆς B. 4. ὄντως] ἀληθῶς λόγους μόνον λαλεῖν ἔμαθον B. 7. ἐπινώτιον] ἔμπροσθεν B. 10. τοῖς ἐναγ.] τοῖς μιαροῖς τῶν ζώων τὰ μιαρώτατα δ. B. 15. τὸ] τοῦ vulgo.

guine tincturos esse gladios, qui Hierosolyma expugnastis, qui vos consuetudine et colloquio mulierum temperaturos promisistis, quamdiu crucem in humeris tuleritis, ut deo consecratos viatores? nugatores eos esse plane constat, qui dum divinum sepulcrum vindicant, manifeste contra Christum insanierunt; et cum cruce crucem violarunt et destruxerunt, quam humeris baiulabant, dum eam exigui auri et argenti causa ante pedes abiiciunt; et dum margaritas colligunt, pretiosam margaritam Christum abiecerunt, in sordidissimis bestiis re sanctissima dispersa. non ita fecerunt Ismaelitae: sed populares istorum clementissime et humanissime tractarunt, potiti Hierosolymis. neque enim Latinas matronas violarunt, neque Christi sepulcrum cadaveribus oppleverunt; neque ingressum vitalis tumuli descensum ad inferos, neque vitam mortem, neque resurrectionem ruinam effecerunt, sed paucis aureis in singula capita contenti omnibus liberum arbitrium permiserunt, caetera quantumvis multa possessoribus concessere. et hoc modo Christi oppugnatores cum Latinis aliam religionem profitentibus egerunt, et ut magno animo dignum est, nec ferro nec igni nec fame

συντρίμματα, μὴ πιέσματα μεγαλοψύχως σφίσιν ἐπενεγκόν· ἡμῖν δ' ἐκείνως τὸ φιλόχριστον καὶ ὁμόδοξον προσενήνεκται, ὡς ἐπιτρέχοντες εἴπομεν, μηδὲ ἐπεγκαλεῖν ἀδίκημα ἔχοντες.

5. Ὦ πόλις, πόλις, πόλεων πασῶν ὀφθαλμέ, ἄκουσμα παγκόσμιον, θέαμα ὑπερκόσμιον, ἐκκλησιῶν γαλουχέ, πίστεως ἀρχηγέ, ὀρθοδοξίας ποδηγέ, λόγων μέλημα, καλοῦ παντὸς ἐνδιαίτημα! ὢ ἡ ἐκ χειρὸς κυρίου τὸ τοῦ θυμοῦ D πιοῦσα ποτήριον, ὢ ἡ γενομένη πυρὸς μερὶς πολλῷ δραστικωτέρου τοῦ καταιβασίου πάλαι πυρὸς πενταπόλεως, τί μαρτυρήσω σοι; τίνι ὁμοιώσω σε; ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου, Ἱερεμίας φησὶν ὁ φιλόδακρυς τὴν πάλαι Σιὼν κοπτόμενος. τίνες κακοποιοὶ δυνάμεις ᾐτήσαντό σε καὶ ἔλαβον εἰς συνίασιν; τίνες ἀλάστορες φθονεροὶ καὶ ἀμείλικτοι δαίμονες κῶμόν σοι ἐπεκώμασαν ἄγριον; ἢ γοῦν ἀνάρσιοι καὶ μανιώδεις Τελχῖνες παστάδα μὲν οὐκ ἐπλέξαντο, οὐδ' ἀνῆψάν σοι δᾷδα γαμήλιον, ἀφανιστηρίους δ' ἀνέκαυσαν ἄνθρακας; ὢ ἡ πολύγονος καὶ βύσσον καὶ πορφύραν ἠμφιεσμένη βασίλειον, πιναρὰ δ' ἀρτίως καὶ αὐχμηρά, καὶ πολλῶν κα- P. 371 κῶν κληροῦχος, καὶ τέκνων τῶν γνησίων χατίζουσα. ὢ ἡ πρώην ὑψίθρονος καὶ βιβῶσα μακρὰ καὶ μετέωρα, μεγαλο-

3. post ἔχοντες A in margine θρῆνος τῆς πόλεως, B θρῆνος τῆς πόλεως τοῦ αὐτοῦ χωνειάτου. 4. ἄκουσμα τοῦ κόσμου παντός, θέαμα ὑπὲρ τὸν κόσμον ὄν, ἐκκλησιῶν μῆτερ B. 6. ὀρθ. ὁδηγέ, λόγων γέννημα, παντὸς καλοῦ τροφέ B. 12. τίνες πονηροὶ δαίμονες ἐζήτησαν σε καὶ ἔλαβον ἵνα κοσκινίσωσί σε B. 18. πιναρὰ] ῥάκη παλαιὰ καὶ ἱμάτια καταλελυμένα καὶ ἐμπαλωμένα B.

nec persecutione nec nuditate in eos sunt grassati, nullo graviore onere imposito. nobiscum autem isti Christi amantes, eiusdem religionis, nulla iniuria lacessiti, sic egerunt ut breviter percurrimus.

5. O urbs, urbs, urbium omnium ocule, per orbem terrarum celebris, spectaculum ultramundanum, ecclesiarum mater, princeps religionis, rectae sententiae dux, eruditionis alumna, omnis pulchritudinis diversorium, itane ex manu domini calicem furoris bibisti? itane pars extitisti ignis multo vehementioris eo quo olim Pentapolis divinitus conflagravit. quodnam tibi tribuam elogium? cui te comparem? an poculum contritionis tuae amplificatum esse, ut lacrimosus Hieremias veterem Sionem deplorans ait? qui mali genii ad cribrandum efflagitarunt? qui alastores, invidi et implacabiles daemones, ebrietatis in te suae intemperias effuderunt? qui infesti et insani proci thalamum tibi non concinnarunt, nec facem nuptialem sed carbones exitiales incenderunt? o fecunda genitrix, bysso et purpura imperatoria amicta pridem, modo sordida et squalida, et germanis orbata liberis o pridem in alto solio collocata, longis et

πρεπὴς τὸ εἶδος, ἀξιοπρεπεστέρα τὸ μέγεθος, νυνὶ δὲ κατερραγμένη καὶ διερρηγμένη τοὺς χλιδῶντας χιτῶνας καὶ τὰ κομψὰ καὶ ἀρχικὰ κρήδεμνα, καὶ ὄμμα ἀπεσβεσμένη τὸ χαροπόν, καὶ γρηῒ καμινοῖ ἴση ἐκ τοῦ κατησβολῶσθαι πυρί, καὶ ῥυτίσι χαλαραῖς ηὐλακισμένη τὴν στιλπνὴν καὶ τερπνὴν ὄψιν πρότερον. ἐῶ γὰρ λέγειν τοὺς πρὸς λύραν ἐντείνοντάς τε καὶ ψάλλοντας τὰ σὰ δυσπραγήματα, καὶ κωμῳδίαν τιθεμένους τὴν σὴν τραγῳδίαν ἐν τῷ τὸν οἶνον προσίεσθαι, καὶ βίου τέχνην ποιουμένους τὴν γελοιώδη τῶν κακῶν σου ἀφήγησιν, τοὺς κον-
B δυλισμούς τε καὶ πτερνισμούς, ἔτι δὲ τὰς ἀθετήσεις καὶ τὰ ὑπώπια ἃ σοι καθ' ὥραν πᾶσαν προστρίβονται. παρεζηλωμένη θεόθεν ἐπὶ μὴ ἐχέφροσιν ἔθνεσιν, ἢ οὐδ' ἔθνεσιν ἀληθῶς εἰπεῖν, ἀλλ' ἀμυδροῖς καὶ σποραδικοῖς γένεσιν, ὧν τὰ πλείω εἰ μὴ ἐγέννησας, ἀλλ' ὕψωσάς τε καὶ στέατος πυροῦ μετέδωκας, τίς σώσει σε; ἢ τίς παρακαλέσει σε; τίς φείσεται ἐπὶ σοί; ἢ τίς σκυθρωπάσει ἐπὶ σοί; ἢ τίς ἐπανακάμψει ἐρωτῆσαι τὰ εἰς εἰρήνην σοι (Ἱερεμίου καὶ τάδε τοῦ πολυθρηνήτου τὰ ῥήματα), εἴτε μὴν τὴν προτέραν στολὴν ἐπενδύσει σε; πότε θεόθεν ἐνωτίσῃ ἐξεγείρου, ἀνάστηθι ἡ πιοῦσα τὸ ποτήριον τοῦ θυμοῦ μου καὶ τὸ κόνδυ τῆς πτώσεως· ἔνδυσαι τὴν ἰσχύν σου, ἔνδυσαι τὴν δόξαν σου. ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι. ἔκδυσαι τὸν δε-

1. κατηραμένη pr. B. 3. καὶ ὄμμα] καὶ οὓς ὀφθαλμοὺς εἶχες χαρωποὺς καὶ γλυκεῖς, ἐσβεσμένους νῦν καὶ ἀπημαυρωμένους ἀπὸ τῆς καμινιαίου φλογός, καὶ ἣν ὄψιν ὡραίαν καὶ τερπνὴν εἶχες πρότερον, ἀρτίως χαλαρὰ καὶ κακόγραια καὶ ἐζαρωμένη τὰ μάγουλα B. 21. ἐκτίναξαι] τίναξον τὸ χῶμα ἀπὸ τῶν ποδῶν σου B.

altis incedens passibus, augusto vultu, statura magnifica, nunc humilis et depressa. laceratae sunt tuae delicatae vestes; elegantibus atque imperiosis spoliata es redimiculis. extincta est lux gratiosorum oculorum; aniculae caminariae similis ex incendii fuligine extitisti; profundis rugis splendida prius et suavis tua facies est arata. neque iam dico esse qui tuas clades ad citharam cantillent, qui tuam tragoediam pro comoedia ludant, quo artificio ridiculae recitationis malorum tuorum et alaparum alantur; qui lapsus et vibices et contumelias, quibus in horas afficeris, per iocum commemorent. per invidiam depressa es a vecordi populo, ac potius ab obscuri et vagabundi populi colluvie; cuius magnam partem si non genuisti, at evexisti et saginasti. quis te servabit? quis te consolabitur? quis tibi parcet? quis vicem tuam dolebit? quis revertetur, ut paci tuae consulat? (sunt et haec lacrimosi Hieremiae verba). quis priori stola te induet? quando divinitus audies: erigere, surge, quae calicem furoris mei bibisti et poculum ruinae exhausisti. indue vires tuas, indue gloriam tuam; excusso pulvere surgito; exuito vinculum colli

σμὸν τοῦ τραχήλου σου· πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου C καὶ τῶν αὐλαιῶν σου. μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς ὅτι ὠνειδίσθης, καὶ ἐκρότησαν ἐπὶ σοὶ χεῖρας πάντες οἱ παραπορευόμενοι ὁδόν, ἐσύρισαν καὶ ἐκίνησαν κεφαλὰς αὐτῶν, καὶ εἶπον „αὕτη ἐστὶν ἡ πόλις, ὁ στέφανος δόξης καὶ ἡ εὐφροσύνη πάσης τῆς γῆς. καὶ πῶς ἐκάθισε χήρα ἡ πεπληθυσμένη λαῶν; καὶ ἡ ἄρχουσα ἐν χώραις ἐγεννήθη εἰς φόρους." εἶπε γὰρ ὁ θεός σου „χρόνον μικρὸν κατέλιπόν σε, καὶ μετ' ἐλέους μεγάλου οἰκτειρήσω σε. ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου, καὶ ἐν ἐλέῳ αἰωνίῳ ἐλεήσω V. 306 σε." ἢ γοῦν ᾄσεις Δαβιδικῶς πρὸς θεὸν „κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου." τίς ἐπιστήσεταί σοι Μωϋσῆς και- D νουργός, ἢ ἐπανάγων ἐποφθήσεται Ζοροβάβελ; πότε δ' ἐσεῖταί σοι ἐκ τῶν τεσσάρων ἀνέμων συναγαγεῖν τὰ τέκνα σου, ἐν οἷς διεσπάρημεν, ὃν τρόπον αἱ φιλότεκνοι ὄρνιθες ὑπὸ τὰς ἑαυτῶν ἀθροίζουσι πτέρυγας τὰ οἰκεῖα νεόττια. ὡς νῦν γε οὐδ' ἐνωπίως σοι ἐποφθαλμῆσαι καθαρῶς ἔχομεν, οὐδ' ἐμφῆναι περιχαρῶς ὡς μητρί, καὶ ἀκριβῶς ἐπισπεῖσαί σοι δάκρυον ὅσον ὀφθαλμὸς βούλεται ἢ δύναται, ἀλλ' εὐλαβῶς ὡς στρουθοί σε περιιπτάμενοι, ὧν συνείληπται ἡ τροφὸς ἡ δὲ καλιὰ διεσκέδασται, ἐλεεινόν τι καὶ γοῶδες περιτρύζομεν,

1. τῆς σκηνῆς] τῆς αὐλῆς σου καὶ τῆς κατοικίας σου B. 5. ὁ et ἡ ante εὐφ. om A. 11. δαβιτικῶς A. 13. καινουργός] ἀνακαινίζων σε B. 15. τῶν om A. ἀνέμων] περάτων τῆς γῆς B. 21. σε] σοι A.

tui; extende locum tabernaculi tui et vestibuli tui. ne movearis quod probro affecta es, neque verecunderis ob acceptas contumelias, et quod omnes praetereuntes manus super te comploserunt, sibilarunt, et capita quassarunt, et dixerunt: haec est urbs, corona gloriae et deliciae orbis terrarum. quo autem pacto vidua sedit, quae populis referta fuit? quomodo tributaria facta est, quae provinciis imperavit? dixit enim deus tuus: exiguo tempore te reliqui, sed magna te misericordia prosequar. in parva ira faciem meam averti, sed aeterna te clementia fovebo. nimirum cum Davide cantabis deo, pro multitudine dolorum cordis mei consolationes tuae meum animum exhilararunt. quis Moses novorum effector operum tibi patrocinabitur? quis Zorobabel te reducet? quando liberos tuos a quatuor ventis, in quos dispersi sumus, recolligere licebit? quemadmodum piae gallinae pullos sub alas suas congregant. nam nunc quidem nec intueri satis te nobis licet, aut amanter amplecti ut matrem, et libare tibi lacrimas, quantas oculus cupit aut potest: sed timide ut passerculi te circumvolamus, quorum nutrix abrepta, nidus direptus est, mise-

P. 372 πόρρω που τῶν σῶν φατνωμάτων ἐκτοπισθέντες, πεινῶντες καὶ διψῶντες, αὐχμῶντες καὶ ῥιγῶντες, καὶ πρὸς φθειρῶν πολλάκις κειρόμενοι, καὶ τὰς ψυχὰς ἐν κακοῖς τηκόμενοι, ὁδόν τε μηκέτι κατοικεσίας εὑρίσκοντες πόλεως, ἀλλὰ πολύπλαγκτοι φερόμενοι ὡς ὄρνιθες οἱ ἀβέβαιοι καὶ τῶν ἀστέρων οἱ πλάνητες. ἢ καὶ οὕτως εἰπεῖν, ἑνούμεθά σοι διῃρημένως καὶ συμπλεκόμεθά σοι κεχωρισμένως, κατὰ τοὺς ψυχῇ συναπτομένους καὶ διισταμένους σώματι, καὶ προσπάσχομεν ἀτεχνῶς ὃ καὶ ἔνια τῶν ζώων πρὸς τὰ παγιδευόμενα ἐκ σφῶν ὑπὸ θηρευτῶν καὶ ἐγκλειόμενα διαφανέσιν ὑελίνοις ἄγγεσιν. ἐκεῖνά τε γὰρ τῷ τοῦ σκεύους εἰλικρινεῖ καὶ στιλπνῷ τὴν τοῦ
B συννόμου ζώου θέαν ἐνοπτριζόμενα συμμῖξαι καὶ ἐν χρῷ γενέσθαι ὅλως ἀδυνατεῖ, καὶ διὰ τοῦτο μάτην περὶ τὸ ἄγγος ἀδημονοῦντα στρέφεται, τῷ ἐξηλλαγμένῳ τῆς ὄψεως ὡς ἀπεναντίῳ τῆς πρώην ἕξεως ἐκθαμβούμενα· καὶ ἡμεῖς ἐπ' ἴσης σοι. τὰς μὲν ὄψεις προσβάλλειν καὶ ἐγγύτερον ἰέναι ἔχομεν, τοῦ δὲ περιχυθῆναί σοι γνησίως καὶ προσπλακῆναι θαρραλέως ὡς πρότερον παντάπασιν ἐστερήμεθα, ὅσα καὶ σώματι στερεῷ καὶ πολλῷ στεγανωτέρῳ ὑέλου τῷ βαρβαρικῷ συντάγματι διειργόμενοι.

6. Ἵνα τί ἔπαισας ἡμᾶς, κύριε, καὶ οὐκ ἔστιν ἡμῖν ἴασις; ἔγνωμεν, κύριε, ἁμαρτίας ἡμῶν, ἀδικίας πατέρων

1. πόρρω] μακρὰν ἀπὸ τῶν σῶν ἀγκαλῶν ἐξορισθέντες B. 2. πρὸς φθειρῶν] τὰς ψῆρας γέμοντες B. 7. τῇ ψυχῇ θεῷ ἡνωμένους B. 10. καὶ ἐγκλειόμενα] καὶ δεσμούμενα ἐν δικτύοις B. 21. ἐπαίδευσας B.

rabiliter et lugubriter pippientes. longe a tuis lacunaribus remoti sumus, esurientes et sitientes, squalore et rigore horrentes. a pediculis saepe rodimur, animis nostris calamitate liquescentibus. nec viam invenimus ad urbem in qua habitemus, sed multis erroribus ut vagabundae volucres et errantes stellae circumferimur; ac potius longo intervallo a te seiuncti tecum coniungimur, complectimur te separati, ut ii qui animis cohaerent, divulsi corporibus. dolemus vicem tuam, ut quaedam animantes, cum aliquas sui generis a venatoribus captas et perspicuo vitro inclusas vident, quas tamen attingere et amplecti nequeunt, ut frustra cum dolore circa transennam versantur, mutato aspectu ut priori formae contrario obstupefactae. eodem modo et nos adiicere oculos et propius accedere possumus, sed convenire te libere et fidenter amplecti, ut pridem, nullo modo possumus, barbarico exercitu ut solido muro, et longe firmiore quam vitrum est, interclusi.

6. Cur nos percussisti, domine, nec est qui medeatur? agnoscimus, domine, peccata nostra, iniurias patrum nostrorum, desine

ἡμῶν. κόπασον διὰ τοῦ ἐλέους σου, μὴ ἀπολέσῃς θρόνον δόξης σου. παίδευσον ἡμᾶς, κύριε, ὅπως μὴ ἀποστῇ ἡ ψυχὴ ἡμῶν ἀπὸ σοῦ, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ C ὀλιγοστοὺς ποιήσῃς ἡμᾶς. ἔκχεον τὸν θυμόν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ εἰδότα σε, καὶ ἐπὶ γενεὰς αἳ τὸ ὄνομά σου κύριε οὐκ ἐπεκαλέσαντο. πατὴρ ἡμῶν σὺ εἶ, κύριε· ἡμεῖς πηλός, καὶ σὺ πλάστης ἡμῶν, ἔργον τῶν χειρῶν σου πάντες ἡμεῖς. ἐπίβλεψον, καὶ ἴδε τοὺς ὀνειδισμοὺς ἡμῶν. ἡ κληρονομία ἡμῶν μετεστράφη εἰς ἀλλοτρίους, οἱ οἶκοι ἡμῶν εἰς ξένους. ἐπίστρεψον ἡμᾶς πρὸς σέ, καὶ ἐπιστραφησόμεθα. ἀνακαίνισον ἡμέρας ἡμῶν καθὼς ἔμπροσθεν. χρηστέον γάρ μοι ἐπικαίρως καὶ ἐφ' ὁμοίοις τοῖς συναντήμασι τοῖς γραφικοῖς τοῖσδε ῥήμασιν.

Ἀλλ' ἤδη μοι καὶ τὸ λέγειν αὐτὸ ἐπιλέλοιπεν, ὅσα καὶ σῶμα συμφυὲς ψυχῇ καὶ ὁμόστολον τῇ τοῦ λόγου σοι τροφῷ πό- D λει συναπιόν τε καὶ συνθανόν. κωφοῖς τοίνυν δάκρυσι καὶ στεναγμοῖς ἀλαλήτοις τὰ πολλὰ τῶν θρηνημάτων ἀφοσιωτέον, καὶ τοῦ περαιτέρω ἀφεκτέον τῆς ἱστορίας εἱρμοῦ. τίς γὰρ ἀνάσχοιτ' ἂν ἐπὶ γῆς ἀλλοτριωθείσης ἤδη τοῦ λόγου καὶ βαρβαρωθείσης τέλεον τὰ Μουσῶν ἐπιδείκνυσθαι κρούματα; οὐκ ἂν ᾄσαίμην τὰ βαρβάρων αὐτός, οὐδ' ἐσοίμην παραπέμπων τοῖς ἔπειτα πράξεις πολεμικὰς ἐν αἷς μὴ νικῶσιν Ἕλληνες. εἰ γὰρ ὁ Κῷος Ἱπποκράτης πολλοῖς μεταπεμπόμενος χρήμασι

15. an πόλι? 17. ἀφοσιωτέον] καταπαύσω B. 22. ἐν αἷς] ἔνθα οὐδὲ νικῶσι ῥωμαῖοι B.

per misericordiam tuam. ne perde solium gloriae. castigato nos, domine, ne a te deficiat anima nostra: sed iudicio, non furore, ne ad paucitatem nos redigas. effunde furorem tuum super gentes quae te non agnoscunt, et super nationes quae nomen tuum non invocant. pater noster tu es, domine: nos lutum, tu figulus noster; opus manuum tuarum nos omnes sumus, adverte oculos, et vide probra nostra: hereditas nostra ad alienigenas est aversa, aedes nostrae ad peregrinos. si tu nos ad te converteris, convertemur. renovato dies nostros, ut olim fuerunt.

Utendum enim mihi est per tempus, et in simili calamitate his scripturae sacrae verbis. sed iam oratio me deficit una tecum, o urbs, nutrix eloquentiae, amissa, quemadmodum compages corporis animo discedente dissolvitur. est igitur magnitudo luctus mutis lacrimis et ineffabilibus gemitibus concludenda, et abrumpenda iam historiae series. quis enim Musarum sacra in terra iam a Musis alienata et barbarie oppressa aequo animo celebret? absit ut ego res gestas barbarorum decantem, aut ea bella memoriae posterorum pro-

V. 307 πρὸς τοῦ τότε Περσῶν βασιλεύοντος, ὡς ἂν τὰς ὑπ' ἐκεῖνον ἐπισκέψαιτο πόλεις κακῶς πασχούσας νοσηλείᾳ σώματος, οὐδ' ἄκροις ὠσὶ τὰς ὑπερόγκους ὑποσχέσεις ἠνέξατο δέξασθαι,
P. 373 ἔρρειν καὶ οἰμώζειν τοὺς βαρβάρους ἀφείς, πῶς ἂν εἴην ἐγὼ τὸ βέλτιστον χρῆμα, τὴν ἱστορίαν, καὶ κάλλιστον εὕρημα τῶν Ἑλλήνων βαρβαρικαῖς καθ' Ἑλλήνων πράξεσι χαριζόμενος; ἀλλ' οὗτοι μὲν κατὰ τὸν ἐμπρήσαντα τὸν ἐν Ἐφέσῳ ναὸν τῆς Ἀρτέμιδος οἰχέσθωσαν ἄϊστοί τε καὶ ἄπυστοι, μηδὲ προσρήματος γοῦν τινὸς ὑφ' ἡμῶν ἀξιούμενοι, ἕως οὗ παρέλθοι ἡ ἀνομία κἀπὶ τοῖς δούλοις αὐτοῦ τὸ θεῖον παρακληθήσεται. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁ θεὸς ἡμῶν εἰς τέλος ἐπιλῃθόμενος, ἢ συνέχων ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ μηδὲ προστιθεὶς τοῦ εὐδοκῆσαι ἔτι, ἀλλὰ πατάσσων ἰᾶται καὶ θανατῶν ἐπιστρέφων ζωοποιεῖ. ἂν ὀδόντας θηρίων
B ἐπαποστελῇ μετὰ τοῦ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ τὰς μύλας τῶν λεόντων συνθλᾷ καὶ τὴν κεφαλὴν συντρίβει τοῦ δράκοντος. ἂν ὡς κάλαμον διαθλᾷ, καὶ τοῖς θηρίοις τοῦ καλάμου ἐπιτιμᾷ. ἂν οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἀλλὰ ψευδὴς ἵππος εἰς σωτηρίαν, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. εἰ δείκνυσι τῷ οἰκείῳ λαῷ σκληρὰ καὶ οἶνον κίρνησι κατανύξεως, ἀλλ' ἑτοιμάζει καὶ τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων, καὶ προτείνει ποτήριον φιλανθρωπίας πλῆρες καὶ ἱλαρότητος καὶ μεθύσκον ὡς κράτιστον. εἰ τοὺς

3. ἔρρειν] φθείρεσθαι καὶ θνήσκειν B. 13. τοῦ] τοῦ μὴ B. 14. ἐπιστρ.] ἐπιστρέφει καὶ B

dam, in quibus non vincunt Graeci. nam si Cous Hippocrates a rege Persarum magna pecunia accersitus, ut illius urbes pestilentia laborantes sanaret, magnificis illis pollicitationibus repudiatis contempsit barbaricos, cur ego rem optimam, historiam, et pulcherrimum Graecorum inventum, rebus barbarorum contra Graecos gestis condonarem? imo illi, ut is qui Ephesiae Dianae templum incendit, pereant ignoti et obscuri; nec ullo verbo quisquam nostrum eos dignetur, donec transierit iniquitas et deus servos suos clementer respexerit. non enim, non enim deus noster is est qui nostri perpetuo obliviscatur, aut in ira sua misericordiam non complectatur, aut beneficentiam omnem in posterum deneget. sed cum percutit, medetur, cum occidit, in vitam reducit; cum ferarum dentes immittit, qui cum rabie terrae affligant. at leonum quoque maxillas confringit et caput draconis conterit. si ut calamum comminuit, at bestias etiam ob calamum increpat. si isti curribus et equis fidunt, at in equo certa salus non est, neque deus viri tibiis delectatur. si populum suum duriter tractat eique vinum compunctionis miscet, at

μαστιγοῦντας ἐκ περάτων ἄγει τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ διὰ προφήτου βοᾷ μεγαλοκήρυκος „γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ παίζοντες ἡγιασμένοι εἰσί, καὶ ἄγω αὐτούς," ἀλλὰ καὶ τούτοις ἐπι- C
τείνει σφοδροτέρας πληγὰς καὶ τῶν κακῶν μαστίζει ταῖς χείροσι, χάριν εἰδὼς οὐδαμῶς οὐδεμίαν, εἰ χρῆται τούτοις ὀργάνοις εἰς ὄλεθρον πόλεων καὶ κακοῖς ἐπιδημίοις καὶ δημίοις ἀνθρώπων ἀνελεήμοσιν, εἴτε μὴν ὡς νοσηλεῖαι καὶ φάρμακα συναίρονταί οἱ ἐν πλείστοις ὡς ψυχῶν ἰατρῷ, οἷς καὶ φύσις τοιάδε τις ἔνεστι τοῖς ἐπιστήσασι πρόδηλος. καχεξίαι μὲν γὰρ ἢ τοῦ κάμνοντος ἀναρρωσθέντος ἐκμαρανθεῖσαι τοῦ δρᾶν ἔληξαν ἢ τῷ πάσχοντι συνδιόλλυνται· τὰ δ' ἀκεσίνοσα φάρμακα τὸ καχεκτοῦν ὁτεδήποτε ἰασάμενα ταῖς τῶν ὑλῶν ἀτιμοτέραις συμπρόεισιν ἀχρειούμενα. χρῆναι τοίνυν φημὶ μὴ βιβλίον ἀποστασίου πρὸς θεοῦ δεδομένον ἡμῖν ἢ γοῦν τῶν ἀγριελαίων βαρβάρων παντελῆ ἐγκέντρισιν εἰς τὴν καθ' D
ἡμᾶς καλλιέλαιον τὰ ἐπιόντα οἴεσθαι δεινά, ἀλλὰ παιδείαν μικράν, ὁποίαν ἴσησιν ἐπάγειν θεός, ἀνιεὶς τοῦ ἄγαν μηδ' ἐνδιδοὺς τὰ πάντα τοῖς πειρασταῖς, ἀλλὰ καὶ τῶν πειραζομένων ἐν μέρει φειδόμενος, καὶ μάλιστα εἰ τὸ μὲν δρῶν, κόρον οὐκ εἰδὸς ἀνοσιουργίας, καὶ αὐτοῦ κατεπαίρεται δι' ἀσέβειαν παρ' οὗ τὴν ἰσχὺν εἰλήφει τοῦ μαστιγοῦν, ὡς μὲν

15. ἢ γοῦν] ἢ ἵνα ἀπὸ τῆς καλλιελαίου ἡμῶν ἀρετῆς τε καὶ πίστεως εἰς τὰ αὐτῶν ἤδη ἐγκεντρισθῶμεν καὶ τάξεις B.

vicissim mensam instruit coram eis a quibus affligitur, et poculum porrigit humanitate et hilaritate plenum et ob vini bonitatem inebrians. si flagellatores ab extremis terrae marisque finibus adducit, et per prophetam magnum praeconem clamitat „Gigantes veniunt, ut expleant iram meam, simul et laetantes et ludentes; sacrosancti sunt, et a me adducuntur:" atqui gravioribus plagis eosdem afficit et deterioribus malis flagellat; nec ullam eis gratiam habet, si pro instrumentis ad perniciem urbium et publicarum cladium et pro crudelibus hominum carnificibus eis utitur. nam eos ut morbos et medicamenta, quippe animorum medicus, adhibet; quorum natura peritis non ignota est. aut enim mala habitudo aegroto sanato vires suas amittit, aut una cum illo interit. medicamenta vero quantumvis acria depulso morbo una cum prava materia expelluntur, nec ulli sunt amplius usui. quamobrem affirmo ista mala, quibus oppressi sumus, non libellum repudii divinitus nobis datum aut barbarici oleastri absolutam insitionem in nostram olivam esse iudicanda, sed parvam castigationem, qualem deus adhibere novit servato modo, non omnia tentatoribus concedere sed tentatis etiam parcere solitus, praesertim si is qui agit nullum modum suis

Ναβουζαρδὰν ἀρχιμάγειρος τὴν τοῦ θεοῦ πόλιν παραπέμπων πυρὶ καὶ τὰ λειτουργικὰ σκεύη προνομεύων, ὡς δὲ Βαλτάσαρ τρυφῶν ἐν αὐτοῖς θυσιαστήριά τε καθυβρίζων, ὁ δὲ θεῖα μυστήρια ἐξορχούμενος, τὸ δὲ πάσχον ἑαυτοῦ γινόμε-
P. 374 *νον ἐν πρωτολογίαις κατήγορον παρήγορον τὸν παίσαντα θεὸν θερμότερον ἐπικέκληται. οὐκοῦν φιλανθρωπίαν ἐκδεχομένους θεοῦ δέον ᾄδειν μετὰ Δαβὶδ „μνήσθητι ἡμῶν κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου," καὶ εἰδότας ὡς ἀσεβῶν μὲν ἡ εἰς τέλος παράδοσις καὶ μαστίγωσις, τῶν δ' ἠλπικότων ἐπὶ κύριον τῇ παιδείᾳ σύνδρομος ἡ παράκλησίς τε καὶ ἐπανάκλησις.*

4. *ἐξορχούμενος*] *ἐκφαυλίζων* B.

sceleribus statuit, sed per impietatem contra eum ipsum insurgit a quo flagellandi potestatem accepit (ut Nabuzardan praefectus exercitus, qui urbe dei incensa vasa ministerii sacri rapuit; ut Balthasar, qui iis ad luxum abusus est, qui aris illusit et divina mysteria contempsit), is vero qui patitur, se ipsum in primis accusat et verberum auctoris dei opem et consolationem ardenter implorat. itaque dei benignitas nobis expectanda est, et cum Davide canendum: memento nostri, domine, in approbatione populi tui. invisito nos ut servator, ut prosperitatem electorum tuorum videamus, ut laetitia gentis tuae laetemur, ut cum hereditate tua laudemur. neque enim obscurum est impios dedi flagris, cum eorum autem castigatione, quorum spes in domino sita est, consolationem et restitutionem in integrum esse coniunctam.

ΤΟΥ ΑΥΤΟΥ ΧΩΝΙΑΤΟΥ

ΤΑ ΜΕΤΑ ΤΗΝ ΑΛΩΣΙΝ ΣΥΜΒΑΝΤΑ ΤΗ ΠΟΛΕΙ.

---

1. Σόλων ὁ τῶν Ἀθηναίων τὰ κράτιστα, ὑποτυφομέ- P. 375
νην ὁρῶν τὴν Πεισιστράτειον νεωτέρισιν, πολλάκις μὲν διει- V. 308
λέχθη τοῖς Ἀθηναίοις πειρώμενος κατασβέσαι τὴν τυραννίδα, εὖ μάλα εἰδὼς εὐμαρέστερον τὸ τὴν ἀρχὴν συνιστάμενον παῦσαι κακὸν καὶ κωλῦσαι πῆξιν ἄρτι δεχόμενον ἢ γοῦν προβὰν ἤδη καὶ κρατυνθὲν ἐκκόψαι ἤδη καὶ ἀνελεῖν· οὐδενὸς δ' αὐτῷ προσέχοντος, μηδὲ πείθειν δυνάμενος, μετὰ χεῖρας ὅπλα λαβὼν πρὸς ταῖς εἰσόδοις αὐτὰ κατέθετο, εἴ πως ἐκκαλέσαιτο οὕτω καὶ παροξυνεῖ τοῦ δήμου τινὰς πρὸς

1. τοῦ αὐτοῦ χωνειάτου εἰς τὰ συμβάντα μετὰ τὴν ἅλωσιν τῆς πόλεως B.

NICETAE CHONIATAE

LIBER DE REBUS POST CAPTAM URBEM GESTIS.

---

1. Solon a Codro ortus, Atheniensis rei publicae vir praestantissimus, cum Pisistrati tyrannidem paulatim inolescere videret, saepe cives suos ad eam opprimendam est hortatus. satis enim norat multo esse facilius malorum principiis obstare et incrementa prohibere, quam ea progressa longius et confirmata cohibere et exstirpare. sed cum eius consiliis nemo pareret, arma ad fores curiae posuit, si quo modo aliquos e populo ad sui aemulationem pertra-

ζῆλον τὸν ὅμοιον. ὡς δ' οὐκ ἐξηρέθιστό τις πρὸς ταῦτα
οὔτε μὴν συνεπωτρύνετό οἱ πρὸς τὴν τοῦ τυράννου καθαίρε-
P. 376 σιν, λέγεται εἰπεῖν „ἔγωγε, ὡς εἶχον, τῇ πατρίδι ἐπήμυνα,"
καὶ τὸ λοιπὸν ἡσυχίαν ἄγειν καὶ γράφειν ποιήματα καὶ δια-
τωθάζειν Ἀθηναίους ἐς ἀβουλίαν, ὧν ἔνια μὴ παρασυρέντα
τῷ χρόνου ῥεύματι οὑτωσί πως ξυντέθειται·

εἰ δὲ πεπόνθατε δεινὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύσια δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασι δ' ὑμῖν κοῦφος ἔνεστι νόος·
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
B εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

εἰ γοῦν λέγων καὶ πράττων ὁ Σόλων πρὸς πειθήνιον λόγοις
V. 309 ὁμήγυριν ἠλέγχετο μάτην ἀμφότερα μετιών, Σόλων ἐκεῖνος ὁ
Κοδρίδης μὲν τὸ γένος, τῷ δὲ τῆς σοφίας περιόντι μικροῦ
πᾶσαν τὴν τετράκλιμον διελθών, ὁποῖον ἄν τις τῶν καθ'
ἡμᾶς εἰσενηνοχὼς τοῖς κοινοῖς ἐπήρκεσεν ἂν πράγμασιν, ὧν
οἱ μὲν βασιλεῖς ἐν ῥαθυμίᾳ τραφέντες ἦσαν ἐξ ἀρχῆς καὶ
ῥέγκοντες ἡδύτερον Ἐνδυμίωνος καὶ τὰ δεῖπνα πρωϊαίτερον
προσιέμενοι, καὶ τοσοῦτον τῆς τῶν πραγμάτων εὐκαιρίας

7. δεινὰ] λυγρὰ A. 8. μοῖραν] μῆνιν A. 9. τούτους] ταῦτ' ηὐξήσατ' ἐρύματα A. 11. ὑμέων — βλέπετε om A.

heret. cum autem neminem ad tyranni expulsionem suo exemplo impulisset, dixisse fertur se, ut licuerit, patriae opem tulisse, ac postea per otium Atheniensium temeritatem et incogitantiam perstrinxisse versibus, quorum nonnulli vetustate non aboliti sic habent.

si vestro vitio tandem mala plurima fertis,
de superis ratio non sinit ulla queri.
namque ope dum vestra libuit firmare tyrannos,
servitii merito vos grave stringit onus.
astutam vapido geritis sub pectore vulpem,
et vestris animis nil gravitatis inest.
insidias minime, quas res docet ipsa, videtis:
sed vos blanditiae fictaque verba tenent.

quodsi Solon ille, ex posteritate Codri, sapientiae praestantia per totum fere orbem terrarum celebris, apud populum verbis regi solitum frustra et dixit et fecit omnia, quid alicui nostrae aetatis homini iuvandae rei publicae causa faciendum fuisset, cum imperatores nostri ab ineunte aetate in umbra et otio educati more Endymionis sterte-

ἐκδιιστάμενοι, οἷα φαύλως ἐν τοῖς ὅλοις ἠγμένοι, ὡς ἐν χειμῶνι μὲν τὰ ἄνθη ζητεῖν ἔαρος δὲ ποθεῖν ὀπωρίζεσθαι, τὸ δὲ πολίτευμα ἐμπορικόν τε καὶ κάπηλον τὸ φρονεῖν, καὶ μὴ C
μόνον οὐχὶ σάλπιγξι τοῦ λέχους ἀνιστάμενον ἀλλ' οὐδ' ᾠδαῖς ὀρνίθων διυπνιζόμενον, ὡς καὶ τὸ ὅλον καθεῦδον ἡδέως καὶ μὴ ἐγνωκός ποτε πόλεμον; τὸ δέ γε συντιθέναι ποιήματα καὶ τῶν διαμαρτόντων καθάπτεσθαι ἦν μὲν καὶ τοῦ μεγαλείου Σόλωνος, ἦν δ', ὡς ἔοικε, καὶ τοῦ τότε δήμου τῶν Ἀθηναίων, κνωμένου τὸ οὖς ταῖς τῶν εἰσηγήσεων χρησίμοις, ἠρέμα τε ὑπενδιδόντος ταῖς τῶν ἀρίστων ἀνδρῶν παραιφάσεσι. καὶ ἄλλως δὲ τῷ πρὸς ὄνειδος ᾄδειν τιθασσοῖς λόγων μέροψιν ἔνεστί τι καὶ γλυκάζον σὺν τῷ στύφοντι ἐμφαινόμενον· καὶ ἡ μνήμη, ὅσα δὴ καὶ ῥιπίς, τὸ παραμένον ἐν ψυχῇ καὶ ἐνθαπτόμενον ἐμπύρευμα τοῦ καλοῦ κατὰ ζῶσαν ἔτι φλόγα D
πυρὸς ἀναθάλπουσα, τὴν ἐφ' ὁμοίοις ἐσέπειτα διαμαρτίαν φυλάττεσθαι διανίστησι. τοῖς δ' ἐς ἡμᾶς τῆς Κωνσταντίνου οἰκήτορσιν, εἰπεῖν δὲ καὶ τοῖς ἐκ τῶν ἄλλων ὁρμωμένοις χωρῶν, οἱ ἔλεγχοι μώλωπες ἀκριβῶς. τοῖς δὲ πολλοῖς οὐδ' ὦτα πεφύτευται τετρημένα εἰς νοῦν, οὐδ' ἡ Παφία τῆς ἐλευθερίας ὁποία τίς ἐστιν ἐς δεῦρο κατείληπται, ὡς οὐδὲ γλυκύτης μέλιτος τοῖς μηδέπω γευσαμένοις μέλιτος. ἐπεὶ τοίνυν ἀσύμφωνα τοῖς Σόλωνος τὰ ἡμέτερα, ἄγε τὰ μὲν τῶν ἐλέγχων παρήσομεν βούκεντρα, ἐς οὐδὲν ἕτερον προσληφθησόμε-

11. τῷ] τὸ APW. 15. ἀναθάλπουσαν APW.

rent; qui maturius coenare soliti tantum a rerum gerendarum opportunitate abhorrebant? quippe mala educatione prorsus corrupti, ut hiberno tempore flores, verno poma requirerent? cives vero mercatorum et cauponum ingeniis praediti non modo non ad tubae sonitum surgere, sed nec avium garritu excitari soliti, suaviter dormire omnes, bellum prorsus ignorare didicissent? caeterum versus componere et vitia carpere, ea tempestate cum Solonis erat, viri illustrissimi, tum populi Atheniensis, cuius aures utilibus monitis capiebantur, quique optimorum virorum consiliis paulatim acquiescebat. nam mansuetis ingeniis reprehensiones plus fere voluptatis afferunt quam doloris, eorumque memoria scintillas honestatis in animis velut ignem sub cineribus delitescentem ad cavenda in posterum similia delicta excitat. nostra vero aetate Cpolitanis civibus et provincialibus quoque admonitiones plane vibices erant, nec vulgus aures habebat ad mentem perforatas, neque libertatis dulcedo quanta esset hactenus intellexerat, ut et mellis dulcedo ignota iis est qui id non gustarunt. quoniam igitur nostra tempora ab aetate Solonis discrepant, age omissis reprehensionum stimulis, qui nihil aliud nisi odia

να ὅτι μὴ τῶν πλείστων ἑτεροζύγησιν (εἰσὶ γάρ, εἰσὶν οἳ χόρτον ἐν τοῖς κέρασιν ἔχουσι), τὴν δ' ἱστορίας καθ' εἱρμὸν ἐξύ- P. 377 μεθα. εἰ γὰρ καὶ τὰ τῶν βαρβάρων ᾄδειν ἀπειπάμεθα, ἀλλ' οὖν τοῦ δρασσομένου τοὺς σοφοὺς ἐν τῇ σοφίᾳ αὐτῶν ἐν πολλοῖς τοὺς ὑψαύχενας σφήλαντος καὶ τὰ πρόσωπα αὐτῶν ἀτιμίας πλήσαντος, καὶ παραδόντος εἰς ὄλεθρον βαρβαρωτέροις ἑαυτῶν ἔθνεσι, χρεὼν μηδ' ἡμᾶς τὴν σιωπὴν εἰς τέλος ἑλέσθαι, χρήσασθαι δὲ τῷ λόγῳ πρὸς ἀνθομολόγησιν τῶν τεραστίων θεοῦ, τοῦ „ζῶ ἐγὼ" λέγοντος „εἰς τὸν αἰῶνα, καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς μου καὶ τοῖς μισοῦσί με ἐξολόθρευσιν," καὶ αὖ πάλιν πρὸς Ἀβραὰμ „τὸ δὲ ἔθνος ᾧ δουλεύσουσι, κρινῶ ἐγώ".

Εἶχε μὲν δὴ οὕτω ταῦτα, καὶ ἡ Κωνσταντίνου καλλίπολις, τὸ κοινὸν ἁπάντων ἐντρύφημά τε καὶ ἐξακουστὸν περι- B λάλημα, ἠθάλωται πυρὶ καὶ ἠμαύρωται ἑάλω τε καὶ τοῦ πλούτου παντὸς κεκένωται, ὅσος τε δημόσιος ἦν καὶ τοῖς λεῴς ἐπῳκείωτο καὶ ὅσος θεῷ ἀφωσίωτο, παρὰ γενῶν ἑσπερίων σποραδικῶν, ἀφαυρῶν τὰ πλεῖστα καὶ ἀνωνύμων, εἰς λῃστρικὸν μὲν ἔκπλουν συγκροτηθέντων, ὀργάνῳ δὲ χρησαμένων καὶ προσωπείῳ εὐτυπώτῳ τῆς καθ' ἡμῶν κινήσεως τῷ κρούσασθαι πρύμναν εἰς ἄμυναν Ἰσαακίῳ τῷ ἐξ Ἀγγέλων καὶ ὃν ἐκεῖνος

2. τὴν γοῦν ἱστορίαν καθ' εἱρμὸν πάλιν λέγειν ἀρξώμεθα. ἐὰν γὰρ B, omissis Σόλων — ἔχουσι. 3. τὰ om A. 4. θρασσομένου PW. 14. ἐξακουστὸν om A. 17. παρὰ γενῶν] ἀπὸ τῶν γενῶν τῶν φράγγων περισυνάγματα ὄντα καὶ χυδαῖοι οἱ πλείονες καὶ ἀνώνυμοι, πρὸς λῃστρικὴν ἔκπλόησιν συναχθέντες B. 21. τῷ] τοῦ APW.

plerorumque irritarent (sunt enim, sunt qui foenum in cornu gerant), historiam ordine prosequamur. etsi enim nos res a barbaris gestas scripturos negavimus, tamen cum is qui sapientum sapientiam confundit, superbos illos homines in multa infortunia coniecerit, eorumque facie ignominia impleta barbarioribus gentibus perdendos obiecerit, repudiato silentio mirabilia dei opera sunt celebranda, qui ait „ut vivo in perpetuum, ita de inimicis meis poenas sumam, et eos qui me oderunt extirpabo." et alio loco ad Abraamum „gentem vero cui serviant, ego ulciscar."

Cum illo rerum statu clarissima urbs, communes omnium deliciae, omnium celebrata vocibus, incendio absumpta, deleta, capta, omnibus opibus tam sacris quam profanis, sive publicis sive privatis ab Occidentalium gentium colluvie spoliata esset, quae gentes maxima ex parte obscurae et ignobiles cum navigationem latrocinii causa suscepissent, suae contra nos expeditioni speciosam causam praetexebant Isaacii Angeli restitutionem; et quem is filium malo fato

ἐφύτευσεν, ὡς μὴ ὤφελεν, ἐπ' ἀπωλείᾳ τῆς πατρίδος, ὃν καὶ καλῶν κάλλιστον καί σφισιν ἐπέραστον ἀγώγιμον ἐπεφέροντο· ἡ γὰρ ὑπτιότης καὶ οἰκουρότης τῶν τὰ Ῥωμαίων χειριζόντων πράγματα δικαστὰς ἡμῶν καὶ κολαστὰς τοὺς λῃστὰς ἐπεισήνεγκεν. (2) ἐπὶ δὲ τοῖς συμβᾶσι πᾶσι τῇ βασι- C λίδι οὐδὲν σημεῖον ὑψόθεν ἢ καὶ γῆθεν ἐκφανθὲν ἔγνωσται, ὁποῖα ἄττα πολλὰ τοῖς πρότερον ξυνηνέχθησαν συμφορὰς ἀνδρῶν καὶ κακῶν ἐπαγωγὰς κηρεσιφόρους ὑποσημαίνοντα. οὔτε γὰρ ψιάδες οὐρανόθεν ὕσθησαν αἱματόεσσαι, οὔτε θέρος ἔναι- V. 310 μον παρεξήλλακται, οὔτε λίθοι πυρόεντες ἐξ αἰθέρος ἠνέχθησαν, οὔτε τι ἕτερον ὠράθη καινουργηθὲν ὁπωσοῦν, ἀλλ' ἐμβάδι ἀψόφῳ καὶ χερσὶν ἀκροτήτοις πολύπους καὶ πολύχειρ τῇ πόλει καὶ ἡμῖν ἡ δίκη ἐπεισπεσοῦσα δυσπότμους ἐν ἀνθρώποις εἰργάσατο, τιμωρὸς ὀφθεῖσα φιλότιμος. καὶ τὴν μὲν ἡμέραν ἐκείνην καθ' ἣν ἡ πόλις ἑάλωκεν, οἱ σκυλευταὶ ταῖς ὁπῃοῦν οἰκίαις ἐναυλισάμενοι τά τε ἔνδον διήρπαζον καὶ περὶ τῶν ἀφανῶν D τοὺς δεσπότας ἀνέκρινον, πληγὰς ἐντείνοντες ἐνίοις, πολλοῖς δὲ καὶ προσηνῶς συγγινόμενοι, ταῖς δ' ἀπειλαῖς ἐπὶ πᾶσι χρώμενοι· ὡς δὲ τὰ μὲν εἶχον τὰ δ' ἐξέφαινον, τὰ μὲν ὀφθαλμοῖς προκείμενα καὶ πρὸς τῶν ἐχόντων προσαγόμενα, τὰ δ' ὑπὸ σφῶν αὐτῶν ἀναδιφώμενα, καὶ φειδώ τις οὐκ ἦν παρὰ σφίσιν οὐδὲ τῶν ἐνόντων μετάδοσις πρὸς τοὺς ἔχοντας, οὔτε μὴν συμμέθεξις ἑστίας ἢ ἑστιάσεως, ἀλλ' ὑπεροψία καὶ ἀμι-

3. ἡ γὰρ ὑπτιότης] ἡ γὰρ χαύνωσις καὶ ἡ οἰκοκυρία ἡ τὰ τῶν ῥωμαίων διεξάγουσα πράγματα B. 13. δυσπότμους] κακοθανάτους B. 15. ὁποιοῦν A.

in patriae perniciem genuerat, comitem pulcherrimum et optatissimum adducebant. nam eorum oscitantia et ignavia qui rerum potiebantur, effecit ut latrones isti nobis ius dicerent et poenas irrogarent. (2) Nec illae clades urbis ullo portento vel caelesti vel terrestri praesignificatae sunt, id quod olim plerumque factum est, cum caedes hominum et excidia urbium imminebant. neque cruentae guttae caelo deciderunt, neque sanguinea messis extitit, nec igniti lapides ex aethere deciderunt, nec quicquam denique inusitati accidit, sed tacita et tranquilla vindicta multis manibus et pedibus ita nos oppressit, ut delicta probe ulta miserrimos omnium mortalium effecerit. eo porro die quo urbs capta est, praedatores eas aedes in quas diverterant diripiebant; et praeterea quae ipsi indagabant, dominos de occultis thesauris, nonnullos cum verberibus, multos blandis verbis, omnes cum comminationibus percontabantur. qui cum alia se habere faterentur, alia indicarent, alia in conspectum afferrent: milites nulla erga hospites clementia, nulla benignitate, nec hospitiis nec victu

ξία καὶ μεθ' ὕβρεων ἀπαγωγὴ καὶ ἀπόπεμψις, ἔδοξε διὰ ταῦτα τοῖς στρατηγοῦσιν ἀνεικέναι τοῖς βουλομένοις τὴν ἐκ τῆς πόλεως ἄπαρσιν. κατὰ συμμορίας τοίνυν ἀγειρόμενοι ἐξῄεσαν, ῥακίοις ἐσπειραμένοι, ἀπαστίᾳ ἐκτετηγμένοι, τὸν χρῶτα τραπέντες, νεκρώδεις τὰς ὄψεις καὶ ὕφαιμοι τοὺς ὀφθαλμούς,
P. 378 ὡς πλέον αἵμασιν ἤπερ δάκρυσι κλαίοντες. οἱ μὲν γὰρ θρήνων τὰς οὐσίας εἶχον ὑπόθεσιν, οἱ δὲ τὴν τούτων ἀποβολὴν ὡς οὔπω θλῖβον ἐς μὴ λόγον τιθέμενοι ἢ ὡραῖον γάμου κόριον ὠλοφύροντο ἁρπαγὲν παρά του καὶ διακορηθέν, ἢ ἀλόχου στέρησιν ἀπωδύροντο, καὶ ἄλλος ἄλλο τι κακὸν ἀνῴμωζε πορευόμενος.

Ἵνα δὲ καὶ τὰ κατ' ἐμὲ συνείρω τῇ ἱστορίᾳ, πολλοὶ τῶν συνήθων εἰς τοὐμὸν συνέδραμον οἴκημα τῆς στυγνῆς ἐκείνης καὶ δυσωνύμου ὄντως ἐπιφαυσάσης ἡμέρας, ὑπόστωον οὖσαν καὶ χαλεπὴν προσπελάσαι καὶ ζοφώδη τὴν εἴσοδον· ὁ γὰρ ἄμαχος τῷ κάλλει καὶ τῷ μεγέθει μέγιστος οἶκος ἡμῶν ἐν
B τοῖς Σφωρακίου ἱδρυμένος ὑπὸ τοῦ δευτέρου πυρὸς ἠφάνισται. ἦν δὲ καὶ ἄλλως εὐμαρῶς ἐκεῖθεν εἰς τὸν μέγιστον εἰσδῦναι ναόν, ἐπεὶ καὶ τῷ τεμένει συνέκειτο. ἀλλ' ἦν ἀνεξερεύνητον οὐδὲν τοῖς στρατεύμασιν, οὐδὲ τόπος εὐαγὴς καὶ τῇ θέσει παρέχων ἀσφάλειαν ἀσινὲς ἐτήρει τὸ προσρυόμενον,

3. κατὰ συμμορίας] συναχθέντες οὖν κατὰ γενεὰν καὶ συγγένειαν ἐξήρχοντο, ῥάκια διερρηγμένα φοροῦντες καὶ παλαιά, κατηφεῖς νεκροὶ τὰς ὄψεις, αἱματωμένους τοὺς ὀφθαλμοὺς ἔχοντες B. 13. τῆς στυγνῆς] τῆς ἐλεεινῆς ἐκείνης ἡμέρας εἰς φῶς ἐλθούσης· ἦν γὰρ καμάρα ὑπόστεγος σκοτεινὸν ἔχουσα τὸν πλησιασμὸν καὶ τὴν εἴσοδον. ὁ γὰρ λαμπρὸς ἡμῶν οἶκος, ὁ τῷ κάλλει καὶ τῇ εὐμορφίᾳ καὶ τῷ ὕψει ἀδιήγητος — B. 20. τόπος μοναστηρίου εἰς ἀσφάλειαν εὑρισκόμενος B.

communicando, utebantur. omnia superba inhumana immania erant. domini per contumeliam aedibus suis eiiciebantur. quibus de causis cum visum esset ducibus iis qui vellent urbe excedendi potestatem dare, cives turmatim abibant, pannis involuti, macie et pallore confecti, facie mortuis similes, oculis sanguine suffusis, quippe qui sanguine potius quam lacrymis flerent. nam alii facultatum iacturam deplorabant: alii ea ut re levioris momenti neglecta, aut filiolae nubilis raptum aut coniugem amissam, alii denique aliud in itinere lugebant.

Ut autem de me quoque aliquid referam, multi ex familiaribus illo tristi et vere nefasto die in meam domum porticibus impositam, propter obscuritatem aditu difficilem (nam pulcherrimae et amplissimae aedes nostrae in Sphoracio sitae altero incendio perierant), [...]rebant; et alioqui opportunus erat inde in maximum templum

ἀλλ' ὅπῃ τις ἂν καὶ προσέδραμεν, ἀπεσπᾶτο πρὸς τῶν εἰσιόντων ἐκεῖ πολεμίων, καὶ ἔνθα πρὸς βουλῆς ἐκείνοις ἀπήγετο. ταῦθ' ὁρῶντες ἡμεῖς ἀνομιούμενα, ὡς ἐκ τῶν παρόντων εἴχομεν, τὸ σύμφορον μέτιμεν. ἦν οὖν ἐμοί τις συνήθης τε καὶ συνέστιος ἐκ τοῦ τῶν Βενετίκων προελθὼν γένους, κομιδῆς ἀξιούμενος καὶ τῆς ἐς τὸ σῶμα ἀσφαλείας κομιδῇ μετέχων τοῖς οὖσιν ἅμα καὶ γυναικί. οὗτος χρήσιμος ἡμῖν ἐν τοῖς τό- C τε καιροῖς γίνεται. θωρακισάμενος γὰρ καὶ τὸν ἔμπορον εἰς στρατιώτην μεταμειψάμενος μάλα ἐμβριθῶς ἀπεκρούετο τοὺς εἰσιόντας μέχρι τινὸς τὸ οἴκημα σκυλευτάς, τὸν συνοπλίτην ἐκείνοις ὑποκρινόμενος καὶ προειληφέναι τὴν οἰκίαν σχηματιζόμενος, συμβαρβαρίζων ἅμα σφίσι καὶ τὰ εἰκότα διαλεγόμενος. ὡς δ' οἱ μὲν κατὰ πλῆθος εἰσέρρεον, ὁ δ' ἀντέχειν ἀπείρηκε, καὶ μάλιστα τοὺς ἐκ τῶν Φραγκίσκων εἰσιόντας, μὴ τοῖς ἄλλοις ὄντας παραπλησίους καὶ τὰς γνώμας καὶ τὰ σώματα, μόνον δὲ τὸν οὐρανὸν δεδιέναι κομπάζοντας μὴ εἴη σφίσιν ἐπιπεσών, μεταχωρεῖν ἐκεῖθεν ἡμῖν ὑποτίθησιν, ἵνα μὴ πρὸς τοῖς βαρβάροις γενόμενοι ἐν μὲν δεσμοῖς οἱ ἄνδρες ἡμεῖς διὰ χρήματα εἴημεν, αἱ δὲ γυναῖκες ἐν ὕβρεσι καὶ D ἀσέμνοις ἀπαγωγαῖς. τοῦ χρηστοῦ τοίνυν ἐκείνου καὶ πρώην οἰκότριβός τε καὶ πρόσφυγος, τότε δ' ἀγαθοῦ συνεργάτου

4. μετῆμεν? ἦν οὖν] εἶχόν τινα συνήθη γνώριμον ἐν τῷ οἴκῳ μου, ἐρχόμενον πάντοτε μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων καὶ λαμβάνοντα τὰ χρειώδη καὶ δεφενδευόμενος ὑπ' ἐμοῦ B. 14. φραντζίσκων B. 16. μὴ εἴη] μή ποτε πεσὼν σκεπάσῃ αὐτούς B. 20. τοῦ χρηστοῦ] τοῦ ἀγαθοῦ τοίνυν ἐκείνου συμβούλου B.

receptus, cui vicina erat. sed milites nihil impervestigatum relinquebant; nec locus ullus sacer aut situ munitus supplices defendebat. quocunque accurrer**s**, ab hostibus abstractus, quo illis erat lubitum, abducebaris. quas **mis**erias cum cerneremus, ut tempus ferebat, rebus nostris consulebamus. erat mihi familiaris quidam atque domesticus natione Venetus, qui domi meae cum uxore et rebus suis victum tutumque receptum habebat. is eo tempore nobis utilis fuit. nam armis et militari habitu pro mercatorio sumptis, praedatores aliquandiu fortiter aedium ingressu depulit, se commilitonem eorum, et aedes eas praeoccupasse simulans, et patria lingua cum eis quae res postulabat colloquens. cum autem illis catervatim irruentibus, Francis praesertim, qui caeteris nec ingeniis nec corporibus similes id unum se vereri iactant ne caelum ruat, resistere non posset, auctor nobis fit inde discedendi, ne capti a barbaris nos in vincula coniiceremur, mulieres vero ad stupra et libidinem raperentur. cum autem bonus ille pridem famulus et cliens, tum vero adiutor et tempore maxime necessario

κἀν τοῖς καιρίοις ὑπερασπίζοντος ἐς ἄλλην οἰκίαν ἡγησαμένου, γνωστοὺς ἡμῖν Βενετίκους τρέφουσαν, κατὰ βραχεῖς
V. 311 ἔξιμεν ἐκεῖθεν, ὡς δορύκτητος ἐκείνῳ κλῆρος, ἐκ χειρὸς ἑλκόμενοι κατηφεῖς καὶ δυσείμονες καὶ οὕτω παραπεμπόμενοι. (3) ἐπεὶ δ' ἐκεῖνο τὸ μέρος τῆς πόλεως εἰς κλῆρον τοῖς Φραγκίσκοις ἐπέλαχε, μετανάσται πάλιν γινόμεθα, ὅτε καὶ τῶν ἐπὶ τῆς θεραπείας ἡμῶν ἄλλων ἄλλῃ διασπαρέντων καὶ πάντων ἀπανθρώπως ἡμᾶς παρεικότων ἐπωμάδια φέρειν ἡμεῖς ἠναγκάσμεθα τὰ μήπω τῶν παιδαρίων ποσὶ χρώμενα, στέγειν δὲ ὑπὸ μάλην καὶ ἄρρενα παῖδα ὑπομαστίδιον, καὶ χωρεῖν οὕτω διὰ μέσου τῶν ἀγυιῶν. ἡμέρας τοίνυν πέντε μετὰ τὴν ἅλωσιν τῇ πόλει προσμείναντες ἀπαίρομεν καὶ ἡμεῖς.
P. 379 ἦν δὲ τότε σάββατον, κατὰ θείαν οἶμαι καὶ μὴ τυχηρὰν περίπτωσιν ἢ συγκυρίαν οὑτωσί πως συμβὰν ἄλογον, καὶ χειμών, ἐπὶ δὲ καὶ πρὸς ὠδῖσιν ἔτι ἡμῶν ἡ σύζυγος, ὥστε καὶ τὸ τοῦ Χριστοῦ προαγόρευμα ὅ φησιν εὔξασθαι μὴ γενέσθαι τὴν φυγὴν ἡμῶν χειμῶνος ἢ σαββάτου, καὶ „οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις ἐν ἐκείναις ταῖς ἡμέραις," ὡς εἴπερ ἐφ' ἡμῖν προείρητο, πέρας ἀτεχνῶς εἴληφεν. ὡς δ' ἱκανοὶ συνήθεις καὶ συγγενεῖς καὶ πλῆθος ἕτερον κατὰ θέαν ἡμῶν συνδρομὸν τῆς πορείας εἰχόμεθα, ἐπ' ἴσης ἀγορᾷ μυρμήκων διιόντες τὰς τριόδους, προσυπήντων ἡμῖν οἱ στρατοί, οὐχ ὡπλισμένοι

2. κατὰ βραχεῖς] ὀλίγους ὀλίγους ὡς αἰχμαλώτους ἤγαγε B. 3. ἔξειμεν A. an ἐξῆμεν? 5. φραντζίσκοις B. 9. στέγειν] καὶ ἕτερον παιδίν μετὰ φασκέας βιζάνον κρατεῖν B. 14. καὶ χειμών] ἦν δὲ καὶ ἡ ἡμέρα ψυχρὰ καὶ χειμωνική, καὶ ἡ γυνή μου πρὸς γέννησιν ἕτοιμος B.

defensor nos in alias aedes, ubi nobis noti Veneti habitabant, duceret, pauci simul exibamus, illo manibus nos trahente et ut praedam suam comitante, tristes et male vestiti. (3) Sed ubi ad illam urbis partem Francis assignatam rursus pervenimus, inde profugimus, a famulis nostris omnibus, aliis alio dispersis, inhumaniter deserti, liberis nostris, qui nondum ingredi poterant, humeris impositis. et filiolum lactentem adhuc sub ala ferre et ita per medios vicos incedere coacti sumus. et dies quinque post captam urbem commorati et ipsi discessimus die sabbati. quod divina providentia et non fortuito casu factum videtur. accedebat et hiems, et nostra uxor vicina erat partui. ut illa Christi praedictio, quae monet orandum esse ne fuga nostra in sabbato et hieme fiat, et praegnantibus in diebus illis male ominatur, non secus ac si nostra causa dicta esset, exitum sortiretur. ut vero complures familiares et cognati aliaque turba ad nostrum conspectum confluxerant, non aliter quam coetus formicarum per trivia pergebamus, occurrentibus nobis exercitibus non accurate

πρὸς ἀκρίβειαν, μαχαίρας δ' ἐπιμήκεις παρὰ πλευρὸν πλά- B *γιον τοῦ ἵππου ἐξηρτημένοι καὶ παραξιφίδια ταῖς ζώναις ἐνιέμενα φέροντες, οἱ μὲν τῶν σκύλων ἔμφορτοι, οἱ δὲ τοὺς παριόντας αἰχμαλώτους ἐξιχνιάζοντες εἰ λαμπρὰν ἐσθῆτα περίκεινται διερρωγότι περιστελλομένην χιτῶνι ἢ γοῦν ἀργύριον καὶ χρυσίον τῷ κόλπῳ ἐνθάπτουσιν, οἱ δὲ καὶ γυναικῶν ταῖς κάλλει διαφερούσαις πεπηγόσι βλέμμασι μηδὲ ῥᾳδίως ἀποσπωμένοις ἐνατενίζοντες ὡς ἁρπάσοντες αὐτίκα καὶ βιασόμενοι. περὶ ταῖς γυναιξὶ τοίνυν ἡμεῖς δείσαντες τὰς μὲν ὡς ἐν σηκῷ τῷ μέσῳ ἡμῶν ἀπειλήφειμεν, ταῖς δὲ νεάνισιν ἐπεσκήψαμεν ἐντρίψασθαι πηλῷ τὰ πρόσωπα ἀντίρροπα τῶν πρώην κομμώσεων καὶ τὸν πυρσὸν οὕτω κατασβέσαι τῶν παρειῶν, ἵνα μὴ ὡς ἐν νυκτὶ φρυκτωρούμενον πῦρ προκαλῆται τοὺς* C *ὁδευτὰς πρῶτα μὲν θεατάς, ἔπειτα δ' ἐραστάς, ἐκ δὲ τούτου καὶ βιαστάς, ἀνεύθυνον δρῶντας τὸ ἴδιον θέλημα, ἅμα καὶ χεῖρας ἱκέτιδας αἴροντες εἰς θεὸν καὶ μετὰ συνοχῆς καρδίας τὸ στῆθος τύπτοντες καὶ δακρύοις τὰ ὄμματα τέγγοντες, εἴ πως ἅπαντες καὶ πᾶσαι τοὺς ὠμηστὰς ἐκείνους θῆρας σχοίημεν ἀδιαλώβητοι παρελθεῖν. ἔδει δὲ διὰ τῆς Χρυσείας πύλης ἡμᾶς ἐξελθεῖν. ὡς δὲ περὶ τὸν νεὼν ἥκομεν Μωκίου τοῦ καλλιμάρτυρος, ὑβριστὴς καὶ ἀνόσιος βάρβαρος ὡς ἀμνάδα λύκος ἐκ μέσων ἡμῶν ἀφαρπάζει κόρην εὐπλόκαμον, τι-*

1. *μαχαίρας*] *σπαθία δὲ ζωννύμενοι καὶ παραμάχαιρα, οἱ μὲν φορτωμένοι τὰ κουρσιμαῖα* B. 11. *ἀντίρροπα*] *ἀντὶ τῶν ἐφτιασμάτων καὶ κοκκίνων ὧν ἐτίθουν πρότερον, ἵνα κατασβέσωσι τὴν τῶν μαγούλων κοκκινότητα* B. 22. *εὐπλόκαμον*] *καλλιπρόσωπον καλότριχον* B.

armatis, sed praelongis ensibus ad latera equorum suspensis, et pugiones cingulis insertos gestantibus; quorum alii manubiis onusti erant, alii praetereuntes captivos excutiebant, an sub lacera tunica splendidam vestem celarent aut argentum aurumve in sinu occultarent. alii mulieres forma praestantes ita defixis oculis intuebantur, quasi mox eas ad stuprum rapturi essent. nos igitur mulieres, earum pudicitiae metuentes, in medium agmen tanquam in ovile recepimus, adolescentulas vero coeno faciem illinere ut pridem fucis, atque ita ruborem genarum extinguere iussimus, ne formae venustas principio, ut viatores noctu elatus ignis, spectatores, deinde amatores, postremo raptores allicerét, cum sibi licere viderent omnia. interim supplices ipsi manus ad deum tendebamus, afflictis animis pectora plangentes et oculos rigantes lacrimis, si que modo omnes immanes istas feras salvi et inviolata pudicitia evaderemus. cum autem nobis per auream portam exeundum esset, ut ad incliti martyris Mocii aedem venimus, insolens et nefarius quidam barbarus

νὸς τῶν ἐπὶ τῷ δικάζειν θυγάτριον. πρὸς τὴν οἰκτροτάτην D τοίνυν ταυτηνὶ θέαν ἡ μὲν συνοδία πᾶσα διαθροηθέντες ἐξεβοήσαμεν, ὁ δὲ πατὴρ τῆς παιδὸς γήρᾳ καὶ νόσῳ τετρυχωμένος, τότε δὲ καὶ σφαλεὶς κατὰ πέλματος, ὀλοφυρόμενος καὶ τῷ πηλῷ φυρόμενος δόχμιος ἔκειτο, ὡς εἰς συκίνην ἐπικουρίαν ἀφορῶν συχνάκις ἐμέ, καὶ πρὸς ὄνομα δεόμενος συνάρασθαί οἱ τὰ δυνατὰ πρὸς τὴν τῆς παιδὸς ἀπόλυσιν. ἐπιστραφεὶς οὖν αὐτίκα μάλα, ὡς εἶχον, κατ' ἴχνια τοῦ ἅρπαγος ἔβαινον, μετὰ δακρύων τὴν βίαν ἐπιβοώμενος, καὶ σχήμασιν ἱλασίμοις εἰς ἀρωγὴν ἐπισπώμενος τοὺς μὴ πάντῃ ἀμαθεῖς τῆς ἡμετέρας φωνῆς ἐκ τοῦ στρατεύματος παριόντας, ἔστι δ' ὧν καὶ χειρὸς ἁπτόμενος. καὶ μόλις ἴσχυσά τινας P. 380 οὕτως ἐς οἶκτον προκαλέσασθαι ὡς μετιέναι ζητεῖν ἐκεῖνον V. 312 τὸν ἀναιδῆ καὶ φιλόσαρκον. ἡγούμην τοίνυν αὐτός, οἱ δ' ἐφείποντο. ὡς δ' ἐπέστημεν ἔνθα ὁ φιλογύνης κατέλυεν, ὁ μὲν τὴν κόρην εἴσω ἐκπέμψας πρὸς τοῖς πυλῶσιν εἱστήκει, τοὺς ἀντιστησομένους ἀποκρουσόμενος, ἐγὼ δὲ αὐτὸν δακτύλῳ ὑποδείξας „οὗτος" εἶπον „ὁ ἐπὶ μάρτυρι τῷ φωτὶ ἀδικῶν, καὶ τῶν εὖ γεγονότων ὑμῶν παραβλεπόμενος τὰ ἐντάλματα. ὑμεῖς μὲν γὰρ γυναιξὶ ταῖς ὑπὸ ζυγὸν καὶ ταῖς ὅλως ἀπειράτοις ἀνδρός, καί γε ἔτι ταῖς ἀποθριξαμέναις θεῷ, μηδὲ

2. διαθροηθέντες] ἐφωνάξαμεν φοβηθέντες B. 4. σφαλεὶς] ὑπὸ τῶν παλμάτων τοὺς πόδας βαρυνόμενος ἔπεσεν ἐξηπλωμένος B. Wolfius τέλματος legisse videtur. 8. ὡς εἶχον] ὡς εὑρέθην B. 10. ἱλασίμοις] ἐλεεινοῖς καὶ ἱκετηρίοις B. 12. χεῖρας A. μόλις om A. 14. ἡγούμην] προσβόδιζον γοῦν ἐγὼ B. 15. φιλογύνες A. 16. εἰσπέμψας? B ἔσω τοῦ ὀσπητίου βαλών.

puellam formosam, iudicis cuiusdam filiam, e medio nostrum tanquam lupus agnam abripit. quo miserrimo spectaculo totus coetus noster consternatus exclamavit. puellae vero pater senio et morbo afflictus, tum etiam in coenum prolapsus ac contaminatus, iacens crebro me tanquam ficulnum praesidium intuebatur, et nominatim orabat ut sibi pro virili ad puellam recuperandam adiumento essem. itaque statim conversus vestigia raptoris persequor, cum lacrimis vim factam proclamans, et supplicibus gestibus opem praetereuntium militum implorans, qui linguae nostrae non plane rudes erant, quorundam etiam manibus prehensatis. et vix quosdam ad commiserationem ita flexi, ut impudentem et libidinosum illum hircum ulcisci cupientes a me ad aedes illas perducerentur. quo cum ventum esset, mulierosus ille virgine introducta in foribus stabat, ut si qui vim facturi essent, eos repelleret. ego vero digito eum commonstrans „iste" inquam „luce teste iniurius vestrae nobilitatis edicta contem-

μοιχικοῦ μέχρι βλέμματος, εἰ δυνατόν, συνελθεῖν ἐθεσπίσατε, καὶ ὅρκοις τὰ περὶ τούτων φρικώδεσι διειλήφατε· ὁ δὲ ἀποφλαυρίσας τὰς ὑμῶν ἐντολάς, ταῖς παρθενικαῖς ἐπὶ μάρτυσι πολλοῖς ὀνηδὸν ἐπιβρωμώμενος οὐχὶ δέδιε. τοῖς αὐτῶν B οὖν ὑμῶν νόμοις καὶ τοῖς ἐν χερσὶν ἡμῖν ἐπαμύνατε, μαλαχθέντες τούτοις τοῖς δάκρυσιν, ἃ καὶ θεὸς προσίεται καὶ ἡμῖν ἡ φύσις ἐς τὸν πρὸς ἀλλήλους οἶκτον βοήθημα μέγιστον τοῖς ὀφθαλμοῖς ἐποχέτευσεν. εἰ δὲ καὶ πατέρες παίδων ὑμεῖς, ναὶ πρὸς τῶν συλλέκτρων καὶ τῶν φίλων ὑμῖν τέκνων τοῖς ἱκέταις ὑμῶν χεῖρα ὀρέξατε, ναὶ πρὸς τοῦ τάφου τοῦ θεοδέγμονος καὶ τῶν Χριστοῦ παραιφάσεων, αἳ τοῖς ἀπ' αὐτοῦ καλουμένοις κοινῶς πᾶσιν ὑποτιθέασιν ἐκεῖνα ποιεῖν τοῖς ἀνθρώποις ἃ καὶ σφίσιν ὑπ' ἐκείνων γενέσθαι βούλονται." τούτοις τοῖς ῥήμασιν ὡς ἐξ ἐφόδου χρησάμενος τὰ τῶν ἀνδρῶν C ἐκείνων φρονήματα διανέστησα. οὐκοῦν ἐνέκειντο τὴν κόρην αἰτούμενοι. ὁ δὲ τὰ μὲν πρῶτα ὑπερεώρα, ἔρωτι καὶ θυμῷ τυραννικωτάτοις δυσὶ πάθεσιν ἐνισχόμενος· ὡς δὲ εἰς ὀργὴν ἐπιφρίσσοντας ἑώρα τοὺς ἄνδρας καὶ προτείνοντας ἐκείνῳ τὴν ἐπὶ σκόλοπος ἀπαιώρησιν ὡς ἀδίκῳ ἅμα καὶ ἀναιδεῖ, τὸ δ' ὅλον οὐκ ἀπὸ χειλέων μόνον ἀλλὰ καὶ καρδίας τὴν διάλεξιν ἐκείνῳ πεποιημένους, ἐνδίδωσί τε μόγις καὶ τὴν κόρην ἀποδίδω-

4. ὀνηδὸν] ὡς γάδαρος ὀγγαρίζων B. 9. πρὸς τῶν] διὰ τὴν ἀγάπην αὐτῶν τοὺς ὑμετέρους βοηθήσατε παρακλήτορας B. 11. ἀπ'] ὑπ' A. 13. γίνεσθαι A. 16. ἔρωτι] ὑπὸ ἔρωτος καὶ μανίας τῶν δύο κεκτημένος παθῶν B. 18. καὶ προτείνοντας] καὶ φουρκίσειν αὐτὸν ἔλεγον B.

psit. vos enim edixistis, ne coniugatae mulieris aut virginis aut dedicatae deo puellae vel impudico aspectu, si caveri possit, quisquam contaminetur, et iusiurandum ea de re sanctissimum dedistis. at iste vestra auctoritate contempta, in conspectu multorum, ut salax asinus, in virgines impetum facere non dubitavit. vos igitur vestris legibus et armis nos defendite, lacrimis his deliniti, quas deus admittit etiam, et natura maximum mutuae misericordiae incitamentum in oculos nostros derivavit. quodsi et vos liberos habetis, per coniuges et carissima pignora obtestor ut nobis supplicibus manum porrigatis. obtestor per divinum sepulcrum et Christi praecepta, quae Christianos omnes iubent ea facere hominibus, quae ab iisdem sibi praestari cupiant." his verbis ex tempore usus virorum illorum animos excitavi, ut puellam serio repeterent. at ille principio verba illorum contemnebat, amore et iracundia duobus violentissimis affectibus occupatus. sed cum irati instarent et suspendium ei minitarentur ut iniurio simul et impudico, denique verba illa non ex labiis sed ex pectore promanare cerneret, vix tandem minis expugnatus puellam

σι. περιχαρὴς οὖν ἐπὶ τῇ θέᾳ τῆς παιδὸς φανεὶς ὁ πατήρ, καὶ σπείσας θεῷ δάκρυα ἐπὶ τοῖς ἀστεφανώτοις ἐκείνοις καὶ ἀνυμεναίοις νυμφεύμασιν, ἀναστὰς αὖθις σὺν ἡμῖν ἐπορεύετο.

4. Ὡς δὲ τῆς πόλεως ἐξῄειμεν, ἄλλοι μὲν ἄλλως ἀν- D θωμολογοῦντο θεῷ χαριστήρια καὶ τὰ καθ' αὑτοὺς ἀνωλόλυζον, ἐγὼ δὲ ῥίψας ἐμαυτὸν ὡς εἶχον εἰς τοὔδαφος μόνον οὐκ ἐμεμψιμοίρουν τοῖς τείχεσιν ὡς μόνοις ἀπαθέσι μηδὲ κατάγουσι δάκρυα, μήτε μὴν εἰς χῶμα κειμένοις ἀλλ' ὀρθίαν εἰσέτι στάσιν ἔχουσιν. „εἰ γὰρ ὧν ἕνεκα ἐκτίσθητε" εἶπον „εἰς τέλος ἤδη ἐξέλιπον, πυρὶ καὶ πολέμῳ ἠμαυρωμένα, τί ὑμῖν ἔτι καὶ τῷ ἑστάναι; καὶ τίνα περιστελεῖτε καὶ φυλάξεσθε μετέπειτα; εἰ μή γε τοῖς πολεμίοις ἀποτινεῖτε τὸν ὄλεθρον ἐν ἡμέρᾳ ὀργῆς, ὅταν ἀναστῇ κύριος θραῦσαι τοὺς ἡμᾶς οὕτω διαθεμένους, ἐπιβεβηκὼς ἴσως ἐπὶ δυσμῶν κατὰ τὴν Δαβιδικὴν προαγόρευσιν; καὶ σὺ δέ, ὦ πόλις" ἔφην „βασί- P. 381 λεια, πόλις περιοχῆς, πόλις τοῦ βασιλέως τοῦ μεγάλου, σκήνωμα ὑψίστου, αἴνεσις καὶ ὕμνησις τῶν αὐτοῦ θεραπόντων καὶ προσφιλὲς ξενοδόχημα, καὶ βασιλὶς μὲν τῶν βασιλίδων πόλεων, ᾆσμα δὲ ᾀσμάτων καὶ λαμπρότης λαμπροτήτων, καὶ τῶν σπανίων πανταχῇ θεαμάτων σπανιώτερον ὅραμα, τίς ὁ διασπάσας ἡμᾶς ἀπὸ σοῦ ὡς ἐκ μητρὸς φίλης τέκνα φιλούμε-

7. ὡς εἶχον] καθὼς ηὑρισκόμην B. 10. ἐκτίσθε A. 12. τῷ] τὸ APW. καὶ φυλάξεσθε om A. 13. ἀποτενεῖτε A, ἀνταποδώσετε B. 16. Δαβιτικὴν A. 17. περιοχῆς] ἡ πάντα περιέχουσα B. 20. τῶν σπανίων] τῶν ἐξαιρέτων ἁπανταχοῦ θεαμάτων ἀκριβέστατον θέαμα B.

restituit. pater conspectu filiae exhilaratus, et lacrimis deo libatis ob foedas illas nuptias propulsatas, surgit et rursus nobiscum proficiscitur.

4. Postquam urbe excessimus, alii aliter deo gratias agebant et fortunas suas cum eiulatu miserabantur. ego vero recta in faciem prolapsus tantum non cum moenibus expostulabam, quod sola essent integra nec lacrimarent nec in tumulum corruissent, sed adhuc erecta starent. nam si (inquam) ea quorum causa condita estis, iam ferro et igni penitus sublata conciderunt, cur vos adhuc statis? quem posthac tegetis et custodietis? nisi forte hostibus exitium moliemini in die irae, cum dominus ad eos a quibus nos ita tractati sumus frangendos insurrexerit, et Occidentem forsitan, ut David vaticinatus est, conculcarit? et tu quoque, regina urbium, urbs amplissima, urbs magni regis, tabernaculum altissimi, laudatio et celebratio ministrorum eius, deliciae hospitum, imperantium urbium imperatrix, canticum canticorum, splendor splendorum, et rebus vi-

να; τίνες γενοίμεθα; ποῖ τραποίμεθα; ποίαν παραψυχὴν εὕροιμεν γυμνοί, ὡς ἐκ κοιλίας μητρὸς τῶν σῶν ἐκσπασθέντες κόλπων, καὶ φανέντες παρ' ἔθνεσι κιθάρα καὶ θρύλλημα, ἀδελφοὶ Σειρήνων, ἑταῖροι στρουθῶν, καὶ ψωμιζόμενοι μὲν ἀνάγκας, ὕδωρ δὲ χολῆς ποτιζόμενοι. πότε σε θεασόμεθα οὐχ ὡς νῦν πεδίον ἀφανισμοῦ καὶ κοιλάδα κλαυθμῶνος καὶ B πατουμένην ὑπὸ στρατοπέδων, εἴτε μὴν ἐξουθενημένην καὶ V. 313 ἀπωσμένην, ἀλλ' ἐξαιρουμένην καὶ σωζομένην, καὶ προσκυνουμένην ὑπὸ τῶν ταπεινωσάντων σε καὶ παροξυνάντων σε, καὶ γάλα ἐθνῶν θηλάζουσαν καὶ πλοῦτον βασιλέων ὡς πρώην ἔδουσαν; πότε δὲ καὶ ὡς φύλλα συκῆς καὶ χιτῶνας δερματίνους ἀποβαλούμεθα τὰ ῥικνὰ ταῦτα ῥάκη καὶ μηδὲ τοῦ παντὸς ἐξικνούμενα σώματος, ἃ ἡμῖν περιέθεντο οἱ ἐπίβουλοι ὡς ὄφεις ἀλλόφυλοι, τὰ σύνοικα ἡμῖν κακὰ καὶ ἐπίβουλα καὶ βαρύζηλα, ἐπενδυσόμεθα δ' αὖθις τοὺς ἐξ ὑφῆς στιλπνοτέρας καὶ χλιδῶντας χιτῶνας, οὓς πρώην περιεκείμεθα; ἀλλ' ἵλασαι θεόν, ἁγιωτάτη τῶν πόλεων· προβαλοῦ τοὺς νεώς, τὰ τῶν C μαρτύρων λειπόμενα, τὰς συμφορὰς αὐτάς, τῶν πειρατηρίων τὸ μέγεθος, ὧν εἰς κόρον μετέσχηκας, ἀνδράσιν ἀνοσίοις ἐκδοθεῖσα εἰς πύρωσιν. ἐπικάλεσαι γάρ με, φησίν, ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. ἆρα δὲ προσθήσω καὶ εἰς σέ ποτε ἐπιβλέψαι, παμμέγιστε ναὲ καὶ

1. τίνες] τί ἵνα γενώμεθα. ποῦ ἵνα πορευθῶμεν B. 3. καὶ φανέντες — ποτιζόμενοι om A. 12. ἀποβαλούμεθα] ἐξεκδυσώμεθα τὰ χάρβαλα ταῦτα καὶ ἐσχισμένα ῥοῦχα B. 14. καὶ βαρύζηλα — περιεκείμεθα B. 18. μαρτ. ἐναπολειφθέντα ἅγια λείψανα B.

su raris spectaculum rarius, quis nos a te avulsit ut a cara matre caros liberos? qui erimus? quo nos vertamus? quam consolationem inveniemus, nudi a tuo sinu ut ex utero matris avulsi? quando te spectabimus, non talem qualis nunc es, campum vastitatis, vallem luctus, conculcatam ab exercitibus, redactam ad nihilum et profligatam, sed exaltatam et incolumem, et adorandam ab iis qui te depresserunt et irritarunt, et bona gentium sugentem, et divitias regum ut ante comedentem? quando tandem, ut ficulna folia et pelliceas tunicas, laceros istos pannos nec totum corpus obtegentes abiiciemus? quibus nos barbari ut insidiosi serpentes, mala coniuncta et infesta circumdederunt? age vero, urbs sanctissima, placato deum praetendo templa, martyrum reliquias, ipsas calamitates, cladium magnitudinem quibus es oppressa, nefariis viris ad incendendum data. iubet enim invocari se tempore necessitatis tuae: nam fore ut ipse te eripiat, tu vero eum laudes. nunquid, templum amplissimum et divinissimum, unquam posthac te videbo, caelum terrenum, so-

θειότατε, οὐρανὲ ἐπίγειε, θρόνε δόξης θεοῦ, Χερουβικὸν ὄχημα, στερέωμα δεύτερον, ἀγγέλλον τὴν τῶν χειρῶν θεοῦ ποίησιν, θέαμα καὶ ἔργον ἑναδικὸν καὶ εὔριζον πάσης τῆς γῆς ἀγαλλίαμα; καὶ τίς ὁ ἐπαγγελλόμενος εἰ μὴ μόνος ὁ ἐν οἷς πέπονθε πειρασθεὶς τοῖς πειραζομένοις βοηθεῖν ἐπιστάμενος, καὶ ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερροτέρων αὐτοῦ καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν, καὶ ποιῶν πάντα καὶ μετασκευάζων ἀεὶ πρὸς τὸ βέλτιον;"

D 5. Ταῦτ' ἐξ ὑπεράντλου ταῖς ἀχθηδόσι ψυχῆς κενώσαντες πορευόμενοι ἐπορευόμεθα, κλαίοντες καὶ βάλλοντες τοὺς θρήνους ὡς σπέρματα. εἰ δὲ καὶ ἐρχόμενοι ἥξομεν, αἴροντες ἐν ἀγαλλιάσει τὰ τῆς δεξιωτέρας ἀλλοιώσεως δράγματα, δῶρον τοῦτο θεοῦ τοῦ παρακαλοῦντος τοὺς ὀλιγοψύχους καὶ σωτηρίου περιτιθέντος ἱμάτιον καὶ χιτῶνα εὐφροσύνης ἐνδύοντος. προῆγε δὲ ἡμῶν ὁ οἰκουμενικὸς ἀρχιποίμην, μὴ πήραν φέρων, μὴ χρυσὸν ἐπὶ τὴν ὀσφύν, ἄραβδος καὶ ἀσάνδαλος καὶ χιτώνιον ἓν περικείμενος, ἐντελὴς εὐαγγελικὸς ἀπόστολος, ἢ μᾶλλον τοῦ Χριστοῦ ἀντίμιμος, καθ' ὅσον ὀναρίῳ πτωχικῷ ἐποχούμενος μεθίστατο τῆς νέας Σιών, οὐ τὸν ἐπ' αὐτῆς ἐσχεδίαζε θρίαμβον. τότε δ' οὖν πέρας τῆς ὁδοῦ τὴν
P. 382 Σηλυβρίαν ἡμεῖς θέμενοι τοῦ λοιποῦ τοῦ πλάνου πεπαύμεθα, ἀνύβριστοι πανοικί, τὸ μέγα τοῦ θεοῦ περὶ ἡμᾶς φιλοτίμημα

3. εὔριζον] εὔρροιζον B. 14. ὑπερτιθέντος B. 15. ἀρχιποίμην] πατριάρχης μὴ δισάκιν ἔχων B. 16. ὀσφύν] ζώνην B. ἀσάνδαλος] ἐξυπόλυτος B. 21. σηλυμβρίαν B.

lium gloriae dei, Cherubice currus, firmamentum alterum, fabricam manuum dei annuntians, spectaculum et opus singulare, firmum universae terrae decus? et quis est qui pollicetur, nisi is solus qui in suopte supplicio tentatus, iis qui tentantur, succurrere didicit? qui inopem ex manu fortiorum et pauperem et mendicum a praedatoribus eripit, qui omnia facit ac subinde commutat in melius.

5. Quae cum ex animo doloribus redundante effudissemus, continenter ibamus plorantes et lacrimas tanquam semina spargentes. si vero redituri sumus prosperioris mutationis manipulos collecturi, dei munus id erit, qui pusillanimes confirmat, qui eos salutis veste induit et tunica laetitiae amicit. antecedebat autem nos Oecumenicus summus pastor, non peram ferens, non aurum in zona, sine baculo, sine calceis, una tunicula indutus, integer evangelicus apostolus, aut potius Christi exemplar, quatenus paupere asello vectus nova Sione discedebat, non autem triumphans illam ingrediebatur. ac tum nos Selybriam profecti oberrare destitimus, tota familia inviolata. quae magna dei liberalitas est et sempiterna perfectaque munificen-

καὶ ἀείμνηστον καὶ τέλειον δώρημα, μηδ' ἀρθρέμβολα καὶ σχοινοδέσμους κἀπὶ τῶν κροτάφων ἀστραγάλους ὡς πολλοὶ τῶν καθ' ἡμᾶς δεξάμενοι διὰ χρημάτων ἀπόδοσιν, καὶ πρὸς μόνου θεοῦ τρεφόμενοι τοῦ τὴν τροφὴν ἐν εὐκαιρίᾳ πᾶσι βραβεύοντος καὶ τοὺς νεοσσοὺς τῶν κοράκων τοὺς ἐπικαλουμένους αὐτὸν δειπνίζοντος ἐς τὸ ἄφθονον, ἔτι γε μὴν τὰ μήτε νήθοντα μήτε σπείροντα κρίνα τοῦ ἀγροῦ φιλοτίμως ἐνδύοντος. οἱ δ' ἀγροῖκοι καὶ ἀγελαῖοι ἐπεκερτόμουν μᾶλλον τοῖς ἐκ Βυζαντίου ἡμῖν, καὶ τὴν ἐν πτωχείᾳ καὶ γυμνότητι κακουχίαν ἰσοπολιτείαν ἀφρόνως ὠνόμαζον, οὐ τοῖς τῶν πέλας κακοῖς παιδευόμενοι. B πολλοὶ δὲ καὶ ἀνομίαν ὑπολαμβάνοντες „εὐλογητὸς κύριος ὅτι πεπλουτήκαμεν" ἔλεγον, ὀλίγου τὰς τῶν συμφυλετῶν οὐσίας ἀποδιδομένας ὠνούμενοι. οὐ γάρ πω βουθοίνας εἰσῳκίσαντο Λατίνους, καὶ εἴδοσαν ὅπως μὲν τὸν ἄκρατον οἶνον ὁμοῦ καὶ ζωρότερον ὥσπερ καὶ τὸν χόλον ἀκέραστον χέουσιν, ὅπως δὲ Ῥωμαίοις ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει προσφέρονται.

Καὶ τοιαῦτα μὲν τὰ ἡμέτερα καὶ τῶν οἳ συνεκοινώνουν ἡμῖν σχήματος καὶ τῶν λογικῶν ἐν μεθέξει παιδεύσεων. οἱ δ' ἐκ τῆς φαύλης συμμορίας καὶ ἀγοραῖοι ἐχρηματίζοντο, καὶ πάλιν τὰ θεῖα βεβηλοῦντες ὑπὸ Λατίνων ἀποδιδόμενα καὶ ὡς κοινὸν ἀργύριον ἐμπορευόμενοι, ὡς εἴπερ τῶν ναῶν ἀφη- C

1. μηδ' ἀρθρέμβολα] μήτε δεθέντες μήτε ἀστραγγάλους ἐπὶ τοὺς μιλίγγους ἡμῶν θέντες, μή τι ἕτερον κακὸν παθόντες, καθώσπερ πολλοὶ ἔπαθον διὰ τὰ χρήματα B. 7. οἱ δ' ἀγροῖκοι] οἱ τῆς σηλυμβρίας δὲ χωριάται καὶ χυδαῖοι ἐγέλων μᾶλλον καὶ παρεβίβαζον ἡμᾶς τοὺς ἀπὸ τῆς πόλεως B. 11. ἀνομίαν] καὶ ἀνομοῦντες παραλόγως ἔλεγον B.

tia, non ferreis manicis, non funibus vincti, non pugnis caesi, ut multi ex nostris pecuniae dandae causa; et a solo deo enutriti, qui cibum omnibus opportuno tempore curat et pullos corvorum se invocantes largiter pascit, et agrestia lilia, quae neque nent neque seminant, splendide vestit. nam rustici et plebeii homines nobis Byzantinis magis insultabant, et mendicitatis ac nuditatis miseriam aequalitatem amenter nominabant, vicinorum malis nihilo facti prudentiores. multi etiam homines iniurii deum laudabant scilicet, quod ditati essent popularium pretiosis facultatibus vili pretio redemptis. necdum enim taurivoros Latinos in aedes suas receperant; neque norant, ut merum simul, quemadmodum et bilem, importune effunderent, et Romanos superbe et contemptim haberent.

Ac noster status, eorumque qui eiusdem conditionis et litteris eruditi erant, talis fuit. improbus autem grex et circumforanea turba ditescebat profanandis denuo sacris, quae Latini vendebant, iis-

V. 314 ρημένα καὶ τὸ εἶναι θεοῦ ἀπεβάλοντο. τὸ δέ γε ἀντίπαλον ἐν ἀσελγείαις ἦν καὶ τρυφαῖς, καὶ τούτων ταῖς ἀσέμνοις μάλιστα, καὶ τῶν Ῥωμαϊκῶν ἐν κωμῳδίᾳ ἐθῶν. τῶν γὰρ ἱματίων τὰ πλατύσημα μὴ κατὰ χρείαν πρὸς δὲ γέλων περιβαλλόμενοι τὰς ἀγυιὰς περιῄεσαν, καὶ τὰς ὀθονοσκεπεῖς περικρανίους καλύπτρας ταῖς κορυφαῖς τῶν ὀχημάτων περιτιθέντες καὶ τὰ κατὰ νώτου κεχυμένα λευκόλινα ταῖς ἱππείαις γένυσιν αὐτῶν περιδέοντες ἄλλῃ καὶ ἄλλῃ τῆς πόλεως ἐξιππάζοντο. οἱ δὲ γραφέας δόνακας καὶ δοχεῖα μέλανος φέροντες τόμοις τὴν χεῖρα ἐδίδοσαν, ὡς γραμματέας ἡμᾶς τωθάζοντες. οἱ δὲ πλείους τὰς μὲν ὑπὸ σφῶν βιασθείσας ἐπὶ τῶν D ἵππων ἀνεῖχον, ταννυπέπλους τινὰς καὶ ἀπηνηκότους καὶ τὰς τρίχας συνεστραμμένας εἰς ὀπίσθιον ἕνα πλοχμόν, τὰ δὲ γυναικεῖα τυμπάνια καὶ τὰ τῶν οὔλων καὶ λευκῶν τριχῶν ἐπικροτάφια καθέματα τοῖς ἵπποις περιετίθεσαν. ἐκώμαζόν τε καὶ ἠκρατίζοντο πανημέριοι, οἱ μὲν βρωμάτων μαγγανείαις προσκείμενοι, οἱ δὲ καὶ τὴν πάτριον ἐδωδὴν παρατιθέμενοι

3. τῶν γὰρ ἱματίων] τὰ γὰρ τῶν γυναικῶν χρυσᾶ ἱμάτια οὐχὶ διὰ χρῆσιν ἀλλὰ διὰ γέλωτα φοροῦντες περιήρχοντο τὰς ῥύμας, καὶ τὰ χρυσοῦφαντα σεντόνια σάβανα καὶ προσόψια εἰς τὰς κεφαλὰς τῶν ἀλόγων αὐτῶν τιθέντες καὶ τὰ καπάσια καὶ τὰς χρυσὰς σκέπας εἰς τὰς τῶν ἀλόγων χαίτας συνδέσαντες ἄλλος ἄλλοθεν περιέτρεχεν. B. 7. ἱππείαις om A. 9. γραφέας] καλαμάρια καὶ κονδύλια κρατοῦντες καὶ χάρτας ἔφερον εἰς τὰς χεῖρας αὐτῶν, καὶ ἐδίδων αὐτὰ ὡς δῆθεν ὑπογράφεσθαι B. 12. ταννυπέπλους] καὶ ῥοῦχα μακρέα ἐνδύοντες, καὶ τὰ μαλλία αὐτῶν εἰς ἕνα πλόκαμον πλέκοντες ὄπισθεν διήρχοντο, τὰ δὲ γυναικεῖα τυμπάνια καὶ τὰς σκούφιας μετὰ τῶν ὧν εἶχον μιτῶν ἐκ τριχῶν ὁμαλῶν καὶ ξανθῶν τὰ ἄλογα αὐτῶν στολίζοντες ἔσυρον. B.

que tanquam communi merce cauponandis, quasi vero direpta e templis dei esse desiissent. hostes porro luxui et deliciis vacabant, iis praesertim quae ad Romanorum derisum et ludibrium pertinerent. nam vestibus lati clavi non necessitatis sed risus gratia induti per vicos incedebant, lineas mitras equorum verticibus imponebant; et quae in humeris dependent, albas fascias maxillis bestiarum alligabant, atque ita passim urbem perequitabant. alii calamos scriptorios, atramentaria et libellos gestabant, qua re nos ut scribas sugillabant. maxima vero pars mulieres a se stupratas longis peplis indutas et capillis in unum nodum tortis et in tergum reiectis in equis vehebant. muliebribus vero pileolis, et dependentibus a temporibus crispis et albis erinibus, equos suos ornabant, ac totos dies comessabantur et potabant, alii cupediis et lautitiis intenti, alii patrio cibo vescentes, quae erant terga bubularum carnium lebetibus immissa, et succidiae cum fabacea farina elixae, ut et

ἐπιδείπνιον, ἥτις ἦν νῶτοι βοείων κρεῶν διαχαλώμενοι λέβησι καὶ συῶν τεμάχη ταριχηρὰ κυάμοις ἀλητοῖς συνεψόμενα, ὥσπερ καὶ τὸ ἐκ σκορόδων ἐπέμβαμμά τε καὶ σύνθεμα ἐξ ἄλλων χυμῶν δριμυσσόντων τὴν αἴσθησιν. ἐπεὶ δὲ καὶ τὰ σκῦλα διενείμαντο, οὐκ ἦν τις παρ' ἐκείνοις διαστολὴ ἐπίπλων καὶ σκευῶν βεβήλων τε καὶ ἁγίων. ἀλλ' ἐπ' ἴσης ἅπασιν εἰς τὰς σωματικὰς χρείας ἐκέχρηντο, θεοῦ καὶ Θέμιδος κατὰ μηδὲν ἐμπαζόμενοι. τὰ δὲ τοῦ Χριστοῦ καὶ τῶν ἁγίων P. 383
θεῖα εἰκάσματα εἰς ἕδρας καὶ ποδῶν θρανίδας παρῆγον. (6) ὡς δὲ καὶ κλήρους πόλεων καὶ χωρῶν ἤρξαντο βάλλειν, ἦν ἰδέσθαι καὶ θέσθαι ὅτι διὰ πλείστου τοῦ θαύματος ἀνδρῶν τυφομανῶν μὴ ξυμβλητὴν ἀπόνοιαν, εἴτ' οὖν παράνοιαν εἰπεῖν οἰκειότερον. ὡς γὰρ βασιλέων ἤδη βασιλεῖς καθεστῶτες καὶ τὸ περίγειον ἅπαν ἐν χερσὶν ἔχοντες, τοῖς μὲν Ῥωμαϊκοῖς σχοινίσμασιν ἀπογραφεῖς ἐπέστησαν, γνῶναι πρότερον τὰς ἐπετείους ἀποφορὰς θέλοντες, εἶθ' οὕτω κατὰ πάλους αὐτὰ μερίσασθαι, τὰς δὲ παρ' ἄλλοις ἔθνεσι καὶ βασιλεῦσι καρπουμένας ἀρχὰς καὶ ἐξουσίας ἐκ τοῦ αὐτίκα διείλοντο. ἥ τε οὖν ἐν πόλεσιν εὐδαίμων καὶ πρὸς τῷ Νείλῳ κειμένη B
Ἀλεξάνδρεια τῷ τε κλήρῳ ὑπέκειτο καὶ Λιβύη, καὶ Λιβύης τὰ ἐς Νομάδας καὶ Γάδειρα παρατείνοντα, Πάρθοι τε καὶ Πέρσαι, ἐπὶ δὲ Ἴβηρες ἑῷοι καὶ Ἀσσυρία γῆ καὶ Ὑρκανοί,

1. ἥτις ἦν κρέη χοίρων καὶ βοῶν εἰς τὰ κακάβια βάλλοντες καὶ κατακόπτοντες ἐταρίχευον, εἰσάγοντες καὶ ἀπὸ τῶν ἀλεσμένων ὀσπρίων, καθὼς καὶ τὴν σάλτζαν αὐτῶν ἐποιοῦσαν μετὰ σκόρδων καὶ ἄλλων εἰδῶν τῶν δριμυτέραν ποιούντων τὴν αἴσθησιν. B. 9. εἰς ἕδρας] εἰς ποδαρούλια καὶ σουπέδια κατεσκεύαζον B. 15. γνῶναι] ἵνα πρότερον γνωρίσωσι τὰ εἰσοδήματα τῶν πόλεων καὶ τῶν κατεπανοικίων B. 22. ὑρκάνιος A.

intinctus ex alliis et liquor ex aliis acribus humoribus confectus. post manubiarum partitionem sacra minime a profano distinguebantur, sed ex aequo corporis usibus utraque adhibebantur, sine ullo numinis et religionis respectu, adeo ut Christi et sanctorum divinis imaginibus pro sellis et scabellis uterentur. (6) Postquam provincias et urbes sortiri coeperunt, vecordiam, ne insaniam dicam, virorum superbia tumentium incomparabilem non sine summa admiratione cerneres. quasi enim iam reges regum effecti et orbem terrarum suis manibus complexi, in Romanas provincias descriptores miserunt, ut annuis reditibus in primis cognitis deinde eas sortito distribuerent. aliarum vero nationum principatus et regna statim diviserunt. sub sortem cecidit beata urbs Nilo adiacens Alexandria, Libya, ea quae a Libya usque ad Numidiam et Gades pertinent, item Parthi et Persae, Orientales Iberes, Assyria, Hyrcania, et quae ad Orientem maxi-

καὶ ὅσα οἱ πρὸς ἕω μέγιστοι ποταμοὶ τοῖς ὕδασι διειλήφασιν. ἀλλ' οὐδὲ τὰ πρὸς βορρᾶν νενευκότα κλίματα εἰάθη ἀκλήρωτα, ἀλλὰ κἀκεῖνα οἱ αὐτοὶ διενείμαντο. καὶ ὁ μὲν ὡς ἱπποτρόφους καὶ φόροις περιβριθεῖς ἃς ἐκληρώσατο πόλεις δι' ἐπαίνου ἐτίθετο καὶ τοῦ κλήρου ἑαυτὸν ἐμακάριζεν, ὁ δὲ ὡς κομώσας ἄλλοις ἀγαθοῖς θαυμάζων οὐκ ἔληγεν. οἱ δὲ καὶ περὶ κλήρου πόλεων ἤρισαν, καὶ ἀντέδοσαν ἄλλοις ἕτεροι καὶ ἀντέλαβον πόλεις καὶ ὅρια. τινὲς δὲ καὶ μάλα δόξαν ἀσπάσιον τὸ Ἰκόνιον εἰς κλῆρον εἰληφέναι ἠγωνίσαντο. καὶ πύλας C τῆς πόλεως καὶ τέμαχος τῆς ἁλύσεως, ἣ διαταθεῖσα συνεῖχε τὸν ναύσταθμον, τοῖς ἐν Συρίᾳ ὁμογενέσι μετὰ πλείστων πλοίων πεπόμφασι, καὶ διαφῆκαν ἀγγέλους ἁπανταχῇ τὴν τῆς πόλεως διατρανώσοντας ἅλωσιν. δεῆσαν δὲ καὶ βασιλέα χρισθῆναι, εἰς τὸν μέγιστον νεὼν παραγίνονται τῶν ὀπαδῶν τοῦ Χριστοῦ· ἐκεῖσε γὰρ συνερχόμενοι περὶ τῶν πρακτέων σφίσιν ἐβουλεύοντο. καὶ τὰ μὲν πρῶτα κατά τι πάτριον ἔθιμον κρατῆρας τέσσαρας στιχηδὸν ἐσκέπτοντο διαθέσθαι, ὧν εἷς τὴν ἀναίμακτον θυσίαν στέγειν ἤμελλε, καὶ οὕτως ἐνδοῦναι τοῖς θυηπόλοις ἐφ' ἑκάστῃ κλήσει τῶν εἰς ἀρχὴν ἐπι-

2. ἀκλήρωτα] ἀμοίραστα B. 10. τέμαχος] ἀπὸ τῆς ἁλύσεως κρέμασιν μίαν B. 17. κρατῆρας] ποιῆσαι πρὸς τὴν ποσότητα τῶν ψηφισάντων ἀνθρώπων εἰς βασιλέα, ποιῆσαι καὶ τοσούτους στατῆρας ἤγουν δισκοποτήρια, καὶ εἰς ἓν ἐκ τούτων τὴν θυσίαν ἐμβαλεῖν ἤτοι τὸν δεσποτικὸν ἄρτον, τὰ δὲ ἕτερα καταλεῖψαι εὔκαιρα, καὶ δοθῆναι αὐτὰ τοσούτοις ἱερεῦσι, εἶτα ἵνα ἔλθωσιν οἱ ψηφισθέντες, καὶ λάβῃ εἷς ἕκαστος ἀπὸ τῶν τοῦ ἱερέως χειρῶν τὰ ἅγιον ποτήριον, καὶ εἰς ὃ ἂν εὑρεθῇ τὸ δεσποτικὸν σῶμα, ἐκεῖνον εἰς τὴν ἀρχὴν δέξονται τὸν τὴν θείαν μερίδα εἰς τὰς χεῖρας αὐτοῦ δεξάμενον B.

mis fluminibus disterminantur. ac ne Septentrionales quidem regiones sunt praeteritae, sed eae quoque sortito distributae. alius suas urbes ut magnum vectigal pendentes et equis alendis aptas laudabat, et sortem suam extollebat; alius ut aliis bonis florentes mirari eas non desistebat; alii de sortitione urbium rixabantur; alii inter se urbes et fines permutabant; alii magnopere contendebant ut Iconio potirentur. portas vero urbis et catenae partem, quae ad navalia continenda extendebatur, suis in Syria popularibus cum plurimis navigiis miserunt, passim dimissis nuntiis, qui captam esse urbem vulgarent. iam cum imperator creandus esset, in aedem sanctorum apostolorum deliberandi ergo convertere; ac principio, patrio quodam ritu, pro numero candidatorum quatuor calices ordine collocare instituerunt, quorum unus incruentam victimam contineret, caeteris vacuis; eosque tradere totidem sacerdotibus, ut ad cuiusque

λεγέντων αἴρειν ἕνα τῶν σκύφων καὶ προσάγειν αὐτοῖς· ἐκεῖνος V. 315 δ' ἦν ὁ τῶν λοιπῶν εἰς τὴν ἀρχὴν προκριθησόμενος, ὁ καὶ λαχὼν τὸ ποτήριον τὸ τοῦ θείου σώματος καὶ αἵματος D τοῦ Χριστοῦ μέτοχον. δόξαν δὲ τῷ Βενετίας δουκὶ τῷ Δανδούλῳ εἰς ψῆφον ἀπολυθῆναι τὴν πρόβλησιν, ἐκλέγονται ψηφηφόροι πέντε μὲν ἐκ τοῦ τῶν Φραγκίσκων καὶ Λαμπάρδων γένους, οἱ παρ' ἐκείνοις ἄριστοι, ἐκ δὲ τῶν Βενετίκων ὁμοίως ἕτεροι πέντε. καὶ τῆς τῶν πλειόνων ψήφου κρατησάσης ὁ τῆς ἀρχῆς ἔπεσε κλῆρος πρὸς Βαλδουῖνον τὸν τῆς Φλάντρας κόμητα, πλὴν ὡς ᾔδετο παρὰ πᾶσι, κατὰ δόλον τε καὶ περίνοιαν τοῦ δουκὸς Βενετίας Δανδούλου. πηρὸς γὰρ ὢν οὗτος τὰς ὄψεις, καὶ τοῦ κλήρου κατὰ τοῦτο τῶν ἀρξόντων διαγραφείς, ἠβούλετο χειρίζειν τὴν βασιλείαν τὸν τὸ ἦθός τε ἱλαρώτατον καὶ μὴ τὸ φρονεῖν ἀρχικώτερον, τὸ δ' ἐν μείζονι παρ' ἐκείνῳ μᾶλλον σπουδῇ, καὶ τὴν ἰδίαν χώραν κληρούμενον P. 384 τῶν τῆς Βενετίας ὅρων διισταμένην κατὰ πολύ, ὡς εἴ ποτε διχονοήσειαν ἀλλήλοις βασιλεὺς καὶ Βενέτικοι, μὴ εἴη ἐκ τοῦ σχεδὸν βασιλεῖ δυνάμεις πλείους οἰκειακὰς μεταπέμπεσθαι ἢ γοῦν εὐμαρῶς εἰσιέναι τὰ Βενετίκων ὅρια καὶ ταῦθ' ὁπωσδὴ κατατρέχειν καὶ σίνεσθαι, ἃ δὴ πάντα ᾔδει πρὸς ἰσχύος ἔχοντα δρᾶν τὸν Βονιφάτιον μαρκέσιον ἐκ Λαμπαρδίας τὴν γένεσιν ἔχοντα· Λαμπαρδίαν δὲ οἰκεῖσθαι παράλιον, καὶ ῥᾳδίας εἶναι τὰς ἐκεῖθεν εἰς τὴν Ῥωμαίων ἐκ-

6. φραντζίσκων B, omissis καὶ Λαμπάρδων. 11. πηρὸς] μὴ βλέπων τοῖς ὀφθαλμοῖς καλὰ B. 12. τοῦτο] τούτου PA. 21. λουμπαρδίας B.

principis nomen unum tollerent et eis redderent. imperium vero penes eum futurum erat, qui eum calicem accepisset, in quo divinum corpus et sanguis Christi esset. deinde cum Veneto duci Dandulo designationem suffragiis committere visum esset, ex Francis et Longobardis quinque optimatibus et ex Venetis totidem iudicibus lectis, plurium suffragiis imperii sors Balduino Flandriae comiti obtigit. verum ubique celebre est dolo et solertia Danduli id esse factum. qui cum ob caecitatem numero candidatorum excluderetur, imperium penes eum esse voluit qui hilarioribus esset moribus et ingenio minus ambitioso, quanquam id spectavit potius, ut privatus imperatoris designati principatus quam remotissimus esset a ditione Venetorum, ne si qua controversia cum illo incidisset, plures copias subito ex suo territorio accersere, aut Venetos fines commode invadere aut incursionibus vexare posset. quae omnia in expedito esse Bonifacio marchioni ex Longobardia originem trahenti norat, quae maritima esset, unde facile in Romanas provincias traiiceretur et ob propinquitatem magnae clades Venetis quoque importari possent. his igitur

πλοίας, καὶ Βενετίαν δὲ ἀγχοροῦσαν πολλὰ ἂν κατ' εὐπέτει-
B αν Βενετίκοις κακουργεῖν ἀποτρόπαια. ὑπ' ἐννοιῶν τοίνυν μὴ πάντῃ ἀλογίστων κεκινημένος ὁ Δάνδουλος, καὶ τὰ πολλοῖς τῶν ὁρώντων δυστέκμαρτα ταῖς τοῦ νοῦ καταλαμβάνων ὁράσεσιν ὁ πηρὸς ἐκεῖνος τὰς κόρας τοῦ σώματος, παρεκρούσατο μὲν τὸν Βονιφάτιον μαρκέσιον, τῶν δὲ Βενετίκων καὶ τῶν Φραγκίσκων εἰς μίαν συνδραμόντων γνώμην τὸν Βαλδουῖνον ἀνθείλοντο, εἰδὼς ἐκ τῶν κάτω Γαλλιῶν ὁρμώμενον, Γαλλιῶν δὲ καὶ Βενετίας ἐς τοσοῦτον τοὺς ὅρους ἀφεστάναι ἐς ὅσον Βενετία Ῥωμαίων ἀποσχοινίζεται, καὶ ἅμα οἱ Βαλδουῖνον ὅλῃ ψυχῇ προσκεχηνότα καὶ ἀσμένως ὡς πατρὶ προσφερόμε-
C νον, μήτε μὴν ὑπὸ χρονίας γυμνασίας ἐντακέντα πράγμασιν, ὁποῖον ἠπίστατο τὸν μαρκέσιον· οὐ γάρ πω Βαλδουῖνος τριάκοντα καὶ δύο ἔτη γεγένηται. ἦν δὲ καὶ ἄλλως ὁ ἀνὴρ οὗτος εὐλαβὴς τὰ πρὸς θεόν, ὡς ἐλέγετο, καὶ τὴν δίαιταν ἐγκρατής, γυναικὶ δὲ μηδὲ μέχρι βλέμματος προσεσχηκὼς ἐφ' ὅσον χρόνον τῆς οἰκείας γαμετῆς ἀπεφοίτησεν. ἀλλὰ καὶ εἰς τοὺς ὕμνους ἐσχόλαζε τοῦ θεοῦ, καὶ τοὺς ἐν ἀνάγκαις ἐκυβέρνα, καὶ ἀκούειν τοὺς πρὸς αὐτὸν ἀντιλέγοντας κατεδέχετο. τὸ δὲ μέγιστον, δὶς εἶχεν ἑκάστης ἑβδομάδος τὸν ἑσπέρας ἐπεμβοῶντα μηδένα τῶν οἰκείων ἀρχείων ἐντὸς κατευνάζεσθαι μὴ νομίμῳ γυναικὶ πλησιάζοντα.

5. ὁ πηρὸς] ὁ τοὺς τοῦ σώματος ὀφθαλμοὺς τυφλός B. 7. φραντζίσκων B. 10. Βενετία] βρεττανία A. καὶ ἅμα] ἐγίνωσκε τὸν βαλδουῖνον ὅτι δι' ὅλου ὑποτάσσεσθαι αὐτῷ ἔμελλε B. 14. ἄλλως] ἀλλοτρόπως B. 17. ἀλλὰ καὶ τὸν εἰς θεὸν ὑμνητήριον καὶ πρὸς πᾶσαν ἀνάγκην ἀρέμβαστος. τὸ δὲ μέγιστον δεύτερον ἐγυβέντιζε μὴ τολμῆσαι τινὰ — B. 21. οἰκείων om A.

rationibus haud sane absurdis impulsus Dandulus, et multa etiam videntibus obscura lumine ingenii perspiciens caecus ille, Bonifacium marchionem repulit, praelato illi de Francorum et Venetorum sententia Balduino, quem ex inferioribus Galliis ortum esse, Galliarum autem et Venetiarum limites tantum distare norat quantum Venetiae a Romanis provinciis disterminentur. eo accedebat quod Balduinus toto pectore illi studebat et eum ut patrem colebat, nec diuturno rerum usu pollebat ut marchio. nondum enim Balduinus annum aetatis trigesimum secundum excesserat; et alioqui vir erat pius et modestus, ne impudico quidem aspectu mulierem intuitus, quandiu a sua coniuge abfuerat. vacabat divinis laudibus, necessitatibus conflictantes sublevabat, suae sententiae adversantes aequo animo audiebat. et quod maximum est, bis qualibet hebdomade vesperi proclamari iubebat ne quis in suo palatio cubaret, qui alienam mulierem attigisset

7. Βασιλεύσας τοίνυν ὁ Βαλδουῖνος ἐς μέρη ἔξεισι τὰ P. 386 ἑσπέρια, οὐχ ὡς αὐτὰ χειρωσόμενος (πάντα γὰρ οἱ ἁλώσιμα V. 316 ᾤετο, „πᾷ βῶ καὶ κινήσω τὰν γᾶν τῷ δόρατι" μικροῦ κομπάζων καὶ λίαν ἀγερώχως ὑπὲρ Εὐκλείδην φθεγγόμενος) ἀλλ' ὡς διὰ φιλίων χώρων παρελευσόμενος καὶ βασιλεὺς Ῥωμαίων ἀναγορευθησόμενος πρὸς παντός, οὗ χάριν οὐδὲ κομιδῆς οἱασοῦν κατηξιώκει τινὰς τῶν Ῥωμαίων ἐκ τοῦ στρατιωτικοῦ τε καὶ πολιτικοῦ συντάγματος, ἀλλ' ἁπαξάπαντας ἀπεπέμψατο. τοῦτο δὲ καὶ τοῖς ἄλλοις τοῦ στρατιωτικοῦ ἡγεμόσι καὶ κόμησι δέδοκτο· τὴν γὰρ ἀνδρείαν τῶν συννόμων ἀρετῶν B ἀφορίζοντες, καὶ ταύτην ἑαυτοῖς οἰκειοῦντες ὡς συγγενὲς καὶ V. 317 σύντροφον ἐπιτήδευμα, οὐδὲν τῶν ἄλλων ἐθνῶν εἰς Ἄρεος ἔργα παρασυμβεβλῆσθαί σφισιν ἠνείχοντο. ἀλλ' οὐδέ τις τῶν Χαρίτων ἢ τῶν Μουσῶν παρὰ τοῖς βαρβάροις τούτοις ἐπεξενίζετο· καὶ παρὰ τοῦτο οἶμαι τὴν φύσιν ἦσαν ἀνήμεροι καὶ τὸν χόλον εἶχον τοῦ λόγου προτρέχοντα. διελθὼν τοίνυν τὰς Θρᾳκῴας πόλεις ὁ Βαλδουῖνος τῇ μὲν Ὀρεστιάδι φρουρὰν ἐγκατέλεξεν, ὁμοίως δὲ καὶ κατὰ τὸ Διδυμότοιχον καὶ τὴν ἐκ Φιλίππου παρώνυμον πόλιν διεπράξατο. ὡς δ' εἰς Ξάνθειαν ἵκετο, λόχον οἱ ἐκεῖσε ὑποκαθίσαντες Σεναχηρίμ τινος ἐξηγουμένου τῷ στρατεύματι λάθρᾳ ἐπέθεντο· μικρὸν δέ τι φανέντες ἀπεκρύψαντο, ἐπανιόντες δείλανδροι ὅθεν ἐξῄεσαν C

2. πάντα γὰρ αὐτοῦ εἶναι ὑπελάμβανεν B. 4. ὑπὲρ Εὐκλείδην om AB: oportebat ὑπὲρ Ἀρχιμήδην. 17. Ὀρεστιάδι] εἰς τὴν ἀδριανούπολιν B. 18. ὁμοίως δὲ om A. διδυμότερον A. 20. σεναχιρεὶμ A.

7. Imperator designatus Balduinus in partes Occidentales abit, non ut eas subigat (putabat enim nihil sibi posse obsistere, ac tantum non insolenter atque intempestive iactabat „quo eam ut terram hasta quatiam?"), sed ut amicas provincias peragrans ab omnibus Romanorum imperator salutaretur. qua de causa nullam Romanorum sive militaris sive politici ordinis rationem habuit, sed eos omnes repudiavit, quod idem caeteris quoque comitibus et ducibus exercitus probabatur. nam cum fortitudinem a cognatis virtutibus seiunctam sibi ut et natura insitam et usu confirmatam vendicarent, nullas alias gentes in re bellica sibi vel adiungi vel conferri patiebantur; et quia nullus Musis, nullus Gratiis apud istos barbaros locus relinquebatur, immanibus utique erant ingeniis et bilem ratione promtiorem habebant. sed Balduinus Thraciis urbibus peragratis Orestiadi Didymoticho et Philippopoli praesidia imposuit. ubi Xanthiam pervenit, provinciales Sennacheribo quodam duce insidias illius exercitui collocarunt; qui cum se paulisper ostendissent, rursus abdi-

θρασυκάρδιοι. ὁ δὲ ἀμαχεὶ ἐκ τοῦδε προυχώρει πρὸς τὴν Θεσσαλονικέων μητρόπολιν. ἐφείπετο δέ οἱ ὁ Βονιφάτιος μαρκέσιος, τὴν ἐκ Παιόνων Μαρίαν ἐπαγόμενος, Ἰσαακίῳ μὲν τῷ ἐξ Ἀγγέλων ἁρμοσθεῖσαν πρότερον, μετὰ δὲ τὴν ἐκείνου ἐκβίωσιν καὶ τὴν τῆς πόλεως ἅλωσιν συνευνασθεῖσαν αὐτῷ κατὰ νόμους. ἐπεὶ δὲ ὁ μὲν Βαλδουῖνος αὐλίζοιτο κατὰ τὴν Μοσυνόπολιν, ὁ δὲ μαρκέσιος πύθοιτο παρὰ πλείστων μηδέ ποτε προθέσθαι τὸν Βαλδουῖνον ὑπεκστῆναί οἱ τῆς λογίμης Θεσσαλονίκης καθάπερ δὴ καὶ συνέθετο, ἀλλὰ κατὰ τοῦτο προϊέναι καὶ συντόνου ἔχεσθαι τῆς πορείας ὡς τὴν D πόλιν εἰσιὼν ἰδιώσαιτο, αὖος ἦν ἐφ' ἱκανόν, ὥσπερ ὑπὸ κεραυνοῦ βληθείς. οὐκοῦν ὑπ' ἀθυμίας φανεὶς κατακώχιμος παλίμπους φέρεται, Γραικῶν ἀπατηλότερον καὶ τὸ ἦθος σκαμβώδη καὶ ἄπιστον καὶ παλίμβολον ὑπὲρ ὄστρακον καὶ κύβον τὸν Βαλδουῖνον ἀποκαλῶν. ἀμέλει τοι καὶ καταλαβὼν τὸ Διδυμότοιχον καὶ παντοίως αὐτὸ κρατυνάμενος, ἐπὶ δὲ τὰς Θρᾳκίας πόλεις ἀναστατῶν πλὴν τῆς Ὀρεστιάδος (ταύτην γὰρ ἀντιπαρήρχετο πλεῖστον ὅσον τὸ ἐκ Βαλδουίνου στέγουσαν ὁπλομάχον) φόρους συνέταττε καὶ Ῥωμαίους συνήγειρεν, P. 387 εἴ τι φρικῶδες ἀνθρώποις καὶ θειότατον ὄνομα φέρων διὰ γλώττης, καὶ μαρτυρόμενος ἀπείπασθαι μὲν τὰς μεθ' ὁμοφύλων σπονδὰς καὶ τὴν πρότερον σύμπνοιαν, Ῥωμαίοις δὲ προσχωρῆσαι λαμπρῶς. ταῦτα λέγων καὶ διομνύμενος προσεμη-

3. ἐκ Παιόνων] ἐξ οὐγγρίας B. 7. μωσυνούπολιν A. 12. κακώχιμος A corr. 14. σκαμβώδη καὶ om A. παλίμβολον] ἄστατον ὡς ζάριν B.

derunt, timidi eo reversi unde feroces prodierant. ex eo citra pugnam versus Thessalonicam metropolim abiit, Bonifacio marchione comitante, qui Mariam Pannoniam secum ducebat, Isaacio Angelo pridem nuptam, sed post illius obitum et urbem captam legitimo sibi matrimonio iunctam. caeterum cum ad Mosynopolim ventum esset, et ex plurimis audivisset nunquam in animo habuisse Balduinum sibi inclita Thessalonica, ut convenisset, cedere, sed ea de causa id iter suscepisse et celerius ire, ut urbem illam occuparet, longo tempore veluti attonitus stetit. deinde prae animi aegritudine convertit iter: Balduinum fallaciorem Graecis, perfidum, levem, tessera mutabiliorem vocat, Didymotichum occupat. eoque omnibus modis firmato Thracias urbes evertit, Orestiade excepta, quam maximo praesidio a Balduino firmatam praeteriit. vectigalia ordinat, Romanos colligit, sanctissimo iureiurando dato, et dei nomen subinde testatus se popularium suorum societate relicta prorsus ad Romanos defecisse. praeter deierationes istas aliud etiam machinatus, ut verbis

χανήσατό τι καὶ ἕτερον ποιοῦν τὰ ῥήματα εὐπαράδεκτα· τὸν γὰρ πρωτότοκον υἱέα τῆς συζευχθείσης αὐτῷ Μαρίας (κλῆσις τουτωῒ Μανουήλ) βασιλέα Ῥωμαίων ἀνηγορεύκει, ὑπεκστὰς ἐκείνῳ καὶ σχήματος καὶ ὀνόματος καὶ τὸ προσωπεῖον τοῦτο καὶ πρόσχημα κατὰ στίφη τοὺς Ῥωμαίους ἀγήοχε. καὶ τοιούτοις μὲν ἐνεπόλει σοφίσμασιν ὁ μαρκέσιος, μὴ πρὸς ἀλήθειαν ὅλως δρωμένοις, ὡς τὰ μετέπειτα καθυπέφηνε· τοῦ δέ γε Βαλδουίνου τῇ Θεσσαλονίκῃ ἐγγίσαντος ἅπας ἐξερρύησαν λεώς, B καὶ μετ' εὐσήμων βοῶν σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν περιχαρῶς ἐνδιδόασιν. ἱκέτευσαν μέντοι μήτ' αὐτὸν Βαλδουῖνον ἐπιβῆναι τῆς πόλεως μήτε μὴν εἴσω τὸ στράτευμα συγχωρῆσαι παρελθεῖν· δεδιέναι γὰρ μὴ τὰ ἐκείνου παραγκωνισάμενον ἐντάλματα τὴν πόλιν σκυλεύσειεν, οἷα μηδ' ὑφ' ἕνα ταττόμενον ἡγεμόνα ἀλλ' ἐκ πολλῶν ἀγηγερμένον φυλαρχιῶν καὶ πλείστοις ὑποκείμενον ἄρχουσιν. ὁ Βαλδουῖνος τοίνυν τοῦτο μὲν ταῖς τῶν αἰτήσεων εὐλόγοις καθυπαχθείς, τοῦτο δὲ βάλλουσαν ἔχων μὴ ἀγαθὰ διδοῦσαν φαντάζεσθαι τὴν μαρκεσίου μετ' ὀργῆς ὑποχώρησιν, ἐν πολλοῖς δὲ καὶ κεντοῦντα τὴν ἀκοὴν τὰ ὑπ' ἐκείνου γινόμενα, τοῖς Θεσσαλο- C νικεῦσι προσέσχε καὶ γράμμα σφίσιν ἐρυθρόγραφον ἐνεχείρισε, πᾶσι τοῖς ἐθίμοις τῇ πόλει τὸ ἔμπεδον χαριζόμενον. ἀμέλει καὶ πρὸς ἡμέρας ἐναυλισάμενος ἔξωθεν, καὶ φιλοφρονηθεὶς τὰ εἰκότα, ἐπάνεισιν αὖθις εἰς τὸ Βυζάντιον· ἤδη γὰρ καὶ ἀγγελίαν τοῦτ' αὐτὸ ἐπισκήπτουσαν δεξάμενος ἦν πρὸς V. 318

6. σοφίσμασιν ὁ om A. 14. ἀλλ' ἐκ] διὰ τὸ εἶναι συνάγματα ἐκ διαφόρων γενεῶν B. 18. τὴν τοῦ μ. A.

suis fidem astrueret, primogenitum coniugis suae Mariae filium Manuelem Romanorum imperatorem dixit, eique et habitu et titulo cessit. quo commento Romanos catervatim ad se pellexit, quamvis ea non prorsus ex animo faceret, ut post eventus docuit. cum autem Balduinus non procul a Thessalonica abesset, omnis populus ei occurrit, et clara voce urbem et sese hilariter dedidit: tamen oravit ne vel ipse urbem intraret vel exercitum ingredi pateretur, qui cum non uni duci pareret et ex variis gentibus constaret, vereri se ne illius edicto spreto milites urbem spoliarent. quare Balduinus partim aequitate postulationis adductus, partim ex irati marchionis discessu nihil boni augurans, partim ob facta illius quae fama afferebat anxius, Thessalonicensibus annuit, et rubricatis litteris omnia urbis instituta et consuetudines confirmavit; et aliquot diebus extra moenia honorifice, ut decuit, habitus Byzantium revertitur. iam enim etiam Venetiarum ducis Danduli, et aliorum comitum qui in urbe per-

τε τοῦ δουκὸς Βενετίας Δανδούλου καὶ ὅσοι τῶν κομήτων τῇ Κωνσταντινουπόλει παρέμενον. ὡς ἐπανῆκε τοίνυν ὁ Βαλδουῖνος, μετάπεμπτος γίνεται καὶ μαρκέσιος, Ἰοφρὲ τινος ἐπιδεδημηκότος αὐτῷ, μέγα παρὰ τοῖς τῶν Λατίνων δυναμένου στρατεύμασι (μαρισκάλκος ἦν τἀξίωμα ὁ ἀνήρ, δηλοῖ δὲ καθ' Ἕλληνας ἡ φωνὴ τὸν πρωτοστράτορα), καὶ πίστεις
D δόντος ὡς οὐδέν τι παραγενόμενος πείσεται ἀηδές. ἀπαντήσας καὶ τῷ Βαλδουίνῳ σπεισάμενος ἀφίσταται μὲν τοῦ Διδυμοτοίχου, ἐς δὲ Θεσσαλονίκην κάτεισι, καὶ παρὰ πάντων ἀμαχεὶ παρεισδεχθεὶς τὴν πόλιν εἴσεισι, τὸν καιρὸν ἐν τῷ αὐτίκα καθυποδὺς καὶ τὸ τοῦ τρόπου σκαιῶδές τε καὶ στρεβλόχειλον ἐπικρυψάμενος. πλὴν οὐκ ἐπὶ πολὺ τοῖς δεδογμένοις ἐμμείνας, τῇ δὲ γαλῇ παρομοιωθεὶς ἣν διήλεγξε τὸ στέαρ παρεισπεσόν, ἐς χρήματα τοὺς Θεσσαλονικεῖς ἐζημίωσεν, εὐθαλεῖς τὰς ὑπάρξεις εἶναι μαθών. εἶτα καὶ τὰς τῶν οἰκήσεων καλλίστας ἐκ τῶν ἐχόντων ἀφελόμενος τοῖς ἐκ τῆς ἱππάδος ἐκείνῳ διαδέδωκεν εἰς ἐνοίκησιν. ἐκ δὲ τούτου τὴν σύλλεκτρον Μαρίαν καὶ μοῖραν τῆς στρατιᾶς ἐκεῖσε καταλιπὼν ἔξεισιν αὐτός, καὶ τὰς πόλεις μέτεισιν, ὅσαι τε περὶ Σέρρας καθυπτιάζουσι καὶ τοῖς ὅροις τῆς Βερροίας προσήνωνται, καὶ ὅσαι πρὸς τὰ
P. 388 Τέμπη τῶν Θετταλῶν παρατείνουσι. κρατήσας οὖν τουτωνὶ παρὰ δόξαν ἔγνω καὶ Λαρίσσης αὐτῆς ἐπιβῆναι καὶ δι' Ἑλλάδος ἐλάσαι καὶ χειρώσασθαι τὴν τοῦ Πέλοπος, κρίνων ἀεὶ

5. μαρισκάλδος APW: quod reposui, dedit B. 10. προσδεχθεὶς A. 14. εὐθαλεῖς] ὅσους ἔμαθε πλουσίους εἶναι καὶ γενικὰ ὑποστατικὰ πολλὰ ἔχοντας B.

manserant, litteris revocabatur. Balduino reverso marchio quoque per Iofredum quendam magnae auctoritatis apud Latinas copias virum, quem illi mariscaldum, Graeci protostratorem vocant, revocatur; et fide impunitatis accepta in urbem profectus, ac reconciliata Balduini gratia, Didymoticho cedit et Thessalonicam descendit; ubi ab omnibus citra dimicationem susceptus urbem ingreditur, in praesentia tempori serviens, ingenii malitia et animo bilingui dissimulato. neque tamen diutius institutum tenere potuit: sed ut mustelam sebum prodidit, ita ipse Thessalonicenses, cognitis eorum opibus, pecunia multavit. deinde pulcherrimas aedes dominis ereptas equitibus suis incolendas tradidit; Mariaque coniuge et parte exercitus ibi relicta, urbibus quae Serris et Berrhoeae finitimae sunt et ad Tempe Thessalica pertinent, praeter opinionem potitus, semper ea quae teneret exigua ratus, et ob Romanorum simplicitatem ulterius progredi cupiens, etiam Larissam invadere et per Graeciam transitu facto Peloponnesum occupare statuit. sequebantur eum Romani quoque non-

τὰ εἰλημμένα μικρὰ καὶ τοῖς ἔμπροσθεν προβαίνειν ἐρῶν διὰ τὴν τῶν Ῥωμαίων ἀφέλειαν. συνείποντο δέ οἱ καὶ τῶν Ῥωμαίων τινές, καὶ μάλιστα τῶν εὖ γεγονότων, παλεύοντες τὰς χώρας καὶ τὰς τρίβους διομαλίζοντες, κατὰ μὲν ἀπάτην καὶ δόλον τῷ πρωτοτόκῳ τῆς Μαρίας υἱῷ (τοῦτον γὰρ βασιλικῶς ἐσταλμένον καὶ μετ' εὐφήμων φωνῶν προπεμπόμενον, ὥσπερ οἱ Θρᾷκες πρότερον, οὕτω καὶ Μακεδόνες τότε καὶ Θετταλοί, καὶ ὅσα ἐς Ἑλλάδα καθήκουσιν, ἀσμένως ἐδέχοντο), πρὸς ἀληθῆ πρᾶξιν μαρκεσίῳ καὶ Λατίνοις προοδευταὶ καὶ τῶν πρακτέων εἰσηγηταὶ καὶ τῆς πατρίδος προαγωγοὶ γινόμενοι. B καὶ μαρκέσιος μὲν ἐθνῶν οὕτω μεγίστων καὶ πόλεων κρατίστων ἐγκρατὴς ἀμαχεὶ διεδείκνυτο, καὶ πολλῷ πλειόνων τοῦ παρ' ἐκείνῳ στρατεύματος, εἰ πόλιν καὶ ἄνδρα τῷ ἀριθμῷ τις ὑπέβαλλεν· ὁ δέ γε Βαλδουῖνος εἰς τὸ Βυζάντιον ἀφικόμενος ἔγνω μηδ' αὐτὸς ἡσυχῇ καθῆσθαι μηδ' ἀπόμαχον εἰκῇ τὴν ὑπὸ οἷ τεταγμένην οἰκουρεῖν στρατιάν, ἀλλ' ἐς Ἀσιαν ταύτην διαβιβάσαι καὶ τῶν ἐκεῖ πειράσασθαι πόλεων, ἐξερεθισθεὶς εἰς τόδε τὸ ἔργον πρός τε τῶν Ἑλλησποντίων Λατίνων, ὧν ἡ πόλις Πηγαὶ κατωνόμασται, καὶ τῶν Τρωϊκῶν Ἀρμενίων· οὗτοι γὰρ οὐδὲ βραχύ τι γοῦν καθυφῆκαν τὸν Βαλδουῖνον ἐνάγοντες καὶ τοὺς ἄλλους κόμητας ἐξερεθίζοντες ὡς εἰς προκείμενον ἕρμαιον διαβῆναι τὴν τῶν ἑῴων C πόλεων χείρωσιν.

8. πρὸς δ' ἀληθῆ? 12. καὶ πολλῷ πλέονα στρατὸν συνῆξε ῥωμαϊκὸν ἢ ὅσον ἐκεῖνος εἶχε B. 14. βαρδουῖνος B. 22. ὡς εἰς] ὡς μηδένα τὸν ἀντιπαραταξόμενον ἔχοντες B.

nulli, iique nobiles in primis, qui provincias allicerent et vias complanarent. fraude quidem et dolo Mariae primogenito filio (hunc enim habitu imperatorio et cum faustis acclamationibus deductum, ut prius Thraces, ita tum Macedones et Thessali et Graeciae finitimae partes cupide accipiebant), re vera Latinis viam monstrabant, et quid agendum esset praescribebant, patriae proditores. ita marchio gentibus maximis et urbibus potentissimis longe pluribus quam pro numero copiarum eius, si urbium et virorum numerum comparetur, citra pugnam potiebantur. Balduinus quoque Byzantium cum venisset, nec ipse desidendum sibi esse aut suum exercitum in otio continendum, sed in Asiam traiiciendum et urbes illas oppugnandas censuit, Latinorum potissimum, qui Hellesponti urbem Pegas incolunt, et Troianorum Armeniorum impulsu, qui eum et caeteros comites ut ad Orientales urbes tanquam paratam praedam occupandas proficiscerentur incitare nunquam desistebant.

8. *Περὶ μῆνα τοίνυν τὸν φυλλοχόον τῆς πόλεως ἔξεισιν Ἐρρῆς ὁ τοῦ Βαλδουίνου κασίγνητος καὶ Πέτρος ὁ ἐκ Πλάντζης ὁρμώμενος, ἀνὴρ ἡρωϊκὸς τὴν ἰσχύν, καὶ πρὸς τῇ παράλῳ Καλλιπόλει γενόμενοι ἐς ἕω διαπλοΐζονται. καὶ ὁ μὲν Ἐρρῆς συμμίξας ἐν Τρωΐᾳ τοῖς Ἀρμενίοις, καὶ συμμαχίδας ἴλας ἐκεῖθεν ἐπαμησάμενος, ἔκειρε τὰς πόλεις καὶ διετίθει κακῶς, ὅσαι μὴ ἐκείνῳ συνέβαινον, κρατήσας δὲ καὶ τῆς Ἴδης τοῦ ὄρους καὶ διὰ τῶν ταύτης στενῶν παρελθὼν εἰς τὸ Ἀτραμύττιον προκεχώρηκεν· ὁ δ' ἐκ Πλάντζης Πέτρος ἄρας ἐκ τοῦ τῶν Πηγῶν πολίσματος τὴν ἐς τὸ Λοπάδιον στέλλεται. ἀπήντων δὲ αὐτῷ μετὰ πλείστων Ῥωμαϊκῶν δυνάμεων*
D *περὶ τὸ λεγόμενον Ποιμανινὸν οἱ περὶ τὸν Λάσκαριν Θεόδωρον. οἱ δὲ τὴν κατ' αὐτῶν ἐμβολὴν τῶν Λατίνων οὐκ ἐνεγ-*
V. 319 *κόντες, οἱ μὲν ἐς φυγὴν ὁρῶσιν, ὁ δὲ Πέτρος ἐς τὸ Λοπάδιον ἄπεισι, μηδένα ἔχων τὸν εἰς χεῖρας ἰόντα, ἀλλ' εὑρίσκων πάντας μετὰ σταυρικῶν σημείων καὶ τῶν θείων λογίων δεξιουμένους αὐτόν, οἳ καὶ κακῶν ἀπαθεῖς διέμειναν. τοῦτο δὲ καὶ ταῖς λοιπαῖς συνέβαινε πόλεσιν, ὅσαι μὴ χωρεῖν διὰ μάχης τοῖς Λατίνοις ἐγνώκεισαν, εἰ καὶ πονηρὸν χρῆμα εἰς θεραπείαν Λατῖνος, φωνὴ ἀσύμφωνος Ἕλλησι, γνώμη φιλοχρήματος, ὀφθαλμὸς ἀπαιδαγώγητος, γαστὴρ ἀκόρεστος, ὀργίλος καὶ δριμεῖα ψυχή, καὶ χεὶρ διψῶσα τὸ ξίφος διὰ παν-*

1. *περὶ μῆνα] κατὰ γοῦν τὸν ὀκτώβριον μῆνα ἐξέρχεται ὁ βαλδουβίνου ἀδελφὸς ὁ ἐρῆς* B. 2. *πράτζης* B. 5. *τροία* A. 9. *πράτζης* B. 12. *πημανινὸν* B.

8. Igitur Octobri mense Erricus Balduini frater et Petrus Plancius, vir heroico robore, Callipoli in Orientem traiiciunt. ac Erricus auxiliaribus Armeniorum copiis Troiae auctus, urbes quae imperium recusabant male tractabat et vastabat, et victor per Idae montis angustias Adramyttium usque processit. Petro autem Plancio Pegis Lopadium proficiscenti Theodorus Lascaris circa Poemaninum cum maximis Romanis copiis occurrit. quae cum Latinorum congressum non ferentes fugae se mandassent, ille, quia nemo erat qui resisteret, sed ab omnibus cum crucibus et sacris evangeliis suscipiebatur, Lopadium abit et supplicibus parcit. eandem clementiam caeterae quoque urbes quae armis abstinuerunt sunt expertae, quamvis difficile sit Latinum voce a Graecis dissentientem, avaro ingenio, oculo impudenti, ventre insatiabili, animo iracundo et acerbo, manu perpetuo ensem quaerenti, lenire obsequiis. caeterum Prusaensium quoque periculum facturi Latini, qui commeatu ad diuturnam obsidionem ferendam praeparato locique situ freti (nam Prusa tumu-

τός. πεῖραν δὲ καὶ τῶν ἐν τῇ πόλει τῇ Προύσῃ λαβεῖν οἱ Λατῖνοι θέλοντες καὶ γνῶναι πρὸς οἷς εἰσίν, ἐπεὶ μηδὲ προσ- P.389 εῖχόν σφισι Προυσαῖοι, ἀλλὰ σῖτα παρεσκευακότες διαρκῆ πρὸς πολιορκίαν χρονίαν καὶ τῇ θέσει τοῦ τόπου πιστεύοντες μὴ ἄν ποτε βίᾳ ἁλῶναι, ὅτι καὶ ἐπὶ γηλόφου ᾤκισται Προῦσα καὶ τεῖχος ὀχυρὸν περιβέβληται, ἄραντες ἐκ Λοπαδίου τῇ Προύσῃ προσίασι, καὶ τὸ μεσημβρινὸν τεῖχος διειληφότες, καθὸ τὸ μὲν ὄρος ὁ Ὄλυμπος ἀναχωρεῖ τι βραχὺ τῆς πόλεως, ὁ δὲ πετρώδης λόφος ὁ τὴν πόλιν διαλαμβάνων μεθίησιν ἐκεῖσε τὴν ὅλην τοῦ χώρου διάζωσιν, ἐνέκειντο τοὺς ἔνδον αἰτούμενοι τῇ πόλει σφᾶς εἰσδέξασθαι, ὡς οὕτω τῶν πρὸς βουλῆς ἐπιτευξόμενοι, ὅπερ ἀνάγκη μὴ εὑρεῖν ὕστερον, ἡνίκα τὴν μὲν πόλιν ὡς εἰς χείρωσιν αὐτοὶ περιέλθοιεν, τὰ δὲ τείχη B ταῖς ἑλεπόλεσι τύπτοιντο. μηδὲν δὲ φρονούντων πρὸς ταῦτα ἐνδόσιμον τῶν ἐντός, ἐνίων δὲ καὶ θαρρησάντων τὴν ἔξοδον καὶ πολλοὺς τῶν ἐπισήμων βαλόντων βέλεσι καὶ καταβαλόντων, αὐτίκα, ὡς οὐχ αἱρετέον ἐδόκει τὸ τεῖχος, καὶ μάλιστα τοῖς ἐξ ἐφόδου προσβάλλουσιν, ἐκεῖθεν μεθίστανται. οἱ δὲ Προυσαῖοι πρὸς τὴν τῶν Λατίνων ἄπαρσιν ἔτι μᾶλλον πλησθέντες φρονήματος κατὰ πλείους ἐπέκειντο. τὰ δ' αὐτὰ ἔδρων καὶ οἱ τῶν ὑπερδεξίων ἐλάβοντο, δι' ὧν τὸ πολέμιον

1. πεῖραν] θέλοντες δὲ καὶ τοὺς προυσαεῖς δοκιμάσαι οἱ Λατῖνοι καὶ γνωρίσαι πρὸς τίνας κρατοῦνται, ἐπεὶ οὐδὲ ὑποταγῆναι ἤθελον τοῖς φράγγοις, ἀλλὰ τὸ αὐτῶν κάστρον γεμίσαντες ἔκ τε σιταρίου καὶ ἄλλων τῶν πρὸς χρείαν αὐτοῖς βρωσίμων πρὸς πόλεμον ἡτοιμάζοντο, καὶ οὐδὲν αὐτοῖς ὑποκῦψαι ἔλεγον, κἂν εἴ τι καὶ γένηται, ὅτι καὶ τὸ κάστρον αὐτῶν εἰς ὑψηλὸν τόπον κεῖται καὶ τείχη στερεὰ ἔχει, ἀπάραντες γοῦν ἀπὸ — B. 3. aut abundat ἀλλὰ aut ex B supplendum. 6. ἐχυρὸν A. 12. ἐπιτευξομένων? 17. αἱρετὸν?

lo imposita est et firmis circumdata moenibus), et se inexpugnabiles esse rati, non cedebant. Lopadio relicto eam urbem iuxta moenia, qua mons Olympus paululum ab ea reflectitur et saxosus tumulus qui eam ambit interrumpitur, obsident, postulantes ut urbe recipiantur. ita enim quae velint impetraturos: sin urbem oppugnare et arietes murum percutere coeperint, aliam rationem fore. sed cum cives non modo a deditione abhorrerent, sed quidam etiam in aciem egredi ausi multos nobiles sagittis ut prostravissent, statim ut non expugnari posse munitio, primo praesertim impetu videbatur, inde recedunt. Prusaei vero ad hostium discessum auctis animis, maioribus copiis Latinos a tergo urgebant. idem et alii faciebant, montanis occupatis, per quae hostibus transeundum erat. neque pau-

ἵετο. οὐ βραχεῖς δὲ καὶ ἀποστάντες Λατίνων ἴσα τοῖς μὴ δεξαμένοις Λατίνους κατὰ Λατίνων ὡπλίσαντο, καὶ πολλοὺς C αὐτῶν ἀπέκτειναν. ἦσαν δὲ καὶ οὕτω τὰ Λατίνων αὖθις ἐπικρατέστερα, καὶ σφαγαὶ προύβησαν συχναὶ καὶ ἄλλη μέν, ἀλλὰ δὴ καὶ κατὰ τὸ πόλισμα τὴν Καισάρειαν. τὰ ἴσα δὲ τούτοις καὶ ὁ Φιλαδελφεὺς Θεόδωρος προθέμενος διαπράξασθαι διὰ μάχης χωρεῖ τῷ Ἐρρῇ περὶ τὸ Ἀτραμύττιον διατρίβοντι. ἀμέλει καὶ μὴ προσδόκιμος ἐπιὼν τῷ ἀνδρὶ τὰ D μὲν πρῶτα πρὸς τὸ πλῆθος, ὃ ἐπήγετο, ἀποκνῆσαι τοῦτον πεποίηκεν· ὡς δὲ διακινδυνευτέα τῷ Ἐρρῇ ἐδόκει, ἡ ἱππὰς εἰς παράταξιν διατίθεται. ἡ δὲ ὀρθὰ τὰ δόρατα ἀνατείνασα τὴν ἀπὸ τῶν Ῥωμαίων ἐγχείρησιν ἐπέμενεν. ἐπεὶ δὲ ῥαθύμως εἶχον Ῥωμαῖοι πρὸς τὴν τῆς μάχης πρωτούργησιν, κατὰ μὲν δράκοντα φλογωπὸν ὁλκοῖς λορδούμενοι στρατευμάτων καὶ φολίσιν ἐπιφρίσσοντες ὅπλων καὶ ὡς εἰς χάσμα διανοιγόμενοι στόματος ταῖς ἑκατέρων τῶν κεράτων ἀναπτύξεσι, πρὸς δὲ τὰς ἐπελάσεις ἀτονώτερον ἔχοντες καὶ νωθέστερον, ὡς ἀφ' ἑνὸς συνθήματος οὗτοι τὰ ξυστὰ ἀπευθύναντες καὶ κατὰ

4. ἄλλαι? 5. post Καισάρειαν Wolfii Byzantinus: τῶν γὰρ Ῥωμαίων τινὲς τὸν ἐπὶ τῆς σημαίας ἀνελόντες ἥτις προηγεῖτο τοῦ Λατίνων στρατεύματος, καὶ ταύτην ἐπὶ γηλόφου στήσαντες, καθ' ἑαυτῶν ἐπεσπάσαντο τὰ μεθεπόμενα τάγματα, πρὸς μὲν τὸ ποδηγὸν σημεῖον τραπόμενα, κατὰ δ' ἐκείνων, ὡς ἔγνωσαν Ῥωμαίους ὄντας, τραπόμενα, καὶ ῥᾷστα καὶ τάχιστα τούτους τρεψάμενα καὶ κακῶς διαθέμενα. 12. ἐπεὶ δὲ] ὡς δὲ καὶ οἱ ῥωμαῖοι πρὸς τὴν τῆς μάχης ὁρμὴν ἐραθύμησαν καὶ τριγυρίζοντες μόνον ἄνωθεν καὶ κάτωθεν καὶ ἄνυ(οι?)γμα μέσον μὴ ποιοῦντες αὐτῶν μήτε κατὰ τῶν φράγγων ὁρμῶντες B. 18. ἀφ' ἑνὸς] ἀπὸ συνθήματος A.

ci a Latinis defecerunt, et eos aeque oppugnarunt ac ii qui eos non receperant, et multos occiderunt. nihilominus tamen etiam sic res Latina superior fuit, caedesque multae cum alibi tum ad urbem Caesaream factae sunt. nam Romani quidam signifero, qui Latinorum exercitum antecedebat, occiso, vexilloque in tumulo collocato, cohortes quae sequebantur illo conspecto ad se pellexerunt, a quibus ubi Romanos esse cognoverunt, facillime ac celerrime profligati ac male multati sunt. idem institutum Theodorus Philadelphiensis imitatus, Errico circa Adramyttium agenti arma infert, ac inexpectato superventu et multitudine principio terrorem incutit. sed cum Errico Martis alea tentanda videretur, equitum aciem instruit; qui hastis in altum elatis Romanorum congressum expectabant. qui cum a lacessendo abhorrerent, et instar flammivomi serpentis anfractibus copiarum sese flecterent, et squamis armorum horrerent, et utrimque cornu explicatione velut hiatum quendam prae se ferrent, et

τὸ σύνηθες ἀλαλάξαντες, αὐτοῦ δὴ τοῦ Ἐρρῆ τῶν ἄλλων προεκθορόντος καὶ διὰ μέσων τῶν τάξεων τὸν ἵππον ἐλάσαντος, διασκεδάζουσι Ῥωμαίους, καὶ σφίσιν ἐπικείμενοι φεύγουσι φόνου πάρεργον πλείστους ἔθεντο, οἷα τῶν ἱππέων V. 320 Ῥωμαίων καὶ πρὸς τὴν πρώτην ἔμπτωσιν τῶν Λατίνων καὶ P. 390 τὴν τῶν δοράτων ἀγκώνισιν ὅλοις ἀποδράντων ῥυτῆρσι, καὶ τὰς πεζικὰς τάξεις παρεικότων εἰς κεραΐσιν τοῖς ἀντιμάχοις καὶ προνομήν.

Καὶ τῇδε μὲν τὰ κατ' Ἀσίαν ἐφέρετο· τὰ δὲ Θετταλὰ Τέμπη ἐκπεριελθὼν μαρκέσιος ὑφ' ἡγεμόσι Ῥωμαίοις ἦγε διὰ ταχέων ἐν τοῖς μὴ ὀρειαίοις τὴν δύναμιν, ὥστε καὶ ἔλαθε τὰ πεδινὰ τῶν Λαρισσαίων κατέχων τοὺς ταῖς ἄκραις ἐφεστῶτας Ῥωμαίους καὶ τὰς ὑπερβολὰς τηροῦντας ἐπιμελῶς, αἳ τὸν μὲν Πηνειὸν ποταμὸν ἐς τὸ στενώτατον πάντῃ ξυνάγουσιν, ὡς καὶ καχλάζειν ἐν πολλοῖς ἐπὶ μέγα τὸ ῥόθιον καὶ τὰς ὄχθας τῇ τῶν κτύπων ἀντιπέμψει συνεπηχεῖν, περὶ δὲ τὰς τῶν ὀρῶν ὑποβάσεις μίαν ἀτραπὸν παρανοίγουσι, συνεπτυγμένην καὶ ταύτην καὶ χαλεπὴν τοῖς βαδίζουσι, ὥστε πῃ B μηδ' ἐπὶ τεσσάρων ἀσπίδων αὐτὴν ἀναπτύσσεσθαι, ὑπὸ πετρῶν λισσάδων καὶ ποταμίου ῥεύματος ἐς τὸ πάντῃ συνιοῦσαν στενόπορον. ἐκ δὲ Λαρίσσης ἄρας προυχώρει τοῖς ἔμπροσθεν, μηδενὸς εἰς χεῖρας αὐτῷ προσιέναι θαρρεῖν ἔχοντος. ὀψὲ δὲ καὶ μόλις περὶ τὰς Θερμοπύλας λόχον ὁ Σγουρὸς Λέων ὑποκαθίσας, μηδὲν δέ τι καὶ δράσας γενναῖον, ἀλλὰ καὶ πρὸς μόνην τὴν τῶν ἱππέων Λατίνων ὄψιν ἀλλο-

tamen segnius atque ignavius invaderent, Latini veluti signo dato directis hastis et clamore de more sublato, ipso Errico ante alios erumpente et per mediam hostium aciem equo perrumpente, Romanos dissipant, et fugientibus incumbentes plurimos occidunt. nam Romani equites ad primam Latinorum impressionem et hastarum directionem concitatis equis fugientes pedestres ordines hostibus trucidandos reliquerant et spoliandos.

Hoc Asiae statu, marchio per Thessala Tempe Romanis ductoribus egressus copias in locis non montanis adeo celeriter duxit, ut in Larissae campestria perveniret ignaris Romanis qui montium cacumina accuratis excubiis tenebant; quibus Peneus fluvius ubique in angustissimum alveum coactus in magnos fluctus attollitur, ripis resonantibus; et unum, eumque angustum tramitem et transitu haud facilem aperiunt, ut vix quaterni milites prae rupibus et torrentibus possint incedere. Larissa digressus ulterius pergebat, nemine resistere audente, donec sero ac vix tandem Scurus Leo circa Ther-

φρονήσας φυγὰς ἐκεῖθεν ἐς τὸν Ἀκροκόρινθον ᾤχετο. ὁ δὲ Σγουρὸς οὗτος ἐκ τοῦ Ναυπλίου γεγενημένος χρόνον μέν τινα τῶν ἐκ τοῦ γένους βίᾳ μᾶλλον ἤπερ πειθοῖ κατίσχυε, πα-
C τρῷόν τι μέτρον ἀναπληρῶν καὶ χειρίζων οὐχ αἱμάτων καθαρεῦον κληρούχημα· ἀεὶ δὲ τῷ τῶν πραγμάτων ἀνωμάλῳ ἐπιδιδοὺς καὶ τοῖς στασιώδεσι καιροῖς οἰδαινόμενος μέγας ἐκ μικροῦ πρόεισιν, ὡς οἱ χείμαρροι τοῖς ὄμβροις καὶ τοῖς βιαίοις τὰ κύματα πνεύμασι. τὸ γὰρ ἱππόβοτον Ἄργος ὑπονοθεύσας, καὶ ἐπὶ τῷδε τὴν Κόρινθον ληϊσάμενος, καὶ προϊὼν ἀεὶ τοῖς ληστεύμασιν, εἶτα καὶ ταῖς Ἀθήναις αὐταῖς προσήραξε μετὰ πολεμικῶν νηῶν καὶ τὸν Ἰσθμὸν διελθόντος στρατεύματος, ἐλπίσι θαλπόμενος ὡς εὐμαρῶς κρατήσει τῆς ἀκροπόλεως, ἢ γοῦν ἑλεπόλεις ἐπιστήσας ὡς ἀπόλεμον θροήσει τὸ ἔνδον ἀπομαχόμενον. ἣν δ' ἀναπεμπάζων φρεσὶ καὶ εἰκαίως διανοούμενος τὰ μὴ πέρας ὅλως δεξόμενα. ὁ γὰρ ἀρχιποίμην Ἀθη-
D νῶν Μιχαὴλ ὁ Χωνιάτης (κασίγνητος οὗτος ἐμός, ναὶ ἐμός· ἐγκαλλωπίζομαι γὰρ τῇ ὁμογνιότητι, καὶ χαίρω καθ' αἷμα τῷ ἀνδρὶ συναπτόμενος, εἰ καὶ τῆς ἀρετῆς καὶ τοῦ λόγου κατὰ διάμετρον ἐκδιίσταμαι) τὸ οἰκεῖον λάχος ὁρῶν τῶν αὐτοῦ βουλῶν καὶ εὐχῶν ἐξεχόμενον, ἐπεὶ παρεμβαλόντα θεάσαιτο τὸν Σγουρόν, ἔγνω μετιέναι τοῦτον θεοφιλῶς, εἴ πως ἐκεῖθεν ἀποστῆσαι δυνήσεται, μηδ' ἄλλως ἀσυνήθως ἔχοντα

2. ἀπὸ τοῦ Ἀναπλίου B. 6. οἰδαινόμενος] ἐξογγούμενος B. 8. ὑπονοθεύσας] μετὰ κλεψίας λαβὼν B. 16. ὁ Χωνιάτης om A.

mopylas insidias ei struxit. sed nullo forti edito facinore, ad solum conspectum Latinorum equitum territus Acrocorinthum confugit. Scurus hic Nauplio ortus aliquandiu vi magis quam voluntate popularium principatum tenuit a patre susceptum, ad cuius imitationem non sine sanguine imperavit. sed confusione rerum auctus, et turbulentis temporibus ut torrentes imbribus et turbinibus undae tumefactus, e parvo magnus extitit. Argos dolo, Corinthum latrocinio cepit; et grassando subinde progressus ipsas Athenas cum bellicis navibus et exercitu per Isthmum traducto est adortus, ea spe se arcis facile potiturum, aut machinis adductis imbelle praesidium facile territurum. caeterum ea agitabat animo et frustra conabatur, quae ad exitum perduci non poterant. nam Athenarum summus pastor Michael Choniates, frater meus (meus inquam: nam laudi mihi duco cognationem eius, et ei me sanguine propinquum esse gaudeo, licet a virtute et eloquentia eius remotissimus), cum sui muneris esse intelligeret consilio et precibus rem publicam iuvare, Scuri castris visis, pie cum eo agere instituit, an hominem, praesertim non

πρὸς αὐτόν, ἐς δὲ λόγους ἐληλυθότα πολλάκις. καὶ δὴ ὡς
ἐξ ὑπερδεξίων τῆς πόλεως τοξεύει παραινέσεων βέλεμνα, καὶ
τῇ ποιμαντικῇ σφενδόνῃ ἀκροβολίζεται διαφιεὶς θεόπλοκα
ῥήματα. ἔστι δ' ὅπῃ καὶ ὡς ἐξ ἑλεπόλεων τῶν πατρικῶν
ἀπειλῶν πειρᾶται κατασείειν τὸ ἐκείνου φρόνημα, μὴ δεῖν
λέγων ἀπὸ Χριστοῦ καλούμενον καὶ Ῥωμαίοις συνεξεταζόμε-
νον διὰ μάχης Ῥωμαίοις χωρεῖν, εἰ μὴ πιστοῦται μόνοις
χείλεσι τὸ Χριστώνυμον, ὡς ἐσθῆτι καὶ γλώττῃ τὸν Ῥωμαί- P. 39
οις ὁμόφωνον, τῇ δὲ καρδίᾳ πόρρω πλάζοιτο τῶν καλουμένων
ἀπὸ Χριστοῦ. τί δὲ καὶ ἔχων Ἀθηναίοις ἐπεγκαλεῖν τῇ Ἀτ-
τικῇ ἐπεστράτευσε; τοῖς μὲν γὰρ γείτοσιν Ἀργείοις εἶχεν ἄν
τι καὶ ἐπάγειν ὡς ὁμόροις αἰτίαμα, ποιοῦν ἀνεύθυνον ὁπωσ-
δὴ τὴν ἐκείνων καταδρομήν, ὡς ἄρα καὶ Κορινθίοις προσῆ-
ψεν ἐνάγχος ἔγκλημα τὰς τοῦ ἀρχιποίμενος Κορίνθου κατ'
αὐτοῦ πολλάκις ἐπιβουλάς, ὁπόθεν καὶ τὸ Ναύπλιον στρα-
τιὰν Ῥωμαίων ἐπιδραμοῦσαν ἑώρακε καὶ νῆας ἐς αὐτὸ κατα-
πλευσάσας πολεμικάς. Ἀθηναῖοι δὲ καὶ αὐτός, ὥσπερ τοπι- V. 32
κῶς ἀφεστήκασιν, οὕτω καὶ τοῦ ἔχειν πράγματα καὶ κατ'
ἀλλήλων χωρεῖν φιλονείκως πλεῖστον ὅσον διείργονται. τὰ B
δὲ πρὸς τὸν ἱερέα τῆς πόλεως οὐδὲν ὅτι μὴ τὰ πάντα θεο-
φιλῆ καὶ πνευματικά, εἴγε ὁ μὲν πατέρα καὶ ποιμένα τοῦτον
ὀνομάζειν οὐδέ ποτε ἀπηνήνατο, καὶ τὰ τῆς αὐτοῦ γλώττης
ῥήματα, ὅσα καὶ γλυκὺ μελίκηρον βλίττειν, ὠρεκτία διὰ

22. ὀνομάζειν] ἀτιμάζειν οὐκ ἀπ. A. 23. βλίττειν om A.

ignotum sed saepe collocutum, amovere posset. itaque ex urbe tanquam superiore loco monitorum sagittas eiaculatur, et pastorali funda divina verba iacit. aliquando etiam spiritualibus minis tanquam arietibus animum illius sternere instituit. non enim decere eum qui Christianus sit et inter Romanos nomen suum profiteatur, Romanos bello petere, nisi forte solis labiis Christianum agat, ut et veste et lingua duntaxat Romanum, corde vero a Christianis sit remotissimus. quam vero causam habeat oppugnandi Athenas? nam Argivis ob vicinitatem posset forsitan aliquid crimini dare, quo illorum expugnatio excusetur, quemadmodum et Corinthiis nuper archiepiscopi eorum crebras insidias obiecerit, unde Romanum exercitum Naupliam accurrere et naves hostiles appellere viderit. Athenienses vero et ipsum, ut locis distent, ita nihil invicem habere negotii, et ab omni aemulatione remotos esse. cum urbis porro sacerdote nihil intercedere nisi pia et spiritualia commercia, quoniam hunc ipse patrem et pastorem appellare nunquam recusarit, et suavitate orationis eius magis afficiatur quam mellis dulcedine, eaque semper frui cupiat, hic vero ipsum in spiritualium liberum numerum retulerit, ac

Θετταλοῖς παρέβαλε Τέμπεσιν), ἐπὶ δὲ καὶ τῆς ἐκείνου θυγατρὸς Εὐδοκίας εὐνέτης γίνεται. αὕτη δὲ Στεφάνῳ συναφθεῖσα πρότερον τῷ ἀρχηγοῦντι τῶν Τριβαλλῶν παρὰ μὲν ἐκείνου ἐμβριθῶς ἀποπέμπεται, τὸ δὲ Βυζάντιον κατειληφυῖα εἰς γυναῖκα ἄγεται ὕστερον μετὰ τὴν ἅλωσιν τῆς πό-
344 λεως καὶ τὴν ἐκ ταύτης ἀπονόστησιν Ἀλεξίῳ τῷ Δούκᾳ, ὃς ἐπωνομάζετο Μούρτζουφλος καὶ τὰ σκῆπτρα τῶν Ῥωμαίων λοῖσθος ἐνεχειρίσατο. πλὴν οὐδ' οὗτος ὁ Δούκας ἕως γήρως
C καὶ πρεσβείου τῇ Εὐδοκίᾳ συνῴκησεν· ὁ γὰρ ταύτης πατὴρ Ἀλέξιος, οὐκ οἶδ' ὅ τι παθών, σὺν δόλῳ τὸν ἄνδρα συνείληφε καὶ κακῶς ἐς τὰς κόρας διέθετο, πλάνης πλάνητα μισῶν κομιδῇ καὶ φυγὰς βασιλείας τῷ ἀποπεσόντι ταύτης ἀντικαθήμενος. μετ' οὐ πολὺν δέ τινα χρόνον τῆς πηρώσεως εἰς χεῖρας ἐμπεσὼν τῶν Λατίνων ὁ Δούκας εἰς τὸ Βυζάντιον ἀνακομίζεται, καὶ ὑπὸ δίκην ἀχθεὶς ὡς τὸν ἑαυτοῦ κύριον καὶ βασιλέα συνειληφὼς καὶ τοῦ ζῆν ἐξαγαγὼν δι' ἀγχόνης ἀπελογήσατο μὲν ἐκεῖνον προδότην τῆς πατρίδος ὀφθῆναι καὶ ἀξίως τὰ εἰκότα παθεῖν, μὴ μόνῳ δέ οἱ ταῦτα διαπραχθῆναι ἀλλὰ καὶ τοῖς ἄλλοις, ὅσοι κατ' οἰκείωσιν καὶ γένος ἐκείνῳ συνήπτοντο. οἱ δὲ μὴ προσσχόντες οἷς εἴρηκεν, οὔτε μὴν οἷς
D ἔτι ὤδινεν εἰπεῖν τὰς ἀκοὰς ὁποσονοῦν ὑποσχόντες, καταψηφίζονται θάνατον τοῦ ἀνδρὸς καινότροπόν τε καὶ βιαιότατον. εἰς γὰρ τὸν ἐν τῷ Ταύρῳ ἱστάμενον ὑψιτενῆ κίονα τοῦτον ἀνενεγκόντες βάλλουσιν ἐκεῖθεν κάτω· ὁ δ' ἐπὶ πόδας μέχρι

17. ἀπελογίσατο A. 24. ἐπὶ πόδας] ὄρθιος B.

Tempe pervenerat. ac filiam illius Eudociam uxorem ducit, quae prius Stephano Triballorum duci nupta, ab eoque repudiata et Byzantium reversa, post captam urbem et desertam Alexio Ducae cognomento Murzuflo, qui Romanum imperium postremus invasit, nupserat. sed ne is quidem illam ad senectutem usque tenuit. nam Eudociae pater Alexius, haud scio qua re impulsus, dolo eum comprehensum luminibus orbavit, erro erroni infestissimus, et imperio deiectus simili calamitate conflictato inimicissimus. neque multo post excaecationem a Latinis comprehensus Ducas Byzantium reducitur, et ob dominum et imperatorem suum comprehensum et laqueo enectum in iudicium adductus, pro sui defensione attulit illum patriae proditorem extitisse et dignas suo scelere dedisse poenas. neque se unum id fecisse, sed et reliquos illius cognatos. verum illi spreta eius oratione, et iis quae adiungere cupiebat plane repudiatis, capitis hominem condemnant, novo et violentissimo supplicii genere. eum in altissimam columnam, quae in Tauro stat, perductum praecipi-

τινὸς κατιών, εἶτα ἀνατραπεὶς κατωκάρα καὶ μετὰ βραχὺ καταρραγεὶς δόχμιος διέρρηξεν οἰκτρότατα τὴν ψυχήν. τῇ γοῦν Εὐδοκίᾳ συναφθεὶς ὁ Σγουρὸς τοῦ μαρκεσίου τῇ Ἑλλάδι προσάγοντος αὐτός, ὡς μικρῷ πρόσθεν εἰρήκειν, τὸ ἐν Θερμοπύλαις ἐτήρει τέναγος καὶ τὸ ἐπικρεμάμενον ταύταις σκιόεν ὄρος καὶ ὑψικόρυμβον καὶ τἆλλ' ὁπόσα τὴν Ἑλλάδα δυσπρόσοδον τίθησιν. ἀλλὰ καὶ οὕτω κατὰ πᾶσαν εὐμάρειαν οἱ ἐκεῖσε τῷ μαρκεσίῳ ὑπέκυπτον ἀγεννεῖ καὶ καταβεβλημένῳ φρονήματι καὶ προσχωρεῖν ἀεί πως ἐγνωκότι τοῖς κρείττοσι, P. 393 καὶ ταῦτα μὴ στρατιὰν ἄγοντι μυριάριθμον μηδὲ συμβαίνουσαν ταῖς γνώμαις, ἀλλ' ἀσύμφωνον ἐν πλείστοις ὡς ἐκ πόλεων ἡλισμένην πολλῶν. ἐλάσας δὲ κἀπὶ τὴν Βοιωτίαν αὐτήν, ὡς οὐδέ τις ἐπανήκων οἴκαδε χρόνιος, ὑπὸ τῶν Καδμείων ἀσμένως προσδέχεται. προϊὼν δὲ κρατεῖ καὶ τῆς Ἀττικῆς, καὶ τῇ ἀκροπόλει φρουρὰν ἐγκαθίστησιν. εἶχε δὲ ὁ προεδρεύων ἱερατικῶς τῆς πόλεως, ὥσπερ Σγουρὸν πρότερον, οὕτω καὶ τότε μαρκέσιον ἀποπέμψασθαι· μὴ εἶναι δὲ δοκιμάζων καιρὸν ἀντιστάσεως, οἷα τῆς τῶν ὅλων βασιλίδος ἁλούσης, τῆς δ' ἑσπερίου καὶ ἑῴας ὑπὸ Ῥωμαίους λήξεως τὴν σκιὰν ὑπιούσης τοῦ Λατινικοῦ δόρατος, ἀναιμωτὶ τοῦ ἐρύ- B ματος ὑπεξίσταται. ἐπὶ πᾶσι δ' οὐδ' Εὔβοια γενναῖον βλέπει τι καὶ ἐλεύθερον, ἀλλὰ καὶ αὕτη χεῖρα προτείνει, καὶ

5. ἐπικρ. ἐν τούτοις ὄρος τὸ δασὺ καὶ ὑψηλὸν B. 11. ὡς ἐκ] καθότι ἦσαν ἀπὸ διαφόρων πόλεων περισυνάγματα B. 20. ἐπιούσης A.

tant. is vero aliquandiu in pedes descendens, deinde in caput subversus et humi allisus miserabiliter interiit. Scurus autem ducta Eudocia, marchione in Graeciam transituro, ut paulo ante dixi, Thermopylarum angustias et altum montem eis imminentem, caeteraque loca quae Graeciae aditum intercludunt, accurate custodiebat. verum nihilominus ille iis locis facillime potitus est ob nostrorum ignaviam ac degeneres abiectosque animos, subinde potentiores colere volentium; idque cum non magnum adduceret exercitum nec inter se consentientem, sed plerisque in rebus, quippe ex multis urbibus collectum, dissidentem. et cum ipsam Boeotiam invaderet, tam cupide susceptus est quam quisquam qui ex longinqua et diuturna peregrinatione domum revertitur. progressus etiam Attica potitur, et arci praesidium imponit. cum autem idem archiepiscopus, ut pridem Scurum, ita et tunc marchionem propulsare posset, tamen tempus a resistendo alienum esse ratus, quippe urbe imperatrice expugnata et tam Orientalibus quam Occidentalibus provinciis Latinae hastae umbram subeuntibus, citra dimicationem munitione cedit. postremo

τοῦ παλιρροθίου πορθμοῦ ταχύτερον μεθαρμόζεται, καὶ ὑποστρώννυσι τὴν διαβάθραν εὐροωτέρῳ τοῦ Εὐρίπου στρατεύματι, καὶ φρούριον· ὁρᾷ δομηθὲν ἐπ' αὐτῷ γε δὴ τῷ πορθμῷ καὶ στρατιὰν ἰζάνουσαν ἔνδοθεν πρὸς τὸ ἀνάρρουν ἀναστοιβάσουσαν δήπουθεν τὰ τῶν Εὐβοέων ἀγχίστροφα διαβούλια καὶ τὸ τῆς γνώμης παλίμβολον ἐπισχήσουσαν. ἀλλὰ τί; προφθάνει μου τῶν λόγων τὸ βάρβαρον, καὶ τοῦ πτεροῦ τῆς ἱστορίας ταχυπετέστερον φέρεται, καὶ οὐδέ ποι ὡς ἀντίξουν ἐπέχεται. ἡ μὲν γὰρ ἔτι προνομεῦον αὐτὸ τὰς Θήβας
C καὶ χειρούμενον Ἀθήνας, τῆς δ' Εὐβοίας ἐπιβαῖνον διέξεισι· τὸ δέ, ὡς μὴ πεζαίτερον ὂν ἀλλὰ πτηνὸν καὶ ἀέριον, ὑπερπτὰν τὴν ἱστορίαν χωρεῖ πρὸς Ἰσθμόν, τροποῦται τὸ πρὸ Ἰσθμοῦ προσεδρεῦον Ῥωμαϊκόν, πρόσεισιν εἰς πόλιν πρὸς Ἰσθμῷ κειμένην καὶ πάλαι ἀφνειὸν τὴν Κόρινθον, μεθίσταται πρὸς Ἄργος, περιπαπταίνει τοὺς Λάκωνας, ἐς Ἀχαΐαν ἔνθεν προσβάλλει, ἐκ τοῦδε τὴν Μεθώνην μετέρχεται καὶ ὁρμᾷ πρὸς Πύλον τὴν πατρίδα Νέστορος, οἶμαι δ' ὡς Ἀλφειῷ
V.323 ἐπιστὰν ἀρύσεται τοῦ ῥείθρου καὶ λούσεται, καὶ μνήμην λήψεται παλαιοῦ χαρίεντος διηγήματος, καὶ μαθὸν τὸν ποταμὸν τῷ τῆς Ἀρεθούσης ὑγραινόμενον ἔρωτι, Σικελικῆς πηγῆς καὶ
D παῖδας Ἰταλῶν ποτιζούσης, δέδια μὴ καὶ αὐτὸ τυραννῆσαν τὸ ὕδωρ γράψει καθ' ὑγρῶν καὶ δι' Ἀλφειοῦ τοῖς ἐκ τοῦ γένους ἐκεῖσε διασαφήσειε τὰ καθ' Ἑλλήνων ἀνδραγαθήματα.

4. ἀναστιβάζουσαν vel ἀναστοιβάζουσαν APW. 21. δέδιε APW.

Euboea quoque, omissa defensione, supplices ad marchionem manus tendit, et exercitui Euripo concitatiori pontem substernit; et in ipso freto castellum aedificatum, in eoque sedentem exercitum cernit, a quo mutabiles insularium animi et callida consilia a defectione coercerentur. sed quid meam orationem barbari antevertunt et historiae cursum occupant, nec ab ullo adversario detinentur? nam haec, ut Thebis spoliatis et Athenis occupatis in Euboeam transierint, adhuc refert; illi vero, non ut pedites sed ut aëriae volucres, alis supra historiam evecti, ad Isthmum tendunt, oppositum ibi Romanum exercitum profligant, urbem in Isthmo sitam locupletem olim Corinthum intrant. unde Argos transeunt; Laconiam pervagati impetum in Achaiam faciunt. inde Methonem petunt; ad Pylum Nestoris patriam contendunt. ad Alpheum etiam accessuros arbitror, ex eoque potos et lotos veterem iucundam fabulam audituros, fluvium eum Arethusae fontis Siculi, quem Italorum filii bibunt, amore liquescentem vereri ne suae aquae successus Latinorum et res quas contra Graecos gesserint inscriptas ad populares eorum perferre cogatur. verum, o Graece fluvie Alphee, latex per salsuginem manans potabilis, res

ἀλλ' ὦ Ἕλλην ποταμὲ Ἀλφειέ, ῥεῦμα ῥέον δι' ἅλμης πότιμον, ξενίζον ἄκουσμα, ἐμπύρευμα ἔρωτος, μὴ δὴ τὰ Ἑλλήνια δυσπραγήματα τοῖς ἐν Σικελίᾳ βαρβάροις διατρανώσειας, μηδ' ἔκπυστα θείης ὅσα οἱ ἐκ σφῶν ἐπιστρατεύσαντες Ἕλλησι καθ' Ἑλλήνων ἐμεγαλούργησαν, ἵνα μὴ χοροὶ στῶσι καὶ παιᾶνες ᾀσθῶσι καὶ πλείους καταρῶσιν οἱ διάφοροι. βραχύ τι ἐπίμεινον· ἀλλοπρόσαλλος ἡ μάχη, πεττευτὰ τὰ ἀνθρώπινα, καὶ νίκη ἐπαμείβεται ἄνδρας. οὐδ' Ἀλεξάνδρῳ φασὶ τὰ ἐπὶ πᾶσιν ἀπρόσκοπα, οὐδ' ἀδιάπτωτος ἡ τύχη παράπαν τοῦ Καίσαρος. καὶ πρὸς αὐτῆς τῆς Ἀρε- P. 394 θούσης τῶν ἀνεπάφων ἅλμης φιλοτήτων καὶ τοῦ ἐρωτόεντος νάματος. ἀλλ' εἶεν. ὁ δὲ δὴ Σγουρὸς ἐπὶ τούτοις ἠπορηκώς, καὶ τὸ Ἄργος ὁρῶν ἐχόμενον καὶ τὰς περιοικίδας πόλεις συνειλημμένας, ὡς ἐς ἄντρον λάσιος θὴρ ἢ ὡς ὄφις ἑρπυστὴς εἰς χειὰν συσπειρᾶται τὸν Ἀκροκόρινθον· ὃ δέ ἐστιν ἡ τῆς πάλαι πόλεως Κορίνθου ἀκρόπολις, ἐπ' ἀνάντους ὄρους κειμένη καὶ δυσάλωτος τοῖς προσβάλλουσιν. ἀποκρουσθεὶς τοίνυν τοῦ Ἀκροκορίνθου μαρκέσιος, ἀλλὰ μηδὲ τὴν εἰς τὸ Ναύπλιον πάροδον ῥᾳδίαν θεώμενος διὰ τὴν τῶν ἐρυμάτων ἐχυρότητα καὶ τὴν τῶν ἀπομαχομένων ἰσχυρότητα, χρονοτριβεῖν ἐφ' ἑκατέροις προτίθησιν, ἐς δὲ τὸν Ἀκροκόρινθον καὶ φρού- B ριον ἀντίθετον ἀνίστησιν, ᾗ μάλιστα ὁ χῶρος ἐπίμαχος κατεφαίνετο.

2. ἐμπύρευμα] φλὸξ ἀγάπης καὶ ἄναψις B. 8. καὶ νίκη] οὐδὲ ἡ νίκη ἀεί ποτε αὔξει B. 15. εἰς χειὰν] εἰσέρχεται εἰς τὴν αὐτοῦ φωλεάν B.

auditu mira, amoris incendium, cave Graecorum calamitates Siculis barbaris explices, aut commemores quantas res populares eorum contra Graecos gesserint, ne choreae ducantur, ne paeanes cantentur, ne plures hostes appellant. paulisper expecta. multae sunt belli vices; tesserae instar volvuntur res mortalium. nunc his nunc illis favet victoria; ne Alexandro quidem ferunt omnia successisse ex sententia, nec Caesaris fortuna caruit offensionibus. per ipsam Arethusam te obtestor, per amicitiam a salsedine intactam, per amatorium laticem. sed ut ad institutum redeam, Scurus his cladibus fractus, cum Argos et finitima oppida occupata esse cerneret, in Acrocorintho ut hirsuta bestia in antro aut ut draco in spelunca se abdit; quae veteris Corinthi arx est, in arduo monte sita, fere inexpugnabilis. quare marchio inde repulsus, cum Nauplium quoque haud facile expugnari posse cerneret ob castellorum munitionem, et defensorum constantiam, obsidionem utriusque loci ducere instituit; et ex adverso Acrocorinthi castellum aedificat, qua maxime oppugnari posse videbatur.

Ἦν ἂν οὖν τῶν Ῥωμαίων Ἀσιανά τε καὶ ἑσπέρια ὅρια μηδὲ τελείου ἔτους παριππευκότος τοῖς Λατινικοῖς ἁπαξάπασι γένεσι δουλοπρεπῶς ὑποκύψαντα (ἤδη γὰρ καὶ ὁ εἰς βασιλέα χρισθεὶς Βαλδουῖνος κατὰ Νικαίας καὶ Προύσης τὸ δόρυ διαγκοινήσασθαι προύθετο), εἰ μή γε ὁ βουλὰς ἀθετῶν κύριος, καὶ διασκορπίζων ἔθνη τὰ τοὺς πολέμους θέλοντα, ὑπέλαβεν ἡμᾶς εἰς τέλος ἐκλείποντας. ὁ γὰρ δὴ φυγὰς βασιλεὺς εἰς ὄψιν τῷ μαρκεσίῳ ἐλθὼν ἄρτου μετρειτοῦ καὶ κοτύλης κεράσματος τὰ τῆς βασιλείας ἀνταλλάττεται σύμβολα, καὶ εἰς χῶρον τῇ τύχῃ φερώνυμον (Ἁλμυρὸς ὁ χῶρος κικλή-
C σκεται) τὰς διατριβὰς τελέσων ἐκπέμπεται σὺν Εὐφροσύνῃ τῇ ὁμευνέτιδι. (10) οἱ τῷ βασιλεῖ τοίνυν συναποδράντες Ῥωμαῖοι (ἦσαν δὲ τούτων οἱ πλείους ἐπίσημοι τὸ γένος καὶ οὐκ ἄδοξοι τὰ πρὸς πόλεμον, καὶ πατρίδας τὰς ἐν Θρᾴκῃ πόλεις αὐχοῦντες) ἤθελον συνεῖναι καὶ οὗτοι τῷ μαρκεσίῳ καὶ τὰ δυνατὰ ὑπουργεῖν· ὁ δὲ μὴ χρείαν φάμενος ἔχειν Ῥωμαίων στρατιωτῶν οὕτως αὐτοὺς ἀπεπέμψατο. τῷ βασιλεῖ δ' ἔπειτα Βαλδουίνῳ περὶ τοῦ προσδεχθῆναί οἱ προτείνουσι δέησιν. ὡς δ' ᾖσαν, ὃ φασι, καὶ πάλιν κενὴν ᾄδοντες, τῷ Ἰωάννῃ προσῄεσαν, ὃς τραφεὶς ἐν τῷ Αἵμῳ καὶ γεννηθεὶς μικροῦ πᾶσαν
D τὴν ὑπὸ Ῥωμαίους ἑσπέριον ἐπικράτειαν διέφθειρε καὶ ἠφάνισε πολέμοις ἀπελικμῶν, Σκυθικαῖς ἐφόδοις ἐξερημῶν καὶ πολυτρόποις ἐκτρίβων κακώσεσιν. ὁ δὲ τούτους ἀσμένως προσ-

4. κατὰ] ἀπὸ (ἐπὶ?) τῆς νικαίας καὶ τῆς προύσης ἐξήρχετο B.
8. ἄρτον APW.

Ita Romanorum Asiani et Occidentales fines omnes, nondum integro anno elapso, Latinarum gentium armis serviliter cessissent (iam enim designatus imperator Balduinus etiam Nicaeam et Prusam oppugnare instituerat), nisi dominus, qui consilia irrita facit et gentes belli studiosas dissipat, nostri defensionem iam prorsus deficientium suscepisset. nam profugus imperator ad marchionem profectus panis et vini demenso imperii insignia commutat, cum Euphrosyna coniuge in locum nomine Halmyrum (hoc est salsuginosum) fortunae suae respondentem habitatum missus. (10) Romani autem qui cum imperatore aufugerant, quorum plerique nobiles, bello non obscuri et Threciis urbibus orti erant, cum marchione degere eique pro virili operam navare voluerunt. ab eo vero dimissi (negabat enim sibi Romanis militibus esse opus) eadem de re Balduino imperatori supplicarunt. ibi quoque repulsam cum tulissent, ad Iohannem se contulerunt, qui in monte Haemo natus et educatus fere omnem Romanam ditionem, qua Occidentem spectat, bellis vastabat et delebat, Scythicis incursionibus desolabat, et multiplici vexatione conterebat. is quia

δέχεται· ἦν γὰρ τὸ τῶν Λατίνων ἀγέρωχον φρόνημα ὑφορώμενος καὶ τὴν τούτων λόγχην ὡς φλογίνην ῥομφαίαν ὑποβλεπόμενος, ἐπεὶ καὶ περὶ φιλίας στείλας πρέσβεις οὐχ ὡς βασιλεὺς φίλοις ἀλλ' ὡς ὑπηρέτης δεσπόταις προσδιαλέγεσθαι σφίσιν ἐν τοῖς πρὸς αὐτοὺς ἐπετάττετο γράμμασιν, ἦ V. 324 μὴν ἀπεκδέχεσθαι σφᾶς κατ' αὐτοῦ τὰ ὅπλα βαστάζοντας καὶ κείροντας κατ' εὐπέτειαν τὴν Μυσίαν, ἣν μὴ δέον καρποῦται τοῖς κυρίοις Ῥωμαίοις ἐπαναστάς, κἀκεῖνον εἰς τὴν προτέραν τύχην ἐπαναλύοντας. διαφίησι τοίνυν ἐς τὰς πατρίδας ἐπανιέναι τοὺς ἐπήλυδας αὐτῷ Ῥωμαίους ὁ Ἰωάννης, καὶ δρᾶν ὃ δύνανται κακὸν τοὺς Λατίνους μετ' εὐμεθόδων P. 395 τῶν ἐγχειρήσεων, ἕως τὰ κατ' αὐτοὺς ἐπὶ τὸ κρεῖττον ἐκεῖνος διάθοιτο. ἐπανηκότες οὖν ἐς τὰ σφέτερα τὰς τῶν Θρακῶν καὶ Μακεδόνων πόλεις διαφιστῶσι, συναιρομένων σφίσι τῶν Βλάχων. πλεῖστοι γοῦν ἐντεῦθεν τῶν τὰς πόλεις διανειμαμένων Λατίνων ἐς αὐτὸ ζημιοῦνται τὸ ζῆν, οἱ δὲ φυγάδες ἐς Βυζάντιον ἐπανήκουσιν. ἀλλὰ καὶ οἱ ἐν Διδυμοτοίχῳ διαχειρίζονται, καὶ οἱ ἐν Ὀρεστιάδι μετανάσται γίνονται. καὶ τοῦτο τὸ ἔργον ἐλευθεροῖ μὲν τὴν ἕω Λατίνων παρὰ πᾶσαν δόκησιν, ἐπανηκόντων εἰς τὸν καθ' ἑσπέραν πόλεμον, ἐκκρούει

1. ἦν γὰρ] ἐννοιάζετο γὰρ πάντοτε διὰ τοὺς φράγγους, καὶ ἐφοβεῖτο τὰ αὐτῶν κοντάρια ὡς φλογερὸν πῦρ. ὅθεν καὶ πρὸς αὐτοὺς ἀποκρισιαρίους ἔπεμψε περὶ εἰρήνης καὶ φιλίας. οἱ δὲ ἀντέγραψαν αὐτῷ οὐχ ὥσπερ βασιλέα φίλον αὐτοῦ γράφοντες, ἀλλ' ὡς αὐθέντης δοῦλον αὐτοῦ, καὶ ὥριζεν αὐτὸν ῥῖψαι τὰ ἅρματα καὶ τῇ βασιλείᾳ ὑποπεσεῖν, εἰ δὲ μή, κατ' αὐτοῦ μέλλωσιν ἐκστρατεῦσαι καὶ ἀποκαταστῆσαι αὐτὸν δοῦλον τῆς βασιλείας, καθὼς ἦν καὶ πρότερον. B.

Latinorum ferociam suspectam habebat eorumque hastam ut flammeam romphaeam reformidabat, libenter eos suscepit. qua de causa cum legatos de amicitia ineunda ad Latinos misisset, per litteras cum eis non ut rex cum amicis sed ut servus cum dominis colloqui iubebatur: alioqui se arma illi illaturos et Mysiam facile vastaturos, quam contra officium et per seditionem spretis Romanis occupasset, eumque ad pristinam fortunam redacturos. proinde Romanos ad se profugos Iohannes in patriam quemque suam abire iubet, et callidis aggressionibus Latinis nocere quantum possint, donec ipse fortunis illorum consulat. igitur ad sua reversi Macedonum et Thracum urbes, Blachis adiutantibus, ad defectionem impellunt. unde plurimi Latinorum, quibus eae urbes obvenerant, iugulantur, alii Byzantium extorres redeunt. occiduntur et ii qui Didymotichi erant; et qui Orestiadem tenebant, eiiciuntur. id facinus Orientem Latinorum bello praeter expectationem liberat, ad Occidentem redeun-

δὲ τοῦ ἄγαν καὶ πρὸς βραχὺ μετριόφρονας τίθησι τοὺς κα- B τασχόντας τὴν Ἑλλάδα καὶ τὸ Πέλοπος ἔδαφος. καὶ ἵνα καθ' εἱρμὸν τῷ λέγειν δοίημεν ὁπόσα ἐνθένδε ξυμβέβηκε, Ῥωμαῖοι μὲν τὴν ἐξ Ἀδριανοῦ τὴν κλῆσιν λαχοῦσαν καί γε τὸ Διδυμότοιχον κρατοῦντές κατὰ χώραν ἔμενον, οὐ μικρὰν ἀπὸ τῶν Βλάχων σύναρσιν ἔχοντες· ὁ δέ γε Ἰωάννης τὰς οἰκείας τάξεις καὶ τὸ ἐκ Σκυθῶν ἐπίκουρον ἐπαγόμενος, μηδ' ἀριθμῷ σχεδὸν ὑποπῖπτον, λεληθέναι τὰ πολλὰ τοὺς Λατίνους ἐτίθει διὰ σπουδῆς. ὡς δ' εἶχε τὴν τῶν Ῥωμαίων ἐνωτισάμενος ἐπανάστασιν ὅ τε βασιλεὺς Βαλδουῖνος καὶ ἡ τῶν ἄλλων ἀρχηγῶν τριττὺς (ὁ γὰρ δὴ κόμης τοῦ ἁγίου Παύλου ἀπεγεγόνει θανάτῳ, καὶ τέθαπται κατὰ τὴν μονὴν τῶν Μαγ- C γάνων ἐν τῷ τῆς σεβαστῆς τῆς Σκληραίνης μνήματι), ἐκ μὲν τοῦ αὐτίκα στέλλεται στρατιὰ τὰς πόλεις μετελευσομένη τὰς ἀποστάσας. Βιζύη μὲν οὖν καὶ Τζουρουλὸς ἐπανήλθοσαν καὶ ὡς πρώην ὑπέκυπτον· τὴν δὲ πολισθεῖσαν Ἀρκαδίῳ κενωθεῖσαν εὗρον τοῦ ἐν πλούτῳ καὶ δόξῃ λεώ. νυκτὸς δ' ἐπιθεμένων σφίσι Ῥωμαίων, οἷς ἡ πόλις ἦδε πατρὶς καὶ οἳ συνεληλύθασι τούτοις ἐπίκουροι, πρῶτον μὲν ἡσύχασαν ἐν ὅπλοις γενόμενοι, καὶ πρὸς φρουρὰν τὰ τείχη διείλοντο· ὑποφαυσάσης δὲ τῆς ἕω Ῥωμαίους κατασκεψάμενοι μήτε πα-

7. τὸ ἐκ Σκ.] τὴν τῶν κομάνων συμμαχίαν B. 8. λεληθέναι] μετὰ κλεψίας ἐδοκίμαζε τοὺς φράγγους πολεμῆσαι B. 16. τὴν δὲ πολισθ.] τὴν δέ γε ἀρκαδιούπολιν ἔρημον εὑρόντες ἀπό τε τοῦ τοπικοῦ λαοῦ καὶ τοῦ πλούτου καὶ τῆς δόξης αὐτῆς μόνον δὲ ἐν ταύτῃ ηὑρίσκοντο οἱ διὰ νυκτὸς εἰσελθόντες ῥωμαῖοι, οἵτινες πατρίδα ταύτην εἶχον τὴν πόλιν, φέροντες καὶ συμμαχίαν πρὸς βοήθειαν αὐτῶν, ἵνα τὸ κάστρον φυλάξωσι. καὶ διεμερίσθησαν εἰς τὰ τοῦ-κάστρου τείχη φυλάττειν αὐτό. B. 18. οἳ] οἷς APW.

tium; et eos etiam qui Graeciam et Peloponnesum occuparant, repressa superbia paulo modestiores facit. et ut ea quae hinc acciderunt ordine referamus, Romani qui Adrianopolim et Didymotichum tenebant, non parvis Blachorum freti auxiliis ibi manebant. Iohannes vero, qui suas copias et auxilia Scytharum pene maiora numero adducebat, operam dabat ut Latinos lateret. ut autem motum Romanorum Balduinus et reliqui tres duces audiverunt (nam comes sancti Pauli defunctus in Manganio monasterio et Scleraenae Augustae monimento sepultus erat), statim exercitum mittunt contra urbes quae defecerant. ac Byzia quidem et Zurulus statim sub iugum redierunt. Arcadiopolim vero locupletibus et nobilibus civibus vacuam soli Romani noctu ingressi, quibus urbs ea patria erat, tenebant, auxiliis etiam ad eam tuendam adductis et in moenia distributis. cum dilu-

ρατάξει μήτε μὴν μεθόδοις χρωμένους στρατηγικαῖς, ἀλλ' οὐδ' ἐς ἀκρίβειαν ὡπλισμένους, συντεταγμένην τὴν δύναμιν ὡς ἐς μάχην ἐξάγειν ἐγνώκεσαν. ὡς δ' ἀπήντων αὐτοῖς Ῥω- D μαῖοι μετὰ θάρσους τοῖς τείχεσιν ἐπεγχρίπτοντες (ᾤοντο γὰρ δειλίαν τὴν τῶν Λατίνων ἀσφάλειαν), διεκχέονται τῶν πυλῶν καί σφισι συμπλέκονται, καὶ πρὸς μικρὸν ἀντισχόντες Ῥωμαῖοι τρέπονται, καὶ γίνεται τῆς ἡμέρας ἐκείνης ἐλεεινὸν καὶ οἴκτιστον θέαμα· μηδενὸς γὰρ λαβόντες οἱ Λατῖνοι φειδώ, κατὰ δὲ πάντων τῷ ξίφει χρησάμενοι, τὴν γῆν ἐπίαναν αἵμασι, καὶ τῶν πεσόντων οὐδεὶς ὁσίας τετύχηκε. ταυτὶ μὲν οὖν ἡ προεξιοῦσα δέδρακε στρατιά· οὐδὲ γὰρ περαιτέρω χωρεῖν τεθάρρηκε, Ῥωμαίων μὲν καὶ Βλάχων μετὰ μοίρας Σκυθικῆς περιιόντων, τῶν δ' ἄλλων ἐς τὴν Ἀδριανοῦ συνδραμόντων ὡς εἰς σῶζον κρησφύγετον. κατὰ δέ γε μῆνα τὸν Μάρτιον ἔξεισιν ὁ βασιλεὺς Βαλδουῖνος καὶ ὁ Πλέης κόμης Δολόϊκος, ἐπὶ δ' αὐτοῖς ὁ δοὺξ Βενετίας Ἐρίκος Δάνδουλος, μετὰ τῶν οἰκείων ἕκαστος τάξεων. ἀμέλει καὶ κατειληφότες τὴν Ἀδριανοῦ, καὶ βαλόντες ἐκεῖσέ πῃ στρατήγιον P. 398 ἐς ὅσον μὴ εἶναι βέλους ἐντός, τῇ ὑστεραίᾳ τὰς δυνάμεις προσῆγον τῷ τείχει καὶ ἵστων τὰς μηχανάς. τῶν δ' ἐντὸς ἀμυνομένων εὐρώστως, οὐδέν τι πλέον ἐφ' ἡμέραις ἐπέραι-

1. μεθόδῳ χρωμένους βασιλικῇ A. 3. ὡς δ'] οἱ ῥωμαῖοι δὲ μετὰ θάρσους ὑπήντουν αὐτούς. ἐμακρύνοντο δὲ ἀπὸ τοῦ τείχους οἱ φράγγοι. ὑπολαβόντες δὲ οἱ ῥωμαῖοι ὅτι διὰ δειλίαν καὶ φόβον ὑπομακρύνουσιν, ἐξέρχονται ἀπὸ τῶν πορτῶν καὶ τούτοις συμπλέκονται B. 8. οἱ Λατῖνοι om A. 13. τῶν δ' ἄλλων] κατάντημα καὶ ἀκούμβισμα τὴν ἀδριανούπολιν ἔχοντες B. 16. ὁ δολεῖχος B. 18. καὶ βαλόντες] καὶ χάρακα στρατήγιον βάλλοντες ὅσον μὴ σώζειν σαγίταν B.

xisset, Latini Romanos nec aciem militarem habere nec ulla bellica disciplina uti, atque adeo nec satis armatos esse conspicati, ad pugnam se pararunt, longius digressi a moenibus. eam Latinorum cautionem Romani timiditati tribuentes, portis effusi et temere invecti, paulo post in fugam vertuntur. ac eo die miserabile et atrox spectaculum editur. nemini parcitur, caeduntur omnes, insepulti abiiciuntur, sanguine pinguescit humus. haec praecursor exercitus fecit. nec enim ulterius progredi ausus est, cum Romani et Blachi cum Scythicis cohortibus circumirent, caeteri vero Adrianopolim concurrerent tanquam in certum asylum. imperator vero Balduinus mense Martio egreditur, et Pleae comes Doloicus, et post eos Ericus Dandulus Venetiarum dux cum suis quisque legionibus. et vallo extra teli iactum ad Adrianopolim communito, postridie copias ad moenia adducunt et machinas erigunt. urbanis autem strenue se defendentibus per

V. 325 νον πλείοσι τοῦ βάλλεσθαι καὶ βάλλειν διὰ τὴν τῶν τειχῶν ἐχυρότητα. οὐκοῦν τὰ βάθρα τῶν τειχῶν ἀνεμόχλευον, ἀφανῶς ὑποσαλεύειν τὰ τείχη πειρώμενοι, ἐς ὅτι μήκιστον ὑπονομεύοντες καὶ τὸν χοῦν λεληθότως ἀναφέροντες καὶ ὑπερείσματα ἐκ ξύλων εὐπρήστων ταῖς ὀρυγαῖς ἐφιστῶντες καὶ πολυχειρίᾳ τὸ ἔργον ἀνύοντες. ἦσαν δὲ καὶ Ῥωμαῖοι πρὸς ταῦτα διατεχνώμενοι τὰ τῇ πόλει σωτήρια. ἀλλ' οὔπω συ-
B χνοὶ περίππευσαν ἥλιοι, καὶ μοῖραν διαφεὶς ὁ Ἰωάννης Σκυθικοῦ στρατεύματος τοῖς ζώοις τῆς διαίτης καὶ τοῖς ὀχήμασιν ἐντέλλεται προσβαλεῖν, ἃ περὶ τὸ στρατόπεδον τῶν Λατίνων τὰ χλωρὰ τῆς ὕλης ἐδρέποντο, διὰ τοῦ μεθοδεύματος γνῶναι βουλόμενος ὁποῖα τὰ τῶν πολεμίων εἰσὶ διαβούλια καὶ ὅπως τὰς εἰς πόλεμον ἐκτάσεις τιθέασιν. οἱ δὲ καὶ πρὸς τὴν πρώτην τῶν Σκυθῶν θέαν ἐνθουσιώδους πλησθέντες ὁρμήματος πρὸς τοῖς ἵπποις καὶ τοῖς δόρασι γίνονται. καὶ οἱ μὲν τῆς ἐπὶ Σκύθας κατὰ κράτος εἴχοντο, οἱ δὲ τὰ νῶτα μεταβαλόντες συντόνου δρασμοῦ ἥπτοντο, ἐς τοὐπίσω τὰ βέλη πέμποντες καὶ μηδ' οὕτω τοῦ φεύγειν προτροπάδην ἐπιλαθόμενοι· οἱ δὲ ἐπέκειντο καὶ οὕτως διώκοντες, κἂν οὐδὲν ἤνυον πτηνώδεσι καὶ κούφοις διὰ τὴν ὅπλισιν ἀνδράσιν ἐφε-
C πόμενοι. καὶ τοιοῦτον μὲν πέρας τὰ τῆς τόθ' ἡμέρας εἰλήφεσαν· ἐκ δὲ τούτου Ἰωάννης μὲν τὸ οἰκεῖον στράτευμα

9. τοῖς ζώοις] πρὸς τοὺς ξύλα καὶ χόρτον συνάγοντας τῶν λατίνων ἔπεμψεν B. 12. τὰ τῶν πολεμίων] τὰ τῶν φράγγων βουλεύματα καὶ τὴν στρατείαν αὐτῶν ὅπως διάκειντai πρὸς τὸν πόλεμον B. 13. ἐκτάξεις Fabrotus. 16. οἱ δὲ] οἱ κόμανοι δὲ στραφέντες καὶ τοξεύοντες ἐξόπισθεν ἔφευγον μηδ' ὅλως γυρίζοντες ἢ μόνον σαγίτας πρὸς τὴν τάξιν αὐτῶν σύρνοντες B.

dies complures non aliud proficiebant nisi ut telis et peterent et peterentur. itaque vineis, multitudine operarum freti longissime actis, egestaque clam terra et cavernis aridis lignis suffultis, moenium fundamenta hostibus non animadvertentibus labefactare studuerunt. sed et Romani contra ea parabant quae urbi essent salutaria. nec multis diebus post Iohannes partem Scythici exercitus impetum facere in pecudes et equos in herbidis pratis iuxta Latinorum castra pascentes iubet, ut ea ratione hostium concilia et militarem disciplinam exploraret. hi vero ad primum Scytharum conspectum furioso quodam ardore concitati, hastis arreptis et equis conscensis, Scythas invadunt, qui tergis obversis continenter fugiunt, retro sagittas coniicientes, ac ne sic quidem fuga interrupta. illi vero acriter persequuntur, quamvis nihil proficerent, pene volucribus ob levem armaturam viris instando. et hic eius diei fuit exitus. ex eo Iohannes cum

ἔχων αὐλῶσιν ἐνελόχα καὶ φάραγγας ὑπεδύετο καὶ τόποις ἐπηρμένοις εἰς γήλοφα παρεδύετο, μηδ' εἰ πάρεστιν εἰδέναι σπεύδων τοὺς ἀντιπίπτοντας, ἐκ δὲ τῆς Σκυθίδος φάλαγγος ἧς ὁ Κοτζᾶς ἡγεμόνευεν, αὖ πάλιν ἐπελαύνειν τῷ στρατοπέδῳ τῶν Λατίνων διαφῆκε συχνούς, καὶ ταὐτὰ τοῖς πρότερον δρᾶν ἐγκελεύεται, κἀκείνης ἔχεσθαι τῆς πορείας ἐπαναστρέφοντας ἧς καὶ πρότερον εἴχοντο. οἱ δὲ ὡς τοὺς Σκύθας αὖθις θεάσαιντο, πρὸς σπουδὴν καὶ αὐτίκα μάλα καθοπλισάμενοι καὶ ὑπὲρ τὴν ἔναγχος εὐρώστως ἐπέκειντο, τὰ δόρατα σείοντες, κἀπὶ τὸ μᾶλλον τὸν δρόμον ἐπέτεινον. ὡς δὲ τὸ Σκυθικὸν προῆγεν εὐπετῶς, τὰ πολλὰ μηδὲ τοξεῦον ὄπισθεν, ὡς μὲν D κούφως ἐσταλμένον, ὡς δὲ καὶ δρομικωτέροις ἵπποις ὀχούμενον, ἔλαθον εἰς πλεῖστον ὅσον οἱ Λατῖνοι ἐξιππασάμενοι καὶ τῶν χωρίων ἀψάμενοι ἀμαθῶς ἐν οἷς αἱ πάγαι καὶ οἱ λόχοι καὶ τὰ ἔνεδρα διεσκεύαστο. ἀμέλει καὶ Σκυθικοῖς ἀκμῆσι περιπεπτωκότες στρατοῖς αὐτοὶ τῆς ὁδοῦ τῇ συντονίᾳ ἐκπονωθέντες καὶ λαμπρῶς ἤδη σφίσι τῶν ἵππων ἀποκναισάντων, ἐν μέσῳ ἀπολαμβάνονται· οἱ γὰρ Σκύθαι ὡς ἐς κύκλωσιν αὐτοὺς περιῄεσαν. οἱ δέ, ὡς ἐν χερσὶν ἦν ὁ ἀγών, τῷ πλήθει τῶν Σκυθῶν βιαζόμενοι ἀνετρέποντο τῶν ἵππων, πολλῶν ἕνα περιιόντων, καὶ δρέπανα καὶ βρόχους ἐδέχοντο κατὰ τῶν αὐχένων οἱ σκληροτράχηλοι, καὶ τὸ χρῆμα τῶν ἵππων κατηκίζετο· ὡς γὰρ μέλαν νέφος καὶ συνεχὲς τῶν Σκυθῶν ἐπεισπεπτωκότων οὔτε ἵππων ἐξελιγμοῖς χρήσασθαι

1. ἔχων αὐλῶσιν] κατακρύψας εἰς τόπους ἐγκρυματώδεις καὶ λογγώδεις B. 21. δρέπανα] ἐδεσμοῦντο ἀπὸ σφονδύλου B.

suis copiis angustias et fauces subit, et post altos colles delitescit, in id intentus, ne suam praesentiam nossent hostes. et rursus e Scythica phalange cui Cozas praeerat, complures in castra Latinorum mittit, hortatus ut priores imitarentur eademque via reverterentur. Latini Scythis denuo visis, rursus festinanter armati maiori quam dudum contentione hastas in eos vibrant et cursum intendunt. sed cum Scythae facile anteverterent, ut et leviter armati et expeditioribus equis insidentes, ac nullas fere sagittas retro emittentes; Latini per imprudentiam longissime provecti in ea loca, in quibus laquei et insidiae erant, et in recentes Scythicas cohortes inciderunt, et ipsi et equi iam contentione itineris plane fatigati, et in medio Scytharum circumventi sunt. quorum multitudine, cum ad manus ventum esset, oppressi equis deturbantur, multis singulos invadentibus; et durae cervicis homines falces et laqueos in colla recipiunt, equi occiduntur. tanquam enim atra et perpetua nubes, ita Scythae irruebant, ut neque explicare sese neque diffugere possent. cecide-

εἶχον οὔτε διαφυγὰς δρᾶν. ἔπεσον οὖν ὁπόσον τοῦ Λατινι- P. 397 κοῦ στίφους ἐπίλεκτον καὶ ταῖς τῶν δοράτων ἀγκοινήσεσι περιώνυμον. πίπτει δὲ καὶ ὁ τῆς Πλέης κόμης Δολόϊκος. ὁ δὲ Βαλδουῖνος χειροῦται καὶ ζωγρίας εἰς Μυσίαν ἀπάγεται, κἀκεῖθεν εἰς Τέρνοβον κομισθεὶς εἱρκτῇ παραδίδοται καὶ δεσμὰ ἕως τραχήλου ὑφίσταται. τὸ δ' ἀρχαιότατον καὶ πολυτροπώτατον κακόν, καὶ τῶν ἀπευκταίων πάντων Ῥωμαίοις πρωτουργὸν αἴτιον, ὁ τῆς Βενετίας δοὺξ Δάνδουλος, ὕστατος ἐλαύνων κἀκ τῶν φυγάδων τὴν τοῦ στρατεύματος ἧτταν ἐνωτισάμενος, ἐκ τοῦ αὐτίκα μεταστρέψας τὰ χαλινὰ ἐς τὸ στρατόπεδον φέρεται. ὡς δὲ καὶ νὺξ ἐπῆλθε (περὶ γὰρ δείλην ὁ πόλεμος γέγονε), φῶτα εἰσενέγκασθαι ταῖς σκηναῖς ἐπισκήπτει καὶ πλείστους αἴρειν πυρσοὺς εἰς ἔμφασιν τοῦ μὴ B πᾶσαν ἐκτριβῆναι τὴν στρατιὰν μηδὲ σφᾶς ἀποδειλιᾶσαι τὸν πόλεμον. περὶ δὲ πρώτην φυλακὴν τῆς νυκτὸς ἀναστὰς ἐκεῖθεν εἰς τὴν παράλιον ἵκετο Ῥαιδεστόν, καὶ συμμίξας Ἐρρῇ V. 326 τῷ τοῦ Βαλδουίνου κασιγνήτῳ ἄρτι ἐξ Ἀτραμυττίου ἐπανήκοντι μετὰ τῶν ἐκ Τροίας Ἀρμενίων, οἵπερ αὐτῷ συνεστράτευον, ἐς τὸ Βυζάντιον ἐπανέζευξε, διερρηγμένος τὸν στήμονα τῶν ἐντέρων τοῖς πολλοῖς παρασάγγαις οὓς ἐν τῷ φεύγειν διίππευσε, καὶ διῳδηκὼς ἐπὶ μέγα τὸν κυλινδροφύλακα θύλακον.

5. τρίνοβον B. εἱρκτῇ] φυλακίζεται καὶ ἅλυσιν ἐν τῷ τραχήλῳ καὶ σίδηρα εἰς τοὺς πόδας βάλλεται B. 12. φῶτα] φωτίας μεγάλας καὶ ἱστίας ἔταξεν εἰς ὅλον τὸ στρατόπεδον ἐξάψαι B. 15. περὶ δὲ πρώτην] περὶ δὲ ὥραν δευτέραν τῆς νυκτὸς B. 19. διερρηγμένος] πάσχων τὰ ἔντερα τῆς κοιλίας αὐτοῦ καὶ τὰ αὐτοῦ μύρια σπασθέντα ἀπὸ τοῦ πολλοῦ πόνου καὶ κόπου καὶ τῆς συντόνου φυγῆς B.

runt igitur omnes lectissimi Làtinorum equites et hastis vibrandis celebres. cadit et Pleae comes Doloicus. Balduinus vero capitur et vivus in Mysiam abducitur; atque inde Ternobum perductus et in carcerem coniectus vinculis usque ad collum oneratur. principale vero et callidissimum malum et omnium Romanarum cladium primus auctor, Venetiae dux Dandulus, qui extremum agmen claudebat, clade exercitus ex fugientibus cognita statim conversis fraenis in castra properat; et ut nox supervenit (nam praelium sub vesperam est commissum), lumina in tentoria inferri et plurimas pyras incendi iubet, ut Romani putarent non omnem exercitum periisse aut se pugnam detrectare. circa primam noctis vigiliam maritimam Rhaedestum cum Errico Balduini fratre, modo Adramyttio cum Troianis Armeniis reverso, qui sub eo militabant, congressus Byzantium rediit, intestinis fuga tot parasangarum ruptis et scroto in immensum tumefacto.

11. Ῥωμαῖοι δ' ἐπὶ τούτοις, ὅσοι τῇ Κωνσταντίνου προσέμενον, τῷ δέει τοὺς ὀδόντας ἐβάμβαινον, ἔτι προκείμενον ἔχοντες ὀφθαλμοῖς τὸν κατὰ σφῶν ἐκξιφισμὸν τῶν Λατίνων καὶ τὴν διαρπαγὴν τῶν προσόντων, ἃ κατ' οὐδένα δίκαιον λόγον ὑπέστησαν μετὰ τὴν ἐκ τῆς πόλεως ἄπαρσιν Βαλ- C δουίνου, πέμπτην ἄγοντος καὶ εἰκοστὴν τοῦ Μαρτίου μηνός, τῆς τότε τρεχούσης ὀγδόης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ τρίτου καὶ δεκάτου ἔτους. ἀλλὰ καὶ ἡμεῖς ἔτι παροικοῦντες τῇ Σηλυβρίᾳ τὰ τῶν κακῶν ἔσχατα εἰκάζομεν πείσεσθαι, τὴν τῶν Δαονιτῶν ἀναίρεσιν ἐκ γειτόνων οὖσαν μόνον οὐκ ἐπόψιον ἔχοντες, καὶ παρὰ πόδας τοὺς σφαγέας θεώμενοι τὴν Σηλυβρίαν εἰσιόντας ξιφήρεις καὶ τὰς ἡμῶν ἀγκαλίδας καὶ τὰ ῥάκια προνομεύοντας. δεκὰς μὲν οὖν ἐπὶ δυάδι τοῦ Ἀπριλλίου μηνὸς ἐνειστήκει, τῆς ἑβδόμης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ δωδεκάτου ἔτους, καὶ ἡ βασιλὶς πόλις πρὸς Λατίνων κεχείρωται· τῇ δὲ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνός, τῆς ὀγδόης ἰνδικτιῶνος, ὑπὸ Σκυθῶν Λατῖνοι κατηγωνίσθησαν. ἀλλὰ τίνα τὰ ἐφεξῆς; D ἑτέρα μάστιξ στιλβοῦται Ῥωμαίοις, βαρύστονός τις καὶ πολυσύμφορος. ὁ γὰρ Μυσὸς Ἰωάννης, ἐχθρὸς ἅμα καὶ ἐκδικητὴς Ῥωμαίοις δεικνύμενος, ἐκδίδωσι τοῖς Σκύθαις εἰς προνομὴν ὅσαι κωμοπόλεις τῷ Βυζαντίῳ ἐγγίζουσαι φόρους τοῖς Λατίνοις εἰσέφερον. καὶ ἦν ἰδεῖν ἀλλότροπόν τι κακὸν καὶ ἀσύνηθες καὶ πᾶσαν ὑπερπαῖον θεοκίνητον μάστιγα. τὴν γὰρ αὐτὴν γῆν καὶ τὸ αὐτὸ ἔθνος ἐδῄουν γένη διττά, πῇ μὲν

11. Romani vero, qui adhuc in urbe erant, prae metu dentes quatiebant, etiamnum velut intuentes Latinorum contra se strictos gladios et direptionem bonorum; quibus rebus post Balduini discessum nulla iusta ratione afflicti erant, mensis Martii die XXV, indictione VIII anni VI MDCCXIII. sed et nos adhuc Selybriae inquilini extremas clades expectabamus, Daonitarum vicinorum interitum tantum non in conspectu habentes, et evestigio percussores strictis ensibus Selybriam ingredientes, et fasciculos nostros et pannos diripientes. imperatrix urbs XII die Aprilis, indictione VII anni VI MDCCXII a Latinis capta est: XV die eiusdem mensis, VIII indictione, Latini a Scythis victi sunt. sed quid secutum est? aliud flagellum atrocissimum et calamitosissimum emicuit. nam Iohannes Mysus, idem Romanorum hostis et vindex, oppida Byzantio vicina Latinis tributaria Scythis diripienda concedit. ibi novum et inusitatum malum, quod omne divinitus inflictum supplicium superat, erat cernere. terram eandem, eandem gentem bini populi infestabant, alias utrique, alias alternis irruentes. nam et Scythae obvia quaeque va-

ἑκάτερα πῇ δὲ θάτερον παρὰ θάτερον ἐπεισπίπτοντα. Σκύθαι τε γὰρ τὰ ἐν ποσὶν ἐπιόντες ἔκειρον καί τινας τῶν κάλλει διαπρεπῶν αἰχμαλώτων μετὰ μαστίγωσιν τοῖς ἑαυτῶν ἐπέθυσαν δαίμοσιν ἀναρτήσαντες, καὶ Λατῖνοι τῇ κατὰ σφῶν ἐπαναστάσει Ῥωμαίων καὶ τῷ πρὸς Σκυθῶν ἡττηθῆναι δια- P. 398 πριόμενοι οὐδὲν ἔλαττον Ῥωμαίους ἐδῄουν. οὐδεὶς τοίνυν τόπος σώζων ἦν καὶ λυτρούμενος, ἠπείρου μὲν κακῶν ἀπείρων πληθούσης καὶ τῶν ὀλεθρίων οὔσης ὀλεθριωτέρας, μονοκρότων δὲ σκαφῶν καθ' ἅλα περιπλεόντων Λατινικοῦ συντάγματος, λῃστείᾳ τε καὶ πειρατείᾳ κακῶς τιθέντων τὸ ὅθενοῦν ἀναγόμενον. ὁ δὲ Ἰωάννης ταῖς Θρᾳκίαις μὴ ἐμβραδύνας πόλεσιν ἐς Θεσσαλονίκην ἵεται, πρὸς τὸ δοκοῦν ἐκείνῳ τὰ ἐκεῖσε καταστησόμενος πράγματα, καὶ τὰς πόλεις ἀποστήσων τῶν Λατίνων καὶ μεθαρμόσων πρὸς ἑαυτόν. οὐκοῦν ἀφιγμένος εἰς Σέρρας μετὰ τῶν ἐκεῖσε Λατίνων συρρήγνυσι πόλεμον, καὶ μεθ' αἱμάτων ῥεύσεις πολλὰς καὶ τούτων νικητὴς ἀναδείκνυται. οἱ γὰρ Λατῖνοι τῷ σφετέρῳ τε ἀκριβεῖ πρὸς τὰς μάχας καὶ τῷ τῆς αὐτεμβολῆς ἑτοίμῳ τὸν Ἰωάννην B δεξάμενοι πολλοὺς τῶν ὑπ' αὐτὸν κατέτρωσαν· μετ' οὐ πολὺ δὲ ἡττηθὲν τὸ Λατινικὸν καὶ πρὸς τὴν πόλιν τὰς Σέρρας τραπόμενον οὐκ ἔφθη συγκλεῖσαι τὰς Σέρρας, καὶ εἴσω τῶν τειχισμῶν συνεισπίπτουσιν οἱ τῶν φευγόντων ὀπίσω φερόμενοι Βλάχοι τε καὶ Ῥωμαῖοι. καὶ οὕτως ἡ πόλις εἴχετο. εἶτα ἡ μὲν ἦν ἐν πυρὶ καὶ τῇ τῶν τειχῶν καθαιρέσει, τὸ δὲ

5. τῷ] τὸ APW.

stabant, et aliquot forma excellentes captivos post flagra suspensos suis daemonibus immolabant; et Latini Romanorum defectione et Scytharum de se victoria inflammati nihilo secius in nostros ferro et igni grassabantur. nec ullus locus erat qui auxilium et salutem afferre posset, cum terra continens malis infinitis redundaret, ipsa pernicie perniciosior; et Latinorum piraticae naves mare pervagantes, quicquid e portu undecunque solveret, male tractarent. at Iohannes Thraciis urbibus non immoratus Thessalonicam properat, ut suo arbitratu provinciam illam constitueret et urbes a Latinis avulsas sibi vendicaret. igitur Serras profectus cum Latinis qui ibi erant pugnam committit, et eos quoque, sed cruenta victoria superat: nam Latini et disciplina militari freti et Iohanni fortiter obviam egressi multos eius milites ceciderunt. sed non multo post cum victi et ad urbem Serras conversi essent, antequam portas clauderent, Blachi et Romani, qui fugientibus instabant, una irruperunt. urbs ita capta et incensa est et moenia diruta; qui comprehensi fuere, abducti et

συλληφθὲν ἐν ἀπαγωγαῖς καὶ δεσμοῖς. τοῦ δὲ Λατινικοῦ στρατεύματος ὁπόσον μὴ κατὰ τὸν πόλεμον ἀπεγένετο, ὃ μὲν ὡς ἑκάστοις προυχώρει σέσωστο, ὃ δὲ τῆς ἄκρας λαβόμενον ἔνδον ἐπέμενε. τῇ δ' ὑστεραίᾳ περιελθὼν τὴν ἄκραν ὁ Ἰωάννης τοῖς ἐς αὐτὴν ξυμφυγοῦσι Λατίνοις παραδοῦναί οἱ τὸ χωρίον καὶ σώζεσθαι διακηρυκεύεται. οἱ δὲ οὐδὲν ἐφρόνουν ἐνδόσιμον, τὴν ἀπὸ τοῦ μαρκεσίου καραδοκοῦντες σύναρσιν. καὶ ἐν τούτῳ κλίμακας ὁ Ἰωάννης ηὐτρέπισε, καὶ κατὰ λόφον ἀντικείμενον τῇ ἄκρᾳ μεγίστην ἐπιστήσας ἑλέπολιν τὰ C τείχη ἔτυπτεν. οἱ δ' ἐπὶ τῆς ἄκρας ὁπόσα τῶν τειχῶν ἀμυντήρια προπετάσαντες καὶ προεκτείναντες ἐπέμενον ἀνθιστά- V.327 μενοι. ἐπεὶ δὲ θεάσαιντο τὸν Ἰωάννην ὡς ἐν πυρὶ τειχισμῷ τὴν ἄκραν διειληφότα παντὶ τῷ στρατεύματι καὶ πᾶσαν ἀποκλείσαντά σφισι πάροδον ὡς μηδὲ ποσὶ δύνασθαί τινα κλέψαι τὴν εἰς τὸν μαρκέσιον ἄφιξιν, ἐνδοῦναί οἱ τὴν ἄκραν ἤθελον, εἴ σφισι σπένδοιτο καὶ συγχωροίη τὴν ἔξοδον ἀπαθῶς, ὡς ὅπλων καὶ τῶν ἵππων ἔχουσι. τοῦ δὲ μήδ' ἄκροις ὠσὶ τὰς ἐπὶ ταῖς συνθήκαις ταύταις παραδεξαμένου σπονδάς, αἰτοῦνται τὴν εἰς τὰ σφέτερα ἤθη μεθ' ἡγεμόνων ὁδοῦ D μέχρι τῶν Παιονικῶν ὁρίων ἀπόπεμψιν. καὶ ὡς προύβησαν ἐπὶ τούτοις ὅρκια, ὁ μὲν εἶχε τὴν ἄκραν, οἱ δ' ἀκίνδυνον τὴν ἐξέλευσιν.

3. τῆς ἄκρας] κάστρου τοῦ λεγομένου κουλᾶ B. 4. περιελθὼν] ἔξωθεν σταθεὶς τοῦ κουλᾶ B. 7. post σύναρσιν B: περὶ γὰρ τὴν θεσσαλονίκην ἐκεῖνος ἦν. 8. καὶ κατὰ] καὶ ἐς τὸν καταντικρὺ τοῦ κουλᾶ ἕτερον βουνὸν κείμενον ξύλα στήσας μηχανικὰ τὰ τείχη ἔκρουεν. B. 12. ἐπεὶ] ὡς δὲ εἶδον τὸν ἰωάννην τοσαύτην ἀσφάλειαν περιποιήσαντα ὡς μηδέ τινα ἔχειν ἄδειαν ἐξελθεῖν. B. an forte ὡς ἐμψύχῳ τειχισμῷ? an ὡσεὶ περιτειχισμῷ? 19. μεθ' ἡγεμόνων] μετὰ καὶ προβόδου B.

vincti. ex Latini exercitus reliquiis alii, ut quisque potuit, saluti suae consuluerunt, alii arcem occuparunt. quam postridie circumiens Iohannes Latinis, si eam dederent, incolumitatem promisit. qui cum marchionis freti auxiliis eam postulationem aspernarentur, scalas parat, et in tumulo quodam e regione arcis machina maxima collacata moenia ferit. Latini vero depromptis omnibus iis quae ad defensionem usui essent repugnabant, donec Iohannem muro velut igni et omni exercitu totam arcem circumdedisse et omnem sibi exitum interclusisse viderunt, ut nec pedes ullus clam ad marchionem pervenire posset. tum vero ea conditione deditionem facere voluerunt, si sibi cum armis et equis tuto discedere liceret. quam illo prorsus repudiante, postulant duces sibi domum reversuris attribui usque ad Pannoniae fines. sic foedere icto ille arcem occupavit, hi citra discrimen abierunt.

Ἀλλ' οἷα καὶ τὰ κατὰ τὸν ἡγεμόνα σφῶν τὸν μαρκέσιον; χρεὼν γὰρ μηδὲ ταῦτα παρελθεῖν ἀνιστόρητα. ἔτι τοῖς κατὰ τὴν νῆσον τοῦ Πέλοπος διαπονούμενος πράγμασι καὶ διὰ μάχης χωρῶν τῷ Σγουρῷ, γράμματά οἱ τῆς γυναικὸς χειρίζεται τοὺς Θεσσαλονικεῖς νεωτερίσαι διασαφοῦντα, καὶ αὐτὴν μὲν ἐξωσθεῖσαν τῆς πόλεως εἰς τὴν ἀκρόπολιν ἀναδραμεῖν καὶ συχνὰς ἡμέρας ἤδη πολιορκεῖσθαι, τὴν δὲ πόλιν εἰσιόντα κατέχειν Βλάχον τινά, Ἐτζυϊσμένον τὴν κλῆσιν, φρουροῦντα τὸν Πρόσακον καὶ ὅσα τῶν ἐκεῖθι τῷ Ἰωάννῃ κατήκοα. ὡς οὖν πύθοιτο ταῦτα μαρκέσιος, ἔγνω τὴν ταχίστην ἀρήγειν, καὶ τὴν πορείαν ἐπανιὼν ἐπέτεινε. μήπω δὲ τῇ Θεσσαλονίκῃ
P. 399 ἐγγίσας συμβάλλει τοῖς ἀγγέλλουσι τὴν τῶν πολεμίων ἧτταν καὶ ἀποσόβησιν καὶ τὴν ἐσαῦθις ἠρεμίαν τῆς πόλεως. ἀμέλει καὶ τοῖς τοιούτοις ἀκούσμασιν ἐνησθεὶς καὶ φιλενδεικτῶν πρὸς τοὺς οἰκείους, μεταστρέψας τὰ ἡνία τῶν Σκοπίων ἰθὺ φέρεται, τὸν Ἰωάννην ἀμύνασθαι θέλων τῶν εἰς αὐτὸν γεγονότων. ἀλλ' οὔπω ἔφθη ἐπιβαλεῖν οἷς ὤδινε πράγμασι, καὶ ἄγγελος ἕτερος ἐφίσταται τὴν τοῦ κόμητος Πλέης ἀναδιδάσκων ἀπώλειαν καὶ τὴν τοῦ βασιλέως Βαλδουίνου κατάσχεσιν. ἣν οὖν ὤδευε πρότερον πάλιν ἀψάμενος, τὴν Θεσσαλονίκην εἴσεισι· καὶ γνοὺς ἀληθῆ ὅσα διὰ γραμμάτων πέπυστο πρότερον, ἐπικαλαμᾶται τὸ μὴ ἀκριβῶς ἀμηθὲν ἐκ τοῦ λῃΐου
B τῆς πόλεως ἐν τῷ ἀμήτῳ τοῦ πολέμου ὃς πρὸ τῆς ἐκείνου

1. τὰ om A. 6. εἰς τὴν ἀκροπ.] εἰς τὸν κουλᾶν B. 8. ἐτζιγμένον B.

Sed quis status ducis eorum marchionis fuit? nam nec hoc praetereundum est, dum adhuc Peloponneso constituenda occupatur et cum Scuro dimicat, litteris uxoris res novas moliri Thessalonicenses fit certior: ipsam urbe expulsam in arcem confugisse et complures dies iam obsideri, urbem vero a Blacho quodam Prosaci et finitimorum locorum Iohanneae ditionis praefecto, nomine Etzyismeno, teneri. quibus auditis marchio quamprimum opem ei ferre statuit et reditum maturavit. sed antequam Thessalonicae appropinquaret, occurrit suis hostium cladem et profligationem nuntiantibus et tranquillitatem urbi restitutam. earum rerum fama delectatus, et suis ostentata, conversis habenis Scopia recta tendit, Iohannis iniurias ulturus. sed vix dum ea quae parturiebat aggressus, nuntium alium accipit de Comitis Pleae interitu et imperatoris Balduini captivitate. itaque repetito priore itinere Thessalonicam ingreditur, et veritate illius nuntii per litteras confirmata spicilegium instituit e segete urbis nondum plane resecta, in illa belli messe quod ante suum reditum conflatum erat; et alios cives pecunia multatos pistillo nudiores urbe exegit, alios occidit,

συνέστη ἀφίξεως. οὓς μὲν γὰρ τῶν πολιτῶν ζημιώσας εἰς χρήματα γυμνοτέρους ὑπέρου διαφῆκε τῆς πόλεως, οὓς δὲ ἀπέκτεινεν, οὓς δὲ ἀπεκρέμασεν ἐκ τοῦ λαώδους πλήθους καὶ τοῦ ἱερωμένου θεῷ τάγματος, καὶ τὸν δυσπραγῆ ἐν βασιλεῦσιν Ἀλέξιον καὶ τὴν τούτου σύνευνον Εὐφροσύνην διαποντίους τῷ τῶν Ἀλαμανῶν ἐξέπεμψεν ἄρχοντι. φεῦ φεῦ τοῦ καινοῦ τοῦδε καὶ ἀνηκούστου παρὰ Ῥωμαίοις ἀκούσματος, εἰπεῖν δὲ καὶ ἀθεάτου ἐς δεῦρο θεάματος! ταῖς δὲ Σέρραις ἐμβαλεῖν τὸν Ἰωάννην ἐνωτισάμενος, μήπω δὲ καὶ τὸ πέρας τοῦ συστάντος ἐκεῖσε πρότερον πολέμου πυθόμενος, στέλλει τοὺς συναρήξοντας τοῖς ἐν ταῖς Σέρραις ὁμοφύλοις. οἱ δ' ἐν τῷ ἀπιέναι τὰ ξυνενεχθέντα μαθόντες τὸν μὲν πόλεμον οὐδαμῶς διελύσαντο, ὡς ἤδη ἐν τῷ δεινῷ καθεστῶ- C τες, καίπερ εἰδότες γενησόμενον πρὸς πολὺ περιόντα πολέμιον· συρρήξαντες δὲ τοῖς ἐναντίοις κατὰ κράτος ἡττῶνται καὶ τρέπονται, Σκυθῶν αὐτοῖς προσβαλλόντων οὕτω συχνῶν κἀκ τῶν ἄλλῃ καὶ ἄλλῃ ἐκπιπτόντων ὡς ἔστι καὶ τὰ σμήνη θεάσασθαι τῶν σίμβλων προϊόντα καὶ τοὺς σφῆκας ἐξιπταμένους τῶν ἐνοδίων χηραμῶν. οὐκοῦν τοιαῖσδε μάχαις διτταῖς τὸ ἧττον ἀπενεγκάμενος ὁ μαρκέσιος αὐτὸς μὲν εἴσω τῆς Θεσσαλονίκης ἐγκλείεται, ὁ δέ γε Ἰωάννης κατὰ πᾶσαν ἄδειαν ἐς Βέρροιαν ἄπεισι, καὶ τὰς λοιπὰς πόλεις ὅσαι μαρκεσίῳ ὑπέκυπτον ἑαυτῷ προσῳκειώσεν.

Ὡς δ' εἶχον οἱ ἐν τῇ πόλει Λατῖνοι καὶ τάσδε τὰς δυσ-

2. ὑπέρου] τοῦ κοπάνου B. 16. Σκυθῶν] κομάνων ἐπεισπεσόντων αὐτοῖς. καὶ ἕτεροι δὲ οἱ πρότερον τῷ μαρκεσίῳ ὑποταγέντες κατ' αὐτοῦ ὡς σφῆκες διηγέρθησαν B.

alios suspendit, tam ex laicis quam ex ordine deo consecrato. et miserrimum imperatorem Alexium cum Euphrosyna coniuge per mare ad Alemanniae principem misit. heu heu rem novam et miserabilem et apud Romanos inauditam! heu spectaculum nunquam visum hactenus! audita porro Iohannis ad Serras impressione, auxilia suis popularibus qui in ea urbe erant mittit. qui quamvis eventu rei in itinere cognito, nihilo magis bello abstinuerunt, ut iam in ipso periculo constituti, licet sibi cum hoste longe superiore negotium fore intelligebant. praelio commisso vincuntur et profligantur a maxima Scytharum multitudine undique irruentium, non secus quam apum examina, quae ex alvearibus effunduntur, aut crabronum instar e cavernis iuxta vias erumpentium. duobus his praeliis victus marchio se Thessalonicae includit. Iohannes vero per summam licentiam Berroeam et alias marchionicas urbes occupat.

Ea quoque clade audita, Latini qui Byzantii erant, consilium

πραγίας ἐνωτισάμενοι, περὶ τοῦ ποιητέου σφίσι σκέψιν τι-
D θέασιν, ὁμοῦ γενομένων τοῦ τε Ἐρρῆ, ὃς ἦν τοῦ βασιλέως Βαλδουίνου κασίγνητος, καὶ Μαρίνου τοῦ δουκὸς Βενετίας· ὁ γὰρ Δάνδουλος τὸ ζῆν κατέστρεψεν. ἔδοξε τοίνυν ἅπασι
V. 328 χωρεῖν ἐπὶ πόλεμον καὶ τὴν δύναμιν ἄγειν κατὰ τῶν Θρᾳκίων πόλεων, ὁπόσαι Λατίνων ἀπέστησαν, ἕως ἔτι θερμὸς τῶν πολλῶν ὁ ζῆλος καὶ Ῥωμαίων Ἰωάννης ἀποδιίσταται, πολέμοις ἐναπειλημμένος ἄλλοις κἀκείνοις τὴν ἅπασαν σχολὴν χαριζόμενος. ἀμέλει καὶ μοῖραν τοῦ κατὰ σφᾶς στρατεύματος προεκπέμψαντες, ἣν ῥοῦταν ὠνόμαζον, πᾶν τὸ πρὸς ἰσχύος ἀνεπεγκλήτως δρᾶν ἐκδεδώκασιν ἐν τῷ τὰς πόλεις ἐπιέναι τὰς ἀποστάσας· ὅθεν καὶ προηγούμενον τόδε τὸ σύνταγμα οὐδὲν τῶν ἀνηκέστων καὶ ἀθεμίτων ἐκπεριίστατο. ἀλλὰ καὶ Βενέτικοι νῆας μακρὰς καθελκύσαντες τὰ ἑῷα πά-
P. 400 ραλα μέρη ἐλῄστευον πειρατεύοντες, τῷ Πανίῳ τε καὶ τῇ Καλλιπόλει προσσχόντες ὅσα χείριστα καὶ τῶν Χριστιανῶν ἐθῶν ἀλλότρια διεπράξαντο. ἦσαν οὖν πολύμορφα τὰ δεινά, βαρυαλγέστατα καὶ ἀνύποιστα. (12) ἐξιὼν δὲ καὶ αὐτὸς Ἐρρῆς, τὴν Ἀρκαδιούπολιν ὡς ἀνέμοις μόνον οἰκήσιμον παραλλάξας, τὴν δὲ εἴσοδον τοῦ Ἄπρω βιασάμενος, ἀνημέρως τοῖς ἐκεῖ προσφέρεται, τὸ ἐνοικοῦν ἐνδοὺς εἰς σφαγήν, ὡς εἰ ποίμνιον ἦν καὶ βουκόλιον ἀλλ' οὐ Χριστώνυμον τὸ κτεινόμενον, καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ τοῖς Βλάχοις ὑποκύψαν μηδὲ

9. ἀμέλει] ὅθεν καὶ τοὺς ἐξ οἰκείου θελήματος διὰ κέρδος ἀκολουθῆσαι προαιρεθέντας σύνταξιν μίαν ποιήσαντες B. 16. καλλιουπόλει B, more suo.

ineunt quid sit agendum, concilio ab Errico Balduini fratre et Marino Venetiarum duce indicto: nam Dandulus obierat. cum omnibus bellum capessere placuisset et copias contra urbes Thraciae ducere, quae a Latinis defecerant, dum populi animi adhuc ferverent, et Iohannes aliis bellis occupatus iisque solis intentus a Romanis abesset. itaque partem exercitus, quae utilitatis suae causa ultro sequi vellet (Rottam ipsi vocant), ablegarunt, potestate data urbes quae defecissent suo arbitratu tractandi. ea cohors antegressa a nullo scelere, a nullo piaculo abhorruit. Veneti quoque Orientalem oram longis navibus infestabant, et Callipoli ac Panii pessima et a Christianorum institutis abhorrentia quaeque perpetrarunt, ut calamitates essent multiplices atroces intolerabiles. (12) Erricus quoque Arcadiopoli, ut solis ventis habitabili, praeterita, per vim Aprum ingressus, cives inclementer tractatos occidi sinit, quasi grex aut armentum, non autem Christiani, et vi potius subacti quam sua sponte addicti Blachis trucidarentur. multi etiam vincti laqueis per

προσχωρῆσαν ἑκουσιότητι. πολλοὶ δὲ καὶ σχοινόδετοι κατὰ κώμας καὶ πόλεις περιαγόμενοι ζωγρίαι τὰ λύτρα ἐρανιζόμενοι τοῖς συνειληφόσι κατετίθεσαν. οἱ δ' ἐν ταῖς ἀπαγωγαῖς B ταύταις ἢ νοσηλείᾳ σώματος προσπαλαίσαντες ἢ τῷ τῆς ὁδοιπορίας μήκει ἐκτονωθέντες τῆς τραχηλοκάκης ἀνιέμενοι οὐμενοῦν ὡς ὁμόπιστοι φθινύθειν εἰῶντο καὶ παρακατατίθεσθαι μόρῳ φυσικῷ τὴν ψυχήν, ἀλλ' ἀπεδειροτομοῦντο ξίφεσιν, εἴτε μὴν κατὰ σπλάγχνων βαθεῖαν ἐδέχοντο τὴν πληγήν. ὁ δ' Ἐρρῆς τὴν Ὀρεστιάδα καταλαβὼν στρατοπεδεύεται περὶ αὐτήν, χάρακά τε βαλὼν καὶ βαθεῖαν τάφρον ὀρωρυχὼς (ταύτην γὰρ τὴν πόλιν ἀγώνισμα καὶ ἆθλον καὶ συμπέρασμα τῶν πόνων οἱ Λατῖνοι ᾤοντο) μὴ ἂν ἑτέρως ἐκεῖθεν ἀπονοστῆσαι τοῖς ἐν τῇ πόλει διήγγελλεν, εἰ μήτ' αὐτοὶ ξυμβαῖεν ὁμολογίαις ἢ γοῦν νόμῳ πολεμίῳ σφᾶς αὐτὸς πα- C ραστήσαιτο. οἱ δὲ καὶ πρὸς μόνην τὴν τῶν συμβάσεων ἐνήχησιν ἀποκναίσαντες μὴ Ῥωμαίοις ἐκ τοῦδε καὶ Λατίνοις ἔλεγον εἶναι ὅρκια πιστά, ἐπειδὴ καθάπαξ Λατῖνοι τὰ μὲν ἐς πίστιν ἀβέβαιοι, τοῖς δὲ προσχωροῦσι θηριώδεις, τοῖς δὲ πολέμῳ χειρουμένοις ἀνηλεέστατοι παρὰ Ῥωμαίοις ἐγνώσθησαν. ταῦτα πυθόμενος Ἐρρῆς πρὸς ἔργοις γίνεται. δισσαῖς μὲν οὖν τάφροις ὀρυκταῖς περιεζωσμένην τὴν πόλιν εὐρείαις τε καὶ βαθείαις εὕρατο, τοὺς δὲ πύργους τῆς πόλεως

10. βαθεῖαν τάφρον] μέγα χαντάκιν B. 22. τοὺς δὲ πύργους] ἐπὶ δὲ τῶν πύργων ξύλα μεγάλα κείμενα δοκάρια καὶ ἔξωθεν κατὰ πολὺ κρεμμάμενα καὶ σκεπασμένα ὄντα ἀπὸ πετζίων βοεικῶν B.

urbes et pagos circumducebantur, ut emendicata pecunia se a victoribus redimerent. in ea circumductione si qui aut morbis oppressi aut viae longitudine fatigati deficiebant, laxato colli vinculo non ut Christiani expirare sinebantur et naturali morte obire, sed gladiis obtruncabantur aut confodiebantur. Erricus vero castris ad Orestiadem positis profundum vallum communit. nam eam urbem unicum certamen, praemium et finem laborum arbitrantes, obsessis denuntiabant se inde non recessuros nisi ea vel sponte dedita vel vi expugnata. hi vero ad solam deditionis mentionem exacerbati responderunt nullum in posterum foedus inter Romanos et Latinos posse intercedere, quod et fide lubrica et in dedititios belluina immanitate, in bello subactos maiori etiam crudelitate uterentur. his auditis Erricus operibus intentus urbem duabus latis et profundis fossis circumdatam invenit, urbis vero turribus pegmata altissima adiecta, quae pellibus et taurinis tergoribus contra ignem et ad propugnatores defendendos obtegebantur. supra eas ligneas turres mali defige-

ἐπὶ τῶν ἄκρων δεξαμένους ἐκ δονάκων πήγματα ἐς πολὺ τοῦ ἀέρος ἀναβαίνοντα, καὶ προκαλύμματα ἔχοντας ἐκ διφθερῶν τε καὶ δέῤῥεων, ὡς μήτε πυριφλέκτοις βάλλοιντο βέλεσι καὶ D εἶεν ἅμα εἰς προβολὴν τοῖς ἀπὸ τούτων μάχεσθαι μέλλουσιν. ἀλλὰ καὶ τῶν ξυλίνων ἄνωθεν πύργων ἱστοὶ κατεπάγησαν, ἔχοντες οἷα καὶ ὅσα ἐπιχυθέντα ἐξάψαι τε φλόγα καὶ εἰς μέγα προκαλέσασθαι πέφυκεν. ἐνιαχοῦ δὲ καὶ ἐπ' αὐτῶν προυφαίνοντο τεκτονικὰ πολεμιστῶν ἀνδρῶν ἀναπαύματα, ὁποῖα εἰσανίασιν οἱ ἐπὶ τῶν ἰκρίων τὸν βυθὸν διορῶντες καὶ τὰ ἔθνη τῶν νεπόδων ἐπισκοπεύοντες. ἐπί τινων δὲ καὶ λίθους δι' ἁλύσεων ἠρτημένους, ἐπιχαλωμένους διὰ μηχανῶν καὶ αὖ πάλιν ἀναφερομένους καὶ πρὸς τὰς χρείας τῶν καιρῶν μεταγομένους. ἐπὶ δὲ καὶ τέσσαρα πρὸς τοῖς δέκα πετροβόλα ὄργανα ἐπὶ τῶν πύργων ἱστάμενα. ἔδοξεν οὖν Ἐῤῥῇ τε καὶ τῷ στρατεύματι τῆς μὲν ἔξω τάφρου πολέμῳ κρατῆσαι, χωσθείσης δὲ τῆς δευτέρας προσάγειν οὕτω τὰς μηχανὰς V. 329 τοῖς τείχεσι. πονήρως οὖν ἡ ἐφεξῆς τάφρος μετὰ τὴν τῆς P. 401 πρώτης ἅλωσιν ἐχωννύετο, καὶ κόρσαι ἀναύχενες καὶ ἄκορσα σώματα τῶν πιπτόντων ἀμφοτέρωθεν ἀνεπλήρουν ἐν πολλοῖς τὴν τῆς τάφρου κένωσιν. ὡς δ' ὀψέ ποτε καὶ μεθ' αἵματος κέχωστο, προσάγουσι τὰς πυργοειδεῖς τοῖς τείχεσι κλίμακας. ἔνθα ἡ μὲν τῇ τάφρῳ ἐνίσχεται καὶ ὑποχαλᾷ τῆς ὀρθότητος τῷ ἔτι μανῷ καὶ διακένῳ καὶ νεοχύτῳ τῆς χώσεως· ἡ δὲ λοιπὴ τῶν τειχῶν ἰθὺ προβᾶσα οὔπω διαβάθραν ἔβαλλε, καὶ τοῖς ἐκ τῶν ἱστῶν ᾐωρημένοις ἄνωθεν τῶν πύργων βά-

5. ἱστοὶ] ξύλα ὡς κατάρτια B. 9. ἰκρίων] ἰκρίνων A. 13. πετροβόλα ὄργανα] χαλαστάρια B.

bantur, in quibus ea erant quae flammam maximam incendere et late spargere solent. alicubi in eis etiam fabrefacta bellatorum sedilia visebantur, cuiusmodi eorum sunt qui ex tabulatis fundum maris explorant et pisces captant. in aliquibus saxa catenis suspensa gravibus et demittebantur et rursus attollebantur, et prout res postulabat, transferebantur. praeterea quatuordecim tormenta in turribus conspiciebantur. quare Errico et exercitui visum est priorem fossam vi occupare, secundaque expleta machinas muris admovere. ac altera fossa, priore capta, difficulter explebatur, et capita et trunci cadaverum eorum qui utrinque cadebant, hiatus eius multis in locis explebant. qua tandem non sine sanguine complanata scalas turritas ad moenia adducunt; quarum altera in fossa detenta ob aggerem recens congestum, vacuum alicubi et rarum adhuc, subsedit; altera recta ad murum producta, priusquam diabathra coniiceretur, saxis

ρου τῷ λίθῳ πιεσθεῖσα καὶ τοῖς ἐκ μαγγανικῶν ὀργάνων συντριβεῖσα πρὸς οὐδὲν ἐγένετο χρήσιμος. μάλιστα μὲν οὖν καὶ πολλοὶ τῶν ἐπ' αὐτῆς μαχομένων κακῶς ἔπαθον, ἐν οἷς ἦν καὶ Πέτρος ὁ ἐκ Πλάντζης ὁ κράτιστος ἅμα πάντων καὶ εἰς ἀνδρείαν ὀνομαστότατος, λίθῳ τὸ κρανίον καταχθείς. καὶ B τότε μὲν οὕτω τὰ Λατινικὰ [illegible] ἐγχειρήματα· τῇ δ' ὑστεραίᾳ τοῖς τείχεσιν οἱ πύργοι πάλιν προσάγονται καθ' ἕτερον μέρος τῆς πόλεως, καὶ εἰσίασι σφᾶς τὸ τοῦ στρατεύματος μαχιμώτατον. ἐν τούτῳ δὲ οἱ τῆς πόλεως ἀπομαχόμενοι ὀλίγου πᾶσαν τὴν μηχανὴν τοῖς βάρεσιν ἰδόντες ἐγγίσασαν καὶ γέφυραν [illegible] πρὸς τῶν ἐπ' αὐτῆς τεταγμένων διαπορθμευομένην καὶ τῶν τειχῶν ἐπιψαύουσαν, ἀναπετάσαντες τὰς πύλας ἐπεκθέουσι μεθ' ὅπλων καὶ τῶν ὅσα τρέφουσι πῦρ καὶ τὴν φλόγα ἐπὶ μέγα αἴρουσι, καὶ μάχη καρτερωτάτη τῶν [illegible] συνίσταται. ἄπρακτοι τοίνυν καὶ τότε μεταχωρήσαντες καὶ αὐτὰ εἶχον τὰ μηχανήματα ἐπ' ὄψεσιν C αὐτῶν ἐμπιπρώμενα. ἀλλὰ καὶ τῶν ἔξωθεν στρατεύματα Βλάχων τε καὶ Σκυθῶν περιιόντα τὸν χάρακα οὐκ εἴων ἐς τὴν παρεμβολὴν εἰσάγεσθαι τὰ βιώσιμα. ἀμηχανίᾳ τοίνυν ληφθέντες καὶ διατεθέντες ἀθυμότερον, στείλαντες ἐς Βυζάντιον σύναρσιν ᾔτουν ὑφ' ἑτέρας νεαλοῦς δυνάμεως. καὶ ᾔσαν οἶδε ὑπ' ἀνάγκης μᾶλλόν τι ἤπερ κατὰ γνώμην ἐξῄσαν, ἀφορισμῷ καὶ ἀναθέματι μὴ οὕτω δρῶντες ὑποβαλλό-

1. πιεσθεῖσα] τζακισθεῖσα ἀχρησίμευτος παντελῶς ἐφάνη R. 4. Πλάντζης] Φάντζης B. 3. ὡς καὶ πολλοὺς — ἀποθανεῖν B. 20. στείλαντες] γράφουσι τοὺς ἐν Κωνσταντινουπόλει εὑρισκομένους ὡς ἂν καὶ ἄλλην πέμψωσι νέαν στρατιάν, εἴτε ἀπὸ τῶν ἐντὸς τῆς πόλεως εἴτε ἀπὸ τῶν ἔξωθεν. οἵτινες καὶ ὑπ' — B.

tormentorum contrita est et facta inutilis. in qua qui pugnabant, plurimi male sunt accepti. tum Petro Plancio, viro robustissimo et ob fortitudinem celeberrimo, calva est saxo confracta. itaque eo die conatus Latinorum irriti fuerunt. postridie turres denuo moenibus alia parte urbis admoventur, easque viri bellicosissimi conscendunt. interea propugnatores cum fere omnes machinas turribus imminere viderent, et pontem sublicium a certis traduci et moenia iam contingere, armati portis erumpunt, quicquid excitando augendoque incendio aptum est secum portantes. pugna igitur atrocissima committitur. infectis rebus, machinis in conspectu eorum crematis, recedunt. sed et foris Blachorum et Scytharum exercitus circa vallum obequitans commeatum in castra apportari non sinebat. itaque consilii inopes, et animorum alacritate fracta, novas copias Byzantio accersiverunt, quae quidem necessitate magis quam volun-

ἐπὶ τῶν ἄκρων δεξαμένους ἐκ δονάκων πήγματα ἐς πολὺ τοῦ
ἀέρος ἀναβαίνοντα, καὶ προκαλύμματα ἔχοντας ἐκ διφθερῶν
τε καὶ δέρρεων, ὡς μήτε πυριφλέκτοις βάλλοιντο βέλεσι καὶ
D εἶεν ἅμα εἰς προβολὴν τοῖς ἀπὸ τούτων μάχεσθαι μέλλουσιν.
ἀλλὰ καὶ τῶν ξυλίνων ἄνωθεν πύργων ἱστοὶ κατεπάγησαν,
ἔχοντες οἷα καὶ ὅσα ἐπιχυθέντα ἐξάψαι τε φλόγα καὶ εἰς
μέγα προκαλέσασθαι πέφυκεν. ἐνιαχοῦ δὲ καὶ ἐπ᾽ αὐτῶν
προυφαίνοντο τεκτονικὰ πολεμιστῶν ἀνδρῶν ἀναπαύματα,
ὁποῖα εἰσανίασιν οἱ ἐπὶ τῶν ἰκρίων τὸν βυθὸν διορῶντες καὶ
τὰ ἔθνη τῶν νεπόδων ἐπισκοπεύοντες. ἐπί τινων δὲ καὶ λί-
θους δι᾽ ἁλύσεων ἠρτημένους, ἐπιχαλωμένους διὰ μηχανῶν
καὶ αὖ πάλιν ἀναφερομένους καὶ πρὸς τὰς χρείας τῶν και-
ρῶν μεταγομένους. ἐπὶ δὲ καὶ τέσσαρα πρὸς τοῖς δέκα πε-
τροβόλα ὄργανα ἐπὶ τῶν πύργων ἱστάμενα. ἔδοξεν οὖν Ἐρρῇ τε
καὶ τῷ στρατεύματι τῆς μὲν ἔξω τάφρου πολέμῳ κρατῆσαι,
χωσθείσης δὲ τῆς δευτέρας προσάγειν οὕτω τὰς μηχανὰς
V. 329 τοῖς τείχεσι. πονήρως οὖν ἡ ἐφεξῆς τάφρος μετὰ τὴν τῆς
P. 401 πρώτης ἅλωσιν ἐχωννύετο, καὶ κόρσαι ἀναύχενες καὶ ἄκορσα
σώματα τῶν πιπτόντων ἀμφοτέρωθεν ἀνεπλήρουν ἐν πολλοῖς
τὴν τῆς τάφρου κένωσιν. ὡς δ᾽ ὀψέ ποτε καὶ μεθ᾽ αἵματος
κέχωστο, προσάγουσι τὰς πυργοειδεῖς τοῖς τείχεσι κλίμακας.
ἔνθα ἡ μὲν τῇ τάφρῳ ἐνίσχεται καὶ ὑποχαλᾷ τῆς ὀρθότητος
τῷ ἔτι μανῷ καὶ διακένῳ καὶ νεοχύτῳ τῆς χώσεως· ἡ δὲ
λοιπὴ τῶν τειχῶν ἰθὺ προβᾶσα οὔπω διαβάθραν ἔβαλλε,
καὶ τοῖς ἐκ τῶν ἱστῶν ᾐωρημένοις ἄνωθεν τῶν πύργων βά-

5. ἱστοὶ] ξύλα ὡς κατάρτια B. 9. ἰκρίων] ἰκρίνων A. 13. πετροβόλα ὄργανα] χαλαστάρια B.

bantur, in quibus ea erant quae flammam maximam incendere et late spargere solent. alicubi in eis etiam fabrefacta bellatorum sedilia visebantur, cuiusmodi eorum sunt qui ex tabulatis fundum maris explorant et pisces captant. in aliquibus saxa catenis suspensa gravibus et demittebantur et rursus attollebantur, et prout res postulabat, transferebantur. praeterea quatuordecim tormenta in turribus conspiciebantur. quare Errico et exercitui visum est priorem fossam vi occupare, secundaque expleta machinas muris admovere. ac altera fossa, priore capta, difficulter explebatur, et capita et trunci cadaverum eorum qui utrinque cadebant, hiatus eius multis in locis explebant. qua tandem non sine sanguine complanata scalas turritas ad moenia adducunt; quarum altera in fossa detenta ob aggerem recens congestum, vacuum alicubi et rarum adhuc, subsedit; altera recta ad murum producta, priusquam diabathra conliceretur, saxis

ρεσι τῶν λίθων πιεσθεῖσα καὶ τοῖς ἐκ μηχανῶν ἀφέμασι συντριβεῖσα πρὸς οὐδὲν ἐγένετο χρήσιμος. μάλιστα μὲν οὖν καὶ πολλοὶ τῶν ἀπ' αὐτῆς μαχομένων κακῶς ἔπαθον, ἐν οἷς ἦν καὶ Πέτρος ὁ ἐκ Πλάντζης ὁ κράτιστος ἅμα πάντων καὶ εἰς ἀνδρείαν ὀνομαστότατος, λίθῳ τὸ κράνιον κατεαγείς. καὶ B τότε μὲν οὕτω τὰ Λατινικὰ διαπεπτώκασιν διαβούλια· τῇ δ' ὑστεραίᾳ τοῖς τείχεσιν οἱ πύργοι πάλιν προσάγονται καθ' ἕτερον μέρος τῆς πόλεως, καὶ εἰσάνεισί σφας τὸ τοῦ στρατεύματος μαχιμώτατον. ἐν τούτῳ δὲ οἱ τῆς πόλεως ἀπομαχόμενοι ὀλίγου πᾶσαν τὴν μηχανὴν ταῖς βάρεσιν ἰδόντες ἐγγίσασαν καὶ γέφυραν ποιητὴν πρὸς τῶν ἐπ' αὐτῆς τεταγμένων διανομένην καὶ τῶν τειχῶν ἐπιψαύουσαν, ἀναπετάσαντες τὰς πύλας ἐπεκθέουσι μεθ' ὅπλων καὶ τῶν ὅσα τρέφουσι πῦρ καὶ τὴν φλόγα ἐπὶ μέγα αἴρουσι, καὶ μάχη κρατερωτάτη τῶν πρώην συνίσταται. ἄπρακτοι τοίνυν καὶ τότε μεταχωρήσαντες καὶ αὐτὰ εἶχον τὰ μηχανήματα ἐπ' ὄψεσιν C αὐτῶν ἐμπιπρώμενα. ἀλλὰ κἀκ τῶν ἔξωθεν στρατεύματα Βλάχων τε καὶ Σκυθῶν περιιόντα τὸν χάρακα οὐκ εἴων ἐς τὴν παρεμβολὴν εἰσάγεσθαι τὰ βιώσιμα. ἀμηχανίᾳ τοίνυν ληφθέντες καὶ διατεθέντες ἀθυμότερον, στείλαντες ἐς Βυζάντιον σύναρσιν ᾔτουν ὑφ' ἑτέρας νεαλοῦς δυνάμεως. καὶ ᾔσαν οἶδε ὑπ' ἀνάγκης μᾶλλόν τι ἤπερ κατὰ γνώμην ἐξήεσαν, ἀφορισμῷ καὶ ἀναθέματι μὴ οὕτω δρῶντες ὑποβαλλό-

1. πιεσθεῖσα] τζακισθεῖσα ἀχρησίμευτος παντελῶς ἐφάνη B. 3. ὡς καὶ πολλοὺς — ἀποθανεῖν B. 4. Πλάντζης] ῥάιζης B. 20. στείλαντες] γράφουσι τοὺς ἐν κωνσταντινουπόλει εὑρισκομένους ὡς ἂν καὶ ἄλλην πέμψωσι νέαν στρατίαν, εἴτε ἀπὸ τῶν ἐντὸς τῆς πόλεως εἴτε ἀπὸ τῶν ἔξωθεν. οἵτινες καὶ ὑπ' — B.

tormentorum contrita est et facta inutilis. in qua qui pugnabant, plurimi male sunt accepti. tum Petro Plancio, viro robustissimo et ob fortitudinem celeberrimo, calva est saxo confracta. itaque eo die conatus Latinorum irriti fuerunt. postridie turres denuo moenibus alia parte urbis admoventur, easque viri bellicosissimi conscendunt. interea propugnatores cum fere omnes machinas turribus imminere viderent, et pontem sublicium a certis traduci et moenia iam contingere, armati portis erumpunt, quicquid excitando augendoque incendio aptum est secum portantes. pugna igitur atrocissima commissa, tum quoque infectis rebus, machinis in conspectu eorum crematis, recedunt. sed et foris Blachorum et Scytharum exercitus circa vallum obequitans commeatum in castra apportari non sinebat. itaque consilii inopes, et animorum alacritate fracta, novas copias Byzantio accersiverunt, quae quidem necessitate magis quam volun-

μενοι πρός τε τοῦ καρδηναρίου Μαρτίνου καὶ Θωμᾶ τοῦ προσεχῶς ἐκ Βενετίας ἀφιγμένου πατριάρχου Κωνσταντινουπόλεως. ἦν δὲ οὗτος ἐσθῆτά τε τὴν πάτριον περικείμενος, συνυφασμένην μικροῦ τῷ σώματι καὶ ῥαφιδουμένην ἑκάστης
D τὰ εἰς καρποὺς καὶ τὸ στῆθος ἀφιεῖσαν ἄνετον, καὶ τὸ γένειον ξυρόμενος δρώπακος ἀκρίβεστερον, ὡς εἶναι τὸ τῶν παρειῶν ἐδάφιον μηδ' ὑποφαιούμενον ὅλως ταῖς πρώταις ἀνατολαῖς τῶν τριχῶν, ἀλλ' ὡς λῃϊστὸν παντάπασιν ἄχλοον. μήπω δὲ τῆς ξυμμαχίας ἡκούσης καχεξία κατέσχε τὴν στρατιὰν ὑπό τε τῶν καταβεβλημένων ταῖς σκηναῖς νεκρῶν καὶ τοῦ τῶν ἀήθων εἰς βρῶσιν ἅψασθαι τοὺς πλείους ἢ τοὺς ἅπαντας. ἄραντες τοίνυν ἐκεῖθεν νυκτὸς ἀπενόστησαν, καὶ τοῖς περὶ τὸ Πάμφιλον χωρίοις ἐναυλισάμενοι τῶν ἀνηνύτων καὶ μακρῶν καμάτων ἑαυτοὺς ἀνεκώχευον. οὐχ οὗτοι δὲ μόνον τοῖς κακοῖς τοῖσδε περιεπάρησαν, ἀλλὰ καὶ οἵτινες αὐτοῖς συμμῖξαι καὶ συνελθεῖν ἀπεθάρρησαν ἐξιόντες τῆς πόλεως, Βλαχικοῖς καὶ Σκυθικοῖς κατὰ τὴν ὁδὸν ἐγκύρσαντες τάγμασι μικροῦ δεῖν ἅπαντες διεφθάρησαν. ὅθεν ἐς συμπήξεις ἄλλων μηχανῶν ἀπιδόντες ἱστοὺς δυαρμένων νηῶν ἐκ

1. πρός τε τοῦ] ὑπὸ τοῦ τότε εἰς γαρδηνάριον εὑρισκομένου μαρτίνου B. 3. ἦν δὲ ὁ Θωμᾶς οὗτος ἱμάτιον φορῶν συνεξυφασμένον οἷον εἰπεῖν καὶ ῥαμένον τῷ αὐτοῦ σώματι, τὸ στῆθος μόνον καὶ τοὺς καρποὺς τῶν χειρῶν ἐλευθέρους ἔχων ὀλίγον, τὰ γένεια ἐξυρημένος ὡς μηδεμίαν τρίχα φαίνεσθαι παντελῶς, ἀλλὰ τὸ ὅλον αὐτοῦ φαίνεσθαι μάγουλον ὥσπερ νέου ἀγενείου B. 8. λῄϊον? 10. ὑπό τε τῶν] ἀπὸ τῆς δυσωδίας καὶ τοῦ βρώμου τῶν νεκρῶν σωμάτων B. 14. οὐχ οὗτοι δὲ μόνον ἀπὸ τῆς τοιαύτης ἐκρατήθησαν νόσου, ἀλλὰ καὶ ὅσοι πρὸς αὐτοὺς ἑνωθῆναι ἠθέλησαν, τὰ αὐτὰ ἔπασχον. κατὰ δὲ τὴν ὁδὸν πολλοὶ ἀπὸ τούτων ἐφονεύθησαν, στράτευμα βλάχων εὑρόντες. B. 17. κατὰ τὴν ὁδὸν om A.

tate exibant: ni ita facerent, a Martino Cardinali et Thoma Cpolitano patriarcha nuper Venetiis profecto diris obstringendi et sacris interdicendi. is Thomas patrio vestitu indutus erat, qui corpus ita constringebat ut acubus illi assutus videretur, manibus duntaxat et pectore aperto; malis ita rasis ut, quemadmodum in impubi puero, nullum pili vestigium cerneretur. sed antequam auxilia venirent, lues invasit exercitum cum ex foetore cadaverum in tentoriis iacentium, tum quod plerique ac potius omnes cibos insolitos gustarant. quare noctu inde recesserunt; et in Pamphilo diversati ex diuturnis et inanibus laboribus se refecerunt. nec ii solum his malis conflictati sunt, sed ii etiam qui eos ex urbe accedere ausi fuerunt; et hi in itinere fere omnes a Scythis et Blachis interfecti sunt. unde alias ma-

τῶν παραλίων συνέλεγον πόλεων, καὶ ὅσων ὑπεσπάνιζον, ἐκ P. 402 τῶν τῆς Προποντίδος ὀρῶν ταυτὶ ἀπέτεμον, ἐργεπιείκτην πεπομφότες ἐκεῖσε τὸν τῆς Πετούνης κόμητα Κόνωνα. ἐπεὶ δὲ εἶχον ἅλις τῶν ἑλεπόλεων, ἐν πολλοῖς αὐτὰς καὶ σιδήροις διαλαβόντες ὡς εἶεν τοῦ πυρὸς σθεναρώτεραι, πρὸς τοῖς πολέμοις καὶ πάλιν γίνονται. καὶ δὴ τὴν Ὀρεστιάδα παρεικότες ὡς ἐξ ὧν ἔπαθον οὐχ ἁλώσιμόν σφισι δόξασαν, ἔγνων τῷ Διδυμοτοίχῳ προσβαλεῖν. οὐκοῦν καὶ παρ' αὐτῷ στρατοπεδευσάμενοι πολιορκεῖν εἰς νέωτα τὸ φρούριον διηρρένωντο, καὶ τὰ τειχομαχεῖα προσάγειν, ὡς ἂν ἐξέλωσιν, ἡτοιμάζοντο. ἀλλ' οὔπω ἐπὶ τῷ παροξυσμῷ τούτῳ τῶν Λατίνων ἔδυ ὁ V. 330 ἥλιος, καὶ πληροῦται νεφῶν ὁ ἀήρ, καὶ ῥαγδαίας βροχῆς θεόθεν B ἀφορισθείσης ἐν τοῖς ἀνόπιν τοῦ Διδυμοτοίχου μέρεσιν ὁ τῷ φρουρίῳ παραρρέων Ἕβρος διευρυνθεὶς ὑετῷ καὶ μέγας ἐκ μικροῦ τοῦ τότε φανεὶς τὰς πεδιάδας ἐξυδατοῖ, καὶ τῷ στρατοπέδῳ τῶν Λατίνων ἐξαπιναίως ἐπικλυσθεὶς ὅπλα παρασύρει καὶ μηχανάς, ἵππους ἀπάγει πολεμιστάς, ἄνδρας διανηχομένους τὸν Ἀχέροντα δείκνυσιν· εἰ δ' οὐκ ἦν ἐσέτι φαυσιβολῶν ἥλιος ἀλλὰ τὸ δεινὸν νυκτὸς ἐπεγένετο, τὸ πλεῖον ἂν ἀπώλετο τοῦ στρατεύματος. τῷ δ' ἐξαισίῳ τοῦ πράγματος καταπλαγέντες ὁπόσοι τῶν Λατίνων ἐς νοῦν ἔβαπτον μηδ' αἱμάτων ἄνδρες ἐς τὸ παντελὲς ἐτύγχανον ὄντες, μεταναστεύειν ἐκεῖθεν εἵλοντο καὶ τοῖς ἄλλοις οὕτω ποιεῖν ὑπέθεντο. C

2. ἐργεπείκτην] πρωτομάστορα καὶ ἐργάτην τῶν μηχανῶν ἀναδείξαντες τὸν τῆς πετρώνης κόμητα κώνωνα B. 14. Ἕβρος] εὖρος A. 18. εἰ δ' οὐκ] καὶ εἰ μὴ τὸ τῆς ἡμέρας φῶς ἔφεγγεν B.

chinas structuri malos biremium ex maritimis civitatibus collegerunt, et si quid deerat, ex Propontidis montibus arbores secuerunt, misso illuc qui opus maturaret, Conone Petunae comite. machinarum iusta copia parata, quas multis in locis ferro contra incendia munierant, belli fortunam denuo tentarunt; et Orestiade omissa, quam suis cladibus admoniti inexpugnabilem esse credebant, Didymotichum oppugnare statuerunt, ad eamque rem castris ibi positis et productis arietibus se pararunt. sed antequam sol super eo Latinorum conatu occideret, aër nubibus impletur, et vehementissimo imbri fluvius Eurus dilatatus et ex parvo magnus factus campos aquis implevit, et ex castris Latinorum subito et arma et machinas et equos bellicos et viros avexit; quodsi sol occidisset ac id malum noctu ingruisset, maior pars exercitus periisset. hac inusitata re admoniti Latini cordatiores et non plane sanguinarii inde discedendum esse censuerunt, et eius

ἀλλὰ καὶ τὸ λοιπὸν τῆς στρατιᾶς εἰς θαῦμα τὸ γεγονὸς θέμενοι ταχέως ἐξῆραν ἐκεῖθεν. καὶ οἱ μὲν σὺν αὐτῷ τῷ Ἐρρῇ τὴν Κωνσταντίνου κατέλαβον, οἱ δὲ τὰς πόλεις φρουρεῖν ἐπετράπησαν, ὁπόσαι χερσαῖαί τε καὶ ἀγχίαλοι Λατίνοις ὑπήκουον.

Πλὴν οὐδ' οὕτως ἠρέμησαν τὰ δεινά, οὔτε μὴν βελτίω παρὰ τοῦτο Ῥωμαίοις ἐφάνη τὰ πράγματα. ἥ τε γὰρ Λατίνων ὑπεροψία καὶ πρὸς Ῥωμαίους ὑποψία καὶ τὸ τοῦ φρονήματος ἀκαθαίρετον τῆς προώην προθέσεως εἴχετο, καὶ ἃ δρᾶν οὐκ εἶχον τοὺς ἀποστάντας καὶ καθ' ὧν πολλάκις τὰς λόγχας ἠκόνησαν, ταῦτα τοῖς ὑπὸ χεῖρα ἔτι ἐπέφερον, καὶ κατ' αὐτῶν τοὺς ὀδόντας ἔβρυχον. καὶ ἡ τῶν πρὸς ἕω Ῥω-
D μαίων περὶ τὸ κακῶς πάσχον ὁμογενὲς ἀνεπίστροφος γνώμη καὶ ἡ παντελὴς παρόρασις καὶ ἐπίλησις ἀφόρητα ἔβαλλεν· οὔτε γὰρ χρήμασιν ἢ στρατεύμασι τῶν δυτικῶν ἀντελαμβάνοντο πόλεων. (13) ἀλλ' οἱ μὲν Λατῖνοι τῆς Ἀσίας ἀναχωρήσαντες τὴν Θρᾴκην ἔκοπτον, μόνην ἀναρριπτοῦσαν τὸν ὑπὲρ ἐλευθερίας Ῥωμαίων κίνδυνον· οἱ δὲ ἡμέτεροι στρατηγοὶ τοῦ ἐκ σφῶν κινδύνου παρὰ δόξαν ἀνεθέντες οὐδὲν ἦσαν οὐδαμοῦ, οὔτε μὴν σωτήριόν τι καὶ φυλακτήριον ἑαυτοῖς καὶ τοῖς φυλέταις μετῆλθοσαν, ἀλλ' εἰς νοῦν ἀδόκιμον παραδοθέντες καὶ αὐτοὺς ἀπὸ θεοῦ μακρύναντες ὥστε τὰ μὴ καθήκοντα δρᾶν καὶ μηδαμῶς ἰέναι πρὸς αἴσθησιν, κατὰ

2. τῷ pr om A. 20. οὐδαμοῦ A in margine: PW ἀγαθοῦ.
22. καὶ — μακρύναντες om A.

sententiae aliis auctores fuerunt. sed et reliquus omnis exercitus miraculo eo consternatus celeriter inde recessit, aliis una cum Errico Byzantium reversis, aliis civitates mediterraneas et maritimas, quae Latinis parebant, custodire iussis.

Verum ne sic quidem mala quieverunt aut res secundiores Romanis fuerunt, quod Latinorum despicientia et de Romanis suspicio et implacabiles animi antiquum obtinebant. nam quae desertoribus, contra quos saepe hastas acuerant, inferre non poterant, ea in proximos quosque perpetrabant, et contra eos dentibus frendebant. sed et Orientalium Romanorum negligentia erga populares afflictos et summus despectus atque oblivio dolorem pene intolerabilem pariebat: nam neque pecuniis neque militum copiis Occidentalibus urbibus subveniebant. (13) Ac Latinis ex Asia digressis et Thraciam, quae sola pro libertate Romanorum dimicabat, vastantibus, nostri duces eo discrimine praeter expectationem liberati nusquam officii sui meminerant, neque salutare quicquam ad sui vel popularium defensionem conabantur. sed corruptis ingeniis praediti, et ut homines

δήμους καὶ φατρίας διέστησαν, πόλεις ἐξέμηναν, κατ' ἀλλήλων ὡπλίσθησαν τοὺς θεσμοὺς τῆς συγγενείας συγχέαντες, καὶ γεγόνασι φυλὴ φυλὴ καὶ Ἰσραὴλ Ἰούδας, τὸ πάλαι πα- P. 403 ρὰ τῷ προφήτῃ θρηνούμενον, οἱ μὲν τῷδε συννεύσαντες καὶ ὡς βασιλεῖ σφῶν προσφερόμενοι, οἱ δ' ἐκείνῳ προσρέψαντες, ὡς καὶ τοῖς πολλοῖς καὶ τοῖς φρονίμοις κρίνεσθαι εἰς κατάραν καὶ πλησμονὴν καὶ τῆς ὁμογενείας ἀπαλλοτρίωσιν. ὡς δέ ποτε συνέδραμον ἐς φιλίαν, οὐδ' οὕτω μὲν ὡς εἰς μίαν συνηρμόσθησαν γνώμην, οὐδ' ἐς συνασπισμὸν ἀλλήλους παραχροτήσαντες ἐπαρῆξαι ὅλως ταῖς ἑσπερίαις προέθεντο πόλεσιν, ἀλλ' εἰς χειροτονίας βλέψαντες βασιλέων οἱ μὲν κατὰ τὰ ποτώμενα τῶν ζώων συμφορηδὸν συνανίπτανται τῷδε καὶ συναπαίρουσιν, οἱ δὲ καὶ ῥάμνους ἀκανθώδεις ἐς ἀρχὴν προχειρίζονται. καὶ ἦν πολυαρχία πάλιν τὸ γεγονὸς ἐπινε- B μομένη τὴν ἕω, καὶ θηρίον τρικάρηνον ὑπὸ τῶν ἀβελτέρων διαπλεχθέν. ὁ μὲν γὰρ Μαυροζώμης Μανουὴλ τὸν Καϊχοσρόην ὑποδύς, οὐ πάνυ πρὸ πολλοῦ τῇ σφετέρᾳ θυγατρὶ συναφθέντα καὶ τῆς Ἰκονιαρχίας αὖθις λαβόμενον, ἧς εἶχε πρότερον ἐκπεσών, πάντα ἦν μηχανώμενος, εἴ πως αὐτῷ συναιρομένου τοῦ βασιλείου τύχῃ ὀνόματος, καὶ τὴν ὅσην ποτίζει Μαίανδρος ἐπιὼν μετὰ Τούρκων ἔφθειρέ τε καὶ ἔκειρεν. ὁ

4. τῷδε] τῷ δδεῖνι B. 11. οἱ μὲν ἐπὶ τοὺς δῆθεν ἀξίους ὥσπερ δένδρα εὐγενῆ ἐψήφιζον, οἱ δὲ καὶ ἀκανθώδεις ῥαδάμνους εἰς τὴν τῆς βασιλείας ἀρχὴν προεβάλλοντο B. 14. καὶ ἦν πολυβασιλεία μᾶλλον τὸ γενόμενον, τὴν ἀνατολὴν ὡς θηρίον τρικέφαλον κατατρώγουσαν, ἀπὸ τῶν ἀσθενεστέρων ἀρχόντων καὶ ταύτην συντρίβουσαν B. 17. ὑπενδυσάμενος B.

deserti a deo atque impii stupore quodam affecti, atque in factiones divisi, urbes concitarunt; alii alios oppugnarunt violato iure cognationis; tributim segregati sunt; Israel Iudas factus est, ut vetus ille propheta queritur, aliis huic ut regi addictis, aliis ad alium confluentibus. quae res multis, prudentioribus praesertim, execrationi similis, et destruendae necessitudini et inducendae alienationi esse videbatur. etsi autem tandem ad amicitiam ineundam concurrerunt, tamen ne tum quidem plane consenserunt, aut alii alios ad belli societatem cohortati ullo modo Occidentalibus urbibus opem ferre statuerunt: sed creandis imperatoribus intenti instar gregatim volantium avium cum uno quodam subvolabant et discedebant; alii etiam spinosis rubis imperium deferebant. unde multorum dominatus Orientem depascebat, tricipiti quadam bellua a vecordibus implexa. nam Maurozomes Manuel Caichosrois auxiliis fretus, cui non multo ante recuperato Iconio filiam desponderat, nihil non conabatur ut imperatorio nomine potiretur, et omnem Maeandrium tractum cum

δὲ Λάσκαρις Θεόδωρος, ὡς γένει εὐπρεπέστατος καὶ κήδει βασιλείῳ περίδοξος, ἀποκρουσάμενος ἐκεῖνον τὸ ἐρυθρὸν πέ- V. 331 διλον ὑποδύεται καὶ βασιλεὺς Ῥωμαίων ὑφ' ὅλων τῶν ἑῴων C ἀναγορεύεται πόλεων. ὁ δ' ἐκ Κομνηνῶν Δαβὶδ στρατολογήσας Παφλαγόνας καὶ οἳ τὴν Ποντικὴν οἰκοῦσιν Ἡράκλειαν, καὶ μοῖραν μισθωσάμενος Ἰβήρων τῶν πινόντων τοῦ Φάσιδος, κώμας καὶ πόλεις ὑπεποιεῖτο, καὶ τὸν οἰκεῖον μεγαλύνων κασίγνητον ᾧ ἡ κλῆσις Ἀλέξιος, πρόδρομος ἐκείνου καὶ προκῆρυξ ἐγένετο. ὁ δὲ ἔμελλεν ἀεὶ χρονίζων ἐν τοῖς τῆς Τραπεζοῦντος μέρεσι, καὶ παροιμιακὸς ἐδείκνυτο Ὕλας, φωνούμενος καὶ μὴ ὀπτανόμενος. ἐπεὶ δὲ καὶ τῇ Νικομήδους ὁ Δαβὶδ οὗτος προσεπέλασε διά τινος αὐτῷ στρατηγοῦντος μείρακος, Συναδηνοῦ τὴν ἐπίκλησιν, στράτευμα συναγείρας ὁ Λάσκαρις κατ' αὐτοῦ ἔπεισι, διὰ μὲν τῆς τετριμμένης καὶ λείας ἔμφασιν δοὺς πορεύεσθαι, ἐκπεριελθὼν δὲ τραχεῖαν D ἄλλην καὶ δύσβατον, καὶ προσπεσὼν ἀφώρατος τῷ Συναδηνῷ. ὅθεν καὶ στρατηγήσας οὕτω τὸν νεανίαν αὐτόν τε συνείληφε καὶ τὸ ἐκείνου στράτευμα διεσκέδασε, καὶ τὸν Δαβὶδ μὴ περαιτέρω προϊέναι τῆς Ποντικῆς Ἡρακλείας παρέπεισε. μετ' οὐ πολὺ δὲ καὶ τῷ Μαυροζώμῃ συμπλακεὶς φυγάδα δείκνυσι τοῦτον. καὶ τοὺς Τούρκους κατὰ κράτος τρεψάμενος οὓς μὲν διέφθειρεν οὓς δὲ ἐζώγρησε, καὶ τούτων μάλιστα οἳ τῆς στρατιᾶς προετάττοντο καὶ τὸ γένος ἦσαν ἐπίσημοι.

2. ἐξέρυθρον A, τὰ κόκκινα ὑποδήματα B. 19. τῆς Ποντικῆς] εἰς τὴν ποντοηράκλειαν B. 21. οὓς μὲν] τοὺς μὲν ἐσκότωσε τοὺς δὲ ἐδέσμευσε B.

Turcis vastabat. Theodorus Lascaris, nobilissimo genere ortus et imperatoris affinitate inclitus, illo profligato et rubro calceo induto ab omnibus Orientalibus urbibus imperator consalutabatur. David porro Comnenus exercitu ex Paphlagonia et Pontica Heraclea coacto, et Iberum qui ad Phasidem habitant legione conducta, pagos et urbes subigebat; et ut fratrem suum Alexium magnum redderet, praecursorem eius et praeconem agebat. caeterum is subinde cunctabatur, circa Trapezuntem moram trahens; et plane Hylam illum, de quo proverbium est, agens perpetuo vocabatur nec unquam comparebat. cum autem David adolescentem quendam, cognomento Synadenum, pro duce ad Nicomediam misisset, Lascaris cum exercitu contra illum proficiscitur, se trita et plana via progredi simulans: sed per aliam asperam et impeditam ex improviso Synadenum adortus capit, milites eius dissipat, Davidemque reprimit, ne ultra Ponticam Heracleam progrediatur. nec multo post Maurozomen quoque cum Turcis vi profligat, quos partim caedit, partim capit, eos praesertim qui genere illustres primam aciem obtinuerant.

Καὶ τῇδε μὲν τὰ πρὸς ἕω ἐφέρετο· ὁ δὲ Μυσὸς Ἰωάννης τῇ Φιλιππουπόλει ἐπιστρατεύσας αἱρεῖ ταύτην καὶ καθαιρεῖ προνομεύσας, καὶ πολλοὺς τῶν ἔνδον ὑποδικάζει τοῖς ξίφεσι, καὶ πάλαι μὲν ἐνσκολιευόμενος τῇ πόλει καὶ τῇ ταύτης ἐφεδρεύων ἁλώσει, καὶ βαρυμηνιῶν τοῖς οἰκήτορσιν ὡς μηδ' ὅλως αὐτῷ ὑποκύπτουσι μηδ' ὡς βασιλεῖ προσέχουσιν ἀλλ' P. 404
ὡς αἱμάτων ἄνδρα ἐκτρεπομένοις, καὶ τότε δὲ πρὸς πλείονα θυμὸν ἐκκαυθεὶς ὑπὸ βαρβάρου φρονήματος οἷς τὸν Ἀσπιέτην Ἀλέξιον εἰσῳκίσαντο, κἀκείνῳ μὲν ὡς ἀρχηγῷ ὑπέκειντο σφῶν, αὐτὸν δ' ἐπιόντα μεθ' ὅπλων πολλαχῇ ἀπεκρούσαντο. ἦν δ' ἂν ἡ πόλις ἥδε κακῶν ἀθιγής, εἰ καθ' ἑαυτὴν διεξήγετο, τοῦτο μὲν ἠπίως προσφερομένη Λατίνοις, τοῦτο δὲ τὸν Μυσὸν Ἰωάννην οὐκ ἐκτρεπομένη παντάπασι. νῦν δ' ἑπομένη τῇ μητρὶ παῖς, ἐξ ὧν ἀκροσφαλὴς ἐκείνη γέγονε καὶ εὐάλωτος βασιλὶς οὖσα καὶ πασῶν ὑπερκειμένη πόλεων, ἐκ τούτων δὴ καὶ αὕτη χείροσι κακοῖς προσωμίλησε, καθ' ὅσον προνομαῖς ἐκδοθεῖσα καὶ μαχαίρας στόματι ἔτι καὶ προσκαθήρηται B
καὶ εἰς περιφανὲς ἐρείπιον κατηδάφισται, καθ' ἓν μόνον τοὺς ὀφθαλμοὺς διαχέον τῶν θεωμένων, τὸ ἐκ ποδῶν ἀνηρτῆσθαι τὸν Ἀσπιέτην ἐπ' ἰθυτενοῦς σκόλοπος, διατετορημένον τοὺς ἐπισφυρίους τένοντας καὶ κάλως ἐπὶ τούτων δεξάμενον. τὰ δ' ἐπὶ τούτοις, οὐκ ἔλαθον τὸν Ἰωάννην οἱ τῷ Ἀσπιέτῃ σύμφρονες καὶ πρὸς ὕψος βασιλείας ἐκεῖνον κουφίσαντες,

3. πολλοὺς τῶν τοπικῶν μετὰ σπάθης φονεύει. τὴν τοιαύτην γὰρ πόλιν καὶ πρὸ πολλοῦ ἀμυνόμενος ἦν B.

Hoc rerum Orientalium statu Iohannes Mysus Philippopolim capit diripit evertit, cives plerosque obtruncat; cuius urbis iam olim per insidias expugnandae occasionem captarat, habitatoribus infensissimus, quod deditionem sibi non fecissent et ut regi parere detrectassent, sed ut virum sanguinarium aversati essent. tum vero illud eius iracundiam exasperarat et barbaricam feritatem auxerat, quod Alexium Aspietem recepissent eique ut duci paruissent, se vero cum exercitu invadentem saepe repulissent. caeterum ea urbs inviolata mansisset, si suis auspiciis gubernata esset, tum quod Latinos benigne tractabat, tum quod Iohannem Mysum non prorsus aversabatur. nunc filia matrem sequens, postquam illa regina et princeps omnium labefactata et facile capta est, haec quoque graviora pertulit, direptionibus et caedibus oppressa, et insuper funditus eversa. cuius ruinae unum illud spectatu iucundum habent, quod Aspietem fune talos traiectum et in sublimi trabe pedibus suspensum ostentant. cui qui regni affectandi adiutores fuerant, cum Iohannem non laterent, ne incon-

ὅθεν ὑφορώμενοι μὴ δίκας δοῖεν ὡς ἀλλοπρόσαλλοι, ἀφίστανται λαμπρῶς. ἀμέλει καὶ ἐκποδὼν χωρισθέντες οἱ μὲν προσίασι Θεοδώρῳ τῷ Λάσκαρι, τῶν ἑῴων κρατοῦντι πόλεων, οἱ δὲ συνδραμόντες ἐς Ὀρεστιάδα, ἄλλοι δ' εἰσιόντες C τὸ Διδυμότοιχον Λατίνοις σπένδονται. καὶ πέμψαντες ἀγγέλους σφίσι στρατηγὸν ἐξαιτοῦνται τὸν Βρανᾶν Θεόδωρον. βραχὺ τὸ ἐν μέσῳ, καὶ τὴν Μυσίαν εἰσιὼν ὁ Ἰωάννης καὶ τἀκεῖ πρὸς τὸ εὖ διαθέμενος, καὶ κολάσεσι βαρείαις καὶ θανάτοις καινοῖς τοὺς ἀποστάντας ὑπενεγκών, ἔγνω μετ' ὀργιλώδους καὶ φονίου βλέμματος καὶ γνώμης ἀσυμπαθοῦς ἐπιστρατεύειν Ῥωμαίοις, οὐκέτι φάσκων τὰς σφῶν δολοφροσύνας ὑφίστασθαι καὶ τὸ ἄπιστον ἦθος καὶ τὸ τῆς αὐτῆς ὥρας πολλάκις παλιμπετὲς φρόνημα. τοίνυν ἀναρραγεὶς εἰς ὀργὴν στρατευμάτων Σκυθικῶν μελισσῶνας τοῖς ἐαρινοῖς ἀνθαμίλλους ἄνθεσι διαφίησι. τινὰ μὲν οὖν αὐτῶν ὡς οὐδὲ μυρ- V. 332 μήκων στρατεύματα τὰς ἱερὰς ἅλως ἀμφιποτώμενα τὴν D Ἀδριανοῦ διειλήφασι, τινὰ δὲ προσπελάσαντα τῷ Ῥουσίῳ πρὸς ἀντιμάχησιν ἐπισπῶνται τὸ τῇ πόλει ταύτῃ ἐφεδρεῦον ἐκ Λατίνων ὁπλιτικόν. κράτιστον δὲ ἦν τοῦτο διαφερόντως τῶν ἄλλων, καὶ ὑψηλὸν μὲν τὰ σώματα, θαυμαστὸν δὲ ταῖς μελέταις ταῖς κατὰ πόλεμον, καὶ παρά τινος Τερῇ στρατηγούμενον, ἀνδρὸς τῶν πάνυ ἐπισήμων καὶ εὐγενῶν. τὸ μὲν οὖν ὁπλισάμενον ᾔει τὴν ταχίστην, ἔνθα ἐξ ὀπτήρων ἐπύθετο τοὺς Σκύθας κατασκηνοῦν· οἱ δὲ τὴν ἐς αὐτοὺς τῶν Λατίνων

7. ὁ om A. 19. κράτιστον] στερεὸν δὲ ἦν τὸ κάστρον καὶ ἀσφαλέστατον, καὶ ὑψηλὸν μὲν διὰ τῶν ξυλοκατασκευῶν πύργων τῶν κατασκευασθέντων τεχνικῶς A.

stantiae poenas darent veriti, palam deficiunt; et alii ad Theodorum Lascarim Orientalibus urbibus dominantem se conferunt, alii Orestiadem concurrunt; alii Didymotichum ingressi cum Latinis pacem faciunt, et per legatos Theodorum Branam ducem sibi mitti petunt. nec multum temporis intercessit, cum Iohannes Mysiae rebus constitutis, et desertoribus gravibus suppliciis et novo mortis genere affectis, irato et caedem spirante vultu Romanis bellum inferre statuit, quorum sibi dolos, fraudes, perfidiam, summam levitatem diutius ferendas esse negabat. igitur ira percitus innumeras Scythicas turmas ablegat, quarum aliae Adrianopolim obsederunt, aliae Rusium aggressae Latinum praesidium, quod in urbe erat praestantissimum, proceris corporibus, belli usu mirabili praeditum, Tero quodam duce viro illustri et nobili, ad resistendum provocant. illi ergo milites armis correptis celerrime eo contendebant, ubi ex speculatoribus Scy-

φθάσαντες ἔφοδον εἰς τὸν τῷ Ῥουσίῳ παρακείμενον τόπον λεληθότως παρεσβάλλουσι, καὶ δὴ ἐπανιοῦσι τοῖς Λατίνοις ὀφθέντες τῷ τε τῆς θέας ἀδοκήτῳ διαθροοῦσι καὶ φαντάζεσθαι τὰ μὴ χρηστὰ τῷ πλήθει διδόασιν ἀμέλει καὶ συμπλοκῆς καρτερᾶς γενομένης, καὶ ταῖς ἀνδραγαθίαις ἐξισουμένων ἑκατέρων, τελευτῶν πολλὰ δράσαντες οἱ Λατῖνοι σχεδὸν ἀπέθανον ἅπαντες. τῆς δὲ μάχης ταύτης οὕτω γεγενημένης, ἕτεραι Σκυθῶν ἀποσπάδες μυριάριθμοί τε καὶ μάχιμοι περὶ P. 405
τὸν Ἄπρων ἐλάσασαι τοῦτον εὐπετῶς χειροῦνται καὶ ὅλον αἱροῦσιν αὐτοβοεί, καὶ τὸν μὲν καθεῖλον, τοῦ δ' ἐνόντος πλήθους ὃ μὲν ἀπέκτειναν οἱ Σκύθαι, ὃ δ' ἀπήνεγκαν εἰς λαφυροπώλησιν συνδοῦντες καὶ τὰς χεῖρας ἀποστρέφοντες πολλοὺς δὲ καὶ πυρὶ παρέδοσαν, νικῶντες, οὐ μὴν καὶ ταῖς νίκαις ἀνθρωπίνως χρώμενοι.

14. Ἐκ δὲ τῆς θερμῆς ταυτησὶ μάχης ἐπὶ τὴν παράλιον τραπόμενοι Ῥαιδεστόν, τὸν μὲν Βρανᾶν Θεόδωρον, ὃς ἡγεμόνευε τῶν ἐς Ὀρεστιάδα στελλομένων Λατίνων, καὶ πρὸ τοῦ ἐπιστῆναί σφας ἐκεῖθι φυγάδα δεδείχασιν, ὥσπερ καὶ τὸ συνεπόμενον ἐκείνῳ στράτευμα, τὴν δὲ πόλιν ὁλοσχερῶς B
καὶ κατὰ κράτος ἑλόντες ἠνδραποδίσαντο. εἶτα καὶ εἰς ἔδαφος βάλλουσιν, ἀθάνατον τὴν πρὸς ἡμᾶς ἔχθραν ὑπὸ Βλάχων ἔχειν δεδιδαγμένοι, καὶ πρὸς παῖδας ἀπὸ παίδων παραπέμπειν ἀείμνηστον. τὸ δὲ πρόθυμον μὴ καταψύξαντες, ἀπηντηκότες ἐκεῖθεν εἰς Πέρινθον, ἐκ δὲ ταύτης εἰς τὸ Δαόνιον οὐδε-

thas castra habere cognorant. hi vero Latinorum aggressione occupata clam locum subeunt Rusio vicinum; et Latinis redeuntibus improviso conspectu sui terrorem incutiunt, ut ob tantam multitudinem nihil boni ominarentur. acri praelio pari utrinque fortitudine commisso, tandem Latini multis caesis fere omnes occubuerunt. post hunc successum, Scythici exercitus bellicosorum virorum circiter decem millia primo impetu Aprum citra negotium capiunt et evertunt; multitudinem in urbe repertam partim occidunt, partim ut sub corona veneant, manibus post terga revinctis abducunt; multos etiam cremant, vincentes illi quidem, sed victoria non humaniter utentes.

14. Ab eius pugnae aestu calentes adhuc, ad maritimam Rhaedestum conversi, Branam Theodorum, qui Latinorum Orestiadem abeuntium dux erat, priusquam eo venirent, cum sequente exercitu in fugam coniiciunt; urbem vero vi expugnatam, civibus in servitutem redactis, solo aequant, immortales nobiscum inimicitias exercere a Blachis edocti et propagare ad omnem posteritatem. nec remissa alacritate Perinthum transeunt. inde Daonium, nemine illis ob mirabilem audaciam obviam eunte; et omni sexu et aetate capta moenia de-

νὸς ἐς χεῖρας ἰόντος διὰ τὸ τῆς τόλμης παράβολον, καθ' ἡλικίαν αὐτὰς ἠχμαλώτευσαν καὶ τὰ τείχη κατήρειψαν. οὐ μόνα δὲ τὰ πρὸς θάλασσαν οὕτως ἔπραττον ταῖς τῶν Σκυθῶν εὐχειρίαις καὶ γενναιότησι καὶ τῶν ἑπομένων σφίσιν ἐκ τοῦ Βλαχικοῦ συστήματος, οἳ καὶ μᾶλλον τοῖς περιβόλοις τῶν πόλεων ἐπεβούλευον, σκαπάνας καὶ πτύα χειριζόμενοι, ἀλλὰ
C καὶ τὰ τῆς ἅλμης ἀφιστάμενα πάντα τοῖς αὐτοῖς καὶ χείροσι κακοῖς προσεπάλαιον, μηδεμιᾶς ἐλπίδος εἰς σωτηρίαν ὑποκειμένης, ἐπεὶ καὶ ἀήθως ἐκ δουλείας ἐλευθερίας ηὐμοιρηκότες, τῶν μεγίστων ἀεὶ ἐφιέμενοι οὐδένα μὲν τοῦ δυσπραγήσειν αὖθις λόγον τιθέασι, ταῖς δὲ παρατυχούσαις τύχαις καὶ νίκαις ὡς ἐπὶ πλεῖστον ἐπεξερχόμενοι τῶν μὲν πρώην τέλεον ἐπιλήθονται, τοῖς δ' ἐνεστῶσι γήθονταί τε καὶ ἐνυβρίζουσι. διὰ ταῦτα τοίνυν ἥ τε λαχοῦσα πολιστὴν τὸν Ἀρκάδιον καὶ Μεσήνη ἐπὶ τῇδε καὶ πρὸς αὐτῇ Τζουρουλὸς τὰ τῶν δεινῶν πεπόνθασιν ἔσχατα, καὶ ἀγροὶ καὶ κῶμαι καὶ τἆλλα ὁπόσα ταῖς πόλεσι ταύταις ὑπέκυπτον πρότερον, καὶ ὅσα ἐς αὐτὴν τὴν
D πόλεων πασῶν προεδρεύουσαν παρατείνουσι, ταῖς Σκυθικαῖς χερσὶ καθυπέκυψαν. ἐπὶ πᾶσι καὶ οἱ τὸ πόλισμα τὸν Ἀθύραν οἰκοῦντες ὀλέθροις ἀνηκέστοις περιεπάρησαν. τὰ μὲν γὰρ πρῶτα ἐπὶ χρήμασι τοῖς Σκύθαις συνέβησαν, καὶ ἦσαν οἳ ἐκ Σκυθῶν ἀφιγμένοι τὰ ἐκ χρυσοῦ εἰσέπραττον κόμματα· πρὸς δ' ἑσπέραν ἐνίων ἐκεῖθεν ἀπαντησάντων ἐκεῖσε τοῦ Λατινικοῦ συντάγματος ὃ συνῆν ἐν Ῥαιδεστῷ τῷ Βρανᾷ, κεχαρισμένως σφίσιν ἀλλ' οὐ προσάντως οἱ ἐν Ἀθύρᾳ προσφέ-

23. ἐκεῖθεν expungendum.

struunt. nec ora maritima duntaxat ab expeditissimis et fortissimis Scythis et Blachica cohorte, quae illos comitabatur moenibus urbium cum vectibus et ligonibus infesta, sic tractata est: sed mediterranea quoque malis iisdem et gravioribus sunt oppressa, nulla spe salutis affulgente. nam qui ex servitute insuetam libertatem propitia fortuna consecuti sunt, maxima perpetuo affectantes, neque se in posterum calamitati ulli fore obnoxios opinantes, successibus et victoriis effuse indulgent, pristini status obliti, praesenti vero laeti et insolentes. proinde Arcadiopolis Mesena et Zurulus, cum agris villis et omni eo quod iis urbibus olim paruit, extremas clades sunt perpessae; et quae ad urbem omnium principem usque pertinent, omnia sunt a Scythis oppressa. post omnia oppidum Athyra ad internecionem est deletum. nam cives principio cum Scythis pecunia transegerant, et aderant qui aureos nummos postularent. deinde quosdam ex Latinorum cohorte, qui Rhaedesti cum Brana fuerant,

ρονται· ᾤοντο γὰρ ὡς συμπαραμενοῦσιν ἐκεῖθι καὶ τὸν κα- V.333
τὰ Σκυθῶν ἀγῶνα ἐπαποδύσονται. ἀλλ' οἱ μὲν περὶ πρώτην φυλακὴν τῆς νυκτὸς ἐκεῖθεν μεθίστανται, λαθεῖν τοὺς Σκύθας καὶ παρελθεῖν σπουδὴν τιθέμενοι, κἂν ἐξέπεσον τῶν κατὰ σκοπόν, Σκυθῶν ἑτέραις μοίραις προελασάσαις ἐγκύρσαντες κατ' αὐτὸ τὸ Ῥήγιον, καὶ πάντες ὡς διὰ βραχέος ἐς τὸ ζῆν κινδυνεύσαντες. οἱ δὲ Σκύθαι μετὰ τὴν Λατίνων ἀπο- P. 406
νόστησιν ὑπὸ τῶν τὰ χρήματα συλλεγόντων ὁμογενῶν λάθρα περὶ μέσας νύκτας διὰ τοῦ τείχους ἀνιμηθέντες, καὶ τῶν πυλῶν ἐγκρατεῖς γενόμενοι, τὰ ξίφη σπασάμενοι σὺν ἀλαλαγῇ φρικαλέᾳ τοῖς πλείστοις ἔτι καταδαρθάνουσιν ἐπεισπίπτουσιν, ὅτε μὴ διαδρᾶναι ῥᾴδιον ἦν. γίνεται οὖν τῆς νυκτὸς ἐκείνης ἔργον χρῇζον δακρύων κατὰ ποταμοὺς ῥεόντων ἀέναα· οὐ γὰρ μόνον ἄρρενές τε καὶ θήλειαι τοῦτο μὲν ἀνηρέθησαν τοῦτο δὲ ἀπήχθησαν δορυάλωτοι, ἀλλ' οὐδὲ τὰ ὑπομαστίδια τῶν παίδων τοῦ κακοῦ ἐφάνη ἀνώτερα, ἀλλ' ἀπεθερίσθη καὶ ταῦτα κατὰ χλόην καὶ ἄνθος εὐμάραντον ὑπὸ τῶν ἐλέῳ ἀναλώτων ἐκείνων ἀνδρῶν, καὶ μηδαμῶς εἰ- B
δότων ὡς ἀδικεῖ τὴν φύσιν καὶ θεσμὸν ἀθετεῖ τὸν ἀνθρώπινον ὁ περαιτέρω τῆς νίκης καὶ τοῦ κρατεῖν τῶν ἐναντίων θυμῷ χρώμενος. τὸ δὲ δὴ μείζονος πένθους ἄξιον, προκατειληφότες οἱ ἄσπονδοι τὰς ἠόνας τοὺς ἐπ' αὐτὰς συνδραμόντας οὓς μὲν διήλαυνον ξίφεσιν, οὓς δὲ ἀπῆγον ὀπίσω, οὓς δὲ κατὰ βυθὸν ἠνάγκαζον φέρεσθαι καὶ τοῖς ὕδασιν ἐναπόλλυσθαι. βραχεῖς δὲ καὶ σκαφῶν λαβόμενοι διεσώθησαν.

24. βυθοῦ?

vesperi urbem ingressos Athyrani libenter et minime gravatim susceperunt: putabant enim eos illic mansuros et cum Scythis pugnaturos. sed illi sub primam noctis vigiliam inde discedunt, opera data ut Scythas clam praeterirent; etsi spe sua frustrati, iuxta ipsum Rhegium in Scytharum cohortes antegressas delapsi omnes exiguo momento perierunt. Scythae vero post Latinorum discessum a popularibus suis pecuniae exactoribus clam circa mediam noctem funibus per muros attracti, et portis potiti, cum horribili clamore strictis ensibus in plerosque adhuc dormientes, cum fuga minime expedita esset, irruunt. ea igitur nocte facinus editur, quod lacrimas postulat instar perennium amnium promanantes. nec enim viri et feminae duntaxat partim occisi partim in servitutem abducti sunt, sed nec lactentes infantuli eius mali expertes fuerunt: sed hi quoque ut immaturi et tenelli flosculi ab immisericordibus illis viris, ignorantibus naturae iniuriam fieri et humanitatis ius ab eo violari qui iracundiae ultra victoriam indulgeat, obtruncati sunt. et quod magis de-

ἦσαν δ' οἳ καὶ διαμαρτόντες τῆς ἀναβάθρας εἰς τὰς παρεξειρεσίας ὤλισθον καὶ παρερρύησαν εἰς τὴν θάλασσαν. οὕτω μέγα ἦν τὸ δεινὸν καὶ πολυειδές, καὶ μικροῦ πανώλεια τῶν ἐκεῖ. ἐκ δὲ τούτου κατὰ συναγωγὰς καὶ στρατόπεδα τοῖς ἔμπροσθεν προβαῖνον τὸ βάρβαρον ὡσεὶ καὶ σφοδρά τις λαῖ- C λαψ διεφόρει τὸ πᾶν, ἢ γοῦν ὡσεὶ πῦρ ὃ διαφλέγει δρυμὸν τὰ ἐν ποσὶν ἐπενέμετο. ἦν δὲ τῶν πάντων οὐδὲν ἀνεξερεύνητόν τε καὶ ἀπρονόμευτον, ἀλλ' ἐκ πλείστων καὶ μεγίστων πόλεων ἀσκύλευτοί τε καὶ ἀκαθαίρετοι Βιζύη τε καὶ Σηλυβρία παρὰ Σκυθῶν ὑπελείφθησαν· μόναι γὰρ αὗται οὐχ ὅπως ἰσχυροῖς διειλημμέναι τείχεσιν ἀλλὰ καὶ τῇ τῶν τόπων θέσει μάλιστα κρατυνόμεναι τὸν παντελῆ διέδρασαν ὄλεθρον, μηδ' ἄλλως ἀπὸ Λατίνων οὖσαι ἀνεπισκόπητοι. Ἰταλοὶ μὲν οὖν ἐπὶ τούτοις εἰς ἀγεννὲς καταβληθέντες φρόνημα ὡς εἰς μάνδραν τὴν Κωνσταντίνου ἐνειλοῦντο, καὶ τῶν ὅσα τοῖς πολιορκουμένοις χρήσιμα ἐπεμέλοντο, τὰ πρὸς χέρσον τείχη διανειμάμενοι, καὶ Ῥωμαίοις ἐνέδοσαν ἔνθα σφίσι βουλητὸν D ἀπανίστασθαι. τὸ δὲ πολέμιον χρονίσαν ἐν τοῖς μικρὸν ἄποθεν τῆς πόλεως χωρίοις, πολλάκις δὲ καὶ τοῖς τείχεσι προσεγγίσαν ἐν τῷ μάχης ἅπτεσθαι, ἔστι δ' ὅτε καὶ διὰ τῆς λεγομένης τοῦ ἁγίου Ῥωμανοῦ πύλης κατ' ὀλιγίστους ἐπεισιὸν πρὸς ἀνδρείας ἐπίδειξιν, εἰπεῖν δὲ καὶ τύχης, ἥτις ἐν ταῖς τότε πράξεσι αὐτοῖς συνεφείπετο, καὶ μετὰ φόνον τῶν ἐν

14. ὡς om A.

plorandum est, implacabiles homines occupatis littoribus eos qui illo accurrerant partim gladiis traiecerunt, partim retraxerunt, partim in aquam praecipitatos submerserunt pauci navigia adepti evaserunt. erant etiam qui scalam non adepti intra puppim et remiges in mare deciderent. tanta mali atrocitas fuit et pene internecio. ex eo barbari totis legionibus et exercitibus pergentes vastae procellae instar omnia dissipabant, aut incendii in silva grassantis obvia quaeque absumebant. neque rerum omnium quicquam erat impervestigatum et rapinis tutum. duae tantum ex plurimis et maximis urbibus, Bizya et Selybria, et rapinas et vastitatem effugerunt, non modo firmis cinctae moenibus, sed etiam locorum situ munitissimae. alioqui nec universalem interitum evitassent, et ne a Latinis quidem intentatae permansissent. ac Itali his adversitatibus fracti Cpoli velut in mandra condensabantur, et rebus ad tolerandam obsidionem necessariis comparatis terrestria moenia inter se partiti, Romanis quo vellent abeundi potestatem dederunt. hostes vero in locis parum ab urbe dissitis commorantes, saepe in pugna etiam proxime moenia accesserunt: nonnunquam per Divi Romani portam, ostentandae fortitu-

ταῖς πύλαις αὐτίκα μάλα ἐπαναλῦσαν, εἰς τὰ οἴκοι πάλιν πανστρατὶ ἐπανέζευξε, κατὰ μὲν ἀγέλας κτηνῶν τὸ αἰχμάλωτον, κατὰ δὲ τῶν ἄστρων τὴν πολυπλήθειαν τὰ ὑπὸ ζυγὸν καὶ δίαιταν ζῶα ἐληλακός.

Ἔπειτα μετὰ πλείστων καὶ κρατίστων δυνάμεων ἐξιὼν ὁ Ἰωάννης παντὸς ἔργου κρεῖττον καὶ προυργιαίτερον τίθησι τὴν Ἀδριανοῦ χειρώσασθαι καὶ καταστρέψαι τὸ Διδυμότοιχον, κρίνων τάσδε τὰς πόλεις ἆθλον τοῦ πολέμου παντός, καὶ ὡς εἴη ἅμα P. 407
οὕτως αὐτῷ τῆς Θρᾴκης ἀπαναστήσειν Ῥωμαίους καὶ θηρίοις ἀνεικέναι μόνοις αὐτὴν εἰς ἐνοίκησιν. περὶ τοίνυν τὸ Διδυμότοιχον καταστρατοπεδευσάμενος, καὶ τὸ χωρίον ὁρῶν ὑπερδέξιον χαλεπόν τε καὶ ἄπορον αἱρεθῆναι, μεταφέρειν τὸν πο- V. 334
ταμὸν Ἕβρον ἐπεβάλετο, περικλώμενον τῷ φρουρίῳ καὶ διὰ καθόδων τοῖς πολλοῖς ἀγνώστων τοὺς ἔνδον ποτίζοντα. καὶ μηχανὰς περιστήσας τὸ τεῖχος ἔτυπτεν, ἐν οἷσπερ εἴκαζε μὴ πάμπαν εἶναι τοῖς προσβάλλουσιν ἀκατάσειστον, οὔτε μὴν προεκλύοιντο τὰ διαφιέμενα τῶν λίθων βάρη τῷ διαστήματι. οἱ δ' ἔνδον τὸν Ἰωάννην ἐκμειλισσόμενοι παραλογάς τινας καὶ φάσεις εὐπρεπεῖς καὶ παρακλήσεις αἱμύλους προσῆγον καὶ B
πόρρωθεν, καὶ ὡς βασιλέα σφῶν ἀνευφήμουν ἐφιστάμενοι ταῖς ἐπάλξεσι, καὶ φόροις ὑποκεῖσθαι καθωμολόγουν, καὶ πάντα δρᾶν συνετίθεντο προθύμως ὁπόσα ἂν ἐκεῖνος ἔχῃ διατάττεσθαι, πλὴν τοῦ δέξασθαι αὐτὸν τῷ πολίσματι. ὁ δὲ πρὸς ὀργὴν ἐκφερόμενος καὶ χαλεπαίνων οὐδαμῶς αὐτοὺς

dinis et comitantis tum felicitatis ergo, pauci numero ingressi, et occisis iis qui in porta erant, statim reversi, cum omni exercitu domum redierunt, captivos tanquam armenta pecudes et iumenta pro multitudine stellarum prae se agentes.

Inde Iohannes cum maximis et fortissimis copiis egressus, Adrianopolis et Didymotichi expugnationem caeteris rebus omnibus antevertendam esse duxit, simul quod eae urbes totius belli praemium essent, simul quod ea ratione Romanis pulsis Thraciam solis feris incolendam traditurus esset. castris itaque ad Didymotichum positis, cum oppidum videret in loco edito situm difficulter expugnari posse, fluvium Eurum, qui id ambibat et per meatus paucis cognitos civibus aquam suppeditabat, alio divertere instituit, et machinis in circuitu collocatis murum ferit, qua parte labefactari posse nec gravium saxorum impetum intervalli magnitudine lassatum iri putabat. oppidani vero ut Iohannem placarent, excusationes, speciosa verba et blandas preces etiam praetendebant; et stantes in propugnaculis eum pro suo rege celebrabant, et tributa pensuros caeteraque omnia quae imperasset alacriter facturos promittebant, modo ne eum urbe

ἐπὶ τούτοις προσίετο, ἀλλ' ὑπεκστῆναί οἱ τοῦ φρουρίου πολὺς ἐγκείμενος, ὡς καὶ μόνον οὕτω σπεισόμενος, κατ' οὐδὲν ὑφίετο τοῦ ἀγῶνος, ἐπάλξεις ἀποσύρων τῇ βίᾳ καὶ τῷ ῥοίζῳ καὶ τῷ μεγέθει τῶν ἀφιεμένων χερμάδων, καὶ γωνίας πύργων κατασπῶν, καὶ καταρρηγνὺς τὰ τούτων θωράκια. οἱ δ' ἐντὸς δρυφάκτους καὶ γέρρα πηξάμενοι, νεόδορα νάκη τοῖς
C τείχεσι προπετάσαντες, ὡς περιολισθαίνειν αὐτοῖς κολπουμένοις ὅσα αἱ μηχαναὶ διηφίεσαν, ἕως μὲν οὖν ἀνοχὴν τῷ μαχισμῷ παρεῖχεν ὁ Ἰωάννης, καὶ οὗτοι σχήμασιν ἱλασίμοις καὶ ῥήμασιν ἐναισίμοις ἐπλάττοντο τὸν ὑποβαίνοντα καὶ ἐτέχναζον· ἡνίκα δ' ἐκεῖνος ἀποβιβάζων τῶν ἵππων τὸ γενναῖον τῆς στρατιᾶς κατὰ τὰ παρερρωγότα μέρη τοῦ τείχους τοῦτο διέταττε πεφραγμένον τοῖς ὅπλοις πάντοθεν, ἢ καὶ πρὸς ἐπιβατηρίους ἔβλεπε μηχανάς, καὶ τὸ λοιπὸν ἀντιπαρεξέτεινε στράτευμα πανταχῇ, τότε καὶ αὐτοὶ τὰ τῶν ὑποπιπτόντων ἀποδυόμενοι προσωπεῖα καὶ τὸν λαμπρὸν πολέμιον παραφαίνοντες, ἐν οἷς εἶχον ἠμύνοντο, ἐν τοῖς τείχεσι κειμένην ὁρῶντες
D τὴν σωτηρίαν καὶ μηδὲν τῆς ἀνάγκης βιαιότερον ἕτερον κρίνοντες, ἀπογνώσει τε καὶ θυμῷ στρατηγούμενοι οὐκ ἐλάσσω ἔδρων ὧν ἔπασχον, χειρῶν καὶ τόλμης ἔργα ἐπιδεικνύμενοι. ἱκανῶς οὖν ἐπὶ τῇ πολιορκίᾳ ταύτῃ χρονοτριβήσας ὁ βάρβαρος ἐπάνεισιν ἐς Μυσίαν, περισβεσθεὶς μὲν καὶ τὴν ὁρμὴν ἀπορίᾳ ὡς καὶ ὕλης ἐκλειπούσης φλόξ, ἀλλὰ δὴ καὶ περιψοφηθεὶς ὑπὸ φήμης, ἑτέρῳ ἐξ ἑτέρου παραδιδούσης καὶ πολλαχῇ δια-

3. ἠφίετο A. 6. νεόδορα] πετζία B. 8. οὖν om A.

recipere cogerentur. ille vero ira percitus eas conditiones prorsus aspernabatur, nec alia ratione se pacem facturum asseverabat ni castello sibi cederent. nec de oppugnatione quicquam remittendo, vi impetu et magnitudine saxorum propugnacula, turrium angulos revellebat, eorumque tibicines perfringebat. oppidani vero tabulatis et cratibus intus structis, recens detractis velleribus moenia tegebant, ut machinarum saxa iis involuta labascerent. ac dum Iohannes pugnam remittebat, supplici gestu et blandis verbis submissionem callide simulabant. cum vero ille fortissimum quemque equo descendere iussum et ferro undique tectum iuxta perfractas muri partes collocabat, aut scalas parabat et reliquum exercitum passim extendebat, tum et ipsi abiecta supplicum persona, aperto Marte, ut res ferebat, se defendebant, salutem suam in moenibus esse positam haud ignari, nec quicquam necessitate violentius iudicantes. ac desperatione et iracundia ducibus, haud pauciores clades inferebant quam accipiebant, fortiter et audacter dimicando. barbarus igitur longo tempore in hac obsidione contrito in Mysiam revertitur irrito conatu, ut ignis

τριχούσης Λατινικὸν στῖφος ἔντροφον πολέμῳ πρὸς ἐπικουρίαν τῶν ἐκεῖθι μέλλον ἀφίξεσθαι. τότε δὲ μαλακῷ θανάτῳ τὸν βίον προήκατο καὶ ὁ πατριάρχης Ἰωάννης ὁ Καματηρός, καταλελυκὼς πλάνης καὶ ἄποικος ἐς τὸ Διδυμότοιχον.

15. Οἱ δ' ἐξ Ἰταλῶν οὐκ ἀηδῶς ἀλλ' ὠσὶν ὀρθίοις δεξάμενοι τὴν ἐς Ὀρεστιάδα καὶ τὸ Διδυμότοιχον πρόσκλησιν τῶν Ῥωμαίων, ὡς δῆθεν τὰ κατὰ σφᾶς διομαλίσουσαν πράγματα, ὅτι καὶ πρὸς τῶν πόλεων τῶνδε πρώτως ἀπὸ πασῶν ἐλπίδων καταρραγῆναι ᾤοντο, ἄραντες ἐκ τῆς Κωνσταντίνου τὴν μὲν πρώτην πρὸς τῷ Ἀθύρᾳ στρατοπεδεύουσι, τῇ δ' ὑστεραίᾳ εἴσω Σηλυβρίας παρῆλθοσαν. ἐκεῖθεν δ' ἡμέρας τινὰς διαγαγόντες καὶ ἐπισιτισάμενοι τὴν Ἀδριανοῦ κατειλήφασι. P. 408

Τοιαῦτα δ' ἦν τὰ ὑπὸ Σκυθῶν καὶ Βλάχων ἐν ταῖς τότε διαπραχθέντα ἐπιδρομαῖς, ὁποῖα οὖς οὐκ ἤκουσεν οὔτε ὀφθαλμὸς ἑώρακε πώποτε, οὔτε μὴν ἐπὶ καρδίαν τινὸς ἀναβέβηκε. B πόλεις μέγισται πρὶν καὶ περίπυστοι, μυριάνθρωποι, κωμοπόλεις ἀξιοθέατοι, ἀγροὶ καὶ λειμῶνες καλλιφύτευτοι, παράδεισοι εὐθαλεῖς, ἀειρρύτοις νάμασιν ἀγλαόκαρποι, ὑψόροφοι δόμοι καὶ οἰκήσεις περίβλεπτοι, ἐς ὑπερβολὴν πε-

1. στῖφος] φοσσάτον B. 19. ἀγροί. περιβόλια. βρῦσαι ψυχραὶ τρέχουσαι καὶ ἡδονὴν χορταίνουσαι τοὺς βλέποντας. λουτρά. κρινα. ἄνθη. κῆποι. ἀναπαύσεις. δένδρα εὔκαρπα. ἀμπελοπερίβολα. καὶ ἁπλῶς ὅσα πρὸς εὐφροσύνην καὶ τέρψιν τῶν ἀνθρώπων εἰσίν. καὶ τὴν γῆν εὐμορφοῦσι καὶ καλλωπίζουσι, καὶ τὸν ἡμέτερον βίον κοσμοῦσι καὶ εὐφραίνουσι B.

deficiente materia, restincto ardore. huc accedebat quod passim fama vagabatur, Latinum exercitum in re bellica exercitatissimum obsessis auxilio venturum esse. tunc Iohannes Camaterus patriarcha, qui post exilium Didymotichi inquilinum agebat, vitam cum levi morte commutavit.

15. Latini vero se a Didymotichinis et Adrianopolitanis accersi haud gravatim accipientes, quod inde res suas meliores fore arbitrabantur, cum illarum defectio primum spes et conatus eorum infregisset, Cpoli digressi principio ad Athyram castra ponunt, postridie Selybriam intrant, et aliquot diebus ibi exactis et commeatu praeparato Adrianopolim occupant.

Quae autem Scythae et Blachi in illis incursionibus perpetrarant, ea huiusmodi erant qualia nec visa unquam nec audita sunt, nec cuiquam in mentem venerunt. urbes ante maximae et celebres et frequentissimae, oppida spectatu digna, agri et prata amoenissima, horti pulcherrimi, perennibus rivis fecundi, altae domus, habitatio-

V. 335 φιλοτεχνημέναι καὶ χρώμασι πολυειδέσι διηνθισμέναι, παντοδαπαί τε χάριτες βαλανείων καὶ καρποβριθεῖς ἡμερίδες καὶ λήϊα τῷ σίτῳ ἀκμάζοντα καὶ ἄλλ' ἕτερα μυρία, ὁπόσα φύουσιν ὧραι καὶ τὸν ἡμέτερον βίον ἀγάλλουσι καὶ τιθέασιν ἐπιτερπὲς καὶ πάσαις χάρισι περιστεφὲς καὶ πολυάρατον τὸ περίγειον, ταῦτα δὴ πάντα ἔρημα ἀνθρώπων ὁρώμενα ἐχί-
C νοις μόνοις καὶ θηρίοις οἰκήσιμα ἦν. εἶπεν ἄν τις ἐπιστὰς ἐκείνοις καὶ πλεῖστα κοψάμενος καὶ δάκρυ χεάμενος καὶ κόνιν πασάμενος καταστροφὴν ὁρᾶν τοῦ παντός, ἢ γοῦν τῶν ὄντων ἑτέραν παραγωγήν, καθ' ἣν μὲν ὁ θεὸς ἀπεφαίνετο χόρτον καὶ βοτάνην καὶ σπεῖρον σπέρμα κατὰ γένος τε καὶ καθ' ὁμοιότητα ἐκ τῶν λαγόνων τῆς γῆς ἀναδίδοσθαι, ὁ δ' ἄνθρωπος οὔπω ἦν ὁ τούτοις χρησόμενος. πόθεν ἂν ἐπλούτησα γλῶτταν εἰς τοσούτων κακῶν διαρκῆ καὶ φιλότιμον ἀπαρίθμησιν, ἢ φωνῆς μέγεθος διαπεμπούσης τοῖς πόρρωθεν τὰ γραφόμενα; ὢς δυστυχὴς ἐγὼ συγγραφεύς, οἵοις κακοῖς ἐταμιευόμην, οἵοις ἐμοῖς τε καὶ τῶν φυλετῶν δυσπρα-
D γήμασι τὸν λόγον χαρίζομαι. τίς γὰρ ἂν καὶ σχοίη ὅλως ὑπενεγκεῖν τοιαῦτα θεώμενος τρόπαια πρὸς τῶν πολεμίων ἀνεγειρόμενα; οἱ μὲν γὰρ πάλαι τῆς μάχης κρατοῦντες, ἀνθρώπινα φρονοῦντες οὐδ' ἀθάνατα μίση τηρεῖν δοκιμάζοντες, διὰ ξύλων καὶ βραχέων λίθων ἀνίστων τρόπαια, ὅπως ὀλίγον χρόνον διαμεμενηκότα παρέρχηται, ὡς μηδὲ φιλίας ὑπο-

10. μὲν ὁ] immo ὁ μὲν.

nes conspicuae, summo artificio constructae et variis coloribus exornatae, venustissima lavacra, uvis onustae vites, arva segetibus gravida, et alia sexcenta quae tempus producit, quaeque vitam nostram ornant et terram iucundam, gratiis affluentem et optabilem reddunt, ea omnia hominibus vacua, echinis et feris tantum latibula praebebant. quae qui videret, cum maximo eiulatu et fletu, capite pulvere consperso, diceret se destructionem universi cernere, aut novam illam rerum naturam, qua iussit deus gramina et herbas et prolificum semen pro cuiusque genere et similitudine ex terrae visceribus gigni, cum nondum esset homo qui eis uteretur. unde mihi lingua suppetet ad iustam et copiosam tantorum malorum enumerationem? aut magnitudo vocis, quae scripta haec ad longe remotos transmittat? o me miserum scriptorem, quibus cladibus describendis supersum? quanta mea et meorum popularium mala commemoro? quis talia tropaea ab hostibus erecta saltem intueri sustineat? nam olim qui praelio vicerant, humanae conditionis memores nec immortalia odia conservanda esse rati, tropaea ex parvis lignis et saxis constituebant, ut exiguo temporis intervallo abolerentur,

μνήματα ὄντα ἀλλ' ἔχθρας καὶ προχύσεως αἱμάτων ἐμπυρεύματα, νυνὶ δὲ πόλεων κατασκαφαὶ καὶ τοῦ παντὸς ἀφανίσεις δείγματα τῆς νίκης πρὸς τῶν βαρβάρων ἐξεύρηνται, οἷς θεόθεν εἰς μαστίγωσιν ἐκδεδόμεθα. οὐκ ἀνεχόμενοι δὲ εἰ μὴ καὶ τὸν κολοφῶνα τῶν ἀτοπημάτων προσεπιθήσουσι καὶ προσεπάγωσι τὰ παλαμναιότατα, καί γε τῶν Ῥωμαίων τινὰς συγκατέχωσαν ζῶντας τοῖς ἢ φυσικῷ μόρῳ ἢ καὶ νόμῳ πολεμίῳ P. 409 καταστρέψασι τὸ ζῆν ὁμοφύλοις ἐκείνοις, συνεντυμβεύσαντές σφισιν ἱππάρια δρομικὰ οἷς ἐπεκάθηντο καὶ τόξα κερουλκὰ καὶ ἀμφήκη φάσγανα, μὴ ὄντος λυτρουμένου μηδὲ σώζοντος. οὕτω παρὰ βαρβάροις οὐ φειδώ τις καὶ συστολὴ τῶν ἀνομοίων τῇ φύσει πράξεων. ἦσαν δ' ἡμέραι πασχάλιοι, τῆς ἐνάτης διιππευούσης ἐπινεμήσεως, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ τετάρτου καὶ δεκάτου ἔτους, ἡνίκα τὰ οἰκτρὰ ταῦτα καὶ πᾶσαν ἀκοὴν καὶ θέαν δεινὴν ὑπερπαίοντα συνηνέχθησαν. παιάνων τοίνυν καὶ στεναγμάτων ξύμπας ἐπεπλήρωτο χῶρος ὃν ἐπῆλθε τὸ Σκυθικόν, καὶ θρῆνος καὶ οὐαὶ καὶ κλαυθμὸς τὸν B ἦχον ὑπερεφώνει τὸν ἑορτάσιμον. καὶ ὅτε τάφων κένωσις καὶ ᾅδου καθαίρεσις καὶ τὰ ἐκ νεκάδων ἀνεγερτήρια τοῖς εὐσεβοῦσιν ᾔδετο, τότε εἰς κευθμῶνας γῆς καὶ τὰ τοῦ ᾅδου ζοφερὰ καὶ φοβερὰ σκηνώματα κατὰ συνόδους αἱ πόλεις καθίεντο. τὰς δ' ἀπαγωγάς, τὰς δὲ προνομάς, τὴν δ' ἐναπερριμμένην ταῖς τριόδοις ἄωρον ἡλικίαν καὶ τοὺς διαξιφισμοὺς

12. τῆς ἐνάτης] κατὰ τὴν ἐννάτην τοῦ ἀπριλλίου μηνός B.

quippe non amicitiae monumenta, sed inimicitiarum et caedium irritamenta. nunc vero eversiones urbium et rerum omnium vastitates indicia victoriae a barbaris sunt reperta, quibus divinitus flagellandi concessi sumus; qui non ferendum esse rati, nisi colophonem immanitati suae imponerent et atrocissima scelera adiungerent, aliquot Romanos vivos (neque enim quisquam erat qui eos vel redimeret vel conservaret) cum popularibus suis vel naturali morte defunctis vel bello caesis terra obruerunt, sepultis una equis velocibus, quibus insederant, corneis arcubus et ancipitibus gladiis. ita barbari a rebus naturae contrariis nulla reverentia, nullo metu deterrentur. cum haec miserabilia spectacula, quae omnem verborum atrocitatem superant, ederentur, paschales dies erant, indictione IX anni VI MDCCXIIII; et omnis locus quem Scythae pervagabantur, et hymnis et suspiriis erat plenus. lamentationes et eiulatus festivarum cantionum sonum superabant. cum sepulcrorum evacuatio, inferni destructio et a mortuis resurrectio a piis hominibus celebrabantur, tum in recessus telluris et inferni caliginosa et horribilia tabernacula urbes catervatim detrudebantur. abductiones vero, direptiones,

τῶν προηκόντων χρόνῳ σωμάτων τίς οὕτω πολύδακρυς καὶ πολύθρηνος ἐν ἀνθρώποις ὡς ἀξίως καὶ πενθῆσαι καὶ δεξιώσασθαι δάκρυσι; πρὸ δὲ τῆς ἐπιδρομῆς τῆσδε τῆς Σκυθικῆς περὶ τὰ Θρᾳκικὰ πεδία κορωνῶν καὶ κοράκων στρατόπεδα, ἃ μὲν ἀπὸ μερῶν τῶν βορείων ἃ δ' ἐκ τῶν νοτίων, κατ' C ἐξαισίαν τινὰ καὶ μὴ αὐτόματον συνδρομὴν εἰς ἕνα συνεληλυθότα χῶρον ἀλλήλοις συνέρραξαν, καὶ κατευμεγεθήσαντες οἱ κόρακες τὰς τῶν ἐκ νότου κολοιῶν ἐτρέψαντο φάλαγγας.

Οὐ μόνον δὲ τὰ Θρᾳκῷα ὁ δαίμων ἀντιπεριέστησεν εἰς V. 336 τοιαύτην ἀθλιότητα, καὶ πειρασμῶν μὲν ἀνερράγη θάλασσα, κακῶν δ' ἀνηκέστων κλυδώνιον ἔζεσε καὶ συμφορῶν ἀνερριπίσθησαν λαίλαπες, ἀλλὰ τὰ καθ' ἑσπέραν οὐ πρὸς ἔλαττον ἔπασχον. Ἀθήνας μὲν γὰρ καὶ Θήβας καὶ Εὔβοιαν καὶ τὰ περὶ Μεθώνην καὶ Πάτραν σπεῖρα Καμπάνων καὶ Λατίνων εὐσύνοπτος ὡσεὶ καὶ κτήσεις διενείμαντο πατρῴας. οἱ δὲ σφῶν δεσπόζοντες πρότερον ἐν προπηλακισμῷ καὶ ἀτιμίᾳ ἠνείχοντο σφίσι μᾶλλον καθυποκύπτειν ἢ νυγμόν τινα λαβεῖν D ἐς ψυχὴν καὶ ὑπὲρ ἑαυτῶν καὶ τῶν τέκνων ἀγωνίσασθαι, μήτ' αὐτόθεν εἰς ἐλεύθερον παροξυνθέντες φρόνημα, μήτ' ὀψέ ποτε νοῦν ἔχειν ἀρξάμενοι. εἰσὶ δ' οἳ καὶ εἰς ὁλοσχερῆ φιλοτιμίαν κατὰ τῆς ἑαυτῶν πατρίδος ὑπεκκαέντες ἀνδραποδώδεις ἄνθρωποι, τρυφῇ καὶ ταῖς ἄλλαις ἀπονοίαις διεφθαρμένοι, ὀχυρωμάτων καὶ φρουρίων ἀποτόμων λαβόμενοι, οἱ δὲ καὶ πόλεων

5. ἃ μὲν ἀπὸ] τὰ μὲν ἀπὸ τῆς δύσεως ἐρχόμενα τὰ δὲ ἐξ ἀνατολῆς B. 8. τὰς τῶν ἐκ] τὰς ἐξ ἀνατολῶν κορώνας B. 18. τῶν om A.

immaturae aetatis in triviis abiectiones et senilium corporum dissectiones, quis omnium mortalium ita lacrimis et luctu abundat, ut satis lugere et deplorare queat? ante hanc Scythicam incursionem circa Thraciae campos cornicum et corvorum legiones, aliae a Septentrione aliae ab Austro, fato quodam, non fortuito casu, in unum locum congregatae pugnam commiserunt. sed corvi magnitudine corporum phalanges meridionalium cornicum in fugam verterunt.

Neque vero Thraciam duntaxat fortuna in huiusmodi clades, afflictionum mare, extremorum malorum fluctum et calamitatum turbinem coniecit, sed nec Occidentalium conditio fuit melior. nam Athenas Thebas Euboeam Methonem Patras cohors Campanorum et Latinorum non magna tanquam patrimonium divisit. qui vero iis locis prius imperabant, illis cedere cum derisu et ignominia quam extimulatis animis pro semet ipsis et liberis pugnare maluerunt, neque statim libero spiritu concepto, nec vel sero tandem ad saniorem mentem reversi. erant etiam qui ambitione contra patriam prorsus

εὐτειχίστων ἐπιβάντες, κακοδαίμονας τυραννίδας περιεβάλοντο, καὶ δέον φιλεχθρεῖν Λατίνοις, οἱ δ' ἀντωφθάλμουν ἀλλήλοις καὶ Λατίνοις τὸ καινὸν ἐσπένδοντο. ὁ μὲν γὰρ Σγουρὸς Λέων Κόρινθον διεῖπε καὶ Ναύπλιον, ὡς καὶ ἔμπροσθεν ἐρρέθη μοι· ὁ δὲ Χαμάρετος Λέων τῆς κοίλης κρατῶν Λα- P. 410 κεδαίμονος τύραννος ἦν τῶν Λακώνων. Αἰτωλίαν δὲ καὶ τὰ τῇ Νικοπόλει προσοριζόμενα, καὶ ὅσα πρόεισιν ἐς Ἐπίδαμνον, ὁ Μιχαὴλ ἰδιώσατο, ὃν ἐκ σπερμάτων σκοτίων ὁ σεβαστοκράτωρ ἐφύτευσεν Ἰωάννης. ὁ δὲ μαρκέσιος Βονιφάτιος τῇ Θεσσαλονίκῃ προσεδρεύων ὑποκειμένην εἶχεν ἑαυτῷ τὴν ἐς Ἁλμυρὸν ὑποκειμένην ἀγχίαλον πᾶσαν, καὶ πεδίων ἤρχετο Λαρισσαίων, καὶ μετελάγχανε τῶν φόρων ὁπόσαι ἐξ Ἑλλάδος καὶ τῆς νήσου τοῦ Πέλοπος εἰσεπράττοντο. ἐπὶ δὲ τούτοις καὶ ἄλλος τις τὰ Θετταλίας κατέχων μετέωρα, ἃ νῦν μεγάλη Βλαχία κικλήσκεται, τοπάρχης ἦν τῶν ἐκεῖ. εἰς τοσαύτας δὲ τυραννίδας διαιρεθείσης τῆς ἑσπέρας τί μὲν τῶν B καλῶν οὐκ ἀπῆν, τί δὲ τῶν κακῶν οὐ παρῆν; χρημάτων ἀφαιρέσεις, τῶν θρεψαμένων ἐκτοπίσεις, σφαγαὶ καὶ φυγαὶ καὶ μυρία πρὸς τούτοις ἄλλα δεινά, ὧν τὰ πλείω οἱ ἐκ Ῥωμαίων ἐπετόλμων τύραννοι, μάλιστα δ' ἁπάντων ὁ Σγουρὸς Λέων, ὃς οὐδὲ τῆς γειναμένης εὖ ποιῶν ἐφείσατο, ἀλλὰ καὶ τῷ τῆς μητροπόλεως Κορίνθου ἀρχιποίμενι Νικολάῳ σπεισάμενος καὶ τὰς πρώην διχονοίας διαλυσάμενος, καὶ σύσσιτον

3. ἐσπένδετο APW. 12. ἦρχε τῶν?

Inflammati, servilibus ingeniis homines, deliciis et luxu corrupti, munitionibus et praeruptis castellis aut munitis urbibus occupatis infelices tyrannides constituerent; et cum Latinorum inimicitiae expetendae essent, alii aliis insidiantes, cum illis colluderent et nova pacta inirent. nam Leo Scurus Corinthum et Nauplium, ut supra dixi, gubernabat; Chamaretus Leo, qui Lacedaemoni dominabatur, Laconum tyrannus erat. Aetoliam et confinia Nicopolis et quae ad Epidamnum vergunt, Michael Iohannis sebastocratoris nothus filius sibi vendicavit. Bonifacius vero marchio Thessalonicae degens omnem maritimam oram, quae infra Halmyrum est, et Larissaeam planitiem tenebat, et vectigalia Graeciae et Peloponnesi percipiebat. praeter hos alius toparcha Thessaliae montana, quae nunc magna Blachia dicitur, tenebat. Occidente in tot tyrannides distracto, quid boni non aberat, quid mali non aderat? pecuniarum ereptiones, relegationes, caedes, exilia, mala denique infinita, quorum maxima ex parte Romani tyranni auctores erant, et Scurus Leo omnium maxime, qui, recte sane, patriae quoque suae non pepercit. idem cum Nicolao Corinthiorum archiepiscopo reconciliata gratia virum eum

οὕτω τὸν ἄνδρα παρειληφώς, τὸ μὲν σῶμα συνέστιος ἦν, τὸ
δὲ φρόνημα δυσμενὴς ὁποῖος καὶ πρότερον, ὅθεν τὰς κόρας
αἱμάξας εἶτα καὶ κατὰ σκοπέλων ἀφίησι.

C 16. Κατὰ δὲ τὴν ἕω Προυσαεῖς μὲν καὶ Νικαεῖς Λυ-
δοί τε καὶ οἱ Φιλόμολποι καὶ Σμύρνη καὶ Ἔφεσος καὶ τὰ με-
ταξὺ τούτων κείμενα Θεοδώρῳ προσανεῖχον τῷ Λάσκαρι. ὁ
δὲ καὶ νῆας μακρὰς τεκτηνάμενος τὰς πλείους τῶν νήσων
ὑπηγάγετο. σπεισάμενος δὲ καὶ τῷ Καϊχοσρόῃ τῷ τοῦ Ἰκονί-
ου σουλτάνῳ, μέρος ἀπένειμε τῆς ἀρχῆς τῷ κηδεστῇ ἐκείνου
Μανουὴλ τῷ Μαυροζώμῃ· τὸ δὲ ἦν ἐμοῦ τοῦ συγγραφέως
Νικήτα πατρὶς αἱ Χῶναι καὶ ἡ ἀγχιτέρμων ταύτῃ Φρυγικὴ
Λαοδίκεια, καὶ εἰς ὅσα περικλᾶται Μαίανδρος ἀπερυγγάνων
ἐς ἅλα τὰ νάματα. Δαβὶδ δὲ καὶ Ἀλέξιος οἱ ἐξ υἱέος φύν-
τες τοῦ Ῥωμαίων τυραννήσαντος Ἀνδρονίκου (Μανουὴλ ἐκεί-
νῳ τὸ ὄνομα) ὁ μὲν τὴν κατὰ Πόντον Ἡράκλειαν καὶ Πα-
D φλαγόνας διεῖπεν, ὁ δ' Ἀλέξιος Οἰναίου τε καὶ Σινωπέων
τῆς πόλεως καὶ Τραπεζοῦντος αὐτῆς τὴν δυναστείαν περιε-
ζώννυτο. τὴν δ' Ἀττάλου διῴκει τις ἕτερος, τὴν κλῆσιν
Ἀλδεβραντῖνος, ἐξ Ἰταλῶν μὲν τὴν γένεσιν ἕλκων, ἀκριβῶς
V. 337 δ' ἐντεθραμμένος τοῖς Ῥωμαϊκοῖς ἔθεσι. κἀν τῇ Ῥόδῳ τῇ
νήσῳ ἄλλος τις ἐπρωτίστευε. καὶ δέον ὁμονοηκότας προβου-
λεύσασθαί τι καὶ καταπράξασθαι προφυλακτικὸν μὲν τῶν μή-
πω κακῶς πεπονθότων τῆς πατρίδος μερῶν, ἀνακτητικὸν δὲ
τῶν ἠλωκυιῶν πόλεων, οἱ δὲ εἰς δοξομανίαν ἐκτραχηλισθέν-

suae mensae adhibuit, et corpore illi coniunctus animo aeque ac prius ab eo abhorrebat. unde illum prius effossis oculis, postea de rupe praecipitavit.

16. In Oriente porro Prusaei, Nicaeenses, Lydi, Philomolpi, Smyrna, Ephesus, et interiecta oppida Theodoro Lascari parebant, qui etiam longis navibus fabricatis plerasque insulas subegit, et pace cum Iconii Sultano Caichosroe facta partem imperii Manueli Maurozomae illius socero concessit. ea pars erat Chonae, mei scriptoris Nicetae patria, et huic finitima Phrygiae Laodicea, et alia loca quae fluvius Maeander anfractu suo complectitur, donec in mare exonerat. David vero et Alexius fratres, Manuele Andronici Romanorum tyranni filio nati, alter Ponti Heracleam et Paphlagoniam gubernabat, alter Alexius Oenaeum et Sinopen urbes et ipsam Trapezuntem tenebat. Attaliae alius quidam dominabatur, nomine Aldebrandinus, natione Italus, sed Romanorum institutis probe educatus. item Rhodus alium principem habebat. enimvero cum de communi sententia et deliberandum et agendum esset, de patriae partibus nondum afflictis conservandis et de expugnatis urbibus in integrum restituendis,

τες καὶ καλεῖσθαι τύραννοι θέλοντες καθ' ἑαυτῶν ὥπλιζον τὰς χεῖρας, βακτηρίαν καὶ νῆψιν, εἴπῃ δ' ἄν τις καὶ πανοπλίαν καὶ τρόπαιον ἐξ ἐφόδου τοῖς τῶν Ῥωμαίων πολεμίοις τῷ διχονοεῖν ἀλλήλοις καὶ διεστάναι βραβεύοντες. ἦν οὖν P. 411 τοῦ βουλομένου παντὸς ἐκ τοῦ τῶν Λατίνων πολυσπεροῦς συντάγματος τὰ γραφικὰ ταῦτα ἐπᾴδειν Ῥωμαίοις ἐπιστρατεύοντος „διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου." πολλοὶ τοίνυν μέτριον συγκροτήσαντες πόλεμον καὶ ἱππότας βραχεῖς μισθωσάμενοι, Ῥωμαϊκαῖς κατεκολπίζοντο νήσοις ὡς πάντῃ πάντως ἐρημαζούσαις τοῦ ἐπαρήξοντος. ὅθεν πειραταί τινες Γενουῖται, περιψήματα ἀνδρῶν καὶ ἀμβλώματα, οὐ κατὰ τοῦτο μέν τινος ὑπερφέροντες κατὰ δ' ἐκεῖνο τὰ δεύτερα φέροντες, ἀλλ' ἁπανταχῇ πονήρως πράττοντες καὶ δυσδαιμόνως, στρογγύλων πέντε νηῶν εὐπορήσαντες καὶ σκάφη τρίκροτα κατηρτικότες πρὸς τοῖς εἴκοσι τέσσαρα ἐς τὴν Κρήτην B διαπλωΐζονται· καὶ πλασάμενοι τοὺς ἐμπόρους, εἶτα ἐπιθέμενοι ὡς πολέμιοι, τῆς νήσου ξυμπάσης κατίσχυσαν εὐμαρέστατα. τότε καὶ ὁ κρατῶν Ἰκονίου Καϊχοσρόης κατὰ τῆς Ἀτταλίας ἐστράτευσεν, αὐτοβοεὶ τὴν πόλιν ἑλεῖν φανταζόμενος ὡς οὐχ ἱκανὴν οὖσαν ἑαυτὴν διασώσασθαι. τὴν δ' ἐκείνου ἔφοδον προεγνωκότες ὅ τε πολίαρχος Ἀλδεβραντῖνος καὶ οἱ σὺν αὐτῷ τοῖς κοινοῖς ἐπεστάτουν πράγμασι, πέμψαντες εἰς Κύπρον συμμαχίαν ἐκεῖθεν εἰλήφασι πεζικοῦ στρατεύμα-

illi ambitione praecipites et tyrannici nominis affectatione caeci inter sese digladiabantur; quibus dissensionibus et rixis hostibus summam occasionem primo impetu Romanos evertendi suppeditabant. unde cuivis Latinorum gentium, quarum tanta multitudo et varietas est, quae Romanos oppugnatum ibat, illud ex sacris litteris usurpare licebat „persecutus comprehendam, spolia dividam, explebo animum meum, occidam gladio meo, dominabitur manus mea." itaque multi mediocri manu collecta et exiguo equitatu conducto in Romanos insulas se insinuabant, quippe omni auxilio destitutas. et piratae quidem Genuenses, homines vilissimi et abiectissimi, nec in una re primarii, in alia vero secundarii, sed ab omni parte miserrimi et infelicissimi, V rotundis navibus et XXIV triremibus comparatis per mercaturae speciem in Cretam traiecerunt deinde insulares hostiliter aggressi totius insulae facillime sunt potiti. tunc etiam Iconii princeps Caichosroes Attaliae arma intulit, inani spe urbis primo impetu capiendae concepta, ut quae ipsa tueri sese non posset. verum eius consilio cognito, Aldobrandinus urbis dominus et eius in administranda re publica socii per legatos a Cypriis auxilia Latinorum peditum

τος, ἐς διακοσίους ἀριθμουμένην Λατίνους. κἀπειδήπερ εἰς χεῖρας ὁ πόλεμος ἐγεγόνει καὶ περιειλήφει τὴν πόλιν τὸ Περσικὸν στράτευμα, οἱ ἐκ Λατίνων εἰς φάλαγγα πυκνωθέντες
C καὶ τοῖς Πέρσαις ἐποφθέντες ἀπρόοπτοι τοῖς Ἀτταλεῦσιν ἐπήμυναν, καὶ οὕτω τῶν βαρβάρων καταστάντων ἐς δέος ἔκ τε τοῦ σφῶν στρατεύματος πολλοὶ διαφθείρονται καὶ Καϊχοσρόης ἐκεῖθεν μεθίσταται, μὴ πλείους ἡμερῶν τῶν ἑκκαίδεκα περὶ τὴν Ἀττάλου βαλὼν στρατόπεδον. ἀλλὰ καὶ Θεόδωρος ὁ Λάσκαρις κατὰ τοῦ ἐν Πόντῳ Δαβὶδ στρατιὰν ἀγείρας τῆς μὲν Πλουσιάδος ἐπέβη καὶ τῆς πρὸς Δαβὶδ φιλίας ἐκείνην ἀπέστησε, τοξότιδα πᾶσαν οὖσαν καὶ μάχιμον· εἷλε δ' ἂν καὶ Ἡράκλειαν καὶ τὸν Δαβὶδ δραπέτην ἐκεῖθεν ἔδειξεν, εἰ μὴ Λατίνων τῇ Νικομήδους παρεμβαλόντων κατ' ἐπικουρίαν Δαβίδ, ἐπεὶ καὶ εἶχε τούτοις Δαβὶδ σπεισάμενος, ἐν
D ἀμφινοίᾳ κατέστη Λάσκαρις. εἷλκε μὲν γὰρ αὐτὸν ἐντεῦθεν προθυμία καὶ τόλμη κατὰ Λατίνων· ἐκεῖθεν δ' αὖθις ἀντέσπα τὸ ἐν χερσὶν ἔργον, ὡσεὶ καὶ ἐντὸς Ἡρακλείας οἰόμενον εἶναι καὶ κυριεύειν τῆς πόλεως. καὶ πολλάκις ἑκάτερον καὶ ὡς ἐπὶ τρυτάνης ζυγοῦ καὶ μετὰ συνοχῆς ἐταλάντευεν. ὡς δ' ἐκεκρίκει συμφορώτερον μᾶλλον ἤπερ θρασύτερον ἐπὶ τοὺς ὑπερασπιστὰς ἵεσθαι τοῦ Δαβίδ, ἐπανακάμπτει μὲν πρὸς αὐτούς, ἣν ὥδευε παρειχώς· οἱ δὲ τὰ περὶ τούτου πυθόμενοι συστάδην μὲν παρακινδυνεύειν οὐκ ἔγνωσαν, μεθίστανται δὲ νυκτὸς καὶ εἰσίασι τὸ Βυζάντιον. ὁ δέ γε Δαβὶδ ὡς οὐκοῦν ἐβάλλετο κατὰ νοῦν, παρὰ δόξαν

circiter CC impetrarunt. ubi ad arma ventum est et urbem Persicus exercitus circumdedit, Latini in phalangem condensati et ex improviso in Persarum conspectum progressi Attaliensibus opem tulerunt. ita barbari perterriti et suorum multos amiserunt, et Caichosroes XVI diebus exactis obsidione soluta discessit. sed et Theodorus Lascaris, coacto contra Davidem Ponticum exercitu, Plusiadem sagittariis et bellicosis hominibus abundantem ab illo in suas partes traduxit. Heracleam quoque cepisset ac ipsum Davidem exterminasset, nisi eum Latini, cum quibus Davidi foedus intercedebat, auxilii ferendi causa castris ad Nicomediam positis animi dubium reddidissent, hinc alacritate et audacia contra illos instigante, inde instituto opere retrahente, cum sibi quodammodo intra Heracleam esse videretur et ea urbe potiri, ac saepe velut in trutina sollicito animo utrumque ponderaret. ut vero defensores Davidis invadere utilius quam audacius esse statuit, ad eos, itinere instituto omisso, revertitur. quo illi audito in aciem sibi descendendum non censuerunt, sed noctu digressi Byzantium redeunt. David vero reputans ut imminens iam discri-

τοῦ κινδύνου ῥυσθεὶς ὃν ἔγγιον εἶχε προσέρποντα καὶ σχεδὸν οὐδ᾽ ὅσα γόνυ κνήμης ἑαυτοῦ αφιστάμενον, ἀπρὶξ καὶ πάλιν τῆς Ἡρακλείας ἔχεται· τοὺς δ᾽ ἐν Βυζαντίῳ Λατίνους τῆς συμμάχου P. 412 διαμειβόμενος στρατιᾶς σιτηγῶν πλοίων δεξιοῦται καταγωγαῖς καὶ κρέασιν υἱείοις ταριχηροῖς, καὶ παρ᾽ αὐτῶν αἰτεῖται V. 338 δευτέραν σύναρσιν, καὶ λιπαρεῖται ἐν ταῖς πρὸς τὸν Λάσκαριν γραφαῖς καὶ σπονδαῖς τοῖς ὑποκειμένοις σφίσι κἀκεῖνον ἐντάττεσθαι, καὶ τὴν ὑπ᾽ αὐτὸν πᾶσαν χώραν ταῖς ὑπὸ Λατίνους ἐγκρίνεσθαι. ἀμέλει ὡς εἶχε ταῦτα καταθεμένους, πύθοιτο δὲ καὶ τὸν Λάσκαριν ἐκ Νικαίας εἰς Προῦσαν μετάραντα, ἐξ Ἡρακλείας πρόεισι καὶ αὐτὸς τῷ συμμαχικῷ γαυριῶν ὅπερ ἐκ Βυζαντίου προσεχῶς ἐκείνῳ ἀπέσταλτο, γυμνασίαν τε καὶ ἀνάπειραν ἑαυτοῦ κἀκείνων ποιούμενος, τὸν Σαγγάριον διαβὰς ποταμὸν ὑπηκόους κωμοπόλεις τῷ Λάσκαρι B ἔκειρε. καὶ μεθ᾽ ἡμέρας αὐτὸς μὲν ἐκεῖθεν μεθίσταται, ὁμήρους ἐκ τῆς Πλουσιάδος δεξάμενος, ἐνίοις δὲ καὶ δεσμὰ περιθέμενος διὰ τὸ σφᾶς χωρῆσαι τῷ Λάσκαρι· οἱ δ᾽ Ἰταλοὶ περί που τοὺς τριακοσίους ὁρώμενοι παρεσκευάζοντο μὲν καὶ περαιτέρω χωρεῖν κἀκ τῶν κοίλων πρὸς τὰ μετέωρα ἔβαινον, ἐπελθόντος δ᾽ αὐτοῖς ἀπροόπτως περὶ τὰς τῆς Νικομηδείας Τραχείας Ἀνδρονίκου τοῦ Γίδου, καὶ γινομένης συμβολῆς, ἡττῶνται μετὰ πλείστας ἀμοιβὰς τοῦ πολέμου, οἱ δὲ καὶ ζωγροῦνται τοῖς περισχοῦσι τὰ ὄρη καὶ ταῖς προλελοχισμέναις ὑπὸ σφῶν περιπεσόντες ἐνέδραις, ὡς μηδὲ πυρφόρον ὑπολελεῖφθαι σχεδὸν τὸν τῷ Δαβὶδ ἀπαγγελοῦντα τουτοῒ τὸ δυστύχημα. ἀλλὰ C καὶ Πέτρος ὁ ἐκ Πλάντζης, οὗ καὶ πρόσθεν ἐμνήσθημεν

men, nec multo a se remotius quam a genu tibia distat, praeter opinionem evasisset, rursus Heracleae firmiter inhaeret, Latinos vero Byzantii degentes ob latum auxilium frumentariis navibus et pernis remuneratur; atque ab eis auxilia denuo petit, oratque ut in foedere Lascarino se quoque ut suum subditum conprehendant, et omnem provinciam quam teneat inter Latinas provincias numerent. quae cum illi annuissent: et Lascarim Nicaea Prusam abiisse audivisset, ipse quoque Heraclea prodit, et auxiliis nuper Byzantio missis inflatus, cum sui tum illorum periculum facturus, Sangario flumine superato Lascarinae ditionis oppida vastat, et post dies aliquot inde digreditur, obsidibus Plusiade acceptis, nonnullis etiam in vincula coniectis, quod ad Lascarim defecissent. Itali vero circiter CCC parabant longius progredi, et e vallibus in montes ascendebant. sed circa Nicomediae Trachias subito Andronici Guidi superventu post variam pugnae fortunam vincuntur, nonnulli etiam in insidias in montibus collocatas delapsi capiuntur, ut pene nullus su-

(μεγέθει δὲ οὗτος σώματος θαυμασίῳ ἐκέκαστο καὶ ψυχῆς γενναίῳ περιεβλέπετο παραστήματι), ταῖς Πηγαῖς τῇ πόλει προσδεχθῆναι φιλονεικῶν ἅτε καὶ δίκαιον ἐπ' αὐταῖς ἔχειν ἰσχυριζόμενος, ὡς οἷα πρώτως ἐκεῖ καταχθεὶς ἡνίκα Λατῖνοι κατὰ τῶν πρὸς αὐγὰς ἡλίου Ῥωμαίων ἐπανείλοντο πόλεμον, καὶ ἄλλοτε μὲν εἰσδῦναι ταύτας ἐκ τοῦ προφανοῦς ἐπειράσατο, ἀποπεμφθεὶς δ' ὡς τῶν ἔνδοθι φρονούντων φίλα τῷ Λάσκαρι, ἔδοξε μὲν ἀποσχέσθαι ταυτησὶ τῆς προθέσεως, ὁ
D δ' ἐνεδρεύων ἦν πάλιν, ὅτι μηδὲ προύπτως εἶχε βιάζεσθαι. τῶν γοῦν Πηγαϊτῶν τινὰς ὑποκλέψας καὶ διαφθείρας, λάθρᾳ καὶ κατὰ βραχεῖς τοὺς οἰκείους ταῖς Πηγαῖς ἐπεισάγει, πολεωρουμένους παρὰ Σθλάβου τινὸς Βαρηνοῦ καὶ τῶν τούτου συνωμοτῶν. πέρας δὲ καὶ αὐτὸς ὁ Πέτρος καιροφυλακήσας τὰς Πηγὰς ἐπεισδέδυκε, καὶ νυκτὸς ἐπιθέμενος σὺν οὐδενὶ πόνῳ τοὺς ἐναντίους διώσατο καὶ τῆς ὅλης κεκράτηκε πόλεως.

Οὑτωσὶ δὲ πραττομένων τούτων οἱ τὴν Ἀδριανοῦ κατειληφότες Λατῖνοι τὰ μὲν πρῶτα περὶ αὐτὴν ἐνηυλίσαντο, καὶ ἀγορὰ τῆς πόλεως ἔξω πεποίητο· εἶτα καὶ συναιχμίαν μετὰ Ῥωμαίων ἀποδειξάμενοι τῶν πόλεών τινας περιέρχονται κακῶς παθούσας ὑπὸ Σκυθῶν, καὶ ταύτας, ὡς ὁ καιρὸς ἐδίδου, καταστησάμενοι εἶτα καὶ τῶν τῆς Ῥοδόπης σχοινισμάτων ἅπτονται. μηδένα δὲ πολέμιον ἔχοντες ἐξαπτόμενον μήτε μὴν ὅλως σφίσιν ὑποφαινόμενον, εἰσίασι τὸ ἔρυμα τὸν Στενίμαχον, καὶ μεθιστῶσιν ἐκεῖθεν τοὺς ὁμογενεῖς σφῶν,

peresset qui cladem illam Davidi nuntiaret. sed et Petrus Plancius, cuius ante memini, insigni corporis magnitudine admirabilis et generosi animi invicto robore illustris, se Pegis urbe recipi suo veluti iure postulabat, quod primum ibi appulisset, cum Latini Romanis Orientalibus bellum intulissent. ac alias aperte irrumpere conatus, sed a civibus Lascari faventibus repudiatus, mutasse consilium putabatur. quia vero parum aperto Marte profecerat, ad insidias conversus, Peganis aliquot interceptis et occisis, ex suis clam paucos simul Pegas introducit cuiusdam Sthlabi Vareni et huius coniuratorum opera. dein ipse quoque occasionem nactus subintravit, et adversariis noctu nullo negotio repulsis tota urbe potitus est.

Dum haec geruntur, Latini principio iuxta Adrianopolim castra metantur, foro extra urbem instituto. deinde belli societate cum Romanis inita urbes quasdam circumeunt a Scythis male tractatas. quibus, ut tempus ferebat, constitutis Rhodopae limites ingrediuntur. ubi cum nullus hostis non modo lacesseret sed nec appareret, castellum Stenimachum ingressi popularibus suis (erant hi reliquiae eorum qui pridem Philippopolim custodierant) inde abductis Ore-

ἀποσπάδας ὄντας τῶν τὴν Φιλίππου διεπόντων πρότερον,
καὶ οὕτως εἰς Ὀρεστιάδα πάλιν ἐπαναλύουσιν. ἀλλὰ καὶ μοῖ- P. 413
ραν στρατεύματος Θεοδώρῳ τῷ Βρανᾷ παραδόντες στρατη-
γεῖν τῶν ἐκεῖ καταλείπουσιν. αὐτοὶ δ' ἐπανίασιν ἐς Βυζάν-
τιον, καὶ εἰς βασιλέα χρίουσι τὸν Ἑρρῆν, ὃς ἦν αὐτοκασί-
γνητος Βαλδουίνου τοῦ πρώτως ἐκ Λατίνων τῆς Κωνσταντί-
νου κατάρξαντος. ἐνιαυτὸν δ' ἕνα καὶ μῆνας τέσσαρας ἄνευ
βασιλέως τὰ κοινὰ χειρίζοντες πράγματα οὐκ ἄλλως κατένευ-
σαν χρῖσμα βασιλείας ὁτῳδὴ τῶν ἐκ γένους χαρίσασθαι, εἰ
μὴ πρότερον τὸν Βαλδουίνου θάνατον ἠκριβώσαντο. ἀκουέ-
τωσαν ταῦτα Ῥωμαῖοι οἱ χρίοντες ἅμα καὶ τὸν διὰ τάχους
καθαιρήσοντα τὸν χριόμενον τῷ νῷ συλλαμβάνοντες. εἰκότως
οὖν καὶ μητρόλεθροι ἔχιδναι καὶ γένος ἀπολωλεκὸς βουλὴν B
καὶ τέκνα μωμητὰ καὶ υἱοὶ ἄνομοι οἱ ἐς ἡμᾶς πρὸς ὅπλα
ἔχοντες παρὰ πᾶσιν ἀκούουσιν ἔθνεσιν. ὁ δὲ τοῦ Βαλδουίνου V. 339
θάνατος οὕτω συμβέβηκεν. ἐν τῷ Σκυθικῷ συλληφθεὶς πο-
λέμῳ καὶ δεσμοῖς ὑποβληθείς, ὡς ἐρρέθη μοι, συχνὸν ἤδη
χρόνον καθείργνυτο ἐς τὸν Τέρνοβον. ἀποστάντος δὲ τοῦ
Ἀσπιέτου Λατίνοις θυμῷ ὑπερζέσας ὁ Ἰωάννης, καὶ τοῦ
πάθους ἀεὶ ἐπίτασιν λαμβάνοντος, εἰς μανιώδη σχεδὸν ἐξώ-
κειλε διάθεσιν· ὅθεν τῆς εἱρκτῆς τὸν ἄνδρα ἐξαγαγὼν κε-
λεύει τοὺς μὲν πόδας ἀπὸ γόνατος τὰς δὲ χεῖρας ἐκ βραχιό-
νων Τενεδίῳ ἄντικρυς πελέκει ἀποκοπῆναι, εἶτα καὶ κατὰ
κεφαλῆς ἐπὶ φάραγγος ὠθισθῆναι. οὐκοῦν καὶ τρεῖς ἐξαρκέ- C
σας ἡμέρας, βορὰ προκείμενος ὄρνισιν, ἐλεεινῶς τὸν βίον

stiadem redeunt, et Theodorum Branam datis aliquot cohortibus ibi relinquunt. ipsi Byzantium reversi Henricum Balduini primi ex Latinis Byzantio dominati fratrem imperatorem declarant. cum autem unum annum et menses quatuor rem publicam sine imperatore administrarent, nemini popularium suorum regni inaugurationem condonare voluerunt nisi Balduini morte prius explorata. audiant haec Romani, qui et eodem tempore imperatorem inaugurant, et qui inauguratum, ut evertant, animis concipiunt. quamobrem iure apud omnes gentes nostrae aetatis milites ut parricidae viperae, ut gens nullius consilii, ut liberi reprehendendi, ut filii iniqui male audiunt. caeterum Balduini mors ita contigit. Scythico bello captus et vinculis, ut dixi, oneratus longo tempore Ternobi fuit. cum autem Aspietes ad Latinos defecisset, Iohannes ira aestuans, et dolore in dies ingravescente pene in rabiem actus, Balduino educto e carcere pedes a genibus et manus a brachiis Tenedia plane securi amputari, deinde ipsum in vallem praecipitari iubet, ubi tertio demum die esca volucrum miserabiliter expiravit. neque vero hunc solum, sed

κατέστρεψεν. οὐ τοῦτον δὲ μόνον ἀπανθρώπως οὕτω τοῦ ζῆν ἐξήγαγεν, ἀλλὰ καὶ οὓς καθεῖρξε Ῥωμαίους οἰκτρῶς ἀπώλεσε, μὴ φωνὴν μηδ' ἱκεσίαν ἐξ αὐτῶν ὅλως ἀνασχόμενος ἐνωτίσασθαι. ἐν οἷς καὶ τὸν τοῦ δρόμου λογοθέτην Κωνσταντῖνον τὸν Τορνίκην, ὑποδρηστεύσαντα μὲν ἄκοντι τὸ πλέον μετὰ τὴν τῆς πόλεως ἅλωσιν τῷ βασιλεῖ Βαλδουίνῳ, καὶ τὸν ἐκ πολέμου διαδράντα κίνδυνον καθ' ὃν ὑπὸ Σκυθῶν ἐκεῖνος ἑάλωκεν, προσρυέντα δ' ἔπειτα τῷ Ἰωάννῃ καὶ παρὰ τούτῳ δυνηθῆναι τὰ μέγιστα φανταζόμενον οἷς πολλάκις παρ' ἐκεῖνον ἀπὸ Ῥωμαίων πρέσβις ἐπιπεφοίτηκε, ξενίαν δ' εὑρά-
D μενον τὸ πολλὰς ὑπὸ ξιφῶν κατὰ παντὸς τοῦ σώματος δέξασθαι καὶ μηδ' ὁσίας τυχεῖν μετὰ τὴν ἀναίρεσιν.

Οἱ δέ γε Λατῖνοι καὶ τὰ πάλαι ᾀδόμενα στοιχειώδη τῆς πόλεως φυλακτήρια καὶ κατὰ τεῖχος καὶ τάφρον προσεξευρημένα τοῖς κατ' αὐτῆς ξυντάττουσι φάλαγγας καὶ λόχους καθίζουσι δυσμενέσιν (εἰ δὲ καὶ ἀληθῶς, οὐκ ἔχω λέγειν σαφῶς) καθαιρεῖν ἐγνώκεσαν, καὶ τούτων μάλιστα ὁπόσα κατὰ τοῦ σφῶν ἀνεστηλῶσθαι γένους ἐμάνθανον. ὅθεν μεθ' ἑτέρων ἀνδρεικέλων ἐκ χαλκοῦ πεποιημένων, ἃ τῶν προτέρων κατενήνεκται βάσεων καὶ πυρὶ παρεδόθησαν, οὐδὲ τὴν ἐμπροσθίαν εὐώνυμον χηλὴν τοῦ ἵππου ἀπεριέργαστον εἴασαν, ὃς ἐπὶ λιθίνου λευκοῦ τετραπλεύρου κατὰ τὸν λεγόμενον Ταῦρον χαλκοῦς ἱστάμενος ἡρωϊκόν τινα τὴν ἰσχὺν ἄνδρα καὶ τὸ εἶ-
P. 414 δος ἀξιοθέατον ἐπὶ τῶν νώτων ὀχεῖ, μηδ' αὐτὸς ἀπέχων τοῦ

Romanos etiam captivos eadem crudelitate interfecit, omni voce et supplici gestu repudiato ac inter alios Dromi logothetam Constantinum Tornicem, qui urbe capta invitus fere Balduino inservierat, et belli Scythici, quo is captus est, periculo evitato ad ipsum se contulerat, magnam auctoritatem suam esse ratus, quod saepius ad eum nomine Romanorum legatus ivisset. caeterum eam hospitalitatem est expertus, ut toto corpore multis ictibus compunctus post caedem insepultus abiiceretur.

Latini porro illa olim decantata urbis munimenta, quae a certa partium serie Stoechiode dicuntur, muri ac valli loco excogitata contra hostes vel aperta vi vel insidiis grassantes (vere an secus, dicere haud possum), evertere statuerunt, ea praesertim quae contra suam gentem facerent. unde cum aliis aeneis statuis, quae basibus emotae et in ignem coniectae sunt, nec anteriorem sinistram ungulam equi aenei, qui in albo quadrangulo marmore in Tauro stat, virum quendam heroico robore et spectabili vultu tergo vehens, nec ipse admirationis expers ob exquisitum omnium membrorum artificium, phaleris undique tectus, hinniens, auribus velut ad

ἄγασθαι διὰ τὴν ἐπὶ πᾶσι τῆς τέχνης ἀκρίβειαν, ὁλοφάλαρος, φριμάσσων καὶ τὸ οὖς ἀνιστῶν ὡς πρὸς σάλπιγγα. τοῦτον οἱ μὲν φασιν εἶναι Πήγασον καὶ τὸν ἀναβάτην Βελλεροφόντην, οἱ δὲ τὸν Ἰησοῦν τοῦ Ναυῆ ὅτῳδὴ ἐπικαθήμενον ἵππῳ· καὶ δῆλον εἶναι τὸν ἄνδρα τῇ διασκευῇ τοῦ εἰκάσματος πρὸς τὴν ἁρματηλασίαν ἡλίου καὶ τὸν δρόμον τὸν σεληναῖον τὴν δεξιὰν χεῖρα ἐκτείνοντα, ὡς σταῖεν τοῦ πρόσω χωρεῖν, καὶ σφαιρικὸν ἐκ χαλκοῦ σχῆμα τῷ κοίλῳ τῆς λαιᾶς χειρὸς ὑπανέχοντα. ἀναμοχλεύσαντες τοίνυν ῥαιστῆρσι τὸ πέλμα τὸ ἵππειον, ἀνθρωπόμορφον εὑρίσκουσιν ἴνδαλμα ὑποκείμενον, πλειόνως εἰκάζον ἐκ τοῦ τῶν Βουλγάρων τινὰ B γένους, ἐς τὸ διαμπερὲς ἐληλαμένον ἥλῳ καὶ μολύβδῳ πάντῃ κατειλημμένον, ἢ γοῦν Λατῖνον διατυποῦν, ὥσπερ δὴ καὶ πάλαι πρὸς τῶν ὅλων διαπεφήμιστο. καὶ τὸ μὲν τῇ τῶν ἀργυρογνώμων χωνείᾳ καθίεται, Λατῖνοι δ' ἔπραττον ταῦτα οὐκ ἐκ δειλάνδρου παντάπασι γνώμης, ὡς ἀποφανεῖταί τις καταφρονητικῶς ἔχων ἐς αὐτούς· ἀλλὰ μετιόντες πάντα καὶ διατεχνώμενοι, μή πως ἐκπέσωσιν ἧς ἐπέβησαν πόλεως, οὐδὲ τὰ τοιαδὶ τῶν ἀκουσμάτων ἀπεριέργαστα παρατρέχειν ἐδοκίμαζον οἷα μηδ' εἰκαίως ὑφ' ἁπάντων διαθρυλούμενα, ἀλλὰ τὸ εἰκαστικὸν τῇ ἐπινοίᾳ συνάπτοντες ἐδικαίουν μὴ ἐᾶν ἀνεξέταστα, πρὸς οὐδεμίαν τῶν πράξεων ἀναπίπτοντες. C (17) τίς γὰρ οὐκ ἴσησιν ὡς ἧς ἂν ἐπιβαῖεν χώρας καὶ πόλεως, καθάπερ οἰκείας αὐτῆς δραττόμενοι καὶ ἀπρὶξ V. 340

1. ὁ φάλαρος pr A.

tubae clangorem arrectis, impervestigatam reliquerunt. hunc alii Pegasum esse dicunt, sessorem Bellerophontem, alii Iesum Navis filium equo (quisquis ille sit) insidentem; idque ex habitu statuae constare, quod dextra ad currum solis et lunae extenta cursum eorum sistat et globum aeneum laevae manus vola teneat. proinde malleis equi calce revulsa humanam subtus imaginem reperiunt, quae maiori ex parte Bulgarum aliquem repraesentabat, clavo transfixam et plumbo undique cinctam, non autem Latinum referebat, quemadmodum iamdiu a multis ferebatur. ea imago fabro argentario conflanda data est a Latinis, haud sane prorsus ex timiditate, ut per eorum contemptum aliquis interpretari queat: sed quia omnia tentabant, omnia moliebantur, ne urbe quam occuparant exciderent, ne huiusmodi quidem rumores, qui non sine causa ab omnibus celebrarentur sed verisimilem coniecturam haberent, negligendos putabant, nulla in re negligentes. (17) Quis enim nescit eos, quamcunque provinciam aut urbem invaserint, eam tanquam suam

ἐχόμενοι πρὸς οὐδὲν ἀποκναίουσι δυσχερές, ὡς οὐκέτ' ὄντων τῶν οἴκοι ἐπιλαθόμενοι; ἀπεναντίας τοῖς Ῥωμαίοις δρῶντες, οἳ τοῖς βουλομένοις καὶ τῶν ἐσχάτων ἐπενδυτῶν ὑπεξίστανται, καὶ τὸν χοῦν τῶν ποδῶν αὐτῶν, ἀφιστάμενοι τῶν πατρίδων, ἀσμένως ἀποτινάσσονται, οὐχ ὡς εὐαγγελικοὶ μαθηταὶ ἀλλ' ὡς ἀχρεῖοι καὶ ἀγεννέστατοι μαχηταί, καὶ γυναικῶν ἐς πόλεμον ἀτολμότεροι, καὶ πρὸς τὴν ὄψιν τῶν δυσμενῶν ἀτεχνῶς πάσχοντες ταῦτα δὴ τὰ Ὁμήρεια.

D τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός,
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει.
ἐν δέ τε οἱ κραδίη μέγα στέρνοισι πατάσσει
Κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίνετ' ὀδόντων.

θαυμάσαι δ' ἄν τις τοὺς ἄνδρας τούσδε περιεργασάμενος, εἰ μὴ ἑαυτοὺς προϊόντος τοῦ χρόνου δίχα πόνου διεξεργάσονται, οὕτω πρὸς τοὺς ἐναντίους ἀεὶ ἐνδιδόντες καὶ μαλακιζόμενοι, πρὸς δὲ τοὺς ὁμοφύλους ἀναιδεῖς καὶ θρασεῖς καὶ αὐθάδεις ὁρώμενοι, οἵ γε καὶ τοῖς ἐκ τῆς συγκλήτου βουλῆς ἡμῖν τὴν
P. 415 τῆς πόλεως ἐπιγραφόμενοι ἅλωσιν οὔτε τὸν τῆς δίκης δεδίασι παντέφορον ὀφθαλμόν, αὐτοὶ καταπροδόντες κἀκείνην δὴ καὶ ἡμᾶς, οὔτε πρὸς τὴν ὑπερβολὴν τοῦ ψεύδους αἰσχύνονται. τὸ δὲ καὶ δακρύων ἄξιον ὡς ἀνθρώπων ἀναλγήτων πά-

3. οἳ om A. 9. γάρ τε om A. 16. πρὸς μὲν τοὺς?

amplecti et mordicus tenere, nullis difficultatibus fatigatos, et rerum domesticarum velut nihil ad se attinentium oblitos? secus quam nostri, qui cuivis ipsa etiam interula cedunt, et patria relicta etiam pulverem pedum cupide excutiunt, non ut Evangelici discipuli, sed ut inutiles et degeneres omnino bellatores, et in pugna mulieribus timidiores, quibus ubi hostem aspexerint, Homericum illud accidit.

vertitur ignavi color, et tremor occupat artus.
mens stupet, inque pedes animus cadit, anxius horret.
palpitat et pectus, strident formidine dentes,
et necis indomitae tremebunda occurrit imago.

mirum profecto fuerit, si viros istos accuratius intuearis, ni progressu temporis ipsi sese citra laborem confecerint, cum hostibus perpetuo ita cedant effeminati, erga populares vero et cives suos adeo se inverecundos audaces et pertinaces praebeant, qui cum nobis patribus conscriptis urbis excidium ascribant, nec Vindictae cuncta perspicientis oculum reformidant, cum ipsi et urbem et nos prodiderint, neque tam insigni mendacio erubescunt. iam illud hominum stupidorum sive delirium sive infortunium lacrimas postulat, quod non mo-

θημα καὶ δυστύχημα, οὐ μόνον τὴν ἐπανάκλησιν αὐτῆς ἀπεύχονται, ἀλλὰ καὶ βραδυτῆτα τῷ θεῷ ἐγκαλοῦσιν ὡς μὴ πάλαι καὶ χειρόνως τὰ κατ' αὐτὴν καὶ ἡμᾶς διαθεμένῳ, ἀλλ' ἐς δεῦρο τὸν ὄλεθρον ἀποτείναντι καὶ φειδοῖ καὶ φιλανθρωπίᾳ δικάσαντι. καὶ δέον τοῖς ἡμῶν αὐτῶν κακοῖς ἁρμόζεσθαι πρὸς συμπάθειαν, οὐ πόλιν, οὐχ ἑστίαν, οὐ πορισμὸν τῶν πρὸς τὸ ζῆν ἐχόντων, οὓς ᾔδεσαν πάλαι περιωνύμους πλούτου βαθύτητι καὶ δυναστείας λαμπρότητι, οἱ δὲ ξεναγοῦσι σκώμμασι B καὶ περιβάλλουσιν ὡς ἱμᾶσι τοῖς ὀνείδεσιν, οὐδ' ὅλως παρὰ τὴν ἀρχὴν τοῦτο ἐλπίσαντας· ἦ γὰρ ἂν οὐδ' ἐπέβημεν ὅλως τῆς ἑῴας γῆς, τὸν μετὰ τοιούτων ἀνθρώπων ἀλεεινοντες πάτον καὶ κατὰ τὸν πάλαι Βελλεροφόντην πεδίον ζητοῦντες ἀλήϊον ἢ τὸν Ἱερεμίου ἔσχατον σταθμόν. μενοῦν γε οὐδὲ δι' ὄχλου τισὶ γεγόναμεν, πρὸς μόνον εὐελπιστοῦντες τὸν χορηγὸν τοῖς πᾶσι τροφῆς πατέρα θεόν, ὃς πρότερον μὲν δι' Ἐλισσαιὲ παλάθαις καὶ κριθίνοις ἄρτοις βραχέσιν ἑκατὸν εἱστίασεν ἄνδρας, ὕστερον δ' αὐτὸς βραχυτέροις μυριάδας πεινώντων ἐδεξιώσατο καὶ τὰ τοῦ κόρου λείψανα πλείω τῶν ἐδηδομένων συλλέξαι τοῖς συμποσιάρχαις μύσταις παρέσχετο, ἐπὶ θαύματι θαῦμα τετελεκὼς ἐξαισίῳ ἐξαισιώτερον. ὅθεν C κατὰ μόνον τὸ σύννομον αὐτοῖς συμφερόμενοι, ἐξ ὅτου τὴν παρ' Ἀσκανίᾳ λίμνην καὶ τὴν τῶν Βιθυνῶν προεδρεύουσαν Νίκαιαν παροικεῖν εἱλόμεθα ὡς αἰχμάλωτοι, καὶ παρὰ τοῖς

13. ἀλήϊον] ἠλύσιον pr A. 22. καὶ τὴν] καὶ τῆς τῶν βιθυνῶν μητροπόλεως πρόεδρ. A.

de patriae restitutionem in integrum deprecantur, sed deum etiam tarditatis accusant, quod nos et eam non olim peius tractarit, sed clementi et humano iudicio exitium hactenus distulerit. iam cum vicem nostram dolere deberent, qui non urbem, non larem, non victum ullum habeamus, quos olim copia rerum celebres et splendore dignitatis illustres noverunt, dicteriis nos lacessunt et opprobriis tanquam verberibus caedunt, secus quam speravimus: alioqui nunquam Orientem attigissemus, etiam vestigia istorum hominum declinaturi, et ut olim Bellerophon, desertos campos quaesituri aut Hieremiae extremum terminum. nemini certe quidem molesti fuimus, nostra in deum liberalem omnis boni largitorem fiducia collocata, qui olim per Elisaeum paucis palathis ficuum et hordeaceis panibus centum viros pavit. post ipse paucioribus complura esurientium millia saturavit, et plus reliquiarum quam convivis ferculorum erat appositum, mystis symposiarchis colligendum dedit, uno miraculo alio maiore cumulato. unde solius loci commercio cum illis coniuncti, dum ad Ascanium lacum et Bithyniae metropolim Nicaeam tanquam

αὐτοῖς συνιόντες τεμένεσιν, ἀσυναφεῖς τἄλλα καθεωρούμεθα.
ἀλλὰ τί μοι καὶ τῷ τὴν ἱστορίαν παρακινεῖν ταῖς τοιαῖσδε τῶν
διηγήσεων, καὶ παριστᾶν ἐντεῦθεν ὡς ἀκράτου ποτηρίου καὶ
τρυγοφόρου κύλικος τὰ τῶν Ῥωμαίων ἁπαξάπαντα προσδεᾶ;
περὶ τὴν νύσσαν τοίνυν τὸ λέγειν αὖθις ἐπεισαγέσθω καὶ τῶν
προκειμένων ἐχέτω μοι.

Τῇδε μὲν οὖν καὶ ταῦτα ἐφέρετο· ὁ δέ γε Ἐρρῆς βασι-
λεύσας ἐπεὶ πύθοιτο παρὰ τῶν εἰς Ὀρεστιάδα καταλειφθέντων
D ὁμογενῶν Σκυθῶν αὖθις καὶ Βλάχων ἐξιέναι στρατεύματα,
καὶ τὸ μὲν Διδυμότοιχον καθελεῖν, αὐτὴν δὲ τὴν ἐξ Ἀδρια-
νοῦ καλουμένην ὑπονοθεύειν, εἴ πως καὶ ταύτης περιγενήσον-
ται, μὴ πρὸς τὸ πλῆθος δείσας τῶν ἀντιπάλων μηδ' ἐν τῷ
βαλόμενος ὅλως τὰ τῶν προτέρων πολέμων ἀτυχήματα καὶ
πάλιν τὴν ἔξοδον ἀπεθάρρησε, καὶ τοὺς τῷ Βρανᾷ συνεκδή-
μους ὁμοφύλους ἐκσῶσαι γλιχόμενος καὶ τὰ τῶν Ῥωμαίων
περιθάλψειν ἐγκαταλείμματα, οἳ περὶ τὰς οὐχ ἑκὰς τῆς πό-
V. 341 λεως κωμοπόλεις αὖθις συνδεδραμήκασι. περὶ τὴν Ἀδρια-
νοῦ τοίνυν κατηντηκὼς καὶ τοὺς Βλάχους κατωπτευκὼς περὶ
τὴν ὄψιν τῶν Λατίνων ἀποδειλιάσαντας, μήτε σώματα λα-
P. 416 βόντων μείζονα τῶν προτέρων μηδὲ ψυχὰς κτησαμένων ἀλ-
κιμωτέρας, τὸ δὲ σύνηθες θράσος καὶ τὴν ἐν πολέμοις ἕξιν
οὐκ ἀπολωλότων οἷς πεπόνθασι, μέχρι Κρηνοῦ καὶ Βορέης
ἐλάσας, ἐκ δὲ τούτων τὴν Ἀγαθόπολιν διελθὼν καὶ παρεμ-
βαλὼν ἐς Ἀγχίαλον, καὶ πολλὰ μὲν δράσας ἐξ ὧν καὶ χρή-

6. ἐχέσθω?

captivi inquilinos agebamus, et eadem templa duntaxat frequentantes, caetera prorsus alieni ab eis visi sumus. sed cur huiusmodi narratiunculis historiae seriem interrumpo? ut dicam plenum mero poculum et feculentum calicem omne Romanum imperium postulare. iam igitur ad metam properans oratio pauca adhuc adiiciat. Erricus Imperio potitus, cum ex popularibus suis Orestiade relictis Scytharum et Blachorum exercitus denuo egredi et everso Didymotiche ipsam Adrianopolim clam ad defectionem aut proditionem solicitare audivisset, non hostium multitudine territus nec superiorum bellorum cladibus consternatus rursus exire non dubitavit, ut et populares suos Branam secutos conservaret et Romanorum reliquiis subveniret, quae in suburbanos pagos confugerant. igitur Adrianopolim profectus cum Blachos Latinorum conspectu, quanquam neque corporibus maioribus neque animis alacrioribus quam prius praeditorum, sed usitatam audaciam et rei militaris habitum etiam post illas strages retinentium, territos vidisset, usque ad Crenum et Boream eos et persecutus. inde per Agathopolim Anchialum usque progressus;

ματα καὶ σώματα καὶ ζώων ἀγέλας ἔλαβεν, οὐδὲν δέ τι καθυπομείνας δεινόν, ἀπαθὴς ὑπέστρεψε καὶ τὴν Κωνσταντίνου κατέλαβεν.

ibique castris positis, et multis rebus gestis, unde et pecunias et homines et pecudum greges et armenta cepit, nihil vero adversi pertulit, salvus Cpolim rediit.

ΤΟΥ ΑΥΤΟΥ ΜΑΚΑΡΙΤΟΥ ΚΥΡΙΟΥ
ΝΙΚΗΤΑ ΤΟΥ ΧΩΝΕΙΑΤΟΥ
ΑΠΟ ΤΗΣ ΑΥΤΟΥ ΙΣΤΟΡΙΑΣ
ΠΕΡΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

1. Τῆς γὰρ ἡμετέρας βασιλείας ἄρτι διαπιστευθείσης εἰς τοὺς Φραγγίσκους, ὁμοίως καὶ τῆς ἀρχιερωσύνης κληρωθείσης τοῖς Βενετίκοις, οἷς ἐπίσταται κρίμασιν ὁ τοῦ κοσμικοῦ τοῦδε σκάφους σκευαστὴς καὶ κυβερνήτης κύριος, ἵκετο ἐκ Βενετίας πατριάρχης Κωνσταντινουπόλεως Θωμάσιός τις

5. γὰρ] δ' G. 6. κυρωθείσης G. convenerat ante captam urbem inter Francos et Venetos, ut ex altera gente imperator ex altera patriarcha eligeretur. itaque quum Balduinus Flandrensis ex Francorum gente imperium esset adeptus, patriarchale solium Venetorum arbitrio est subiectum. Wilkenus. 8. κύριος] θεὸς G. 9. θωμᾶς G.

EX EIUSDEM VIRI BEATI
NICETAE CHONIATAE
HISTORIA CONSTANTINOPOLITANA.

1. Itaque postquam inexplicabili iudicio dei, qui navis mundanae opifex pariter est atque gubernator, imperium quidem nostrum sortitione facta Francis, sacerdotium vero Venetis contigit, arcessitus est Venetiis patriarcha, qui ecclesiam Cpolitanam regeret, Thomas quidam nomine, homo modicae quidam proceritatis, corpo-

τοὔνομα, τὴν μὲν ἡλικίαν μέσος, τὴν δὲ σωματικὴν πλάσιν λακκευτοῦ συὸς εὐτραφέστερος· ἦν δὲ καὶ λεῖος ξυρῷ τὸ τοῦ προσώπου ἔδαφος ὡς οἱ λοιποὶ τῶν ἐκ τοῦ γένους ἐκείνου, καὶ τὰς ἐνστηθίους παρατετιλμένος τρίχας ἀκριβέστερον δρώπακος, ἀμπεχόμενος δὲ στολὴν συνυφασμένην μικροῦ τῷ δέρματι καὶ ῥαφιδουμένην ἑκάστης τὰ εἰς καρπούς, δακτύλιόν τε τῇ χειρὶ περιστρέφων, ἐνίοτε δὲ καὶ τὰ ἐκ δέρρεων εἰς δακτύλους διεσχισμένα τῶν χειρῶν φυλακτήρια περικείμενος. ὡρᾶτο δὲ καὶ τὸ περὶ αὐτὸν ὡσιωμένον θεῷ σύστημα καὶ τὴν θυωρὸν ἀμφιπονούμενον τράπεζαν τῆς αὐτῆς ἐχόμενον κεραμείας καὶ τῷ καθηγεμόνι πανείκελον τὰ εἰς στολὴν καὶ δίαιταν καὶ τὸν τοῦ πώγωνος θερισμόν.

2. Ἐκ πρώτης δέ, ὅ φασι, γραμμῆς τὸ ἐθνικὸν παραδεικνύντες φιλόχρυσον, ἐννοοῦσι πόρον λημματισμοῦ καινόν τε ἅμα καὶ λαθόντα ξύμπαντας οἳ τὴν βασιλίδα πόλιν ἐσκύλευσαν. τὰς γὰρ τῶν βασιλέων θήκας ἀνοίξαντες, ὁπόσαι ἔνεισι τῷ ἡρῴῳ τῷ περὶ τὸ μέγα τέμενος ἱδρυμένῳ τῶν τοῦ Χριστοῦ μαθητῶν, λωποδυτοῦσι νυκτὸς ἁπάσας, καὶ παναθεμίτως ἐγκολπίζονται εἴ τις χρύσεος κόσμος ἢ μαργάρων σφαίρωμα ἢ λίθος διαυγὴς καὶ πολύτιμος ἀδιάφθορος εἰσέτι ταύταις ἐνέκειτο. εὑρόντες δὲ καὶ τὸν νεκρὸν Ἰουστινιανοῦ τοῦ βασιλέως τοῖς μακραίωσιν ἀπαραλύμαντον ἔτεσι, τὸ μὲν ὁρα-

2. τῶν προσώπων G. ἐκ om O. 12. καὶ δίαιταν add G. 16. ὁπόσων G.

ris vero obesitate porcum superans saginatum. faciem habebat idem tonsam novacula ex consuetudine, quae popularibus suis erat communis. atque pectoris etiam pilos evulsos diligentius quam dropacis ope fieri posset. amictus erat stola, quae cuti paene erat assuta atque circa carpos acubus quotidie affigebatur. annulum gestabat digito, manuum quoque tegumentis nonnunquam utebatur ex corio factis iisque digitatis. atque illud, cui praeerat, collegium deo dicatum et sacrosancti altaris ministerio deputatum, eiusdem prorsus erat farinae suoque antistiti omnino simile in vestitu vitaeque ratione et barbae tondendae more.

2. Ex prima, ut aiunt, linea auri amore insito sibi flagrantes, furandi viam excogitant novam plane neque ab illis, qui hactenus imperatoriam urbem expilaverant, unquam usurpatam. apertis enim imperatorum sepulcris positis in Heroo ad magnum discipulorum Christi templum exstructo, noctu omnia diripuerunt, ac nefario ausu, si quis istic aureus ornatus, si quae margaritarum sphaerae aut lapilli pretiosi pellucidi et incorrupti hactenus servabantur, ea omnia in sinum coniecerunt. repertum istic Iustiniani cadaver, quod a multis saeculis

θὲν ἐν θαύματι ἔθεντο, τῶν δὲ νεκροταφίων οὐμενοῦν οὐδ' ὅλως ἀπέσχοντο. ἔστιν οὖν εἰπεῖν ὡς οὔτε τῶν ἔτι ζώντων οὔτε μὴν τῶν ἀπελθόντων οἱ ἐκ γενῶν τῶν ἑσπερίων ἐφείσαντο, ἀλλ' ἐκ θεοῦ καὶ τῶν αὐτοῦ θεραπόντων ἀρξάμενοι πᾶσαν ἐπὶ πᾶσιν ἀδιαφορίαν τε καὶ ἀσέβειαν ἐπεδείξαντο. μετ' οὐ πολὺ δὲ κατασπῶσι καὶ τὸ τοῦ μεγίστου νεὼ καταπέτασμα εἰς μυρίας πολλάκις ἀργύρου μνᾶς ἀριθμούμενον, καὶ τούτου ὀβρυζοτέρου παντός, καὶ εἰς βάθος χρυσῷ πυκαζόμενον.

3. Ἐπεὶ δὲ χρημάτων καὶ οὕτως ἐσπάνιζον (οὐδὲ γὰρ φιλοπλουτίας κόρον ὅτεδὴ τὸ βάρβαρον ἴσησι, τοῖς χαλκοῖς ἐποφθαλμίζουσιν ἀνδριᾶσι, καὶ παραδιδόασι τούτους πυρί. ἥ τε οὖν ἐν τῇ Κωνσταντινείῳ ἀγορᾷ ἱσταμένη πολύχαλκος Ἥρα κέκοπται εἰς στατῆρας καὶ χωνείᾳ παραδέδοται, ἧς ἡ κεφαλὴ μόγις τέτρασι βοῶν ὑποτρόχοις ζεύγμασιν εἰς τὸ μέγα παλάτιον ἀποκεκόμισται· καὶ ἐπ' αὐτῇ ὁ Πάρις Ἀλέξανδρος τῆς βάσεως ἀνατέτραπται, συνεστὼς Ἀφροδίτῃ καὶ χειρίζων ταύτῃ τὸ χρύσεον μῆλον τῆς Ἔριδος.

4. Τὸ δέ γε τετράπλευρον χαλκοῦν μηχάνημα μετέωρον ἀναβαῖνον καὶ μικροῦ τοῖς τῶν κιόνων μείζοσιν εἰς ὕψος

8. τούτου ὀβρυζοτέρου Lachmannus pro illis codicum τοῦτο εὐροιζότερον vel εὐροϊζότερον. 14. παραδέδοται Wilkenus: codices παραδίδοται. 16. vide Heynium de priscae artis operibus, quae Cpoli extitisse memorantur, in Commentat. Soc. Reg. Scient. Gotting. a. 1791 et 1792, vol. XI, classis hist. et philol. p. 26. Wilk. 19. γε add G.

inviolatum permanserat, admirati quidem sunt, verum a sepulcralibus ornamentis minime abstinuerunt. ac vere dicatur Occidentales illos nec vivis nec defunctis pepercisse, sed a deo eiusque famulis orsos sine ullo discrimine nullum non impietatis genus exhibuisse. nec ita multo post Maximi templi velum discerpunt, quod multis milibus argenti eiusque purissimi minarum aestimatum fuerat, quippe cui multum auri intertextum erat.

3. Quia vero, haec quamvis fecissent, pecunia etiamnum egebant (nihil enim unquam potest barbarorum avaritiam satiare), ad aeneas statuas animum adiecerunt ignique ipsas tradiderunt. Iuno itaque illa ingenti aeris pondere, quae in Constantiniano foro erecta erat, in frusta concisa in fornacem fundenda traditur, cuius caput vix quatuor boum iugis potuit in magnum Palatium asportari. insuper Paris Alexander ex basi sua deiectus est, qui Veneri adstans aureum ipsi Discordiae pomum manu porrigebat.

4. Illam vero quadratam machinam, quae in altum ita erat deducta ut proceritate cum altissimis quibusque columnis, quae per

ἀνθαμιλλώμενον, ὅσοι πολλαχῇ τῆς πόλεως ἀνεστήκασι, τίς οὐκ ἂν ὀφθαλμὸν ἐκείνῳ ἐπιβαλὼν τῆς ποικιλίας ἐθαύμασεν; ἅπας μουσικὸς ὄρνις τὰ ἐαρινὰ μελῳδῶν ἐκεῖ ἐντετύπωτο· γεηπόνων ἔργα καὶ αὐλοὶ καὶ γαυλοὶ καὶ προβάτων βληχήματα καὶ ἀρνῶν σκιρτήματα ἐξεικόνιστο· ὑφήπλωτο καὶ θαλάττιον πέλαγος, καὶ νεπόδων ἀγέλαι καθωρῶντο, οἱ μὲν ζωγρούμενοι, οἱ δὲ τὰ δίκτυα τυραννοῦντες καὶ κατὰ βυθοῦ πάλιν ἀνέτως φερόμενοι· οἱ δ' Ἔρωτες σύνδυο καὶ σύντρεις ἀλλήλοις ἀνθοπλιζόμενοι, γυμνοὶ περιβλημάτων, ἐβάλλοντο μήλοις καὶ ἔβαλλον, γλυκεῖ περιβρασσόμενοι γέλωτι. τοῦ δὲ τοιούτου τετραπλεύρου εἰς ὀξὺ σχῆμα κατὰ πυραμίδα τελευτῶντος ἀπῃώρητο ἄνωθεν γυναικόμορφον εἴκασμα, καὶ ταῖς πρώταις τῶν ἀνέμων κινήσεσι περισοβούμενον· ὁπόθεν Ἀνεμοδούλιον ἐπεκέκλητο. πλὴν ἀλλὰ καὶ τοῦτο τὸ περικαλλέστατον ἔργον τοῖς χωνευταῖς παρέδωκαν, ὥσπερ καὶ τὸν ἐν τῷ Ταύρῳ ἐπὶ τραπεζώδους βάσεως ἔφιππον ἱστάμενον ἄνδρα τὸν ἡρωϊκὸν τὸ εἶδος καὶ τὸ μέγεθος ἀξιάγαστον. εἶναι δὲ οὗτος ἐλέγετο παρὰ μὲν ἐνίοις Ἰησοῦς ὁ τοῦ Ναυῆ, τεκμαιρομένοις τὸν ἄνδρα τῇ πρὸς ἥλιον ἐκτάσει τῆς χειρὸς ἤδη τῆς πρὸς δύσιν πορείας ἐχόμενον καὶ τὴν κατὰ Γαβαὼν

10. cf. supra p. 213. ceterum vide de hoc Anemodulio, monumento, quod urbi, quae navigatione et commercio maritimo florebat, summae erat utilitatis, Anon. de antiquitatibus Cpolit. in Banduri Imper. or. t. I. Parte 3 p. 17, Codinum de antiquitatibus Cp. ed. Par. p. 54, Lambecium ad h. l., Ducangii Cpol. Christ. ed Par. p. 166 et 167, et Heynium l. c. p. 32. Wilk.

urbem ubivis dispersae cernuntur, tantum non certaret, quis non admiraretur intuens eximiam operis inibi sculpti varietatem? ibi enim omnis canora avis vernos edens cantus repraesentabatur, similiterque agricolarum opera, tibiae et mulctralia, ovium balatus, agnorum subsultus. ibi ingens pelagus extendebatur pisciumque multitudo visebatur, quorum alii capiebantur, alii retibus sese vi expediebant et in imum mare denuo liberi ferebantur. alibi vero Cupidines bini vel terni adversi stantes ac nudi sese pomis impetebant, in risum suaviter effusi. in fastigio huius quadratae machinae Pyramidis more in acutum desinentis erecta cernebatur muliebris statua, quae primis ventorum impulsibus circumagebatur, unde Anemodulion (ventorum ministra) vocabatur. attamen hoc, inquam, opus pulcherrimum conflatoribus tradiderunt, quemadmodum et equitem illum in Tauro basi ad mensae formam structae impositum, heroica forma, magnitudine stupenda, quem quidam Iosuam filium Nuni esse dicebant, inde coniecturam facientes, quod vir ille, extensa contra solem ad occasum vergentem manu, praecipere videretur ut

στάσιν οἱονεὶ ἐπιτάσσοντα, ὡς δὲ ἐδόκει τοῖς πλείοσιν, ὁ ἐν τῇ νήσῳ τοῦ Πέλοπος γεννηθεὶς καὶ τραφεὶς Βελλεροφόντης Πηγάσῳ ἐπικαθήμενος· ἦν γὰρ ὁ ἵππος ἀχάλινος, ὁποῖος ὁ Πήγασος παραδίδοται, ἄνετα κροαίνων κατὰ πεδίων καὶ πάντα ἀδοξῶν ἀναβάτην ὡς πτηνὸς ἅμα καὶ πεζὸς φερόμενος. ἀλλὰ καὶ φήμη παλαίφατος εἰς ἡμᾶς διαβαίνουσα τοῖς τῶν ἁπάντων ἐνέκειτο στόμασιν, ἐν τῇ ἐμπροσθίῳ τοῦ ἵππου τοῦδε λαιᾷ χηλῇ ἀνδρείκελον κεύθεσθαι, τισὶ μὲν ἐκ τοῦ τῶν Βενετίκων γένους τινὸς εἶναι παραδιδόμενον, ἄλλοις δ' ἑτέρου τῶν μὴ ἐνσπόνδων Ῥωμαίοις ἐπιζεφυρίων ἐθνῶν ἢ καὶ τῶν Βουλγάρων ἑνός. πολλάκις οὖν ἡ τῆς χηλῆς ἐπεποιήθη ἀσφάλισις εἰς τὸ πάντῃ ἀφώρατον ὧν ᾔδετο κρύπτειν ἔνδοθι. κατατεμαχισθέντος δὲ τοῦ ἵππου καὶ σὺν τῷ ἀναβάτῃ παραδοθέντος πυρὶ εὕρηται καὶ τὸ ἐν τῇ ὁπλῇ τοῦ ἵππου ἐντυμβευόμενον χαλκῆρες ἴνδαλμα, καὶ ἦν περικείμενον χλαῖναν ὁποίαν τῶν θρεμμάτων τὰ ἔρια πλέκουσιν· ὀλίγα δὲ τῶν ἐπ' αὐτῷ πεφρασμένων οἱ Λατῖνοι φροντίσαντες πυρὶ καὶ τοῦτο ἐνέβαλον.

5. Ἀλλ' οὐδὲ τῶν ἐν τῷ ἱππικῷ ἱσταμένων ἀγαλμάτων

3. de Bellerophontis statua, quae Antiochiae urbis ornamentum fuerat, vide Banduri Commentarios de antiquitatibus Cpol. I p. 451 et Heynium l. c. p. 13. Wilk. 11. vetus erat superstitio, eiusmodi figuras barbarorum hominum, si in aliquo loco occultarentur, prodesse ad barbararum gentium incursiones ab imperio Romano arcendas; cuius quidem superstitionis exemplum legitur apud Olympiodorum in Photii Bibliotheca (ed. Bekker.) p. 60 et Niebuhrii corp. hist. Byzant. p. I p. 459 et 460. Wilk. 12. ἔνδοθεν O. 17. πεφασμένων O.

ad Gabaon staret; plerique vero putabant esse Bellerophontem in Peloponneso educatum et Pegaso insidentem. nam equus ille, quemadmodum et Pegasus fuisse traditur, cum nullis coërcitus frenis per campos effuse curreret, sessorem, utpote qui alis ferretur pariter et pedibus, aspernabatur. imo etiam quaedam vetus fama ad nos usque delata in omnium ore versabatur, in huius equi ungula sinistra pedum anteriorum viri figuram occultari, quam alii esse cuiusdam ex gente Veneta, alii alicuius ex Occidentalibus populis Romanorum non foederatis aut ex Bulgaris esse dicebant. non semel igitur ungula firmius defixa fuit, ne unquam, quae intus abscondi ferebantur, subripi possent; equo autem et equite in minutas partes dissectis atque in ignem coniectis repertum est signum aeneum in ungula equi sepultum, indutum chlaena, qualis ex ovium vellere solet confici. cum autem Latini parum curarent ea quae huic signo insculpta portendebantur, et ipsum in ignem coniecerunt.

5. Verum neque alias in Hippodromo statuas ceteraque ad-

καὶ ἀλλοίων θαυμαστῶν ἔργων τὴν καταστροφὴν παρῆκαν οἱ τοῦ καλοῦ ἀνέραστοι οὗτοι βάρβαροι, ἀλλὰ καὶ ταῦτα κεκόφασιν εἰς νόμισμα, ἀνταλλασσόμενοι μικρῶν τὰ μεγάλα καὶ τὰ δαπάναις πονηθέντα μεγίσταις οὐτιδανῶν ἀντιδιδόντες κερμάτων. κατήρειπτο τοίνυν Ἡρακλῆς ὁ τριέσπερος μέγας μεγαλωστὶ κοφίνῳ ἐνιδρυμένος, τῆς λεοντῆς ὑπεστρωμένης ἄνωθεν, δεινὸν ὁρώσης κἂν τῷ χαλκῷ καὶ μικροῦ βρυχηθμὸν ἀφιείσης καὶ διαθροούσης τὸ ἐφιστάμενον ἐκεῖσε τοῦ πλήθους ἀπάλαμνον. ἐκάθητο δὲ μὴ γωρυτὸν ἐξημμένος, μὴ τόξον ταῖν χεροῖν φέρων, μὴ τὸ ῥόπαλον προβαλλόμενος, ἀλλὰ τὴν μὲν δεξιὰν βάσιν ἐκτείνων ὥσπερ καὶ τὴν αὐτὴν χεῖρα εἰς ὅσον ἐξῆν, τὸν δὲ εὐώνυμον πόδα κάμπτων εἰς τὸ γόνυ καὶ τὴν λαιὰν χεῖρα ἐπ' ἀγκῶνος ἐρείδων, εἶτα τὸ λοιπὸν τῆς χειρὸς ἀνατείνων, καὶ τῷ πλατεῖ ταύτης ἀθυμίας πλήρης καθυποκλίνων ἠρέμα τὴν κεφαλήν, καὶ τὰς ἰδίας οὕτω τύχας ἀποκλαιόμενος καὶ δυσχεραίνων τοῖς ἄθλοις, ὅσους αὐτῷ Εὐρυσθεὺς οὐ κατὰ χρείαν κατὰ δὲ φθόνον μᾶλλον ἠγωνοθέτει, τῷ τῆς τύχης περιόντι φυσώμενος. ἦν δὲ τὸ στέρ-

5. τριέσπερος] huius epitheti origo ad Lycophronem (33) explicatur a Tzetze. Wilk. 6. vide quae de hoc κοφίνῳ doctissime disputata sunt a C. G. Boettigero in Historiae bellorum cruciatorum sermone patrio a me editae tomo V (Beilagen p. 32. 33). peritissimus rerum antiquarum arbiter, iudicat, corbe, cui impositum fuisse Herculem post labores peractos requiescentem dicit Nicetas, repraesentari illum corbem, quo heroem ad purganda Augiae stabula usum esse nonnulli veteres poetae fabulantur. ceterum haud scio an Nicetas, qui insolita verba sectari solet, suo κοφίνῳ nihil aliud significare voluerit quam quod simplicius dicere potuisset βάσιν. fortasse illa basis rotunda et corbis formae quodammodo similis erat. Wilk.

mirabilia opera evertere neglexerunt barbari illi, rerum optimarum hostes, sed illa quoque concisa in numismata verterunt, magna parvis commutantes, ac quae ingenti sumptu confecta fuerant, vilissimae monetae postponentes. deiectus itaque est Hercules Trihesperus magnus ille magnifice fabrefactus, in corbe erectus, cui superne leonina pellis instrata erat cum capite vel in ipso aere torvum aspiciente ac prope rugitum emittente multitudinemque, quae forte illic staret, otiosam dispellente. sedebat autem non pharetram gestans, non arcum manibus tenens, non clava munitus; sed dextrum pedem et dextram manum, quantum poterat, extendens, laevo pede ad genu usque curvato et sinistra manu cubito suffulta, quam superius extendens maerore plenus caput in ipsius volam leniter reclinabat, fata fortunasque suas deplorans, aegreque ferens labores quibus illum Eurystheus, non ex necessitate sed ex invidia magis, fortuna sua inflatus

νον εὐρύς, τοὺς ὤμους πλατύς, τὴν τρίχα οὖλος, τὰς πυγὰς πίων, βριαρὸς τοὺς βραχίονας, καὶ εἰς τόσον προέχων μέγεθος εἰς ὅσον, οἶμαι, καὶ τὸν ἀρχέτυπον Ἡρακλῆν εἴκασεν ἂν ἀναδραμεῖν ὁ Λυσίμαχος ὁ πρῶτον ἅμα καὶ ὕστατον τῶν ἑαυτοῦ χειρῶν πανάριστον φιλοτέχνημα τουτονὶ χαλκουργήσας, καὶ οὕτω μέγιστον ὡς τὴν περιελοῦσαν τὸν αὐτοῦ ἀντίχειρα μήρινθον εἰς ἀνδρεῖον ζωστῆρα ἐκτείνεσθαι καὶ τὴν κνήμην τοῦ ποδὸς εἰς ἀνδρόμηκες. τοιοῦτον δ' ὄντα τὸν Ἡρακλῆν οὐ παρῆλθον ἀκαθαίρετον οἱ τὴν ἀνδρείαν τῶν συννόμων ἀρετῶν διιστῶντες καὶ ταύτην ἑαυτοῖς οἰκειοῦντες καὶ περὶ πλείστου τιθέμενοι.

6. Τούτῳ δὲ συγκαθεῖλον καὶ τὸν σεσαγμένον καὶ σὺν ὀγκηθμῷ στελλόμενον ὄνον καὶ τὸν τούτῳ ἑφεπόμενον ὀνηγόν, οὓς ἐν Ἀκτίῳ ἔστησε Καῖσαρ ὁ Αὔγουστος, ὅ ἐστιν ἡ καθ' Ἑλλάδα Νικόπολις, ἡνίκα νυκτὸς ἐξιὼν τὸ τοῦ Ἀντωνίου κατασκέψασθαι στράτευμα ἀνδρὶ ἐνέτυχεν ὄνον ἐλαύνοντι, καὶ πυθόμενος ὅστις εἴη καὶ ἔνθα πορεύεται ἤκουσεν ὡς καλοῦμαι Νίκων καὶ ὁ ἐμὸς ὄνος Νίκανδρος, ἀφικνοῦμαι δὲ πρὸς τὴν τοῦ Καίσαρος στρατιάν.

7. Οὐδὲ μὴν τῆς ὑαίνης τε καὶ λυκαίνης τὰς χεῖρας ἀπήγαγον, ἃς Ῥῶμος καὶ Ῥωμύλος ἐθήλασαν· στατήρων

4. ἂν tollendum. Λύσιππος Fabricius. eodem modo Nicetam memoria fefellit p. 335. de ipso monumento vide Lambec. ad Codinum p. 167, Sillig. Catalog. artificum p. 259 et 260. Wilk. 15. de fabula vid. Sueton. Aug. 96. Wilk. 21. ῥῆμος O.

subiecerat. erat autem amplo pectore, latis humeris, crispo capillo, pinguibus clunibus, robustis brachiis et tanta magnitudine quanta, ut arbitror, esse archetypum Herculem coniecit Lysimachus (Lysippus), qui hoc primum et postremum manuum suarum opus ex aere caelavit. tanta sane proceritate erat, ut funiculus pollicem eius ambiens iustum hominis cingulum efficeret, tibia hominis staturam aequaret. Herculem huiusmodi nequaquam intactum reliquerunt illi, qui fortitudinem a reliquis virtutibus segregant eamque sibi adscribunt et plurimi faciunt.

6. Cum illo etiam abstulerunt asinum onus portantem et cum ruditu incedentem nec non insequentem asinarium, quos Actii, quod Graeci Nicopolin vocant, Augustus Caesar erexerat, quando noctu egressus speculatum Antonii exercitum, hominem offendit asinum ducentem, sciscitantique quis esset et quo pergeret, respondit ille „Nicon vocor, et asinus meus Nicander; et ad exercitum Caesaris contendo."

7. Nec magis abstinuerunt a scrofa et a lupa quae Remum et Romulum lactaverunt; sed minutissimae monetae aereae causa, an-

δὲ βραχέων, καὶ τούτων χαλκῶν, τὰ παλαιὰ σεμνώματα τοῦ γένους ἀπέδωκαν καὶ καθῆκαν αὐτὰς εἰς τὸ χωνευτήριον· ἔτι γε μὴν καὶ τὸν ἄνδρα τὸν παλαίοντα λέοντι, καὶ τὸν ἵππον τὸν Νειλῷον, ἐς οὐραῖον ἠκανθωμένον λεπίσι τὰ ὄπισθεν τοῦ σώματος λήγοντα, καὶ τὸν σείοντα τὴν προνομαίαν ἐλέφαντα· τὰς Σφίγγας ἐπὶ τούτοις, τὰς εὐειδεῖς ὡς γυναῖκας τὰ ἔμπροσθεν καὶ φρικτὰς ὡς θηρία τὰ ὄπισθεν, καινοτέρας δὲ ὡς καὶ πεζῇ βαινούσας καὶ κούφως τῷ πτερῷ φερομένας καὶ διαμιλλωμένας τοῖς τῶν ὀρνίθων μεγαλοπτέρυξι· καὶ τὸν ἀχάλινον ἵππον ὀρθιάζοντα τὸ οὖς καὶ φριμάσσοντα, γαῦρόν τε καὶ εὐήνιον προποδίζοντα· καὶ τὸ ἀρχαῖον κακόν, τὴν Σκύλλαν, μέχρι μὲν ἰξύος γυναικεῖον εἶδος προφέρουσαν, καὶ τοῦτο προτενὲς καὶ ὑπερμαζῶν καὶ μεστὸν ἀγριότητος, τὰ δ' ἔκτοτε διεσχισμένον εἰς θῆρας ἐμπηδῶντας τῇ τοῦ Ὀδυσσέως νηῒ καὶ συχνοὺς τῶν ἑταίρων καταβροχθίζοντας.

8. Ἦν δ' ἐν τῷ ἱππικῷ καὶ χάλκεος ἀετὸς ἀνακείμενος, τοῦ ἐκ Τυάνων Ἀπολλωνίου καινὸν μεθόδευμα καὶ τῆς ἐκείνου γοητείας μεγαλοπρεπὲς μαγγάνευμα. παραβαλὼν γάρ ποτε Βυζαντίοις παρεκλήθη τὰ τῶν ὄφεων κατευνάσαι δήγματα, ὑφ' ὧν ἔπασχον ἐκεῖνοι κακῶς· ἀμέλει καὶ συνερίθοις ταῖς ἀρρητουργίαις χρησάμενος ὧν ὑφηγηταὶ δαίμονες καὶ ὅσοι τὰ τούτων πρεσβεύουσιν ὄργια, ἐπὶ στήλης ἀνίστη-

1. σεμνώτατα O.

tiqua illa generis sui venerabilissima monumenta in officinam aerariam detulerunt. insuperque virum cum leone pugnantem, et Niliacum equum, qui a posterioribus partibus in caudam squamis opertam desinebat, elephantem, qui proboscidem vibrabat, Sphingesque, quae ab anteriori parte speciosae ut mulieres erant, a posteriore quasi ferae horribiles; singularis vero formae erant, quia quasi pedibus incedentes levi alarum motu ferebantur et cum avium maximis concertabant. itemque infrenatum equum aures arrigentem ac frementem lasciveque atque hilariter subsultantem. ad haec antiquum illud malum, Scyllam, quae a lumbis quidem femineam formam praeferebat, illamque proceram et vegetam, sed feritate plenam: exinde vero divisa erat in feras Ulyssis navem insilientes et amicorum eius multos devorantes.

8. Erat porro in Hippodromo Aquila aenea reposita, Apollonii Tyanei novum inventum eiusque praestigiarum nobile instrumentum. nam cum aliquando Byzantium venisset, rogatus est ut serpentium morsus sopiret, a quibus Byzantii vexabantur. tum ille nefariis usus ministeriis, quorum magistri daemones et quotquot eorum orgia per-

σιν ἀετόν, ἡδονὴν ἐνστάζον ψυχαῖς ὅραμα καὶ πεῖθον χρονοτριβεῖν τοὺς αὐτοῦ θέας κατατρυφῶντας, ὡς τοὺς ὑπέχοντας ἀκοὴν τὰ τῶν Σειρήνων δυσπαρόδευτα μελῳδήματα. διῄρκει μὲν γὰρ ὡς εἰς πτῆσιν τὰς πτέρυγας, ὄφις δὲ τοῖς ποσὶν ὑποκείμενος καὶ λορδούμενος εἰς ὁλκοὺς ἀπεῖργεν αὐτὸν τῆς ἀναφορᾶς, οἷα τοῖς ἄκροις τοῦ σώματος ὡς πρὸς δῆγμα ἐγχρίπτων ταῖς πτέρυξιν. ἤνυε δὲ ὁ ἰοβόλος οὐδέν· ταῖς γὰρ τῶν ὀνύχων ἐμπερονηθεὶς ἀκωκαῖς ἔσβεστο τὴν ὁρμὴν καὶ ὑπνώττειν μᾶλλον ἐδόκει ἢ γοῦν πρὸς καταπάλαισιν τοῦ ὄρνιθος ταῖς ἐκείνου προσφύεσθαι πτέρυξι. καὶ ὁ μὲν ὄφις οὕτω πνέων τὰ λοίσθια καὶ τὸν ἰὸν εἶχεν ἑαυτῷ συνθνήσκοντα· ὁ δ' ἀετὸς γαῦρον ὁρῶν καὶ μονονουχὶ κλάζων τὰ ἐπινίκια ὥρμα συνεξᾶραι τὸν ὄφιν καὶ ἅμα οἱ δι' ἀέρος φέρεσθαι, τεκμαίρεσθαι τοῦτο διδοὺς τῷ χαροπῷ τοῦ βλέμματος καὶ τῇ νεκρώσει τοῦ ὄφεως, ὃν εἴπέ τις ἂν ἰδὼν ἐπιλελησμένον τῶν ἑλίξεων καὶ τοῦ δάκνειν εἰς ὄλεθρον καὶ τοὺς λοιποὺς Βυζαντίους ὄφεις τῷ καθ' αὐτὸν διασοβεῖν ὑποδείγματι καὶ πείθειν ταῖς χειαῖς συσπειρᾶσθαι καὶ παραβύεσθαι. οὐ μόνον δὲ καθ' ὅσα εἰρήκαμεν, ἀξιάγαστον ἦν τουτὶ τὸ ἀέτειον εἴκασμα, ἀλλ' ὅτι καὶ τὰ τῆς ἡμέρας ὡριαῖα τμήματα διὰ τῶν ἐν ταῖς πτέρυξι κεχαραγμένων γραμμῶν, οὐσῶν δυοκαίδεκα, τρανότατα ὑπεδήλου τοῖς τὰς ὄψεις ἐκείνῳ σὺν

2. τοὺς αὐτ.] τῆς? 12. κλώζων vulgo. 18. codices χρείας (vel χείραις) συμπειρᾶσθαι.

agunt, aquilam columnae imponit, spectaculum animis illecebras instillans, suadensque ut diutius tali conspectu fruantur, quemadmodum ii qui Sirenum cantus audiebant, difficile loco movebantur. et alas quidem quasi ad volatum explicuerat: at serpens pedibus subiectus sinuosisque flexibus obvolutus a volatu coërcebat illam, suprema corporis parte quasi ad mordendas alas erecta. verum nihil efficiebat venenatum animal: nam unguibus constrictum ab impetu coërcebatur, ac dormitare potius videbatur quam cum ave pugnare et ad alas eius pertingere. atque ita serpens tetrum spirans, suum una secum extinctum venenum continebat, cum interim aquila laeto aspectu, tantum non clangens pro victoria, quasi avolare et serpentem secum auferre tentabat; id quod ex aspectus hilaritate ac serpentis nece coniectandum relinquebat. quem serpentem qui vidisset, dixisset sane illum convolutionum ac letiferorum morsuum oblitum reliquos serpentes Byzantinos exemplo suo absterrere, ac monere ut conarentur sese in fissuras abdere. non solum autem ob ea quae dixi- admiratione digna erat illa aquilae figura, sed etiam quia diurnas lineis duodecim in alis eius incisis clarissime indicabat iis

λόγῳ προσβάλλουσιν, ἡνίκα μὴ νεφέλαις ἐγνοφοῦτο τὰς ἀκτῖνας ὁ ἥλιος.

9. Τί δὲ ἡ λευκώλενος Ἑλένη καλλίσφυρός τε καὶ δολιχόδειρος, ἡ τὸ Πανελλήνιον εἰς Τροίαν ἀθροίσασα καὶ καθελοῦσα Τροίαν, ἐκ δὲ ταύτης προσοκείλασα Νείλῳ κἀκεῖθεν αὖθις εἰς ἤθη τὰ Λακώνων ἐπαναλύσασα χρόνιος; ἆρ' ἐμείλιξε τοὺς δυσμειλίκτους; ἆρ' ἐμάλθαξε τοὺς σιδηρόφρονας; οὐμενοῦν οὐδ' ὅλως τοιοῦτόν τι δεδύνηται ἡ πάντα θεατὴν τῷ κάλλει δουλαγωγήσασα, καίπερ ἐστολισμένη θεατρικῶς, καὶ δροσώδης ὁρωμένη κἂν τῷ χαλκῷ, καὶ ὑγραινομένη πρὸς ἔρωτα τῷ χιτῶνι, τῷ κρηδέμνῳ, τῇ στεφάνῃ καὶ τῷ πλοχμῷ τῶν τριχῶν· ὁ μὲν γὰρ ἀραχνίων λεπτότερος ἦν, τὸ δὲ δαιδάλεον ἐπανέκειτο, ἡ δὲ διέδει τὸ μέτωπον χρυσοῦ καὶ τιμαλφῶν λίθων ὑποκρινομένη διαύγειαν, ὁ δὲ τὸ τῆς κόμης κεχυμένον καὶ διασοβούμενον πνεύμασιν ὀπισθίῳ δεσμεύματι περιέσφιγγεν ἕως κνημῶν ἐκτεινόμενον. ἦν δὲ καὶ τὰ χείλη καλύκων δίκην ἠρέμα παρανοιγόμενα, ὡς καὶ δοκεῖν ἀφιέναι φωνήν· τὸ δὲ χάριεν μειδίαμα εὐθέως προσυπαντῶν καὶ χαρμονῆς πιμπλῶν τὸν θεώμενον, καὶ τὸ τοῦ βλέμματος χαροπὸν καὶ τὰς ἁψῖδας τῶν ὀφρύων καὶ τὴν λοιπὴν εὐφυΐαν τοῦ σώματος οὐκ ἦν ὁποῖα ἦν διαγράψαι λόγῳ καὶ παραστῆσαι τοῖς ἔπειτα. ἀλλ' ὦ Τυνδαρὶς Ἑλένη, κάλλος αὐτόθεν καλόν, Ἐρώτων μόσχευμα, Ἀφροδίτης τημελούχημα, πανάριστον φύσεως δώρημα, Τρώων καὶ Ἑλλήνων βρά-

qui eius rei periti accederent, quando solis radii nubibus non obscurabantur.

9. Quid de Helena illa dicam albis lacertis, pulchris tibiis et procera statura, quae totam Graeciam in Troiam concivit Troiaeque excidii causa fuit, inde vero ad Nilum appulit, ac post longum tempus Lacedaemonem remigravit? num barbaros illos mitigavit? num ferreos emollivit? nihil sane huiusmodi efficere potuit, quae olim omnes spectatores captivos ducebat, etiamsi theatrico more vestita et tota roscida videretur, ac licet aere incisa tota humesceret ac vernaret et ad sui amorem pelliceret, ex tunica, ex redimiculo, ex corona, ex cincinnis capillorum, qui ipsis araneae filis tenuiores erant. mirum sane undique artificium eminebat: frons eius redimita auro et gemmis, quasi pellucida videbatur; capillitium effusum ac ventis agitatum circulo in occipite posito constringebatur, hinc vero ad tibias usque diffluebat. lābia calycum instar sensim aperta, ut viderentur vocem emittere: hinc suavissimus risus sese statim offerens spectatorem laetitia replebat. oculorum gratiam, superciliorum arcus reliquamque corporis venustatem nullus sermo pro merito de-

βευμα, ποῦ σοι τὸ νηπενθὲς καὶ κακῶν ἁπάντων ἐπίληθες φάρμακον, ὃ Θῶνός σοι παράκοιτις ἐχαρίσατο; ποῦ δὲ τὰ ἄμαχα φίλτρα; πῶς οὐκ ἐχρήσω τούτοις ὡς πάλαι καὶ νῦν; ἀλλ' οἶμαί σοι ταῖς Μοίραις πέπρωται τῇ τοῦ πυρὸς ὑποπεσεῖν ἐρωῇ, μηδ' ἐν εἰκόνι παυσαμένῃ ἀνακαίειν τοὺς ὁρῶντας εἰς ἔρωτας. εἶπον δ' ἂν ὡς καὶ ἀντίποινα τοῦ τὴν Τροίαν ἠθαλῶσθαι πυρὶ ταῖς σαῖς σχετλίως φρυκτευθέντι φιλότησιν οἱ Αἰνειάδαι οὗτοι πυρί σε κατέκριναν. ἀλλ' οὐκ ἐᾷ με τὸ χρυσομανὲς τῶν ἀνδρῶν διανοήσασθαί τι τοιοῦτον καὶ φθέγξασθαι, ὑφ' οὗ τὰ σπάνια πανταχοῦ καὶ καλῶν κάλλιστα ἔργα παντελεῖ ἀφανισμῷ παρεπέμφθησαν, εἰπεῖν δὲ καὶ τὸ τὰς ἑαυτῶν γυναῖκας ὀβολῶν μετρίων πολλάκις ἀποδιδόναι καὶ ἀποπέμπεσθαι, καὶ μᾶλλον εἰ προσανέχουσι τηλίᾳ καὶ προστετήκασι πεττοῖς πανημέριοι, ἢ καὶ πρὸς ὁρμὴν ἄλογον καὶ μανιώδη, οὐ μὴν ἀνδρείαν ἔμφρονα κατ' ἀλλήλων ἐνθουσιῶσι καὶ τὴν Ἄρεος σκευὴν περιτίθενται, τῆς νίκης προτιθέντες ἆθλον πάντα τὰ προσόντα σφίσιν, αὐτὰς τὰς κουριδίους ἀλόχους, ἐξ ὧν πατέρες ἠκηκόεισαν τέκνων, ἔτι δὲ τὸ μέγα χρῆμα καὶ τοῖς ἄλλοις δυσπαραίτητον, τὴν ψυχήν, καὶ ἧς ἕνεκα τὰ πάντα περισπουδάζουσιν ἄνθρωποι. ἄλλως τε ποῦ παρ' ἀγραμμάτοις βαρβάροις καὶ τέλεον ἀναλφαβήτοις

8. σε add Fabricius. 13. τῇ λείᾳ vulgo.

